ΚΓ'. Ἡ νοερὰ οὐσία ὁμοιομερής ἐστιν, ὡς καὶ ἐν τῷ μερικῷ νῷ εἶναι τὰ ὄντα, καὶ ἐν τῷ παντελείῳ· ἀλλ' ἐν μὲν τῷ καθόλου καὶ τὰ μερικὰ καθολικῶς· ἐν δὲ τῷ μερικῷ καὶ τὰ καθόλου καὶ μερικὰ μερικῶς.

ΚΔ'. Τῆς οὐσίας, ἧς ἐν ζωῇ τὸ εἶναι, καὶ ἧς τὰ πάθη ζωαί, ταύτης καὶ ὁ θάνατος ἐν ποιᾷ ζωῇ κεῖται· οὐκ ἐν ζωῆς καθάπαξ στερήσει. ὅτι μηδὲ πάθος ἡ ὁδὸς ἐστι πάντη πρὸς τὸ μὴ ζῆν, ἡ ἀζωΐα ἡ ἐν αὐτῇ [l. ὅτι μηδὲ τὸ πάθος ἦν ὁδὸς εἰς τὴν παντελῆ ἀζωΐαν ἐπ' αὐτῆς].

ΚΕ'. Ἐπὶ τῶν ζωῶν τῶν ἀσωμάτων αἱ πρόοδοι μενόντων τῶν προτέρων ἑδραίων καὶ βεβαίων γίνονται, καὶ οὐ φθειρόντων τι αὐτῶν εἰς τὴν τῶν ὑπ' αὐτὰ ὑπόστασιν, οὐδὲ μεταβαλλόντων. ὥστε οὐδὲ τὰ ὑφιστάμενα μετά τινος φθορᾶς ὑφίσταται, ἢ μεταβολῆς. οὐδὲ τοῦτο οὐδὲ γενητόν, ὡς ἡ φθορᾶς μετέχουσα γένεσις καὶ μεταβολῆς. ἀγένητα ἄρα καὶ ἄφθαρτα, καὶ ἀγενήτως καὶ ἀφθάρτως γεγονότα κατὰ τοῦτο.

ΚϚ'. Περὶ τοῦ ἐπέκεινα νοῦ κατὰ μὲν νόησιν πολλὰ λέγεται· θεωρεῖται δὲ ἀνοησίᾳ κρείττον νοήσεως· ὥσπερ ἐπὶ τοῦ καθεύδοντος διὰ μὲν ἐγρηγόρσεως πολλὰ λέγεται· διὰ δὲ τοῦ καθεύδειν ἡ γνῶσις καὶ ἡ κατάληψις. τῷ γὰρ ὁμοίῳ τὸ ὅμοιον γινώσκεται· ὅτι πᾶσα γνῶσις τοῦ γνωστοῦ ὁμοίωσις.

ΚΖ'. Μὴ ὂν τὸ μὲν γεννῶμεν, χωρισθέντες τοῦ ὄντος· τὸ δὲ προεννοοῦμεν, ἐχόμενοι τοῦ ὄντος· ὡς εἴγε χωρισθείημεν τοῦ ὄντος, οὐ προεννοοῦμεν τὸ ὑπὲρ τὸ ὂν μὴ ὄν· ἀλλὰ γεννῶμεν ψευδὲς πάθος τὸ συμβεβηκὸς περὶ τὸν ἐκστάντα ἑαυτοῦ. καὶ γὰρ αὐτὸς ἕκαστος ὥσπερ ὄντως καὶ δι' ἑαυτοῦ ἐνῆν ἀναχθῆναι ἐπὶ τὸ ὑπὲρ τὸ ὂν μὴ ὄν, καὶ παραχθῆναι ἐπὶ τὸ κατάπτωμα τοῦ ὄντος μὴ ὄν.

ΚΗ'. Οὐδὲν πρὸς τὸ ἀσώματον τὸ καθ' ἑαυτὸ ἡ τοῦ σώματος ἐμποδίζει ὑπόστασις, πρὸς τὸ μὴ εἶναι ὅπου βούλεται, καὶ ὡς θέλει. ὡς γὰρ τῷ σώματι τὸ ἄογκον ἄληπτον, καὶ οὐδὲν πρὸς αὐτό· οὕτω τῷ ἀσωμάτῳ τὸ ἔνογκον καὶ ἀνεπιπρόσθητον, καὶ ὡς μὴ ὂν κεῖται· οὐδὲ τοπικῶς διέρχεται τὸ ἀσώματον ὅπου βούλεται· ὄγκῳ γὰρ συνεφίσταται τόπος· οὐδὲ στενοχωρεῖται σωμάτων ὄντων· τὸ γὰρ ὁποιονοῦν ἐν ὄγκῳ στενοχωρεῖσθαι δύναται, καὶ τοπικῶς ποιεῖσθαι τὴν μετάβασιν. τὸ δ' ἄογκον παντελῶς καὶ ἀμέγεθες ὑπὸ τῶν ἐν ὄγκῳ ἀκράτητον, τοπικῆς τε κινήσεως ἄμοιρον. διαθέσει τοίνυν ποιᾷ ἐκεῖ εὑρίσκεται, ὅπου καὶ διάκειται, τόπῳ ὂν πανταχοῦ, καὶ οὐδαμοῦ. διὸ ποιᾷ διαθέσει, ἢ ὑπὲρ οὐρανόν, ἢ ἐν μέρει που τοῦ κόσμου κεκράτηται. ὅταν δὲ κρατηθῇ ἔν τινι μέρει τοῦ κόσμου, οὐκ ὀφθαλμοῖς

tibus, in quantum vita carent, impassibilitas necessario convenit. Ergo mutari et pati composito ex materia formaque, hoc est corpori, nequaquam vero materiæ, convenit: ita etiam vivere ac mori, et proinde pati, in composito ex corpore et anima conspicitur. Neque id animæ contingit, cum non sit aliquid ex non vita vitaque conflatum; sed vita solummodo constet: idque adeo, quia essentia est simplex, et animæ ratio suo se motu movet.

XXIII. Substantia intellectualis ita omnibus partibus inter se similibus constat, ut et in particulari et in universali intellectu entia existant. Sed in intellectu universali particularia quoque entia sunt universaliter: in particulari autem tam universalia quam particularia sunt particulariter.

XXIV. Cujuscunque essentiæ esse consistit in vita, et cujus passiones sunt vitæ, ejusdem quoque mors in certa aliqua vita consistit; non in omnimoda vitæ privatione: quoniam nec ipsa vitæ vacuitas quæ est in illa, passio sive via est qua omnino vivere desinat.

XXV. In vitis incorporeis progressus seu emanationes fiunt prioribus firmis immotisque permanentibus, nec perdentibus quidquam de suo, vel mutantibus ad inferiorum productionem: adeo ut nec producta cum corruptione vel mutatione aliqua producantur. neque quidquam eorum ita existit, sicuti generatio cum corruptione et mutatione conjuncta. Sunt ergo ingenita atque incorruptibilia: et proinde etiam absque generatione et corruptione producta.

XXVI. De eo quod est supra mentem multa quidem per intelligentiam dicuntur. Sed multo rectius otio et vacatione intellectus quam intelligendo perspicitur: quemadmodum de dormiente, dum vigilatur, multa quidem affirmantur; quorum tamen cognitio atque experientia per somnum percipitur. Nam simili simile cognoscitur: quia omnis cognitio assimilatio est ad id quod cognoscitur.

XXVII. Non ens aut ipsi producimus, separati ab ente: aut præconcipimus animo, conjuncti cum ente. Proinde si separemur ab ente, non præconcipimus animo illud non ens quod est supra ens; sed fingimus non ens, falsam quamdam et ementitam passionem, quæ homini digredienti a semetipso contingere solet. Nam ut unusquisque revera et per se reduci poterat ad illud non-ens quod est supra ens: (sic ab ente ac seipso digrediens) transit ad non ens quod entis defectus et carentia est.

XXVIII. Corporis substantia nil impedit per se incorporeum, quin sit ubicunque et quomodocunque velit. Nam ut id quod mole caret corpori est incomprehensibile, nec quidquam ad ipsum pertinet: sic incorporeo id quod mole præditum est officere non potest, sed instar non entis adjacet. Neque incorporeum motu locali hinc inde quo vult fertur: (locus enim molem corpoream comitatur;) neque a corporibus coercetur. Nam quod mole quocunque tandem modo præditum est, id et coerceri, et motu locali transitum facere potest. Quod autem omnino molis magnitudinisque expers est, nec ab eo quod mole præditum est contineri potest, nec motus localis est particeps. Certa igitur quadam dispositione istic reperitur, quo affectu inclinat, loco interim et ubique et nullibi existens. Ideoque certa quadam dispositione vel supra cœlum, vel in quadam mundi parte continetur. Veruntamen cum in aliqua parte mundi continetur oculis

ὁρᾶται· ἀλλ' ἐκ τῶν ἔργων αὐτοῦ φανερὰ ἡ παρουσία αὐτοῦ γίνεται.

ΚΘ'. Τὸ ἀσώματον ἂν ἐν σώματι κατασχεθῇ, οὐ συγκλεισθῆναι δεῖ, ὡς ἐν ζωγρείῳ θηρία· συγκλεῖσαι γὰρ αὐτὸ οὐδὲν οὕτω δύναται καὶ περιλαβεῖν σῶμα. οὐδ' ὡς ἀσκὸς ὑγρόν τι ἕλκει ἢ πνεῦμα· ἀλλ' αὐτὸ δεῖ ὑποστῆσαι δυνάμεις ῥεπούσας ἀπὸ τῆς πρὸς αὐτὸ ἑνώσεως εἰς τὸ ἔξω· αἷς δὴ κατιὸν συμπλέκεται τῷ σώματι. δι' ἐκτάσεως οὖν ἀῤῥήτου ἡ εἰς σῶμα σύνερξις. διὸ οὐδ' ἄλλο αὐτὸ καταδεῖ, ἀλλ' αὐτὸ ἑαυτό· οὐδὲ λύει τοίνυν θραυσθὲν τὸ σῶμα καὶ φθαρέν· ἀλλ' αὐτὸ ἑαυτὸ στραφὲν ἐκ τῆς προσπαθείας.

Λ'. Τῶν μὲν ὅλων καὶ τελείων ὑποστάσεων οὐδεμία πρὸς τὸ ἑαυτῆς γέννημα ἐπέστραπται. πᾶσαι δὲ αἱ τέλειαι ὑποστάσεις πρὸς τὰ γεννήσαντά εἰσιν ἀνηγμέναι ἄχρι καὶ τοῦ κοσμικοῦ σώματος. τέλειον γὰρ ὂν ἀνῆκται πρὸς τὴν ψυχὴν, νοερὰν οὖσαν· καὶ κύκλῳ διὰ τοῦτο κινούμενον. ἡ δὲ ψυχὴ αὐτοῦ πρὸς τὸν νοῦν· νοῦς δὲ πρὸς τὸ πρῶτον. διήκει τοίνυν ἅπαντα ἐπὶ τοῦτο, ἀπὸ τοῦ ἐσχάτου ἀρξάμενον, καθ' ὃ δύναται ἕκαστον. ἡ δὲ πρὸς τὸ πρῶτον ἀναγωγὴ προσεχὴς μέντοι ἢ πόῤῥωθέν ἐστι· διὸ ταῦτα οὐκ ἐφίεσθαι μόνον τοῦ θεοῦ λέγοιτ' ἂν, ἀλλὰ καὶ ἀπολαύειν κατὰ δύναμιν· ἐν δὲ ταῖς μερισταῖς ὑποστάσεσι, καὶ πρὸς πολλὰ ῥέπειν δυναμέναις, ἔνεστι καὶ πρὸς τὰ γεννήματα ἐπιστρέφειν. ὅθεν καὶ ἐν ταύταις ἦν ἡ ἁμαρτία, ἐν ταύταις ἡ λελοιδορημένη ἀπιστία. ταύτας οὖν κακοῖ ἡ ὕλη, τῷ ἐπιστρέφεσθαι ἐπ' αὐτὴν δύνασθαι, δυναμένας ἐστράφθαι καὶ πρὸς τὸ θεῖον. ὥσθ' ἡ μὲν τελειότης ὑφίστησι τὰ δεύτερα ἀπὸ τῶν προτέρων, τηροῦσα αὐτὰ ἐπεστραμμένα πρὸς τὰ πρῶτα· τὸ δ' ἀτελὲς στρέφει καὶ πρὸς τὰ ὕστερα τὰ πρῶτα, καὶ φιλεῖν ταῦτα ποιεῖ τὰ πρὸ αὐτῶν ἀποστραφέντα.

ΛΑ'. Ὁ θεὸς πανταχοῦ, ὅτι οὐδαμοῦ· καὶ ὁ νοῦς πανταχοῦ, ὅτι οὐδαμοῦ· καὶ ἡ ψυχὴ πανταχοῦ, ὅτι οὐδαμοῦ. ἀλλ' ὁ θεὸς μὲν πανταχοῦ καὶ οὐδαμοῦ τῶν μετ' αὐτὸν πάντων· αὐτοῦ δὲ ἔστι μόνον ὡς ἔστι καὶ ἐθέλει. νοῦς δὲ ἐν θεῷ μὲν, πανταχοῦ δὲ καὶ οὐδαμοῦ τῶν μετ' αὐτόν. καὶ ψυχὴ ἐν νῷ τε καὶ θεῷ πανταχοῦ, καὶ οὐδαμοῦ ἐν σώματι· σῶμα δὲ καὶ ἐν ψυχῇ, καὶ ἐν θεῷ. καὶ ὡς πάντα τὰ ὄντα καὶ μὴ ὄντα ἐκ τοῦ θεοῦ καὶ ἐν θεῷ, καὶ οὐκ αὐτὸς τὰ ὄντα καὶ οὐκ ὄντα καὶ ἐν αὐτοῖς· εἰ μὲν γὰρ μόνον ἦν πανταχοῦ, αὐτὸς ἂν ἦν τὰ πάντα καὶ ἐν πᾶσιν· ἐπεὶ δὲ καὶ οὐδαμοῦ, τὰ πάντα γίνεται δι' αὐτοῦ, καὶ ἐν αὐτῷ, ὅτι πανταχοῦ ἐκεῖνος· ἕτερα δὲ αὐτοῦ, ὅτι αὐτὸς οὐδαμοῦ. οὕτω καὶ νοῦς πανταχοῦ ὢν καὶ οὐδαμοῦ, αἴτιος ψυχῶν καὶ τῶν μετ' αὐτάς. καὶ οὐκ αὐτὸς ψυχὴ, οὔτε τὰ μετὰ ψυχὴν, οὐδὲ ἐν τούτοις· ὅτι οὐκ ἦν μόνον πανταχοῦ τῶν μετ' αὐτὸν, ἀλλὰ καὶ οὐδαμοῦ· καὶ ἡ ψυχὴ οὐ σῶμα, οὔτε ἐν σώματι, ἀλλ' αἰτία σώματος· ὅτι πανταχοῦ οὖσα τοῦ σώματος ἔστιν οὐδαμοῦ. καὶ ἔστι γε ἡ πρόοδος τοῦ παντὸς εἰς τὸ μήτε πανταχοῦ ἅμα μήτε μηδαμοῦ εἶναι δυνάμενον, ἀλλ' ἀνὰ μέρος ἑκατέροιν μετέχον.

non conspicitur; sed præsentia ejus ex ipsius operibus apparet.

XXIX. Incorporeum si in corpore contineatur, non ita concludi necesse est, quemadmodum feræ in roborario: (nullum enim corpus id ipsum tali modo concludere complectique potest;) neque ut uter humorem aliquem aut flatum cohibet: sed ipsum incorporeum facultates seu potentias quasdam a sui cum ipso corpore conjunctione exterius vergentes substituat oportet, quibus descendens corpori connectitur. Itaque per ineffabilem sui ipsius extensionem fit ut corpore coerceatur. Ideoque nec aliud quidquam, sed ipsum sese alligat: quapropter nec corpus vulneratum corruptumque, sed ipsum sese avertendo ab affectu corporeo, exsolvit.

XXX. Universalium perfectarumque substantiarum nulla ad progeniem suam convertitur: sed omnes perfectæ substantiæ ad auctores suos reducuntur, etiam usque ad corpus mundanum. Cum enim perfectum sit, ad animam intellectu præditam subrectum est; ideoque movetur in orbem: anima autem ejus ad mentem; mens vero ad primum principium subrigitur. Ad hoc itaque omnia, exordio inde ab ultimo ducto, pro suis quodque viribus perveniunt. Reductio autem illa ad primum vel ex propinquo vel ex longinquo fit. Hæc ergo non appetere solummodo deum, sed et frui illo pro viribus dici possunt. Particularibus autem seu divisis substantiis, et quæ vergere ad multa possunt, innatum quoque est ut ad progenies suas se convertant. Unde et in hisce delictum existit; in hisce probrosa perfidia. Hasce ergo materia malo inficit, ideo quod in ipsam deflecti possunt, cum ad deum quoque converti queant: adeo ut perfectio quidem secunda primis substituat, conservans ea conversa ad prima; imperfectio vero prima quoque ad postrema deflectit, et efficit ut ament ea, quæ ante ipsa deflexerunt.

XXXI. Deus ubique est, quia est nusquam: et mens ubique, quia nusquam; et anima ubique, quia nusquam. Sed deus quidem ubique et nusquam eorum omnium quæ post ipsum sunt: sed istic tantum est quemadmodum est atque vult: mens autem in Deo quidem, sed ubique, et nusquam eorum quæ sunt post ipsum: et anima in mente et in Deo ubique, et nusquam in corpore: corpus autem in anima, et in mente, et in Deo. Et ut omnia entia et non entia ex Deo, et in Deo; nec tamen ipse entia vel non entia, nec in iis. Nam si solummodo ubique esset, ipse utique omnia, et in omnibus esset: at quia idem etiam nusquam est, omnia fiunt per ipsum, et in ipso, quia ipse est ubique. Sunt autem diversa ab ipso, quia ipse nusquam est. Ita etiam mens ubique existens et nusquam, causa est animarum, et eorum quæ post animas sequuntur: nec ipsa est anima, nec ea quæ sunt post animam, nec in illis. Quia non tantum ubique est eorum quæ sunt post ipsum; sed et nusquam. Et anima nec corpus est, nec in corpore; sed causa corporis: quia dum ubique per corpus est diffusa, est nusquam. Atque hic progressus universi procedit usque ad illud quod nec ubique simul, nec nuspiam esse potest; sed ex parte utrinque particeps est.

ΛΒ'. Ὥσπερ τὸ ἐπὶ γῆς εἶναι ψυχῇ [l. ψυχῆς] ἐστιν, οὐ τὸ γῆς ἐπιβαίνειν, ὡς τὰ σώματα· τὸ δὲ προεστάναι σώματος, ὃ γῆς ἐπιβαίνει· οὕτω καὶ ἐν ᾅδου εἶναί ἐστι ψυχῇ, ὅταν προεστήκει εἰδώλου, φύσιν μὲν ἔχοντος εἶναι ἐν τόπῳ, σκότει δὲ [l. σκοτώδη, σκοτώδει] τὴν ὑπόστασιν κεκτημένου. ὥστε εἰ ὁ ᾅδης ὑπόγειός ἐστι τόπος σκοτεινὸς, ἡ ψυχὴ καίπερ οὐκ ἀποσπωμένη τοῦ ὄντος, ἐν ᾅδου γίγνεται, ἐφελκομένη τὸ εἴδωλον. ἐξελθούσῃ γὰρ αὐτῇ τοῦ στερεοῦ σώματος τὸ πνεῦμα συνομαρτεῖ, ὃ ἐκ τῶν σφαιρῶν συνελέξατο. ἐκ δὲ τῆς πρὸς τὸ σῶμα προσπαθείας τὸν λόγον ἔχουσα τὸν μερικὸν προβεβλημένον, καθ' ὃν σχέσιν ἔσχε πρὸς τὸ τοῖον σῶμα ἐν τῷ βιοῦν, ἐκ τῆς προσπαθείας ἐναπομόργνυται τύπος τῆς φαντασίας εἰς τὸ πνεῦμα, καὶ οὕτως ἐφέλκεται τὸ εἴδωλον· ἐν ᾅδου δὲ λέγεται, ὅτι τῆς ἀϊδοῦς φύσεως ἐτύγχανε τὸ πνεῦμα, καὶ σκοτεινῆς. ἐπεὶ δὲ διήκει τὸ βαρὺ πνεῦμα καὶ ἔνυγρον ἄχρι τῶν ὑπογείων τόπων, οὕτω καὶ αὐτὴ λέγεται χωρεῖν ὑπὸ γῆν· οὐχ ὅτι ἡ αὐτὴ οὐσία μεταβαίνει τόπους, καὶ ἐν τόποις γίνεται· ἀλλ' ὅτι τῶν πεφυκότων σωμάτων τόπους μεταβαίνειν, καὶ εἰληχέναι τόπους, σχέσεις ἀναδέχεται, δεχομένων αὐτὴν κατὰ τὰς ἐπιτηδειότητας τῶν τοιούτων σωμάτων ἐκ τῆς κατ' αὐτὴν ποιᾶς διαθέσεως. ὡς γὰρ ἂν διετέθη, εὑρίσκει σῶμα, τάξει καὶ τοῖς οἰκείοις διωρισμένον. διὸ καθαρώτερον μὲν διακειμένῃ σύμφυτον τὸ ἐγγὺς τοῦ ἀΰλου σῶμα, ὅπερ ἐστὶ τὸ αἰθέριον· προελθούσῃ δὲ ἐκ λόγου εἰς φαντασίας προβολὴν, σύμφυτον τὸ ἡλιοειδές· θηλυνθείσῃ δὲ καὶ παθαινομένῃ πρὸς τὸ εἶδος, παράκειται τὸ σεληνοειδές. πεσούσης δὲ εἰς σώματα, ὅταν κατὰ τὸ αὐτῆς ἄμορφον στῇ εἶδος ἐξ ὑγρῶν ἀναθυμιάσεων συνεστηκότα, ἄγνοια ἕπεται τοῦ ὄντος τελεία, καὶ σκότωσις, καὶ νηπιότης. καὶ μὴν καὶ ἐν τῇ ἐξόδῳ, ἔτι κατὰ τὴν δίυγρον ἀναθυμίασιν τὸ πνεῦμα ἔχουσα τεθολωμένον, σκιὰν ἐφέλκεται, καὶ βαρεῖται· χωρεῖν σπεύδοντος τοῦ τοιούτου πνεύματος εἰς μυχὸν τῆς γῆς φύσει, ἂν μὴ ἄλλη τις αὐτὸ αἰτία ἀνθέλκῃ. ὥσπερ οὖν τὸ γεῶδες ὄστρεον περικειμένῃ ἀνάγκη ἐπὶ γῆς ἐνίσχεσθαι· οὕτω καὶ ὑγρὸν πνεῦμα ἐφελκομένῃ, εἴδωλον περικεῖσθαι ἀνάγκη. ὑγρὸν δὲ ἐφέλκεται, ὅταν συνεχῶς μελετήσῃ ὁμιλεῖν τῇ φύσει, ἧς ἐν ὑγρῷ τὸ ἔργον, καὶ ὑπόγειον μᾶλλον· ὅταν δὲ μελετήσῃ ἀφίστασθαι φύσεως, αὐγὴ ξηρὰ γίνεται, ἄσκιος καὶ ἀνέφελος. ὑγρότης γὰρ ἐν ἀέρι νέφος συνίστησι· ξηρότης δὲ ἀπὸ τῆς ἀτμίδος αὐγὴν ξηρὰν ὑφίστησιν.

ΛΓ'. Τὰ κατηγορούμενα τοῦ αἰσθητοῦ καὶ ἐνύλου ἀληθῶς ἐστι ταῦτα· τὸ πάντη εἶναι διαπεφορημένον, τὸ μετάβλητον εἶναι, τὸ ὑφεστάναι ἐν ἑτερότητι, τὸ σύνθετον εἶναι, τὸ καθ' ἑαυτὸ αὐτὸ [l. οὐχ] ὑπάρχειν, τὸ ἐν τόπῳ, τὸ ἐν ὄγκῳ θεωρεῖσθαι, καὶ οἷα [l. ὅσα] τούτοις παραπλήσια· τοῦ δὲ ὄντως ὄντος, καὶ καθ' ἑαυτὸ ὑφεστηκότος αὐτοῦ, τὸ εἶναι ἀεὶ ἐν ἑαυτῷ ἱδρυμένον, ὡσαύτως τὸ κατὰ ταὐτὰ ἔχειν, τὸ ἐν ταυτότητι [l. αὐτότητι] οὐσιῶσθαι, τὸ

XXXII. Quemadmodum hoc est animæ esse in terra, non sic in terris versari sicuti corpora; sed præesse corpori in terris versanti: ita esse in inferno est animæ, quando simulacro præest, quod naturam quidem talem habet ut sit in loco, subsistentiam vero in tenebris obtinet. Quare si infernus subterraneus et tenebrosus locus est, anima licet non abstracta et divulsa ab ente in inferno existit, attrahens sibi simulacrum. Exeuntem enim eam ex solido corpore comitatur etiam spiritus, quem ex sphæris collectum habebat. Sed cum ex affectu erga corpus rationem partialem objectam habeat, secundum quam habitudinem quamdam erga istiusmodi corpus obtinebat dum viveret, ex affectu illo propenso figura imaginationis imprimitur spiritui, atque ita simulacrum attrahitur. In inferno autem esse dicitur, quoniam informem obscuramque naturam nactus est spiritus. Et quoniam gravis humidusque spiritus usque ad subterranea loca pertingit, hac ratione et ipsa terram subire dicitur: non quod ipsa illa substantia de loco in locum transeat, et in locis existat; sed quia transeuntium sua natura per loca et loca obtinentium corporum habitudines suscipit; suscipientibus ipsam hujusmodi corporibus pro cujusque aptitudine, ex certa quadam dispositione erga illam. Nam prout disposita fuerit, ita corpus suo ordini, proprietatibusque definitum invenit. Ideoque purius disposita corpus quam proxime ad immateriale accedens, ætherium scilicet, adjunctum est: progressæ autem a ratione ad objectum imaginationis, corpus solare adnascitur: sed effeminatæ et formarum amore captæ adjungitur corpus lunare. Delapsam vero in corpora, cum secundum informem ejus speciem ex humidis vaporibus composita existant, perfecta entis ignorantia et caligo atque infantia sequitur. Et sane in ipso egressu, gerens adhuc spiritum ob humidam evaporationem turbatum, umbram attrahit, et prægravatur, spiritu ejusmodi sua natura in terræ fundum contendente, nisi alia quædam causa ipsum in contrariam partem retrahat. Quemadmodum igitur terrena hac testa circumtectam in terra degere necessum est; ita etiam humidum spiritum attrahens, simulacrum necessario adjunctum habet. Attrahit autem humorem, cum perpetuo adesse studet naturæ, cujus operatio in humore consistit, et quæ subterranea potius est. Ubi autem operam dederit ut a natura secedat, splendor siccus existit, nulla umbra, nec nube obscuratus. Humiditas enim nebulam in aere constituit: siccitas vero ex halitione splendorem siccum sudumque producit.

XXXIII. Hæc de sensibili et materiali vere affirmantur: esse omnino extensum seu diffusum, esse mutabile, subsistere in alteratione, esse compositum, ipsum per semetipsum [non] existere; in loco, et mole corporea conspici: aliaque his similia. At de vero ente et per semetipsum subsistente hæc prædicantur: semper in semetipso situm esse, eodem modo atque secundum idem se habere, ipsa substantia in identitate consistere, esse immutabile

ἀμετάβλητον εἶναι κατ' οὐσίαν, τὸ ἀσύνθετον, τὸ μήτε λυτὸν, μήτε ἐν τόπῳ εἶναι, μήτε εἰς ὄγκον διαπεφορῆσθαι, τὸ μήτε γινόμενον, μήτε ἀπολλύμενον εἶναι, καὶ ὅσα τοιαῦτα. ὧν ἐχομένους δεῖ μηδ' ἐπ' ἄλλων τὰς [l. μηδὲν ἐπαλλάττοντας] περὶ τῆς διαφόρου αὐτῶν φύσεως, καὶ αὐτοὺς λέγειν, καὶ ἄλλων λεγόντων ὑπακούειν.

ΛΔ'. Ἄλλαι ἀρεταὶ [add. αἱ] τοῦ πολιτικοῦ, καὶ ἄλλαι [add. αἱ] τοῦ πρὸς θεωρίαν ἀνιόντος καὶ διὰ τοῦτο λεγομένου θεωρητικοῦ, καὶ ἤδη θεατοῦ. καὶ ἄλλαι αἱ τοῦ νοῦ, καθὸ νοῦς, καὶ ἀπὸ ψυχῆς καθαρός. αἱ μὲν τοῦ πολιτικοῦ ἐν μετριοπαθείᾳ κείμεναι, τὸ ἕπεσθαι [l. ἐν μετριοπαθείᾳ τοῦ ἀλόγου κείμεναι, τῷ ἕπ.] καὶ ἀκολουθεῖν τῷ λογισμῷ τοῦ καθήκοντος κατὰ τὰς πράξεις. διὸ πρὸς κοινωνίαν βλέπουσαι τὴν ἀβλαβῆ τῶν πλησίον, ἐκ τοῦ συναγελασμοῦ [add. καὶ] τῆς κοινωνίας πολιτικαὶ λέγονται. καὶ ἔστι φρόνησις μὲν περὶ τὸ λογιζόμενον· ἀνδρία δὲ περὶ τὸ θυμούμενον σωφροσύνη δὲ ἐν ὁμολογίᾳ καὶ συμφωνίᾳ ἐπιθυμητικοῦ πρὸς λογισμόν· δικαιοσύνη δὲ ἑκάστῳ [l. ἡ ἑκάστου] τούτων ὁμοῦ οἰκειοπραγία, ἀρχῆς πέρι καὶ ἄρχεσθαι. αἱ δὲ τοῦ πρὸς θεωρίαν προκόπτοντος ἐν ἀποστάσει κεῖνται τῶν ἐντεῦθεν [l. ἐνταῦθα]· διὸ καὶ καθάρσεις αὗται λέγονται, ἐν ἀποχῇ θεωρούμεναι, τῶν μετὰ [l. τῶν τοῦ] σώματος πράξεων, καὶ συμπαθειῶν τῶν πρὸς αὐτό. αὗται μὲν γὰρ τῆς ψυχῆς ἀφισταμένης πρὸς τὸ ὄντως ὄν. αἱ δὲ πολιτικαὶ τὸν θνητὸν ἄνθρωπον κατακοσμοῦσαι· καὶ πρόδρομοί τε αἱ πολιτικαὶ τῶν καθάρσεων. δεῖ γὰρ κοσμηθέντα κατ' αὐτὰς ἀποστῆναι τοῦ σὺν τοῖς σώμασι [l. τοῦ σὺν σώματι] πράττειν τι προηγουμένως. διὸ ἐν ταῖς καθάρσεσι τὸ μὲν μὴ δοξάζειν [l. συνδοξάζειν] τῷ σώματι, ἀλλὰ μονον [l. μόνην] ἐνεργεῖν ὑφίστησι τὸ φρονεῖν· ὃ διὰ τοῦ καθαρῶς νοεῖν τελειοῦται. το δέ γε μὴ ὁμοπαθεῖν συνίστησι τὸ σωφρονεῖν. τὸ δὲ μὴ φοβεῖσθαι ἀφισταμένην του σώματος, ὡς εἰς κενόν τι καὶ μὴ ὄν, τὴν ἀνδρίαν. ἡγουμένου δὲ λόγου καὶ νοῦ, καὶ μηδενὸς ἀντιτείνοντος, η δικαιοσύνη. ἡ μὲν οὖν κατὰ τὰς πολιτικὰς αρετὰς διάθεσις ἐν μετριοπαθείᾳ θεωρεῖται, τέλος ἔχουσα τὸ ζῆν ὡς ἄνθρωπον κατὰ φύσιν. ἡ δὲ κατὰ τὰς θεωρητικὰς ἐν ἀπαθείᾳ· ἧς τέλος ἡ πρὸς θεὸν ὁμοίωσις. ἐπεὶ δὲ [καὶ] κάθαρσις, ἡ μέν τις ἦν καθαρεύουσα [l. καθαίρουσα], ἡ δὲ κεκαθαρμένων· αἱ καθαρτικαὶ ἀρεταὶ κατ' ἄμφω θεωροῦνται τὰ σημαινόμενα τῆς καθάρσεως. καθαίρουσί τε γὰρ τὴν ψυχὴν, καὶ καθαρθείσῃ σύνεισι. τέλος γὰρ τὸ κεκαθάρθαι τοῦ καθαίρειν. ἀλλ' ἐπεὶ τὸ καθαίρειν καὶ κεκαθάρθαι ἀφαίρεσις ἦν παντὸς τοῦ ἀλλοτρίου, τὸ ἀγαθὸν ἕτερον ἂν εἴη τοῦ καθαίροντος. ὡς εἴγε πρὸ τῆς ἀκαθαρσίας ἀγαθὸν ἦν τὸ καθαιρόμενον, ἡ κάθαρσις ἤρκει. ἀλλ' ἀρέσκει [l. ἀρκέσει] μὲν ἡ κάθαρσις, τὸ δὲ καταλειπόμενον ἔσται το ἀγαθὸν, οὐχ ἡ κάθαρσις. ἀλλ' ἡ ψυχῆς φύσις οὐκ ἦν ἀγαθὸν, ἀλλ' ἀγαθοῦ μετέχειν δυναμένη καὶ ἀγαθοειδές. οὐ γὰρ ἂν ἐγένετο ἐν κακῷ τὸ οὖν ἀγαθὸν αὐτῇ ἐν τῷ συνεῖναι τῷ γεννήσαντι κακία δὲ το τοῖς υστέροις

secundum substantiam, non compositum, nec dissolubile, nec in loco, nec mole distentum, nec ortum esse, nec interire : et quæ his sunt similia. Quam regulam sequentes, nihil immutatum vel alienum de diversa ipsorum natura, nec nosmetipsos loqui, nec alios loquentes audire convenit.

XXXIV. Aliæ sunt virtutes politici; aliæ tendentis ad contemplationem; quem et contemplativum idcirco, vel etiam contemplantem vocant. et aliæ mentis, qua mens, et ab animæ consortio pura. Virtutes politici in moderatione passionum positæ, hæ sunt : rationis ductum in vitæ officiis actionibusque sequi, et illi obtemperare; ideoque cum eo spectent, ne proximus ex conversatione nostra aliquid damni capiat, ex civilis conversationis congregatione politicæ vocantur. Et prudentia quidem circa partem rationalem versatur : fortitudo circa irascentem : temperantia autem in consensu atque concentu partis concupiscibilis cum ratione. justitia vero, ut singulæ harum proprio suo officio fungantur in imperando et obtemperando. At virtutes hominis ad contemplationem contendentis consistunt in abscessu ab inferioribus hisce. ideo et purgationes eædem appellantur; quæ in abstinentia ab actionibus quæ corporis ministerio fiunt, et ab affectionibus erga corpus, spectantur. Hæ enim virtutes sunt animæ ad verum ens sese elevantis. At civiles hominem mortalem exornant, et præcedunt more anteambulonum purgationes. Hisce enim exornatum abstinere oportet ab actionibus, quæ primo et præcipue corporis opera fiunt. Ideoque in purgationibus prudentia est, non sequi opiniones corporis, sed per se solum operari. quod puro intelligendo perficitur. At ne iisdem cum corpore affectionibus abripiatur, id temperantia præstat. Fortitudo autem, ne metuatur discessus a corpore, quasi in inane et non ens. Si vero ratio et mens principatum obtineat, nullo reluctante, ea justitia est. Quocirca habitus secundum politicas virtutes in moderatione passionum spectatur : finem hunc sibi propositum habens, ut hominem decet secundum naturam vivere. At habitus secundum virtutes theoreticas, in carentia seu vacuitate affectionum cujus finis est similitudo cum Deo. Quoniam vero purgatio alia quidem est purgans, alia purgatorum, purgativæ virtutes secundum utramque purgationis significationem spectantur. Nam et animam expurgant, et adsunt purgatæ. Finis enim purgandi est purum evadere. Cumque et purgatio et puritas quasi ablatio quædam sit omnis alieni, utique bonum aliud quid erit a purgante. Adeo ut si ante contractam impuritatem bonum fuerit quod purgatur, sufficiat ipsa purgatio. Verum purgatio quidem sufficiet; quod autem post eam reliquum quæritur, bonum erit, non purgatio. At natura animæ non est bonum, sed quod particeps boni fieri potest, et boniforme. alias non incideret in malum. Bonum ergo ejus consistit in eo, si auctori suo conjungatur. malum autem ejus, si rebus inferioribus. Et duplex quidem malum. primum

καὶ διπλῆ γε κακία τό, τε τούτοις συνεῖναι, καὶ μετὰ παθῶν ὑπερβολῆς· διὸ πᾶσαι αἱ πολιτικαὶ ἀρεταί, μιᾶς γοῦν αὐτὴν κακίας ἀπαλλάττουσαι, ἀρεταὶ ἐκλήθησαν καὶ τίμιοι. αἱ δὲ καθαρτικαί, τιμιώτεραι, καὶ τῆς ὡς ψυχὴν κακίαν [ l. ὡς ψυχικῆς κακίας ] ἀπαλλάττουσαι. δεῖ τοίνυν καθηραμένην αὐτὴν συνεῖναι τῷ γεννήσαντι. καὶ ἀρετὴ ἄρα αὐτῆς μετὰ τὴν ἐπιστροφὴν αὐτὴ πάρεστιν [ l. αὕτη, ἥπερ ἐστὶν ] ἐν γνώσει καὶ εἰδήσει τοῦ ὄντος· οὐχ ὅτι οὐκ ἔχει παρ' αὐτῇ ταύτην, ἀλλ' ὅτι ἄνευ τοῦ πρὸ αὐτῆς οὐχ ὁρᾷ τὰ αὐτῆς. Ἄλλο οὖν γένος τρίτον ἀρετῶν μετὰ τὰς καθαρτικὰς καὶ πολιτικάς, νοερῶς τῆς ψυχῆς ἐνεργούσης. σοφία μὲν καὶ φρόνησις ἐν θεωρίᾳ ὧν νοῦς ἔχει· δικαιοσύνη δέ, οἰκειοπραγία ἐν τῇ πρὸς τὸν νοῦν ἀκολουθίᾳ καὶ τὸ [ l. τῷ ] πρὸς τὸν νοῦν ἐνεργεῖν. σωφροσύνη δέ, ἡ εἴσω πρὸς νοῦν στροφή. ἡ δὲ ἀνδρία, ἀπάθεια, καθ' ὁμοίωσιν τοῦ πρὸς ὃ βλέπει, ἀπαθὲς ὂν τὴν φύσιν. καὶ ἀντακολουθοῦσί γε αὗται ἀλλήλαις, ὥσπερ καὶ ἄλλαι. Τέταρτον δὲ εἶδος ἀρετῶν, τὸ τῶν παραδειγματικῶν, αἵπερ ἦσαν ἐν τῷ νῷ· κρείττους οὖσαι τῶν ψυχικῶν, καὶ τούτων παραδείγματα· ὧν καὶ τῆς ψυχῆς ἦσαν ὁμοιώματα. νοῦς μὲν ἐν ᾧ ἅμα πάντα, ὥσπερ παραδείγματα. ἐπιστήμη δέ, ἡ φρόνησις. σοφία δὲ γινώσκων ὁ νοῦς· τὸ δὲ πρὸς αὐτόν, ἡ σωφροσύνη. τὸ δὲ οἰκεῖον ἔργον [ δικαιοσύνη ] ἡ οἰκειοπραγία. ἡ δὲ ἀνδρία, ἡ ταυτότης, καὶ τὸ ἐφ' ἑαυτοῦ μένειν καθαρόν, διὰ δυνάμεως περιουσίας. Τέτταρα τοίνυν ἀρετῶν γένη πέφηνεν· ὧν αἱ μὲν ἦσαν τοῦ νοῦ, αἱ παραδειγματικαί, καὶ σύνδρομοι αὐτοῦ τῇ οὐσίᾳ· αἱ δὲ ψυχῆς πρὸς νοῦν ἐνορώσης ἤδη, καὶ πληρουμένης ἀπ' αὐτοῦ· αἱ δὲ [ ὡς ] ψυχῆς ἀνθρώπου, καθαιρομένης τε καὶ καθαρθείσης ἀπὸ σώματος καὶ τῶν ἀλόγων παθῶν· αἱ δὲ ψυχῆς ἀνθρώπου κατακοσμούσης τὸν ἄνθρωπον, διὰ τὸ μέτρα τῇ ἀλογίᾳ ἀφορίζειν, καὶ μετριοπάθειαν ἐνεργάζεσθαι. καὶ ὁ μὲν ἔχων τὰς μείζους, ἐξ ἀνάγκης ἔχει καὶ τὰς ἐλάττους· οὐ μὴν τοὔμπαλιν· οὐκέτι μέντοι τῷ ἔχειν καὶ τὰς ἐλάττους ὁ ἔχων τὰς μείζους ἐνεργήσει κατὰ τὰς ἐλάττους προηγουμένως, ἀλλὰ μόνον κατὰ περίστασιν τὴν τῆς γενέσεως. ἄλλοι γὰρ οἱ σκοποί, ὥσπερ εἴρηται, καὶ κατὰ γένος διαφέρονται. τῶν γὰρ πολιτικῶν, μέτρον ἐπιθεῖναι τοῖς πάθεσι πρὸς τὰς πρακτικὰς τὰς κατὰ φύσιν ἐνεργείας. τῶν δὲ καθαρτικῶν, τελέως τῶν παθῶν ἀποστῆσαι τῶν δὲ πρὸς νοῦν ἐνεργῆσαι, μηδὲ τοῦ ἀποστῆσαι ἐκ τῶν παθῶν εἰς ἔννοιαν ἀφικνουμένους· τῶν δὲ λοιπῶν ἀναλόγως τοῖς εἰρημένοις· διὸ καὶ ὁ μὲν κατὰ τὰς πρακτικὰς ἐνεργῶν, σπουδαῖος ἦν ἄνθρωπος. ὁ δὲ κατὰ τὰς καθαρτικάς, δαιμόνιος ἄνθρωπος, ἢ καὶ δαίμων ἀγαθός. ὁ δὲ κατὰ μόνας τὰς πρὸς νοῦν, θεός. ὁ δὲ κατὰ τὰς παραδειγματικάς, θεῶν πατήρ. ἐπιμελητέον οὖν μάλιστα τῶν καθαρτικῶν ἡμῖν, σκεψαμένοις ὅτι τούτων μὲν ἡ τεῦξις ἐν τῷ βίῳ τούτῳ· διὰ τούτων δέ, καὶ ἡ εἰς τὰς τιμιωτέρας ἄνοδος. διὸ θεωρητέον, ἄχρι τίνος καὶ ἐπὶ πόσον οἷά τε παραλαμβάνεσθαι ἡ κάθαρσις· ἔστι μὲν γὰρ ἀπόστασις σώματος καὶ τῆς

quod inferioribus conjungatur : tum quod cum nimia passionum vehementia id fiat. Ideoque omnes politicæ virtutes, quæ ab uno eam malo liberant, virtutum nomen pretiumque meruerunt. Purgativæ autem præstantiores, liberantes eam a malo, quatenus anima est. Quapropter purgatam cum auctore suo conjungi oportet : quare et virtus ejus post conversionem consistit in cognitione atque scientia veri entis, non quod ea destituta sit, sed quod sine eo quod ipsam antecedit non videt quæ in se habet. Restat ergo aliud quoddam tertium genus virtutum post purgativas ac politicas, animæ intellectualiter operantis. Hic sapientia et prudentia in contemplatione eorum quæ mens habet. Justitia proprii muneris functio, dum mentem sequitur, et secundum mentem operatur. Temperantia autem, conversio intrinsecus ad mentem. Fortitudo, passionum carentia, ad similitudinem ejus ad quod respicit, quod natura sua est impassibile. Et hæ quidem semet invicem sequuntur, ut et cæteræ. Quartum genus virtutum est exemplarium, quæ in mente existunt, et animæ virtutibus longe antestant : suntque hæ illarum exemplaria, sicuti et animæ virtutes harum erant similitudines. Et mens quidem est in qua simul sunt omnia, velut exemplaria : scientia vero prudentiæ instar est · sapientia autem intellectus cognoscens. Quod autem ad semetipsum convertitur, temperantia. Quod proprio munere fungitur, id proprium justitiæ officium. Fortitudo autem, quod in eodem semper statu et pura in semetipsa ob virium præstantiam permanet. Quattuor ergo virtutum genera ostendimus, quarum aliæ quidem erant mentis, exemplares scilicet, quæ cum ipsa substantia ejus concurrunt : aliæ vero animæ, ut animæ jam ad mentem respicientis, et ab ea repletæ : aliæ autem animæ hominis in purgando occupatæ, aut jam a corpore brutisque passionibus purgatæ : aliæ vero animæ hominis exornantis hominem, eo quod terminos modumque irrationali facultati præstituit, et passionum moderationem induxit. Et is quidem qui majores obtinet, obtinet etiam necessario minores, sed non vice versa. Neque enim majoribus instructus, quia et minores possidet, ideo primo et præcipue secundum minores operabitur; sed tantum secundum mortalis conditionis circumstantiam. Scopi enim, uti dictum est, secundum genera differunt. Scopus enim politicarum est modum adhibere affectibus, ad actiones ex naturæ præscripto obeundas : purgativarum vero, affectuum penitus memoriam delere : aliarum vero, consentanea intellectui agere, ac ne quidem de affectibus deserendis cogitare. Cæterarum autem scopi, pro ratione illorum quæ diximus. Ideoque qui secundum practicas virtutes operatur, vir probus est · qui secundum purgativas, homo dæmonius, sive divinus, seu genius bonus. Qui vero secundum solas intellectuales, deus. At qui secundum exemplares, deorum pater. Imprimis ergo purgativis nos studere oportet, id animadvertentes, eas in hac vita obtineri posse : et per eas deinde gradus patere ad excellentiores. Ideoque videndum quousque et in quantum purgatio percipi possit. Est enim divortium a corpore et ab irrationali passionum

ἀλόγου παθητικῆς κινήσεως· πῶς δ' ἂν γένοιτο καὶ μέχρι τίνος, ῥητέον.

Πρῶτον μὲν οἷον θεμέλιος καὶ ὑποβάθρα τῆς καθάρσεως, τὸ γνῶναι ἑαυτὸν, ψυχὴν ὄντα ἐν ἀλλοτρίῳ πράγματι καὶ ἑτερουσίῳ συνδεδεμένην.

Δεύτερον, τὸ ἀπὸ τούτου ὁρμώμενον τοῦ πιέσματος [l. πείσματος] συνάγειν αὐτὸν ἀπὸ τοῦ σώματος, καὶ τοῖς οἷον τόποις, πάντως γε μὴν ἀπαθῶς πρὸς αὐτὸ διατιθέμενον. ἐνεργῶν μὲν γάρ τις συνεχῶς κατ' αἴσθησιν, κἂν μὴ μετὰ προσπαθείας καὶ τῆς τοῦ ἥδεσθαι ἀπολαύσεως τοῦτο ποιῇ· ἀλλ' οὖν ἐσκέδασται [ὁ] περὶ τὸ σῶμα, συναφὴς αὐτῷ κατ' αὐτὴν γινόμενος· προσπάσχομεν δὲ ταῖς τῶν αἰσθητῶν ἡδοναῖς ἢ λύπαις σὺν προθυμίᾳ καὶ ἐπινεύσει συμπαθεῖ. ἀφ' ἧς δὴ μάλιστα διαθέσεως αὐτὸν προσήκει καθαίρειν· τοῦτο δ' ἂν γένοιτο, εἰ καὶ τὰς ἀναγκαίας τῶν ἡδονῶν, καὶ τὰς αἰσθήσεις, ἰατρείας ἕνεκα μόνον τις παραλαμβάνει, ἢ ἀπαλλαγὴν πόνων, ἵνα μὴ ἐμποδίζοιτο. ἀφαιρετέον δὲ καὶ τὰς ἀλγηδόνας. εἰ δὲ μὴ οἷόν τε εἴη, πράως οἰστέον ἐλάττους τιθέντα τῷ μὴ συμπάσχειν. τὸν δὲ θυμὸν, ὅσον οἷόν τε, ἀφαιρετέον· καὶ μὴ μελετητέον πάντη. εἰ δὲ μὴ, μὴ αὐτῷ γοῦν συναναμιγνύναι τὴν προαίρεσιν, ἀλλ' ἄλλου εἶναι τὸ ἀπροαίρετον. τὸ δ' ἀπροαίρετον ἀσθενὲς καὶ ὀλίγον. τὸν δὲ φόβον, πάντη· περὶ οὐδενὸς γὰρ φοβήσεται. τὸ δ' ἀπροαίρετον, καὶ ἐνταῦθα. χρηστέον δὲ ἄρα καὶ θυμῷ καὶ φόβῳ ἐν νουθετήσει. ἐπιθυμίαν δὲ παντὸς φαύλου ἐξοριστέον. σιτίων δὲ καὶ ποτῶν οὐχ αὐτὸς ἕξει, ᾗπερ αὐτός. ἀφροδισίων δὲ τῶν φυσικῶν, οὐδὲ τὸ ἀπροαίρετον· εἰ δ' ἄρα ὅσον μέχρι φαντασίας προπετοῦς, τῆς κατὰ τοὺς ὕπνους. ὅλως δὲ αὐτὴ μὲν πάντων ἡ ψυχὴ, ἡ νοερὰ τοῦ καθαιρομένου τούτων ἔστω καθαρά. βουλέσθω δὲ καὶ τὸ κινούμενον πρὸς τὸ ἄλογον τῶν σωματικῶν παθῶν ἀσυμπαθῶς κινεῖσθαι καὶ ἀπροσέκτως· ὥστε καὶ τὰς κινήσεις εὐθὺς λύεσθαι τῇ γειτνιάσει τοῦ λογιζομένου. οὐκ ἔσται τοίνυν μάχη προκοπτούσης τῆς καθάρσεως· ἀλλὰ λοιπὸν παρὼν ὁ λόγος ἀρκέσει. ὃν τὸ χεῖρον αἰδέσεται, ὥστε καὶ αὐτὸ τὸ χεῖρον δυσχερᾶναι, ἂν ὅλως κινηθῇ· ὅτι μὴ ἡσυχίαν ἦγε παρόντος τοῦ δεσπότου, καὶ ἀσθένειαν ἑαυτῷ [l. αὐτῷ] ἐπιτιμῆσαι. καὶ αὗται μὲν ἔτι μετριοπάθειαι, ἐπίτασιν εἰς ἀπάθειαν λαμβάνουσαι. ὅταν δὲ παντελῶς τὸ συμπαθὲς ἐκκαθαρθῇ, σύνεστι τούτῳ τὸ ἀπαθές· ὅτι καὶ τὸ πάθος τὴν κίνησιν ἐλάμβανε, τοῦ λογισμοῦ τὸ ἐνδόσιμον διὰ τῆς ῥοπῆς παρεσχηκότος.

ΛΕ'. Ἕκαστον κατὰ τὴν ἑαυτοῦ φύσιν ἔστι που, εἰ ὅλως ἔστι που, οὐ μήν τοι παρὰ τὴν φύσιν. σώματι μὲν οὖν ἐν ὕλῃ καὶ ὄγκῳ ὑφεστῶτι τὸ εἶναί που ἔστι τὸ ἐν τόπῳ εἶναι· διὸ καὶ τῷ σώματι τοῦ κόσμου ἐνύλῳ καὶ ἐνόγκῳ ὄντι, τὸ πανταχοῦ εἶναι ὑπῆρξεν ἐν διαστάσει τε καὶ τόπῳ διαστάσεως· τῷ δὲ νοητῷ κόσμῳ, καὶ ὅλως τῷ ἀΰλῳ καὶ καθ' αὑτὸ ἀσωμάτῳ, ἀόγκῳ ὄντι καὶ ἀδιαστάτῳ, οὐδ' ὅλως τὸ ἐν τόπῳ πρόσεστιν. ὥστε τὸ εἶναι πανταχοῦ τῷ ἀσωμάτῳ οὐκ ἦν τοπικόν

motu. Quomodo autem et quatenus obtingat, nunc dicendum.

Primo quidem veluti fundamentum et basis purgationis est, noscere semetipsum animam esse in re aliena substantiæ prorsus diversæ devinctam.

Secundo, quod ab hoc fundamento exsurgit [*corr.* quod ab hac persuasione proficiscitur]: colligere semetipsum a corpore et quasi e diversis locis, ita ut omnino liber sis ab ejus affectionibus. Nam dum quis frequenter secundum sensum operatur, licet non cum propensione affectus, et voluptatis perceptione id faciat, distrahitur nihilominus corporis cura, dum per sensum cum eo conjungitur. Sed et sensibilium voluptatibus doloribusve cum animi quadam inclinatione et affectus propensione afficimur. Ab hujusmodi autem dispositione vel inprimis se purgare oportet. Id autem fiet, si necessarias etiam voluptates sensusque medelæ tantum causa admittat, aut doloribus propulsandis, ne impediatur. Tollendi autem et dolores. Aut si id fieri non possit, æquanimiter ferendi erunt, minores reddendo, eo quod sensu eorum non afficimur. Ira autem, quantum fieri poterit, tollenda; nec ullo modo meditato consilio agitanda. Id si nequeat, saltem non admiscendum ei animi propositum; ut alterius sit subita nec præmeditata commotio. Quicquid autem absque animi proposito fit, id invalidum et exiguum est. Metus vero omnis tollendus: nihil enim metuet. Sed et hic animi propositum absit. Verum enimvero utendum et ira et metu in admonendo. Omnis etiam mali cupiditas exterminanda. Cibo autem et potui non ipse, qua ipse, indulgebit. At rerum venerearum naturalium ne subitos quidem et involuntarios motus sentiat: aut saltem cum levissima imaginatione, qualis per somnum animo obversatur. At ipsa intellectualis anima hominis purgati ab omnibus hisce prorsus sit pura. Studeat quoque, ut corporalium affectionum motus ad irrationale voluntate nec consentiente nec advertente moveantur: adeo ut motus isti rationis vicinia statim elanguescant. Non ergo erit pugna, proficiente purgatione, sed porro ratio præsens sufficiet. Quam sequior illa pars verebitur: adeo ut indignetur ipsa pars deterior, si omnino commota fuerit, eo quod præsente domino non quieverit; et impotentiam sibimetipsi exprobret. Et hæ quidem adhuc moderatæ passiones sunt, quæ tandem in vacuitatem affectuum proficiunt. Nam ubi omnis compassio demum expurgata fuerit, tum vacuitas passionum adest: quia hinc affectus motum accipiebat, quod ratio sua propensione quasi frenum laxaret.

XXXV. Unumquodque secundum naturam suam alicubi est; si modo sit alicubi, non præter naturam. Corpori igitur in materia et mole subsistenti esse alicubi est esse in loco; ideoque corpori mundano, utpote materiali et mole prædito, esse ubique constitit in intervallo et loco intervalli: mundo autem intellectuali, et omni omnino rei immateriali, utpote nulla mole prædito, nec ullo intervallo extenso, nullo quoque modo adest esse in loco. Adeo ut esse ubique incorporeo non sit locale.

οὔτε ἄρα μέρος μέντοι ἔσται αὐτοῦ τῇδε, μέρος δὲ τῇδε. οὐκέτι γὰρ ἐκτὸς ἔσται τόπου, οὐδὲ [ἀ]διάστατον· ἀλλ' ὅλον ἐστὶν, ὅπου καὶ ἐστίν. οὔτε ἐνθάδε μὲν ἐστιν, ἀλλαχοῦ δὲ οὔ. κατειλημμένον γὰρ ἔσται ὑπὸ τόπου τῇδε· ἀφεστηκὸς δὲ τοῦ ἐκεῖσε. οὐδὲ πόῤῥω μὲν τοῦδε, ἐγγὺς μέντοι τοῦδε. ὡς τὸ πόῤῥω καὶ ἐγγὺς τῶν ἐν τόπῳ πεφυκότων εἶναι λέγεται, κατὰ μέτρα διαστημάτων. ὅθεν ὁ μὲν κόσμος τῷ νοητῷ διαστατικῶς πάρεστι· τὸ δὲ ἀσώματον τῷ κόσμῳ, ἀμερῶς καὶ ἀδιαστάτως· τὸ δ' ἀμερὲς ἐν διαστατῷ ὅλον γίνεται κατὰ πᾶν μέρος, ταυτὸν ὂν καὶ ἓν ἀριθμῷ. τῷ μὲν ἄρα πεπληθυσμένῳ φύσει, καὶ μεμεγεθυσμένῳ, τὸ ἀμερὲς καὶ ἀπλήθυντον μεμεγέθυνται καὶ πεπλήθυνται· καὶ οὕτως αὐτοῦ ἀπολαύει ὡς αὐτὸ πέφυκεν, οὐχ ὡς ἐκεῖνό ἐστι. τῷ δ' ἀμερεῖ καὶ ἀπληθύντῳ φύσει ἀμερές ἐστι καὶ ἀπλήθυντον τὸ μεριστὸν καὶ πεπληθυσμένον, καὶ οὕτως αὐτῷ πάρεστι· τουτέστιν, αὐτὸ ἀμερῶς πάρεστι καὶ ἀπληθύντως, καὶ ἀτόπως, κατὰ τὴν αὐτοῦ φύσιν, τῷ μεριστῷ καὶ πεπληθυσμένῳ φύσει, καὶ ὄντι ἐν τόπῳ· τὸ δὲ μεριστὸν, πεπληθυσμένον καὶ ἐν τόπῳ πάρεστι θατέρῳ τούτων ἐκτὸς ὄντι μεριστῶς καὶ πεπληθυσμένως καὶ τοπικῶς. δεῖ τοίνυν ἐν ταῖς σκέψεσι κατακρατοῦντας τῆς ἑκατέρου ἰδιότητος, μὴ ἐπαλλάττειν τὰς φύσεις· μᾶλλον δὲ τὰ προσόντα τοῖς σώμασιν ἢ τοιαῦτα μὴ φαντάζεσθαι καὶ δοξάζειν περὶ τὸ ἀσώματον. οὐ γὰρ ἂν τὰ ἴδιά τις τοῦ καθαρῶς ἀσωμάτου προσγράψειε τοῖς σώμασι. τῶν μὲν γὰρ σωμάτων ἐν συνηθείᾳ πᾶς· ἐκείνων δὲ μόλις ἐν γνώσει γίνεται, ἀοριστῶν περὶ αὐτὰ, οὐχ ὅτι καὶ αὐτόθεν ἐπιβάλλων, ἕως ἂν ὑπὸ φαντασίας κρατῆται. οὕτως οὖν ἐρεῖς· εἰ τὸ μὲν ἐν τόπῳ καὶ ἔξω ἑαυτοῦ, ὅτι εἰς ὄγκον προελήλυθε· τὸ νοητὸν οὔτε ἐν τόπῳ, καὶ ἐν ἑαυτῷ, ὅτι οὐκ εἰς ὄγκον προελήλυθεν. εἰ τὸ μὲν εἰκὼν, τὸ δὲ ἀρχέτυπον· τὸ μὲν πρὸς τὸ νοητὸν κέκτηται τὸ εἶναι· τὸ δὲ ἐν ἑαυτῷ. πᾶσα γὰρ εἰκὼν νοῦ ἐστιν εἰκών. καὶ ὡς μεμνημένον δεῖ τῆς ἀμφοῖν ἰδιότητος, μὴ θαυμάζειν τὸ παρηλλαγμένον ἐν τῇ συνόδῳ· εἰ δεῖ ὅλως σύνοδον λέγειν· οὐ γὰρ δὴ σωμάτων σύνοδον σκοπούμεθα, ἀλλὰ πραγμάτων παντελῶς ἐκβεβηκότων ἀπ' ἀλλήλων, κατ' ἰδιότητα ὑποστάσεως. διὸ καὶ ἡ σύνοδος ἐκβεβηκυῖα τῶν θεωρεῖσθαι εἰωθότων ἐπὶ τῶν ὁμοουσίων. οὔτε οὖν κρᾶσις, ἢ μίξις, ἢ σύνοδος, ἢ παράθεσις· ἀλλ' ἕτερος τρόπος· φαντάζων μὲν παρὰ τὰς ὁπωσοῦν γινομένας ἄλλων πρὸς ἄλλα κοινωνίας τῶν ὁμοουσίων, πασῶν δὲ ἐκβεβηκὸς τῶν πιπτουσῶν ὑπὸ τὴν αἴσθησιν. ἐν ἀπείροις μέρεσιν εἰ τύχοι τοῦ διαστατοῦ παρὸν ὅλον τὸ ἀδιάστατον· οὔτε μερισθὲν πάρεστι, τῷ μέρει διδὸν μέρος· οὔτε πληθυνθὲν τῷ πλήθει παρέσχεν ἑαυτὸ πολλαπλασιασθέν. ἀλλ' ὅλον πᾶσί τε τοῖς μέρεσι τοῦ ὠγκωμένου, ἑνί τε ἑκάστου τοῦ πλήθους καὶ παντὶ ὄγκῳ, τῷ καὶ παντὶ τῷ πλήθει πάρεστιν ἀμερῶς καὶ ἀπληθύντως, καὶ ὡς ἓν ἀριθμῷ. τὸ δὲ μερικῶς καὶ διῃρημένως ἀπολαύειν αὐτοῦ προσῆν τοῖς εἰς μέρη [ἑτέρῳ] δύναμιν ἐσκεδασμένοις· οἷς συνέβαινε πολλά-

Quare nec pars ejus erit hic, pars vero istic. Neque enim extra locum erit, nec intervallo extensum : sed totum est, ubicunque est. Neque hic quidem est, alibi vero non est. Ita enim hoc quidem loco foret comprehensum; ab isto autem loco disjunctum. Nec procul quidem ab hoc, prope vero istum : quemadmodum procul et prope dicitur de iis quæ sua natura in loco existunt, secundum spatia intervallorum. Unde mundus quidem intellectuali adest per modum extensionis seu intervalli; incorporeum autem mundo nec partibus nec spatiis divisum. Indivisum autem in disjuncto seu spatiis extenso totum existit secundum quamlibet partem, unum idemque numero existens. Ei autem quod natura multiplex et magnitudine extensum, id quod impartibile est et immultiplicabile magnitudine extenditur et multiplicatur : et ita eo fruitur prout illius fert natura, non autem quale hoc existit. Impartibili autem et immultiplicabili sua natura id quod divisum et multiplex, indivisum est nec multiplicatum; atque ita adest ei : hoc est, adest nec divisum, nec multiplicatum, nec loco circumscriptum secundum propriam suam naturam, ei quod divisibile est et sua natura multiplex, et loco comprehensum. Sed illud quod divisibile et multiplex et loco comprehensum, adest alteri horum exterius existenti divisibiliter, et multipliciter, et localiter. Quocirca in disquirendo oportet nos utriusque proprietatem servantes non confundere naturas : quin imo nec ea quæ corporibus adsunt, aut simile quid, de incorporeo imaginando concipere vel opinari. Neque enim quisquam rei pure incorporeæ proprietates corporibus adscripserit. Corporibus enim omnes assuevimus : sed in illorum cognitionem vix quisquam penetrat, dubius incertusque circa ea fluctuans, tantum abest ut pertingat atque ea comprehendat, quamdiu imaginationi est obnoxius. Sic ergo dices : si id quod est in loco, etiam extra semetipsum est, eo quod in molem corpoream processit; id quod mente percipitur, nec in loco est, et in semetipso, quia nulla mole diffusum. Si illud quidem imago, hoc vero exemplar primarium : illud quidem esse suum obtinet juxta id quod mente percipitur; hoc autem in semetipso. Omnis enim imago, mentis imago est. Sed meminisse oportet proprietatis utriusque, nec mirari eam in mutuo concursu permutationem fieri : si modo concursus sive conjunctio dicenda. Neque enim corporum concursum spectamus, sed rerum quæ omnino se invicem excedunt, secundum subsistentiæ proprietatem ideoque conjunctio hæc excedit omnia ea, quæ de ejusdem substantiæ rebus considerari solent. Quapropter nec temperamentum, vel mixtio, vel conjunctio, vel appositio est; sed modus diversus : apparens quodammodo in omnibus rerum consubstantialium ad se invicem communionibus; at excedens omnia quæ sub sensum cadunt : totum in omnibus spatio extensi partibus, licet infinitæ fuerint, præsens, ipsum nullo spatio diffusum. Nec in partes divisum adest, parti partem communicans; nec multiplicatum multitudini semetipsum multipliciter præbet. Sed totum et omnibus mole-distenti partibus et singulæ cuique uniuscujusque multitudinis, et universæ moli atque universæ multitudini indivisum, nec multiplicatum, adest, et velut unum numero. Sed particulatim divisimque eo perfrui, id iis proprium erat, quorum virtus in partes diversas distracta. Quibus sæpenumero accidit, ut propriæ na-

κις τὸ αὐτῶν ἐλάττωμα τῆς φύσεως ἐκείνῳ καταψεύδεσθαι· καὶ ἀπορεῖν γε περὶ τῆς οὐσίας ἀπὸ τῆς αὐτῆς εἰωθυίας ἢ εἰς τὴν ἐκείνης μετάβασιν.

ΛϚ'. Τὸ ὄντως ὂν οὔτε μέγα οὔτε μικρόν ἐστι· τὸ γὰρ μέγα καὶ μικρὸν, κυρίως ὄγκου ἴδια. ἐκβεβηκὸς δὲ τὸ μέγα καὶ μικρὸν καὶ ὑπὲρ τὸ μέγιστον, καὶ ὑπὲρ τὸ ἐλάχιστον, ταυτὸ καὶ ἓν ἀριθμῷ ὄν· εἰ καὶ εὑρίσκεται ἅμα ὑπὸ παντὸς μεγίστου, καὶ ὑπὸ παντὸς ἐλαχίστου μετεχόμενον. μήτε ἄρα ὡς μέγιστον αὐτὸ ὑπονοήσεις· εἰ δὲ μὴ, ἀπορήσεις, πῶς μέγιστον ὂν τοῖς ἐλαχίστοις ὄγκοις πάρεστι, μὴ μειωθὲν ἢ συσταλέν. μήτε ὡς ἐλάχιστον· εἰ δὲ μὴ, πάλιν ἀπορήσεις, πῶς ἐλάχιστον ὂν τοῖς μεγίστοις ὄγκοις πάρεστι, μὴ πολλαπλασιασθὲν ἢ αὐξηθὲν, ἢ παραταθέν. ἀλλὰ τὸ ἐκβεβηκὸς τὸν μέγιστον ὄγκον εἰς τὸ μέγιστον, καὶ τὸν ἐλάχιστον εἰς τὸ ἐλάχιστον ἅμα λαβὼν, ἐπινοήσεις πῶς ἅμα καὶ ἐν τῷ τυχόντι καὶ ἐν ἀπείροις θεωρεῖται πλήθεσί τε καὶ ὄγκοις, τὸ αὐτὸ ὂν, καὶ ἐν ἑαυτῷ μένον. σύνεστι γὰρ τῷ μεγέθει τοῦ κόσμου κατὰ τὴν αὐτοῦ ἰδιότητα ἀμερῶς τε καὶ ἀμεγέθως· καὶ φθάνει τὸν ὄγκον τοῦ κόσμου καὶ πᾶν μέρος τοῦ κόσμου περιλαβὸν τῇ ἑαυτοῦ ἀμερείᾳ. *ὥσπερ αὖ ὁ κόσμος τῇ ἑαυτοῦ πολυμερείᾳ πολυμερῶς αὐτῷ σύνεστι, καὶ καθ' ὅσον οἷόστε, καὶ οὐ δύναται αὐτὸ περιλαβεῖν, οὔτε καθόλου, οὔτε κατὰ πᾶσαν αὐτοῦ τὴν δύναμιν· ἀλλ' ἐν πᾶσιν αὐτῷ ὡς ἀπείρῳ καὶ ἀδιεξιτήτῳ ἐντυγχάνει· κατά τε ἄλλα, καὶ καθ' ὅσον ὄγκου παντὸς καθαρεύει.

ΛΖ'. Τὸ ὄγκῳ μεῖζον, δυνάμει ἔλαττον, συγκρινόμενον οὐ πρὸς τὰ ὅμοια γένη, πρὸς δὲ τὰ κατ' εἶδος ἐξηλλαγμένα, ἢ δι' ἑτερότητα οὐσίας· οἷον γὰρ ἔκβασις ἦν ἀφ' ἑαυτοῦ ὁ ὄγκος, καὶ κατακερματισμὸς τῆς δυνάμεως· τὸ ἄρα δυνάμει ὑπερέχον ὄγκου παντὸς ἀλλότριον. πεπλήρωται γὰρ ἑαυτῆς ἡ δύναμις εἰς ἑαυτὴν κεχωρηκυῖα, καὶ ἑαυτὴν δυναμοῦσα τὸ οἰκεῖον κέκτηται κράτος· διόπερ τὸ σῶμα προελθὸν εἰς ὄγκον τοσοῦτον ἀφέστηκεν ἐν ἐλαττώσει δυνάμεως τῆς τοῦ ἀσωμάτου ὄντως ὄντος δυνάμεως, ὅσον τὸ ὄντως ὂν ἐν ὄγκῳ οὐκ ἐκενώθη, μένον ἐν μεγέθει τῆς αὐτῆς διὰ τὸ ἄογκον δυνάμεως. ὡς οὖν τὸ ὄντως ὂν πρὸς ὄγκον ἀμέγεθες καὶ ἄογκον· οὕτω τὸ σωματικὸν πρὸς τὸ ὄντως ὂν ἀσθενὲς καὶ ἀδύνατον. τὸ μὲν γὰρ μεγέθει δυνάμεως μέγιστον, ὄγκου λειπόμενον. ὥστε πανταχοῦ ὢν ὁ κόσμος, πανταχοῦ ὄντος [l. ὄντως] τῷ ὄντι ὡς [l. ὃ] λέγεται πανταχοῦ εἶναι ἐντυγχάνων, περιλαβεῖν τὸ μέγεθος τῆς δυνάμεως οὐ δύναται. ἐντυγχάνει δὲ, οὐ μεριστῶς συνόντι, ἀλλ' ἀμεγέθως καὶ ἀορίστως. ἡ οὖν παρουσία, οὐ τοπικὴ, ἐξομοιωτικὴ δὲ, καθόσον οἷόντε σῶμα ὁμοιοῦσθαι ἀσωμάτῳ, καὶ ἀσώματον θεωρεῖσθαι ἐν σώματι ὁμοιουμένου [l. ὁμοιουμένῳ] αὐτῷ. καὶ οὐ πάρεστιν οὖν τὸ ἀσώματον, καθόσον ὁμοιοῦσθαι τὸ ἔνυλον τῷ καθαρῶς αὔλῳ οὐχ οἷόντε· καὶ πάρεστι καθόσον ὁμοιοῦσθαι δύναται τὸ σωματικὸν τῷ ἀσωμάτῳ· οὐ μὴν ἔτι καὶ διὰ τῆς καταδοχῆς· ἐφθάρη γὰρ ἂν ἑκάτερον· τὸ μὲν ἔνυλον δεξάμενον τὸ ἄυλον, διὰ τῆς εἰς αὐτὸ μεταβολῆς·

turæ defectu alterius naturam mentiantur: quin et dubitent de substantia, quæ a propria sua in illius videtur transiisse.

XXXVI. Verum ens nec magnum nec parvum est. Nam magnum et parvum molis corporeæ propria sunt. Verum excedit et magnum et parvum, supra utrumque, imo et supra maximum, ac minimum unum idemque numero; licet simul ab omni maximo minimoque participatione perceptum deprehendatur. Quocirca nec ut maximum animo cogites: alias enim dubitabis, quomodo illud quod est maximum, rebus minimæ magnitudinis adsit, non imminutum vel contractum: nec cogites ut minimum; iterum enim dubitabis, quomodo id quod est minimum, rebus maximæ molis adsit, non multiplicatum, vel auctum vel extensum. Verum id quod maximam molem intervallo maximo, et minimum minimo excedit simul sumens, cogitabis quomodo et in quacunque re obvia, et in quavis alia, et in infinitis multitudinibus et magnitudinibus conspiciatur, idem existens et in seipso manens. Nam et magnitudini mundi secundum ejus proprietatem adest absque divisione et magnitudine, et excedit molem mundi omnemque mundi partem indivisa sua unitate comprehendens. Ut vice versa mundus partium suarum multitudine divisus partium diversitate divisim quantumque fieri potest illi adest, neque comprehendere id valet, nec universim, nec secundum omnem suam potentiam. Sed adest ipsi in omnibus utpote infinito et impenetrabili; cum secundum alia, tum in quantum ab omni corporea mole purum existit.

XXXVII. Quod mole corporea majus est, minus virium obtinet, si comparetur non cum iis quæ simili genere conveniunt, sed quæ specie differunt, sive ob substantiæ diversitatem. Nam moles corporea quasi excessus seu egressio quædam est extra semetipsum et potentiæ in minimas particulas divisio. Idcirco quod viribus seu potentia maxime excellit, ab omni corporea magnitudine alienum est. Virtus enim ejus in semetipsam coiens plenior perfectiorque evadit, et semetipsam corroborans proprias vires obtinet. *Quapropter corpus mole extensum virium diminutione in tantum ab incorporei verique entis virtute recedit, in quantum verum ens corporea mole non consumitur aut evacuatur, permanens in ejusdem virtutis magnitudine, eo quod omni mole incorporea caret. Sicuti ergo verum ens respectu molis corporeæ omni magnitudine moleque caret: ita corporeum respectu veri entis infirmum et virtute viribusque destitutum. Quod enim virtutis magnitudine est maximum, omni mole corporea caret. Adeo ut mundus ubique existens, et vero enti vere et reipsa ubique existenti ubique præsens, magnitudinem virtutis ejus complecti nequeat. Præsens autem est, non divisim et per partes, sed citra magnitudinem atque indefinite, præsens. Præsentia ergo non localis, sed adsimulativa, in quantum corpus incorporeo adsimilari, et incorporeum in corpore sibi adsimilato contemplando percipi potest. Non adest igitur incorporeum, in quantum immateriale pure immateriali adsimilari nequit: et adest in quantum corporeum incorporeo potest adsimilari: neque id sane per comprehensionem [ cor receptionem ]: corrumperetur enim utrumque: quando quidem materiale suscipiens immateriale in illud transmu-

τὸ δὲ ἄυλον, γεγονὸς ἔνυλον· ὁμοιώσεις οὖν καὶ μετοχαὶ ἀπὸ τῶν δυνάμεων καὶ ἀδυναμιῶν εἰς τὰ οὕτως ἑτεροούσια φοιτῶσι παρ' ἀλλήλων εἰς ἄλληλα. πολὺ ἄρα τὸ ἀπὸν τῷ μὲν κόσμῳ τῆς δυνάμεως τοῦ ὄντος, τῷ δὲ ὄντι τῆς ἀδυναμίας τοῦ ἐνύλου. τὸ δ' ἐν μέσῳ ὁμοιοῦν καὶ ὁμοιούμενον, καὶ συνάπτον τὰ ἄκρα, ταυτὶ γέγονεν αἴτιον τῆς περὶ τὰ ἄκρα ἀπάτης, διὰ τὸ τῇ ὁμοιώσει προστιθέναι τῷ ἑτέρῳ τὰ ἕτερα.

ΛΗ'. Τὸ ὄντως ὂν πολλὰ λέγεται, οὐ τόποις διαφόροις, οὐδὲ ὄγκου μέτροις, οὐ σωρείᾳ, οὐ μερῶν μεριστῶν ὑπογραφαῖς, ἢ διαλήψεσιν· ἀλλ' ἑτερότητι ἀΰλῳ, καὶ ἀόγκῳ, καὶ ἀπληθύντῳ κατὰ πλῆθος διῃρημένον. διὸ καὶ ἕν· οὐχ ὡς ἓν σῶμα, οὐδὲ ὡς ἐνὶ τόπῳ· οὐδ' ὡς εἷς ὄγκος· οὐδ' ὡς ἓν πολλά. ὅτι καθὸ ἕν, ἕτερον· καὶ ἡ ἑτερότης αὐτοῦ, διῄρηται καὶ ἥνωται. οὐ γὰρ ἔξωθεν ἐπίκτητος, οὐδὲ ἐπεισοδιώδης αὐτοῦ ἡ ἑτερότης, οὐδὲ ἄλλου μεθέξει, ἀλλ' ἑαυτῷ πολλά. ταῖς γὰρ πάσαις ἐνεργείαις ἐνεργεῖ, μένον· ὅτι τὴν πᾶσαν ἑτερότητα διὰ τῆς ταυτότητος ὑπέστησεν· οὐκ ἐν διαφορότητι θατέρου πρὸς τὸ ἕτερον θεωρούμενον, καθάπερ ἐπὶ τῶν σωμάτων. ἐπὶ τούτων μὲν γὰρ ἀνάπαλιν, καὶ ἡ ἑνότης ἐν ἑτερότητι. ὡς ἂν προηγουμένης μὲν ἐν αὐτοῖς τῆς ἑτερότητος· ἔξωθεν δὲ καὶ ἐπεισοδιωδῶς τῆς ἑνότητος ἐγγενομένης. ἐπὶ γὰρ τοῦ ὄντος ἡ μὲν ἑνότης προηγεῖται καὶ ἡ ταυτότης· ἡ δὲ ἑτερότης ἐκ τοῦ ἐνεργητικὴν εἶναι τὴν ἑνότητα γέγονε. διόπερ ἐκεῖνο μὲν ἐν ἀμερεῖ πεπλήθυνται· τοῦτο δὲ, ἐν πλήθει καὶ ὄγκῳ ἥνωται. κἀκεῖνο μὲν ἐν ἑαυτῷ ἵδρυται, καθ' ἓν ὂν ἐν ἑαυτῷ· τὸ δὲ οὐδέποτε ἐν ἑαυτῷ, ὡς ἂν ἐν ἐκστάσει λαβὸν τὴν ὑπόστασιν. τὸ μὲν ἄρα ἓν παντενέργητον· τὸ δὲ πλῆθος ἑνιζόμενον. πιέζειν οὖν δεῖ, πῶς ἓν ἐκεῖνο καὶ ἕτερον· καὶ πῶς πάλιν τοῦτο, πλῆθος καὶ ἕν· καὶ μὴ ὑπαλλάττειν τὰ τοῦ ἑτέρου ἴδια εἰς τὰ θατέρῳ προσόντα.

ΛΘ'. Οὐ διὰ τὸ πλῆθος τῶν σωμάτων δεῖ νομίζειν [τὸ] πλῆθος τῶν ψυχῶν γενέσθαι· πρὸ δὲ τῶν σωμάτων εἶναι καὶ πολλὰς, καὶ μίαν, [καὶ] οὔτε τῆς μιᾶς καὶ ὅλης κωλυούσης τὰς πολλὰς ἐν αὐτῇ εἶναι, οὔτε τῶν πολλῶν τὴν μίαν εἰς αὐτὰς μεριζουσῶν. διέστησαν γὰρ, οὐκ ἀποκοπεῖσαι, οὐδὲ ἀποκερματίσασαι εἰς ἑαυτὰς τὴν ὅλην· καὶ πάρεισιν ἀλλήλαις, οὐ συγκεχυμέναι, οὐδὲ σωρὸν ποιοῦσαι τὴν ὅλην· οὔτε γὰρ πέρασίν εἰσι διειλημμέναι· οὔτε πάλιν ἀλλήλαις συγκεχυμέναι· ὥσπερ οὐδὲ αἱ ἐπιστῆμαι συνεχύθησαν αἱ πολλαὶ ἐν ψυχῇ μιᾷ, καὶ πάλιν οὐκ ἔγκειται, ὡς τὰ σώματα, τῇ ψυχῇ ἑτεροουσίως. ἀλλὰ τῆς ψυχῆς ποιαὶ ἦσαν ἐνέργειαι· ἀπειροδύναμος γὰρ ἡ τῆς ψυχῆς φύσις, καὶ καθ' ἕκαστον τὸ τυχὸν αὐτῆς, ψυχή· καὶ αἱ πᾶσαι, μία· καὶ πάλιν ἡ ὅλη ἄλλη παρὰ πάσας. ὡς γὰρ τὰ σώματα ἐπ' ἄπειρον τεμνόμενα οὐ καταλήγει εἰς ἀσώματον, κατ' ὄγκον μόνον λαμβάνοντα τῶν τμημάτων τὴν διαφοράν· οὕτω ψυχὴ εἶδος οὖσα ζωτικὸν, ἐπ' ἄπειρα κατὰ τὰ εἴδη συνείληπται. παραλλαγὰς γὰρ ἔχουσα εἰδικὰς, [l. εἰδητικὰς], καὶ ἡ ὅλη σὺν ταύταις οὖσα ἢ ἄνευ τού-

laretur; immateriale autem evaderet materiale. Quæ ergo tanta substantiæ diversitate dissident, adsimilationes et participationes virium atque imbecillitatum inter se invicem alterum alteri transfundunt. Quocirca mundus quidem longissime distat a potentia entis; ens autem a materiali impotentia. Quod autem intermedium est, adsimilans et adsimilatum, et extrema conjungens, id erroris causam circa extrema præbuit, adsimilatione alterum alteri conjungendo.

XXXVIII. Verum ens multa dicitur: non locis diversis, nec molis corporeæ dimensionibus; non coacervatione, non partium divisibilium circumscriptionibus aut comprehensionibus: sed immateriali, molisque experte et immultiplicabili diversitate secundum multitudinem divisum. Ideoque et unum est: non ut unum corpus, aut uno in loco, neque ut una moles: neque ut unum quod multa constituunt. Quia in quantum unum, diversum: et diversitas ejus divisa et unita est. Neque enim extrinsecus accessoria, neque adscitia ejus diversitas; neque alterius participatione, sed semetipso multa. Omnibus enim potentiis operatur, unum existens: quia omnem diversitatem per identitatem exseruit; non alterius ad alterum differentia consideratum, quemadmodum in corporibus. In hisce enim contrario modo se res habet, et unitas in diversitate consistit. Quippe cum prima et præcipua in iis sit diversitas; extrinsecus autem et accessoria adveniat unitas. Nam in vero ente unitas atque identitas præcedit: accessit autem diversitas, eo quod unitas varias operationes exseruit. Ideoque ens quidem in unitate indivisibili multiplicatur: corpus autem in multitudine et mole unitur. Et illud quidem in semetipso situm est, existens in seipso secundum unum: hoc autem nequaquam in semetipso subsistit, utpote progressu subsistentiam adeptum. Unum ergo illud in omnibus operans: hæc autem multitudo unita. Quocirca pressius perscrutandum, quomodo illud unum et diversum; rursumque quomodo hæc multitudo et unum: nec propria unius cum alterius proprietatibus permutanda.

XXXIX. Non existimandum est, propter corporum multitudinem animarum multitudinem produci; sed ante corpora eas et multas et unam existere. Et aut nec una illa et tota prohibeat, quominus multæ in ipsa existant; nec multæ unam illam in se dividant. Divisæ enim ab invicem sunt, non desectæ, nec integram illam in semet ipsas, ut minutas particulas, diruunt. Et conjunguntur invicem, nec confuse inter se, nec per modum cumuli aut acervi totum efficientes: neque enim terminis ab invicem sunt disjunctæ, nec rursum inter se confusæ; quemadmodum nec multæ diversæ scientiæ in una eademque anima confunduntur. Neque rursus in eadem subsistunt quasi diversæ substantiæ, quemadmodum corpora subsistunt per animam: verum certæ quædam animæ functiones sunt. Nam natura animæ infinitæ cujusdam potentiæ: et quævis ejus pars singulatim per se est anima: et universæ simul una; rursumque tota alia est præter cæteras omnes. Etenim quemadmodum corpora secta in infinitum non desinunt in incorporeum, cum in sola magnitudine segmentorum differant: sic et anima, forma quædam vitalis existens, in infinita per species dispescitur. Utpote differentias specificas habens, et tota cum illis aut absque

των· εἰ γὰρ ἐπ' αὐτῆς οἷον τομὴ, ἑτερότης ἦν μενούσης τῆς ταυτότητος· εἰ δ' ἐπὶ τῶν σωμάτων, ἐφ' ὧν ἡ ἑτερότης ἐκράτει μᾶλλον τῆς ταυτότητος, οὐδὲν ἐπεισελθὸν ἀσώματον διέκοψε τὴν ἕνωσιν, μένει δὲ πάντα ἡνωμένα μὲν κατὰ τὴν οὐσίαν, ταῖς δὲ ποιότησι καὶ τοῖς ἄλλοις εἴδεσι διειλημμένα· τί χρὴ καὶ λέγειν καὶ ὑπονοεῖν ἐπὶ τῆς εἰδικῆς ἀσωμάτου ζωῆς, ἐφ' ἧς ἡ ταυτότης μᾶλλον κεκράτηκε τῆς ἑτερότητος, καὶ οὐδὲν ὑπόκειται ἀλλοῖον παρὰ τὸ εἶδος· ἀφ' ἧς καὶ τοῖς σώμασιν ἑνότης· οὐδὲ σῶμα συνεμπεσὸν ἀποκόπτει τὴν ἕνωσιν, καίπερ πρὸς τὰς ἐνεργείας ἐν πολλοῖς ἐμποδίζον. αὐτὴ δὲ δι' αὐτὴν ἡ ταυτότης αὐτῆς πάντα ποιεῖ καὶ εὑρίσκει, διὰ τῆς ἐπ' ἄπειρον εἰδικῆς [l. εἰδητικῆς] ἐνεργείας· τοῦ τυχόντος μέρους πάντα δυναμένου, ὅταν σωμάτων καθαρεύῃ· ὡς τὸ τυχὸν μέρος τοῦ σπέρματος τὴν τοῦ παντὸς σπέρματος ἔχει δύναμιν. ὥσπερ δὲ κρατηθὲν ἐν ὕλῃ τὸ σπέρμα καθέκαστον ὂν [l. ὧν] ἠδύνατο λόγον [l. λόγων] ἐν τοῖς σπέρμασι [l. μέρεσι] τῆς ὕλης κρατεῖται· καὶ πᾶν [l. πάλιν] συναχθὲν εἰς τὴν [add. τοῦ] σπέρματος δύναμιν καθ' ἕκαστον τῶν μερῶν ἔχει τὴν πᾶσαν δύναμιν· οὕτω καὶ ψυχῆς ἀΰλου τὸ ὡς μέρος ἐπινοούμενον τῆς πάσης ψυχῆς ἔχει τὴν δύναμιν. τὸ δὲ πρὸς ὕλην ῥέψαν, κρατῆσαι μὲν, καθ' ὃ εἶδος ἔρρεψε, καὶ ἐπιτηδείως ἔσχε προσομιλεῖν ἀΰλῳ εἴδει, εἰ καὶ ἐντυγχάνει οὔσῃ ἐν αὐτῷ, ὅταν ἀπὸ [leg. τὸ δὲ πρὸς ὕλην ῥέψαν κεκράτηται μὲν καθ' ὃ εἶδος ῥέψαν ἐπιτηδείως ἔσχε προσομιλεῖν ἐνύλῳ. ἔχει δὲ τὴν τῆς ὅλης δύναμιν ἤδη, καὶ ἐντυγχάνει οὔσῃ ἐν αὐτῷ, ὅταν ὑπὸ] τοῦ ἐνύλου ἀποστὰν ἐν ἑαυτῷ γένηται. ἐπεὶ δὲ πρὸς μὲν ὕλην ῥέπον ἴσχει ἀπορίαν πάντων, καὶ τῆς οἰκείας δυνάμεως κένωσιν· εἰς δὲ τὸν νοῦν ἀναγόμενον τὸ πλῆρες ἑαυτῆς κατὰ τὴν δύναμιν ἔχειν τῆς πάσης ηὑρίσκετο· τὴν μὲν εἰκότως Πενίαν, τὴν δὲ κόρον [l. Πόρον] οἱ τοῦτο πρῶτον γνόντες τῆς ψυχῆς τὸ πλῆρες [l. πάθος] ᾐνίξαντο.

**Μ'.** Παραστῆσαι βουλόμενοι ὡς ἐνδέχεται διὰ λόγου τὴν τοῦ ὄντος ἀσωμάτου ἰδιότητα οἱ παλαιοὶ, ὅταν αὐτὸ ἓν εἴπωσι, προστιθέασιν εὐθὺς πάντα, καθὸ ἕν τι τῶν κατ' αἴσθησιν συνεγνωσμένων. ὅταν δὲ ἀλλοῖον τὸ ἓν τοῦτο ὑπονοήσωμεν, οὐχ ὁρῶντες ἐπὶ τοῦ αἰσθητοῦ τὸ ὅλον τοῦτο ἓν, πάντα καθὸ ἓν, τῷ πάντα αὐτὸ ἓν εἶναι, συνῆψαν τὸ ἓν καθὸ ἕν· ἵνα ἀσύνθετόν τι νοήσωμεν τὸ πάντα εἶναι ἐπὶ τοῦ ὄντος, καὶ σωρείας ἀποστῶμεν. καὶ ὅταν πανταχοῦ αὐτὸ εἶναι εἴπωσι, προστιθέασιν ὅτι οὐδαμοῦ· ὅταν δὲ ἐν πᾶσιν εἶναι, καὶ ἐν παντὶ οὐδαμοῦ· ὅταν δὲ ἐν πᾶσιν εἶναι, καὶ ἐν παντὶ τῷ ἐπιτηδείως αὐτὸ δέχεσθαι δυναμένῳ μεριστῷ, προστιθέασιν ὅτι ἐν ὅλῳ ὅλον. καὶ ὅλως διὰ τῶν ἐναντιωτάτων αὐτὸ δεδηλώκασιν· ἅμα ταύτας λαμβάνοντες, ἵνα τὰς ἀναπλαστικὰς ἀπὸ σωμάτων ἐξορίσωμεν ἀπ' αὐτοῦ ἐπινοίας· αἳ παρασκιάζουσι τὰς γνωριστικὰς ἰδιότητας τοῦ ὄντος.

**ΜΑ'.** Ὅταν λάβῃς ἀέναον οὐσίαν ἐν ἑαυτῇ κατὰ δύναμιν ἄπειρον, καὶ νοεῖν ἄρξῃ ὑπόστασιν ἀκάματον,

illis existens. Si enim in ipsa esset quasi dissectio, foret diversitas manente identitate. Si vero in corporibus, ubi diversitas potius obtinet quam identitas, nihil incorporeum superaccedens unitatem dissolvit, permanent autem omnia unita quidem quoad substantiam, sed qualitatibus cæterisque speciebus divisa: quid dicendum atque sentiendum erit de speciali incorporea vita, ubi identitas potior est diversitate, nec quidquam a specie diversum subjicitur: ex qua et corporibus unitas. Neque corpus accedens unionem dissolvit, licet operationes ejus in multis impediat. Sed identitas ejus ipsa per semetipsam agit atque invenit omnia, per operationem specificam in infinitum progredientem; quum una quælibet ejus pars possit omnia, quando a corporibus libera et exsoluta est; quemadmodum quævis seminis particula totius seminis virtutem habet. Verum proinde ut semen sigillatim in materia comprehensum, eam vim habet atque potestatem quam in omnibus seminibus obtinebat; atque universum semen contracta in unum sua virtute, sigillatim in unaquaque partium universam virtutem obtinet: ita etiam in anima materiæ experte, quicquid veluti ejus pars cogitatur, totius animæ vim obtinet: quicquid autem in materiam vergit, eam quidem obtinere formam in quam vergit, et immaterialis speciei consortio frui potest, licet materiam sibi conjunctam habeat: ubi a materiali sese abducens ad semetipsum convertitur. Quoniam vero in materiam quidem devergens omnium rerum inopiam patitur, et virium quoque propriarum defectum sive exinanitionem; sursum vero ad mentem elevata, totius animæ virium plenitudinem experitur: illam quidem jure merito inopiam, hanc autem satietatem appellaverunt, qui primi omnium hanc animæ plenitudinem subindicarunt [*corr.* Peniam (*paupertatem*) Porum (*affluentiæ deum*) hanc animæ affectionem subindicarunt].

**XL.** Veteres entis incorporei proprietatem oratione quantum fieri potest explicaturi, cum id ipsum unum esse dicunt, statim addunt, esse etiam omnia: sicuti unum aliquid eorum, quæ sensu cognoscuntur. Sed cum unum hoc diversum esse cogitaverimus, eo quod non videmus in illo quod sensibus expositum est, universum hoc unum quatenus unum, esse omnia; eo quod omnia ipsum unum sint: ideo adjunxerunt, unum quatenus unum: ut incompositum aliquid intelligamus esse omnia in ente, nove coacervationem cogitemus. Et dum ubique illud esse aiunt, addunt esse nullibi: et cum dicunt esse in omnibus, addunt esse nusquam in omni: et cum dicunt esse in omnibus, et in omni particulari, quod ad illud suscipiendum aptum est; addunt quod sit totum in toto. Et proprietatibus omnino contrariis illud exprimunt: quas eo fine conjungunt, ut fictitias corporum cogitationes ab eo removeamus: quæ proprietates illas quibus ens cognoscitur obumbrant.

**XLI.** Ubi substantiam in semetipsa infinita potentia inexhaustam animo conceperis, et cogitare cœperis sub-

ἄτρυτον, οὐδαμῇ μὲν ἐλλείπουσαν, ὑπερεξαίρουσαν δὲ τῇ ζωῇ τῇ ἀκραιφνεστάτῃ, καὶ πλήρη ἐφ' ἑαυτῆς, ἐν αὐτῇ τε ἱδρυμένην, καὶ κεκορεσμένην ἐξ ἑαυτῆς, καὶ οὐδ' ἑαυτὴν [l. οὐδὲν πλὴν ἑαυτῆς] ζητοῦσαν· ταύτῃ ἐάνπερ τὸ ποῦ ἐπιβάλῃς, ἢ τὸ πρός τι ἅμα τῷ ἠλαττῶσθαι ἐξ ἐνδείας τόπου ἢ πρός τι, εὐθὺς ἐκείνην μὲν οὐκ ἠλάττωσας· ἑαυτὸν δὲ ἀπέστρεψας, κάλυμμα λαβὼν τὴν ὑποδραμοῦσαν τῆς ὑπονοίας φαντασίαν· οὐ γὰρ δὴ ὑπερβήσῃ παρελθὼν τὴν τοιαύτην, οὐδ' αὖ στήσεις, οὐδ' ἀπαρτήσεις, οὐδὲ καταλήξεις [l. καταλλάξεις] εἰς μικρὸν, ὡς οὐκέτι ἐχούσης διδόναι ἐν τῷ κατὰ μικρὸν ἐπιλείπειν. ἀδιάλειπτος γὰρ μᾶλλον ἢ πᾶς πηγῶν τὸ ἀεὶ χεόμενον νοῶν καὶ ἀδιάλειπτον· ᾗ συνθέειν οὐ δυνηθεὶς, καὶ τῷ παντὶ ὁμοιωθῆναι, τοῦ ὄντος οὐδὲν ἐπιζητήσεις. ἢ ζητῶν παρεκβήσῃ εἰς ἄλλο βλέψαι· εἰ δ' οὐδὲν ἐπιζητήσεις, στὰς ἐπὶ σαυτοῦ καὶ τῆς σαυτοῦ οὐσίας, τῷ παντὶ ὁμοιώθης καὶ οὐκ ἐνεσχέθης ἔν τινι τῶν ἀπ' αὐτοῦ. οὐδ' εἴπας οὐδὲ σὺ, τοσοῦτος εἶ· μὴ ἀφεὶς τοσοῦτος, γέγονας πᾶς· καίτοι καὶ πρότερον ἦσθα πᾶς· ἀλλὰ καὶ ἄλλο τι προσῆν σοι μετὰ τοῦ πᾶς· καὶ ἐλάττων ἐγίγνου τῇ προσθήκῃ· ὅτι μὴ ἐκ τοῦ ὄντος ἦν ἡ προσθήκη. οὐδὲν γὰρ ἐκείνῳ προσθήσεις. ὅταν οὖν τις καὶ ἐκ τοῦ μὴ ὄντος γένηται τόπος τῇ πενίᾳ σύνοικος, καὶ ἐνδεὴς πάντων. ἀφεὶς οὖν τὸ μὴ ὂν, τότε πᾶς κόρος αὐτὸς ἑαυτοῦ, ὥστε * * * ἀπολαμβάνει δὲ αὐτὸ [l. ἑαυτὸν], ἀφεὶς τὰ ταπεινώσαντα καὶ κατασμικρύναντα· καὶ μάλιστα ὅταν ἐκεῖνα εἶναι αὐτὸν τὰ σμικρὰ τῇ φύσει, καὶ οὐχ ὅστις ἐστὶν αὐτὸς τῇ ἀληθείᾳ δοξάζῃ. ἀπέστη ἀφ' ἑαυτοῦ ἅμα, καὶ ἀπέστη τοῦ ὄντος· καὶ ἔστι τις ἐν αὐτῷ παρὼν παρόντι, τότε πάρει καὶ τῷ ὄντι πανταχοῦ ὄντι· ὅταν δὲ ἀφεὶς αὐτὸν, ἀπέστης κἀκείνου. τοιαύτην γὰρ ἀξίαν εἴληφε παρεῖναι τῷ αὐτῷ παρόντι, καὶ ἀπεῖναι τῷ αὐτοῦ ἐκστάντι. εἰ δὲ πάρεστι μὲν ἡμῖν τὸ ὂν, ἄπεστι δὲ τὸ μὴ ὂν, μετὰ δὲ ἄλλων οὖσιν οὐ πάρεστιν· οὐκ ἦλθεν ἵνα παρῇ, ἀλλ' ἡμεῖς ἀπήλθομεν ὅτε οὐ πάρεστιν. καὶ τί θαυμαστόν; αὐτὸς γὰρ σὺ παρὼν οὐκ ἀπῆς αὐτοῦ. καὶ οὐ πάρει σαυτῷ [l. αὐτῷ], καίπερ παρών· καὶ αὐτὸς ὢν ὁ παρών τε καὶ ἀπὼν, ὅταν πρὸς ἄλλα βλέπῃς, παρεὶς σαυτὸν βλέπειν. εἰ δ' οὕτως αὐτῷ παρὼν οὐ πάρει, καὶ διὰ τοῦτο σαυτὸν ἀγνοεῖς, καὶ πάντα μᾶλλον οἷς πάρει, καὶ πόρρω σου ὄντα εὑρίσκῃς [l. εὑρίσκεις], ἢ αὐτὸν σαυτῷ φύσει παρόντα· τί θαυμάζεις, εἰ τὸ οὐ παρὸν πόρρω σου ἐστὶ, τοῦ πόρρω αὐτοῦ, διὰ τὸ καὶ σαυτοῦ πόρρω γεγονότος; ὅσῳ γὰρ ἑαυτῷ πρόσει καίτοι παρόντι καὶ ἀναποστάτῳ (ὄντι αὐτὸς γὰρ ὅσῳ πρόσεισι), τόσῳ κἀκείνῳ πρόσει, ὃ δὴ οὕτω σου ἐστὶν ἀναπόσπαστον κατ' οὐσίαν, ὡς σὺ σαυτοῦ. ὥστε καὶ πάρεστί τι [l. σοι] καθόλου γινώσκειν, τί τε πάρεστι τῷ ὄντι, καὶ τί ἄπεστι τοῦ ὄντος παρόντος πανταχοῦ, καὶ πάλιν ὄντος οὐδαμοῦ. τοῖς μὲν γὰρ δυναμένοις χωρεῖν εἰς τὴν αὐτῶν οὐσίαν νοερῶς, καὶ τὴν αὐτῶν γινώσκειν οὐσίαν, ἐν αὐτῇ τῇ γνώσει, καὶ τῇ εἰδήσει τῆς γνώσεως αὐτοὺς ἀπολαμβάνειν, καθ' ἑνότητα τὴν τοῦ γινώσκοντος καὶ γινωσκομένου· καὶ τούτοις πα-

sistentiam indefessam ac insuperabilem, nunquam quidem deficientem, sed præditam præ aliis omnibus vita purissima, et semetipsa plenam, positam in se, et semetipsa satis contentam, nihilque extra se quærentem: et si locum et relationem ad aliud superaddas, statim eo ipso, quod loci et relationis ad aliud indigentia aliquid decedit, illam quidem non imminuis; sed teipsum a vera cognitione avertis, dum subeuntem cogitationis imaginationem veli instar tibi obducis. Neque enim supergredi et excedere eam poteris, neque sistere, nec imperfectiorem reddere, nec vel minimum mutare: quippe quæ nec minimum deficere potest. Indeficiens enim est, multo magis quam ullus fons semper et indeficienter scaturiens cogitari possit. Eam si assequi nequeas, nec universo assimilari, nihil quod ipsius entis sit, quæres: aut si quæsieris, digredieris ad aliud quid contemplandum. Sed si nihil præter ipsum quæsieris, persistens in temetipso et tua substantia, assimilaberis universo; nec hærebis in ulla re quæ sit post ipsam. Ergo nec ipse dicas, tantus sum. Omittens illud tantus, fies universalis: cum et antea fueras universalis. Sed et aliud quid tibi aderat una cum eo universali: et minor evasisti illa appositione: cum non ex ente appositio illa provenerit. Nihil enim illi apponere poteris. Ubi igitur ex non ente aliquid additur, comitatur paupertas et omnium rerum egestas. Relinque ergo non ens, tunc tibi ipsi omnium eris sufficientissimus. * * recuperat autem semetipsum, dimissis illis quæ abjectiorem et viliorem aliquem faciunt: præsertim ubi quis se eorum aliquid quæ natura sua exigua sunt, non eum qui revera est, esse putat. Simul enim et a seipso et ab ente recessit. Et ubi quis præsens adest illi, qui est præsens in ipso; tum etiam adest enti, quod ubique est: sed ubi temetipsum negligis, recedis etiam ab illo. Tanti enim momenti est, hominem adesse illi quod ipsi est præsens; et abesse ab illo quod est extra ipsum. Si quidem vero ens nobis adest, abest autem non-ens; non adest nobis ens, dum nos adsumus rebus aliis. Non accedit illud ut adsit; sed nos ab illo recedimus, cum non adest. Et quid mirum? nam tu ipse præsens, non abes ab ipso: nec tamen ei ades, quamquam ades: esque simul et præsens et absens; ubi alia respiciens teipsum inspicere negligis. Si ergo adeo tibi ipsi præsens, tibi tamen non ades; ideoque teipsum ignoras; et omnia potius, tam vicina quam longius abs te remota invenis, quam teipsum, qui natura tibi ipsi es præsens: quid miraris, si id quod non est præsens, procul absit a te, qui longius ab illo abes; eo quod et longius abes a temetipso? quantum enim tibi ipsi, licet præsenti et inseparabiliter conjuncto, præsens aderis; tantum et illi præsens eris: quod sua substantia minus a te disjungi ac separari potest, quam tu a temetipso. Adeo ut omnino cognoscere possis, et quid adsit enti, et quid ab eodem absit: licet ipsum ubique sit præsens, et idem quoque sit nusquam. Nam qui in propriam suam substantiam intellectu sese penetrare, eamque cognoscere possunt, ea ipsa cognitione, et cognitionis scientia semetipsos recuperare queunt: illa scilicet unione qua cognoscens et cognitum

ρoῦσιν αὐταῖς, πάρεστι καὶ τὸ ὄν. ὅσαι δ' ἂν παρεξέλθωσιν ἀπὸ τοῦ εἶναι ἑαυτῶν πρὸς τὰ ἄλλα, ἀποῦσιν ἑαυταῖς [l. ἑαυτῶν, αὐταῖς] ἄπεστι καὶ τὸ ὄν. εἰ δ' ἡμεῖς ἐπεφύκειμεν ἱδρῦσθαι ἐν τῇ αὐτῇ οὐσίᾳ καὶ πλουτεῖν ἀφ' ἑαυτῶν, καὶ μὴ ἀπέρχεσθαι πρὸς ὃ μὴ ἦμεν, καὶ πένεσθαι ἑαυτῶν, καὶ διὰ τούτων πάλιν τῇ πενίᾳ συνεῖναι, καίπερ παρόντος αὐτοῦ· καὶ ἀπὸ τοῦ ὄντος οὐ τόπῳ, οὐκ οὐσίᾳ κεχωρισμένοι, οὐδ' ἄλλῳ τινὶ ἀποτετμημένοι, τῇ πρὸς τὸ μὴ ὂν στροφῇ χωριζόμεθα· δίκην ἄρα ταύτην ἀποτίνομεν, τῇ τοῦ ὄντος ἀποστροφῇ αὐτοὺς ἀποστρεφόμενοι καὶ ἀγνοοῦντες. καὶ τῇ πάλιν ἐν τῇ αὐτῶν φιλίᾳ ἑαυτούς τε ἀπολαμβάνοντες, καὶ τῷ θεῷ συναπτόμενοι. καὶ ὀρθῶς ἄρα εἴρηται, ὡς ἔν τινι φρουρᾷ * *

* * *

ἀποδιδράσκοντα. λύειν δὲ ἐκ τῶν δεσμῶν πειρᾶσθαι· ὡς ἂν τοῦ πρὸς τὰ τῇδε ἐστραμμένου, καὶ ἑαυτὸν θεῖον ὄντα καταλελοιπότος, ὥς φησι, φυγὰς θεόθεν καὶ ἀλήτης. ὥστε πᾶς φαῦλος βίος δουλείας πλήρης· καὶ διὰ τοῦτο ἄθεός τε καὶ ἄδικος· ἐν αὐτῷ πνεῦμα πλῆρες ὑπάρχον τῆς ἀσεβείας· καὶ διὰ τοῦτο καὶ ἀδικίας. καὶ οὕτω πάλιν ἐν ἰδιοπραγίᾳ ὀρθῶς εἴρηται εὑρίσκεσθαι τὸ δίκαιον, ἐν δὲ ἀπονεμήσει τοῦ κατ' ἀξίαν ἑκάστου τῶν συζώντων εἰκόνα κεῖσθαι καὶ εἴδωλον τῆς ἀληθινῆς δικαιοσύνης.

**ΜΒ'.** Τὸ ἐν ἄλλῳ ἔχον τὸ εἶναι, καὶ ἐφ' ἑαυτοῦ χωριστῶς ἀπὸ ἄλλου μὴ οὐσιωμένον, ἐὰν εἰς ἑαυτὸ στρέφηται εἰς τὸ γνῶναι ἑαυτὸ ἄνευ ἐκείνου ἐν ᾧ οὐσίωται, ἀπολαμβάνον ἑαυτὸ ἀπ' ἐκείνου, νοήσει [l. νοσήσει] γὰρ καὶ φθείρεται αὐτό· τοῦ εἶναι χωρίζον ἑαυτό. τὸ δὲ γινώσκειν ἑαυτὸ δυνάμενον ἄνευ ἐκείνου ἐν ᾧ ἐστιν, ἀπολαμβάνον ἑαυτὸ ἀπ' ἐκείνου, καὶ οἷόντε ὂν ἄνευ τῆς ἑαυτοῦ φθορᾶς τοῦτο ποιεῖν, ἀμήχανον οὐσιῶσθαι ἐν ἐκείνῳ, ἀφ' οὗ στρέφειν ἑαυτὸ εἰς ἑαυτὸ ἀπ' ἐκείνου, ἄνευ φθορᾶς, καὶ γινώσκειν ἑαυτὸ ἄνευ ἐκείνου ἐδύνατο. εἰ δὲ ὅρασις μὲν καὶ πᾶσα αἰσθητικὴ δύναμις, οὔτε ἑαυτῆς ἐστιν αἴσθησις, οὔτε χωρίζουσα ἑαυτὴν τοῦ σώματος ἑαυτῆς ἀντιλαμβάνεται, ἢ σώζεται· νοῦς δὲ χωρίζων ἑαυτὸν ἀπὸ σώματος, τότε μάλιστα νοεῖ, καὶ εἰς ἑαυτὸν στρέφεται, καὶ οὐ φθείρεται· δῆλον, ὡς αἱ μὲν αἰσθητικαὶ δυνάμεις διὰ σώματος κέκτηνται τὸ ἐνεργεῖν· ὁ δὲ νοῦς οὐκ ἐν σώματι, ἐν ἑαυτῷ δὲ κέκτηται τὸ ἐνεργεῖν τε καὶ εἶναι.

**ΜΓ'.** Ἀσώματα μὲν κατὰ στέρησιν σώματος λέγεται, καὶ ἐπινοεῖται κυρίως· ὡς ἡ ὕλη, κατὰ τοὺς ἀρχαίους, καὶ τὸ εἶδος τὸ ἐπὶ ὕλης, ὅταν ἐπινοῆται ἀποληφθὲν ἀπὸ τῆς ὕλης, καὶ αἱ φύσεις, καὶ αἱ δυνάμεις· οὕτως δὲ καὶ ὁ τόπος, καὶ ὁ χρόνος, καὶ τὰ πέρατα. τὰ γὰρ τοιαῦτα πάντα κατὰ στέρησιν σώματος λέγεται. ἤδη δὲ ἦν ἄλλα καταχρηστικῶς λεγόμενα ἀσώματα, οὐ κατὰ στέρησιν σώματος, κατὰ δὲ ὅλως μὴ πεφυκέναι γεννᾷν σῶμα. διὸ τὰ μὲν κατὰ τὸ πρῶτον σημαινόμενον πρὸς τὰ σώματα ὑφίσταται· τὰ δὲ κατὰ τὸ δεύτερον, χωριστὰ τέλεον σωμάτων, καὶ

uniuntur. Et hisce sibimetipsis præsentibus, ens quoque ipsum est præsens. Sed qui a propria sua essentia ad alia digrediuntur, cum absint a seipsis, ens quoque ipsum ab eis abest. Verum si nobis in eadem essentia per naturam subsistere liceat, et nostris pollere opibus, nec descendere ad illud quod non sumus, et egere nobismetipsis, ac propterea entis quoque ipsius licet præsentis inopia laborare; et ab ente, a quo nec loco nec essentia separati, nec alia aliqua re sejuncti sumus, conversione ad non-ens separamur: justam sane hanc pœnam luimus, quod aversione ab ente nosmetipsos aversamur, et ignoramus: ut vice versa nostri amore nosmetipsos recuperamus, et deo conjungimur. Quapropter recte dictum fuit veluti in quodam carcere [*inclusum animum in corpore: et vinculis istic adstrictum teneri, ut solent mancipia*] fugitiva. Illi vero omni studio tentandum, ut istis vinculis se exsolvat. Quippe qui conversus ad hæc inferiora, seipsum divino genere satum deseruit, ut ait ille, *a numine profugus errans.* Adeo ut omnis improba vita plena sit servitutis et impietatis: ideoque profana et injusta: cum in ea spiritus sit plenus impietatis; ac proinde etiam injustitiæ. Hinc etiam recte dictum fuit, jus et æquum reperiri in eo, dum quisque facit quod sui muneris est: et veræ justitiæ imaginem atque exemplar in eo consistere, dum iis, quibuscum vivimus, id quod cuique convenit tribuitur.

XLII. Quod in alio essentiam obtinet, nec seorsim ab alio in seipso subsistit, si ad cognoscendum se in seipsum convertatur, absque eo in quo subsistit, abducens se ab illo, ipsum quoque perit et corrumpitur; separans seipsum a suo esse. Sed quod seipsum cognoscere potest sine eo in quo existit, abducendo seipsum ab illo; et quod sine proprio interitu id ipsum facere valet, id nullo modo substantiam suam habere potest in illo, a quo se convertere in semetipsum sine proprio exitio, et cognoscere seipsum sine illo poterat. Si ergo visus, atque omnis sensibilis facultas, seipsam nec sentit, nec comprehendit, nec incolumis permanet, semetipsam a corpore separans: mens autem cum seipsum a corpore sejungit, tunc intelligit maxime, et in seipsum convertitur, neque corrumpitur: manifestum est, potentias sensibiles corporis beneficio operationes suas obtinere; mentem vero non in corpore, sed in semetipso et operationes et essentiam obtinere.

XLIII. Incorporea præcipue quidem dicuntur ac intelliguntur secundum privationem corporis; quemadmodum materia, secundum antiquos, et species quæ est in materia, cum abstracta a materia cogitatur; tum naturæ, et facultates; item locus, et tempus, ac termini. Omnia enim istiusmodi secundum privationem corporis dicuntur. Sunt autem et alia incorporea abusive sic dicta: non quod corpore careant; sed quod nullum omnino corpus generare possint. Quamobrem illa prioris significatus existunt circa corpora: sed secunda ista separata penitus a corporibus, et ab illis incorporeis quæ circa corpora existunt.

τῶν περὶ τὰ σώματα ἀσωμάτων. σώματα μὲν γὰρ ἐν τόπῳ· καὶ πέρατα ἐν σώματι. νοῦς δὲ καὶ νοερὸς λόγος, οὔτε ἐν τόπῳ, οὔτε ἐν σώματι ὑφίσταται· οὔτε προσεχῶς ὑφίστησι σώματα, οὔτε παρυφίσταται σώμασιν, ἢ τοῖς κατὰ στέρησιν σωμάτων λεγομένοις ἀσωμάτοις. οὐδ', εἰ κενὸν οὖν τι ἐπινοηθείη ἀσώματον, ἐν κενῷ οἷόν τε εἶναι νοῦν. σώματος μὲν γὰρ δεκτικὸν ἂν εἴη τὸ κενόν. νοῦ δὲ ἐνέργειαν χωρίσαι ἀμήχανον, καὶ τόπον δοῦναι ἐνεργείᾳ· διττοῦ δὲ φανέντος τοῦ γένους, τοῦ μὲν οὐδ' ὅλως οἱ ἀπὸ Ζήνωνος ἀντελάβοντο· τὸ δ' ἕτερον παραδεξάμενοι, καὶ τὸ ἕτερον μὴ τοιοῦτον εἶναι καθορῶντες, ἀναιροῦσιν αὐτό, δέον ὡς ἄλλο γένος ἦν ὑποπτεῦσαι· καὶ μὴ ὅτι οὐκ ἔστι τὸ ἕτερον, μηδὲ τοῦτο μὴ εἶναι δοξάσαι.

ΜΔ'. Ἄλλο νοῦς καὶ νοητόν, καὶ ἄλλο αἴσθησις καὶ αἰσθητόν· καὶ νῷ μέν, τὸ νοητὸν σύζυγον· αἰσθήσει δέ, τὸ αἰσθητόν. ἀλλ' οὔτε ἡ αἴσθησις ἀντιλαμβάνεται αὐτῆς καθ' αὑτήν, οὔτε τὸ

* * *

αἰσθητόν· νῷ δὲ τὸ νοητὸν σύζυγον ὄν, καὶ τὸ νοητὸν τῷ νῷ, αἰσθήσει οὐδαμῶς ἐστιν ὑπόπτωτον· ἀλλὰ νῷ νοῦς ἐστι νοητόν. εἰ δὲ νοητὸν τῷ νῷ ὁ νοῦς, ἑαυτῷ ἂν εἴη νοητὸν ὁ νοῦς. εἰ μὲν οὖν νοητὸς ὁ νοῦς, καὶ οὐκ αἰσθητός, νοητὸν ἂν εἴη. εἰ δὲ νοητὸς νῷ, καὶ οὐκ αἰσθήσει, νοοῦν ἂν εἴη. ὁ αὐτὸς ἄρα νοῶν καὶ νοούμενον, ὅλον ὅλου· καὶ οὐχ ὡς ὁ τρίβων καὶ τριβόμενος. οὐκ ἄλλῳ οὖν μέρει νοεῖται, καὶ ἄλλῳ νοεῖ. ἀμερὴς γὰρ καὶ νοητὸς ὅλος ὅλῳ. καὶ νοῦς δι' ὅλου, ἐπίνοιαν οὐδεμίαν ἐν ἑαυτῷ ἀνοησίας ἔχων. διὸ οὐχὶ τόδε μὲν ἑαυτοῦ νοεῖ, τόδε δὲ οὐ νοεῖ. καθὸ γὰρ οὐ νοεῖ, ἀνόητος ἔσται. οὐδὲ ἀφιστάμενος οὖν τοῦδε, ἐπὶ τόδε μεταβαίνει. ἀφ' οὗ γὰρ ἀφίσταται μὴ νοῶν ἐκεῖνο γίνεται. εἰ δὲ μὴ τόδε μετὰ τόδε ἐπ' αὐτοῦ γίνεται, ἅμα πάντα νοεῖ· ἐπεὶ οὖν πάντα ἅμα, καὶ οὐ τὸ μὲν νῦν, τὸ δὲ αὖθις, πάντα ἅμα νῦν καὶ ἀεί.

* * *

εἰ οὖν ἐπ' αὐτοῦ τὸ νῦν, ἀνῄρηται δὲ ἐπ' αὐτοῦ τὸ παρεληλυθὸς καὶ τὸ μέλλον, ἐν ἀδιαστάτῳ τῷ νῦν ἀχρόνῳ παραστήματι· ὥστε τὸ ὁμοῦ, κατά τε τὸ πλῆθος, κατά τε τὸ χρονικὸν διάστημα, ἐπ' αὐτοῦ. διὸ καθ' ἓν πάντα, καὶ ἐν ἑνί, καὶ ἀδιαστάτῳ, καὶ ἀχρόνῳ· εἰ δὲ τοῦτο, οὐδὲ τὸ πόθεν ποῖ τῷ νῷ, οὐδὲ κίνησις ἄρα· ἀλλὰ ἐνέργεια, καθ' ἕν, ἐν ἑνί, αὔξην τε ἀφῃρημένη καὶ μεταβολῆς, καὶ διεξόδου πάσης. εἰ δὲ τὸ πλῆθος καθ' ἕν, καὶ ἅμα ἡ ἐνέργεια· καὶ ἄχρονος, ἀνάγκη παρυποστῆναι τῇ τοιαύτῃ οὐσίᾳ τὸ ἀεὶ ἐν ἑνὶ ὄν. τοῦτο δέ ἐστιν αἰών. παρυπέστη ἄρα νῷ ὁ αἰών. τὸ δὲ μὴ καθ' ἓν ἐν ἑνὶ νοοῦντι, ἀλλὰ μεταβατικῶς καὶ ἐν κινήσει, καὶ ἐν τῷ τὸ μὲν καταλείπειν, τὸ δὲ ἐπιλαμβάνειν, καὶ μερίζειν, καὶ διεξοδεύειν, παρυπέστη χρόνος. τῇ γὰρ τοιαύτῃ κινήσει παρυφίσταται τὸ μέλλειν καὶ παρεληλυθέναι. ψυχὴ δὲ μεταβαίνει ἀπ' ἄλλου εἰς ἄλλο, ἐπαμείβουσα τὰ νοήματα· οὐκ ἐξισταμένων τῶν προτέρων, οὐδὲ πόθεν ἄλλοθεν ἐπεισιόντων

Nam corpora quidem in loco : et termini in corpore. Sed mens et ratio intellectualis nec in loco nec in corpore subsistunt : neque corpora proxime constituunt : neque existunt cum corporibus vel incorporeis, secundum corporis carentiam sic dictis. Et, si vacuum aliquod incorporeum cogitetur, mens in illo vacuo nequaquam esse potest. Nam vacuum poterit corpus recipere : sed nec mentis operationem suo ambitu continere, nec locum actui præbere potest. Sed cum duplex sit genus incorporei, alterum Zenonis sectatores nullo modo recipiunt ; alterum recipiunt quidem ; sed cum alterum ejusdem generis non esse videant, tollunt id omnino : cum potius existimare deberent, id alterius generis esse ; non autem opinari, quia non est idem cum altero, idcirco omnino non esse.

XLIV. Aliud est intellectus et intelligibile : et aliud sensus et sensibile. Et intellectui quidem affine conjunctumque est intelligibile : sensibile autem sensui. Sed nec sensus semetipsum per sese comprehendere potest ; nec sensibile. Intelligibile autem cum intellectui sit affine, et intellectu intelligatur, nequaquam cadit sub sensum. Sed intellectus intelligitur intellectu. Si vero intellectus intellectu cognoscitur, intelliget utique intellectus semetipsum. Si ergo intellectus cognoscitur intellectu, non sensu ; erit utique intelligibile quid. Si vero intelligibilis intellectui, non autem sensui ; erit etiam intelligens. Idem ergo intelligens et intelligibile, totus toti : non ut is qui terit, et is qui teritur. Neque igitur alia parte intelligitur, et alia intelligit. Impartibilis enim est, et totus toti intelligibilis. Nihil enim non intelligens in eo cogitandum. Ideoque non quidem unam sui partem intelligit, alteram vero non intelligit : quatenus enim non intelligit, intellectu destitutus erit. Neque ergo discedens ab uno ad alterum transit. A quocunque enim non intellecto discedit secundum id intellectu destitutus erit. Si vero non successive unum post alterum ab eo intelligitur, intelligit simul semelque omnia. Si ergo omnia simul, neque hoc quidem nunc, illud vero postea intelligit : omnia simul ei adsunt, et instans et sempiternum. Si ergo præsens illi adest, tollitur et præteritum et futurum, in indivisibili hujus instantis momento. Ita ut illud simul, et secundum multitudinem, et secundum temporis intervallum ei adsit. Ideo omnia secundum unum, et in uno, eoque nec loci nec temporis intervallo diviso instanti. Quod si ita sit, nec intellectus intelligens hinc inde discurrit ; quare nec motus ejus est, sed actus, qui secundum unum in uno, et incrementum et mutationem, et discursum omnem tollit. Quod si multitudo adsit secundum unum simulque operatio nulli temporis intervallo obnoxia, necessario hujusmodi substantiæ id quoque tribuendum, quod semper in uno existit. Id vero est æternitas. Adest ergo intellectui æternitas. Ceterum quod non secundum unum in uno, sed discurrendo, et cum motu intelligit : ita ut in intelligendo unum quidem relinquat, alterum vero comprehendat, et dividat, et ab uno ad alterum transeat ; id tempus una secum introduxit. Hujusmodi enim motui convenit futurum et præteritum. Anima autem ab uno ad alterum, mutatis subinde conceptibus, transit : non ut priores excidant, et

τῶν δευτέρων· ἀλλὰ τὰ μὲν ὥσπερ ἀπελήλυθε, καίπερ μένοντα ἐν αὐτῇ· τὰ δ' ὥσπερ ἀλλαχόθεν ἔπεισιν. ἀφίκατο δ' οὐκ ἀλλαχόθεν, ἀλλ' αὐτῆς καὶ αὐτόθεν εἰς ἑαυτὴν κινουμένης, καὶ τὸ ὄμμα φερούσης εἰς ἃ ἔχει κατὰ μέρος. πηγῇ γὰρ ἔοικεν οὐκ ἀποῤῥύτῳ, ἀλλὰ κύκλῳ εἰς ἑαυτὴν ἀναβλυζούσῃ ἃ ἔχει. τῃ μὲν οὖν ταύτης κινήσει παρυφίσταται χρόνος· τῇ δὲ τοῦ νου μονῇ τῃ ἐν ἑαυτῷ, ὁ αἰών· οὐ διῃρημένος ἀπ' αὐτοῦ, ὥσπερ ὁ χρόνος ἐκ ψυχῆς ὅτι καὶ αἱ παρυποστάσεις ἥνωνται ἐκεῖ. διαψεύδεται δὲ τὸ κινούμενον αἰών [l. ἀεὶ πρὸς τὸν αἰῶνα], δι' αὐτοῦ τὸ ἄμετρον τῆς κινήσεως εἰς ἔννοιαν λαμβανόμενον αἰῶνος· καὶ τὸ μένον πρὸς τὸ κινούμενον· χρόνον ἑαυτοῦ ὥσπερ τὸ νῦν αὐτοῦ καὶ διεξοδεῦον καὶ πολλαπλασιάζον κατὰ πάροδον τοῦ χρόνου. διο καὶ ἐν στάσει τὸν χρόνον τινὲς οὐχ ἧττον ἢ ἐν κινήσει θεωρεῖσθαι ὑπελάμβανον, καὶ τὸν αἰωνα, ὡς ἔφαμεν, τον ἄπειρον χρόνον. ὡς ἑκατέρου τὰ πάθη τὰ ἑαυτοῦ τῷ ἑτέρῳ προστιθέντος. τοῦ μὲν κινουμένου ἀεὶ ἀπὸ τοῦ ἑστῶτος κατὰ ταυτότητα τῷ ἀεὶ τῷ ἑαυτοῦ τὸν αἰῶνα ἀπεικονίζοντος· καὶ τοῦ ἑστῶτος ἐν ταυτότητι ἐνεργείας τὸν χρόνον τῇ ἑαυτοῦ μονῇ ἀπὸ τῆς ἐνεργείας προσάπτοντος. λοιπὸν δὲ ἐν τοῖς αἰσθητοις ὁ διῃρημένος χρόνος ἄλλος ἄλλου. οἷον, ἄλλος Ἡλίου, ἄλλος Σελήνης, ἄλλος Ἑωσφόρου, καὶ ἐφ' ἑκάστου ἄλλος. διὸ καὶ ἄλλου ἐνιαυτὸς ἄλλος· καὶ ὁ τούτους περιέχων ἐνιαυτὸς κεφαλαιούμενος εἰς τὴν τῆς ψυχῆς κίνησιν, ἧς κατὰ μίμησιν κινουμένων τούτων. ἀλλοίας δὲ τῆς ἐκείνης κινήσεως οὔσης, καὶ ἀλλοίας τῆς τούτων· ἀλλοῖος καὶ ὁ χρόνος ἐκείνης της τούτων. διαστηματικὸς μὲν οὗτος καὶ ταῖς κατὰ τόπον κινήσεσι καὶ μεταβάσεσι.

secundi aliunde subeant: sed priores isti quasi transierunt, licet in ea permaneant, hi vero quasi aliunde succedunt. Succedunt autem non aliunde, sed dum ipsa ex sese in semetipsam movetur, et oculum ad ea dirigit quæ per partes ipsi adsunt. Similis enim est fonti, non eforas emananti, sed aquas suas per orbem refundenti in seipsum. Hujus ergo motui convenit tempus; ut mentis in semetipsa stabilitati, ævum: idque non divisum ab ea, ut tempus ab anima. Nam istic duo illa simul subsistentia unita sunt. Sed id quod in perpetuo motu est, mentitur speciem æternitatis, ob immensam motus longitudinem æternitatis opinionem gignens. Et ævum quod fixum permanet mentitur speciem temporis moti: quasi suum illud instans secundum temporis decursum percurrat et multiplicet, ideo nonnulli non minus in statu seu quiete, quam in motu tempus considerari existimabant: et ævum, sicuti dixi, esse tempus infinitum. Ac si alterum alteri proprias suas affectiones tribuat. Cum tempus semper motum, eo quod stabile idemque est, sempiternitate sua æternitatem referat: et æternitas in uno eodemque actu persistens, suo statu actuque ad tempus accedere videatur. Cæterum in rebus sensibilibus tempus distinctum in diversis diversum est. Ut, aliud tempus Solis, aliud Lunæ, aliud Luciferi, et aliud in unoquoque alio. Ideoque diversus diversorum annus. Et annus cæteros complectens consummatus perfectusque secundum motum animæ, ad cujus imitationem cætera moventur. Sed cum animæ motus diversus sit a motu cæterorum, tempus quoque illius a cæterorum tempore diversum, idque momentis, et motus localis ac transitivi intervallis distinctum.

# PROŒMIUM

IN

# PROCLI INSTITUTIONEM THEOLOGICAM.

Ad Plotinum intelligendum hic liber sane quam plurimum facit. Neque tamen propterea *Commentarium* dixerim ad Plotini placita illustranda compositum, cum Tennemanno (in *Grundriss der Geschichte der Philosophie*, ed. tert. § 220, p. 170) *Compendium* dixerim *Plotinianæ Theologiæ*, sive enchiridium, quo quæ plurima Plotinus de deo rebusque divinis disputat, ex multarum Enneadum argumento collecta ordine dialectico disponuntur, brevibusque capitibus inclusa ponuntur ante oculos lectorum, qui ratione ac via edoceri cupiant de rebus ad theologiam summam pertinentibus. Et quodammodo comparari potest hic libellus Procli cum Porphyrii libello *Sententiarum*, quem eodem nomine appellat, quo hoc Procli opusculum in codicibus inscribitur (Στοιχείωσις θεολογική), Lucas Holstenius. Qui quidem de Porphyrii libro illo ita pronuntiat (in egregia disputatione de vita et scriptis Porphyrii, cap. IX, p. 54 ed. Cantabrig.): « Est autem hic libellus στοι« χείωσις θεολογική, seu prima quædam institutio theologica, brevibus aliquot aphorismis animum « ad pleniorem rerum divinarum contemplationem excitans. Et ut Arrianus ex prolixioribus Epi« cteti dissertationibus enchiridium suum composuit, κυριώτατα καὶ ἀναγκαιότατα vitæ præcepta « continens: ita Porphyrius hasce sententias ex Plotini fere libris excerpsit, quibus non male, « mea quidem sententia, εἰσαγωγή loco præfigerentur. » Hoc jam factum in hac editione Enneadum Plotini.

Sed tamen a Porphyrio hac in causa eatenus distat Proclus, quod ille magis ea executus videtur, quæ ex hoc loco de deo ad disciplinam morum vel necessaria vel utilia ducuntur, etsi in libro tantopere mutilato de scriptoris consilio pronuntiare velle anceps et lubricum est. Proclus hanc doctrinam theologiæ, tanquam a nemine antea institutam, suis ipsam fundamentis superstruit. Nam sicut Euclides, exorsus ab aliquo axiomate, nexis inter se argumentationibus evicta præstat ea, quæ inde concludi adeoque cogi possunt: ita Proclus, profectus ab eo quod *Unum* est, via et ratione ad præscriptum regularum dialecticarum deinceps necessario efficit omnia, quibuscunque subtilior Theologiæ ratio maxime continetur. Et vero quam acutum sit hoc disputandi genus, quam item densum copiosumque, oratio autem, quam nuda, quam recta et atque brevis, nemo paullo eruditior est, quin protinus intelligat. Neque vero quisquam mirabitur difficultatem libri, ut qui refertus sit rebus ab ipsa natura involutis et a vita communi remotissimis. Verum turpe sit, et vel Philosophi vel Theologi nomine prorsus indignum, subterfugere velle discrimina scientiæ, quæ eundum sit ei, qui in gravissima sanctissimaque doctrina aciem contendere velit, aut dumeta reformidare, quibus remotis certo scias oblatum iri monumenta tibi perennibus saluberrimarum literarum characteribus inscripta. Ac fortasse licet omnes, qui theologiæ principia de trivio repeti et ostiatim quodammodo corrogari posse opinantur: nemo tamen, arbitror, infitias iverit, quin homo theologus tunc demum vere doctus censeri queat, quum etiam Platonicæ philosophiæ decreta accurate perceperit, eorumque vim in universam religionum disciplinam recte judicare didicerit. Atqui ab hac parte hic ipse Procli libellus, dici non potest quam gravis sit. Nam sive rem ipsam spectamus, quæ explicatur, sive rationem et argumentationis indolem, versatur in his ducentis et

undecim capitibus cardo totius philosophiæ Platonicæ; insistitque philosophus eo in limite, unde ex veteris Græcæ philosophiæ spatiis continuo transitur ad ipsa sacraria sapientiæ Christianæ.

Quod ducenta et undecim capita memoravi : consignatus est hic numerus σια' in limine codicum, qui integriores censentur : qui iidem in exitu adscriptum habent : Τέλος. Alii libri manuscripti plus minusve curtati reperiuntur. Jam si quæras, an ille numerus CCXI plenus sit, ut nihil amplius deesse videatur : ego præcise decernere nolim ; sed tamen ab altera parte, cum, quæ de *Anima* explicanda erant, explicuerit Proclus, non video equidem quid ad ejusmodi libri integritatem magnopere desiderari posse videatur.

Codicum hujus libelli, qui sat magno numero in bibliothecis reperiuntur, et translationum latinarum, hic non repetam recensum quem in Francofurtensi editione (a. 1822) institui, pag. XII sqq. Græce Æmilius Portus ediderat, Hamburgi a. 1618, ex codice bibliothecæ Gottorpianæ. Duæ autem sunt codicum familiæ, quarum deteriorem refert is quo usus est Portus. Per Schweighæuserum igitur nactus exemplum familiæ melioris, quantivis pretii codicem bibliothecæ Argentinæ, item duos codices Leidenses, novam editionem parare aggressus sum. Quæ cum prælo subjecta esset, alia succreverunt subsidia, Vaticani codicis apographum Hamburgense ab Luca Holstenio factum, doctissimi Taylori translatio Anglica, alia quæ in *Epimetro* editioni sero adjicienda erant. Nunc ea omnia suo quo decebat loco in usum converti, ut hanc recensionem olim edita multo esse accuratiorem haud temere affirmem. Porti quoque interpretatio latina, cum hic adnotationis nihil subjicere liceret, nunc severius quam olim castigata et correcta est.

# ΠΡΟΚΛΟΥ

## ΔΙΑΔΟΧΟΥ ΠΛΑΤΩΝΙΚΟΥ

### ΣΤΟΙΧΕΙΩΣΙΣ ΘΕΟΛΟΓΙΚΗ

Α'. Πᾶς πλῆθος μετέχει πῃ τοῦ ἑνός. Εἰ γὰρ μηδαμῇ μετέχοι, οὔτε τὸ ὅλον ἓν ἔσται, οὔθ' ἕκαστον τῶν πολλῶν, ἐξ ὧν τὸ πλῆθος, ἀλλ' ἔσται καὶ ἐκ τινων ἕκαστον πλῆθος, καὶ τοῦτο εἰς ἄπειρον, καὶ τῶν ἀπείρων τούτων ἕκαστον ἔσται πάλιν πλῆθος ἄπειρον. Μηδενὸς γὰρ ἑνὸς μηδαμῇ μετέχον, μήτε καθ' ὅλον ἑαυτὸ, μήτε καθ' ἕκαστον τῶν ἐν αὐτῷ· πάντῃ ἄπειρον ἔσται καὶ κατὰ πᾶν.

Τῶν γὰρ πολλῶν ἕκαστον, ὅπερ ἂν λάβῃς, ἤτοι ἓν ἔσται ἢ οὐχ ἕν, ἤτοι πολλὰ ἢ οὐδέν. Ἀλλ' εἰ μὲν ἕκαστον οὐδὲν, καὶ τὸ ἐκ τούτων οὐδέν· εἰ δὲ πολλά, ἐξ ἀπειράκις ἀπείρων ἕκαστον.

Ταῦτα δὲ ἀδύνατα. Οὔτε γὰρ ἐξ ἀπειράκις ἀπείρων ἐστί τι τῶν ὄντων· τοῦ γὰρ ἀπείρου πλέον οὐκ ἔστι· τὸ δὲ ἐκ πάντων, ἑκάστου πλέον· οὔτε ἐκ τοῦ μηδενὸς συντίθεσθαί τι δυνατόν. Πᾶν ἄρα πλῆθος μετέχει πῃ τοῦ ἑνός.

Β'. Πᾶν μετέχον τοῦ ἑνὸς, καὶ ἕν ἐστι καὶ οὐχ ἕν. Εἰ γὰρ μή ἐστιν αὐτοέν (μετέχει γὰρ τοῦ ἑνὸς ἄλλο τι ὂν παρὰ τὸ ἕν), πέπονθε τὸ ἓν κατὰ τὴν μέθεξιν, καὶ ὑπέμεινεν ἓν γενέσθαι. Εἰ μὲν οὖν μηδέν ἐστι παρὰ τὸ ἕν, μόνον ἐστὶν ἕν, καὶ οὐ μεθέξει τοῦ ἑνός, ἀλλ' αὐτοὲν ἔσται· εἰ δέ ἐστί τι παρ' ἐκεῖνο, ὃ μή ἐστιν ἕν, τὸ μετέχον τοῦ ἑνὸς, καὶ ἕν ἐστι καὶ οὐχ ἕν, οὐχ ὅπερ ἓν ὄν, ὡς μετέχον τοῦ ἑνός.

Τοῦτο ἄρα οὐχ ἕν ἐστιν, οὐδ' ὅπερ ἕν· ἓν δὲ ὂν ἅμα καὶ μετέχον τοῦ ἑνὸς, καὶ διὰ τοῦτο οὐχ ἓν καθ' αὑτὸ ὑπάρχον, ἕν ἐστι καὶ οὐχ ἕν, παρὰ τὸ ἓν ἄλλο τι ὄν· ᾗ μὲν ἐπλεόνασεν, οὐχ ἕν· ᾗ δὲ πέπονθεν, ἕν. Πᾶν ἄρα τὸ μετέχον τοῦ ἑνὸς, καὶ ἕν ἐστι, καὶ οὐχ ἕν.

Γ'. Πᾶν τὸ γινόμενον ἕν, μεθέξει τοῦ ἑνὸς γίνεται ἕν. Καθ' ὃ δὲ πέπονθε τὴν μετοχὴν τοῦ ἑνός, ἕν ἐστιν. Εἰ γὰρ γίνοιτο ἕν, ἃ μή ἐστιν ἕν, καθ' αὑτὰ συνιόντα δήπου καὶ κοινωνοῦντα ἀλλήλοις, γίνεται ἓν καὶ ὑπομένει τὴν τοῦ ἑνὸς παρουσίαν, οὐκ ὄντα, ὅπερ ἕν. Μετέχει ἄρα τοῦ ἑνὸς ταύτῃ, ᾗ πάσχει τὸ ἓν γενέσθαι. Εἰ μὲν γὰρ ἤδη ἐστὶν ἕν, οὐ γίνεται ἕν· τὸ γὰρ ὂν οὐ γίνεται, ὃ ἤδη ἐστίν. Εἰ δὲ γίνεται ἐκ τοῦ μὴ ὄντος πρότερον, ἕξει τὸ ἕν, ἐγγενομένου τινὸς ἐν αὐτοῖς ἑνός.

Δ'. Πᾶν τὸ ἡνωμένον ἕτερόν ἐστι τοῦ αὐτοενός. Εἰ γάρ ἐστιν ἡνωμένον, μετέχει ἄν πῃ τοῦ ἑνὸς, ταύτῃ, ᾗ καὶ ἡνωμένον λέγεται. Τὸ δὲ μετέχον τοῦ ἑνὸς, καὶ ἕν ἐστι καὶ οὐχ ἕν· τὸ δὲ αὐτοὲν οὐχὶ καὶ ἕν ἐστι καὶ οὐχ ἕν. Εἰ γὰρ καὶ τοῦτο, ἕν τε καὶ οὐχ ἕν, καὶ τὸ ἓν τὸ ἐν αὐτῷ πάλιν ἕν, τὸ συναμφότερον ἕξει, καὶ τοῦτο εἰς ἄπειρον, μηδενὸς ὄντος αὐτοενός, εἰς ὃ στῆναι δυνατόν. Ἀλλὰ παντὸς ἑνὸς καὶ οὐχ ἑνὸς ὄντος, ἔστιν

# PROCLI

## SUCCESSORIS PLATONICI

### INSTITUTIO THEOLOGICA

I. Omnis multitudo particeps est aliquo modo ipsius Unius. Si enim nullo modo particeps sit *Unius*, nec ipsum totum Unum erit, nec unumquodque multorum, ex quibus ipsa multitudo *conflatur*; sed etiam ex aliquibus *entibus* unumquodque erit multitudo, et hoc in infinitum *progredietur*, et horum infinitorum unumquodque erit rursus infinita multitudo. Si enim *ipsa multitudo* nullius Unius ullo modo sit particeps, neque per se totam neque per singulas *partes* in ipsa *comprehensas*, ubique et in omni *re multitudo* erit infinita.

Multorum enim unumquodque, quodcunque sumpseris, vel Unum erit, vel non Unum, vel multa, vel nihil. Sed si unumquodque *multorum* est nihil, id etiam, quod ex his *fiet*, *est* nihil. Si vero *multorum unumquodque est* multa, ex infinite infinitis unumquodque *constabit*.

Hæc autem impossibilia *sunt*. Nec enim ex infinite infinitis est ullum Ens: ipso enim infinito non est *ullum Ens majus ac* amplius; quod vero *conflatum est* ex omnibus, *illud est* unoquoque *singulisque rebus* amplius. Neque ex Nullo aliquid componi potest. Omnis igitur multitudo particeps est Unius aliquo modo.

II. Omne, quod particeps est Unius, est et Unum et non Unum. Si enim non est per se Unum (particeps enim est Unius, aliud aliquid existens præter ipsum Unum), patitur Unum per participationem *et communionem*, et sustinet se Unum fieri. Si igitur nihil est præter ipsum Unum, est solum Unum, neque particeps erit Unius, sed per se Unum erit. Si vero est aliquid præter illud, quod non est Unum, quod particeps est Unius, et Unum est et non Unum, non quod *sit* Unum Ens, sed ut particeps ipsius Unius.

Hoc igitur non Unum est, neque quod Unum. Si vero simul sit Unum et particeps sit Unius et propter hoc non Unum per se sit, Unum est et non Unum, quod aliud aliquid sit præter ipsum Unum. Quatenus enim abundavit *et multiplicatum est*, *eatenus est* non Unum; quatenus vero passum est *multiplicationis privationem*, *eatenus est* Unum. Omne igitur, quod particeps est Unius, et Unum et non Unum est.

III. Omne, quod fit Unum, participatione Unius fit Unum. Quatenus enim patitur ipsam Unius participationem, *eatenus* est Unum. Si enim fiunt Unum *ea*, quæ non sunt Unum, per se coeuntia profecto et per communionem inter se conjuncta, fiunt Unum et sustinent Unius præsentiam, quamvis non sint *id*, quod *est* Unum. Participant igitur Unum eatenus, quatenus patiuntur se Unum fieri. Si enim jam sunt Unum, non fiunt Unum. Quod enim est, non fit *illud*, quod jam est. Si vero fiunt *unum* ex eo, quod non unum erat prius, habebunt Unum, quando Unum aliquod in ipsis innatum fuerit.

IV. Omne, quod est unitum, diversum est ab eo, quod est per se Unum. Si enim est unitum, participabit aliquo modo ipsum Unum eatenus, quatenus et unitum dicitur. Quod vero particeps est Unius, et Unum est et non Unum; sed quod est per se Unum, non etiam Unum est et non Unum. Si enim et hoc, et Unum et non Unum, *est*, et illud, quod in ipso *est*, rursus Unum *est*, utrumque simul habebit, et hoc in infinitum *procedet*, si nihil sit, quod sit per se Unum, in quo subsistere possit. Sed si omne est Unum et non Unum, erit igitur aliquid quod est uni-

ἄρα τι τὸ ἡνωμένον τοῦ ἑνὸς ἕτερον. Ταὐτὸν γὰρ ὂν τῷ ἡνωμένῳ τὸ ἕν, πλῆθος ἄπειρον ἔσται, καὶ ἕκαστον ὡσαύτως ἐκείνων, ἐξ ὧν ἔστι τὸ ἡνωμένον.

Ε'. Πᾶν πλῆθος δεύτερόν ἐστι τοῦ ἑνός. Εἰ γὰρ ἔστι πλῆθος πρὸ τοῦ ἑνὸς, τὸ μὲν ἓν μεθέξει τοῦ πλήθους, τὸ δὲ πλῆθος, τὸ πρὸ τοῦ ἑνὸς, οὐ μεθέξει τοῦ ἑνὸς, εἴπερ πρὶν γένηται ἕν, ἔστιν ἐκεῖνο πλῆθος. Τοῦ γὰρ μὴ ὄντος οὐ μετέχει· διότι τὸ μετέχον τοῦ ἑνὸς, καὶ ἕν ἐστιν, ἅμα καὶ οὐχ ἕν. Οὔπω δ' ὑπέστη ἕν, τοῦ πρώτου πλήθους ὄντος. Ἀλλ' ἀδύνατον εἶναί τι πλῆθος μηδαμῇ ἑνὸς μετέχον. Οὐκ ἄρα πρὸ τοῦ ἑνὸς τὸ πλῆθος. Εἰ δὲ δὴ ἅμα τῷ ἑνὶ, καὶ σύστοιχα ἀλλήλοις τῇ φύσει. Χρόνῳ γὰρ οὐδὲν κωλύει, οὔτε τὸ ἓν καθ' αὑτὸ πολλὰ εἶναι, οὔτε τὸ πλῆθος ἕν, ὡς ἀντιδιῃρημένα ἅμα ὄντα τῇ φύσει, εἴπερ μηδέτερον θατέρου πρότερον ἢ ὕστερον. Τὸ οὖν πλῆθος καθ' αὑτὸ οὐχ ἓν ἔσται, καὶ ἕκαστον τῶν ἐν αὐτῷ οὐχ ἕν, καὶ τοῦτο εἰς ἄπειρον, ὅπερ ἀδύνατον.

Μετέχει ἄρα τοῦ ἑνὸς κατὰ τὴν αὑτοῦ φύσιν, καὶ οὐδὲν ἔσται αὐτοῦ λαβεῖν, ὃ μὴ ἔστιν ἕν· μὴ ἓν γὰρ ὄν, ἐξ ἀπείρων ἔσται, ὡς δέδεικται.

Πάντῃ ἄρα μετέχει τοῦ ἑνός. Εἰ μὲν οὖν τὸ ἕν, τὸ καθ' αὑτὸ ἓν ὄν, μηδαμῇ μετέχει πλήθους, ἔσται τὸ πλῆθος πάντῃ τοῦ ἑνὸς ὕστερον, μετέχον μὲν τοῦ ἑνὸς, οὐ μετεχόμενον δὲ ὑπὸ τοῦ ἑνός· εἰ δὲ καὶ τὸ ἓν μετέχει πλήθους, κατὰ μὲν τὴν ὕπαρξιν, ὡς ἓν ὑφεστὼς, κατὰ δὲ τὴν μέθεξιν, οὐχ ἕν, πεπληθυσμένον ἔσται τὸ ἕν, ὥσπερ τὸ πλῆθος ἡνωμένον διὰ τὸ ἕν. Κεκοινώνηκεν ἄρα τό τε ἓν τῷ πλήθει, καὶ τὸ πλῆθος τῷ ἑνί· τὰ δὲ συνιόντα καὶ κοινωνοῦντά πῃ ἀλλήλοις, εἰ μὲν ὑπ' ἄλλου συνάγεται, ἐκεῖνο πρὸ αὐτῶν ἐστιν, εἰ δὲ αὐτὰ συνάγει ἑαυτὰ, οὐκ ἀντίκειται ἀλλήλοις.

Ἀντικείμενα γὰρ οὐ σπεύδει εἰς ἄλληλα. Εἰ οὖν τὸ ἓν καὶ τὸ πλῆθος ἀντιδιῄρηται, καὶ τὸ πλῆθος, ᾗ πλῆθος, οὐχ ἕν, καὶ τὸ ἕν, ᾗ ἕν, οὐ πλῆθος, οὐδ' ἕτερον, ἐν θατέρῳ γενόμενον, ἓν ἅμα καὶ δύο ἔσται. Ἀλλὰ μὴν εἰ ἔσται τι πρὸ αὐτῶν τὸ συνάγον, ἢ ἕν ἐστιν ἢ οὐχ ἕν.

Ἀλλ' εἰ οὐχ ἕν, ἢ πολλὰ ἢ οὐδέν· οὔτε δὲ πολλὰ, ἵνα μὴ πλῆθος ᾖ πρὸ ἑνὸς, οὔτε οὐδέν. Πῶς γὰρ συνάξει τὸ οὐδέν; Ἓν ἄρα μόνον· οὐ γὰρ δὴ καὶ τοῦτο τὸ ἓν πολλὰ, ἵνα μὴ εἰς ἄπειρον· ἔστιν ἄρα τὸ αὐτοέν, καὶ πᾶν πλῆθος ἀπὸ τοῦ αὐτοενός.

## Περὶ ἑνάδος.

Ϛ'. Πᾶν πλῆθος ἢ ἐξ ἡνωμένων ἐστὶν ἢ ἐξ ἑνάδων. Ἕκαστον γὰρ τῶν πολλῶν ὅτι μὲν οὐκ ἔσται καὶ αὐτὸ πλῆθος μόνον καὶ τούτου πάλιν ἕκαστον πλῆθος, δῆλον. Εἰ δὲ μή ἐστι πλῆθος μόνον, ἤτοι ἡνωμένον ἐστὶν ἢ ἑνάδες. Καὶ εἰ μὲν μετέχον τοῦ ἑνὸς, ἡνωμένον. Εἰ δὲ ἐξ ὧν τὸ πρώτως ἡνωμένον, ἑνάδες. Εἰ γάρ ἐστι τὸ αὐτοέν, ἔστι τὸ πρώτως αὐτοῦ μετέχον καὶ πρώτως ἡνωμένον.

tum, ab Uno diversum. Si enim ipsum Unum est idem cum eo, quod est unitum, erit infinita multitudo, et pariter unumquodque eorum, ex quibus conflatum est unitum, erit infinitum.

V. Omnis multitudo posterior est ipso Uno. Si enim multitudo est ante Unum, Unum quidem particeps erit multitudinis, illa vero multitudo, quae fuerit ante Unum, non erit particeps Unius: siquidem priusquam fuit Unum, illud est multitudo. Non participat enim id, quod non est. Quia quod particeps est Unius, etiam Unum est, simul et non Unum. Nondum vero subsistit Unum, cum prima multitudo subsistit. Sed fieri non potest, ut ulla sit multitudo, quae nullo modo particeps sit Unius. Multitudo igitur non est ante Unum. Si vero multitudo est simul cum Uno, ergo haec erunt etiam inter se cognata per naturam, et arctissimo naturalis conjunctionis vinculo inter se constringentur. Tempore enim nihil impedit, quominus Unum per se multum sive multitudo sit, et quominus ipsa multitudo sit Unum, quoniam haec, quae in ipsa divisione sunt inter se opposita, natura simul sunt, si quidem neutrum est altero prius vel posterius. Ipsa igitur multitudo per se non Unum erit, et unumquodque eorum, quae sunt in ipsa multitudine, non Unum erit, et hoc in infinitum progredietur, quod est impossibile.

Ergo unumquodque eorum, quae sunt in multitudine, particeps est Unius per suam naturam, nec ullum ipsius multitudinis membrum sumi poterit, quod non sit Unum. Si enim Unum non sit, ex infinitis infinitum erit, ut demonstratum est.

Ubique igitur multitudo particeps est Unius. Si igitur Unum, quod est per se Unum, nullo modo particeps est multitudinis, ubique multitudo erit Uno posterior, participans quidem Unum, non participata vero ab Uno. Si vero et Unum participat multitudinem, per essentiam quidem, ut Unum exsistens, per participationem vero, non Unum, ipsum Unum multiplicatum erit, ut ipsa multitudo unita propter Unum. Per communionem igitur inter se sunt conjuncta et Unum cum multitudine et multitudo cum Uno. Quae vero coeunt in unum, et aliquo modo per communionem inter se conjunguntur, si quidem ab alio coguntur in unum, illud est ante ipsa; si vero ipsa se ipsa cogunt in unum, inter se non opponuntur.

Opposita enim non festinant (non inclinant) ad ea invicem. Si igitur Unum et multitudo in divisione sunt inter se opposita, et multitudo, quatenus est multitudo, est non Unum, et Unum, quatenus est Unum, non est multitudo: neutrum, si fuerit in altero, Unum simul et duo erit. Verum si quid fuerit ante ipsa, quod in unum ea cogat, vel Unum est, vel non Unum.

Sed si non Unum est, illud est vel Multa vel nihil. Sed neque Multa illud est, ne multitudo sit ante ipsum Unum, neque nihil. Quomodo enim illud, quod est Nihil, coget in unum ea, quae sunt aliquid aut multa? Unum igitur solum est. Neque enim hoc Unum est Multa, ne in infinitum res procedat. Est igitur ipsum per se Unum, et omnis multitudo manans ab eo, quod est per se Unum.

## De unitate.

VI. Omnis multitudo vel ex unitis est vel ex Unitatibus. Unumquodque enim multorum quod non sit futurum et ipsa multitudo solum, et rursus hujus multitudinis unumquodque non sit futurum multitudo, cuivis est perspicuum. Si vero non est multitudo sola, vel unitum est vel sunt Unitates. Et si quidem est particeps Unius, est unitum. Si vero est ea, ex quibus conflatum est quod primo unitum est, sunt Unitates. Si enim est ipsum per se Unum, est id, quod primo participat ipsum Unum, et quod primo est unitum.

Τοῦτο δὲ ἐξ ἑνάδων. Εἰ γὰρ ἐξ ἡνωμένων, πάλιν τὰ ἡνωμένα ἔκ τινων, καὶ εἰς ἄπειρον. Δεῖ οὖν εἶναι τὸ πρώτως ἡνωμένον ἐξ ἑνάδων. Καὶ εὕρομεν τὸ ἐξ ἀρχῆς ***.

## Περὶ παραγόντων καὶ παραγομένων.

Ζ'. Πᾶν τὸ παρακτικὸν ἄλλου κρεῖττόν ἐστι τῆς τοῦ παραγομένου φύσεως. Ἤτοι γὰρ κρεῖττόν ἐστιν ἢ χεῖρον ἢ ἴσον.

Τὸ τοίνυν ἀπὸ τούτου παραγόμενον ἢ δύναμιν ἔχει καὶ αὐτὸ παρακτικὴν ἄλλου τινός, ἢ ἄγονον ὑπάρχει παντελῶς. Ἀλλ' εἰ μὲν ἄγονον εἴη, κατ' αὐτὸ τοῦτο τοῦ παράγοντος ἠλάττωται, καὶ ἔστιν ἄνισον ἐκείνῳ, γονίμῳ ὄντι καὶ δύναμιν ἔχοντι τοῦ ποιεῖν, ἀδρανὲς ὄν. Εἰ δὲ καὶ αὐτὸ παρακτικόν ἐστιν ἄλλων, ἢ καὶ αὐτὸ ἴσον ἑαυτῷ παράγει, καὶ τοῦτο ὡσαύτως ἐπὶ πάντων, καὶ ἔσται τὰ ὄντα πάντα ἴσα ἀλλήλοις, καὶ οὐδὲν ἄλλου ἄλλο κρεῖττον, ἀεὶ τοῦ παράγοντος ἴσον ἑαυτῷ τὸ ἐφεξῆς ὑφιστάντος, ἢ ἄνισον, καὶ οὐκέτ' ἂν ἴσον εἴη τῷ αὐτὸ παράγοντι.

Δυνάμεων γὰρ ἴσων ἐστὶ τὸ τὰ ἴσα ποιεῖν· τὰ δὲ ἐκ τούτων ἄνισα ἀλλήλοις, εἴπερ τὸ μὲν παραγαγὸν τῷ πρὸ αὐτοῦ ἴσον, αὐτῷ δὲ τὸ μετ' αὐτὸ ἄνισον. Οὐκ ἄρα ἴσον εἶναι δεῖ τῷ παράγοντι τὸ παραγόμενον· ἀλλὰ μὴν οὐδ' ἔλασσον ἔσται ποτὲ τὸ παραγαγόν.

Εἰ γὰρ αὐτὸ τὴν οὐσίαν τῷ παραγομένῳ δίδωσιν, αὐτὸ καὶ τὴν δύναμιν αὐτῷ χορηγεῖ κατὰ τὴν οὐσίαν.

Εἰ δὲ αὐτὸ παρακτικόν ἐστι τῆς δυνάμεως τῷ μετ' αὐτὸ πάσης, κἂν ἑαυτὸ δύναιτο ποιεῖν τοιοῦτον, οἷον ἐκεῖνο. Εἰ δὲ τοῦτο, καὶ ποιήσειεν ἂν ἑαυτὸ δυνατώτερον· οὔτε γὰρ τὸ μὴ δύνασθαι κωλύει παρούσης τῆς ποιητικῆς δυνάμεως, οὔτε τὸ μὴ βούλεσθαι.

Πάντα γὰρ τοῦ ἀγαθοῦ ὀρέγεται κατὰ φύσιν· ὥστε εἰ ἄλλο δύναται τελειότερον ἀπεργάσασθαι, κἂν αὐτὸ πρὸ τοῦ μετ' αὐτὸ τελειώσειεν. Οὔτε ἴσον ἄρα τὸ παραγόμενον τῷ παράγοντί ἐστιν, οὔτε κρεῖττον. Πάντῃ ἄρα τὸ παράγον κρεῖττον τῆς τοῦ παραγομένου φύσεως.

## Περὶ τοῦ πρώτου ἀγαθοῦ, ὃ καὶ τἀγαθὸν καλεῖται.

Η'. Πάντων τῶν ὁπωσοῦν τοῦ ἀγαθοῦ μετεχόντων ἡγεῖται τὸ πρώτως ἀγαθόν, καὶ ὃ μηδέν ἐστιν ἄλλο ἢ τἀγαθόν· εἰ γὰρ πάντα τὰ ὄντα τοῦ ἀγαθοῦ ἐφίεται, δῆλον ὅτι τὸ πρώτως ἀγαθὸν ἐπέκεινά ἐστι τῶν ὄντων. Εἰ γὰρ ταὐτόν τινι τῶν ὄντων, ἢ ταὐτόν ἐστιν ὂν καὶ τἀγαθόν, καὶ τοῦτο τὸ ὂν οὐκέτι ἂν ἐφιέμενον εἴη τοῦ ἀγαθοῦ, αὐτὸ τἀγαθὸν ὑπάρχον· τὸ γὰρ ἐφιέμενόν του, ἐνδεές ἐστιν, οὗ ὀρέγεται, καὶ τοῦ ἐφετοῦ [illegible] ἢ τὸ μὲν ἄλλο, τὸ δ' ἄλλο. Καὶ τὸ μὲν [illegible], τὸ δὲ ἔσται μετεχόμενον ἐν τούτῳ [illegible]

Τί ἄρα ἀγαθόν ἐστιν ἐν τινι τῶν [illegible]

Hoc vero *conflatum est* ex Unitatibus. Si enim *conflatum esset* ex unitis, rursus unita *conflarentur* ex aliquibus *aliis*, et sic in infinitum. Oportet autem id, quod primo unitum est, ex Unitatibus *esse conflatum*. Et sic invenimus id, quod a principio *manat* ***

## De producentibus et productis.

VII. Omne, quod alius producendi vim habet, præstantius est natura rei, quæ producitur *ab eo*. Vel enim præstantius est vel deterius vel par.

Quod igitur ab hoc producitur, et ipsum vel habet facultatem alicujus alius rei producendæ, vel infœcundum *et sterile* prorsus est. Sed si quidem infœcundum *et sterile* fuerit, per hoc ipsum est inferius eo, quod producit *aliquid*, et est impar illi, quod est fœcundum et *quod* faciendi vim habet, quoniam est infirmum *et nihil facere potest*. Si vero et ipsum aliorum producendorum vim habet, vel et ipsum producit *aliquid aliud* par sibi ipsi, et hoc pariter in omnibus *Entibus observatur*, et omnia Entia erunt paria alia aliis, nec ullum aliud erit alio præstantius, quoniam id, quod *aliud* producit, semper par sibi ipsi constituit id, quod deinceps *est et quod ipsum sequitur*, vel impar *producit*, nec amplius id, *quod producitur*, par erit ipsi ipsum producenti.

Facultatum enim parium est ipsum paria facere. Quæ vero ex his [*imparibus*] *prodeunt*, imparia *sunt* inter se, si quidem illud quidem, quod *rem aliquam* produxit, par *est* illi, quod est ante ipsum: ipsi vero illud, quod est post ipsum, *est* impar. Non igitur par esse oportet ipsi producenti id, quod *ab eo* producitur. Quin etiam ne minus quidem unquam erit id, quod *rem aliquam* produxit.

Si enim ipsum *producens* dat essentiam ei, quod *ab eo* producitur, ipsum etiam facultatem ipsi suppeditat secundum essentiam.

Si vero ipsum, *quod aliquid producit*, vim habet producendæ omnis facultatis, *quam suppeditat* illi, quod est post ipsum *producens*, et se ipsum facere poterit tale, quale *est* illud, *quod ab eo productum fuerit*. Si vero hoc *est*, etiam se ipsum potentius faciet. Neque enim ipsum non posse (*etenim imbecillitas*) hoc impedit, cum effectrix facultas adsit, neque ipsum non velle (*voluntatis defectus*).

Omnia enim secundum naturam appetunt ipsum Bonum. Quare si, *quod res aliquas producit*, aliud potest perfectius efficere, etiam *illud* ipsum perficiet *se ipsum* ante illud, quod est post ipsum. Neque igitur id, quod producitur, par est producenti, neque præstantius *eo*. Ubique igitur producens præstantius *est* natura rei, quæ producitur.

## De primo bono, quod etiam τἀγαθόν, ipsum bonum, appellatur.

VIII. Omnia, quæ quomodocumque Bonum participant, antecedit id, quod primo Bonum *vocatur*, et quod nihil aliud est, quam ipsum Bonum. Si enim omnia Entia Bonum appetunt, perspicuum *est*, quod illud primo Bonum est ante ipsa Entia. Si enim idem alicui Entium *esse dicitur*, vel idem est Ens et ipsum Bonum, et si sit hoc *ipsum*, non amplius erit appetens ipsius Boni, cum ipsum sit ipsum Bonum. Quod enim appetit aliquid, est indigens ejus, quod appetit, et *est* diversum ab eo, quod appetitur: vel hoc quidem *est* aliud, illud vero aliud. Et aliud quidem particeps erit ipsius Entis, aliud vero erit participatum in hoc ipsum Bonum.

Aliquod igitur Bonum est in aliquo entium, quæ parti

καὶ οὐ τὸ μεταςχὸν ἐφίεται μόνον, ἀλλ' οὐ τὸ ἁπλῶς ἀγαθὸν, καὶ οὗ πάντα τὰ ὄντα ἐφίεται.

Τοῦτο μὲν γὰρ κοινόν ἐστι πάντων τῶν ὄντων ἐφετόν. Τὸ δὲ ἔν τινι γενόμενον, ἐκείνου μόνου ἐστὶ τοῦ μεταςχόντος· τὸ ἄρα πρώτως ἀγαθὸν οὐδὲν ἄλλο ἐστὶν ἢ ἀγαθόν· ἂν γάρ τι ἄλλο προσθῇς, ἠλάττωσας τῇ προσθέσει τὸ ἀγαθὸν, τὶ ἀγαθὸν ποιήσας, ἀντὶ τοῦ ἀγαθοῦ τοῦ ἁπλῶς. Τὸ γὰρ προστεθὲν, οὐκ ὂν τὸ ἀγαθὸν ἀλλ' ἔλασσον ἢ ἐκεῖνο, τῇ ἑαυτοῦ οὐσίᾳ τὸ ἀγαθὸν ἠλάττωσεν.

expetunt, exsistens, et quod illud tantum, quod ipsius est particeps, appetit, non autem illud simpliciter *et generaliter dictum* Bonum, et quod omnia Entia appetunt.

Nam hoc quidem commune est omnium Entium optabile. Quod vero est in aliquo, est illius tantum, quod ipsius est particeps. Ipsum igitur primo Bonum nihil aliud est, quam Bonum. Si quid enim aliud addideris, hac additione ipsum Bonum minues, aliquod Bonum faciens, loco Boni simpliciter *dicti*. Quod enim additum fuerit, cum non sit ipsum Bonum, sed *aliquid* minus quam illud *ipsum Bonum*, sua essentia ipsum Bonum minuit.

## Περὶ αὐτάρκους.

**Θ'.** Πᾶν τὸ αὔταρκες ἢ κατ' οὐσίαν ἢ κατ' ἐνέργειαν, κρεῖττόν ἐστι τοῦ μὴ αὐτάρκους, ἀλλ' εἰς ἄλλην αἰτίαν ἠρτημένου τὴν τῆς τελειότητος αἰτίαν. Εἰ γὰρ ἅπαντα τὰ ὄντα τοῦ ἀγαθοῦ κατὰ φύσιν ὀρέγεται, καὶ τὸ μὲν ἑαυτῷ παρεκτικόν ἐστι τοῦ εὖ, τὸ δὲ ἐπιδεὲς ἄλλου· τὸ μὲν παροῦσαν ἔχει τὴν τοῦ ἀγαθοῦ αἰτίαν, τὸ δὲ χωρὶς οὖσαν· ὅσῳ δὴ οὖν ἐγγυτέρω τοῦτο τῆς τὸ ὀρεκτὸν χορηγούσης, τοσούτῳ κρεῖττον ἂν εἴη τοῦ τῆς κεχωρισμένης αἰτίας ἐνδεοῦς ὄντος, καὶ ἀλλαχόθεν ὑποδεχομένου τὴν τελειότητα τῆς ὑπάρξεως ἢ τῆς ἐνεργείας. Ἐπεὶ ὅτι καὶ ὅμοιον, καὶ ἠλαττωμένον, καὶ ὁμοιότερόν ἐστιν αὐτῷ τῷ ἀγαθῷ τὸ αὔταρκες.

Ἠλαττωμένον τὸ μετέχειν τοῦ ἀγαθοῦ, καὶ μὴ αὐτὸ εἶναι τὸ ἀγαθὸν πρώτως συγγενές πώς ἐστιν ἐκείνῳ, καθόσον παρ' ἑαυτοῦ δύναται τὸ ἀγαθὸν ἔχειν. Τὸ δὲ μετέχειν καὶ δι' ἄλλου μετέχειν μειζόνως ἀφέστηκε τοῦ πρώτως ἀγαθοῦ καὶ ὃ μηδέν ἐστιν ἄλλο ἢ ἀγαθόν.

**Ι'.** Πᾶν τὸ αὔταρκες τοῦ ἁπλῶς ἀγαθοῦ καταδεέστερόν ἐστι. Τί γὰρ ἐστιν ἄλλο τὸ αὔταρκες ἢ τὸ παρ' ἑαυτοῦ καὶ ἐν ἑαυτῷ τὸ ἀγαθὸν κεκτημένον; τοῦτο δὲ ἤδη πλῆρες τοῦ ἀγαθοῦ καὶ μετέχον, ἀλλ' οὐχὶ αὐτὸ τὸ ἁπλῶς ἀγαθόν.

Ἐκεῖνο γὰρ καὶ τοῦ μετέχειν καὶ τοῦ πλήρες εἶναι κρεῖττον, ὡς δέδεικται. Εἰ οὖν τὸ αὔταρκες πεπλήρωκεν ἑαυτὸ τοῦ ἀγαθοῦ, τὸ, ἀφ' οὗ πεπλήρωκεν ἑαυτὸ, κρεῖττον ἂν εἴη τοῦ αὐτάρκους καὶ ὑπὲρ αὐτάρκειαν· καὶ οὔτε ἐνδεές τινος τὸ ἁπλῶς ἀγαθόν.

Οὐ γὰρ ἐφίεται ἄλλου· εἴη γὰρ ἂν ἐλλειπὲς ἀγαθοῦ κατὰ τὴν ἔφεσιν, οὔτε αὔταρκες· εἴη γὰρ ἂν πλῆρες ἀγαθοῦ, καὶ οὐ τἀγαθὸν πρώτως.

## De eo, quod sufficit sibi.

IX. Omne quod sufficit sibi, vel per essentiam vel per actionem, praestantius est eo quod sibi non sufficit [et quod aliena desiderat], et *suae* perfectionis causam in alia causa positam habet, unde pendet. Si enim omnia Entia secundum naturam expetunt ipsum Bonum, et alterum quidem sibi ipsum suppeditat, quod bono est, alterum vero *est* indigens alius; alterum quidem ipsius Boni praesentem causam habet, alterum vero separatim exsistentem (*separatam ac absentem*). Quanto igitur hoc *Bonum* propius accedit ad illam *facultatem*, quae suppeditat ipsum expetendum, tanto praestantius erit eo, quod indiget separata causa, et quod aliunde suscipit perfectionem suae essentiae *et naturae*, vel actionis. Quoniam et simile et imminutum, et similius est ipsi Bono illud, quod est sibi sufficit nec alienis opibus et auxilio indiget.

Imminutum *autem censetur* ipsum participare Bonum, et non esse ipsum Bonum primo cognatum est quodammodo illi *Bono*, quatenus *hoc* a se ipso potest Bonum habere. Ipsum vero participare *Bonum*, et per aliud participare, ab ipso primo Bono magis (*longius*) abest et *ab eo*, quod nihil aliud est, quam Bonum.

X. Omne quod *modo* sufficit sibi, est inferius ipso simpliciter Bono. Quid enim aliud est illud, quod αὔταρκες vocatur, quam illud, quod possidet ipsum Bonum a se ipso *manans* et in se ipso *situm et permanens*? Hoc vero jam plenum *est* Boni, et particeps *ejus*; sed non *est* ipsum simpliciter Bonum.

Illud enim *Bonum* praestantius *est* (ut demonstratum est) et ipso participare *Bonum* et ipso plenum esse *Boni*. Si igitur ipsum αὔταρκες replevit se ipsum Bono, illud, ex quo replevit se ipsum, praestantius erit eo, quod est αὔταρκες (*sibi sufficiens suisque bonis contentum*), et erit supra eam vitae conditionem. Et ipsum simpliciter Bonum nullius *rei est* indigens.

Haud enim expetit aliud *quidquam*. Per ipsum enim Boni desiderium esset imperfectum, nec *esset* αὔταρκες. Esset enim Boni plenum, et non ipsum primo Bonum.

## Περὶ αἰτίου.

**ΙΑ'.** Πάντα τὰ ὄντα πρόεισιν ἀπὸ μιᾶς αἰτίας, τῆς πρώτης. Ἢ γὰρ οὐδενός ἐστιν αἰτία τῶν ὄντων, ἢ κύκλῳ τὰ αἴτια πεπερασμένων τῶν πάντων, ἢ ἐπ' ἄπειρον ἡ ἄνοδος, καὶ ἄλλου ἄλλο αἴτιον, καὶ οὐδαμοῦ στήσεται ἡ τῆς αἰτίας προϋπόστασις.

Ἀλλ' εἰ μὲν μηδὲν ... τῶν ὄντων αἴτιον, οὔτ

## De causa.

XI. Omnia entia ab una prima causa progrediuntur. Aut enim nullius Entium est causa, aut in orbem *feruntur* omnium *rerum* finitarum causae, aut in infinitum *est ipsa rerum progressus et* ascensus, et alia *est rei* alius causa, nec usquam subsistet causae prohypostasis, *primaque rerum natura semper in infinitum progredietur*.

Sed si quidem nullius Entium causa fuerit, neque re

τάξις ἔσται δευτέρων καὶ πρώτων, τελειούντων καὶ τελειουμένων, κοσμούντων καὶ κοσμουμένων, γεννώντων καὶ γεννωμένων, ποιούντων καὶ πασχόντων, οὔτε ἐπιστήμη τῶν ὄντων οὐδενός.

Ἡ γὰρ τῶν αἰτίων γνῶσις ἐπιστήμης ἐστὶν ἔργον· καὶ τότε λέγομεν ἐπίστασθαι, ὅταν τὰ αἴτια γνωρίσωμεν τῶν ὄντων. Εἰ δὲ κύκλῳ περίεισι τὰ αἴτια, τὰ αὐτὰ πρότερα ἔσται καὶ ὕστερα, δυνατώτερά τε καὶ ἀσθενέστερα. Πᾶν γὰρ τὸ παράγον κρεῖττόν ἐστι τῆς τοῦ παραγομένου φύσεως. Διαφέρει δὲ οὐδὲν τὸ διὰ πλειόνων ἢ δι' ἐλασσόνων μέσων συνάπτειν τῷ αἰτιατῷ τὸ αἴτιον, καὶ ποιεῖν ἀπ' ἐκείνου.

Καὶ γὰρ τῶν μεταξὺ πάντων ἔσται κρεῖττον, ὧν ἐστιν αἴτιον. Καὶ ὅσῳ ἂν πλείω τὰ μέσα, τοσούτῳ μειζόνως αἴτιον· εἰ δ' ἐπ' ἄπειρον ἡ τῶν αἰτίων πρόσθεσις, καὶ ἄλλο πρὸ ἄλλου ἀεὶ πάλιν, οὐδενὸς ἐπιστήμη ἔσται. Τῶν γὰρ ἀπείρων οὐδενός ἐστι γνῶσις· τῶν δ' αἰτίων ἀγνοουμένων οὐδὲ τῶν ἑξῆς ἐπιστήμη ἔσται. Εἰ οὖν καὶ αἰτίαν εἶναι δεῖ τῶν ὄντων, καὶ διώρισται τὰ αἴτια τῶν αἰτιατῶν, καὶ οὐκ εἰς ἄπειρον ἡ ἄνοδος, ἔστιν αἰτία πρώτη τῶν ὄντων, ἀφ' ἧς οἷον ἐκ ῥίζης πρόεισιν ἕκαστα, τὰ μὲν ἐγγὺς ὄντα ἐκείνης, τὰ δὲ πορρώτερον· ὅτι γὰρ μίαν εἶναι δεῖ τὴν ἀρχήν, δέδεικται, διότι πᾶν πλῆθος δεύτερον ὑφέστηκε τοῦ ἑνός.

ΙΒ'. Πάντων τῶν ὄντων ἀρχὴ καὶ αἰτία πρωτίστη τὸ ἀγαθόν ἐστιν. Εἰ γὰρ ἀπὸ μιᾶς αἰτίας πάντα πρόεισιν, ἐκείνην τὴν αἰτίαν ἢ τἀγαθὸν χρὴ λέγειν ἢ τἀγαθοῦ κρεῖττον. Ἀλλ' εἰ μὲν κρείττων ἐκείνη τοῦ ἀγαθοῦ, πότερον ἥκει τι καὶ ἀπ' ἐκείνης εἰς τὰ ὄντα καὶ τὴν φύσιν τῶν ὄντων, ἢ οὐδέν; καὶ εἰ μὲν μηδέν, ἄτοπον· οὐ γὰρ ἂν ἔτι φυλάττοιμεν αὐτὴν ἐν αἰτίας τάξει· δέον πανταχοῦ παρεῖναί τι τοῖς αἰτιατοῖς ἐκ τῆς αἰτίας, καὶ διαφερόντως ἐκ τῆς πρωτίστης, ἐξ ἧς πάντα ἐξήρτηται, καὶ δι' ἣν ἐστιν ἕκαστα τῶν ὄντων.

Εἰ δὲ ἔστι μετουσία κἀκείνης τοῖς οὖσιν, ὥσπερ καὶ τἀγαθοῦ, ἔσται τι τῆς ἀγαθότητος κρεῖσσον ἐν τοῖς οὖσιν, ἥκον ἀπὸ τῆς πρωτίστης αἰτίας. Οὐ γάρ που, κρείσσων οὖσα καὶ ὑπὲρ τἀγαθόν, καταδεέστερόν τι δίδωσι τοῖς δευτέροις, ὧν τὸ μετ' αὐτὴν δίδωσι.

Καὶ τί ἂν γένοιτο τῆς ἀγαθότητος κρεῖσσον; ἐπεὶ καὶ αὐτὸ τὸ κρεῖσσον τὸ μειζόνως ἀγαθοῦ μετειληφὸς εἶναι λέγομεν. Εἰ οὖν οὐδὲ κρεῖσσον λέγοιτο τὸ μὴ ἀγαθόν, τοῦ ἀγαθοῦ πάντως δεύτερον· εἰ δὲ καὶ τὰ ὄντα πάντα τοῦ ἀγαθοῦ ἐφίεται, πῶς ἔτι πρὸ τῆς αἰτίας ταύτης εἶναί τι δυνατόν; εἴτε γὰρ ἐφίεται κἀκείνου, πῶς τοῦ ἀγαθοῦ μάλιστα; εἴτε μὴ ἐφίεται, πῶς τῆς πάντων αἰτίας οὐκ ἐφίεται, προελθόντα ἀπ' αὐτῆς; εἰ δὲ ἀγαθόν ἐστιν, ἀφ' οὗ πάντα ἐξήρτηται τὰ ὄντα, ἀρχὴ καὶ αἰτία πρωτίστη τῶν πάντων ἐστὶ τἀγαθόν.

ΙΓ'. Πᾶν ἀγαθὸν ἑνωτικόν ἐστι τῶν μετεχόντων αὐτοῦ, καὶ πᾶσα ἕνωσις ἀγαθόν, καὶ τἀγαθὸν τῷ ἑνὶ ταὐτόν. Εἰ γὰρ τὸ ἀγαθόν ἐστι σωστικὸν τῶν ὄντων ἁπάντων (διὸ καὶ ἐφετὸν ὑπάρχει πᾶσι), τὸ δὲ σωστι-

cundorum et primorum *ullus* erit ordo, perficientium et eorum quæ perficiuntur, ordinantium et eorum quæ ordinantur, generantium et eorum quæ generantur, agentium et patientium, nec *erit* scientia ullius Entium.

Ipsa enim causarum cognitio est scientiæ opus. Et tunc dicimus *nos aliquid* scire, cum ipsa Entium causas cognoscimus. Si vero causæ circumeant in orbem, eadem erunt et priora et posteriora, et potentiora et infirmiora. Omne enim quod *res aliquas* producit, præstantius est ipsa natura ejus quod producitur. Nihil autem interest, utrum per plura, an vero per pauciora media conjungamus causam cum causato, et ab illo effectum præstemus.

Etenim *ipsa causa* præstantior erit omnibus interjectis, quorum est causa. Et quo plura *fuerint* ipsa media, tanto magis causa *dicetur rerum causatarum causa*. Si vero causarum redditio *progrediatur* in infinitum, et aliud ante aliud semper *sit* rursus, *rei* nullius erit scientia. Nullius enim infinitorum est cognitio. Si vero causæ *rerum* ignorentur, ne earum quidem, quæ *causas* sequuntur, scientia erit. Si igitur etiam Entium causam oportet esse, et causæ a causatis distinctæ sunt, et ascensus *ad causas* non *fit* in infinitum, est causa prima Entium, a qua tanquam a radice progrediuntur singula. Quorum alia quidem sunt prope illam *causam*; alia vero procul *ab ea sunt*. Quod enim unum oporteat esse *rerum* principium, demonstratum est, quoniam omnis multitudo posterior est ipso Uno.

XII. Omnium Entium principium et prima causa est ipsum Bonum. Si enim ab una causa omnia progrediuntur, illam causam vel ipsum Bonum oportet dicere vel *aliquid* ipso Bono præstantius. Sed si quidem illa *causa est* præstantior ipso Bono, utrum manat aliquid etiam ab illa *causa* in Entia et *in* Entium naturam, an nihil? Et si quidem nihil *illinc ad alia manare dicas*, *hoc erit* absurdum. Non enim amplius ipsam in causæ ordine servabimus, *nec inter causas ponemus*: quoniam oportet ubique causatis aliquid adesse, *quod manat* a causa, et præcipue a prima, ex qua omnia pendent, et propter quam singula Entia sunt.

Si vero illius etiam *primæ causæ* communio est ipsis Entibus, ut et ipsius Boni, erit aliquid ipsa Bonitate præstantius in Entibus, manans a prima causa. Nullo enim modo, si sit præstantior et supra Bonum *illa*, deterius aliquid dat secundis, quam ea sunt, quæ id, quod post ipsam (*primam causam*) est, dat.

Et quidnam fuerit Bonitate præstantius? quoniam et illud ipsum, quod est præstantius, majorem in modum Boni particeps esse dicimus. Si vero ne præstantius quidem dicatur id, quod non est Bonum, prorsus *hoc erit* ipso Bono posterius. Si vero etiam omnia Entia ipsum Bonum expetunt, quomodo etiam ante causam istam aliquid esse potest? Sive enim *Entia* expetunt illud *quod est ante causam istam*, quomodo ipsum Bonum maxime *expetunt*? sive non expetunt, quomodo non expetunt illam omnium causam, cum ab ipsa sint progressa? Si igitur bonum est illud, ex quo omnia Entia pendent, ipsum Bonum est omnium principium et causa prima.

XIII. Omne Bonum vim habet uniendi ea, quæ participant ipsum. Et omnis Unio Bonum *est*, et ipsum Bonum *est* idem cum ipso Uno. Si enim ipsum Bonum omnium conservandorum vim habet (quam ob rem etiam est omnibus optabile): id vero, quod conservandi vim habet, et

κὸν καὶ συνεκτικὸν τῆς ἑκάστων οὐσίας ἐστὶ τὸ ἕν (τῷ γὰρ ἑνὶ σώζεται πάντα, καὶ ὁ σκεδασμὸς ἕκαστον ἐξίστησι τῆς οὐσίας), τὸ ἀγαθὸν, οἷς ἂν παρῇ, ταῦτα ἓν ἀπεργάζεται καὶ συνέχει κατὰ τὴν ἕνωσιν. Καὶ εἰ τὸ ἓν συναγωγόν ἐστι καὶ συνεκτικὸν τῶν ὄντων, ἕκαστον τελειοῖ κατὰ τὴν ἑαυτοῦ παρουσίαν.

Καὶ ἀγαθὸν ἄρα ταύτῃ ἐστὶ τὸ ἡνῶσθαι πᾶσιν. Εἰ δὲ καὶ ἡ ἕνωσις ἀγαθὸν, καὶ καθ' αὑτὸ καὶ τὸ ἀγαθὸν ἑνοποιὸν, τὸ ἁπλῶς ἀγαθὸν καὶ τὸ ἁπλῶς ἓν ταὐτὸν, ἑνίζον ἅμα καὶ ἀγαθῦνον τὰ ὄντα. Ὅθεν δὴ καὶ τὰ τἀγαθοῦ τρόπον τινὰ ἀποπεσόντα καὶ τῆς τοῦ ἑνὸς ἅμα στέρεται μεθέξεως. Καὶ τὰ τοῦ ἑνὸς ἄμοιρα γινόμενα, διαστάσεως ἀναπιμπλάμενα, καὶ τοῦ ἀγαθοῦ στέρεται κατὰ τὸν αὐτὸν τρόπον. Ἔστιν ἄρα καὶ ἡ ἀγαθότης ἕνωσις, καὶ ἡ ἕνωσις ἀγαθότης, καὶ τὸ ἀγαθὸν ἕν, καὶ τὸ ἓν πρώτως ἀγαθόν.

singulorum essentiam *naturamque* continere potest, est ipsum Unum (per ipsum enim Unum omnia conservantur et ipsa dissipatio unumquodque expellit ex *sua essentia et natura*): *ergo* ipsum Bonum, quibus adfuerit, haec Unum efficit et continet per Unionem. Et si ipsum Unum vim habet congregandorum et continendorum Entium, unumquodque *eorum* per suam praesentiam perficit.

Bonum igitur etiam est hoc modo unitum esse cum omnibus (*pro* Unio *igitur*, *qua res cum omnibus unit*, *est Bonum*). Si vero et ipsa Unio Bonum *est* per se, et ipsum Bonum *est* Unificum (*i. e. res in unum cogit*, *ac ex multis Unum facit*), *ergo* illud, quod est simpliciter Bonum, et ipsum simpliciter Unum *est* Idem, quoniam et unit simul et bona facit Entia. Quamobrem etiam ea, quae quodam modo ex ipso Bono exciderunt, ipsa quoque Unius communione simul privantur. Et ea, quae sunt Unius expertia, quod intervallo repleantur, etiam ipso Bono privantur eodem modo. Est igitur et ipsa Bonitas Unio, et ipsa Unio Bonitas, et ipsum Bonum Unum, et ipsum Unum primo Bonum.

## Περὶ ἀκινήτου καὶ αὐτοκινήτου ἀρχῆς ἢ αἰτίας.

## De immobili et per se mobili principio vel causa.

ΙΔ'. Πᾶν τὸ ὂν ἢ ἀκίνητόν ἐστιν ἢ κινούμενον· καὶ εἰ κινούμενον, ἢ ὑφ' ἑαυτοῦ ἢ ὑπ' ἄλλου· καὶ εἰ μὲν ὑφ' ἑαυτοῦ, αὐτοκίνητόν ἐστιν· εἰ δὲ ὑπ' ἄλλου, ἑτεροκίνητον. Πᾶν ἄρα ἢ ἀκίνητόν ἐστιν ἢ αὐτοκίνητον ἢ ἑτεροκίνητον.

Ἀνάγκη γὰρ τῶν ἑτεροκινήτων ὄντων εἶναι καὶ τὸ ἀκίνητον, καὶ μεταξὺ τούτων τὸ αὐτοκίνητον. Εἰ γὰρ πᾶν τὸ ἑτεροκίνητον ὑπ' ἄλλου κινούμενον κινεῖται, ἢ κύκλῳ αἱ κινήσεις, ἢ ἐπ' ἄπειρον· ἀλλ' οὔτε κύκλῳ, οὔτε ἐπ' ἄπειρον, εἴπερ ὥρισται τῇ ἀρχῇ τὰ ὄντα πάντα, καὶ τὸ κινοῦν τοῦ κινουμένου κρεῖττον.

Ἔσται τι ἄρα ἀκίνητον πρῶτον κινοῦν· ἀλλ' εἰ ταῦτα, ἀνάγκη καὶ τὸ αὐτοκίνητον εἶναι. Εἰ γὰρ σταίη τὰ πάντα, τί ποτε ἔσται τὸ πρώτως κινούμενον;

Οὔτε γὰρ τὸ ἀκίνητον (οὐ γὰρ πέφυκεν) οὔτε τὸ ἑτεροκίνητον (ὑπ' ἄλλου γὰρ κινεῖται)· λείπεται ἄρα τὸ αὐτοκίνητον εἶναι τὸ πρώτως κινούμενον· ἐπεὶ καὶ τοῦτό ἐστι τὸ τῷ ἀκινήτῳ τὰ ἑτεροκίνητα συνάπτον, μέσον πως ὂν, κινοῦν τε ἅμα καὶ κινούμενον. Ἐκείνων γὰρ τὸ μὲν κινεῖ μόνον, τὸ δὲ κινεῖται μόνον.

Πᾶν ἄρα τὸ ὂν ἢ ἀκίνητόν ἐστιν ἢ αὐτοκίνητον ἢ ἑτεροκίνητον· ἐκ δὴ τούτων κἀκεῖνο φανερὸν, ὅτι τῶν μὲν κινουμένων τὸ αὐτοκίνητον πρῶτον· τῶν δὲ κινούντων, τὸ ἀκίνητον.

XIV. Omne Ens vel immobile est vel mobile. Et si mobile est, vel a se ipso vel ab alio *movetur*: si a se ipso, est αὐτοκίνητον (*per se mobile*); si vero ab alio, ἑτεροκίνητον (*ab altero motum*). Omne igitur *Ens* vel immobile est vel per se mobile vel ab altero motum.

Necesse enim *est*, si sunt ea, quae ab altero moventur, esse et illud, quod est immobile, et inter ista illud, quod est per se mobile. Si enim omne quod ab altero movetur, *tunc* movetur, cum ab alio movetur, vel in orbem *fiunt* hae motiones, vel in infinitum *progrediuntur*. Sed nec in orbem *fiunt*, nec in infinitum *progrediuntur*, si quidem ipso principio omnia Entia terminantur *et definiuntur*, et id quod movet, *est* praestantius eo quod movetur.

Erit igitur aliquid immobile primum *alia* movens. Sed si haec nobis conceduntur, necesse *est* illud etiam esse, quod per se movetur. Etenim si starent omnia *immota*, quidnam tandem erit, quod primo movetur?

Neque enim ipsum immobile *erit id quod primo movetur* (haud enim natura comparatum est, *ut tale quid fiat*), neque id, quod ab altero movetur (ab alio enim movetur): restat igitur, ut illud, quod per se movetur, sit id, quod primo movetur. Quoniam hoc est illud, quod cum immobili conjungit ea, quae ab altero moventur, quia quodammodo medium est, dum simul et movet et movetur. Illorum enim alterum quidem movet tantum, alterum vero movetur tantum.

Omne igitur Ens vel immobile est vel per se mobile vel ab altero motum. Ex his igitur et illud *est* manifestum, quod illorum quidem quae moventur, primum *est illud* quod per se movetur, illorum vero quae movent *res alias*, *primum est illud* quod est immobile.

## Περὶ ἀσωμάτου οὐσίας, καὶ τί ἴδιον αὐτῆς.

## De incorporea essentia, et quodnam sit ipsius proprium.

ΙΕ'. Πᾶν τὸ πρὸς ἑαυτὸ ἐπιστρεπτικὸν ἀσώματόν ἐστιν. Οὐδὲν γὰρ τῶν σωμάτων πρὸς ἑαυτὸ πέφυκεν ἐπιστρέφειν. Εἰ γὰρ τὸ ἐπιστρέφον πρός τι συνάπτεται ἐκείνῳ, πρὸς ὃ ἐπιστρέφει, δῆλον δὴ, ὅτι καὶ τὰ μέρη

XV. Omne quod rerum ad se convertendarum *ac reducendarum* (*vel* ad se revertendi) facultatem habet, incorporeum est. Nullum enim corpus ad se *res convertere et reducere* (*vel* ad se reverti) naturaliter solet. Si enim id, quod ad aliquid se convertit, cum illo conjungitur ad quod se convertit, per [illegible] est, quod et omnes

τοῦ σώματος πάντα πρὸς πάντα συνῆπτε τὰ τοῦ πρὸς ἑαυτὸ ἐπιστραφέντος.

Τοῦτο γὰρ ἦν τὸ πρὸς ἑαυτὸ ἐπιστραφῆναι, ὅταν ἓν γένηται ἄμφω, τό τε ἐπιστραφὲν, καὶ πρὸς ὃ ἐπεστράφη. Ἀδύνατον δὲ ἐπὶ σώματος τοῦτο, καὶ ὅλως τῶν μεριστῶν πάντων.

Οὐ γὰρ ὅλον ὅλῳ συνάπτεται αὐτῷ τὸ μεριστὸν διὰ τὸν τῶν μερῶν χωρισμὸν, ἄλλων ἀλλαχοῦ κειμένων. Οὐδὲν ἄρα σῶμα πρὸς ἑαυτὸ πέφυκεν ἐπιστρέφειν, ὡς ὅλον ἐπεστράφθαι πρὸς ὅλον.

Εἴ τι ἄρα πρὸς ἑαυτὸ ἐπιστρεπτικόν ἐστιν, ἀσώματόν ἐστι καὶ ἀμερές.

ΙϚ'. Πᾶν τὸ πρὸς ἑαυτὸ ἐπιστρεπτικὸν χωριστὴν οὐσίαν ἔχει παντὸς σώματος. Εἰ γὰρ ἀχώριστον εἴη σώματος οὑτινοσοῦν, οὐχ ἕξει τινὰ ἐνέργειαν σώματος χωριστόν· ἀδύνατον γὰρ ἀχωρίστου τῆς οὐσίας σωμάτων οὔσης, τὴν ἀπὸ τῆς οὐσίας ἐνέργειαν εἶναι χωριστήν. Ἔσται γὰρ οὕτως ἡ ἐνέργεια τῆς οὐσίας κρείττων· εἴπερ ἡ μὲν ἐπιδεής ἐστι σωμάτων, ἡ δὲ αὐτάρκης ἑαυτῆς οὖσα, καὶ οὐ σωμάτων. Εἰ οὖν τι κατ' οὐσίαν ἐστὶν ἀχώριστον, καὶ κατ' ἐνέργειαν ὁμοίως ἢ καὶ ἔτι μᾶλλον ἀχώριστον. Εἰ δὲ τοῦτο οὐκ ἐπιστρέφει πρὸς ἑαυτό (ἐπιστρέφον, ἄλλο ὂν σώματος, ἐνέργειαν ἕξει χωριζομένην σώματος, καὶ οὐ διὰ σώματος, οὐδὲ μετὰ σώματος, εἴπερ ἥ τε ἐνέργεια καὶ τὸ, πρὸς ὃ ἡ ἐνέργεια, οὐδὲν δεῖται τοῦ σώματος), χωριστὸν ἄρα πάντη σωμάτων ἐστὶ τὸ πρὸς ἑαυτὸ ἐπιστρεφόν.

ΙΖ'. Πᾶν τὸ ἑαυτὸ κινοῦν πρώτως, πρὸς ἑαυτό ἐστιν ἐπιστρεπτικόν· εἰ γὰρ κινεῖ ἑαυτὸ καὶ ἡ κινητικὴ ἐνέργεια αὐτοῦ πρὸς ἑαυτό ἐστι, καὶ ἓν ἅμα τὸ κινοῦν καὶ τὸ κινούμενον· ἢ γὰρ μέρει μὲν κινεῖ, μέρει δὲ κινεῖται, [ἢ ὅλον κινεῖ καὶ κινεῖται,] ἢ ἔμπαλιν. Ἀλλ' εἰ μέρος μὲν ἄλλο ἐστὶ τὸ κινοῦν, μέρος δὲ ἄλλο τὸ κινούμενον, οὐκ ἔσται καθ' αὑτὸ αὐτοκίνητον, ἐκ μὴ αὐτοκινήτων ὑφεστὼς, ἀλλὰ δοκοῦν μὲν αὐτοκίνητον, οὐκ ὂν δὲ κατ' οὐσίαν τοιοῦτον.

Εἰ δὲ ὅλον κινεῖ, μέρος δὲ κινεῖται, ἢ ἔμπαλιν, ἔσται τι μέρος ἐν ἀμφοτέροις, καθ' ὃ ἅμα κινοῦν καὶ κινούμενον. Καὶ τοῦτό ἐστι τὸ πρώτως αὐτοκίνητον. Εἰ δὲ ἓν καὶ αὐτὸ κινεῖ καὶ κινεῖται, τὴν τοῦ κινεῖν ἐνέργειαν πρὸς ἑαυτὸ ἕξει, κινητικὸν ἑαυτοῦ ὄν· πρὸς ὃ δὲ ἐνεργεῖ, πρὸς τοῦτο ἐπέστραπται. Πᾶν ἄρα τὸ ἑαυτὸ κινοῦν πρώτως, πρὸς ἑαυτό ἐστιν ἐπιστρεπτικόν.

ΙΗ'. Πᾶν τὸ τῷ εἶναι χορηγοῦν ἄλλοις, αὐτὸ πρώτως ἐστὶ τοῦτο, οὗ μεταδίδωσι τοῖς χορηγουμένοις. Εἰ γὰρ αὐτῷ τῷ εἶναι δίδωσι, καὶ ἐκ τῆς ἑαυτοῦ οὐσίας ποιεῖται τὴν μετάδοσιν, ὃ μὲν δίδωσιν, ὑφειμένον ἐστὶ τῆς αὐτοῦ οὐσίας, ὃ δέ ἐστι, μειζόνως ἐστὶ καὶ τελειοτέρως· εἴπερ πᾶν τὸ ὑποστατικόν τινος κρεῖττόν ἐστι τῆς τοῦ ὑφισταμένου φύσεως· καὶ τὸ δοθὲν ἄρα ἐν αὐτῷ τῷ δεδωκότι κρειττόνως ἐστὶ καὶ εἴπερ ἐκεῖνό ἐστιν, ἀλλ' οὐ ταὐτὸν ἐκείνῳ· πρώτως γὰρ ἔστι

corporis partes conjunget cum omnibus *partibus* illius, quod ad se ipsum convertitur.

Hoc enim est ad se reverti, cum ambo fiunt unum, et illud, quod *conversum ac* reversum est, et illud, ad quod *aliquid se convertit ac* reversum est. Hoc autem in corpore *est* impossibile, et generaliter *in* omnibus dividuis *rebus*.

Haud enim ipsum totum dividuum cum ipso toto conjungitur propter partium divisionem, quod aliae *partes* alibi sitae sint. Nullum igitur corpus ad se reverti naturaliter solet, ita ut totum ad totum revertatur.

Si quid igitur rerum ad se convertendum ac reducendarum vim habet, est incorporeum et individuum.

XVI. Omne quod ad se revertendi facultate praeditum est, essentiam ab omni corpore separatam habet. Si enim a quovis corpore inseparabile esset, non haberet aliquam actionem a corpore separatam. Fieri enim non potest, ut, si essentia sit inseparabilis a corporibus, actio ab essentia *manans, a corporibus* sit separabilis. Sic enim actio praestantior esset essentia: siquidem *haec* quidem (*essentia*) indigens est corporum, haec vero (*actio*) sua sorte est contenta, nec *indiget* corporum. Si quod igitur per essentiam est inseparabile, *illud* etiam per actionem pariter, vel etiam multo magis *est* inseparabile. Si vero hoc non revertitur ad se (quod enim ad se revertitur, cum aliud *diversumque* sit a corpore, actionem habet a corpore separatam, neque per corpus *agentem*, neque cum corpore *conjunctam*, *neque simul agentem*: et quidem et ipsa actio et *illud* ad quod actio *fertur, et in quod agit,* corpore non indiget): quod igitur ad se revertitur, ubique (*vel* prorsus) a corporibus est separatum.

XVII. Omne quod se ipsum primo movet, ad se ipsum revertendi facultate praeditum est. Si enim movet se ipsum, et illius motrix ipsius actio apud semet ipsum est, *ergo* et unum simul *est illud* quod movet, et illud quod movetur. Vel enim parte quidem movet, parte vero movetur, [vel totum movet et movetur], vel contra. Sed si pars quidem alia est quae movet, pars vero alia quae movetur, non erit per se id, quod per se movetur, quia subsistet *conflatum* ex iis quae non sunt per se mobilia; sed videbitur quidem per se mobile, non erit tamen tale per essentiam.

Si vero totum movet, pars vero movetur, aut contra, erit aliqua pars in utroque, quae in uno *eodemque subjecto* simul movet et movetur. Et hoc est illud primo per se mobile. Si vero unum et idem movet et movetur, ipsum movendi actionem apud se habebit, quia sui ipsius movendi facultatem habet. In quod vero agit, ad illud revertitur. Omne igitur, quod se ipsum primo movet, ad se ipsum revertendi facultate praeditum est.

XVIII. Omne quod esse suppeditat aliis, ipsum est primo id, quod impertit iis, quibus hoc *esse* suppeditatur. Si enim illud ipsum esse dat *illis*, et de sua essentia facit illam communicationem suppeditationem, quod quidem dat, *id* subjectum est ipsius essentiae (sive ea inferius et deterius est): quod vero est, *illud* magis et perfectius est. Siquidem omne, quod aliquid constituendi facultatem habet, praestantius est natura ejus (sc. rei) quod constituitur. Proinde quum id quod datur, hoc quidem (sc. alterum quidem) in ipso quod dedit, praestantiore modo est, et *est* quod illud est, neque tamen idem atque illud. Primo enim

τὸ δὲ δευτέρως· ἀνάγκη γὰρ ἢ τὸ αὐτὸ εἶναι ἑκάτερον καὶ ἕνα λόγον ἀμφοτέρων, ἢ μηδὲν εἶναι κοινὸν, μηδὲ ταὐτὸν ἐν ἀμφοῖν, ἢ τὸ μὲν πρώτως εἶναι, τὸ δὲ δευτέρως. Ἀλλ' εἰ μὲν ὁ αὐτὸς λόγος, οὐκ ἂν ἔτι τὸ μὲν αἴτιον εἴη, τὸ δὲ ἀποτέλεσμα. Οὐδ' αὖ τὸ μὲν καθ' ἑαυτὸ, τὸ δὲ ἐν τῷ μετασχόντι· οὐδὲ τὸ μὲν ποιοῦν, τὸ δὲ γινόμενον. Εἰ δὲ μηδὲν ἔχει ταὐτὸν, οὐκ ἂν τῷ εἶναι θάτερον ὑφίσταιτο τὸ λοιπὸν, μηδὲν πρὸς τῷ εἶναι τὸ ἐκείνου κοινωνοῦν. Λείπεται ἄρα τὸ μὲν εἶναι πρώτως, ὃ δίδωσι· τὸ δὲ δευτέρως, ὃ τὸ διδόμενόν ἐστιν· ἐν οἷς αὐτῷ τῷ εἶναι ἐκ θατέρου χορηγεῖται.

ΙΘ'. Πᾶν τὸ πρώτως ἐνυπάρχον τινὶ φύσει τῶν ὄντων πᾶσι πάρεστι τοῖς κατ' ἐκείνην τὴν φύσιν τεταγμένοις καθ' ἕνα λόγον καὶ ὡσαύτως· εἰ γὰρ μὴ πᾶσιν ὡσαύτως, ἀλλὰ τοῖς μὲν, τοῖς δ' οὔ, δῆλον, ὡς οὐκ ἦν ἐν ἐκείνῃ τῇ φύσει πρώτως, ἀλλ' ἐν ἄλλοις μὲν πρώτως, ἐν ἄλλοις δὲ δευτέρως, τοῖς ποτε μετέχουσιν· τὸ γὰρ ποτὲ μὲν ὑπάρχον, ποτὲ δὲ μὴ, οὐ πρώτως οὐδὲ καθ' αὑτὸ ὑπάρχει· ἀλλ' ἐπεισοδιῶδές ἐστι καὶ ἀλλαχόθεν ἐφῆκον, οἷς ἂν οὕτως ὑπάρχει.

Κ'. Πάντων σωμάτων ἐπέκεινά ἐστιν ἡ ψυχῆς οὐσία, καὶ πασῶν ψυχῶν ἐπέκεινα ἡ νοερὰ φύσις, καὶ πασῶν τῶν νοερῶν ὑποστάσεων ἐπέκεινα τὸ ἕν. Πᾶν γὰρ σῶμα κινητόν ἐστιν ὑφ' ἑτέρου, κινεῖν δὲ ἑαυτὸ οὐ πέφυκεν, ἀλλὰ ψυχῆς μετουσίᾳ κινεῖται ἐξ αὐτοῦ, καὶ ζῇ διὰ ψυχὴν, καὶ παρούσης μὲν ψυχῆς αὐτοκίνητόν πώς ἐστιν, ἀπούσης δὲ ἑτεροκίνητον, ὡς ταύτην ἔχον καθ' αὑτὸ τὴν φύσιν, καὶ ὡς ψυχῆς αὐτοκίνητον οὐσίαν λαχούσης.

ᾯ γὰρ ἂν παραγένηται, τούτῳ μεταδίδωσιν αὐτοκινησίας. Οὗ δὲ μεταδίδωσιν αὐτῷ τῷ εἶναι, τοῦτο πολλῷ πρότερον αὐτή ἐστιν. Ἐπέκεινα ἄρα σωμάτων ἐστὶν, ὡς αὐτοκίνητος κατ' οὐσίαν, τῶν κατὰ μέθεξιν αὐτοκινήτων γινομένων. Πάλιν δὲ ἡ ψυχὴ κινουμένη ἀφ' ἑαυτῆς δευτέραν ἔχει τάξιν τῆς ἀκινήτου φύσεως καὶ κατ' ἐνέργειαν ἀκινήτου ὑφεστώσης.

Διὸ πάντων μὲν τῶν κινουμένων ἡγεῖται τὸ αὐτοκίνητον, πάντων δὲ τῶν κινούντων τὸ ἀκίνητον. Εἰ οὖν ἡ ψυχὴ κινουμένη ὑφ' ἑαυτῆς τὰ ἄλλα κινεῖ, δεῖ πρὸ αὐτῆς εἶναι τὸ ἀκινήτως κινοῦν. Νοῦς δὲ κινεῖ, ἀκίνητος ὢν, καὶ ἀεὶ κατὰ τὰ αὐτὰ ἐνεργῶν. Καὶ γὰρ ἡ ψυχὴ διὰ νοῦν μετέχει τοῦ ἀεὶ νοεῖν, ὥσπερ σῶμα διὰ ψυχὴν τὸ ἑαυτὸ κινεῖν.

Εἰ γὰρ ἦν ἐν ψυχῇ τὸ ἀεὶ νοεῖν πρώτως, πάσαις ἂν ὑπῆρχε ψυχαῖς, ὥσπερ καὶ τὸ ἑαυτὴν κινεῖν. Οὐκ ἄρα ψυχῇ τοῦτο ὑπάρχει πρώτως· δεῖ ἄρα πρὸ αὐτῆς εἶναι τὸ πρώτως νοητικόν· πρὸ τῶν ψυχῶν ἄρα ὁ νοῦς.

Ἀλλὰ μὴν καὶ πρὸ τοῦ νοῦ τὸ ἕν, νοῦς γὰρ εἰ καὶ ἀκίνητος, ἀλλ' οὐχ ἕν· νοεῖ γὰρ ἑαυτὸν, καὶ ἐνεργεῖ περὶ ἑαυτὸν, καὶ τοῦ μὲν ἑνὸς πάντα μετέχει τὰ ὁπωσ-

est. Hoc vero secundo. Necesse enim *est* vel utrumque esse idem, et unam *ac eandem* rationem *ac definitionem* utriusque, vel nihil esse commune, neque idem in utroque, vel alterum quidem primo esse, alterum vero secundo. Sed si quidem *utriusque est* eadem ratio *et definitio*, non amplius alterum quidem erit causa efficiens, alterum vero effectum. Neque alterum quidem *erit* per se, alterum vero in eo, quod particeps *ejus* fuerit. Neque alterum quidem *erit* faciens, alterum vero id quod fit. Si vero nihil habet, *quod sit* idem, nequaquam eo, quod sit alterum, constitueretur id quod est reliquum, quod præter ipsum Esse nihil habet quod ipsi cum illo sit commune. Restat igitur, ut illud quidem primo sit, quod *alteri* dat ipsum *Esse*: illud vero secundo *sit*, quod est id quod datur. In quibus per ipsum Esse alteri ab altero suppeditatur.

XIX. Omne quod primo inest alicui naturæ Entium, omnibus adest, quæ sunt secundum illam naturam collocata, secundum unam rationem et pariter. Nisi enim omnibus pariter *adesset*, sed aliis quidem *adesset pariter*, aliis vero non, perspicuum *est*, quod non esset primo in illa natura; sed in aliis quidem primo, in aliis vero secundo, quæ aliquando participant *illam naturam*. Quod enim aliquando quidem exsistit, aliquando vero non, *illud* neque primo neque per se exsistit; sed adventitium est et aliunde *manans atque* perveniens *ad ea*, quibus sic inest.

XX. Animæ essentia est supra omnia corpora, et intellectualis natura est supra omnes animas, et ipsum Unum est supra omnes intellectuales hypostases *atque naturas*. Omne enim corpus est ab altero mobile, se ipsum vero movere naturaliter non potest, sed per animæ communionem *atque præsentiam* movetur ab ipso et propter animam vivit, et præsente quidem anima quodammodo per se mobile est, absente vero *anima est* ab altero motum, quod *corpus* hanc habeat naturam per se, et quod anima per se mobilem essentiam sit sortita.

Ad quod enim accesserit, huic impertit ipsum per se motionem, *ut non ab alio, sed per se moveatur*. Quod vero impertit ipsi propter ipsum Esse, hoc multo prius est hæc *ipsa anima*. Est igitur supra *et ante* corpora, ut per se mobilis propter *suam* essentiam; quia *corpora* per communionem *cum anima* fiunt per se mobilia. Rursus autem anima, quæ a se ipsa *et per se* movetur, secundum habet ordinem immotæ *vel immobilis* naturæ et illius, quæ per actionem immota subsistit *ac immobilis manet*.

Propterea omnia quidem quæ moventur, antecedit illud quod est per se mobile, omnia vero quæ movent, *antecedit* illud, quod est immotum *ac immobile*. Si igitur anima, quæ a se ipsa *et per se* movetur, alia movet, oportet ante ipsam esse illud, quod immobiliter movet (*i. e. quod alia quidem movet, sed ipsum manet immotum ac immobile, dum ea movet*). Mens vero movet *alia*, exsistens immobilis *ac immota* et semper eodem modo agens. Etenim anima propter Mentem particeps est *facultatis* semper cogitandi *et intelligendi*, ut corpus propter animam *habet* illam facultatem, qua se ipsum movet.

Si enim esset in anima ipsum semper cogitare, *sive intelligere*, primo, *hoc* omnibus animabus inesset, ut et ipsum se ipsam movere. Non igitur animæ hoc est primo. Oportet igitur ante ipsam esse illud, quod intelligendi facultate primo præditum est, *vel ipsam primo intelligendi facultatem*. Mens igitur *est* ante ipsas animas.

Quinetiam et ante mentem *est* ipsum Unum. Mens enim, quamvis *sit* immobilis, non tamen *est* Unum. Percipit enim *et intelligit* se ipsam, et circa se ipsam *et in se ipsa* agit. Et ipsum quidem Unum participant omnia,

οὖν ὄντα, τοῦ δὲ νοῦ οὐ πάντα. Οἷς γὰρ πάρεστι νοῦς μετουσίᾳ, ταῦτα γνώσεως ἀνάγκη μετέχειν· διότι ἡ νοερὰ γνῶσίς ἐστιν ἀρχὴ καὶ αἰτία πρώτη τοῦ γινώσκειν· ἐπέκεινα ἄρα τὸ ἓν τοῦ νοῦ. Καὶ οὐκέτι τοῦ ἑνὸς ἄλλο ἐπέκεινα. Ταὐτὸν γὰρ ἓν καὶ τἀγαθόν· τἀγαθὸν δὲ ἀρχὴ πάντων, ὡς δέδεικται.

## Περὶ τοῦ ὅτι οὐ πρῶτον αἴτιον ὁ νοῦς.

ΚΑ'. Πᾶσα τάξις ἀπὸ μονάδος ἀρχομένη πρόεισιν εἰς πλῆθος τῇ μονάδι σύστοιχον, καὶ πάσης τάξεως τὸ πλῆθος εἰς μίαν ἀνάγεται μονάδα. Ἡ μὲν γὰρ μονάς, ἀρχῆς ἔχουσα λόγον, ἀπογεννᾷ τὸ οἰκεῖον ἑαυτῇ πλῆθος. Διὸ καὶ μία σειρὰ καὶ μία τάξις, ἡ ὅλη παρὰ τῆς μονάδος ἔχει τὴν εἰς τὸ πλῆθος ὑπόβασιν. Οὐ γὰρ ἔτι τάξις οὐδὲ σειρά, τῆς μονάδος ἀγόνου μενούσης καθ' αὑτήν· τὸ δὲ πλῆθος ἀνάγεται πάλιν εἰς μίαν τὴν κοινὴν τῶν ὁμοταγῶν πάντων αἰτίαν.

Τὸ γὰρ ἐν παντὶ πλήθει ταὐτὸν οὐκ ἀφ' ἑνὸς τῶν ἐν τῷ πλήθει τὴν πρόοδον ἔσχε· τὸ γὰρ ἀφ' ἑνὸς μόνου τῶν πολλῶν οὐ κοινὸν πάντων, ἀλλὰ τῆς ἐκείνου μόνης ἰδιότητος ἐξαίρετον. Ἐπεὶ οὖν καθ' ἑκάστην τάξιν ἔστι τις καὶ κοινωνία καὶ συνέχεια καὶ ταυτότης, δι' ἣν καὶ τάδε μὲν ὁμοταγῆ λέγεται, τάδε δὲ ἑτεροταγῆ, δῆλον, ὡς ἀπὸ μιᾶς ἀρχῆς πάσῃ τῇ τάξει τὸ ταὐτόν. Ἔστιν ἄρα μονὰς μία πρὸ τοῦ πλήθους καθ' ἑκάστην τάξιν τὸν ἕνα λόγον καὶ εἱρμὸν τοῖς ἐν αὐτῇ τεταγμένοις παρεχομένη πρός τε ἄλληλα καὶ πρὸς τὸ ὅλον.

Ἄλλο μὲν γὰρ ἄλλου αἴτιον ἔστω τῶν ὑπὸ τὴν αὐτὴν σειράν· τὸ δέ, ὡς τῆς μιᾶς σειρᾶς αἴτιον, ἀνάγκη πρὸ τῶν πάντων εἶναι, καὶ ἀπ' αὐτοῦ πάντα ὡς ὁμοταγῆ γεννᾶσθαι, μὴ ὡς τόδε τι ἕκαστον, ἀλλ' ὡς τῆσδε τῆς τάξεως ὑπάρχον.

Ἐκ δὴ τούτων φανερόν, ὅτι καὶ τῇ φύσει τοῦ σώματος ὑπάρχει τό τε ἓν καὶ τὸ πλῆθος, καὶ ἥ τε μία φύσις τὰς πολλὰς ἔχει συνηρτημένας, καὶ αἱ πολλαὶ φύσεις ἐκ μιᾶς τῆς τοῦ ὅλου φύσεως, καὶ τῇ τάξει τῶν ψυχῶν πάρεστιν, ἐκ μιᾶς τε ἄρχεσθαι ψυχῆς τῆς πρώτης καὶ εἰς πλῆθος ψυχῶν ὑποβαίνειν καὶ τὸ πλῆθος εἰς τὴν μίαν ἀνάγειν, καὶ τῇ νοερᾷ οὐσίᾳ μονάδα τε εἶναι νοερὰν καὶ νόων πλῆθος ἐξ ἑνὸς νοῦ προελθὸν καὶ εἰς ἐκεῖνον ἐπιστρέφον, καὶ τῷ ἑνὶ τῷ πρὸ τῶν πάντων τὸ πλῆθος τῶν ἑνάδων, καὶ ταῖς ἑνάσι τὴν εἰς τὸ ἓν ἀνάτασιν. Μετὰ τὸ ἓν ἄρα τὸ πρῶτον ἑνάδες, καὶ μετὰ νοῦν τὸν πρῶτον νόες, καὶ μετὰ τὴν ψυχὴν τὴν πρώτην ψυχαί, καὶ μετὰ τὴν ὅλην φύσιν φύσεις.

ΚΒ'. Πᾶν τὸ πρώτως καὶ ἀρχικῶς ὂν καθ' ἑκάστην τάξιν ἕν ἐστι, καὶ οὔτε δύο οὔτε πλείω δυοῖν, ἀλλὰ μονογενὲς πᾶν. Ἔστω γὰρ (εἰ δυνατόν) δύο· τὸ γὰρ αὐτὸ ἀδύνατον καὶ πλειόνων ὄντων. Ἢ οὖν ἑκάτερον τούτων, ὃ λέγεται πρώτως, ἢ τὸ ἐξ ἀμφοῖν. Ἀλλ' εἰ μὲν τὸ ἐξ ἀμφοῖν, ἓν ἂν εἴη πάλιν καὶ οὐ δύο τὰ πρῶτα.

quomodocunque sunt: mentem vero non omnia *participant*. Quibus enim adest Mens per communionem, haec necesse *est* cognitionem participare; quoniam intellectualis cognitio est principium et prima causa cognoscendi. Ergo ipsum Unum est supra *et ante* Mentem. Nec amplius *est* aliud *quidquam, quod sit* supra *et ante* Unum. Unum enim et ipsum Bonum est idem. Ipsum vero Bonum omnium est principium, ut demonstratum est.

## De eo, quod ipsa mens non sit prima causa.

XXI. Omnis ordo ab Unitate ducens initium progreditur in multitudinem Unitati cognatam, et omnis ordinis multitudo ad Unitatem reducitur. Nam Unitas, habens principii rationem *et proportionem*, propriam *ac convenientem* sibi multitudinem procreat. Quamobrem etiam una series et unus ordo totus ab Unitate *suam* descensionem *et progressionem* habet in multitudinem. Non enim amplius *ullus* ordo vel *ulla* series *erit*, si Unitas infecunda *et sterilis* maneat per se *sola*. Ipsa vero multitudo reducitur rursus ad unam communem omnibus, quae sunt ejusdem ordinis, causam.

Quod enim *est* idem in omni multitudine, non ab Uno eorum, quae sunt in ea multitudine, progressum habet. Quod enim ab uno solo multorum *manat, illud* non omnibus *est* commune, sed illius solius proprietatis eximium *est* (*vel* ex illius sola proprietate exemptum). Quoniam igitur in unoquoque ordine est quaedam et communio et cohaerentia et identitas, propter quam etiam alia quidem dicuntur ὁμοταγῆ (*ejusdem ordinis*); alia vero ἑτεροταγῆ (*alterius ordinis*), *hinc illud est* perspicuum, quod ab uno principio per omnem ordinem *manat* ipsum idem, *vel identitas*. Unitas igitur una ante multitudinem in unoquoque ordine unam rationem *sive proportionem* et connexionem *sive seriem rebus* in ipso *comprehensis et* collocatis praebens et mutuam inter se et cum ipso toto *consentientem*.

Nam alii quidem aliis causa esto *rerum* illarum, quae *sunt* sub eadem serie: illam vero, ut unius seriei causam, necesse *est* esse ante omnes *alias causas*, et ab illa *ceteras* omnes ut ejusdem ordinis *causas* generari, non unamquamque *causam* ut hanc aliquam, sed ut eam, quae est hujus ordinis.

Ex his igitur perspicuum est, quod et in corporis natura inest et Unum et multitudo, et una natura multas habet *ex* sese simul pendentes, et multae naturae *pendent* ex una ipsius totius natura, et *hoc* ipsi animarum ordini adest, ut et ab una prima anima ducat initium, et in animarum multitudinem succedat et multitudinem ad unam *Unitatem* reducat, et ut *in* intellectuali essentia sit intellectualis Unitas et Mentium multitudo ex una Mente progrediens et in illam *Unitatem* revertens, et *in* Uno, quod est ante omnia, *continuatur* ipsa Unitatum multitudo, et his Unitatibus ad ipsum Unum sit contentio. Post illud igitur primum Unum *sunt* Unitates, et post illam primam Mentem *sunt* Mentes, et post illam primam animam *sunt* animae, et post universalem naturam *sunt particulares* naturae.

XXII. Omne, quod primo et per principii naturam *vel principaliter* est in unoquoque ordine, Unum est, et neque duo sunt neque plura duobus, sed unigenitum *et unicum est* omne. Sint enim (si fieri potest) duo: eadem enim *emergit* absurditas, etiam si plura sint. Si igitur utrum horum, quod dicitur primo, vel *est illud*, quod ex utroque *conflatum est*. Sed si quidem *concedamus illud*, quod ex utroque *conflatum est*, unum erit

Εἰ δὲ ἑκάτερον, ἢ ἑκατέρου θάτερον, [ καὶ οὐ πρῶτον ἑκάτερον ὂν ], ἢ ἐπίσης ἄμφω.

Ἀλλ' εἰ ἐπίσης, οὐδέτερον ἔτι ἔσται πρώτως.* Εἰ γὰρ τὸ ἕτερον πρώτως, τοῦτο δὲ οὐ ταὐτὸν τῷ ἑτέρῳ, τί ἔσται τῆς τάξεως ἐκείνης; ὃ γὰρ μηδὲν ἄλλο ἐστὶν, ἢ ὃ λέγεται, τοῦτό ἐστι πρώτως· τούτων δὲ ἑκάτερον ἕτερον ὂν, ἔστι τε ἅμα, καὶ οὐκ ἔστιν, ὃ λέγεται.

Εἰ οὖν ταῦτα διαφέρει μὲν ἀλλήλων, οὐ καθόσον δὲ ἐστιν, ὃ λέγεται, πρώτως διαφέρει. Τοῦτο γὰρ πρώτως ταὐτὸν πέπονθεν. Οὐκ ἄμφω ἔσται πρώτως, ἀλλ' ἐκεῖνο, οὗ ἄμφω μετασχόντα πρώτως εἶναι λέγεται. Ἐκ δὴ τούτων φανερὸν, ὅτι τὸ πρώτως ὂν, ἕν ἐστι μόνον, ἀλλ' οὐ δύο τὰ πρώτως ὄντα ἢ πλείω.

Καὶ ὁ πρώτιστος νοῦς εἷς μόνος, ἀλλ' οὐ δύο οἱ πρῶτοι νόες. Καὶ ἡ πρωτίστη ψυχὴ μία, καὶ ἐφ' ἑκάστου τῶν εἰδῶν, οἷον τὸ πρώτως καλὸν, τὸ πρώτως ἴσον. Καὶ ἐπὶ πάντων ὁμοίως οὕτω δ' καὶ τὸ τοῦ ζώου εἶδος, ἓν τὸ πρῶτον, καὶ τὸ τοῦ ἀνθρώπου. Ἡ γὰρ αὐτὴ ἀπόδειξις.

## Περὶ τοῦ ἀμεθέκτου.

ΚΓ'. Πᾶν τὸ ἀμέθεκτον ὑφίστησιν ἀφ' ἑαυτοῦ τὰ μετεχόμενα. Καὶ πᾶσαι αἱ μετεχόμεναι ὑποστάσεις εἰς ἀμεθέκτους ὑπάρξεις ἀνατείνονται.

Τὸ μὲν γὰρ ἀμέθεκτον, μονάδος ἔχον λόγον, ὡς ἑαυτοῦ ὂν, καὶ οὐκ ἄλλου, καὶ ἐξῃρημένον τῶν μετεχόντων, ἀπογεννᾷ τὰ μετέχεσθαι δυνάμενα. Εἰ γὰρ ἄγονον, ἐστήξεται καθ' αὑτὸ, καὶ οὐδὲν ἂν ἔχοι τίμιον, ἢ δώσει τι ἀφ' ἑαυτοῦ, καὶ τὸ μὲν λαβὸν μετέσχε, τὸ δὲ δοθὲν ὑπέστη μετεχομένως. Τὸ δὲ μετεχόμενον πᾶν τινος γενόμενον ὑφ' οὗ μετέχεται, τινὸς γενόμενον δεύτερόν ἐστι τοῦ πᾶσιν ὁμοίως παρόντος καὶ πάντα ἀφ' ἑαυτοῦ πληρώσαντος· τὸ μὲν γὰρ ἐν ἑνὶ ὂν, ἐν τοῖς ἄλλοις οὐκ ἔστιν.

Τὸ δὲ πᾶσιν ὡσαύτως παρὸν, ἵνα πᾶσιν ἐλλάμπῃ, οὐκ ἐν ἑνί ἐστιν, ἀλλὰ πρὸ τῶν πάντων. Ἢ γὰρ ἐν πᾶσίν ἐστιν, ἢ ἐν ἑνὶ τῶν πάντων, ἢ πρὸ τῶν πάντων. Ἀλλὰ τὸ μὲν ἐν πᾶσιν ὂν, μερισθὲν εἰς πάντα, πάλιν ἄλλου ἂν δέοιτο τοῦ τὸ μερισθὲν ἑνίζοντος. Καὶ οὐκέτ' ἂν τοῦ αὐτοῦ μετέχοι πάντα· ἀλλὰ τὸ μὲν ἄλλου, τὸ δὲ ἄλλου, τοῦ ἑνὸς μερισθέντος.

Εἰ δὲ ἐν ἑνὶ τῶν πάντων, οὐκέτι τῶν πάντων ἔσται, ἀλλ' ἑνός· εἰ οὖν καὶ κοινὸν τῶν μετέχειν δυναμένων, καὶ τὸ αὐτὸ πάντων, πρὸ τῶν πάντων ἔσται· τοῦτο δὲ ἀμέθεκτον.

ΚΔ'. Πᾶν τὸ μετέχον τοῦ μετεχομένου καταδεέστερον, καὶ τὸ μετεχόμενον τοῦ ἀμεθέκτου. Τὸ γὰρ

est unum *tantum* et non duo prima. Si vero *dicas* utrumque esse, vel utrumque alterum, [ et non primum utrumque esse ], vel ex æquo *et pariter esse dices* utrumque.

Sed siquidem *pariter et* ex æquo *utrumque esse dicas*, neutrum amplius erit primo. Si enim alterum primo *dicas esse*, hoc vero non idem *sit* alteri, quidnam erit illius ordinis? *Quidnam in illo ordine ponendum dices?* Quod enim nihil aliud est, quam *illud ipsum*, quod esse dicitur, hoc est primo. Horum vero si utrumque sit alterum, *et diversum alterum ab altero*, estque simul, et non est *id*, quod dicitur.

Si igitur hæc different quidem alia ab aliis, non tamen quatenus *aliquid eorum* est *id*, quod dicitur, *hæc igitur* inter se different primo. Hoc enim primo passum est ipsum idem (*Hoc enim primo accidit ei, quod est idem*). *Ergo* non ambo erunt primitus, sed illud *erunt*, quod ambo participantia primo esse dicitur. Ex his igitur perspicuum *est*, quod illud, quod est primo, est Unum tantum, non autem duo primo existentia vel plura.

Et prima Mens *est* una sola, non autem duæ primæ Mentes. Et prima anima una *est*, et in unaquaque formarum *est idem* (*de unaquaque idem sentiendum,*) ut *cum dicimus*, Id quod primo Pulchrum *est*, *et*, Quod primo par *est*. Et in omnibus *aliis* similiter *fit et dicitur*. Sic autem et ipsius animalis forma una prima dicitur, et hominis item. Eadem enim *est horum omnium* demonstratio.

## De imparticipabili (quod a nullo participari potest vel participatur).

XXIII. Omne imparticipabile constituit a se ipso *manantia ea* quæ participantur. Et omnes hypostases *et naturæ* quæ participantur, ad imparticipabiles essentias *naturasque* contendunt.

Nam illud quidem, quod est imparticipabile, rationem Unitatis habens, ut id, quod est sui ipsius, et non alius, et quod exemptum est ex ipsis participantibus *alterius naturam et facultates*, procreat ea quæ participari possunt. Si enim infecundum *esset*, staret per se, et nihil honorati haberet, vel aliquid a se *manans* daret, et illud quidem quod *ab eo aliquid* accepisset, participaret *ipsum*, illud vero, quod *ab* eo datum fuisset, subsisteret per participationem. Quidquid vero participatum alicujus fuerit redditum, a quo participatur, *id* posterius est eo quod omnibus pariter adest, et quod omnia a se ipso replet. Nam id quidem quod est in Uno *tantum*, in aliis non est.

Quod vero pariter omnibus adest, ut omnibus illucescat, *et omnia suo lumine collustret*, *illud* non est in Uno, sed *est* ante omnia. Vel enim in omnibus est, vel in uno omnium, vel ante omnia. Sed illud quidem, quod est in omnibus, cum sit in omnia partitum, rursus alio indiget, eo *scilicet*, quod uniat *et in unum contrahat* id quod est partitum. Et *hoc modo* non amplius idem omnia participabunt, sed hoc quidem *particeps erit* alius, illud vero alius, si ipsum Unum partitum, *et in plures partes divisum* fuerit.

Si vero *sit* in Uno *tantum* omnium, non amplius erit omnium, sed Unius *tantum*. Si vero commune *sit* etiam iis quæ *naturam et facultates alterius* participare possunt, et idem *sit commune* omnibus, *id* erit ante omnia. Hoc vero *est* imparticipabile.

XXIV. Omne quod participat *aliquid*, *illud est* inferius eo quod participatur *ab ipso*. Et quod participatur, *est inferius eo*, quod est imparticipabile. Quod enim

μετέχον, πρὸ τῆς μεθέξεως ἀτελὲς ὄν, τέλειον δὲ τῇ μεθέξει γενόμενον, δεύτερόν ἐστι τοῦ μετεχομένου, καθὸ τέλειόν ἐστι μετασχόν. Ἡ γὰρ ἀτελὲς ἦν, καὶ τοῦτο τοῦ μετασχεθέντος, ὃ ποιεῖ τέλειον αὐτό, καταδεέστερον.

Τὸ δὲ μετεχόμενον τινὸς ὄν, καὶ οὐ πάντων, τῶν πάντων ὄντος, καὶ οὐ τινός, πάλιν ὑφειμένην ἔλαχεν ὕπαρξιν. Τὸ μὲν γὰρ τῷ πάντων αἰτίῳ συγγενέστερον· τὸ δὲ ἧττον συγγενές.

Ἡγεῖται ἄρα τὸ μὲν ἀμέθεκτον τῶν μετεχομένων, ταῦτα δὲ τῶν μετεχόντων. Ὡς γὰρ συνελόντι φάναι, τὸ μέν ἐστιν ἓν πρὸ τῶν πολλῶν· τὸ δὲ μετεχόμενον ἐν τοῖς πολλοῖς, ἓν ἅμα καὶ οὐχ ἕν· τὸ δὲ μετέχον πᾶν οὐχ ἕν, ἅμα καὶ ἕν.

participat *aliquid*, ante participationem cum sit imperfectum, perfectum vero fiat per ipsam participationem, posterius est prorsus eo quod participatur, quatenus *tum* perfectum est, cum participavit *id cujus participatio perfectum ipsum fecit*. Quatenus enim imperfectum erat, hoc etiam eo, quod *ab ipso* participatum fuit, quod ipsum fecit perfectum, *est* inferius.

*Quod vero ab aliquo (i. e. ab uno)*, non autem ab omnibus participatur, eo, quod est omnium, non autem alicujus (*i. e. quod omnia, non autem unum tantum participat*), rursus inferiorem essentiam est sortitum. Nam alterum quidem *est* cognatione conjunctius cum illa *prima* omnium causa, alterum vero minus *est ei* cognatum.

Illud igitur, quod est imparticipabile, antecedit ea quae participantur. Haec vero *antecedunt ea* quae participant *aliorum naturam et facultates*. Ut enim summatim dicamus, alterum quidem est Unum ante multa, alterum vero *est* id, quod inter multa participatur, Unum simul et non Unum. Omne vero quod *aliquid* participat, *est* non Unum, simul et Unum.

## Περὶ τελείου.

## De perfecto.

ΚΕ'. Πᾶν τὸ τέλειον εἰς ἀπογεννήσεις προϊέναι, ὧν δύναται παράγειν, αὐτὸ μιμούμενον τὴν μίαν τῶν ὅλων ἀρχήν. Ὡς γὰρ ἐκείνη διὰ τὴν ἀγαθότητα τὴν ἑαυτῆς πάντων ἐστὶν ἑνιαίως ὑποστατικὴ τῶν ὄντων· (ταὐτὸν γὰρ τἀγαθὸν καὶ τὸ ἕν· ὥστε καὶ τὸ ἀγαθοειδές, τῷ ἑνιαίως ταὐτόν) οὕτω καὶ τὰ μετ' ἐκείνην διὰ τὴν τελειότητα τὴν ἑαυτῶν ἄττα γεννᾶν ἐπείγεται καταδεέστερα τῆς ἑαυτῶν οὐσίας· ἡ τε γὰρ τελειότης τἀγαθοῦ μοῖρά τίς ἐστι, καὶ τὸ τέλειον, ᾗ τέλειον, μιμεῖται τἀγαθόν. Ἐκεῖνο δὲ πάντων ἦν ὑποστατικόν.

Ὥστε καὶ τὸ τέλειον, ὧν δύναται, παρακτικόν ἐστι κατὰ φύσιν. Καὶ τὸ μὲν τελειότερον, ὅσῳ περ ἂν ᾖ τελειότερον, τοσούτῳ πλειόνων αἴτιον· τὸ γὰρ τελειότερον μᾶλλον τἀγαθοῦ μετέχει. Τοῦτο δὲ ἐγγύτερω τοῦ ἀγαθοῦ, τοῦτο δὲ συγγενέστερον τῷ πάντων αἰτίῳ, τοῦτο δὲ πλειόνων αἴτιον. Τὸ δὲ ἀτελέστερον, ὅσῳ περ ἂν ἀτελέστερον ᾖ, τοσούτῳ μᾶλλον ἐλαττόνων αἴτιον. Πορρώτερον γὰρ ὂν τοῦ πάντα παράγοντος, ἐλαττόνων ἐστὶν ὑποστατικόν.

Τῷ γὰρ πάντα ὑφιστάνειν, ἢ κοσμεῖν, ἢ τελειοῦν, ἢ συνέχειν, ἢ ζωοποιεῖν, ἢ δημιουργεῖν, τὸ μὲν ἐπὶ πλειόνων ἕκαστα τούτων ποιοῦν συγγενές, τὸ δ' ἐπ' ἐλασσόνων ἀλλοτριώτερον. Ἐκ δὴ τούτων φανερόν, ὅτι τὸ πορρωτάτω τῆς ἀρχῆς τῶν ὄντων ἄγονόν ἐστι καὶ οὐδενὸς αἴτιον· εἰ γάρ τι γεννᾷ, καὶ ἔχει τι μεθ' ἑαυτό, δῆλον, ὡς οὐκέτ' ἂν εἴη πορρωτάτω, ἀλλ' ὃ παρήγαγε, πορρώτερον ἐκείνου, αὐτὸ δὲ ἐγγύτερον τοῦ παραγαγεῖν· καὶ, ὥσπερ ἄλλο, μιμούμενον τὴν πάντων παρακτικὴν τὴν τῶν ὄντων αἰτίαν.

ΚϚ'. Πᾶν τὸ παρακτικὸν αἴτιον ἄλλων, μένον αὐτὸ ἐφ' ἑαυτοῦ, παράγει τὰ μετ' αὐτὸ καὶ τὰ ἐφεξῆς. Εἰ γὰρ μιμεῖται τὸ ἕν, ἐκεῖνο δὲ ἀκινήτως ὑφίστησι τὰ μετ' αὐτό, καὶ πᾶν τὸ παράγον ὡσαύτως ἔχει τὴν τοῦ παράγειν αἰτίαν. Ἀλλὰ μὴν καὶ τὸ ἓν ἀκινήτως ὑφίστησιν· εἰ γὰρ διὰ κινήσεως, ἐν αὐτῷ ἡ κίνησις, καὶ κινούμενον οὐδὲ ἂν ἓν ἔτι ἔσται, μεταβάλλον ἐκ τοῦ ἑ-

XXV. Omne perfectum in processiones progreditur *eorum* quae producere potest, ipsum *rerum* universarum unum principium imitans. Ut enim illud propter suam bonitatem omnium entium est singulariter causa fundatrix (idem enim *est* ipsum Bonum et ipsum Unum, quemadmodum etiam id, quod Boni forma *vel specie* praeditum est, idem *est* ei, quod singulariter *est*), sic etiam illa quae *sunt* post illud *primum rerum principium*, propter suam perfectionem alia generare properant inferiora sua essentia, nam et perfectio est quaedam ipsius Boni pars, et ipsum perfectum, quatenus *est* perfectum, imitatur ipsum Bonum. Illud vero *Bonum* omnia *creat et* constituit.

Quamobrem etiam ipsum perfectum ea, quae potest, secundum naturam producit. Et illud quidem, quod est perfectius, quo perfectius est, eo plurium *rerum est* causa. Quod enim est perfectius, id magis participat ipsum Bonum. Hoc etiam propius ad ipsum Bonum ac*cedit eique propinquius est*, hoc etiam cognatione conjunctius *est* cum illa *prima rerum omnium* causa, hoc etiam *est rerum* plurium causa. Quod vero *est* imperfectius, quo imperfectius est, eo vero longe pauciorum *rerum est* causa. Cum enim sit remotius ab omnium *rerum aliarum* producente *causa*, pauciora *creat atque* constituit.

Illi enim facultati, quae omnia constituit, vel disponit, vel perficit, vel continet, vel vivificat, vel fabricat, illa quidem facultas, quae horum singula facit in pluribus, *est* cognata. Quae vero facultas *haec singula facit* in paucioribus, magis *atque remotior est ab altera*. Ex his igitur *est* perspicuum, quod illud, quod est remotissimum ab ipso *rerum* omnium principio, est infecundum et nullius rei causa. Si quid enim generat, et si quid habet post se, perspicuum *est*, quod non amplius est remotissimum *a primo rerum principio*, sed quod produxit, *est quidem* remotius ab illo *primo rerum principio*, ipsum vero producens alia, *est* propinquius ipsi producendi actui. Et *perspicuum est*, quod *est* illud *quiddam*, quod imitatur illam omnium entium productricem causam.

XXVI. *Omnis aliorum causarum rerumque* productrix causa, ipsa manens in se ipsa, producit ea quae post ipsam sunt, et *ea* quae deinceps *sequuntur*. Si enim imitatur ipsum Unum, illud vero immobiliter constituit ea, quae sunt post ipsum, *ergo* et omne, quod *aliquid* producit, pariter habet ipsam producendi causam. Atqui etiam ipsum Unum *res* immobiliter *creat atque* constituit. Si enim per motionem sit in ipso *Uno* ipsa motio, et id, quod movetur, nec Unum quidem amplius erit, quandoquidem ex eo quod est Unum, mutabitur *in alteram natu-*

ἢ εἰ μετ' αὐτὸ ἡ κίνησις, καὶ ἐκ τοῦ ἑνὸς ἔσται, καὶ ἢ ἐπ' ἄπειρον, ἢ ἀκινήτως παράξει τὸ ἕν, καὶ πᾶν τὸ παράγον μιμήσεται τὸ ἓν καὶ τὴν παρακτικὴν τῶν ὅλων αἰτίαν.

Ἐκ γὰρ τοῦ πρώτως πανταχοῦ τὸ μὴ πρώτως· ὥστε καὶ ἐκ τοῦ πάντων παρακτικοῦ τὸ τινῶν παρακτικόν. Καὶ ἅπαν ἄρα τὸ παραγόμενον ἐφ' ἑαυτοῦ παράγει τὰ ἐφεξῆς· ἀνελαττώτων ἄρα τῶν παραγόντων μενόντων, τὰ δεύτερα παράγεται ὑπ' αὐτῶν· τὸ γὰρ ὁπωσοῦν ἐλαττούμενον μένειν ἀδύνατον, οἷόν ἐστιν.

ΚΖ'. Πᾶν τὸ παράγον διὰ τελειότητα καὶ δυνάμεως περιουσίαν παρακτικόν ἐστι τῶν δευτέρων. Εἰ γὰρ μὴ διὰ τὸ τέλειον, ἀλλ' ἐλλεῖπον κατὰ τὴν δύναμιν παρήγαγεν, οὐδ' ἂν τὴν ἑαυτοῦ τάξιν ἀκίνητον ἠδύνατο φυλάττειν.

Τὸ γὰρ δι' ἔλλειψιν καὶ ἀσθένειαν ἄλλῳ τὸ εἶναι παρεχόμενον, τῇ ἑαυτοῦ τροπῇ καὶ ἀλλοιώσει τὴν ὑπόστασιν ἐκείνῳ παρέχεται. Μένει δὲ, οἷόν ἐστι, πᾶν τὸ παράγον. Καὶ μένοντος, τὸ μετ' αὐτὸ πρόεισι. Πλῆρες ἄρα καὶ τέλειον ὑπάρχον, τὰ δεύτερα ὑφίστησιν ἀκινήτως καὶ ἀνελαττώτως, αὐτὸ ὄν, ὅπερ ἐστι, καὶ οὔτε μεταβάλλον εἰς ἐκεῖνα, οὔτε ἐλαττούμενον.

Οὐ γὰρ ἀπομερισμός ἐστι τοῦ παράγοντος τὸ παραγόμενον· οὐδὲ γὰρ γενέσει τοῦτο προσῆκεν, οὐδὲ τοῖς γεννητικοῖς αἰτίοις· οὐδὲ μετάβασις· οὐ γὰρ ὕλη γίνεται τοῦ προϊόντος· μένει γάρ, οἷόν ἐστι. Καὶ τὸ παραγόμενον ἄλλο παρ' αὐτό ἐστιν. Ἀναλλοίωτον ἄρα τὸ γεννῶν ἵδρυται καὶ ἀνελάττωτον, καὶ διὰ γόνιμον δύναμιν ἑαυτὸ πολλαπλασιάζον, καὶ ἀφ' ἑαυτοῦ δευτέρας ὑποστάσεις παρεχόμενον.

ΚΗ'. Πᾶν τὸ παράγον τὰ ὅμοια πρὸς ἑαυτὸ πρὸ τῶν ἀνομοίων ὑφίστησιν. Ἐπεὶ γὰρ κρεῖττον ἐξ ἀνάγκης ἐστὶ τοῦ παραγομένου τὸ παράγον, τὰ αὐτὰ μὲν καὶ ἴσα ἁπλῶς καὶ ἴσα κατὰ δύναμιν οὐκ ἄν ποτε εἴη ἀλλήλοις. Εἰ δὲ μή ἐστι ταὐτὰ καὶ ἴσα, ἀλλ' ἕτερά τε καὶ ἄνισα, ἢ πάντῃ διακέκριται ἀλλήλων, ἢ καὶ ἥνωται καὶ διακέκριται.

Ἀλλ' εἰ μὲν πάντα διακέκριται, ἀσύμβατα ἔσται, καὶ οὐδαμῇ τῷ αἰτίῳ τὸ ἀπ' αὐτοῦ συμπαθές. Οὐδὲ μεθέξει τοίνυν θάτερον, πάντῃ ἕτερα ὄντα. Τὸ γὰρ μετεχόμενον κοινωνίαν δίδωσι τῷ μετασχόντι πρὸς τὸ, οὗ μετέσχεν· ἀλλὰ μὴν ἀνάγκη τὸ αἰτιατὸν τοῦ αἰτίου μετέχειν, ὡς ἐκεῖθεν ἔχον τὴν οὐσίαν.

Εἰ δὲ πῇ μὲν διακέκριται, πῇ δὲ ἥνωται τῷ παράγοντι τὸ παραγόμενον, εἰ μὲν ἐπίσης ἑκάτερον πέπονθεν, ἐπίσης ἂν αὐτοῦ μετέχοι τε, καὶ οὐ μετέχοι· ὥστε καὶ ἔχοι ἂν τὴν οὐσίαν παρ' αὐτοῦ, καὶ οὐκ ἔχοι τὸν αὐτὸν τρόπον· εἰ δὲ μᾶλλον εἴη διακεκριμένον, ἀλλότριον ἂν μᾶλλον εἴη τοῦ γεννήσαντος, ἢ οἰκεῖον τὸ γεννηθὲν, καὶ ἀνάρμοστον μᾶλλον πρὸς ἑαυτὸ, ἤπερ ἡρμοσμένον, καὶ ἀσυμπαθὲς μᾶλλον, ἢ συμπαθές. Εἰ οὖν καὶ συγγενῆ τοῖς αἰτίοις κατ' αὐτὸ τὸ

*ram*. Vel si post ipsum motio, etiam ex ipso Uno erit *aliquid, quod ab eo manabit*, et vel *motus* in infinitum *progredietur*, vel ipsum Unum *res* immobiliter producet, et omne, quod *res alias* producit, imitabitur Unum et ipsam *rerum* universarum productricem causam.

Ex eo enim, quod est primo, ubique *manat id* quod non primo *est*. Quamobrem etiam ex eo, quod omnia producit, *manat* illud, quod aliqua *tantum* producit. Ergo et omne quod per se producitur, *propter insitam producendi facultatem* ex se producit ea quæ *sunt* deinceps. Si igitur illa quæ *res alias* producunt, non imminuta maneant, ab ipsis secunda producuntur. Quod enim quomodocumque minuitur, illud nullo modo manere potest *tale*, quale *sua natura* est.

XXVII. Omne quod *alia* producit, propter *suam* perfectionem et facultatis abundantiam secundorum producendorum vim habet. Si enim non propter ipsam perfectionem, sed *propter* ipsum in facultate defectum *res* produceret, ne suum quidem ordinem immotum servare posset.

Quod enim propter *virium* defectum et roboris infirmitatem alii ipsum esse præbet, propter suam versionem, *immutationem* et alterationem illi *suam* hypostasin præbet, *et naturam ejusdem mutationis et alterationis participem ei suppeditat*. Manet autem *tale*, quale est, omne, quod *alia* producit. Et *eo* sic manente, prodit id, quod est post ipsum. Cum igitur plenum et perfectum sit, secunda constituit immobiliter et sine ulla imminutione, manens illud ipsum, quod est, et neque mutatur in illa, neque minuitur.

Quod enim *ab altero* producitur, non est pars ab ipso producente detracta. Haud enim hoc generationi conveniret neque generatricibus causis. Neque *est natura mutus in alteram* transitio. Neque enim materia fit illius, quod *aliunde* prodit: manet enim *tale*, quale est. Et quod *ab aliquo* producitur, est aliud ab ipso *producente*. Ergo, quod *alia* generat, firmiter manet alterationis et imminutionis expers, et propter fecundam facultatem se ipsum multiplicat, et a se *manantes* secundas hypostases *naturasque* præbet *atque suppeditat*.

XXVIII. Omne quod *alia* producit sibi similia, ante dissimilia *procreat atque* constituit. Quoniam enim id, quod *aliquid* producit, necessario præstantius est eo, quod *ab ipso* producitur, eadem quidem et paria simpliciter et viribus paria nunquam *hæc* erunt inter se. Si vero non sunt eadem et paria, sed et diversa et imparia, vel ubique *prorsusque* discreta sunt inter se, vel et unita sunt et discreta sunt.

Sed si quidem omnia discreta sunt, inter se conciliari et consentire non poterunt, et nunquam id, quod a causa *procreatur*, cum ipsa consentiet *neque per naturæ cognationem causatum cum causa conjungetur*. Ergo ne alterum quidem alterius erit particeps, quoniam prorsus diversa sunt. Id enim, quod *ab aliquo* participatur, communionem impertit ei, quod *ipsum* participat in eo, cujus est particeps. Verumtamen necesse *est* causatum participem esse causæ, quod illinc *suam* essentiam habeat.

Si vero alicubi quidem discretum est, alicubi vero unitum est cum ipso producente id quod producitur, si pariter quidem utrumque patitur *et afficitur*, pariter etiam ejus erit particeps, et non particeps *ejusdem*. Quamobrem etiam habebit essentiam ab ipso *manantem*, et non habebit eodem modo. Si vero magis discretum fuerit, magis alienum erit ab eo, quod *ipsum* generaverit, quam familiare id, quod *ab ipso* fuerit generatum, et secum *erit* magis inconcinnum, quam concinnum, et magis expers sympathiæ, quam particeps sympathiæ (*i. e. a naturæ cognatione consensuque magis alienum et remotum erit, quam propinquum*). Si igitur ea, quæ *manant* a causis, magis etiam cognata sunt ipsis propter ipsum Esse, et si

εἶναι, καὶ συμπαθῆ τὰ ἀφ' αὐτῶν, καὶ ἐξήρτηται αὐτῶν κατὰ φύσιν, καὶ ὀρέγεται τῆς πρὸς αὐτὰ συναφῆς, ὀρεγόμενα τοῦ ἀγαθοῦ, καὶ τυγχάνοντα διὰ τῆς αἰτίας τοῦ ὀρεκτοῦ, δῆλον δὴ, ὅτι μᾶλλον ἥνωται τοῖς παράγουσι τὰ παραγόμενα, ἢ διακέκριται ἀπ' αὐτῶν.

Τὰ δὲ μᾶλλον ἡνωμένα ὅμοιά ἐστι μᾶλλον, ἢ ἀνόμοια τούτοις, οἷς μάλιστα ἥνωται. Τὰ ὅμοια ἄρα πρὸ τῶν ἀνομοίων ὑφίστησι πᾶν τὸ παρακτικὸν αἴτιον.

ΚΘʹ. Πᾶσα πρόοδος δι' ὁμοιότητος ἀποτελεῖται τῶν δευτέρων πρὸς τὰ πρῶτα. Εἰ γὰρ τὸ παράγον τὰ ὅμοια πρὸ τῶν ἀνομοίων ὑφίστησιν, ἡ ὁμοιότης ἀπὸ τῶν παραγόντων ὑφίστησι τὰ παραγόμενα. Τὰ γὰρ ὅμοια δι' ὁμοιότητος ὅμοια ἀποτελεῖται, ἀλλ' οὐ δι' ἀνομοιότητος. Εἰ οὖν ἡ πρόοδος ἐν τῇ ὑφέσει σώζει τὸ ταὐτὸν τοῦ γεννηθέντος πρὸς τὸ γεννῆσαν, καὶ οἷον ἐκεῖνο πρώτως, τοιοῦτον ἐκφαίνει τὸ μετ' αὐτὸ δευτέρως, δι' ὁμοιότητος ἔχει τὴν ὑπόστασιν.

Λʹ. Πᾶν τὸ ἀπό τινος παραγόμενον ἀμέσως μένει τε ἐν τῷ παράγοντι καὶ πρόεισιν ἀπ' αὐτοῦ. Εἰ γὰρ πᾶσα πρόοδος μενόντων τε γίνεται τῶν πρώτων, καὶ δι' ὁμοιότητος ἀποτελεῖται, τῶν ὁμοίων πρὸ τῶν ἀνομοίων ὑφισταμένων, μένει πῃ καὶ τὸ παραγόμενον ἐν τῷ παράγοντι. Τὸ γὰρ πάντῃ προϊὸν οὐδὲν ἂν ἔχοι ταὐτὸν πρὸς τὸ μένον, ἀλλ' ἔστι πάντῃ διακεκριμένον· εἰ δὲ ἕξει τι κοινὸν καὶ ἡνωμένον πρὸς αὐτὸ, μένοι ἂν καὶ αὐτὸ ἐν ἐκείνῳ, ὥσπερ κἀκεῖνο ἐφ' ἑαυτοῦ μένον ἦν· εἰ δὲ μένοι μόνον μὴ προϊὸν, οὐδὲν διοίσει τῆς αἰτίας, οὐδὲ ἔσται, μενούσης ἐκείνης, ἄλλο γεγονός· εἰ γὰρ ἄλλο διακέκριται, καὶ ἔστι χωρίς.

Εἰ δὲ χωρίς, μένει δὲ ἐκείνη, προῆλθε τοῦτο ἀπ' αὐτῆς, ἵνα διακριθῇ μενούσης. Ἧι μὲν ἄρα ταὐτόν τι πρὸς τὸ παράγον ἔχει, τὸ παραγόμενον μένει ἐν αὐτῷ· ᾗ δὲ ἕτερον, πρόεισιν ἀπ' αὐτοῦ. Ὅμοιον δὲ ὂν, ταὐτόν πῃ ἅμα καὶ ἕτερόν ἐστι· μένει ἄρα καὶ πρόεισιν ἅμα, καὶ οὐδέτερον θατέρου χωρίς.

ΛΑʹ. Πᾶν τὸ προϊὸν ἀπό τινος κατ' οὐσίαν ἐπιστρέφεται πρὸς ἐκεῖνο, ἀφ' οὗ πρόεισιν. Εἰ γὰρ προέρχοιτο μὲν, μὴ ἐπιστρέφοιτο δὲ πρὸς τὸ αἴτιον τῆς προόδου ταύτης, οὐκ ἂν ὀρέγοιτο τῆς αἰτίας· πᾶν γὰρ τὸ ὀρεγόμενον ἐπέστραπται πρὸς τὸ ὀρεκτόν· ἀλλὰ μὴν πᾶν τοῦ ἀγαθοῦ ἐφίεται, καὶ ἡ ἐκείνου τεῦξις διὰ τῆς προσεχοῦς αἰτίας ἑκάστοις.

Ὀρέγεται ἄρα καὶ τῆς ἑαυτῶν αἰτίας ἕκαστα· δι' οὗ γὰρ τὸ εἶναι ἑκάστῳ, διὰ τούτου καὶ τὸ εὖ· δι' οὗ δὲ τὸ εὖ, πρὸς τοῦτο ἡ ὄρεξις πρῶτον· πρὸς ὃ δὲ πρῶτον ἡ ὄρεξις, πρὸς τοῦτο ἡ ἐπιστροφή.

ΛΒʹ. Πᾶσα ἐπιστροφὴ δι' ὁμοιότητος ἀποτελεῖται τῶν ἐπιστρεφομένων, πρὸς ὃ ἐπιστρέφεται. Τὸ γὰρ ἐπιστρεφόμενον πᾶν πρὸς πᾶν συνάπτεσθαι σπεύδει, καὶ ὀρέγεται τῆς πρὸς αὐτὸ κοινωνίας καὶ συνδέσεως. Συνδεῖ δὲ πάντα ἡ ὁμοιότης, ὥσπερ διακρίνει ἡ ἀνο

*cum ipsis sunt* conjuncta naturae cognatione, et pendent ex ipsis *causis* propter naturam, et cum ipsis conjunctionem expetunt, quoniam expetunt Bonum, et per ipsam causam consequuntur id, quod est expetitum *ab ipsis*: profecto perspicuum *est*, quod magis unita sunt cum ipsis producentibus ea quae producuntur *ab ipsis*, quam discreta sunt ab ipsis.

Quae autem magis unita sunt, similia sunt magis quam dissimilia illis, quibuscum maxime sunt unita. Similia igitur ante dissimilia constituit omnis *rerum* productrix causa.

XXIX. Omnis progressus per similitudinem secundorum cum primis perficitur. Si enim ipsum producens constituit similia ante dissimilia, ipsa similitudo ab ipsis producentibus *manans* constituit ea, quae producuntur *ab ipsis*. Nam similia per similitudinem perficiuntur, non autem per dissimilitudinem. Si igitur progressus in *sua* remissione servat identitatem rei generatae cum ipso quod generavit eam, et quale *est* illud primo, tale in lucem profert id quod post ipsum est secundo, per similitudinem habet *suam* hypostasin *atque naturam*.

XXX. Omne quod ab aliquo producitur immediate, et manet in ipso producente, et prodit ab ipso. Si enim omnis progressus fit manentibus iis, quae prima sunt, et per similitudinem perficitur, similibus ante dissimilia constitutis, *ergo* manet aliquo modo etiam id, quod producitur, in ipso producente. Quod enim in omnes partes progreditur, nihil habet, quod sit idem cum eo quod *in eodem loco firmum* manet, sed est ubique discretum. Sin vero quid commune et conjunctum cum ipso habebit, manebit et ipsum in illo, quemadmodum et illud in se ipso manens erat (*manebat*). Si vero *semper in eodem loco statuque* solum maneat neque progrediatur *alio*, nihil ab ipsa causa differet, neque illa manente erit aliud, quod fiat *ac producatur ab ea*. Si enim aliud *ab ea* discretum est, *id* separatim est.

Si vero separatim *est ab ipsa causa*, ipsa vero manet, hoc ab ipsa prodiit, ut discerneretur *ea* manente. Quatenus igitur aliquid habet, quod cum producente est idem, id, quod producitur, in ipso *producente* manet: quatenus vero diversum *est*, ab ipso prodit. Cum vero sit et simile, idem quodammodo simul et diversum est. Manet igitur et progreditur simul *utrumque*, et neutrum *est* sine altero.

XXXI. Omne quod progreditur ab aliquo per essentiam, revertitur ad illud, a quo progreditur. Si enim progrediatur quidem, non revertatur vero ad ipsam causam hujus progressus, non expetet causam. Omne enim quod expetit *aliquid*, revertitur ad ipsum expetitum. Atqui omne expetit ipsum Bonum, et illius adeptio *fit* per causam singulis proximam.

Expetunt igitur etiam singula suam ipsorum causam. Per quod enim ipsum Esse *datur* unicuique, propter hoc et ipsum Bene (*bonum*). Per quod vero ipsum Bene, ad hoc *fertur* primum desiderium *et appetitus*. Ad quod vero primum *fertur* desiderium, ad hoc *fit conversio et* reversio.

XXXII. Omnis *ad aliquid conversio et* reversio per similitudinem perficitur eorum, quae *convertuntur ac revertuntur ad illud* ad quod ipsa *conversio et* reversio fit. Omne enim quod *convertitur et* revertitur, cum omni conjungi properat, et expetit cum ipso communionem et conjunctionem. Omnia vero conjungit similitudo, quem-

μοιότης καὶ σύστασιν. Εἰ οὖν ἡ ἐπιστροφὴ κοινωνία τίς ἐστι καὶ συναφὴ, πᾶσα δὲ κοινωνία καὶ συναφὴ πᾶσα δι' ὁμοιότητος, πᾶσα ἄρα ἐπιστροφὴ δι' ὁμοιότητος ἀποτελοῖτο ἄν.

**ΛΓ'.** Πᾶν τὸ προϊὸν ἀπό τινος καὶ ἐπιστρέφον, κυκλικὴν ἔχει τὴν ἐνέργειαν. Εἰ γὰρ, ἀφ' οὗ πρόεισιν, εἰς τοῦτο ἐπιστρέφει, συνάπτει τῇ ἀρχῇ τὸ τέλος, καὶ ἔστι μία καὶ συνεχὴς ἡ κίνησις τῆς μὲν ἀπὸ τοῦ μένοντος, τῆς δὲ πρὸς τὸ μεῖναν γενομένης. Ὅθεν δὴ πάντα κύκλῳ πρόεισιν ἀπὸ τῶν αἰτίων ἐπὶ τὰ αἴτια. Μείζους δὲ κύκλοι καὶ ἐλάττους τῶν μὲν ἐπιστροφῶν πρὸς τὰ ὑπερκείμενα συνεχῶς γινομένων, τῶν δὲ πρὸς τὰ ἀνωτέρω, καὶ μέχρι τῆς πάντων ἀρχῆς. Ἀπὸ γὰρ ἐκείνης πάντα, καὶ πρὸς ἐκείνην.

**ΛΔ'.** Πᾶν τὸ κατὰ φύσιν ἐπιστρεφόμενον πρὸς ἐκεῖνο ποιεῖται τὴν ἐπιστροφὴν, ἀφ' οὗ καὶ τὴν πρόοδον ἔσχε τῆς οἰκείας ὑποστάσεως. Εἰ γὰρ κατὰ φύσιν ἐπιστρέφεται, τὴν κατ' οὐσίαν ὄρεξιν πρὸς ἐκεῖνο κέκτηται, πρὸς ὃ ἐπιστρέφεται· εἰ δὲ τοῦτο, καὶ τὸ εἶναι αὐτοῦ πᾶν εἰς ἐκεῖνο ἀνήρτηται, πρὸς ὃ τὴν οὐσιώδη ποιεῖται ἐπιστροφὴν, καὶ ὅμοιόν ἐστιν ἐκείνῳ κατ' οὐσίαν. Διὸ καὶ συμπαθὲς ἐκείνῳ κατὰ φύσιν, ὡς τῇ οὐσίᾳ συγγενές. Εἰ δὲ τοῦτο, ἢ ταὐτόν ἐστι τὸ εἶναι ἀμφοτέρων, ἢ ἐκ θατέρου θάτερον, ἢ ἄμφω ἐξ ἑνός του ἄλλου τὸ ὅμοιον ἔλαχεν. Ἀλλ' εἰ μὲν ταὐτὸν τὸ εἶναι ἀμφοτέρων, πῶς κατὰ φύσιν θάτερον πρὸς θάτερον ἐπέστραπται; Εἰ δὲ ἐξ ἑνὸς ἄμφω, πρὸς ἐκεῖνο ἂν εἴη τὸ κατὰ φύσιν ἐπιστρέφειν ἀμφότερον.

Λείπεται ἄρα ἐκ θατέρου θάτερον τὸ εἶναι ἔχειν. Εἰ δὲ τοῦτο, καὶ ἡ πρόοδος ἀπ' ἐκείνου, πρὸς ὃ ἡ κατὰ φύσιν ἐπιστροφή. Ἐκ δὲ τούτων φανερὸν, ὅτι καὶ ὀρεκτὸν πᾶσι νοῦς, καὶ πρόεισιν ἀπὸ νοῦ πάντα, καὶ πᾶς ὁ κόσμος ἀπὸ νοῦ τὴν οὐσίαν ἔχει, κἂν ἀΐδιος ᾖ. Καὶ διὰ τοῦτο οὐχὶ πρόεισιν ἀπὸ νοῦ, διότι ἀΐδιος· οὐδὲ γὰρ διὰ τοῦτο οὐκ ἐπέστραπται, διότι ἀεὶ τέτακται, ἀλλὰ καὶ πρόεισιν ἀεὶ, καὶ ἀΐδιος κατ' οὐσίαν, καὶ ἐπέστραπται ἀεὶ, καὶ ἄλυτος κατὰ τὴν τάξιν.

**ΛΕ'.** Πᾶν τὸ αἰτιατὸν καὶ μένει ἐν τῇ αὐτοῦ αἰτίᾳ, καὶ πρόεισιν ἀπ' αὐτῆς, καὶ ἐπιστρέφει πρὸς αὐτήν· εἰ γὰρ μένει μόνον, οὐδὲν διοίσει τῆς αἰτίας ἀδιάκριτον ὄν· ἅμα γὰρ διακρίσει πρόοδος· εἰ δὲ πρόεισι μόνον, ἀσύναπτον ἔσται πρὸς αὐτὴν καὶ ἀσυμπαθὲς, μηδαμῶς τῇ αἰτίᾳ κοινωνοῦν.

Εἰ δὲ ἐπιστρέφοιτο μόνον, πῶς τὸ μὴ τὴν οὐσίαν ἀπ' αὐτῆς ἔχον κατ' οὐσίαν ποιεῖται τὴν πρὸς τὸ ἀλλότριον ἐπιστροφήν; εἰ δὲ μένοι μὲν καὶ πρόεισι, μὴ ἐπιστρέφοιτο δὲ, πῶς ἡ κατὰ φύσιν ὄρεξις ἑκάστου πρὸς τὸ εὖ καὶ τὸ ἀγαθὸν, καὶ ἡ ἐπὶ τὸ γεννῆσαν ἀνάκλησις; εἰ δὲ πρόεισι μὲν καὶ ἐπιστρέφοιτο, μὴ μένοι δὲ, πῶς ἀποστὰν μὲν τῆς αἰτίας συνάπτεσθαι σπεύδει πρὸς αὐτήν;

Ἀσύναπτον [illegible] ἦν πρὸ τῆς ἀποστάσεως· [illegible] συναφὴν, κατ' ἐκεῖνο πάντως ἔμενεν [illegible]

admodum et similitudo omnia decernit atque disjungit. Si igitur *conversio et* reversio est quaedam communio et conjunctio, omnis vero communio et omnis conjunctio per similitudinem *fit*, omnis igitur *ad aliquid conversio et* reversio per similitudinem perficietur.

**XXXIII.** Omne quod ab aliquo progreditur et *ad id* revertitur, circularem habet actionem. Si enim, a quo progreditur, ad illud revertitur, cum principio finem conjungit, et est unus et continuus motus. Nam unus quidem a manente fit, alter vero *progreditur* ad illud, quod *in suo loco firmiter* mansit. Quamobrem etiam omnia circulariter *et in orbem* progrediuntur a causis ad causas. Majores vero et minores circuli *sunt* reversionum, quarum aliae quidem fiunt continenter ad supra sita, aliae vero ad superiora et usque ad ipsum *rerum* omnium principium. Ab illo enim omnia *manant*, et ad illud *revertuntur*.

**XXXIV.** Omne quod secundum naturam *ad aliquid* revertitur, ad illud reversionem facit, a quo progressum etiam habuit suae naturae. Si enim secundum naturam revertitur, secundum *suam* essentiam habet desiderium *eundi* ad illud ad quod *convertitur ac* revertitur. Si vero *concedatur* hoc, etiam totum ipsius Esse ex eo pendet, ad quod essentialem facit reversionem, et illi simile est secundum essentiam. Quamobrem etiam secundum naturam, ut ipsi essentiae cognatum, cum illo consentiens *est et eodem affectu afficitur*. Si vero *concedatur* hoc, vel idem est ipsum Esse utriusque, vel alterum ex altero *manat*, vel ambo ex uno aliquo alio ipsum simile sunt sortita. Sed si *est* idem ipsum Esse utriusque, quomodo secundum naturam alterum ad alterum revertitur? Si vero ex uno ambo *manant*, ad illud pertinebit ipsum secundum naturam convertere utrumque *et ad suum principium reducere*.

Restat igitur, *ut dicamus* alterum ex altero *suum* Esse habere. Si vero *detur* hoc, et ipse progressus *fiet* ab illo, ad quod ipsa reversio *fit* secundum naturam. Ex his igitur *est* perspicuum, quod et Mens *est quiddam* omnibus expetendum, et a Mente progrediuntur omnia, et totus Mundus a Mente suam essentiam habet, quamvis sit aeternus. Et propterea non progreditur a Mente, quoniam *est* aeternus. Neque enim propter hoc non revertitur *Mundus ad aliquod principium, quod fuerit ante ipsum*, quia semper in ordine collocatus manet, sed etiam progreditur semper, et per *suam* essentiam *est* aeternus, et semper *ad idem* revertitur, et per ordinem indissolubilis *est*, *in eodem ordine semper manens*.

**XXXV.** Omne causatum et manet in sua causa, et progreditur ab ipsa, et revertitur ad ipsam. Si enim maneret tantum, nihil ab ipsa causa differet, quia erit indiscretum. Nam cum discretione *fit* progressus. Si vero progrediatur tantum, cum ipsa non erit conjunctum, et expers ejusdem affectionis [ et conservationis a naturae cognatione manantis ], quia nullo modo communionem cum causa habebit.

Si vero *convertatur et* revertatur tantum, quomodo quod essentiam ab ipsa non habet, per essentiam ad id, quod est alienum, reversionem facit? Si vero maneat quidem et progrediatur, non revertatur vero, quomodo illud secundum naturam desiderium *erit* unicuique ad ipsum Bene et *quomodo fiet ad* ipsum Bonum et ad id, quod generavit, excitatio? Si vero progrediatur quidem et revertatur, non maneat vero, quomodo recedens quidem *atque deficiens* a causa, cum ipsa conjungi properat?

Conjunctioni autem expers erat ante recessum *et defectionem ab ea factam*. Si enim causa cum causata conjuncta esset, in illo prorsus maneret. Si vero mu-

καὶ ἐπιστρέφοιτο, μὴ προμεῖναν δὲ πᾶν τὸ [μὴ] εἶναι κριθὲν ἐπιστρέφειν ἀνέχεται, ὡς γὰρ ἐπιστρέφων πᾶν ἀναλύοντι ἔοικεν εἰς ἐκεῖνο, ἀφ' οὗ διῄρηται κατ' οὐσίαν.

Ἀνάγκη δὲ ἢ μένειν μόνον, ἢ ἐπιστρέφειν μόνον ἢ προϊέναι μόνον, ἢ συνάγειν τὰ ἄκρα μετ' ἀλλήλων, ἢ τὸ μεταξὺ μεθ' ἑκατέρων τῶν ἄκρων, ἢ τὰ σύμπαντα. Λείπεται ἄρα καὶ μένειν πᾶν ἐν τῷ αἰτίῳ, καὶ προϊέναι ἀπ' αὐτοῦ, καὶ ἐπιστρέφειν πρὸς αὐτό.

ΛϚ'. Πάντων τῶν κατὰ πρόοδον πληθυνομένων τὰ πρῶτα τελειότερα τῶν δευτέρων ἐστὶ, καὶ τὰ δεύτερα τῶν μετ' αὐτὰ, καὶ ἐφεξῆς ὡσαύτως. Εἰ γὰρ αἱ πρόοδοι διακρίνουσιν ἀπὸ τῶν αἰτίων τὰ παραγόμενα, καὶ ὑφέσεις εἰσὶ πρὸς τὰ πρῶτα τῶν δευτέρων, τὰ μὲν πρῶτα προελθόντα συνῆπται μᾶλλον τοῖς αἰτίοις, ἀπ' αὐτῶν ἐκείνων ἐκβλαστάνοντα.

Τὰ δὲ δεύτερα πορρωτέρω τῶν αἰτίων εἰσὶ, καὶ ἑξῆς ὁμοίως. τὰ δὲ ἐγγυτέρω καὶ τὰ συγγενέστερα τοῖς αἰτίοις, τελειότερα· καὶ γὰρ τὰ αἴτια τῶν αἰτιατῶν· τὰ δὲ πορρώτερον, ἀτελέστερα, ἀνομοιούμενα τοῖς αἰτίοις.

ΛΖ'. Πάντων τῶν κατ' ἐπιστροφὴν ὑφισταμένων τὰ πρῶτα ἀτελέστερα τῶν δευτέρων, καὶ τὰ δεύτερα τῶν ἑξῆς· τὰ δὲ ἔσχατα τελειότατα. Εἰ γὰρ ἐπιστροφαὶ γίνονται κατὰ κύκλον, καὶ ἀφ' οὗ ἡ πρόοδος, εἰς τοῦτο ἡ ἐπιστροφὴ, ἀπὸ δὲ τοῦ τελειοτάτου ἡ πρόοδος, ἡ ἐπιστροφὴ ἄρα εἰς τὸ τελειότατον. Καὶ εἰ, ἐφ' ὃ ἡ πρόοδος ἔσχατον, ἀπὸ τούτου πρώτη ἡ ἐπιστροφὴ, ἡ δὲ πρόοδος εἰς ἔσχατον τὸ ἀτελέστατον, καὶ ἡ ἐπιστροφὴ ἀπὸ τοῦ ἀτελεστάτου. Πρῶτα μὲν ἄρα ἐν τοῖς κατ' ἐπιστροφὴν τὰ ἀτελέστατα, ἔσχατα δὲ τὰ τελειότατα.

ΛΗ'. Πᾶν τὸ προϊὸν ἀπό τινων πλειόνων αἰτίων, δι' ὅσων πρόεισι, διὰ τοσούτων καὶ ἐπιστρέφεται. Καὶ πᾶσα ἐπιστροφὴ διὰ τῶν αὐτῶν, δι' ὧν καὶ ἡ πρόοδος· ἐπεὶ γὰρ δι' ὁμοιότητος ἑκάτερα γίνεται, τὸ μὲν ἀμέσως ἀπό τινος προελθὸν καὶ ἐπέστραπται ἀμέσως πρὸς αὐτό· ἡ γὰρ ὁμοιότης ἄμεσος ἦν.

Τὸ δὲ μεσότητος ἐν τῷ προϊέναι δεόμενον μεσότητος δεῖται καὶ κατὰ τὴν ἐπιστροφήν. Δεῖ γὰρ πρὸς τὸ αὐτὸ ἑκάτερα γίνεσθαι· ὥστε πρὸς τὸ μέσον ἐπιστραφήσεται πρῶτον, ἔπειτα πρὸς τὸ τοῦ μέσου κρεῖττον. Δι' ὅσων ἄρα τὸ εἶναι, διὰ τοσούτων καὶ τὸ εὖ εἶναι ἑκάστοις, καὶ ἔμπαλιν.

ΛΘ'. Πᾶν τὸ ὂν ἢ οὐσιωδῶς ἐπιστρέφει μόνον, ἢ καὶ ζωτικῶς ἢ καὶ γνωστικῶς. ἢ γὰρ τὸ εἶναι μόνον ἀπὸ τῆς αἰτίας κέκτηται, ἢ τὸ ζῆν μετ' αὐτοῦ τοῦ εἶναι, ἢ καὶ γνωστικὴν ἐκεῖθεν ὑπεδέξατο δύναμιν. Ἣ μὲν οὖν ἔστι μόνον, οὐσιωδῶς ποιεῖται τὴν ἐπιστροφὴν, ἣ δὲ καὶ ζῇ, καὶ ζωτικὴν· ἣ δὲ καὶ γινώσκει, καὶ γνωστικήν.

Ὡς γὰρ προῆλθεν, οὕτως ἐπέστραπται, καὶ τὰ μέτρα τῆς ἐπιστροφῆς ὥρισται τοῖς κατὰ τὴν πρόοδον

manet et revertatur, non progreditur vero, quomodo quod non decretum est, reverti potest. Omne enim, quod rem aliquam ad suum principium reducit, simile est ei, quod rem aliquam resolvit in illud, a quo per essentiam res illa separata est.

Necesse igitur est, ipsum causatum vel manere tantum in eadem causa, vel ad eam reverti tantum, vel ab ea progredi tantum, vel ipsas extremitates inter se conjungere, vel id, quod est medium, cum utraque extremitate conjungere, vel haec omnia simul fieri necesse est. Restat igitur, ut dicamus et omne causatum manere in sua causa, et progredi ab ipsa, et ad ipsam reverti.

XXXVI. Omnium eorum quae per progressum multiplicantur, prima sunt perfectiora secundis, et secunda iis quae sunt post ipsa, et deinceps eodem modo. Si enim progressus discernunt a causis ea quae producuntur ab iis, et remissiones sunt secundorum ad prima, ipsa quidem prima progressa cum causis magis conjuncta sunt, ab illis ipsis procreata et quasi germinantia.

Secunda vero a causis sunt remotiora, et deinceps similiter ita res habet. Quae vero causis sunt propinquiora et arctiore cognationis vinculo cum iis conjuncta, sunt perfectiora. Etenim causae sunt perfectiores causatis. Quae vero remotiora sunt a causis, illa sunt imperfectiora, quia dissimilia sunt causis.

XXXVII. Omnium eorum quae per reversionem subsistunt, prima sunt imperfectiora secundis, et secunda sequentibus. Extrema vero sunt perfectissima. Si enim reversiones fiunt per circulum et in orbem, et a quo fit progressus, in illud etiam fit reversio, ab illo vero, quod est perfectissimum, fit progressus, reversio igitur ad perfectissimum fit. Et si, in quod extremum fit progressus, ab hoc prima fit reversio, progressus vero fit in extremum, quod est maxime imperfectum, ergo et reversio fit ab eo, quod est imperfectissimum. Prima quidem igitur in iis, quae per reversionem fiunt, sunt ea, quae sunt imperfectissima, extrema vero sunt ea, quae perfectissima sunt.

XXXVIII. Omne quod ab aliquibus pluribus causis progreditur, per quot causas progreditur, per totidem etiam ad eas revertitur. Et omnis reversio per easdem causas fit, per quas et progressio. Quoniam enim utraque (et progressio et reversio), per similitudinem fit, quod quidem immediate ab aliquo progressum est, illud etiam ad ipsum immediate revertitur. Nam ipsa similitudo est immediata (medii expers).

Quod vero in ipsa progressione indiget medietatis sive medii, illud indiget etiam medietatis in ipsa reversione. Oportet enim utraque (progressionem et reversionem) ad idem fieri. Quare primum ad medium revertetur, deinde ad illud, quod est ipso medio praestantius. Per quot igitur causas est ipsum Esse, per totidem etiam ipsum Bene esse singulis est, et contra.

XXXIX. Omne Ens vel essentialiter tantum ad suum principium revertitur, vel etiam vitaliter, vel etiam per cognitionem. Vel enim ipsum Esse solum a causa manans habet, vel ipsum vivere una cum ipso Esse, vel etiam cognitionis vi praeditam facultatem illinc manantem suscepit. Quatenus igitur omne Ens est tantum, essentialem facit reversionem; quatenus vero etiam vivit, etiam vitalem facit reversionem; quatenus vero res etiam cognoscit, etiam cognitionis vi praeditam reversionem facit.

Ut enim progressum est, sic etiam ad suum principium revertitur, et ipsae mensurae reversionis terminatae sunt illis mensuris, quae fiunt et sunt secundum ipsum

μέτροις. Καὶ ἡ ὄρεξις οὖν τοῖς μὲν ἐστι κατ' αὐτὸ τὸ εἶναι μόνον, ἐπιτηδειότης οὖσα πρὸς τὴν μέθεξιν τῶν αἰτίων· τοῖς δὲ κατὰ τὴν ζωὴν, κίνησις οὖσα πρὸς τὰ κρείττονα· τοῖς δὲ κατὰ τὴν γνῶσιν, συναίσθησις οὖσα τῆς τῶν αἰτίων ἀγαθότητος.

**Μ'.** Πάντων τῶν ἀφ' ἑτέρας αἰτίας προϊόντων ἡγεῖται τὰ παρ' ἑαυτῶν ὑφιστάμενα, καὶ τὴν οὐσίαν αὐθυπόστατον κεκτημένα· εἰ γὰρ πᾶν τὸ αὔταρκες ἢ κατ' οὐσίαν, ἢ κατ' ἐνέργειαν κρεῖττον τοῦ εἰς ἄλλην αἰτίαν ἀνηρτημένου· τὸ δὲ ἑαυτὸ παράγον ἑαυτῷ τοῦ εἶναι παρεκτικὸν ὑπάρχον, αὔταρκες πρὸς οὐσίαν· τὸ δὲ ἀπ' ἄλλου μόνον παραγόμενον οὐκ αὔταρκες· τῷ δὲ ἀγαθῷ συγγενέστερον τὸ αὔταρκες· τὰ δὲ συγγενέστερα καὶ ὁμοιότερα ταῖς αἰτίαις πρὸ τῶν ἀνομοίων ὑφέστηκεν ἐκ τῆς αἰτίας· τὰ ἄρα παρ' αὐτῶν παραγόμενα καὶ αὐθυπόστατα πρεσβύτερά ἐστι τῶν ἀφ' ἑτέρου μόνον εἰς τὸ εἶναι προελθόντων. Ἢ γὰρ οὐδὲν ἔσται αὐθυπόστατον, ἢ τὸ ἀγαθὸν τοιοῦτον, ἢ τὰ πρῶτα ἐκ τἀγαθοῦ ὑποστάντα. Ἀλλ' εἰ μὲν μηδὲν αὐθυπόστατον, ἐν οὐδενὶ τὸ αὔταρκες ἔσται κατ' ἀλήθειαν. Οὔτε γὰρ ἐν τἀγαθῷ κρεῖσσον αὐταρκείας [ἔσται] ἓν ὂν ἐκεῖνο· καὶ αὐτὸ ἀγαθὸν, ἀλλ' οὐχὶ ἔχον ἀγαθὸν, οὔτε ἐν τοῖς μετὰ τἀγαθόν· πάντα γὰρ ἐνδεῆ ἄλλου ἔσται, τοῦ πρὸ αὐτοῦ μόνον. Εἰ δὲ τἀγαθὸν αὐθυπόστατον, αὐτὸ ἑαυτὸ παράγον, οὐχ ἓν ἔσται. Τὸ γὰρ ἀπὸ τοῦ ἑνὸς προϊὸν οὐχ ἕν· ἑαυτοῦ γὰρ πρόεισιν, εἴπερ αὐθυπόστατον· ὥστε ἓν ἅμα, καὶ οὐχ ἓν τὸ ἕν. Ἀνάγκη ἄρα τὸ αὐθυπόστατον εἶναι μετὰ τὸ πρῶτον, καὶ δῆλον, ὡς πρὸ τῶν ἀφ' ἑτέρας αἰτίας μόνον προελθόντων. Κυριώτερον γὰρ ἐκείνων καὶ τἀγαθῷ συγγενέστερον, ὡς δέδεικται.

**ΜΑ'.** Πᾶν μὲν τὸ ἐν ἄλλῳ ὂν ὑπ' ἄλλου μόνου παράγεται· πᾶν δὲ τὸ ἐν αὐτῷ ὂν αὐθυπόστατόν ἐστι. Τὸ μὲν γὰρ ἐν ἄλλῳ ὂν καὶ ὑποκειμένου δεόμενον, ἑαυτοῦ γεννητικὸν οὐκ ἄν ποτε εἴη· τὸ γὰρ γεννᾷν ἑαυτὸ πεφυκὸς ἕδρας ἄλλης οὐ δεῖται, συνεχόμενον ὑφ' ἑαυτοῦ, καὶ σωζόμενον ἐν ἑαυτῷ, τοῦ ὑποκειμένου χωρίς. Τὸ δὲ ἐν αὐτῷ μένειν καὶ ἱδρῦσθαι δυνάμενον ἑαυτοῦ παρακτικόν ἐστιν, αὐτὸ εἰς ἑαυτὸ προϊὸν, καὶ ἑαυτοῦ συνεκτικὸν ὑπάρχον καὶ οὕτως ἐν ἑαυτῷ ὂν, ὡς ἐν αἰτίῳ τὸ αἰτιατόν· οὐ γὰρ ὡς ἐν τόπῳ, οὐδὲ ὡς ἐν ὑποκειμένῳ· καὶ γὰρ ὁ τόπος τοῦ ἐν τόπῳ ἕτερος, καὶ τοῦ ὑποκειμένου τὸ ἐν ὑποκειμένῳ ὄν· τοῦτο δὲ ἐν αὐτῷ ταὐτόν· αὐθυπόστατον ἄρα, καὶ ὡς ἐν αἰτίᾳ τὸ ἀπ' αἰτίας, οὕτως ἐν ἑαυτῷ ἐστιν.

**ΜΒ'.** Πᾶν τὸ αὐθυπόστατον πρὸς ἑαυτὸ ἐστιν ἐπιστρεπτικόν. Εἰ γὰρ ἀφ' ἑαυτοῦ πρόεισι, καὶ τὴν ἐπιστροφὴν ποιήσεται πρὸς ἑαυτό. Ἀφ' οὗ γὰρ ἡ πρόοδος ἑκάστοις, εἰς τοῦτο καὶ ἡ τῇ προόδῳ σύστοιχος ἐπιστροφή. Εἰ γὰρ πρόεισιν ἀφ' ἑαυτοῦ μόνον, μὴ ἐπιστρέφοιτο δὲ προϊὸν εἰς αὐτὸ, οὐκ ἄν ποτε τοῦ οἰκείου ἀγαθοῦ ὀρέγοιτο, καὶ ὃ δύναται ἑαυτῷ παρέχειν,

progressum. Ergo et ipsum desiderium aliis quidem est tantum secundum ipsum Esse, quod sit accommodatus habitus (*q. d. aptitudo*) ad participationem causarum, aliis vero secundum vitam, quod sit motus ad præstantiora; aliis vero secundum cognitionem, quod sit conscientia *communisque sensus et communis cognitio* bonitatis causarum.

XL. Omnia, quæ ab alia causa progrediuntur, antecedunt ea quæ a se ipsis *et per se ipsa* subsistunt, et quæ essentiam per se exsistentem habent. Si enim id omne quod sibi sufficit, vel per *suam* essentiam vel per actionem *est* præstantius eo quod ex alia causa pendet: id vero quod se ipsum producit, quoniam promptum idoneumque est ad suppeditandum sibi ipsum essentiam, per *suam* essentiam *est* sibi sufficiens; quod vero ab alio tantum producitur, non *est* sibi sufficiens: quod vero per cognationem ad ipsum Bonum propius accedit, id *est* sibi sufficiens: quæ vero per cognationem et similitudinem ad causas propius accedunt, ante dissimilia subsistunt, ex causa *manantia*: quæ igitur a se ipsis producuntur, et quæ per se subsistunt, antiquiora sunt illis quæ ab altero tantum ad ipsum Esse sunt progressa. Vel enim nihil erit per se subsistens, vel ipsum Bonum *est* tale (*per se subsistens*), vel ipsa prima propter ipsum Bonum subsistentia. Sed si quidem nihil *est* per se subsistens, in nullo *prorsus* erit vero id, quod sibi sufficit. Neque enim in ipso Bono erit præstantius autarcia (*i. e. quam conditio sibi plane sufficiens*), quod est Unum illud. Et *illa est* ipsum per se Bonum, non autem id quod habet ipsum Bonum, neque *illud quod est* inter illa *quæ sunt* post ipsum Bonum. Omnibus enim *in rebus et prorsus* indigens alius erit, illius *scilicet* quod est tantum ante ipsum. Si vero ipsum Bonum *est* per se subsistens, ipsum se ipsum producens, non erit Unum. Quod enim ab Uno progressum est, non *est* Unum: nam a se ipso progreditur, si *est* per se subsistens. Quamobrem ipsum Unum *est* simul Unum et non Unum. Necesse igitur *est*, id quod per se subsistit, esse post illud quod est primum, et perspicuum *est*, quod *hoc primum est* ante ea quæ tantum ab altera causa sunt progressa. Est enim auctoritate gravius, quam illa, et ipsi Bono cognatione propinquius *est*, ut demonstratum est.

XLI. Omne quidem, quod in alio est, ab alio tantum productum: omne vero, quod est in se ipso, per se subsistens est. Nam illud quidem, quod est in alio, et quod subjecto indiget, nunquam sui ipsius generandi vim habebit. Quod enim se ipsum generare naturaliter solet, alia sede non indiget, quoniam a se ipso continetur et in se ipso conservatur sine subjecto. Quod vero in se ipso manere et collocari *firmumque stare* potest, id sui ipsius producendi vim habet, quod ipsum in se ipsum progreditur, et sui continendi facultatem habeat, et sic in se ipso sit, ut causatum in causa. Non enim ut in loco, nec ut in subjecto *continetur*. Etenim locus diversus *est* ab eo, quod est in loco, atque id quod est in subjecto *diversum est* ab ipso subjecto. Hoc autem in ipso *est* idem. Ergo per se subsistens *est*, et ut *est* in causa id quod a causa *manat*, *id causatum vocatur*, sic *etiam hoc* in se ipso est *et manet*.

XLII. Omne, quod est per se subsistens, ad se ipsum revertendi facultate præditum est. Si enim a se ipso progreditur, ipsam quoque reversionem ad se ipsum faciet. A quo enim singulis *rebus est* progressus, ad hoc etiam progressui cognata reversio *fit*. Si enim prodit a se ipso tantum, neque vero ad ipsum revertatur, cum *ex se ipso* progressum est, nunquam suum Bonum expetet. Et quod sibi ipsi suppeditare potest *ea, quæ vitam suam*

δύναται δὲ πᾶν τὸ αἴτιον τῷ ἀπ' αὐτοῦ διδόναι μετὰ τῆς οὐσίας, ἣν δίδωσι, καὶ τὸ εὖ τῆς οὐσίας, ἣν δίδωσι, σύζυγον· ὥστε καὶ αὐτὸ αὑτῷ· τοῦτο ἄρα τὸ οἰκεῖον τῷ αὐθυποστάτῳ ἀγαθόν. Τούτου δὲ οὐκ ὀρέγεται τὸ [μὴ] ἐπιστρέφον πρὸς ἑαυτό.

Μὴ ὀρεγόμενον δὲ, οὐδ' ἂν τύχοι, καὶ μὴ τυγχάνον, ἀτελὲς ἂν εἴη καὶ οὐκ αὔταρκες· ἀλλ' εἴπερ τῷ ἄλλῳ προσήκει, καὶ τῷ αὐθυποστάτῳ αὐτάρκεια καὶ τελείῳ εἶναι. Καὶ τεύξεται ἄρα τοῦ οἰκείου καὶ ὀρέξεται, καὶ πρὸς ἑαυτὸ στραφήσεται.

ΜΓ'. Πᾶν τὸ πρὸς ἑαυτὸ ἐπιστρεπτικὸν αὐθυπόστατόν ἐστιν· εἰ γὰρ ἐπέστραπται πρὸς ἑαυτὸ κατὰ φύσιν, καὶ ἔστι τέλειον ἐν τῇ πρὸς ἑαυτὸ στροφῇ, καὶ τὴν οὐσίαν [ἂν] παρ' ἑαυτοῦ ἔχοι.

Πρὸς ὃ γὰρ ἡ κατὰ φύσιν ἐπιστροφὴ, ἀπὸ τούτου καὶ ἡ πρόοδος ἡ κατ' οὐσίαν ἑκάστοις. Εἰ οὖν ἑαυτῷ τὸ εὖ εἶναι παρέχοι, καὶ τὸ εἶναι δήπου ἑαυτῷ παρέξει, καὶ ἔσται τῆς ἑαυτοῦ κύριον ὑποστάσεως. Αὐθυπόστατον ἄρα ἐστὶ τὸ πρὸς ἑαυτὸ δυνάμενον ἐπιστρέφειν.

ΜΔ'. Πᾶν τὸ κατ' ἐνέργειαν πρὸς ἑαυτὸ ἐπιστρεπτικὸν, καὶ κατ' οὐσίαν ἐπέστραπται πρὸς ἑαυτό. Εἰ γὰρ τῇ μὲν ἐνεργείᾳ δύναιτο ἐπιστρέψεσθαι πρὸς ἑαυτὸ, τῇ δὲ οὐσίᾳ ἀνεπίστροφον ὑπάρχοι, κρεῖττον ἂν εἴη κατὰ τὴν ἐνέργειαν μᾶλλον, ἢ κατὰ τὴν οὐσίαν, τῆς μὲν ἐπιστρεπτικῆς οὔσης, τῆς δὲ ἀνεπιστρόφου.

Τὸ γὰρ ἑαυτοῦ ὂν, κρεῖττον ἢ τὸ ἄλλου μόνον· καὶ τὸ ἑαυτοῦ σωστικὸν τελειότερον, ἢ τὸ ὑπ' ἄλλου μόνου σωζόμενον. Εἰ ἄρα τι κατ' ἐνέργειαν ἔστι τὴν ἀπὸ τῆς οὐσίας πρὸς ἑαυτὸ ἐπιστρεπτικὸν, καὶ τὴν οὐσίαν ἐπιστρεπτικὴν ἔλαχεν, ἵνα μὴ ἐνεργῇ πρὸς ἑαυτὸ μόνον, ἀλλὰ καὶ ἑαυτοῦ εἶναι, καὶ ὑφ' ἑαυτοῦ συνέχεσθαι καὶ τελειοῦσθαι.

ΜΕ'. Πᾶν τὸ αὐθυπόστατον ἀγέννητόν ἐστιν· εἰ γὰρ γεννητὸν, ᾗ μὲν γεννητὸν, ἀτελὲς ἔσται καθ' αὑτὸ, καὶ τῆς ὑπ' ἄλλου τελειώσεως ἐνδεές.

Διότι δὲ αὐτὸ ἑαυτὸ παράγει, τέλειον καὶ αὔταρκες· πᾶν γὰρ γεννητὸν ὑπ' ἄλλου τελειοῦται, τοῦ παρέχοντος αὐτῷ γένεσιν οὐκ ὄντι· καὶ γὰρ ἡ γένεσις ὁδός ἐστιν ἐκ τοῦ ἀτελοῦς εἰς τὸ ἐναντίον τέλειον.

Εἰ δ' ἑαυτό τι παράγει, τέλειον ἀεί ἐστιν, ἀεὶ τῇ ἑαυτοῦ αἰτίᾳ συνὸν, μᾶλλον δὲ ἐνυπάρχον πρὸς τὴν τῆς οὐσίας τελειότητα.

ΜϚ'. Πᾶν τὸ αὐθυπόστατον ἄφθαρτόν ἐστιν· εἰ γὰρ φθαρήσεται, καταλείψει ἑαυτὸ, καὶ ἔσται ἑαυτοῦ χωρίς. Ἀλλὰ τοῦτο ἀδύνατον· ἓν γὰρ ὂν ἅμα καὶ αἴτιόν ἐστι καὶ αἰτιατόν.

Πᾶν δὲ τὸ φθειρόμενον, ἀποστὰν τῆς ἑαυτοῦ αἰτίας, φθείρεται. Ἐφ' ὅσον γὰρ ἂν ἐξέχεται τοῦ συνέχοντος αὐτὸ καὶ σώζοντος ἕκαστον, συνέχεται καὶ σώζεται.

Οὐδέποτε δὲ ἀπολείπει τὴν αἰτίαν τὸ αὐθυπόστατον, ὡς ἑαυτὸ οὐκ ἀπολεῖπον· αἴτιον γὰρ αὐτὸ ἑαυτοῦ ἐστιν. Ἄφθαρτον ἄρα ἐστὶ τὸ αὐθυπόστατον πᾶν.

ΜΖ'. Πᾶν τὸ αὐθυπόστατον ἀμερές ἐστι καὶ ἁπλοῦν.

sorte contentum faciunt, omnis vero causa dare potest hoc ei, quod ab ipsa *manat*, una cum ipsa essentia, quam dat: *ergo* et ipsum Bene, *vel ipsum Bonum*, cum essentia, quam dat, *est* conjunctum. Quamobrem etiam ipsum sibi ipsi. Hoc igitur *est* illud, quod proprium est ipsi per se subsistenti Bono. Hoc vero non expetit illud, quod ad se ipsum non revertitur.

Si vero non expetat *Bonum*, neque adipiscetur *ipsum*, et nisi *Bonum* adipiscatur, imperfectum erit, neque sibi ipsum sufficiens. Sed si cui alii convenit autarcia (*vitae genus sua sorte contentum*), et ipsum perfectum esse (*perfectio*), *profecto haec conveniunt* etiam ipsi per se subsistenti. Ergo et adipiscetur, quod ipsi affine est, et expetet, et ad se ipsum revertetur.

XLIII. Omne quod ad se ipsum revertendi facultate praeditum est, per se subsistens est. Si enim revertitur ad se ipsum secundum naturam, et perfectum est in ipsa ad se ipsum reversione, etiam ipsam essentiam a se ipso habebit.

Ad quod enim ipsa secundum naturam reversio *fit*, ab hoc etiam progressus secundum essentiam *fit* singulis. Si igitur *hoc* sibi ipsi ipsum Bene esse praebet, et ipsum Esse profecto sibi ipsi praebebit, et erit suae hypostaseos *et naturae* dominus. Est igitur per se subsistens illud, quod ad se ipsum reverti potest.

XLIV. Omne quod per actionem ad se ipsum reverti potest, *illud* etiam per essentiam ad se ipsum revertitur. Si enim per actionem quidem possit ad se ipsum reverti, per essentiam vero sit expers reversionis, longo praestantius erit per actionem, quam per essentiam, quod illa quidem (*actio*) *ad se ipsum* revertendi facultate praedita sit, haec vero (*essentia*) *sit* expers reversionis.

Quod enim est sui ipsius (*quod est sui juris et ex se ipso tantum pendet*), praestantius *est*, quam quod *est* alius tantum (*quod ex alio tantum pendet*). Et quod sui conservandi vim habet, perfectius *est*, quam illud, quod ab alio tantum servatur. Proinde si quid secundum actionem est, quae ab essentia nascitur, revertens ad se ipsum, illud etiam essentiam revertendi facultate praeditam est sortitum, ut non solum apud se ipsum agat, sed etiam sui ipsius (*sui juris*) sit, et a se ipso contineatur et perficiatur.

XLV. Omne quod *est* per se subsistens, non generatum est; *sed generationis et ortus est expers*. Si enim generatum *esset, et ab alio suum ortum haberet*, quoniam quidem generatum *esset*, imperfectum esset per se ipsum, et perfectionis ab alio *manantis esset* indigens.

Quandam vero ipsum se ipsum producit, *est* perfectum et sibi ipsum sufficiens. Omne enim generatum ab alio perficitur, quod generationem *et ortum* praebet ipsi non existenti. Etenim generatio est via ab eo quod est imperfectum, ad illud, quod est *imperfecto* contrarium, *ad ipsum scilicet* perfectum.

Si quid vero se ipsum producit, perfectum est semper, quoniam semper est cum sui ipsius causa, vel potius quoniam inest ei, ut essentiae perficiendae vim habeat.

XLVI. Omne quod *est* per se subsistens, est corruptionis expers. Si enim corrumperetur, se ipsum desereret, et esset sine se ipso. Sed hoc *est* impossibile. Cum enim sit Unum, simul est et causa et causatum.

Omne vero, quod corrumpitur, quoniam a sui ipsius causa recessit, *ideo* corrumpitur. Quatenus enim pendet ex eo quod continet ipsum et servat unumquodque, *catenus et ipsum* continetur et servatur.

Nunquam vero illud, quod *est* per se subsistens, deserit *suam* causam, quippe quod se ipsum non deserit. Ipsum enim est sui ipsius causa. Ergo omne quod est per se subsistens, est corruptionis expers.

XLVII. Omne quod est per se subsistens, est indivi

εἰ γὰρ μεριστὸν, αὐθυπόστατον ὂν, ὑποστήσει μεριστὸν ἑαυτὸ, καὶ ὅλον αὐτὸ στραφήσεται πρὸς ἑαυτὸ, καὶ πᾶν ἐν παντὶ ἑαυτῷ ἔσται· τοῦτο δὲ ἀδύνατον· ἀμερὲς ἄρα τὸ αὐθυπόστατον· ἀλλὰ μὴν καὶ ἁπλοῦν· εἰ γὰρ σύνθετον, τὸ μὲν χεῖρον ἔσται ἐν αὐτῷ, τὸ δὲ βέλτιον, καὶ τό, τε βέλτιον ἐκ τοῦ χείρονος ἔσται, καὶ τὸ χεῖρον ἐκ τοῦ βελτίονος, εἴπερ ὅλον ἀφ' ὅλου ἑαυτοῦ πρόεισιν· ἔτι δὲ οὐκ αὔταρκες, προσδεὲς ὂν τῶν ἑαυτοῦ στοιχείων, ἐξ ὧν ὑφέστηκεν. Ἁπλοῦν ἄρα ἐστὶ πᾶν, ὅπερ [ἂν] αὐθυπόστατον ᾖ.

## Περὶ ἀϊδίου, πρὸς τὸ δεῖξαι, ὅτι ἀΐδιος ὁ κόσμος.

**ΜΗ'.** Πᾶν τὸ μὴ ἀΐδιον ἢ σύνθετόν ἐστιν, ἢ ἐν ἄλλῳ ὑφέστηκεν· ἢ γὰρ διαλυτόν ἐστιν εἰς ταῦτα, ἐξ ὧν ἐστι, καὶ πάντως σύγκειται ἐξ ἐκείνων, εἰς ἃ διαλύεται, ἢ ὑποκειμένου δεόμενον, καὶ ἀπολεῖπον τὸ ὑποκείμενον, οἴχεται εἰς τὸ μὴ ὄν· εἰ δὲ ἁπλοῦν εἴη καὶ ἐν ἑαυτῷ, ἀδιάλυτόν τε ἔσται καὶ ἀσκέδαστον.

**ΜΘ'.** Πᾶν τὸ αὐθυπόστατον ἀΐδιόν ἐστι. Δύο γάρ εἰσι τρόποι, καθ' οὓς ἀνάγκη τι μὴ ἀΐδιον εἶναι· ὅ, τε ἀπὸ τῆς συνθέσεως, καὶ ἀπὸ τῶν ἐν ἄλλῳ ὄντων· τὸ δὲ αὐθυπόστατον οὔτε σύνθετόν ἐστιν, ἀλλ' ἁπλοῦν, οὔτε ἐν ἄλλῳ, ἀλλ' ἐν ἑαυτῷ· ἀΐδιον ἄρα ἐστίν.

**Ν'.** Πᾶν τὸ χρόνῳ μετρούμενον ἢ κατὰ τὴν οὐσίαν ἢ κατὰ τὴν ἐνέργειαν, γένεσίς ἐστι ταύτῃ, ᾗ μετρεῖται κατὰ χρόνον· εἰ γὰρ ὑπὸ χρόνου μετρεῖται, προσῆκον ἂν αὐτῷ τὸ κατὰ χρόνον εἶναι ἢ ἐνεργεῖν, καὶ τὸ ἦν καὶ τὸ ἔσται διαφέροντα ἀλλήλων· εἰ γὰρ ταὐτὸν κατὰ ἀριθμὸν τὸ ἦν καὶ τὸ ἔσται, οὐδὲν ὑπὸ χρόνου πέπονθε πορευομένου, καὶ ἀεὶ ἄλλο τὸ πρότερον ἔχοντος καὶ ὕστερον.

Εἰ οὖν ἄλλο τὸ ἦν, καὶ ἄλλο τὸ ἔσται, γινόμενον ἄρα ἐστὶ καὶ οὐδέποτε ὄν, ἀλλὰ τῷ χρόνῳ συμπορεύεται, ὑφ' οὗ μετρεῖται ἐν τῷ γίνεσθαι ὄν, καὶ οὐχ ἱστάμενον ἐν τῷ αὐτῷ εἶναι, ἀλλ' ἀεὶ δεχόμενον τὸ εἶναι ἄλλο καὶ ἄλλο, ὡς τὸ νῦν κατὰ τὸν χρόνον ἄλλο ἀεὶ καὶ ἄλλο διὰ τὴν τοῦ χρόνου πορείαν. Οὐχ ἅμα ἄρα ὅλον ἐστὶν ἐν τῷ σκιδναμένῳ τῆς χρονικῆς παρατάσεως ὂν καὶ συνεκτεινόμενον. Τοῦτο δέ ἐστιν ἐν τῷ μὴ εἶναι τὸ εἶναι ἔχειν. Τὸ γὰρ γινόμενον, ὃ γίνεται οὐκ ἔστι· γένεσις ἄρα ἐστὶ τὸ οὕτως ὄν.

**ΝΑ'.** Πᾶν τὸ αὐθυπόστατον ἐξῄρηται τῶν ὑπὸ χρόνου μετρουμένων κατὰ τὴν οὐσίαν· εἰ γὰρ ἀγέννητόν ἐστι τὸ αὐθυπόστατον, οὐκ ἂν ὑπὸ χρόνου κατὰ τὸ εἶναι μετροῖτο· γένεσις γὰρ περὶ τὴν ὑπὸ χρόνου μετρουμένην φύσιν ἐστίν· οὐδὲν ἄρα τῶν αὐθυποστάτων ἐν χρόνῳ ὑφέστηκεν.

**ΝΒ'.** Πᾶν τὸ αἰώνιον ὅλον ἅμα ἐστὶν, εἴτε τὴν οὐσίαν ἔχον μόνον αἰώνιον, ὅλην ἅμα παροῦσαν αὐτὴν ἔχον, καὶ οὐ τὸ μὲν αὐτῆς ὑποστὰν ἤδη, τὸ δὲ εἰσαῦθις ὑποστησόμενον, ὃ μήπω ἐστὶν, ἀλλ' ὁπόσον εἶναι δύνα-

duum et simplex. Si enim dividuum *esset*, cum sit per se subsistens, constituet dividuum se ipsum, et ipsum totum revertetur ad se ipsum, et omne in se ipso omni erit. Hoc autem fieri nullo modo potest. Ergo quod per se subsistit, est individuum, quinetiam simplex. Si enim compositum *esset*, alterum quidem in ipso pejus esset, alterum vero melius, et ipsum melius ex pejori esset, et ipsum pejus ex meliori, siquidem totum a toto se ipso progreditur. Praeterea vero non *esset* sibi ipsum sufficiens, quia indigeret suis elementis, ex quibus *conflatum* subsistit. Simplex igitur est omne quodcumque per se subsistens est.

## De Æterno, ad demonstrandum, mundum esse æternum.

**XLVIII.** Omne quod non *est* æternum, vel compositum est, vel in alio subsistit. Vel enim dissolubile est *et dissolvi potest* in ea ex quibus est *conflatum*, et omnino compositum est ex illis, in quæ dissolvitur, vel indiget subjecto, et cum deserit subjectum, abit in illud, quod non est. Si vero simplex sit in se ipso, erit et indissolubile et indissipabile.

**XLIX.** Omne quod per se subsistit, est æternum. Duo enim sunt modi, secundum quos necesse *est* aliquid non æternum esse. Quorum, unus est ille, qui a compositione manat; alter, qui manat ab illis quæ sunt in alio. Id vero quod per se subsistit, neque compositum est, sed simplex, neque in alio est, sed in se ipso. Est igitur æternum.

**L.** Omne quod tempore mensuratur vel secundum essentiam vel per actionem, est generatio eatenus, quatenus per ipsum tempus mensuratur. Si enim a tempore mensuratur, conveniat ipsi ipsum in tempore esse vel agere, et ipsum Erat et ipsum Erit, quæ differunt inter se. Si enim idem *esset* numero ipsum Erat et ipsum Erit, nihil ab ipso tempore *quidquam mutationis* pateretur, progrediente et semper habente aliud posterius et *aliud* prius.

Si igitur aliud *est* ipsum Erat, et aliud ipsum Erit, est igitur id, quod fit, neque unquam ens, sed cum ipso tempore progreditur, a quo mensuratur in ipso Fieri exsistens, et non stans in eodem Esse, sed semper suscipiens ipsum Esse aliud et aliud, ut ipsum Nunc secundum tempus *est* aliud semper et aliud propter ipsum temporis iter *et varium progressum*. Non igitur simul est Totum in dissipatione temporalis extensionis exsistens, dumque simul extenditur. Hoc autem est habere ipsum Esse in ipso non Esse. Quod enim fit, non est *adhuc illud ipsum*, quod fit. Generatio igitur est id, quod sic est.

**LI.** Omne quod per se subsistit, exemptum est ex iis, quæ a tempore mensurantur, secundum essentiam. Si enim id quod per se subsistit, est non generatum, nequaquam a tempore mensurabitur, secundum Esse. Generatio enim est circa naturam, quæ a tempore mensuratur. Nullum igitur eorum quæ per se subsistunt, in tempore subsistit.

**LII.** Omne quod est æternum, totum simul est, sive *suam* essentiam tantum habet æternam, ita ut ipsam totam simul præsentem habeat, non autem partem quidem ipsius jam constitutam, partem vero postea constituendam, *illam scil.* quæ nondum est, sed quæ, quanta esse potest,

ται, τοσοῦτον ὅλον ἤδη κεκτημένον, ἀνελαττώτως καὶ ἀνεπιτάτως· εἴτε τὴν ἐνέργειαν πρὸς τῇ οὐσίᾳ, καὶ ταύτην ἀθρόαν ἔχον ἐν τῷ αὐτῷ μέτρῳ τῆς τελειότητος ἑστηκυῖαν, καὶ οἷον παγεῖσαν καθ' ἕνα τὸν αὐτὸν ὅρον ἀκινήτως καὶ ἀμεταβάτως. Εἰ γὰρ αἰώνιόν ἐστιν (ὡς καὶ τοὔνομα ἐμφαίνει τὸ ἀεὶ ὄν), τὸ δὲ εἶναι καὶ τὸ γίνεσθαι ἕτερον τοῦ ἀεὶ ὄντος, οὐ δεῖ τὸ μὲν πρότερον εἶναι, τὸ δὲ ὕστερον.

Γένεσις γὰρ ἔσται, καὶ οὐκ ὄν· ὅπου δὲ μήτε τὸ πρότερον καὶ ὕστερον, μήτε τὸ ἦν καὶ τὸ ἔσται, ἀλλὰ τὸ εἶναι μόνον, ὅ ἐστιν ὅλον, ἅμα ἐστὶν ἕκαστον, ὅ ἐστιν. Τὸ δὲ αὐτὸ καὶ ἐπὶ τοῦ ἐνεργεῖν· ἐκ δὴ τούτου φανερὸν, ὅτι τοῦ ὅλοις εἶναι ὁ αἰὼν αἴτιος, εἴπερ πᾶν τὸ αἰώνιον ἢ κατ' οὐσίαν ἢ κατ' ἐνέργειαν, ὅλην ἅμα τὴν οὐσίαν ἢ τὴν ἐνέργειαν ἔχει παροῦσαν αὐτῷ.

## Περὶ τοῦ αἰῶνος καὶ τῶν αἰωνίων.

ΝΓ'. Πάντων τῶν αἰωνίων προϋπάρχει ὁ αἰὼν, καὶ πάντων τῶν κατὰ χρόνον ὁ χρόνος προϋφέστηκεν. Εἰ γὰρ πανταχοῦ πρὸ τῶν μετεχόντων ἐστὶ τὰ μετεχόμενα, καὶ πρὸ τῶν μετεχομένων τὰ ἀμέθεκτα, δῆλον, ὅτι ἄλλο μὲν τὸ αἰώνιον, ἄλλο δὲ ὁ ἐν τῷ αἰωνίῳ αἰὼν, ἄλλο δὲ ὁ καθ' αὑτὸν αἰών· τὸ μὲν ὡς μετέχον, τὸ δὲ ὡς μετεχόμενον, ὁ δὲ ὡς ἀμέθεκτος.

Καὶ τὸ ἐν χρόνῳ ἄλλο· μετέχον γάρ· καὶ ὁ ἐν τούτῳ χρόνος ἄλλος· μετεχόμενος γάρ· καὶ ὁ πρὸ τούτου χρόνος ἀμέθεκτος ὤν· καὶ τούτων μὲν ἑκάτερος τῶν ἀμεθέκτων, πανταχοῦ καὶ ἐν πᾶσιν ὁ αὐτός· ὁ δὲ μετεχόμενος ἐν ἐκείνοις μόνον, ὑφ' ὧν μετέχεται.

Πολλὰ γὰρ καὶ τὰ αἰώνια, καὶ τὰ ἔγχρονα, ἐν οἷς πᾶσιν αἰών ἐστι κατὰ μέθεξιν, καὶ χρόνος διῃρημένος, ὁ δὲ, ἀδιαίρετος ὤν. Καὶ ὁ εἷς χρόνος πρὸ τούτων, καὶ ὁ μὲν αἰὼν αἰώνων, ὁ δὲ χρόνος χρόνων, τῶν μετεχομένων ὄντες ὑποστάται.

ΝΔ'. Πᾶς αἰὼν μέτρον ἐστὶ τῶν αἰωνίων· καὶ πᾶς χρόνος τῶν ἐν χρόνῳ· καὶ δύο ταῦτα μέτρα μόνον ἐστὶν ἐν τοῖς οὖσι τῆς ζωῆς καὶ τῆς κινήσεως. Πᾶν γὰρ τὸ μετροῦν ἢ κατὰ μέρος μετρεῖ, ἢ ὅλον ἅμα ἐφαρμοσθὲν τῷ μετρουμένῳ. Τὸ μὲν οὖν καθόλου μετροῦν αἰών ἐστι· τὸ δὲ κατὰ μέρη χρόνος· δύο ἄρα μόνα τὰ μέτρα, τὸ μὲν τῶν αἰωνίων, τὸ δὲ τῶν ἐν χρόνῳ ὄντων.

ΝΕ'. Πᾶν τὸ κατὰ χρόνον ὑφεστὼς ἢ τὸν ἀεὶ χρόνον ἐστὶν, ἢ ποτὲ ἐν μέρει χρόνου τὴν ὑπόστασιν κεκτημένον· εἰ γὰρ αἱ πρόοδοι πᾶσαι δι' ὁμοιότητός εἰσι, καὶ πρὸ τῶν πάντῃ ἀνομοίων συνεχῆ τοῖς πρώτοις ὑφίσταται τὰ ὅμοια πρὸς αὐτὰ μᾶλλον ὄντα, ἢ ἀνόμοια, τοῖς δὲ αἰωνίοις συνάπτειν τὰ ἐν μέρει χρόνου γινόμενα ἀδύνατον (καὶ γὰρ ὡς γινόμενα, ἐκείνων ὄντων, καὶ ὡς ποτὲ τῶν ἀεὶ ὑφεστηκότων διέστηκε,

tantum ipsum Totum jam possidet, sine imminutione et sine intensione: sive ipsam actionem praeter essentiam, eamque totam habeat in eadem perfectionis mensura stantem, et quodammodo fixam in uno et eodem fine, immobiliter et sine transitione. Si enim aeternum est (ut et ipsum nomen αἰών aperte significat id, quod semper est, ἀεὶ ὄν), ipsum vero Esse et ipsum Fieri diversum *est* ab eo quod semper est, *ergo* non oportet alterum quidem prius esse, alterum vero posterius.

Erit enim generatio, non autem Ens; ubi vero neque Prius et Posterius *est*, neque ipsum Erat et ipsum Erit, sed ipsum Esse solum *illud*, quod est Totum, simul est unumquodque, quod est. Idem autem et in ipso agere *vel in actione considerandum*. Ex hoc igitur perspicuum *est*, quod ipsum Aevum *rebus* auctor *et causa* est ut totae exsistant, siquidem omne aeternum vel secundum essentiam vel secundum actionem totam simul *suam* essentiam vel actionem habet sibi *vel in se ipso* praesentem.

## De aevo et aeternis.

LIII. Ante omnia aeterna exsistit Aevum, et ante omnia quae fiunt in tempore, tempus exsistit. Si enim ubique *et semper* ante ea quae *res aliquas* participant, sunt ea quae participantur *ab iis*, et ante ea quae participantur, *sunt* ipsa imparticipabilia (*quae a nullo participantur*), *hinc est* perspicuum, quod aliud quidem *est* ipsum Aeternum, aliud vero Aevum in ipso Aeterno *comprehensum*, aliud vero ipsum Aevum per se *consideratum*. Illud quidem, ut participans, hoc vero, ut id quod participatur, hoc vero, ut imparticipabile.

Et quod in tempore *continetur, est* aliud; participans enim *est*. Et ipsum in isto *comprehensum* tempus *est* aliud; *est* enim participatum (*ab alio participatur*). Et ipsum tempus, quod est ante hoc; est enim imparticipabile, *vel a nullo participatum*. Et horum quidem alterum utrum *tempus constat* ex imparticipabilibus *nec non participatis* ubique [*semper*] et in omnibus idem. Illud vero *tempus*, quod participatur, in illis solum *est*, a quibus participatur.

Multa enim *sunt* et aeterna et in tempore comprehensa, in quibus omnibus Aevum est per participationem, et tempus divisum, aliud vero, quod individuum est. Et unum tempus *est* ante haec, et unum quidem est Aevum Aevorum, aliud vero tempus *est* temporum, quae sunt eorum, quae participantur, fundatores *et sustentatores*.

LIV. Omne Aevum est *rerum ac naturarum* aeternarum mensura. Et omne tempus *est mensura rerum* illarum, quae *fiunt et sunt* in tempore. Et hae duae mensurae tantum vitae et motus sunt in ipsis Entibus. Omne enim, quod *res aliquas* metitur, vel per partes *eas* metitur, vel ipsum totum *est* simul accommodatum ei, quod mensuratur. Quod igitur *res* in universum metitur, est Aevum: quod vero per partes *eas metitur*, *est* tempus. Duae igitur solae *sunt* mensurae, una quidem *rerum et naturarum* aeternarum, altera vero *rerum* illarum quae sunt in tempore.

LV. Omne quod in tempore subsistit, vel *per* omne tempus est *et semper durat*, vel aliquando *tantum est* in temporis parte *suam* hypostasin *et naturam* habens. Si enim omnes progressus per similitudinem sunt, et ante ea, quae prorsus sunt dissimilia, proxima sunt primis ea quae magis similia sunt ipsis quam dissimilia, aeterna vero *naturae* conjungi non possunt ea quae in temporis parte fiunt; (etenim, quia fiunt, cum illa *jam* sunt, et quia distant aliquando ab illis quae semper subsistunt, media vero sunt inter haec ipsa et illa, quae

μέσα δὲ τούτων τε καὶ ἐκείνων ἐστὶ τὰ πῇ μὲν ὅμοια ἐκείνοις, πῇ δὲ ἀνόμοια), οὐκοῦν τῶν ποτὲ γινομένων καὶ τῶν ἀεὶ ὄντων μέσον ἢ τὸ ἀεὶ γινόμενον, ἢ τὸ ποτὲ ὄν, ἢ τὸ οὐκ ὄντως, ἢ τὸ ποτὲ ὄντως ὄν· ἀλλὰ τὸ ποτὲ ὄντως ὂν ἀδύνατον εἶναι.

Τὸ δὲ ποτὲ οὐκ ὄντως ὂν τῷ γινομένῳ ταὐτόν· οὐκ ἄρα μέσον τὸ ποτὲ ὄν. Λείπεται ἄρα τὸ ἀεὶ γινόμενον εἶναι τὸ μέσον ἀμφοῖν· τῷ μὲν γίνεσθαι συνάπτον τοῖς χείροσι, τῷ δὲ ἀεὶ μιμούμενον τὴν αἰώνιον φύσιν· ἐκ δὴ τούτων φανερὸν, ὅτι διττὴ ἦν ἡ ἀϊδιότης αἰώνιος μὲν ἄλλη, κατὰ χρόνον δὲ ἄλλη· ἡ μὲν ἑστῶσα ἀϊδιότης, ἡ δὲ γινομένη· καὶ ἡ μὲν ἠθροισμένον ἔχουσα τὸ εἶναι, καὶ ὁμοῦ πᾶν· ἡ δὲ ἐκχυθεῖσα καὶ ἐξαπλωθεῖσα κατὰ τὴν χρονικὴν παράτασιν· καὶ ἡ μὲν ὅλη καθ' αὐτὴν, ἡ δὲ ἐκ μερῶν, ὧν ἕκαστον χωρίς ἐστι κατὰ τὸ πρότερον καὶ ὕστερον.

nunc quidem *sunt* illis similia, nunc vero dissimilia) ergo inter ea, quæ aliquando fiunt, et ea, quæ semper sunt, *medium est* vel id quod semper fit, vel id, quod aliquando est, vel id quod non vere, vel id quod aliquando vere est. Sed fieri non potest, ut *vere* sit id quod aliquando est vere.

Quod vero aliquando non vere est, idem est ac id quod fit. Non igitur medium est id quod aliquando est. Restat igitur, ut id quod semper fit, sit amborum medium, quod propter ipsum quidem fieri cum deterioribus conjungitur, propter ipsum vero semper imitatur æternam naturam. Ex his igitur perspicuum *est*, quod duplex erat æternitas, una quidem æterna, altera vero secundum tempus *et in tempore, et* una quidem *est* stans *et constans* æternitas, altera vero quæ fit *adhuc, et ad suæ perfectionis plenitudinem contendit.* Et una quidem habet ipsum Esse *congregatum atque confertum in se,* et simul omne *et ipsum totum Esse continet:* altera vero *est* diffusa et explicata per temporalem extensionem. Et una quidem *est* tota per ipsam *constans*, altera vero *constat* ex partibus, quarum unaquaque separatim est secundum prius et posterius.

ΝϚʹ. Πᾶν τὸ ὑπὸ τῶν δευτέρων παραγόμενον, καὶ ἀπὸ τῶν προτέρων καὶ αἰτιωτέρων παράγεται μειζόνως, ἀφ' ὧν καὶ τὰ δεύτερα παρήγετο. Εἰ γὰρ τὸ δεύτερον ὅλην ἔχει τὴν οὐσίαν ἀπὸ τοῦ πρὸ αὐτοῦ, καὶ ἡ δύναμις αὐτῷ τοῦ παράγειν ἐκεῖθεν (καὶ γὰρ αἱ δυνάμεις παρακτικαὶ κατ' οὐσίαν εἰσὶν ἐν τοῖς παράγουσι, καὶ συμπληροῦσιν αὐτῶν τὴν οὐσίαν)· εἰ δὲ τὴν τοῦ παράγειν δύναμιν ἀπὸ τῆς ὑπερκειμένης αἰτίας ἔλαχε, παρ' ἐκείνης ἔχει τὸ εἶναι αἴτιον, ὧν ἐστιν αἴτιον, μετρηθὲν ἐκεῖθεν κατὰ τὴν ὑποστατικὴν δύναμιν.

**LVI.** Omne quod a secundis producitur, etiam majorem in modum producitur a prioribus et principalioribus causis, a quibus et secunda producebantur. Si enim id quod est secundum, totam *suam* essentiam habet ab eo quod est ante ipsum (*a primo*), et ipsa producendi facultas illinc ad ipsum *manat* (*etenim facultates* per essentiam *rerum* productrices sunt in iis quæ producunt *res aliquas*, et ipsarum *rerum* essentiam complent). Si igitur *ipsum secundum* ipsam producendi facultatem sortitum est a superiore causa, ab illa habet ipsum Esse causam *eorum* quorum est causa, mensuratum illinc secundum hypostaticam facultatem (*id est, illinc suam mensuram ac dimensionem accipiens pro facultate quam habet ejus natura*).

Εἰ δὲ τοῦτο, καὶ τὰ ἀπ' αὐτοῦ προϊόντα αἰτιατά ἐστι διὰ τὸ πρὸ αὐτοῦ. Τὸ γὰρ θάτερον ἀποτελέσαι αἴτιον, καὶ θάτερον αἰτιατὸν ἀποτελεῖ· εἰ δὲ τοῦτο, καὶ τὸ αἰτιατὸν ἐκεῖθεν ἀποτελεῖται τοιοῦτον· ἀλλὰ μὴν, ὅτι καὶ μειζόνως ἐκεῖθεν, δῆλον.

Si vero *detur* hoc, etiam ea quæ progrediuntur ab ipso, causata sunt propter id quod est ante ipsum *secundum*. Ipsum enim alterum perficiendi *est* causa, et alterum perficit ipsum causatum. Si vero *detur* hoc, et ipsum causatum illinc perficitur tale. Verum quod etiam majorem in modum *hoc perficiatur* illinc, *est* manifestum.

Εἰ γὰρ τὴν αἰτίαν τοῦ παράγειν αὐτὸ τῷ δευτέρῳ δέδωκεν, εἶχεν ἄρα πρώτως ταύτην τὴν αἰτίαν, καὶ διὰ τοῦτο καὶ τὸ δεύτερον ἐγέννα, τὴν τοῦ δευτέρου γεννᾷν δύναμιν ἐκεῖθεν λαβόν.

Si enim causam producendi ipsum secundo dedit, ergo *primum* hanc ipsam causam *in se ipso* primo habebat, et propterea et ipsum secundum generabat, illinc (*a primo*) accipiens ipsam secundi facultatem generandi.

Εἰ δὲ τὸ μὲν κατὰ μέθεξιν ἐγένετο παρακτικὸν, τὸ δὲ κατὰ μετάδοσιν καὶ πρώτως, μειζόνως αἴτιον ἐκεῖνο, τὸ καὶ ἄλλῳ τῆς γεννητικῆς τῷ ἐφεξῆς δυνάμεως μεταδεδωκός.

Si vero alterum quidem per participationem producendi facultate præditum est, alterum vero per communicationem, et primo *tale est, profecto* majorem in modum *illud est rerum producendarum* causa, quod et alteri, *scilicet* ipsi sequenti, generatricem facultatem impertit.

ΝΖʹ. Πᾶν αἴτιον καὶ πρὸ τοῦ αἰτιατοῦ ἐνεργεῖ, καὶ μετ' αὐτὸ πλειόνων ἐστὶν ὑποστατικόν· ᾗ γάρ ἐστιν αἴτιον, τελειότερόν ἐστι καὶ δυνατώτερον τοῦ μετ' αὐτό· καὶ εἰ τοῦτο, πλειόνων αἴτιον.

**LVII.** Omnis causa etiam ante ipsum causatum agit, et post ipsum plurium constituendorum vim habet. Quatenus enim est causa, est perfectior eo quod est post ipsam (*i. e. ipso causato*). Et si hoc *est, est rerum* plurium causa.

Δυνάμεως γὰρ μείζονος πλείω παράγειν· ἴσης δὲ τὰ ἴσα, καὶ τῆς ἐλάσσονος ἐλάσσω. Καὶ ἡ μὲν τὰ μείζονα ἐν τοῖς ὁμοίοις δυναμένη δύναμις καὶ τὰ ἐλάσσονα δύναται· ἡ δὲ τὰ ἐλάσσονα δυναμένη οὐκ ἐξ ἀνάγκης τὰ μείζω δυνήσεται.

Nam plura producere majoris *est* facultatis *et potestatis*· paris vero *potestatis est producere* paria; et minoris, minora. Et illa quidem facultas, quæ majora *præstare* potest in iis quæ sunt similia, *eadem* etiam minora *præstare potest*· quæ vero minora *præstare* potest, non necessario majora *etiam* præstare poterit.

Εἰ οὖν δυνατώτερον τὸ αἴτιον, πλειόνων ἐστὶ παρακτικόν. Ἀλλὰ μὴν ὅσα δύναται τὸ αἰτιατόν, μειζόνως ἐκεῖνο δύναται. Πᾶν γὰρ τὸ ὑπὸ τῶν δευτέρων παραγόμενον ὑπὸ τῶν προτέρων καὶ αἰτιωτέρων παράγεται μειζόνως.

Συνυφίστησιν ἄρα αὐτῷ πάντα, ὅσα πέφυκε παράγειν· εἰ δὲ καὶ αὐτὸ πρότερον παράγει, δῆλον δήπουθεν, ὅτι πρὸ αὐτοῦ ἐνεργεῖ κατὰ τὴν παρακτικὴν αὐτοῦ ἐνέργειαν. Ἅπαν ἄρα αἴτιον καὶ πρὸ τοῦ αἰτιατοῦ ἐνεργεῖ, καὶ σὺν αὐτῷ καὶ μετ' αὐτὸ ἄλλα ὑφίστησιν. Ἐκ δὴ τούτων φανερόν, ὅτι ὅσων μὲν αἰτία ψυχή, καὶ νοῦς αἴτιος.

Οὐχ ὅσων δὲ νοῦς, καὶ ψυχὴ αἰτία· ἀλλὰ καὶ πρὸ ψυχῆς ἐνεργεῖ. Καὶ ἃ δίδωσι ψυχὴ τοῖς δευτέροις, δίδωσι καὶ νοῦς μειζόνως· καὶ μηκέτι ψυχῆς ἐνεργούσης νοῦς ἐλλάμπει τὰς ἑαυτοῦ δόσεις, οἷς μὴ δέδωκε ψυχὴ ἑαυτήν. Καὶ γὰρ τὸ ἄψυχον, καθόσον εἴδους μετέσχε, νοῦ μετέχει καὶ τῆς τοῦ νοῦ ποιήσεως.

Καὶ δὴ καὶ ὅσων νοῦς αἴτιος, καὶ τὸ ἀγαθὸν αἴτιον· οὐκ ἔμπαλιν δέ· καὶ γὰρ αἱ στερήσεις τῶν εἰδῶν ἐκεῖθεν. Πάντα γὰρ ἐκεῖθεν· νοῦς δὲ στερήσεως ὑποστάτης οὐκ ἔστιν, εἶδος ὤν.

**ΝΗ'.** Πᾶν τὸ ὑπὸ πλειόνων αἰτίων παραγόμενον συνθετώτερόν ἐστι τοῦ ὑπ' ἐλασσόνων παραγομένου. Εἰ γὰρ πᾶν αἴτιον δίδωσί τι τῷ ἀπ' αὐτοῦ προϊόντι, τὰ μὲν πλείονα αἴτια πλείονας ποιήσεται τὰς δόσεις, τὰ δὲ ἐλάσσονα ἐλάσσους. Ὥστε καὶ τῶν μετασχόντων τὰ μὲν ἐκ πλειόνων ἔσται, τὰ δὲ ἐξ ἐλασσόνων, ὧν ἑκάτερα μετέσχε, τὰ μὲν διὰ τὴν ἐκ πλειόνων αἰτίων πρόοδον, τὰ δὲ διὰ τὴν ἐκ τῶν ἐλασσόνων.

Τὰ δὲ ἐκ πλειόνων συνθετώτερα, τὰ δὲ ἐξ ἐλασσόνων τῶν αὐτῶν ἁπλούστερα. Πᾶν ἄρα τὸ ὑπὸ πλειόνων αἰτίων παραγόμενον συνθετώτερον· τὸ δὲ ὑπὸ ἐλασσόνων ἁπλούστερον· ὧν γὰρ θάτερον μετέχει, καὶ θάτερον· ἀλλ' οὐκ ἔμπαλιν.

**ΝΘ'.** Πᾶν τὸ ἁπλοῦν κατ' οὐσίαν ἢ κρεῖττόν ἐστι συνθέτων ἢ χεῖρον. Εἰ γὰρ τὰ ἄκρα τῶν ὄντων ὑπὸ ἐλασσόνων καὶ ἁπλουστέρων παράγεται, τὰ δὲ μέσα ὑπὸ πλειόνων, ταῦτα μὲν ἔσται σύνθετα, τὰ δὲ ἄκρα τὰ μὲν κατὰ τὸ κρεῖττον ἁπλούστερα, τὰ δὲ κατὰ τὸ χεῖρον.

Ἀλλὰ μὴν ὅτι τὰ ἄκρα ὑπὸ ἐλασσόνων παράγεται, δῆλον, διότι τὰ ἀνωτέρω καὶ ἄρχεται πρὸ τῶν καταδεεστέρων, καὶ ὑπερεκτείνεται αὐτῶν, ἐφ' ἃ μὴ πρόεισιν ἐκεῖνα δι' ὕφεσιν δυνάμεως.

Διὰ γὰρ τοῦτο καὶ τὸ ἔσχατον τῶν ὄντων ἁπλούστατον, ὥσπερ τὸ πρῶτον, ὅτι ἀπὸ μόνου πρόεισι τοῦ πρώτου. Ἀλλ' ἡ ἁπλότης ἡ μὲν κατὰ τὸ κρεῖττόν ἐστι πάσης συνθέσεως, ἡ δὲ κατὰ τὸ χεῖρον· καὶ ἐπὶ πάντων ὁ αὐτὸς λόγος ἐστί.

**Ξ'.** Πᾶν τὸ πλειόνων αἴτιον κρεῖσσόν ἐστι τοῦ πρὸς ἐλάττονα τὴν δύναμιν λαχόντος καὶ μέρη παράγοντος·

Si igitur causa potentior *est causato*, *ergo* plurium producendorum facultatem habet. Atqui quæcumque *præstare* potest causatum, ea majorem in modum illa *causati causa præstare* potest. Omne enim quod a secundis producitur, *id* a prioribus et principalioribus causis majorem in modum producitur.

Constituit igitur *ipsa causa* cum ipso *causato* omnia, quæcumque naturaliter producere solet. Si vero et ipsa *causa* prius *et ante causatum res* producit, perspicuum *est* profecto, quod ante ipsum *causatum* agit secundum suam producendi facultate præditam efficacitatem. Omnis igitur causa etiam ante causatum agit, et cum ipso et post ipsum alia constituit. Ex his igitur perspicuum *est*, quod quorum quidem ipsa anima *est* causa, *eorum* etiam Mens *est* auctor *et causa*.

Non tamen quorum Mens *est causa*, *eorum* etiam anima *est* causa. Sed *Mens* etiam ante animam agit. Et quæ dat anima secundis, Mens ipsis ea dat etiam majorem in modum. Et quum anima non amplius agit, Mens sua dona collustrat *ac illuminat in iis* quibus anima se ipsam non dedit. Etenim id, quod *est* inanimum, quatenus formæ particeps est, Mentis est particeps et ipsius effectionis Mentis.

Quinetiam quorum Mens *est* auctor, et ipsum Bonum *eorum omnium est* auctor. Non tamen etiam contra *res ita se habet*. Etenim ipsæ formarum privationes illinc *manant*. Illinc enim omnia *manant*. Mens vero privationis fundatrix *et auctor* non est, quia species est.

LVIII. Omne quod a pluribus causis producitur, est magis compositum quam quod a paucioribus producitur. Si enim omnis causa dat *aliquid* ei quod ab ipsa progreditur, plures quidem causæ plures donationes facient *(plura dona conferent)*, pauciores vero causæ pauciores *donationes facient*. Quamobrem et illorum, quæ *res aliquas* participant, alia quidem ex pluribus erunt, alia vero ex paucioribus *erunt conflata*, quorum utraque participationem habent, alia quidem propter ipsum ex pluribus causis progressum, alia vero propter ipsum ex paucioribus causis *progressum*.

Alia vero ex pluribus *conflata sunt* magis composita, alia vero ex iisdem, *vel* paucioribus *conflata*, *sunt* simpliciora. Omne igitur, quod a pluribus causis producitur, *est* magis compositum: quod vero *producitur* e paucioribus *causis*, *id etiam est* simplicius. Quorum enim alterum est particeps, *eorum* et alterum *est particeps*: sed non contra.

LIX. Omne quod secundum essentiam est simplex, vel præstantius est ipsis compositis, vel deterius. Si enim ipsa summa Entia a paucioribus et simplicioribus producuntur, ipsa vero media a pluribus, hæc quidem erunt composita, summa vero *erunt* partim quidem simpliciora secundum præstantiorem conditionem, partim vero *simpliciora* secundum deteriorem conditionem.

Atqui summa e paucioribus produci perspicuum *est*, quia, quæ superius *sunt*, et initium capiunt ante ipsa inferiora, et super ipsa extenduntur *ad ea* ad quæ non progrediuntur illa propter potestatis summissionem *et virium imbecillitatem*.

Propter hoc enim et ipsum extremum omnium Entium, *quod est summum*, *est* simplicissimum, ut illud quod est Primum, quoniam a solo Primo progreditur. Verum simplicitas partim quidem propter ipsam præstantiorem conditionem est omnis compositionis (*i. e. ad omnem compositionem facit*), partim vero propter deteriorem conditionem *simplicitas dicitur*. Et in omnibus est eadem ratio.

LX. Omne quod plurium est causa, præstantius est eo quod ad pauciora *procreandum* facultatem est sortitum,

ὧν θάτερον ὅλων ὑποστατικόν ἐστιν. Εἰ γὰρ τὸ μὲν ἐλασσόνων, τὸ δὲ πλειόνων αἴτιον, μέρη δὲ [τὰ] ἕτερα τῶν ἑτέρων, ἃ μὲν ποιεῖ θάτερον, καὶ τὸ λοιπὸν ποιήσει, τὸ τῶν πλειόνων ὑποστατικόν· ἃ δὲ τοῦτο παράγει, τούτων οὐ πάντων ἐστὶν ἐκεῖνο παρακτικόν. Δυνατώτερον ἄρα καὶ περιληπτικώτερον· ὡς γὰρ προελθὸν πρὸς τὸ προελθὸν, οὕτω καὶ τὸ παραγαγὸν πρὸς τὸ παραγαγὸν, κατ' ἄλληλα ληφθέντα· τὸ δὲ πλείω δυνάμενον μείζονα δύναμιν ἔχει καὶ ὁλικωτέραν. Τοῦτο δὲ ἐγγυτέρω τῆς πάντων αἰτίας· τὸ δὲ ἐγγυτέρω ταύτης μειζόνως ἐστὶν ἀγαθὸν, εἴπερ αὕτη τὸ ἀγαθόν· τὸ ἄρα πλειόνων αἴτιον κατ' οὐσίαν κρεῖττον ὑπάρχει τοῦ τὰ ἐλάσσονα παράγοντος.

ΞΑ'. Πᾶσα δύναμις ἀμέριστος μὲν οὖσα μείζων ἐστὶ, μεριζομένη δὲ ἐλάσσων. Εἰ γὰρ μερίζεται, πρόεισιν εἰς πλῆθος· εἰ δὲ τοῦτο, πορρωτέρω γίνεται τοῦ ἑνός· εἰ δὲ τοῦτο, ἐλάσσω δυνήσεται τοῦ ἑνὸς, καὶ τοῦ συνέχοντος αὐτὴν ἀφισταμένη καὶ ἀτελής, εἴπερ ἑκάστου τὸ ἀγαθὸν ὑπάρχει κατὰ τὴν ἕνωσιν.

ΞΒ'. Πᾶν πλῆθος ἐγγυτέρω τοῦ ἑνὸς ὂν ποσῷ μέν ἐστι τῶν πορρωτέρω ἔλασσον, τῇ δυνάμει δὲ μεῖζον· ὅμοιον γὰρ τῷ ἑνὶ μᾶλλον τὸ ἐγγύτερον· τὸ δὲ ἓν πάντων ἦν ὑποστατικὸν ἀπληθύντως. Τὸ ἄρα ὁμοιότερον αὐτῷ, πλειόνων αἴτιον ὑπάρχον, εἴπερ ἐκεῖνο πάντων, ἑνοειδέστερον ἔσται καὶ ἀμεριστότερον, εἴπερ ἐκεῖνο ἕν. Ὡς μὲν οὖν ἑνὶ τὸ ἧττον πεπληθυσμένον μᾶλλον συγγενές, ὡς δὲ πάντων αἰτίῳ τὸ πλειόνων παρακτικόν, τοῦτο δὲ δυνατώτερον, ἐκ δὴ τούτων φανερὸν, ὅτι πλείους μὲν αἱ σωματικαὶ φύσεις τῶν ψυχῶν, πλείους δὲ αὗται τῶν νόων· οἱ δὲ νόες πλείους τῶν θείων ἑνάδων· καὶ ἐπὶ πάντων ὁ αὐτὸς λόγος ἐστί.

ΞΓ'. Πᾶν τὸ ἀμέθεκτον διττὰς ὑφίστησι τῶν μετεχομένων τὰς τάξεις, τὴν μὲν ἐν τοῖς ποτὲ μετέχουσι, τὴν δὲ ἐν τοῖς ἀεὶ καὶ συμφυῶς μετέχουσι. Τῷ γὰρ ἀμεθέκτῳ τὸ ἀεὶ μετεχόμενον ὁμοιότερον, ἢ τὸ ποτὲ, πρὶν ἄρα ὑποστῃ.

Τὸ ποτὲ μεθεκτὸν τὸ ἀεὶ μεθεκτὸν ὑποστήσεται· τῷ μὲν μετέχεσθαι τοῦ μετ' αὐτὸ διενεγκὸν, τῷ δὲ ἀεὶ συγγενέστερον ὂν τῷ ἀμεθέκτῳ καὶ ὁμοιότερον· καὶ οὔτε μόνα ἐστὶ τὰ ποτὲ μετεχόμενα (πρὸ γὰρ τούτων τὰ ἀεὶ μετεχόμενα, δι' ὧν καὶ ταῦτα συνδεῖται κατά τινα πρόοδον εὔτακτον τοῖς ἀμεθέκτοις), οὔτε μόνα τὰ ἀεὶ μετεχόμενα.

Καὶ γὰρ ταῦτα δύναμιν ἔχοντα ἄσβεστον, εἴπερ ἀεί ἐστιν, ἄλλων ἐστὶν οἰστικὰ τῶν ποτὲ μετεχομένων, καὶ μέχρι τούτων ἡ ὕφεσις· ἐκ δὴ τούτων φανερὸν, ὅτι καὶ αἱ ἀπὸ τοῦ ἑνὸς ἑνώσεις ἐλλαμπόμεναι τοῖς οὖσιν, αἱ μὲν ἀεὶ μετέχονται, αἱ δὲ ποτέ.

Καὶ αἱ νοεραὶ μεθέξεις διτταὶ ὡσαύτως, καὶ αἱ τῶν ψυχῶν ψυχώσεις, καὶ αἱ τῶν ἄλλων εἰδῶν ὁμοίως. Καὶ γὰρ τὸ κάλλος, καὶ ἡ ὁμοιότης, καὶ ἡ στάσις, καὶ ἡ ταυτότης, ἀμέθεκτα ὄντα, ὑπὸ τῶν ἀεὶ μετεχόν

et quod partes producit. Quorum alterum universorum constituendorum vim habet. Si enim alterum quidem paucorum, alterum vero plurium *est* causa, partes vero *sunt* alterae alterarum, quae quidem alterum faciunt, et reliquum facient, id *scilicet*, quod plurium constituendorum vim habet: quae vero hoc producunt, horum non omnium producendorum illud facultatem habet. Potentius igitur *est*, et majorem comprehendendi vim habet. Ut enim quod progressum est, *refertur* ad id quod est progressum, sic etiam id quod *res aliquas* produxit, *refertur* ad id quod *res aliquas* produxit, si per mutuam alterorum ad altera relationem *ista* sumantur. Quod autem plura *praestare* potest, illud majorem et universaliorem potestatem habet. Hoc vero propius *accedit* ad omnium *rerum* causam. Quod vero propius ad hanc *accedit*, est magis Bonum, siquidem haec *causa est* ipsum Bonum. Quod igitur plurium *rerum est* causa, secundum suam essentiam est praestantius eo quod pauciores *res* producit.

LXI. Omnis facultas *ac potestas* individua quidem existens major est, divisa vero minor *est*. Si enim dividitur, progreditur in multitudinem. Si vero *fiat* hoc, longius ab Uno recedit. Si vero *fiat* hoc, pauciora *praestare* poterit, quam Unum, quoniam recedet etiam ab eo, quod ipsam continet, et imperfecta *erit*, siquidem uniuscujusque Bonum exsistit secundum Unionem.

LXII. Omnis multitudo, quae propius Unum est, quantitate quidem minor *est* iis, quae longius *ab Uno distant*, potestate vero major *est*. Quod enim Uni propinquius *est*, *id etiam est Uni* magis simile. Ipsum vero Unum omnia constituit sine multiplicatione. Quod igitur ipsi similius *est*, cum plurium sit causa, siquidem illud *Unum est causa* omnium, Uni similius erit, et minus divisum, si quidem illud *est* Unum. Quia igitur Uni magis *sit* cognatum illud, quod minus est multiplicatum, quia etiam omnium causae *cognatum sit*, quod plura producit, hoc vero *sit aliis* potentius, ex his igitur manifestum *est*, quod plures quidem *sunt* corporeae naturae, quam animae, hae vero plures, quam mentes: mentes vero plures *sunt*, quam ipsae divinae Unitates. Et in *aliis* omnibus eadem est ratio.

LXIII. Omne quod est imparticipabile, duplices constituit eorum, quae participantur, ordines, unum quidem in iis quae *rem aliquam* aliquando participant, alterum vero in iis quae semper et per naturae cognationem *aliquid* participant. Ipsi enim imparticipabili quod semper participatur, *est* similius, quam quod aliquando *participatur*, priusquam constitutum sit *firmumque maneat*.

Quod *autem* aliquando participabile *est* (s. *participatur*), constituet illud quod semper *est* participabile (s. *participatur*), propter quidem ipsum participari (*s. quia participatur*) differens ab eo quod est post ipsum, propter vero ipsum Semper ipsi imparticipabili magis cognatum et similius existens. Et neque sola sunt ea quae aliquando participantur (nam ante ista *sunt* ea quae semper participantur, per quae conjunguntur et ista per quemdam bene ordinatum progressum cum ipsis imparticipabilibus), neque sola *sunt* ea quae semper participantur.

Etenim haec potentiam habentia inextinctam *ac invictam*, siquidem semper sunt, feracia sunt aliorum, quae aliquando participantur, et ad haec usque *extenditur* ipsa remissio. Ex his igitur perspicuum *est*, quod et illae ab Uno per illuminationem immissae Uniones, *vel Unitates*, in ipsa Entia partim quidem semper participantur, partim vero aliquando.

Et ipsae intellectuales participationes *atque communicationes* eodem modo *sunt* duplices, et ipsae animarum animationes, et aliarum formarum similiter se *habent*. Etenim pulchritudo et similitudo et status et identitas, cum sint imparticipabilia, et ab illis quae semper *aliis*

τῶν μετέχεται, καὶ ὑπὸ τῶν ποτὲ μετεχόντων, κατὰ τὴν αὐτὴν τάξιν.

ΞΔ′. Πᾶσα ἀρχικὴ μονὰς διττὸν ὑφίστησιν ἀριθμόν, τὸν μὲν αὐτοτελῶν ὑποστάσεων, τὸν δὲ ἐλλάμψεων ἐν ἑτέροις τὴν ὑπόστασιν κεκτημένων. Εἰ γὰρ καθ' ὕφεσιν ἡ πρόοδος διὰ τῶν οἰκείων τοῖς ὑποστατικοῖς αἰτίοις, καὶ ἀπὸ τῶν παντελείων τὰ τέλεια, καὶ διὰ τούτων μέσων τὰ ἀτελῆ πρόεισιν εὐτάκτως, ὥστε αἱ μὲν ἔσονται αὐτοτελεῖς ὑποστάσεις, αἱ δὲ ἀτελεῖς· καὶ αὗται μὲν γίνονται ἤδη τῶν μετεχόντων· ἀτελεῖς γὰρ οὖσαι δέονται τῶν ὑποκειμένων εἰς τὴν ἑαυτῶν ὕπαρξιν, αἱ δὲ ἑαυτῶν ποιοῦσι τὰ μετέχοντα.

Τέλειαι γὰρ οὖσαι πληροῦσι μὲν ἑαυτῶν ἐκεῖνα, καὶ ἑδράζουσιν ἑαυταῖς· δέονται δὲ οὐδὲν τῶν καταδεεστέρων εἰς τὴν ὑπόστασιν τὴν ἑαυτῶν. Αἱ μὲν οὖν αὐτοτελεῖς ὑποστάσεις, διὰ τὴν εἰς πλῆθος διάκρισιν, ἠλαττωμέναι τῆς ἀρχικῆς αὐτῶν μονάδος, διὰ δὲ τὴν αὐτοτελῆ ὕπαρξιν ὁμοιοῦνταί πῃ πρὸς ἐκείνην.

Αἱ δὲ ἀτελεῖς καὶ τῷ ἐν ἄλλοις εἶναι τῆς καθ' αὑτὴν ὑφεστώσης, καὶ τῷ ἀτελεῖ τῆς πάντα τελειούσης ἀφεστήκασιν. Αἱ δὲ πρόοδοι διὰ τῶν ὁμοίων ἄχρι τῶν πάντῃ ἀνομοίων.

Διττὸν ἄρα ὑφίστησιν ἀριθμὸν ἑκάστη τῶν ἀρχικῶν μονάδων. Ἐκ δὴ τούτων φανερόν, ὅτι καὶ ἑνάδες αἱ μὲν αὐτοτελεῖς ἀπὸ τοῦ ἑνὸς προῆλθον, αἱ δὲ ἐλλάμψεις ἑνώσεων· καὶ νόες· αἱ μὲν οὐσίαι αὐτοτελεῖς, αἱ δὲ τῶν ψυχουμένων ἰνδάλματα μόνον οὖσαι ψυχῶν. Καὶ οὕτως οὔτε πᾶσα ἕνωσις θεός, ἀλλ' ἡ αὐτοτελὴς ἑνάς, οὔτε πᾶσα νοερὰ ἰδιότης νοῦς, ἀλλ' οὐσιώδης μόνος, οὔτε πᾶσα ψυχῆς ἔλλαμψις ψυχή, ἀλλ' ἔστι καὶ τὰ εἴδωλα τῶν ψυχῶν.

ΞΕ′. Πᾶν τὸ ὁπωσοῦν ὑφεστὼς ἢ κατ' αἰτίαν ἐστὶν ἀρχοειδῶς, ἢ καθ' ὕπαρξιν, ἢ κατὰ μέθεξιν εἰκονικῶς· ἢ γὰρ ἐν τῷ παράγοντι τὸ παραγόμενον ὁρᾶται, ὡς ἐν αἰτίᾳ προϋπάρχον, διότι πᾶν τὸ αἴτιον ἐν ἑαυτῷ τὸ αἰτιατὸν προείληφε, πρώτως ὄν, ὅπερ ἐκεῖνο δευτέρως, ἢ ἐν τῷ παραγομένῳ τὸ παράγον.

Καὶ γὰρ τοῦτο, μετέχον τοῦ παράγοντος, ἐν ἑαυτῷ δείκνυσι δευτέρως, ὃ τὸ παράγον ὑπάρχει πρώτως· ἢ κατὰ τὴν ἑαυτοῦ τάξιν ἕκαστον θεωρεῖται, καὶ οὔτε ἐν τῷ αἰτίῳ, οὔτε ἐν τῷ ἀποτελέσματι.

Τὸ μὲν γὰρ ἔστι κρειττόνως, ἢ ἔστι· τὸ δὲ χειρόνως, ἢ ἔστι. Δεῖ δήπου εἶναι καὶ ὅ ἐστιν· ἔστι δὲ καθ' ὕπαρξιν ἐν τῇ ἑαυτοῦ τάξει ἕκαστον.

ΞϚ′. Πάντα τὰ ὄντα πρὸς ἄλληλα ἢ ὅλα ἐστίν, ἢ μέρη, ἢ ταὐτά, ἢ ἕτερα· ἢ γὰρ περιέχει θάτερα, περιέχεται δὲ τὰ λοιπά, ἢ οὔτε περιέχει, οὔτε περιέχεται. Καὶ ἢ ταὐτόν τι πέπονθεν, ὡς ἑνὸς μετέχοντα, ἢ διακέκριται ἀλλήλων. Ἀλλ' εἰ μὲν περιέχει, ὅλα ἂν εἴη, εἰ δὲ περιέχοιτο, μέρη· εἰ δ' ἑνὸς τὰ πολλὰ μετέχοι, ταὐτά ἐστι κατὰ τὸ ἕν· εἰ δὲ πλείω μόνον εἴη, ἕτερα ἀλλήλων ταῦτα, καθὸ πολλά ἐστιν.

ΞΖ′. Πᾶσα ὁλότης, ἢ πρὸ τῶν μερῶν ἐστιν, ἢ ἐκ τῶν μερῶν, ἢ ἐν τῷ μέρει. Ἢ γὰρ ἐν τῇ αἰτίᾳ τὸ

participant, participantur, et ab illis quæ *participant* aliquando secundo, secundum eumdem ordinem.

LXIV. Omnis principalis Unitas duplicem constituit numerum, unum quidem perfectarum hypostaseon, (*i. e. naturarum*); alterum vero collustrationum *vel illustrationum*, in aliis hypostasin *suamque naturam* habentium. Si enim per remissionem *fit* progressus per ea quæ propria sunt causis *res aliquas* constituentibus, et ab ipsis omnino perfectis perfecta *manant*, et per hæc media imperfecta progrediuntur ordinate: ergo aliæ quidem hypostases *et naturæ* erunt perfectæ, aliæ vero imperfectæ. Et hæ quidem jam accensentur iis, quæ participant *aliquid*: cum enim imperfectæ sint, subjectis indigent ad suam essentiam, aliæ vero sua faciunt ea quæ participant *ipsa*.

Cum enim perfectæ sint, illa quidem se ipsis replent, et se ipsis stabiliunt. Nullo autem modo indigent inferioribus ad suam constitutionem (*ut constituantur et stabiliantur*). Perfectæ igitur hypostases *vel naturæ* propter discretionem in ipsam multitudinem *sunt* imminutæ sua principali Unitate, propter vero perfectam essentiam illi aliquo modo assimilantur.

Imperfectæ vero et propter ipsum in aliis esse ab illa *Unitate*, quæ per se ipsam subsistit, *remotæ sunt* et propter *suam* imperfectionem ab illa (*eadem Unitate*) omnia perficiente remotæ sunt. Ipsi vero progressus per similia usque ad prorsus dissimilia *progrediuntur*.

Unaquæque igitur principalium Unitatum duplicem numerum constituit. Ex his igitur perspicuum *est*, quod et ipsæ Unitates, illæ quidem, quæ sunt perfectæ, ab Uno sunt progressæ, aliæ vero *sunt* illuminationes Unitatis et Mentis. *Et* aliæ quidem *sunt* essentiæ perfectæ, aliæ vero sunt tantum simulacra animarum, quæ animantur. Et ita neque omnis Unitas *est* Deus, sed perfecta Unitas, neque omnis intellectualis proprietas *est* Mens, sed essentialis sola *Mens*, *est vere Mens*, neque omnis animæ illuminatio *est* anima, sed sunt et ipsa animarum simulacra.

LXV. Omne quod quomodocumque subsistit, vel per causam est per principii speciem *seu per id quod principii formam habet*, vel per substantiam, vel per communionem et per similitudinem. Vel enim in producente cernitur id quod producitur, ut in ipsa causa præexistens, quoniam omnis causa in se ipsa ipsum causatum primo sumpsit *atque comprehendit*, quia *ipsa causa* est primo *illud*, quod illud *causatum est* secundo, vel in eo, quod producitur, *cernitur* ipsum producens.

Etenim hoc *quod producitur*, cum particeps sit ipsius producentis, in se ipso demonstrat secundo *illud*, quod ipsum producens existit primo. Vel unumquodque in suo ordine conspicitur, et neque in ipsa causa neque in ipso causæ effecto *cernitur*.

Nam alterum quidem est præstantiore modo, quatenus est, alterum vero deteriore modo, quatenus est. Oportet utrumque profecto esse et *illud*, quod est. Unumquodque vero per *suam* substantiam est in suo ordine.

LXVI. Omnia entia sunt inter se vel tota, vel partes, vel eadem, vel diversa. Vel enim continent altera, reliqua vero continentur *ab ipsis*; vel neque continent neque continentur. Et vel idem ipsis accidit, atque iis quæ participant Unum, vel alia ab aliis discreta sunt. Sed si quidem continent, erunt tota, si vero continentur, *erunt* partes. Si vero multa participent Unum, hæc sunt secundum Unum *et in Uno*. Si vero plura tantum sunt, alia sunt ab aliis diversa eatenus, quatenus multa sunt.

LXVII. Omnis *quædam* totitas, *id est integritas*, vel est ante partes, vel ex partibus *est conflata*, vel in parte

ἑκάστου θεωροῦμεν εἶδος, καὶ ὅλον ἐκεῖνο πρὸ τῶν μερῶν λέγομεν, τὸ ἐν τῷ αἰτίῳ ὑποστάν, ἢ ἐν τοῖς μετέχουσιν αὐτοῦ μέρεσι. Καὶ τοῦτο διχῶς· ἢ γὰρ ἐν ἅπασιν ὁμοῦ τοῖς μέρεσι, καὶ ἔστι τοῦτο ἐκ τῶν μερῶν ὅλον, οὗ καὶ ὁτιοῦν μέρος ἀπὸν ἐλασσοῖ τὸ ὅλον· ἢ ἐν ἑκάστῳ τῶν μερῶν, ὡς καὶ τοῦ μέρους κατὰ μέθεξιν τοῦ ὅλου γεγονότος· ὃ καὶ ποιεῖ τὸ μέρος εἶναι ὅλον μερικῶς. Καθ' ὕπαρξιν μὲν οὖν ὅλον τὸ ἐκ τῶν μερῶν· κατ' αἰτίαν δὲ τὸ πρὸ τῶν μερῶν· κατὰ μέθεξιν δὲ τὸ ἐν τῷ μέρει. Καὶ γὰρ τοῦτο κατὰ τὴν ἐσχάτην ὕφεσιν ὅλον, ᾗ μιμεῖται τὸ ἐκ τῶν μερῶν ὅλον, ὅταν μὴ τὸ τυχὸν ᾖ μέρος, ἀλλὰ τῷ ὅλῳ δυνάμενον ἀφομοιοῦσθαι, οὗ καὶ τὰ μέρη ὅλα ἐστίν.

ΞΗ'. Πᾶν τὸ ἐν τῷ μέρει ὅλον, μέρος ἐστὶ τοῦ ἐκ τῶν μερῶν ὅλου. Εἰ γὰρ μέρος ἐστίν, ὅλου τινός ἐστι μέρος, καὶ ἤτοι τοῦ ἐν αὐτῷ ὅλου, καθὸ λέγεται ἐν τῷ μέρει ὅλον (ἀλλ' οὕτως αὐτὸ ἑαυτοῦ μέρος, καὶ ἴσον τῷ ὅλῳ τὸ μέρος ἔσται, καὶ ταὐτὸν ἑκάτερον·) ἢ ἄλλου τινὸς ὅλου. Καὶ εἰ ἄλλου, ἢ μόνον ἐστὶν ἐκείνου μέρος, καὶ οὕτως οὐδὲν ἂν πάλιν τοῦ ὅλου διαφέροι, ἑνὸς ὄντος ἓν ὂν μέρος, ἢ μεθ' ἑτέρου.

Παντὸς γὰρ ὅλου τὰ μέρη πλείω ἑνός, κἀκεῖνο ἔσται ἐκ πλειόνων· ὃν ὅλον ἐκ τῶν μερῶν, ἐξ ὧν ἐστι· καὶ οὕτω τὸ ἐν τῷ μέρει ὅλον τοῦ ἐκ τῶν μερῶν ἐστι μέρος.

ΞΘ'. Πᾶν τὸ ἐκ τῶν μερῶν ὅλον μετέχει τῆς πρὸ τῶν μερῶν ὁλότητος. Εἰ γὰρ ἐκ μερῶν ἐστι, πεπονθός ἐστι τὸ ὅλον· τὰ γὰρ μέρη ἓν γενόμενα τὸ ὅλον διὰ τὴν ἕνωσιν πέπονθε, καὶ ἔστιν ὅλον ἐν μὴ ὅλοις τοῖς μέρεσι· παντὸς δὲ τοῦ μετεχομένου προυφέστηκε τὸ ἀμέθεκτον· ἡ ἄρα ἀμέθεκτος ὁλότης προϋπάρχει τῆς μετεχομένης.

Ἔστιν ἄρα τι εἶδος ὁλότητος πρὸ τοῦ ἐκ τῶν μερῶν ὅλου, ὃ οὐ πεπονθός ἐστι τὸ ὅλον, ἀλλ' αὐτοολότης, ἀφ' ἧς ἡ ἐκ τῶν μερῶν ὁλότης· ἐπεὶ καὶ τὸ μὲν ἐκ τῶν μερῶν ὅλον πολλαχοῦ καὶ ἐν πολλοῖς ἐστιν, ἐν ἄλλοις καὶ ἐν ἄλλοις ἐκ μερῶν οὖσι, τοῖς μὲν ἄλλων, τοῖς δὲ ἄλλων. Δεῖ δὲ εἶναι τὴν μονάδα πασῶν τῶν ὁλοτήτων καθ' αὑτήν.

Οὔτε γὰρ εἰλικρινὲς ἕκαστον τῶν ὅλων τούτων, ἐπιδεὲς ὂν τῶν μερῶν, ἐξ ὧν ἐστιν οὐχ ὅλων ὄντων· οὔτε ἔν τινι γεγονὸς τοῖς ἄλλοις ἅπασιν αἴτιον εἶναι δύναται τοῦ εἶναι ὅλοις.

Τὸ ἄρα τοῦ ὅλοις εἶναι τοῖς ὅλοις ἅπασιν αἴτιον πρὸ τῶν μερῶν ἐστιν. Εἰ γὰρ καὶ τοῦτο ἐκ τῶν μερῶν, τί ὅλον ἔσται, καὶ οὐχ ἁπλῶς ὅλον; καὶ πάλιν τοῦτο ἐξ ἄλλου, καὶ ἢ εἰς ἄπειρον ἢ διὰ τὸ πρώτως ὅλον οὐκ ἐκ μερῶν ὅλον, ἀλλ' ὅ ἐστιν ὁλότης ὄν.

Ο'. Πᾶν τὸ ὁλικώτερον ἐν τοῖς ἀρχηγικοῖς, καὶ πρὸ τῶν μερικῶν εἰς τὰ μετέχοντα ἐλλάμπει· καὶ δευτέρας ἐκείνων ἀπολείπει τι μετασχόν. Καὶ γὰρ ἄρχεται πρὸ τοῦ μετ' αὐτὸ τῆς ἐνεργείας τῆς εἰς τὰ δεύτερα, καὶ σὺν τῇ ἐκείνου παρουσίᾳ πάρεστι· καὶ ἐκείνου μηκέτι ἐνεργοῦντος ἔτι πάρεστι καὶ ἐνεργεῖ τὸ αἰτιώτερον· καὶ οὐκ ἐν διαφόροις μόνοις ὑποκειμένοις, ἀλλὰ καὶ ἐν ἑκά

*continetur.* Vel enim in ipsa causa cujusque *rei* formam contemplamur, et totum illud ante partes *esse* dicimus, quod in ipsa causa subsistit, vel quod *est* in ipsis partibus, quæ ipsam (*causam*) participant. Hoc autem bifariam *fit*. Vel enim in omnibus partibus simul *est*, et hoc est illud ex partibus *conflatum* totum, cujus vel quælibet pars absens minuit ipsum totum; vel *est* in singulis partibus, quod et ipsa pars propter participationem ipsius totius exstat. Quod etiam facit ipsam partem esse totum particulariter, *quando ex pluribus partibus in unum collectis ipsum totum conflatur*. Secundum substantiam igitur Totum *vocatur illud*, quod ex partibus *est conflatum*. Secundum causam vero *Totum id vocatur*, quod *est* ante partes. Secundum participationem vero *Totum appellatur id*, quod in ipsa parte *continetur*. Etenim hoc secundum extremam remissionem *dicitur* Totum, qualenus imitatur ipsum ex partibus *conflatum* Totum, cum non est *aliqua* fortuita pars, sed ea, quæ ipsi Toti potest assimilari, cujus et ipsæ partes *separatim* sunt Tota.

LXVIII. Omne Totum, quod in parte *continetur*, pars est illius Totius, *quod conflatum est* ex partibus. Si enim pars est, Totius est alicujus pars, et vel ejus Totius, quod in ipso *est*, secundum quod dicitur in parte Totum; (sed ita ipsum *Totum* sui ipsius pars, et ipsi Toti æqualis erit, et utrumque *erit* idem;) vel *erit pars* alicujus alius Totius. Et si alius *est*, vel tantum ejus est pars, et ita rursus nihil ab ipso Toto differet, unius Totius una pars exsistens, vel *erit* cum altera *Toto*.

Omnis enim Totius partes plures Uno *sunt*, et illud *Unum erit Totum* ex pluribus *conflatum*, exsistens Totum ex partibus ex quibus est *conflatum*. Et ita illud Totum quod est in parte, est pars illius *Totius* quod ex partibus *in unum collectis et conjunctis constat*.

LXIX. Omne Totum, quod ex partibus *est conflatum*, particeps est illius Integritatis, quæ est ante partes. Si enim est ex partibus, patitur *aliquid* Totum (*aliquid accidit Toti*). Nam partes Unum factæ Totum passæ sunt propter unionem, et est Totum in non totis partibus. Id autem quod est imparticipabile, exsistit ante omne id quod participatur. Ergo imparticipabilis integritas exsistit ante illam, quæ participatur.

Est igitur quædam integralis forma ante illud Totum, quod ex partibus *est conflatum*, quæ *forma* non est passa ipsum Totum, sed *est* per se constans integritas, a qua *manat* illa ex partibus *constans* integritas; quoniam et illud Totum quod ex partibus *est conflatum*, sæpe et in multis *locis et rebus* est, in aliis et in aliis, quæ sunt ex partibus *conflata*, in his quidem *quæ sunt rerum* aliarum, in illis vero, *quæ sunt rerum* aliarum. Oportet autem Unitatem omnium Integritatum esse per se.

Neque enim purum *neque perspicuum est* unumquodque horum Totorum, cum sit indigens partium, ex quibus est *conflatum*, quæ partes non sunt *ipsa* Tota; neque si *Totum hoc* in aliquo fuerit, aliis omnibus esse potest causa, ut sint tota.

Ergo quod omnibus Totis est causa, ut sint Tota, est ante ipsas partes. Si enim et hoc *esset conflatum* ex partibus, quodnam esset Totum, et non simpliciter Totum? Et rursus hoc ex alio *constaret*; et vel *res progrederetur* in infinitum, vel propter illud primo *existens* Totum non ex partibus *constabit* Totum, sed *erit id*, quod est integritas.

LXX. Omne quod est universalius, inter principalia est, et ante particulares in illa translucet, quæ participant *aliquid*. Et illis *prioribus causis alias* posteriores relinquit aliquid participans. Etenim initium facit ante id, quod est post ipsum, actionis in secunda, et cum illius præsentia adest. Et illo non amplius agente, adhuc adest et agit illud, quod est principalior causa, neque in solis diversis subjectis, sed etiam in unoquoque eorum, quæ aliquando participant *aliquid*. Oportet enim (si forte

σιφ τῶν ποτε μετεχόντων. Δεῖ γὰρ (εἰ τύχοι) γενέσθαι πρῶτον ὄν, εἶτα ζῶον, εἶτα ἄνθρωπον.

Καὶ ἄνθρωπος οὐκ ἔτι ἔστιν ἀπολιπούσης τῆς λογικῆς δυνάμεως· ζῶον δ' ἔστιν ἐμπνέον καὶ αἰσθανόμενον· καὶ τοῦ ζῆν πάλιν ἀπολιπόντος, μένει τὸ ὄν· καὶ γὰρ, ὅταν μὴ ζῇ, τὸ εἶναι πάρεστι· καὶ γὰρ ἐπὶ πάντων ὡσαύτως.

Αἴτιον δὲ, ὅτι δραστικώτερον ὑπάρχον τὸ αἰτιώτερον, πρότερον εἰς τὸ μετέχον ἐνεργεῖ. Τὸ γὰρ αὐτὸ ὑπὸ τοῦ δυνατωτέρου πρότερον πάσχει· καὶ τοῦ δευτέρου πάλιν ἐνεργοῦντος κἀκεῖνο συνεργεῖ. Διότι πᾶν, ὅπερ ἂν ποιῇ τὸ δεύτερον, συναπογεννᾷ τοῦτο καὶ τὸ αἰτιώτερον.

Καὶ ἀπολιπόντος ἐκείνου τοῦτο ἔτι πάρεστιν· ἡ γὰρ τοῦ δυνατωτέρου μετάδοσις, δρῶσα μειζόνως, ὑστέρα τὸ μετασχὸν ἀπολείπει. Καὶ γὰρ διὰ τῆς τοῦ δευτέρου μεταδόσεως τὴν ἑαυτῆς ἔλλαμψιν ἐδυνάμωσεν.

ΟΑʹ. Πάντα τὰ ἐν τοῖς ἀρχηγικοῖς αἰτίοις ὁλικωτέραν καὶ ὑπερτέραν τάξιν ἔχοντα ἐν τοῖς ἀποτελέσμασι, κατὰ τὰς ἀπ' αὐτῶν ἐλλάμψεις ὑποκείμενά πως γίνεται ταῖς τῶν μερικωτέρων μεταδόσεσι· καὶ αἱ μὲν ἀπὸ τῶν ἀνωτέρων ἐλλάμψεις ὑποδέχονται τὰς ἐκ τῶν δευτέρων προόδους.

Ἐκεῖναι δὲ ἐπὶ τούτων ἑδράζονται. Καὶ οὕτω προηγοῦνται μεθέξεις ἄλλαι ἄλλων, καὶ ἐμφάσεις ἄλλαι ἐπ' ἄλλαις ἄνωθεν εἰς τὸ αὐτὸ φοιτῶσιν ὑποκείμενον, τῶν ὁλικωτέρων προενεργούντων, τῶν δὲ μερικωτέρων ἐπὶ ταῖς ἐκείνων ἐνεργείαις τὰς ἑαυτῶν μεταδόσεις χορηγούντων τοῖς μετέχουσιν.

Εἰ γὰρ τὰ αἰτιώτερα πρὸ τῶν δευτέρων ἐνεργεῖ, διὰ περιουσίαν δυνάμεως καὶ τοῖς ἀτελεστέραν ἔχουσι τὴν ἐπιτηδειότητα παρόντα, καὶ ἐλλάμποντα κἀκείνοις, τὰ δὲ ὑφειμένα κατὰ τὴν τάξιν δεύτερα χορηγεῖται ἀπ' αὐτῶν· δῆλον, ὡς αἱ τῶν ὑπερτέρων ἐλλάμψεις προκαταλαμβάνουσαι τὸ μετέχον ἀμφοτέρων, ἐπερείδουσι τὰς τῶν ὑφειμένων μεταδόσεις· αἱ δὲ ταῖς ἀπ' ἐκείνων ἐμφάσεσιν ὑποβάθραις χρῶνται, καὶ δρῶσιν εἰς τὸ μετέχον, προειργασμένων ἐκείνων.

ΟΒʹ. Πάντα τὰ ἐν τοῖς μετέχουσιν ὑποκειμένου ἔχοντα λόγον ἐκ τελειοτέρων πρόεισι καὶ ὁλικωτέρων αἰτίων. Τὰ γὰρ πλειόνων αἴτια δυνατώτερά ἐστι καὶ ὁλικώτερα καὶ ἐγγυτέρω τοῦ ἑνὸς, ἢ τὰ τῶν ἐλασσόνων. Τὰ δὲ τῶν προϋποκειμένων ἄλλοις ὑποστατικὰ, πλειόνων αἴτιά ἐστιν, ὑφιστάντα καὶ τὰς ἐπιτηδειότητας πρὸ τῆς τῶν εἰδῶν παρουσίας. Ὁλικώτερα ἄρα ταῦτα καὶ τελειότερά ἐστιν ἐν τοῖς αἰτίοις. Ἐκ δὴ τούτων φανερὸν, διότι ἡ μὲν ὕλη, ἐκ τοῦ ἑνὸς ὑποστᾶσα, καθ' αὑτὴν εἴδους ἐστὶν ἄμοιρος.

Τὸ δὲ σῶμα καθ' αὑτὸ, εἰ καὶ του ὄντος μετέχει, ψυχῆς ἀμέτοχόν ἐστιν· ἡ μὲν γὰρ ὕλη, ὑποκείμενον οὖσα πάντων, ἐκ τοῦ πάντων αἰτίου προῆλθε· τὸ δὲ σῶμα, ὑποκείμενον τῆς ψυχώσεως, ἐκ τοῦ ὁλικωτέρου τῆς ψυχῆς ὑφέστηκε, του ὄντος ὅπωσοῦν μετέχον.

res hoc tulerit) esse primum Ens, deinde Animal, deinde Hominem.

Et Homo non amplius est, si ratiocinandi facultas deficiat et omnino desit. Animal vero est spirans et sentiens. Et rursus, quamvis ipsum vivere deficiat (*quamvis in aliquibus rebus nulla sit vita*), *tamen* manet ipsum Ens. Etenim, quamvis *aliquid* non vivat, ipsum Esse *tamen* adest. Etenim in omnibus eodem modo *fit*.

Causa vero est, quia majorem agendi vim habens (vel efficacior existens), principalior causa, prius agit in id quod participat. Idem enim ab eo, quod est potentius, prius patitur *et eo afficitur*, et secundo rursus agente, etiam illud simul agit. Quoniam omne, quod facit ipsum secundum (*vel* potentius), simul procreat hoc et illud quod est principalior causa.

Etiamsi illud defecerit, hoc adhuc adest. Ipsa enim potentioris communicatio potentius agens, posterior deserit id quod *ipsum* participavit. Nam per ipsam secundi communicationem suam illuminationem confirmare solet.

LXXI. Omnia quæ *sunt* in principalibus causis, cum universaliorem et superiorem ordinem tenent in ipsis *causarum* effectis, propter illuminationes ab ipsis *manantes*, subjecta quodammodo fiunt *rerum* particulariorum communicationibus. Et illæ quidem a superioribus *manantes* illuminationes suscipiunt ipsas ex secundis progressiones.

Illæ vero in his collocantur. Et ita participationes atque communiones antecedunt aliæ alias, et emphases *apertæque significationes* aliæ post alias superne veniunt in idem subjectum, ipsis universalioribus prius agentibus, particularioribus vero, propter illorum *universaliorum* actiones, suas communicationes suppeditantibus iis quæ participant *illas actiones*.

Si enim ipsæ principaliores causæ ante secundas *causas* agunt, propter potentiæ abundantiam et illis, quæ imperfectiorem habent *ad res peragendas* aptitudinem, adsunt, et illucent etiam illis: quæ vero remissa sunt per ipsum ordinem secunda suppeditantur ab ipsis; *hinc est* perspicuum, quod superiorum illuminationes, anticipantes id quod utrorumque particeps est, fulciunt *atque firmant* eorum, quæ sunt remissa, communicationes: hæ vero significationibus illis *manifestis, quæ manant* ab illis, *tanquam firmis rerum* fundamentis utuntur, et agunt in id quod particeps est *ipsarum communicationum*, illis prius agentibus.

LXXII. Omnia quæ rationem subjectam habent in iis quæ participant *aliquid*, ex perfectioribus et universalioribus causis progrediuntur. Quæ enim *sunt* plurium causæ, potentiora sunt et universaliora, et propinquiora ipsi Uni, quam ea *quæ sunt causæ* pauciorum. Quæ vero constituunt ea quæ sunt ante subjecta aliis, plurium causæ sunt, quandoquidem constituunt etiam proprietates ante præsentiam formarum (*sive* specierum). Proinde universaliora hæc et perfectiora sunt in ipsis causis. Ex his igitur perspicuum *est*, quod ipsa quidem materia ex Uno constituta per se formæ est expers.

Ipsum vero corpus per se, quamvis Entis sit particeps, est animæ expers. Nam materia quidem, cum sit subjectum omnium, ex omnium causa prodiit: corpus vero, cum *sit* ipsius animationis subjectum, subsistit *progressum* ex eo, quod est universalius ipsa anima, quod Entis quomodocunque particeps est.

ΟΓ'. Πᾶν μὲν ὅλον ἅμα ὄν τί ἐστι, καὶ μετέχει τοῦ ὄντος, οὐ πᾶν δὲ ὂν ὅλον τυγχάνει ὄν· ἢ γὰρ ταὐτόν ἐστιν ὂν καὶ ὅλον, ἢ τὸ μὲν πρότερον, τὸ δὲ ὕστερον. Ἀλλ' εἰ καὶ τὸ μέρος, ᾗ μέρος, ὂν μέν ἐστιν (ἐκ γὰρ μερῶν ὄντων ἐστὶ τὸ ὅλον), οὐ μέντοι καὶ ὅλον καθ' αὑτό. Οὐκ ἄρα ταὐτόν ἐστιν ὂν καὶ ὅλον· εἴη γὰρ ἂν τὸ μέρος οὐκ ὄν. Εἰ δὲ τὸ μέρος οὐκ ὄν, οὐδὲ τὸ ὅλον ἔστι· πᾶν γὰρ ὅλον, μερῶν ἐστιν ὅλον, ἢ ὡς πρὸ αὐτῶν ὄν, ἢ ὡς ἐν αὐτοῖς.

Μὴ ὄντος οὖν τοῦ μέρους, οὐδὲ τὸ ὅλον εἶναι δυνατόν. Εἰ δὲ τὸ ὅλον πρὸ τοῦ ὄντος, ἔσται πᾶν ὂν ὅλον εὐθύς· οὐκ ἄρα ἔσται πάλιν τὸ μέρος. Ἀλλὰ ἀδύνατον· εἰ γὰρ τὸ ὅλον ἐστὶν ὅλον, μέρους ὂν ὅλον, καὶ τὸ μέρος ἔσται μέρος ὅλου, μέρος ὄν. Λείπεται ἄρα πᾶν μὲν εἶναι τὸ ὅλον ὄν, οὐ πᾶν δὲ τὸ ὂν ὅλον.

Ἐκ δὴ τούτων φανερόν, ὅτι τὸ πρώτως ὂν ἐπέκεινα τῆς ὁλότητός ἐστιν· εἴπερ τὸ μὲν πλείοσι πάρεστι, τὸ ὄν· καὶ γὰρ τοῖς μέρεσιν, ᾗ μέρη, τὸ εἶναι ὑπάρχει· τὸ δὲ ἐλάττοσι. τὸ γὰρ πλειόνων αἴτιον, κρεῖσσον· τὸ δὲ ἐλασσόνων, καταδεέστερον, ὡς δέδεικται.

ΟΔ'. Πᾶν μὲν εἶδος ὅλον τί ἐστιν· ἐκ γὰρ πλειόνων ὑφέστηκεν, ὧν ἕκαστον συμπληροῖ τὸ εἶδος· οὐ πᾶν δὲ ὅλον εἶδος.

Καὶ γὰρ τὸ τὶ καὶ ἄτομον ὅλον μέν ἐστιν, ᾗ ἄτομον, εἶδος δὲ οὐκ ἔστι· πᾶν γὰρ ὅλον ἐστὶ τὸ ἐκ μερῶν ὑφεστώς, εἶδος δέ, τὸ εἰς πλείω τὰ καθέκαστα εἴδη τεμνόμενον. Ἄλλο ἄρα τὸ ὅλον, καὶ ἄλλο τὸ εἶδος· καὶ τὸ μὲν ὑπάρχει πλείοσι, τὸ δὲ ἐλάττοσιν. Ὑπὲρ τὰ εἴδη ἄρα τῶν ὄντων ἐστὶ τὸ ὅλον· ἐκ δὴ τούτων φανερόν, ὅ, τι τὸ ὅλον· ἐκ δὴ τούτων φανερόν, ὅτι τὸ ὅλον μέσην ἔχει τάξιν τοῦ τε ὄντος καὶ τῶν εἰδῶν. Ὧι ἕπεται τὸ καὶ πρὸ τῶν εἰδῶν ὑφεστάναι τὸ ὂν καὶ τὰ εἴδη ὄντα εἶναι, μὴ μέντοι πᾶν ὄν, εἶδος. Ὅθεν καὶ ἐν τοῖς ἀποτελέσμασιν αἱ στερήσεις ὄντα μέν πώς εἰσιν, εἴδη δ' οὐκέτι εἰσί, διὰ τὴν ἑνιαίαν τοῦ ὄντος δύναμιν, καὶ αὗται καταδεξάμεναί τινα ἀμυδρὰν ἔμφασιν.

ΟΕ'. Πᾶν τὸ κυρίως αἴτιον λεγόμενον ἐξῄρηται τοῦ ἀποτελέσματος· ἐν αὐτῷ γὰρ ὄν, ἢ συμπληρωτικὸν αὐτοῦ ὑπάρχον, ἢ δεόμενόν πως αὐτοῦ πρὸς τὸ εἶναι, ἀτελέστερον ἂν εἴη ταύτῃ τοῦ αἰτιατοῦ. Τὸ δὲ ἐν τῷ ἀποτελέσματι ὄν, συναίτιόν ἐστι μᾶλλον, ἢ αἴτιον, ἢ μέρος ὂν τοῦ γινομένου, ἢ ὄργανον τοῦ ποιοῦντος· τό τε γὰρ μέρος ἐν τῷ γινομένῳ ἐστὶν ἀτελέστερον ὑπάρχον τοῦ ὅλου, καὶ τὸ ὄργανον τὸ ποιοῦν τι πρὸς τὴν γένεσιν, τὰ μέτρα τῆς ποιήσεως ἀφορίζειν ἑαυτῷ μὴ δυνάμενον· ἅπαν ἄρα τὸ κυρίως αἴτιον, εἴγε καὶ τελειότερόν ἐστι τοῦ ἀπ' αὐτοῦ, καὶ τὸ μέτρον αὐτὸ τῇ γενέσει παρέχεται, καὶ τῶν ὀργάνων ἐξῄρηται, καὶ τῶν στοιχείων, καὶ πάντων ἁπλῶς τῶν καλουμένων συναιτίων.

Ο϶'. Πᾶν μὲν τὸ ἀπὸ ἀκινήτου γινόμενον αἰτίας ἀμετάβλητον ἔχει τὴν ὕπαρξιν· πᾶν δὲ τὸ ἀπὸ κινουμένης, μεταβλητήν. Εἰ γὰρ ἀκίνητόν ἐστι πάντῃ τὸ

LXXIII. Omne quidem totum, simul et quiddam Ens est et particeps est ipsius Entis, non tamen omne Ens est etiam Totum. Vel enim idem est Ens et Totum, vel alterum quidem *est* prius, alterum vero posterius. Sed quamvis et ipsa pars, quatenus *est* pars, sit quidem Ens (ex partibus enim existentibus est Totum), non tamen etiam *ipsum* Totum *est* per se. Non igitur idem est Ens et Totum. Nam ipsa pars esset non Ens. Si vero pars non *est* Ens, ne ipsum quidem Totum est. Omne enim Totum est partium Totum, vel ut ante *partes* ipsas existens, vel ut in ipsis *existens*.

Non existente vero parte, ne ipsum quidem Totum esse potest. Si vero Totum *est* ante Ens, omne Ens erit statim Totum. Non igitur erit rursus pars: sed *hoc est* impossibile. Si enim Totum est Totum, cum sit partis Totum, et ipsa pars erit pars Totius, quia pars est. Restat igitur, omne quidem Totum esse Ens, non omne vero Ens esse Totum.

Ex his igitur perspicuum *est*, quod ipsum primo Ens supra est *et ante* integritatem, *quæ Totum constituit*, siquidem alterum quidem, *scilicet* Ens, pluribus adest (etenim partibus, quatenus *sunt* partes, ipsum Esse adest *et suppetit*): Alterum vero paucioribus *suppetit*. Quod enim *est* plurium causa, *est* præstantius: quod vero paucorum *est causa*, deterius, ut demonstratum est.

LXXIV. Omnis quidem forma Totum quiddam est. Ex pluribus enim constat, quorum unumquodque complet ipsam formam. Non tamen omne Totum *est* forma.

Nam et ipsum Aliquid et Individuum Totum quidem est, quatenus *est* Individuum, forma vero non est. Omne enim Totum est illud, quod ex partibus constat: forma vero *dicitur et est*, quæ in plures singulares formas *et in singula formarum individua* dividitur. Aliud igitur *est* Totum, et aliud forma. Et alterum quidem suppetit pluribus, alterum vero paucioribus. Supra formas igitur Entium est ipsum Totum. Ex his igitur perspicuum *est*, quidnam *sit* Totum. Ex his *etiam* perspicuum *est*, quod Totum medium tenet ordinem inter Ens et formas. Quare sequitur *et per præcedentium consequentiam colligitur*, et ipsum Ens esse ante formas, et formas esse Entia, non tamen omne Ens esse formam. Quamobrem etiam ipsæ privationes in *causatorum* effectis Entia quidem quodammodo sunt, formæ vero non amplius sunt, propter unicam *et singularem* Entis potestatem, et quando istæ *privationes* quandam obscuram significationem susceperunt.

LXXV. Omnis causa, quæ proprie *causa* dicitur, exempta est ex suo effecto. Quando enim in ipso (*sc. effecto*) est, vel ipsum complet, vel quodammodo ipso indiget, ut sit, hac in parte (*catenus*) erit imperfectior ipso causato. Quod vero est in ipso effecto, est potius adjuvans causa, quam *principalis* causa, quod sit vel pars ejus quod fit, vel instrumentum ejus quod facit *aliquid*. Nam et ipsa pars, quæ est in eo quod fit, est imperfectior ipso Toto, et instrumentum *existens* quod facit aliquid ad generationem, neque tamen valens effectionis mensuras sibi ipsi separatim, *adeoque libere*, determinare. Omnis igitur causa, quæ proprie *causa dicitur*, si modo etiam perfectior est eo, quod ab ipsa *manat* (*i. e. suo causato*), et ipsa mensuram generationi præbet, et ex instrumentis et elementis et denique ex omnibus, quæ adjuvantes causæ vocantur, est exempta.

LXXVI. Omne quidem, quod ab immobili causa manat, immutabilem habet substantiam, omne vero, quod a mobili *causa manat*, essentiam habet mutabilem. Si enim illud, quod *aliquid* facit, est prorsus immobile, non per motum,

ποιοῦν, [illegible] τὸ δεύτερον ἀφ' ἑαυτοῦ [illegible] τῷ ἑαυτοῦ εἶναι [illegible] παράγει ἀεὶ ὥς ἐστιν, καὶ ἄρα [illegible] αὐτὸ ὄντως καὶ πάντα ἀεὶ [illegible] τῷ ἐκείνου ἀεὶ [illegible] τῶν κατὰ τὴν πρόοδον [illegible] καὶ τὸ ἀπ' αὐτοῦ [illegible] οὐσίαν· ᾧ γὰρ τὸ εἶναι [illegible] μένου μεταβάλλοντος, μεταβάλλει [illegible]. Εἰ γὰρ τὸ κινήσεως παραγόμενον ἀμετάβλητον [illegible] τον ἔσται τῆς [illegible]. Ἀλλ' ἀδύνατον. Οὐκ ἄρα ἀμετάβλητον ἔσται.

Μεταβάλλον ἄρα, καὶ κινήσεται κατ' οὐσίαν, τὴν [illegible] ὑποστήσασαν αὐτὸ κίνησιν [illegible].

**ΟΖ'.** Πᾶν τὸ δυνάμει ὂν ἐκ τοῦ κατ' ἐνέργειαν ὄντος, ὃ τοῦτο δυνάμει ἐστὶν, εἰς τὸ ἐνεργείᾳ πρόεισι· τὸ πῇ δυνάμει ἐκ τοῦ πῇ κατ' ἐνέργειαν, ᾗ αὐτὸ δυνάμει.

Τὸ δὲ πάντα δυνάμει ὂν ἐκ τοῦ πάντα κατ' ἐνέργειαν ὄντος. Αὐτὸ μὲν γὰρ ἑαυτὸ δυνάμει [illegible] ἐνέργειαν [illegible] τέλειον, [illegible] ἑαυτῷ γίνοιτο τοῦ τέλειον καὶ κατ' ἐνέργειαν, [illegible] ἔσται τοῦ ἀπ' [illegible]. Οὐκ ἄρα τὸ δυνάμει, ᾗ δυνάμει, [illegible] αἴτιον· ἔσται γὰρ, ᾗ [illegible] τὸ δυνάμει [illegible], ᾗ δυνάμει, [illegible] τὸ δὲ ἐνεργείᾳ τέλειον. Εἰ ἄρα ἔσται τὸ δυνάμει κατ' ἐνέργειαν, κατ' ἄλλου τινὸς ἔχει τὸ τέλειον, [illegible].

Ἀλλ' ἔσται καὶ [illegible] τοῦ τελείου [illegible] ἐνέργεια, καὶ [illegible] ὃ δυνάμει τὸ κατ' ἐνέργειαν [illegible]. Ἀλλ' εἰ μὲν ἄλλο τι ἐνεργείᾳ ὂν ποιεῖ, κατὰ τὴν [illegible] ποιεῖ, [illegible] ἐνεργείᾳ, ἀλλὰ τοῦτο [illegible] κατ' ἐνέργειαν. [illegible] γὰρ μὴ, ᾗ δυνάμει ἐστὶ, [illegible]. [illegible] ἄρα, [illegible] κατ' ἐνέργειαν ὄντος, [illegible] εἰς τὸ ἐνέργειαν [illegible].

**ΟΗ'.** Πᾶσα δύναμις ἢ τελεία ἐστιν, ἢ [illegible]. Ἡ μὲν γὰρ [illegible] γὰρ ἄλλα [illegible] τελειοτικὴ ἄλλων, [illegible] οἱ ἄλλοι [illegible] κατ' ἐνέργειαν [illegible] τος, καθ' ἣν [illegible] ἐστίν, ἀτελής. [illegible] γίνεται. Καθ' αὑτὴν ἄρα [illegible] ἐνεργείας οὖσα δυνάμεις [illegible] μὴ παρ' ἐκείνου [illegible].

**ΟΘ'.** Πᾶν τὸ γινόμενον ἐκ [illegible] νάμεως· καὶ γὰρ αὐτὸ [illegible] ἀνεπιτήδειον εἶναι, καὶ [illegible] ἀρχὴ ἔχειν. Καὶ τὸ [illegible] κατ' ἐνέργειαν ἔσται δυνάμει ἔσται [illegible].

et per quam Esse praebuit ipsum secundum esse ipso. Si vero dicitur hoc, cum suo ipsius Esse concurrens habet ipsum se unitum a se manens. Si vero concidatur hoc, donec erit, producet. Semper autem est, semper igitur constituit id quod est post ipsum. Quandoquidem etiam hoc illius semper manat, et cum per eum ipso illius semper, quod est post terminum, conjungit suam vim per progressum semper. Quando vero ipsa causa movetur, etiam id quod ab ea fit, erit mutabile secundum essentiam. Cui enim est ipsum Esse per motum, hoc eo, quod movetur, mutato mutat ipsum Esse. Si enim id, quod a motu est per motum producitur, immutabile ipsum maneat, praestantius erit ipsa causa, quae constituerit ipsum. Sed hoc est impossibile. Non igitur erit immutabile.

Mutabile igitur erit, et movebitur secundum suam essentiam, imitans illum motum, qui constituit ipsum.

LXXVII. *Omne quod est potentia sive potestate vel facultate, ab eo manat quod est actu. Quod autem est potentia, ad id, quod actu est, progreditur. Illud quidem quod aliqua modo potentia existit, manat ab eo quod aliquo modo existit actu, quatenus est illud ipsum potentia.*

Quod vero potentia est omnia, manat ab eo quod actu est omnia. Ipsum enim se ipsum potentia in actum producere non valet naturaliter, quia est imperfectum. Si enim causa, quae est imperfecta, sibi ipsi esset causa sui ipsius, et actu talis esset, ipsa causa esset imperfectior eo quod ab ipsa factum est [illegible]. Non igitur quod est potentia, quatenus est potentia, sibi ipsi est causa illius quod est actu. Est enim, quatenus est imperfectum, ipsum huic causa, siquidem omne, quod est potentia, quatenus est potentia, est imperfectum, quod vero est actu, est perfectum. Si igitur id quod est potentia, erit actu, ab aliquo alio suam formam habebit; et producta vel effecta ipsum erit potentia.

Sed et quoque causa, et quod est imperfectum, perfecti generandi vim habebit. Vel erit actu, et vel aliquid aliud erit, vel erit hoc ipsum, quod potentia erat id quod actu fit et est. Sed si quatenus aliquid aliud, quod est actu, facit aliquid secundum suam proprietatem id faciens, neque potentia facit id quod in altero est actu, neque hoc ipsum igitur erit actu, si non, quatenus est potentia, existens id. [illegible] igitur, ex eo, quod est actu, illud quod potentia aliquid est, in id mutari quod existit actu.

LXXVIII. *Omnis facultas vel perfecta est vel imperfecta. Nam illa quidem, et illa* [illegible] *et productrix facultas est perfecta. Et enim illa facit perfecte per suam actionem et per* [illegible]. *Quod vero* [illegible] *perficiendi cum facultate perfectum est, illud magis in modum perfectum est, id quod per se perfectius est. Illa vero facultas, quae indiget aliquo actu, quod* [illegible], *quatenus aliquid est potentia, est imperfecta. Indiget enim illa fine, qui est in alio, ut illius facta particeps, perfecta fiat. Per se igitur imperfecta est hujusmodi facultas. Quare perfecta per* [illegible] *illa facultas* [illegible], *quae actu est, quod est actus est* [illegible] *facultas* [illegible]. *Illa vero facultas, quae perfectionem habet aliunde, quod potentia manat ab alio hoc, quatenus ab eo, est imperfecta.*

LXXIX. *Omne quod fit, ex duplici facultate fit. Et* [illegible] *ipsum* [illegible] *facultatem* [illegible], *et imperfectam facultatem habere. Et quod facit actu, cujus* [illegible] *facultatem* [illegible] *perfecte* [illegible].

τελείαν. Πᾶσα γὰρ ἐνέργεια ἐκ δυνάμεως τῆς ἐνούσης πρόεισιν· εἴτε γὰρ τὸ ποιοῦν μὴ ἔχοι δύναμιν, πῶς ἐνεργήσῃ καὶ ποιήσῃ εἰς ἄλλο; εἴτε τὸ γινόμενον μὴ ἔχοι τὴν κατ' ἐπιτηδειότητα δύναμιν, πῶς ἂν γένοιτο; τὸ γὰρ ποιοῦν εἰς τὸ παθεῖν δυνάμενον ποιεῖ πᾶν, ἀλλ' οὐκ εἰς τὸ τυχόν, καὶ ὃ μὴ πέφυκεν ὑπ' αὐτοῦ πάσχειν.

Π'. Πᾶν σῶμα πάσχειν καθ' αὑτὸ πέφυκε· πᾶν δὲ ἀσώματον ποιεῖν. Τὸ μὲν ἐνδρανὲς ὂν καθ' αὑτό· τὸ δὲ ἐμπαθές. Πάσχει δὲ καὶ τὸ ἀσώματον διὰ τὴν πρὸς σῶμα κοινωνίαν· ὡς δύναται, ποιεῖ καὶ τὰ σώματα διὰ τὴν τῶν ἀσωμάτων μετουσίαν.

Τὸ μὲν γὰρ σῶμα, ᾗ σῶμα, διαιρετόν ἐστι μόνον, καὶ ταύτῃ παθητόν, πάντῃ ὂν μεριστόν, καὶ πάντῃ εἰς ἄπειρον. Τὸ δὲ ἀσώματον, ἁπλοῦν ὄν, ἀπαθές ἐστιν· οὔτε γὰρ διαιρεῖσθαι δύναται τὸ ἀμερές, οὔτε ἀλλοιοῦσθαι τὸ μὴ σύνθετον.

Ἢ οὖν οὐδὲν ἔσται ποιητικόν, ἢ τὸ ἀσώματον, εἴπερ τὸ σῶμα, καθὸ σῶμα, οὐ ποιεῖ, πρὸς τὸ διαιρεῖσθαι μόνον καὶ πάσχειν ἐκκείμενον.

Ἐπεὶ καὶ πᾶν τὸ ποιοῦν δύναμιν ἔχει ποιητικήν· ὥστε οὐ καθὸ σῶμα ποιήσει, ἀλλὰ κατὰ τὴν τοῦ ποιεῖν ἐν αὐτῷ δύναμιν· ἄποιον δὲ καὶ ἀδύναμον τὸ σῶμα καθ' αὑτό· μεθέξει ἄρα δυνάμεως ποιεῖ, ὅταν ποιῇ. Καὶ μὴν καὶ τὰ ἀσώματα παθῶν μετέχει, ἐν σώμασι γενόμενα, συνδιαιρούμενα σώμασι, καὶ ἀπολαύοντα τῆς μεριστῆς ἐκείνων φύσεως, ἀμερῆ ὄντα κατὰ τὴν ἑαυτῶν οὐσίαν.

ΠΑ'. Πᾶν τὸ χωριστῶς μετεχόμενον, διά τινος ἀχωρίστου δυνάμεως, ἣν ἐνδίδωσι, τῷ μετέχοντι πάρεστιν. Εἰ γὰρ καὶ αὐτὸ χωριστὸν ὑπάρχει τοῦ μετέχοντος καὶ οὐκ ἔστιν ἐν ἐκείνῳ, ὡς τὴν ὑπόστασιν ἐν αὐτῷ κεκτημένον· δεῖ δή τινος αὐτοῖς μεσότητος, συνεχούσης θάτερον πρὸς θάτερον, ὁμοιοτέρας τῷ μετεχομένῳ καὶ τῆς ἐν αὐτῷ τῷ μετέχοντι οὔσης.

Εἰ γὰρ ἐκεῖνο χωριστόν ἐστι, πῶς τοῦτο μετέχει, μήτε αὐτὸ ἐκεῖνο ἔχον, μήτε ἄλλο ἀπ' αὐτοῦ; Δύναμις ἄρα καὶ ἔλλαμψις, ἀπ' ἐκείνου εἰς τὸ μετέχον προελθοῦσα, συνάψει ἄμφω, καὶ τὸ μὲν ἔσται, δι' οὗ ἡ μέθεξις, τὸ δὲ μετεχόμενον, τὸ δὲ μετέχον.

ΠΒ'. Πᾶν ἀσώματον, πρὸς ἑαυτὸ ἐπιστρεπτικὸν ὄν, ὑπ' ἄλλων μετεχόμενον, χωριστῶς μετέχεται· εἰ γὰρ ἀχωρίστως, ἡ ἐνέργεια αὐτοῦ οὐκ ἔσται χωριστὴ τοῦ μετέχοντος, ὥσπερ οὐδὲ ἡ οὐσία. Εἰ δὲ τοῦτο, οὐκ ἐπιστρέψει πρὸς ἑαυτό. Ἐπιστρέψαν γὰρ ἔσται τοῦ μετέχοντος χωρίς, ἄλλου ὄντος, τὸ αὐτὸ ἄλλο ὄν. Εἰ ἄρα δύναται πρὸς ἑαυτὸ ἐπιστρέφειν, χωριστῶς μετέχεται, ὅταν μετέχηται ὑπ' ἄλλων.

ΠΓ'. Πᾶν τὸ ἑαυτοῦ γνωστικόν, πρὸς ἑαυτὸ πάντῃ ἐπιστρεπτικόν ἐστιν. Ὅτι μὲν γὰρ τῇ ἐνεργείᾳ πρὸς ἑαυτὸ

Omnis enim actio ab insita facultate progreditur. Sive enim id quod facit *aliquid*, non habet *insitam ejus faciendi* facultatem, quomodo *aget* et faciet, *utramque actionem et effectionem exercens* in aliud? sive id quod fit, non habet facultatem *insitam* per aptitudinem (*per quam fit, ut aptum sit ad recipiendum illam qualitatem et naturæ conditionem, quam est habiturum*), quomodo fiet? Quod enim facit *et agit*, facit *et agit* in omne quod pati potest, non autem in fortuitum quidlibet, et *in illud* quod ab ipso naturaliter pati non solet.

LXXX. Omne corpus pati per se naturaliter solet; omne vero incorporeum facere *et agere solet*. Siquidem alterum efficax est per se; alterum perturbationi obnoxium. Patitur tamen et ipsum incorporeum propter communionem quam habet cum corpore. Ut *tamen* possunt, faciunt (*agunt*) et ipsa corpora propter incorporeorum participationem.

Corpus enim, quatenus *est* corpus, dividuum est tantum, et eatenus *est* patibile, *quatenus* omnino est dividuum (*q. d.* partibile) et *quidem* omnino in infinitum. Incorporeum vero, quoniam simplex est, passionis expers est, *neque quidquam pati potest*. Neque enim dividi potest id quod est partium expers *et individuum*, neque immutari *potest* illud quod non est compositum.

Vel igitur nihil erit *rerum aliarum* efficiens, vel ipsum incorporeum *hoc præstabit*, siquidem corpus, quatenus *est* corpus, non facit (*non agit*), quoniam ad dividendum tantum et patiendum est expositum (*quoniam ea est corporis natura, ut tantum dividi patique possit*).

Quia et omne quod facit *et agit*, facultatem habet *rerum effectricem*; quare corpus, non quatenus est corpus, faciet *et aget*, sed propter ipsam faciendi facultatem *insitam* in ipso. Ipsum vero corpus per se actionis et facultatis est expers. Per communionem igitur *facultatis* facit, cum facit. Quin etiam ea quæ sunt incorporea, passiones *et affectiones varias* participant, cum sunt in corporibus, quia cum ipsis corporibus dividuntur, et illorum dividua natura fruuntur, cum individua sint secundum suam essentiam.

LXXXI. Omne, quod separatim *et dividue* participatur, per aliquam inseparabilem *et individuam* facultatem, quam indit *ac inserit*, ipsi participanti adest. Si enim et ipsum separabile est ab ipso participante et non est in illo, ut id quod hypostasin in se ipso possidet *et continet*, opus est ipsis aliqua medietate, quæ contineat alterum cum altero *conjunctum*, et sit similior ei, quod participatur, et quæ sit in ipso participante.

Si enim illud est separabile, quomodo hoc participat, cum nec ipsum illud habeat, nec aliud ab ipso *manans*? Facultas igitur et illuminatio, ab illo in ipsum participans progressa, conjunget ambo. Et unum quidem erit *illud*, per quod *fit* ipsa participatio *et communicatio*, alterum vero id, quod participatur, tertium vero ipsum participans.

LXXXII. Omne incorporeum, cum ad se ipsum revertendi facultate præditum sit, cum ab aliis participatur, separabiliter *atque dividue* participatur. Si enim inseparabiliter *et individue participaretur*, ipsius actio non esset separabilis *atque dividua* ab ipso participante, quemadmodum nec ipsa quidem essentia. Si vero *daretur* hoc, *ipsum incorporeum* non reverteretur ad se ipsum. Nam si revertatur, erit separatim, ab ipso participante, et idem erit aliud *ac diversum* ab eo quod est aliud *et diversum*. Si igitur potest ad se ipsum reverti, separabiliter participatur, cum ab aliis participatur.

LXXXIII. Omne quod sui ipsius cognoscendi facultatem habet, ad se ipsum omnino revertendi facultate præditum est. Quod enim ipsa actu ad se ipsum revertatur, se

ἐπιστρέφει, γινῶσκον ἑαυτό, δῆλον· ἐν γὰρ ἀμφότερα, τὸ γινῶσκον, καὶ τὸ γινωσκόμενον. Καὶ ἡ γνῶσις ἑαυτοῦ πρὸς ἑαυτὸ ὡς γνωστὸν ὡς μὲν γινώσκοντος, ἐνέργεια οὔσης. Αὕτη δὲ πρὸς αὐτό, διότι ἑαυτοῦ γνωστικόν· οὐ μόνον ἀλλὰ μὴν ὅτι καὶ τῇ οὐσίᾳ, εἰ τῇ ἐνεργείᾳ, δέδεικται. Πᾶν γὰρ τὸ κατ' ἐνέργειαν πρὸς ἑαυτὸ ἐπιστρεπτικὸν καὶ οὐσίαν ἔχει πρὸς ἑαυτὴν συννεύουσαν, καὶ ἐν ἑαυτῇ οὖσαν.

ΠΔ'. Πᾶν τὸ ἀεὶ ὂν ἀπειροδύναμόν ἐστιν· εἰ γὰρ ἀνέκλειπτός ἐστιν αὐτῆς ἡ ὑπόστασις καὶ ἡ δύναμις, καθ' ἣν ἔστιν, ἣ ἔστι καὶ εἶναι δύναται, ἄπειρός ἐστι. Πεπερασμένη γὰρ οὖσα ἡ κατὰ τὸ εἶναι δύναμις, ἀπολίποι ἄν ποτε· ἀπολιπούσης δέ, καὶ τὸ εἶναι τὸ ἔχον τῆς αὐτῆς ἀπολείποι καὶ οὐκέτ' ἂν ἀεὶ ὂν ὑπάρχοι. Δεῖ ἄρα τὴν τοῦ ὄντος ἀεὶ δύναμιν τὴν συνέχουσαν αὐτὸ κατὰ τὴν οὐσίαν ἄπειρον εἶναι.

ΠΕ'. Πᾶν τὸ ἀεὶ γινόμενον ἄπειρον τοῦ γίνεσθαι δύναμιν ἔχει· εἰ γὰρ ἀεὶ γίνεται, ἀνέκλειπτός ἐστιν ἡ τῆς γενέσεως ἐν αὐτῷ δύναμις. Πεπερασμένη γὰρ οὖσα ἐν τῷ ἀπείρῳ χρόνῳ παύσεται· παυσαμένης δὲ τῆς τοῦ γίνεσθαι δυνάμεως παύσαιτο ἂν καὶ τὸ γινόμενον κατ' αὐτὴν γινόμενον, καὶ οὐκέτ' ἂν ἀεὶ γινόμενον εἴη. Ἀλλὰ μὴν ἀεὶ ὑπόκειται γινόμενον· ἄπειρον ἄρα ἔχει τὴν τοῦ γίνεσθαι δύναμιν.

ΠϚ'. Πᾶν τὸ ὄντως ὂν ἄπειρόν ἐστιν, οὔτε κατὰ τὸ πλῆθος, οὔτε κατὰ τὸ μέγεθος, ἀλλὰ κατὰ τὴν δύναμιν μόνον.

Πᾶν μὲν γὰρ ἄπειρον ἢ ἐν ποσῷ ἐστιν, ἢ ἐν πηλίκῳ, ἢ ἐν δυνάμει. Τὸ δὲ ἀεὶ ὄν, ἄπειρον μέν, ὡς ἀπαυστον ἔχον τὴν ζωήν, καὶ τὴν ὕπαρξιν ἀνέκλειπτον, καὶ τὴν ἐνέργειαν ἀνελάττωτον, οὔτε δὲ διὰ μέγεθος ἐστιν ἄπειρον· ἀμέγεθες γὰρ τὸ ὄντως ὂν αὐθυπόστατον ὄν· πᾶν γὰρ τὸ αὐθυπόστατον, ἀμερές ἐστι καὶ ἁπλοῦν.

Οὔτε διὰ πλῆθος· πεπληθυσμένον γάρ, ὃν ἑνοειδέστατον καὶ τῷ ἑνὶ συγγενέστατον. Ἀλλὰ κατὰ δύναμιν ἄπειρον ἐκεῖνο. Διὰ ταὐτὸ τοίνυν ἀμέριστόν ἐστι καὶ ἄπειρον· καὶ ὅσῳ ἂν μᾶλλον ἓν ᾖ καὶ ἀμερέστερον, τοσούτῳ καὶ ἀπειρότερον. Ἡ γὰρ μεριζομένη δύναμις ἀσθενὴς ἤδη καὶ πεπερασμένη, καὶ αἱ πάντῃ μεριζόμεναι δυνάμεις πάντῃ πεπερασμέναι· αἱ γὰρ ἔσχαται καὶ ἀπομεμερισμέναι τοῦ ἑνὸς δυνάμεις, διὰ τὸν μερισμὸν πεπερασμέναι πώς εἰσιν.

Αἱ δὲ πρῶται, διὰ τὴν ἀμέρειαν, ἄπειροι· ὁ μὲν γὰρ μερισμὸς διαιρεῖ καὶ ἐκλύει τὴν ἑκάστου δύναμιν· ἡ δὲ ἀμέρεια συνάγουσα καὶ συσφίγγουσα τὴν ἀνέλλειπτον αὐτῆς καὶ ἀνελάττωτον ἐν ἑαυτῇ συνέχει.

Ἀλλὰ μὴν ἡ κατὰ μέγεθος ἀπειρία, καὶ ἡ κατὰ πλῆθος, στέρησίς ἐστι πάντως τῆς ἀμερείας καὶ ἀποπτῶσις· ἐγγυτάτω μὲν γὰρ τοῦ ἀμεροῦς, τὸ πεπερασμένον·

ipsum convertens, perspicuum est. Quod enim cognoscit, et quod cognoscitur, est unum. Et ipsa sui ipsius cognitio ad se ipsam revertitur, ut id quod est cognitum atque notum, quatenus quidem ipsa cognitio est cognoscentis, est ad ipsam revertitur, quoniam est actio quaedam. Ipsum vero cognitum revertitur ad ipsum, quoniam hoc sui ipsius cognoscendi facultate praeditum est. Verum quod et per ipsam essentiam hoc fiat, ut per se tamen fiat, jam demonstratum est. Omne enim quod ad se ipsum revertitur per ipsam actionem, ad se ipsum revertendi facultate praeditum est et essentiam habet, quae ad se ipsam vergit et spectat, et in se ipsa est.

LXXXIV. Omne quod semper est, infinita potentia praeditum est. Si enim nunquam deficiens est ipsius hypostasis et facultas, per quam est illud, quod est et esse potest, est infinita. Si enim illa facultas, quae propter ipsum esse est *talis*, *qualis est*, finita esset, deficeret aliquando; si vero deficeret, et ipsum esse illius, quod ipsam haberet, deficeret, et non amplius esset semper existens. Oportet igitur illam facultatem, quae est ejus quod semper est, et quae continet ipsum, secundum suam essentiam infinitam esse.

LXXXV. Omne quod semper fit, infinitam ipsius fieri potestatem habet. Si enim semper fit, nunquam deficiens est generationis *et ortus* in ipso potestas. Nam si sit finita, in infinito tempore cessabit. Cessante vero ipsius fieri potestate, cessaret etiam id quod fit, propter ipsam *potestatem* fieri, et non amplius erit id, quod semper fit. Sed tamen proponitur id quod semper fit. Infinitam igitur habet ipsius fieri potestatem.

LXXXVI. Omne quod vere est, revera infinitum est, *neque secundum multitudinem*, *neque secundum magnitudinem*, sed secundum solam potentiam.

Nam omne infinitum vel in *multitudinis numerique* quantitate est, vel in *rerum* magnitudine, vel in potestate. Quod vero semper est, infinitum quidem est, ut id quod habet inexstinctam *atque perpetuam* vitam, et substantiam nunquam deficientem, et actionem non imminutam, neque vero propter magnitudinem est infinitum; quod enim vere est, magnitudinis expers est, quia per naturam per se substantem est. Omne enim quod per naturam per se subsistentem est, est partium expers, et *indivisum*, et simplex.

Neque propter multitudinem; nam simillimum enim est, utpote quod collocatum est proxime ipsum Unum, et quod est ipsi Uni cognatione conjunctissimum. Sed illud est infinitum propter ipsam potestatem. Quamobrem propter idem (*et propter eandem causam*) illud est partium expers et infinitum. Et quo magis *est* Unum et magis partium expers *vel in individuum*, eo magis etiam est infinitum. Potestas enim, quae partitur *et in partes dividitur*, infirma jam *est* et finita, et ipsae potestates omnino partitae *atque divisae* sunt omnino finitae. Extremae enim et ab Uno *remotissimae potestates*, propter partitionem, finitae quodammodo sunt.

Primae vero, propter expertem partitionis rationem, *sunt infinitae*. Nam partitio dissipat et dissolvit uniuscujusque *rei potestatem et vires*; sed partitionis expers ratio, *vires ipsas* constringens et comprimens (*in spiras contrahens et colligens*), ipsam *rei cujusque potestatem* nunquam deficientem et non imminutam in se ipsa continet.

Sed tamen ipsa secundum magnitudinem et secundum multitudinem infinitas est omnino privatio illius rationis, quae partitionis est expers, et prolapsio quaedam. Id enim, quod est finitum, proxime accedit ad illud, quod est par-

νον, πορρωτάτω δὲ τὸ ἄπειρον, πάντῃ τοῦ ἑνὸς ἐκβεβηκός.

Οὐκ ἄρα τὸ κατὰ δύναμιν ἄπειρον ἐν ἀπείρῳ κατὰ πλῆθός ἐστιν ἢ μέγεθος, εἴπερ ἡ μὲν ἄπειρος δύναμις τῇ ἀμερείᾳ σύνεστι· τὸ δὲ πλήθει ἢ μεγέθει ἄπειρον πορρωτάτω τοῦ ἀμεροῦς ἐστιν. Εἰ οὖν τὸ ὂν μεγέθει ἦν ἢ πλήθει ἄπειρον, οὐκ ἂν ἀπειροδύναμον ἦν· ἀλλὰ μὴν ἀπειροδύναμόν ἐστιν· οὐκ ἄρα κατὰ πλῆθός ἐστιν ἢ μέγεθος.

ΠΖ'. Πᾶν μὲν τὸ αἰώνιον ὄν ἐστιν, οὐ πᾶν δὲ τὸ ὂν αἰώνιον. Καὶ γὰρ τοῖς γεννητοῖς ὑπάρχει πως τοῦ ὄντος μέθεξις, καθ' ὅσον οὐκ ἔστι ταῦτα τὸ μηδαμῶς ὄν· εἰ δὲ μή ἐστι τὸ γινόμενον οὐδαμῶς ὄν, ἔστι πως ὄν. Τὸ δὲ αἰώνιον οὐδαμῇ τοῖς γεννητοῖς ὑπάρχει, καὶ μάλισθ' ὅσα μηδὲ τῆς κατὰ χρόνον τὸν ὅλον ἀϊδιότητος μετείληφεν. Ἀλλὰ μὴν πᾶν τὸ αἰώνιον ἀεί ἐστι. Μετέχει γὰρ αἰῶνος, ὃς τὸ ἀεί τι εἶναι δίδωσιν, ὑφ' ὧν ἂν μετέχηται. Τὸ ἄρα ὂν ὑπὸ πλειόνων μετέχεται, ἢ ὁ αἰών. Ἐπέκεινα ἄρα τοῦ αἰῶνος τὸ ὄν· οἷς μὲν γὰρ τοῦ αἰῶνος μέτεστι, καὶ τοῦ ὄντος· οἷς δὲ τοῦ ὄντος, οὐ πᾶσι καὶ αἰῶνος.

ΠΗ'. Πᾶν τὸ ὄντως ὂν ἢ πρὸ αἰῶνός ἐστιν, ἢ ἐν τῷ αἰῶνι, ἢ μετέχον αἰῶνος. Ὅτι μὲν γὰρ ἔστι πρὸ αἰῶνος, δέδεικται. Ἀλλὰ μὴν καὶ ἐν τῷ αἰῶνι· ὁ γὰρ αἰὼν τὸ ἀεὶ μετὰ τοῦ ὄντος ἔχει καὶ τὸ μετέχον αἰῶνος· τὸ γὰρ αἰώνιον πᾶν μεθέξει καὶ τοῦ ἀεὶ καὶ τοῦ ὄντος. Τοῦτο μὲν κατὰ μέθεξιν ἄμφω ἔχει, καὶ τὸ ἀεὶ καὶ τὸ ὄν· ὁ δὲ αἰὼν τὸ μὲν ἀεὶ πρώτως, τὸ δὲ ὂν κατὰ μέθεξιν· τὸ δὲ ὂν αὐτὸ πρώτως ὄν ἐστιν.

ΠΘ'. Πᾶν τὸ ὄντως ὂν ἐκ πέρατός ἐστι καὶ ἀπείρου. Εἰ γὰρ ἀπειροδύναμόν ἐστι, δῆλον ὅτι ἄπειρόν ἐστι, καὶ ταύτῃ ἐκ τοῦ ἀπείρου ὑφέστηκεν· εἰ δὲ ἀμερὲς καὶ ἑνοειδές, ταύτῃ πέρατος μετείληφε· τὸ γὰρ ἑνὸς μετασχὸν πεπέρασται. Ἀλλὰ μὴν ἀμερὲς ἅμα καὶ ἀπειροδύναμόν ἐστιν. Ἐκ πέρατος ἄρα ἐστὶ καὶ ἀπείρου πᾶν τὸ ὄντως ὄν.

Ϟ'. Πάντων τῶν ἐκ πέρατος καὶ ἀπειρίας ὑποστάντων προυπάρχει καθ' αὑτὰ τὸ πρῶτον πέρας καὶ ἡ πρώτη ἀπειρία. Εἰ γὰρ τῶν τινος ὄντων τὰ ἐφ' ἑαυτῶν ὄντα προϋφέστηκεν, ὡς κοινὰ πάντων καὶ ἀρχηγικὰ αἴτια καὶ μή τινων, ἀλλὰ πάντων ἁπλῶς, δεῖ πρὸ τοῦ ἐξ ἀμφοῖν εἶναι τὸ πρῶτον πέρας καὶ τὸ πρῶτον ἄπειρον· τὸ γὰρ ἐν τῷ μικτῷ πέρας ἀπειρίας ἐστὶ μετειληφὸς καὶ τὸ ἄπειρον πέρατος. Τὸ δὲ πρῶτον ἑκάστου οὐκ ἄλλο ἐστὶν, ἢ ὅ ἐστιν· οὐκ ἄρα δεῖ περατοειδὲς εἶναι τὸ πρώτως ἄπειρον, καὶ ἀπειροειδὲς τὸ πρῶτον πέρας. Πρὸ τοῦ μικτοῦ ἄρα ταῦτα πρώτως.

ϞΑ'. Πᾶσα δύναμις ἢ πεπερασμένη ἐστὶν ἢ ἄπειρος· ἀλλ' ἡ μὲν πεπερασμένη πᾶσα ἐκ τῆς ἀπείρου δυνάμεως ὑφέστηκεν· ἡ δὲ ἄπειρος δύναμις ἐκ τῆς πρώτης ἀπειρίας· αἱ μὲν γὰρ ποτὲ οὖσαι δυνάμεις πεπερασμέναι εἰσὶ, τῆς τοῦ ἀεὶ εἶναι ἀπειρίας ἀποπεσοῦσαι· αἱ δὲ τῶν ἀεὶ ὄντων ἄπειροι, μηδέποτε τὴν ἑαυτῶν ἀπολιποῦσαι ὕπαρξιν.

tium expers, longissime vero distat id quod est infinitum, quippe quod prorsus ex Uno excesserit.

Non igitur illud, quod propter suam potestatem est infinitum, in infinito est secundum multitudinem vel magnitudinem, siquidem infinita potestas cum partium experte ratione est *conjuncta*. Quod vero multitudine vel magnitudine est infinitum, est remotissimum ab eo quod est partium expers. Si igitur illud quod est, magnitudine vel multitudine esset infinitum, non esset infinita potestate præditum. Atqui infinita potestate præditum est; non igitur secundum multitudinem vel magnitudinem est *infinitum*.

LXXXVII. Omne quidem æternum est Ens: sed non omne Ens *est* æternum. Etenim generatis *rebus* est quodammodo Entis communicatio, quatenus hæc non sunt id quod nullo modo est Ens. Si vero id quod fit, non est nullo modo Ens, est aliquo modo Ens. Id vero quod est æternum, nullo modo *rebus* generatis suppetit, et præcipue quæcunque ne illam quidem æternitatem participant, quæ versatur in universo *totoque* tempore. Veruntamen omne æternum semper est.

Particeps enim est Ævi, quod ipsum semper aliquid esse dat *rebus illis* a quibus participatur. Ens igitur a pluribus participatur, quam Ævum. Ens igitur est supra *vel ante* Ævum. Quæcunque enim participant Ævum et ipsum Ens *eadem participant*; quæ vero *participant* Ens, non etiam *illa* omnia *participant* Ævum.

LXXXVIII. Omne quod vere est Ens, vel ante Ævum est, vel in ipso Ævo, vel particeps est Ævi. Quod autem sit ante Ævum, demonstratum est. Quin etiam *est* in ipso Ævo. Nam Ævum habet ipsum semper cum ipso Ente [αἰών, *q. d.* ἀεὶ ὤν, *i. e. semper ens s. existens*]; et id quod particeps est Ævi. Omne enim æternum participabit et id quod semper est, et ens. Hoc autem per communicationem ambo habet, *scilicet* et ipsum Semper et ipsum Ens. Ævum vero *habet* ipsum quidem Semper primo, Ens vero per communicationem. Ipsum vero primo Ens est Ens.

LXXXIX. Omne verum Ens ex fine et infinito est. Si enim infinita potestate præditum est, perspicuum *est* quod infinitum est, et hac de causa ex infinito constat. Si vero partium expers *est* et Uni simile, hac de causa particeps est finis. Quod enim particeps est Unius, *illud* est finitum. Atqui partium expers *est* et simul infinita potestate præditum est. Ex fine igitur et infinito est illud omne, quod est vere Ens.

XC. Ante omnia quæ ex fine et infinitate constant, et *quæ per hæc duo subsistunt*, per se existunt prima finis, et prima infinitas. Si enim ante ea quæ alicui obnoxia sunt, subsistunt ea quæ libera sunt, nec aliunde pendentia, ut communes omnium et principales causæ et non aliquorum, sed omnium simpliciter *et generaliter*, oportet ante id quod ex ambobus nascitur, esse primum finem et id, quod primo est infinitum. Finis enim, qui *continetur* in eo quod mixtum est, infinitatis est particeps, et ipsum infinitum *est particeps ipsius* finis. Unius cujusque vero *rei* id, quod primum est, non aliud est, quam *illud ipsum* quod est. Non igitur oportet finis similem esse id quod primo est infinitum, et infinito similem *esse* primum finem. Hæc igitur primo *sunt* ante id quod est mixtum.

XCI. Omnis potestas vel est finita vel infinita. Sed omnis quidem finita *potestas* ab infinita potestate *manans* subsistit; infinita vero potestas *manat* a prima infinitate. Nam illæ quidem potestates, quæ quondam *et aliquando* sunt, finitæ sunt, quoniam exciderunt ex infinitate ipsius semper esse: quæ vero *sunt* eorum, quæ semper sunt, infinitæ *sunt*, quia nunquam suam substantiam *atque naturam* deseruerunt.

ϞΒʹ. Πᾶν τὸ πλῆθος τῶν ἀπείρων δυνάμεων μιᾶς ἐξῆπται τῆς πρώτης ἀπειρίας, ἥτις οὐχ ὡς μετεχομένη δύναμίς ἐστιν, οὐδὲ ἐν τοῖς δυναμένοις ὑφέστηκεν, ἀλλὰ καθ' αὑτήν, οὐ τινος οὖσα δύναμις τοῦ μετέχοντος, ἀλλὰ πάντων αἰτία τῶν ὄντων· εἰ γὰρ καὶ τὸ ὂν αὐτὸ τὸ πρῶτον ἔχει δύναμιν, ἀλλ' οὐκ ἔστιν ἡ αὐτοδύναμις· ἔχει γὰρ καὶ πέρας. Ἡ δὲ πρώτη δύναμις ἀπειρία ἐστίν· αἱ γὰρ ἄπειροι δυνάμεις διὰ μετουσίαν ἀπειρίας ἄπειροι.

Ἡ οὖν αὐτοαπειρία πρὸ πασῶν ἔσται δυνάμεων, δι' ἣν καὶ τὸ ὂν ἀπειροδύναμον, καὶ πάντα μετέσχεν ἀπειρίας· οὔτε γὰρ τὸ πρῶτον ἡ ἀπειρία (μέτρον γὰρ πάντων ἐκεῖνο, τἀγαθὸν ὑπάρχον καὶ ἕν) οὔτε τὸ ὄν· ἄπειρον γὰρ τοῦτο, ἀλλ' οὐκ ἀπειρία. Μεταξὺ ἄρα τοῦ πρώτου καὶ τοῦ ὄντος ἡ ἀπειρία πάντων αἰτία τῶν ἀπειροδυνάμων, καὶ αἰτία πάσης τῆς ἐν τοῖς οὖσιν ἀπειρίας.

ϞΓʹ. Πᾶν τὸ ἄπειρον ἐν τοῖς οὖσιν οὔτε τοῖς ὑπερκειμένοις ἄπειρόν ἐστιν οὔτε ἑαυτῷ· ᾧ γὰρ ἄπειρον ἕκαστον, τούτῳ καὶ ἀπερίγραφον ὑπάρχει. Πᾶν δὲ ἐν ἐκείνοις ἑαυτῷ τε ὥρισται καὶ τοῖς πρὸ αὐτοῦ πᾶσι.

Μόνοις δὴ λείπεται τοῖς καταδεεστέροις ἀπείροις εἶναι τὸ ἐν ἐκείνοις ἄπειρον, ὧν ὑπερήπλωται τῇ δυνάμει τοσοῦτον, ὥστε πᾶσιν αὐτοῖς ἀπερίληπτον ὑπάρχειν· κἂν γὰρ ἐφ' ὁσονοῦν ἐκεῖνα πρὸς αὐτὸ ἀνατείνηται, ἀλλ' ἔχει τι πάντως ἀπ' αὐτῶν ἐξῃρημένον· κἂν εἰσίῃ πάντα εἰς αὐτό, ἀλλ' ἔχει τι κρύφιον τοῖς δευτέροις καὶ ἀκατάληπτον.

Κἂν ἐξελίττῃ τὰς ἐν αὐτῷ δυνάμεις, ἀλλ' ἔχει τι δι' ἕνωσιν ἀνυπέρβλητον, συνεσπειραμένον, ἐκβεβηκὸς τῆς ἐκείνων ἀνελίξεως· ἑαυτὸ δὲ συνέχον καὶ ὁρίζον οὐκ ἂν ἑαυτῷ ἄπειρον ὑπάρχοι, οὐδὲ πολλῷ μᾶλλον τοῖς ὑπερκειμένοις, μοῖραν ἔχον τῆς ἐν ἐκείνοις ἀπειρίας· ἀπειρότεραι γὰρ αἱ τῶν ὁλικωτέρων δυνάμεις, ὁλικώτεραι οὖσαι καὶ ἐγγυτέρω τεταγμέναι τῆς πρωτίστης ἀπειρίας.

ϞΔʹ. Πᾶσα μὲν ἀιδιότης ἀπειρία τίς ἐστιν· οὐ πᾶσα δὲ ἀπειρία ἀιδιότης. Πολλὰ γὰρ τῶν ἀπείρων οὐ διὰ τὸ ἀεὶ ἔχει τὸ ἄπειρον, ὥσπερ καὶ ἡ κατὰ τὸ ποσὸν ἀπειρία, καὶ ἡ κατὰ τὸ πηλίκον, καὶ ἡ τῆς ὕλης ἀπειρία.

Καὶ εἴ τι ἄλλο τοιοῦτον, ἢ διὰ τὸ ἀδιεξίτητον ἄπειρον ὑπάρχον, ἢ διὰ τὸ ἀόριστον τῆς φύσεως. Ὅτι δὲ ἡ ἀιδιότης ἀπειρία, δῆλον. Τὸ γὰρ μηδέποτε ἐπιλεῖπον ἄπειρον· τοῦτο δὲ τὸ ἀεὶ τὴν ὑπόστασιν ἀνέκλειπτον ἔχον. Ἡ ἄρα ἀπειρία πρὸ τῆς ἀιδιότητος, ἔστι· τὸ γὰρ πλειόνων ὑποστατικὸν καὶ ὁλικώτερον αἰτιώτερόν ἐστιν. Ἐπέκεινα ἄρα τοῦ αἰῶνος ἡ πρώτη ἀπειρία, καὶ ἡ αὐτοαπειρία πρὸ αἰῶνος.

ϞΕʹ. Πᾶσα δύναμις, ἑνικωτέρα οὖσα, τῆς πληθυνομένης ἀπειροτέρα· εἰ γὰρ ἡ πρώτη ἀπειρία τοῦ ἑνὸς ἐγγυτάτω, καὶ τῶν δυνάμεων ἡ τῷ ἑνὶ συγγενεστέρα τῆς ἀφισταμένης ἐκείνου μειζόνως ἄπειρος· πληθυνομένη γὰρ ἀπόλλυσι τὸ ἑνοειδές, ἐν ᾧ μένουσα

XCII. Omnis multitudo infinitarum potestatum ex una prima infinitate pendet, quæ non ut participata potestas est, neque subsistit in iis quæ possunt *aliquid efficere*, sed per se, nullius participantis existens potestas, sed omnium Entium *existens* causa. Quamvis enim et ipsum Ens, quod est primum, potestatem habeat; non tamen est ipsa per se subsistens potestas, habet enim etiam finem. Prima vero potestas est infinitas. Nam infinitæ potestates propter communionem infinitatis *sunt* infinitæ.

Ergo illa per se subsistens infinitas erit ante omnes potestates, propter quam et ipsum Ens *est* infinita potestate præditum, et omnia participant infinitatem. Neque enim id quod primum est, est ipsa infinitas (illud enim *primum est* omnium mensura, quoniam *est* ipsum Bonum et Unum) neque *est* ipsum Ens. Hoc enim *est* infinitum, non autem infinitas. Inter illud igitur quod est Primum, et ipsum Ens infinitas *est* omnium infinita potestate præditorum causa, et causa omnis etiam infinitatis, quæ est in Entibus.

XCIII. Omne infinitum in ipsis Entibus neque superioribus est infinitum neque sibi ipsi. Quo enim unumquodque est infinitum, hoc ipso etiam est incircumscriptum. Omne vero, quod in illis est, et sibi ipsi est definitum et omnibus ante ipsum *existentibus*.

Solis igitur restat *deterioribus ac* inferioribus infinitum esse, quod in illis est infinitum, supra quæ explicatum est ipsa potestate adeo, ut omnibus sit comprehendendi facultate carens. Quamvis enim quantumvis illa ad ipsum dirigantur *et contendant*, attamen habet prorsus ab ipsis *naturam separatam et ex ipsis exemptam*. Et quamvis omnia ingrediantur in ipsum, attamen habet aliquid occultum secundis et incomprehensum.

Et quamvis explicet potestates *et vires comprehensas* in se ipso, tamen habet aliquid propter unionem (*unitatem*) insuperabile, in spiras contractum, excedens ex illorum explicatione. Se ipsum vero continens et finiens (*finibus circumscribens*), nequaquam sibi ipsi infinitum erit, neque multo magis (*i. e. et multo minus*) *erit infinitum* superioribus, portionem habens infinitatis in illis *existentis*. Universaliorum enim *rerum* potestates *sunt* infinitiores, quia sunt universaliores et propius primam infinitatem collocatæ.

XCIV. Omnis quidem æternitas est infinitas quædam, non omnis vero infinitas *est* æternitas. Multa enim infinita non propter ipsum semper habent infinitum, ut et ipsa secundum quantum vel *secundum quantitatem* infinitas, et illa secundum magnum (*vel magnitudinem*) infinitas, et materiæ infinitas.

Et si quid aliud est hujusmodi, quod sit infinitum vel propter suam naturam, quæ percurri non potest, vel propter indefinitam suæ essentiæ vim. Quod vero æternitas *est* infinitas, *est* perspicuum. Quod enim nunquam deficit, *est* infinitum. Illud enim *dicitur infinitum*, quod hypostasin *atque naturam* nunquam deficientem habet. Ergo ipsa infinitas est ante æternitatem. Quod enim plurium constituendorum vim habet, et quod *est* universalius, illud est principalior causa. Ergo prima infinitas est ante ipsum Ævum, et ipsa per se subsistens infinitas *est* ante Ævum.

XCV. Omnis potestas quæ singularior est, *est* infinitior ea quæ multiplicatur. Si enim prima infinitas Uni per cognationem conjunctissima est, etiam quæ potentiarum Uni magis cognata est, majorem in modum infinita est, quam ea quæ ab illo (*Uno*) deficit. Cum enim multiplicatur, amittit suam Uni similem formam, in qua manens præ-

τὴν πρὸς τὰς ἄλλας εἶχεν ὑπεροχήν, συνεχομένη διὰ τὴν ἀμέρειαν. Καὶ γὰρ ἐν τοῖς μεριστοῖς αἱ δυνάμεις συναγόμεναι μὲν ἑνίζονται, μεριζόμεναι δὲ πολλαπλασιάζονται καὶ ἀμυδροῦνται.

ϞϚʹ. Παντὸς πεπερασμένου σώματος ἡ δύναμις, ἄπειρος οὖσα, ἀσώματός ἐστιν· εἰ γὰρ σωματική, εἰ μὲν τὸ σῶμα τοῦτο ἄπειρον, ἔσται ἐν πεπερασμένῳ ἄπειρον· εἰ δὲ πεπερασμένον, οὐ καθὸ σῶμα, ἄρα κατὰ τοῦτο δύναμίς ἐστιν. Εἰ γάρ, ᾗ σῶμα, πεπέρασται, ᾗ δὲ δύναμις, ἄπειρος, οὐκ ἔσται, καθὸ σῶμα, δύναμις. Ἀσώματος ἄρα ἡ ἐν τῷ πεπερασμένῳ σώματι δύναμις ἐνοῦσα ἄπειρος.

ϞΖʹ. Πᾶν τὸ καθ' ἑκάστην σειρὰν ἀρχικὸν αἴτιον τῇ σειρᾷ πάσῃ τῆς ἑαυτοῦ μεταδίδωσιν ἰδιότητος. Καὶ ὅ ἐστιν ἐκεῖνο πρώτως, τοῦτό ἐστιν αὕτη καθ' ὕφεσιν. Εἰ γὰρ ἡγεῖται τῆς ὅλης σειρᾶς, καὶ πάντα τὰ σύστοιχα πρὸς αὐτὸ συντέτακται, δῆλον δὴ ὅτι πᾶσι τὴν μίαν ἰδέαν, καθ' ἣν ὑπὸ τὴν αὐτὴν τέτακται σειράν, ἐκεῖνο δίδωσιν· ἢ γὰρ ἀναιτίως πάντα τῆς πρὸς ἐκεῖνο μετέσχεν ὁμοιότητος, ἢ ἀπ' ἐκείνου τὸ ταὐτὸν ἐν πᾶσιν. Ἀλλὰ τὸ ἀναιτίως ἀδύνατον· τὸ γὰρ ἀναιτίως, καὶ αὐτόματον· τὸ δὲ αὐτόματον, ἐν οἷς τάξις ἐστὶ, καὶ ἀλληλουχία, καὶ τὸ ἀεὶ ὡσαύτως, οὐκ ἄν ποτε γένοιτο.

Ἀπ' ἐκείνου ἄρα τὴν ἰδιότητα τῆς ἐκείνου ὑποστάσεως πᾶσα δέχεται ἡ σειρά. Εἰ δὲ ἀπ' ἐκείνου, φανερὸν ὅτι μετὰ ὑφέσεως καὶ τῆς προσηκούσης τοῖς δευτέροις ὑποβάσεως.

Ἢ γὰρ ὁμοίως ἔν τε τῷ ἡγουμένῳ καὶ ἐν τοῖς δευτέροις ἡ ἰδιότης ὑπάρχει, καὶ πῶς τὸ μὲν ἡγεῖται, τὰ δὲ μετ' ἐκεῖνο τὴν ὑπόστασιν ἔλαχεν· ἢ ἀνομοίως· καὶ εἰ τοῦτο, δῆλον ὡς ἀφ' ἑνὸς τῷ πλήθει τὸ ταὐτόν, ἀλλ' οὐκ ἔμπαλιν. Καὶ δευτέρως ἐστὶν ἐν τῷ πλήθει τὸ πρώτως ἐν τῷ ἑνὶ προϋπάρχον ἰδίωμα τῆς σειρᾶς ἐξαίρετον.

ϞΗʹ. Πᾶν αἴτιον χωριστὸν πανταχοῦ ἐστιν ἅμα καὶ οὐδαμοῦ· τῇ μὲν γὰρ μεταδόσει τῆς ἑαυτοῦ δυνάμεως ἐστὶ πανταχοῦ. Τοῦτο γάρ ἐστιν αἴτιον τὸ πληρωτικὸν τῶν μεταλαγχάνειν αὐτοῦ πεφυκότων, καὶ ἀρχικὸν τῶν δευτέρων πάντων, καὶ παρὸν πᾶσι, ταῖς τῶν ἐλλάμψεων γονίμοις προόδοις· τῇ δὲ ἀμίκτῳ πρὸς τὰ ἐν τόπῳ ὄντα οὐσίᾳ καὶ τῇ ἐξῃρημένῃ καθαρότητι οὐδαμοῦ ἐστιν· εἰ γὰρ χωριστόν ἐστιν, ὑπερίδρυται πάντων.

Ὡσαύτως καὶ ἐν οὐδενί ἐστι τῶν ἑαυτοῦ καταδεεστέρων. Εἴτε γὰρ πανταχοῦ μόνον ἦν, αἴτιον μὲν εἶναι οὐκ ἐκωλύετο, καὶ ἐν πᾶσιν εἶναι τοῖς μετέχουσι· πρὸ πάντων δὲ οὐκ ἂν ἦν χωριστῶς· εἴτε οὐδαμοῦ, τοῦ πανταχοῦ χωρίς, πρὸ πάντων μὲν εἶναι οὐκ ἐκωλύετο, καὶ μηδενὸς εἶναι τῶν ὑποδεεστέρων.

Ἐν πᾶσι δὲ οὐκ ἂν ἦν, ὡς τὰ αἴτια πέφυκεν ἐν τοῖς αἰτιατοῖς εἶναι, ταῖς ἑαυτῶν ἀφθόνοις μεταδόσεσιν. Ἵν' οὖν καὶ αἴτιον ὑπάρχον ἐν πᾶσιν ᾖ τοῖς δυναμένοις μετέχειν, καὶ χωριστὸν ὂν ἐφ' ἑαυτοῦ πρὸ

teris habebat excellentiam, quia continetur propter partium expertem rationem. Etenim in ipsis partitis *divisisque rebus* ipsae potestates, congregatae quidem uniuntur, partitae vero *ac in partes divisae* multiplicantur ac debilitantur.

XCVI. Omnis finiti corporis potestas, quae est infinita, est incorporea. Si enim corporea *esset*, si quidem corpus hoc *esset* infinitum, esset in finito infinitum: si vero finitum, ergo non quatenus *est* corpus, eatenus *et ideo* potestas est. Si enim, quatenus *est* corpus, *eatenus* est finitum, quatenus vero *est* potestas, *eatenus est potestas* infinita, non erit, quatenus *est* corpus, potestas. Incorporea igitur *est* illa potestas, quae inest corpori finito infinita.

XCVII. Omnis principalis causa, quae est in unaquaque serie, omni *totique* seriei suam impertit proprietatem. Et quod est illud primo, hoc est ista *series* per remissionem. Si enim *principalis causa* praeest toti seriei, et omnia cognata collocata sunt cum ipsa, perspicuum *est*, quod omnibus unicam ideam, propter quam sub eadem serie collocatur, illud dat. Vel enim sine causa omnia participant similitudinem, *quam habent* cum illa *principali causa*, vel ab illa *manat* ipsum Idem *sive ipsa Identitas*, *quae est* in omnibus. Sed illud sine causa *est* impossibile (*i. e. Fieri non potest, ut aliquid sine causa fiat*). Quod enim *est* sine causa, *illud est* etiam spontaneum *et fortuitum*. Spontaneum vero nunquam fuerit *in illis rebus*, in quibus est ordo *certus*, et mutua cohaerentia, et ipsum Semper eodem modo.

Ab illa igitur *principali causa* omnis series accipit illius *principalis causae* proprietatem hypostaseos *atque naturae*, *per quam subsistit*. Si vero *proprietatem accipit* ab illa, perspicuum *est*, quod cum remissione *vel cum subjectione*, et convenienti secundis decrescentia *eam accipit*.

Vel enim similiter et in ipsa principali *causa*, et in secundis haec proprietas inest, et quodammodo haec quidem *principalis causa secundis* praeest, illae vero *causae secundae* post illam *principalem causam suam* hypostasin sunt sortitae. Vel dissimiliter. Et si *detur* hoc, perspicuum *est*, quod ab Uno ipsum Idem *est* multitudini (*i. e. quod ab Uno manans Identitas ad multitudinem accedit*), sed non contra. Et secundo est in ipsa multitudine illa proprietas, quae primo praeextitit in Uno, eximia ex ipsa *rerum* serie.

XCVIII. Omnis causa separabilis *et separata* ubique simul et nusquam est. Nam propter suae quidem facultatis communicationem est ubique. Haec enim est causa quae replet *et complet* ea quae ipsam participare naturaliter solent, et quae secundis omnibus praeest, et quae adest omnibus per fecundos illustrationum progressus. Propter essentiam vero non mixtam cum rebus quae sunt in loco, et propter eximiam puritatem nusquam est. Si enim separabilis *et separata* est, est collocata supra omnia.

Similiter etiam in nullo est eorum quae sunt inferiora ipsa. Sive enim ubique tantum esset, causa quidem esse non impediretur, et *nihil esset, quod prohiberet ipsam* esse in omnibus *eam* participantibus: non esset vero separabiliter *et separatim* ante omnia. Sive nusquam *esset*, sine ipso Ubique, ante omnia quidem esse non prohiberetur, et nullius eorum quae sunt inferiora.

In omnibus vero non esset, ut causae naturaliter solent esse in causatis per suas abundantes communicationes. Ut igitur et causa existens in omnibus sit iis quae possunt *eam* participare, et separata existens in se ipsa sit ante

πάντων ἢ τῶν ἀπ' αὐτοῦ πληρουμένων, πανταχοῦ ἐστιν, ἅμα καὶ οὐδαμοῦ· καὶ οὐ μέρει μὲν πανταχοῦ, μέρει δὲ οὐδαμοῦ.

Οὕτως γὰρ ἂν αὐτὸ ἑαυτοῦ διεσπασμένον εἴη καὶ χωρίς, εἴπερ τὸ μὲν αὐτοῦ πανταχοῦ καὶ ἐν πᾶσι, τὸ δὲ οὐδαμοῦ καὶ πρὸ πάντων· ἀλλ' ὅλον πανταχοῦ, καὶ οὐδαμοῦ ὡσαύτως. Καὶ γὰρ τὰ μετέχειν αὐτοῦ δυνάμενα ὅλῳ ἐντυγχάνει, καὶ ὅλον ἑαυτοῖς εὑρίσκει παρόν, κἀκεῖνο ὅλον ἐξῄρηται· τὸ γὰρ μετασχόν, οὐ κἀκεῖνο ἐν ἑαυτῷ κατέταξεν, ἀλλ' ἀπ' ἐκείνου μετέσχεν, ὅσον χωρῆσαι δεδύνηται.

Καὶ οὔτε τῷ μεταδιδόναι αὐτοῦ στενοχωρεῖται, ταῖς τῶν πλειόνων μεθέξεσι χωρὶς ὄν· οὔτε τὰ μετέχοντα ἐλλιπῶς μεταλαγχάνει, πανταχοῦ ὄντος τοῦ μεταδιδόντος.

ϞΘʹ. Πᾶν ἀμέθεκτον, ᾗ ἀμέθεκτόν ἐστι, ταύτῃ ἀπ' ἄλλης αἰτίας οὐχ ὑφίσταται· ἀλλ' αὐτὸ ἀρχή ἐστι καὶ αἰτία τῶν μετεχομένων πάντων, καὶ οὕτως ἀρχὴ πᾶσα καθ' ἑκάστην σειρὰν ἀγέννητος.

Εἰ γὰρ ἔστιν ἀμέθεκτον ἐν τῇ οἰκείᾳ σειρᾷ, τὸ πρωτεῖον ἔλαχε, καὶ οὐ πρόεισιν ἀπ' ἄλλων· οὐ γὰρ ἂν εἴη πρῶτον ἔτι, τὴν ἰδιότητα ταύτην (καθ' ἣν ἐστιν ἀμέθεκτον) παρ' ἄλλου τινὸς ὑποδεχόμενον. Εἰ δὲ ἄλλων ἐστὶ καταδεέστερον, καὶ ἀπ' ἐκείνων πρόεισιν, οὐχ ᾗ ἀμέθεκτόν ἐστι, ταύτῃ πρόεισιν, ἀλλ' ᾗ μετέχον· ἀφ' ὧν γὰρ ὥρμηται, τούτων δήπου μετέχει, καὶ ὧν μετέχει, ταῦτα οὐκ ἔστι πρώτως· ὃ δὲ ἀμέθεκτόν ἐστι, τοῦτο πρώτως ἐστίν. Οὐκ ἄρα ᾗ ἀμέθεκτον, ταύτῃ ἀπ' αἰτίας ἐστίν· ᾗ μὲν γὰρ ἀπ' αἰτίας, μετέχον ἐστὶ, καὶ οὐκ ἀμέθεκτον· ᾗ δὲ ἀμέθεκτον, μετεχομένων αἴτιον, καὶ οὐκ αὐτὸ μετέχον ἄλλων.

Ρʹ. Πᾶσα μὲν σειρὰ τῶν ὅλων εἰς ἀμέθεκτον αἰτίαν καὶ ἀρχὴν ἀνατείνεται, πάντα δὲ τὰ ἀμέθεκτα τῆς μιᾶς ἐξέχεται τῶν πάντων ἀρχῆς· εἰ γὰρ ἑκάστη σειρὰ ταὐτόν τι πέπονθεν, ἔστι τι ἐν ἑκάστῃ ἡγεμονοῦν, τὸ τῆς ταυτότητος αἴτιον· ὡς γὰρ τὰ ὄντα πάντα ἀφ' ἑνός, οὕτω καὶ πᾶσα σειρὰ ἀφ' ἑνός. Πᾶσαι δὲ αὖ αἱ ἀμέθεκτοι μονάδες εἰς τὸ ἓν ἀνάγονται· διότι πᾶσαι τῷ ἑνὶ ἀνάλογον.

Ἧι οὖν ταὐτόν τι καὶ αὗται πεπόνθασι τὴν πρὸς τὸ ἓν ἀναλογίαν, ταύτῃ εἰς τὸ ἓν αὐταῖς ἡ ἀναγωγὴ γίνεται· καὶ ᾗ μὲν ἀπὸ τοῦ ἑνὸς πᾶσαι, οὐδεμία τούτων ἀρχή ἐστιν, ἀλλ' ὡς ἀπ' ἀρχῆς ἐκείνης· ᾗ δὲ ἑκάστη ἀμέθεκτος, ταύτῃ ἀρχὴ ἑκάστη. Τινῶν οὖν ἀρχαὶ οὖσαι τῆς πάντων ἀρχῆς ἐξέχονται· πάντων γὰρ ἀρχή ἐστιν, ἧς πάντα μετείληφεν.

Μετείληφε δὲ πάντα μόνου τοῦ πρώτου· τῶν δὲ ἄλλων οὐ πάντα, ἀλλὰ τινά. Διὸ καὶ τὸ ἁπλῶς πρῶτον ἐκεῖνο, τὰ δὲ ἄλλα πρός τινα μὲν τάξιν ἐστὶ πρῶτα, ἁπλῶς δὲ οὐ πρῶτα.

ΡΑʹ. Πάντων τῶν νοῦ μετεχόντων ἡγεῖται ὁ ἀμέθεκτος νοῦς, καὶ τῶν τῆς ζωῆς ἡ ζωή, καὶ τῶν τοῦ ὄντος τὸ ὄν· αὐτῶν δὲ τούτων τὸ μὲν ὂν πρὸ τῆς ζωῆς, ἡ δὲ ζωὴ πρὸ τοῦ νοῦ. Διότι μὲν γὰρ ἐν ἑκάστῃ τάξει

omnia quæ replentur *et complentur* ab ipsa, ubique est, simul et nusquam; et non parte quidem ubique, parte vero nusquam.

Sic enim ipsa a se ipsa divulsa esset et separata, si quidem altera quidem ipsius *pars esset* ubique in omnibus, altera vero nusquam et ante omnia. Sed totum ubique *sic esset*, et nusquam eodem modo. Etenim quæ participare possunt ipsum Totum, in Totum incidunt, et Totum secum præsens inveniunt, et illud Totum *ex aliis* exemptum est. Id enim, quod *rem aliquam* participat, non etiam illam in se ipso collocat, sed ab illa participat, quantum capere potest.

Et neque ipsius *cum aliis* communicatio coarctatur *et angustatur*, quamvis ob plurium participationem *atque communionem* sit separatum; neque ea quæ participant *aliquid*, per defectum, *et minus quam oportet*, id participant, cum ubique sit illud quod impertit.

XCIX. Omne quod est imparticipabile, quatenus est imparticipabile, eatenus ab alia causa non *manat neque* subsistit; sed ipsum est principium et causa eorum omnium, quæ participantur; et ita principium omne in unaquaque serie ingeneratum *est*.

Si enim est imparticipabile in sua serie, primas *partes et principatum* est sortitum, neque progreditur ab aliis. Non enim amplius esset primum, si proprietatem istam (propter quam est imparticipabile) ab aliquo *manantem* susciperet. Si vero aliis est inferius, et ab illis progreditur, non quatenus est imparticipabile, eatenus progreditur, sed quatenus *aliquid* participat. A quibus enim est profectum, horum profecto particeps est, et quorum particeps est, hæc non sunt prima. Quod vero est imparticipabile, hoc primo est. Non igitur quatenus *est* imparticipabile, eatenus a causa *manat et* est. Quatenus enim a causa *manat*, participans est, neque imparticipabile *est*: quatenus vero *est* imparticipabile, *est* causa eorum quæ participantur, et non *illud* ipsum, quod aliorum *sit* particeps.

C. Omnis universorum series ad imparticipabilem causam et principium dirigitur *(contendit et refertur)*; omnia vero quæ sunt imparticipabilia, ex uno *rerum* omnium principio pendent. Si enim unaquæque series idem aliquid patitur, est in unaquaque aliquid, quod principatum obtinet, quod *est* ipsa identitatis causa. Ut enim omnia entia ab uno *manant*, sic et omnis series ab Uno *manat*. Rursus vero omnes imparticipabiles Unitates ad Unum reducuntur, quoniam omnes Uni per proportionem respondent *eique similes sunt*.

Quatenus igitur idem aliquid et istæ patiuntur *propter* ipsam cum Uno proportionem *et similitudinem*, eatenus ipsarum reductio fit ad Unum; et quatenus quidem omnes *Unitates* ab Uno *manant*, harum nulla principium est, sed ut ab illo principio *manantes*. Quatenus vero unaquæque *Unitas est* imparticipabilis, eatenus unaquæque principium *est*. Cum igitur aliquorum sint principia, ex omnium principio pendent. Omnium enim principium est *illud*, quod omnia participant.

Participant autem omnia solummodo *illud*, quod primum est, alia vero *participant* non omnia, sed quædam. Quamobrem etiam illud *est* simpliciter primum, alia vero ad quemdam quidem ordinem *relata* sunt prima, simpliciter vero non *sunt* prima.

CI. Omnibus quæ mentem participant, præest imparticipabilis Mens, et illis *omnibus*, quæ vitam *participant*, *præest* ipsa vita; et iis quæ *participant* ipsum Ens, *præest* illud Ens *primum*. In his vero ipsis ipsum quidem Ens *est* ante vitam, vita vero ante Mentem. Quoniam

τῶν ὄντων πρὸ τῶν μετεχομένων ἔστι τὰ ἀμέθεκτα, δεῖ πρὸ τῶν νοερῶν εἶναι τὸν νοῦν, καὶ πρὸ τῶν ζώντων τὴν ζωήν, καὶ πρὸ τῶν ὄντων τὸ ὄν. Διότι δὲ προηγεῖται τὸ τῶν πλειόνων αἴτιον ἢ τὸ τῶν ἐλασσόνων, ἐν ἐκείνοις τὸ μὲν ὂν ἔσται πρώτιστον· πᾶσι γὰρ πάρεστιν, οἷς ζωὴ καὶ νοῦς. Ζῶν γὰρ πᾶν καὶ νοήσεως μετέχον ἐστὶν ἐξ ἀνάγκης· οὐκ ἔμπαλιν δέ· οὐδὲ γὰρ τὰ ὄντα πάντα ζῇ καὶ νοεῖ. Δευτέρα δὲ ἡ ζωή· πᾶσι γὰρ, οἷς νοῦ μέτεστι, καὶ ζωῆς μέτεστιν· οὐκ ἔμπαλιν δέ· πολλὰ γὰρ ζῇ μὲν, γνώσεως δὲ ἄμοιρα ἀπολείπεται. Τρίτος δὲ ὁ νοῦς.

Πᾶν γὰρ τὸ γνωστικὸν ὁπωσοῦν καὶ ζῇ καὶ ἔστιν· εἰ οὖν πλειόνων αἴτιον τὸ ὄν, ἐλασσόνων δὲ ἡ ζωή, καὶ ἔτι ἐλασσόνων ὁ νοῦς, πρώτιστον τὸ ὄν, εἶτα ζωή, εἶτα νοῦς.

ΡΒ′. Πάντα τὰ μὲν ὁπωσοῦν ὄντα ἐκ πέρατός ἐστι καὶ ἀπείρου διὰ τὸ πρώτως ὄν· πάντα δὲ τὰ ζῶντα ἑαυτῶν κινητικά ἐστι διὰ τὴν ζωὴν τὴν πρώτην· πάντα δὲ τὰ γνωστικὰ γνώσεως μετέχει διὰ τὸν νοῦν τὸν πρῶτον. Εἰ γὰρ τὸ καθ' ἑκάστην σειρὰν ἀμέθεκτον τῆς οἰκείας ἰδιότητος πᾶσι τοῖς ὑπὸ τὴν αὐτὴν σειρὰν μεταδίδωσι, δῆλον δὴ, ὅτι καὶ τὸ ὂν τὸ πρώτιστον μεταδίδωσι πᾶσι πέρατος ἅμα καὶ ἀπειρίας, μικτὸν ὑπάρχον ἐκ τούτων πρώτως· καὶ ἡ ζωὴ τῆς παρ' ἑαυτῇ κινήσεως· καὶ γὰρ ἡ ζωὴ πρώτη πρόοδός ἐστι καὶ κίνησις ἀπὸ τῆς μονίμου τοῦ ὄντος ὑποστάσεως· καὶ ὁ νοῦς τῆς γνώσεως· πάσης γὰρ γνώσεως ἡ ἀκρότης ἐστὶν ἐν νῷ καὶ νοῦς τὸ πρῶτον γνωστικόν.

ΡΓ′. Πάντα ἐν πᾶσιν· οἰκείως δὲ ἐν ἑκάστῳ· καὶ γὰρ ἐν τῷ ὄντι καὶ ἡ ζωὴ καὶ ὁ νοῦς, καὶ ἐν τῇ ζωῇ τὸ εἶναι καὶ τὸ νοεῖν, καὶ ἐν τῷ νῷ τὸ εἶναι καὶ τὸ ζῆν· ἀλλ' ὅπου μὲν νοερῶς, ὅπου δὲ ζωτικῶς, ὅπου δὲ ὄντως ὄντα πάντα.

Ἐπεὶ γὰρ ἕκαστον ἢ κατ' αἰτίαν ἐστὶν, ἢ καθ' ὕπαρξιν, ἢ κατὰ μέθεξιν, ἔν τε τῷ πρώτῳ τὰ λοιπὰ κατ' αἰτίαν ἐστὶ καὶ ἐν τῷ μέσῳ· τὸ μὲν πρῶτον κατὰ μέθεξιν· τὸ δὲ τρίτον κατ' αἰτίαν, καὶ ἐν τῷ τρίτῳ τὰ πρὸ αὐτοῦ κατὰ μέθεξιν· καὶ ἐν τῷ ὄντι ἄρα ζωὴ προείληπται καὶ νοῦς, ἑκάστου δὲ κατὰ τὴν ὕπαρξιν χαρακτηριζομένου, καὶ οὔτε κατὰ τὴν αἰτίαν (ἄλλων γάρ ἐστιν αἴτιον) οὔτε κατὰ τὴν μέθεξιν (ἀλλαχόθεν γὰρ ἔχει τοῦτο, οὗ μετείληφεν), ὄντως ἐστὶν ἐκεῖ καὶ τὸ ζῆν καὶ τὸ νοεῖν, ζωὴ οὐσιώδης καὶ νοῦς οὐσιώδης· καὶ ἐν τῇ ζωῇ κατὰ μέθεξιν μὲν τὸ εἶναι, κατ' αἰτίαν δὲ τὸ νοεῖν· ἀλλὰ ζωτικῶς ἑκάτερον· κατὰ τοῦτο γὰρ ἡ ὕπαρξις, καὶ ἐν τῷ νῷ καὶ ἡ ζωὴ καὶ ἡ οὐσία, κατὰ μέθεξιν καὶ νοερῶς ἑκάτερον· καὶ γὰρ τὸ εἶναι τοῦ νοῦ γνωστικὸν, καὶ ἡ ζωὴ γνῶσις.

ΡΔ′. Πᾶν τὸ πρώτως αἰώνιον τήν τε οὐσίαν καὶ τὴν ἐνέργειαν αἰώνιον ἔχει. Εἰ γὰρ πρώτως μεταλαγχάνει τῆς τοῦ αἰῶνος ἀϊδιότητος, οὐ τῇ μὲν αὐτῆς μετέχει, τῇ δὲ οὔ, ἀλλὰ πάντῃ μετέχει. Ἢ γὰρ κατὰ τὴν ἐνέργειαν μετέχον οὐ μετέχει κατὰ τὴν οὐσίαν. ἀλλ' ἀδύνατον· ἡ γὰρ ἐνέργεια κρείττων ἔσται τῆς

enim in unoquoque ordine ipsorum Entium ante illa quæ participantur, sunt ea quæ sunt imparticipabilia, oportet ante intellectualia esse Mentem, et ante ea quæ vivunt, vitam, et ante *secunda* Entia illud Ens *primum*. Quoniam autem illud quod est plurium causa, præcedit *et honoratius est*, quam illud quod pauciorum *est causa*, in illis ipsum quidem Ens erit primum; omnibus enim adest, quibus *est* vita et Mens. Omne enim vivens etiam intelligentiæ particeps necessario; non tamen etiam contra. Enimvero non omnia entia vivunt et intelligunt. Secunda vero *est* vita. Omnia enim ad quæ pertinet mens, etiam vitam sunt sortita: neque vero vice versa. Multa enim vivunt quidem, cognitionis vero expertia relinquuntur. Tertia vero Mens *est*.

Omne enim, quod quomodocumque cognitione præditum *est*, et vivit et est. Si igitur Ens *est* plurium causa, pauciorum vero Vita, et longe pauciorum Mens, *ergo* primum *est* Ens, deinde Vita, deinde Mens.

CII. Omnia quæ quomodocumque sunt, ex fine sunt et infinito propter illud primo Ens; omnia vero viventia se ipsa movent propter illam primam vitam; omnia vero, quæ cognoscendi facultatem habent, cognitionem participant propter illam primam Mentem. Si enim id, quod in unaquaque serie est imparticipabile, suam proprietatem impertit omnibus, quæ sunt sub eadem serie, perspicuum *est* profecto, quod et illud primum Ens omnibus finem simul et infinitatem impertit, quod ex his primo sit mixtum; et ipsa vita motum apud se *existentem impertit vitam participantibus*. Etenim ipsa vita est primus progressus et motus ab illa stabili Entis hypostasi *atque natura*. Et ipsa Mens cognitionem *impertit*. Omnis enim cognitionis summitas est in Mente, et Mens *est* illud primum, quod cognoscendi facultate præditum est.

CIII. Omnia *sunt* in omnibus; proprie vero *sunt* in unoquoque. Etenim in ipso Ente *est* et Vita et Mens, et in Vita *est* ipsum Esse et ipsum Intelligere, et in Mente *est* ipsum Esse et ipsum Vivere. Sed *hæc* alicubi quidem intellectualiter *sunt*, alicubi vero vitaliter, alicubi vero *sunt* vere Entia omnia.

Quoniam enim unumquodque est vel per causam vel per substantiam vel per communionem, et in ipso primo reliqua sunt per causam et in ipso medio; ipsum quidem primum per communionem, tertium vero per causam, et in tertio ea, quæ sunt ante ipsum, per communionem: ergo et in ipso Ente Vita primum sumpta est et Mens. Cum vero unumquodque secundum *suam* substantiam figuretur, neque per causam *notetur* (aliorum enim est causa) neque per communionem (aliunde enim habet id cujus est particeps), revera illic est et ipsum Vivere et ipsum Intelligere, vita essentialis et mens essentialis. Et in ipsa vita *est* per communionem quidem ipsum Esse, per causam vero ipsum Intelligere; sed utrumque vitaliter *inest*; in hoc enim *est* ipsa substantia et in ipsa Mente *est* et ipsa vita et ipsa essentia, per communionem et intellectualiter utrumque. Etenim ipsum Esse Mentis *est* cognoscendi facultate præditum, et Vita *est* cognitio.

CIV. Omne quod est primo æternum, et essentiam et actionem æternam habet. Si enim primo participat ævi perpetuitatem *ac æternitatem*, non partim quidem ipsam participat, partim vero non; sed *ipsam* omnino participat. Vel enim per actionem participans *ipsam*, per essentiam non participat. Sed hoc *est* impossibile. Vel enim actio

οὐσίας, ἢ κατ' οὐσίαν μετέχον οὐ μετέχει κατὰ τὴν ἐνέργειαν.

Καὶ ἔσται τὸ πρώτως αἰώνιον τὸ αὐτὸ καὶ χρόνου μετέχον πρώτως. Καὶ χρόνος μὲν τινῶν μετρήσει τὴν οὐσίαν πρώτως, αἰὼν δὲ οὐδενὸς, ὁ παντὸς χρόνου κρείττων· εἴπερ τὸ πρώτως αἰώνιον οὐ συνέχεται κατ' οὐσίαν ὑπὸ αἰῶνος. Ἅπαν ἄρα τὸ πρῶτον αἰώνιον τήν τε οὐσίαν ἔχει καὶ τὴν ἐνέργειαν αἰώνιον.

ΡΕ'. Πᾶν τὸ ἀθάνατον ἀΐδιον· οὐ πᾶν δὲ τὸ ἀΐδιον ἀθάνατον. Εἰ γὰρ ἀθάνατόν ἐστι τὸ ἀεὶ ζωῆς μετέχον, τὸ δὲ ἀεὶ ζωῆς μετέχον καὶ τοῦ εἶναι μετέχει, καὶ τὸ ἀεὶ ζῶν ἀεὶ ἔστιν, ὥστε τὸ ἀθάνατον πᾶν ἀΐδιον· ἔστι δὲ τὸ ἀθάνατον τὸ ἄδεκτον θανάτου καὶ ἀεὶ ζῶν· ἀΐδιον δὲ τὸ ἄδεκτον τοῦ μὴ εἶναι καὶ ἀεὶ ὄν.

Εἰ δὲ πολλὰ τῶν ὄντων ἐστὶ κρείττονα καὶ χείρονα τῆς ζωῆς, ἄδεκτα τοῦ θανάτου ὄντα, ἀεὶ δὲ ὄντα· οὐ πᾶν ἄρα τὸ ἀΐδιον ἀθανατόν ἐστιν, ἀλλὰ μὴν ὅτι πολλὰ ἀεὶ ὄντα οὐκ ἀθάνατά ἐστι, δῆλον. Ἔστι γάρ τινα τῶν ὄντων ἄμοιρα μὲν ζωῆς, ἀεὶ δὲ ὄντα καὶ ἀνώλεθρα.

Ὡς γὰρ ἔχει τὸ ὂν πρὸς τὴν ζωὴν, οὕτω τὸ ἀΐδιον πρὸς τὸ ἀθάνατον. Ἡ γὰρ ἀναφαίρετος ζωὴ τὸ ἀθάνατόν ἐστι, καὶ ἀναφαιρέτως ὂν, ἀΐδιον. Τὸ δὲ ὂν τῆς ζωῆς περιληπτικώτερον, καὶ τοῦ ἀθανάτου ἄρα τὸ ἀΐδιον.

ΡϚ'. Παντὸς τοῦ πάντη αἰωνίου κατά τε οὐσίαν καὶ ἐνέργειαν, καὶ τοῦ τὴν οὐσίαν ἔχοντος ἐν χρόνῳ, μέσον ἐστὶ τὸ πῇ μὲν αἰώνιον, πῇ δὲ χρόνῳ μετρούμενον· τὸ γὰρ τὴν οὐσίαν ἔχον ὑπὸ χρόνου περιεχομένην κατὰ πάντα ἐστὶν ἔγχρονον· πολλῷ γὰρ πρότερον τοῦτο καὶ τὴν ἐνέργειαν ἔγχρονον ἔλαχεν.

Τὸ δὲ κατὰ πάντα ἔγχρονον τῷ κατὰ πάντα αἰωνίῳ πάντη ἀνόμοιον. Αἱ δὲ πρόοδοι πᾶσαι διὰ τῶν ὁμοίων.

Ἔστιν ἄρα τι μεταξὺ τούτων· ἢ οὖν τῇ οὐσίᾳ αἰώνιον, τῇ ἐνεργείᾳ δὲ ἔγχρονον, τὸ μέσον, ἢ ἀνάπαλιν. Ἀλλὰ τοῦτο ἀδύνατον· ἔσται γὰρ τῆς οὐσίας ἡ ἐνέργεια κρείττων. Λείπεται δὴ θάτερον εἶναι τὸ μέσον.

ΡΖ'. Πᾶν τὸ πῇ μὲν αἰώνιον, πῇ δὲ ἔγχρονον, ὄν τέ ἐστιν ἅμα καὶ γένεσις. Καὶ γὰρ τὸ αἰώνιον πᾶν ὄν ἐστι· καὶ τὸ μετρούμενον ὑπὸ χρόνου γένεσις· ὥστ' εἰ τὸ αὐτὸ χρόνου μετέχει καὶ αἰῶνος, οὐ κατὰ τὸ αὐτὸ δὲ, καὶ τὸ αὐτὸ ἔσται ὄν τε καὶ γένεσις, οὐ καθ' ἓν ἄμφω.

Ἐκ δὴ τούτων φανερὸν, ὅτι ἡ μὲν γένεσις, καὶ τὴν οὐσίαν ἔγχρονον ἔχουσα, ἀνήρτηται εἰς τὸ πῇ μὲν ὄντος, πῇ δὲ γενέσεως κοινωνοῦν, αἰῶνος ἅμα καὶ χρόνου μετέχον.

Τοῦτο δὲ εἰς τὸ κατὰ πάντα αἰώνιον· τὸ δὲ κατὰ πάντα αἰώνιον εἰς τὸ ὂν, τὸ προαιώνιον.

ΡΗ'. Πᾶν τὸ ἐν ἑκάστῃ τάξει μερικὸν διχῶς μετέχειν δύναται τῆς ἐν τῇ προσεχῶς ὑπερκειμένῃ δια-

præstantior erit essentiâ, vel per essentiam participans *ipsum* non participat per actionem

Et erit id quod primo est æternum, idem et illud, quod primo temporis est particeps. Et tempus quidem rerum aliquarum essentiam primo metietur, Ævum vero, quod omni tempore præstantius *est*, nullius rei *essentiam primo metietur*; siquidem illud, quod est primo æternum, ab Ævo per essentiam non continetur. Omne igitur primum æternum et essentiam et actionem habet æternam.

CV Omne immortale *est* æternum; non omne vero æternum *est* immortale. Si enim immortale est *illud*, quod semper vitæ particeps est, et quod semper vitæ particeps est, ipsius quoque Esse particeps est, et quod semper vivens *est*, *illud etiam* semper est, ergo omne immortale *est* æternum. Est autem illud immortale, quod non recipit mortem, et semper vivit; æternum vero, quod non recipit ipsum non Esse, et quod semper est.

Si vero multa eorum, quæ sunt, præstantiora et deteriora sunt ipsa vita, mortem non recipientia, sed semper existentia: non igitur omne, quod est æternum, est immortale. Sed tamen quod multa quæ semper sunt, immortalia non sint, perspicuum *est*. Sunt enim quædam, quæ sunt, expertia quidem vitæ, semper tamen existentia et interitus expertia.

Ut enim se habet Ens ad Vitam, sic etiam Æternum *se habet* ad Immortale. Illa enim vita, quæ *suo possessori* non potest auferri, est illud, quod *dicitur* immortale, et illud, quod est sine ablatione, æternum. Ens vero plus quam vita complectitur; et proinde æternum plus quam immortale.

CVI Omnis illius, quod prorsus est æternum et per essentiam et per actionem, et *illius*, quod essentiam habet in tempore *comprehensam*, medium est, quod modo *est* æternum, modo tempore mensuratur. Quod enim essentiam habet a tempore comprehensam, in omnibus *partibus et prorsus* est in tempore comprehensum. Hoc enim longe prius *est*, et actionem in tempore comprehensam est sortitum

Quod vero in omnibus *partibus et prorsus est* in tempore comprehensum, illi, quod in omnibus *partibus et prorsus est* æternum, prorsus *est* dissimile. Omnes vero *rerum* progressus per similia *fiunt*.

Est igitur aliquid *medium* inter hæc. Vel igitur illud, quod *est inter hæc* medium, essentia *est* æternum, actione vero in tempore comprehensum, vel contra Sed hoc *est* impossibile. Erit enim actio præstantior ipsa essentia. Restat igitur, ut illud, quod est *inter hæc* medium, alterum *horum* sit.

CVII. Omne quod partim quidem *est* æternum, partim vero in tempore comprehensum, est simul et Ens et generatio *vel ortus*. Etenim omne æternum est Ens, et quod a tempore mensuratur, *est* generatio *vel ortus*. Quare si idem particeps est temporis et Ævi, non vero eodem modo, idem etiam erit et Ens et generatio, non secundum unum utrumque

Ex his igitur perspicuum *est*, quod ipsa quidem generatio, cum et ipsam essentiam in tempore comprehensam habeat, pendet ex eo quod partim quidem particeps est ipsius Entis, partim vero *particeps est* generationis, quod etiam Ævi simul et temporis est particeps

Hoc autem *refertur* ad id quod in omnibus *partibus et prorsus est* æternum Quod vero in omnibus *est* æternum, *refertur* ad Ens, quod est ante Ævum

CVIII. Omne quod est in unoquoque ordine particulare, bifariam in proxime superiore dispositione participare po-

κοσμήσει μονάδος, ἢ διὰ τῆς οἰκείας ὁλότητος, ἢ διὰ τοῦ ἐν ἐκείνῃ μερικοῦ καὶ συστοίχου πρὸς αὐτὸ κατὰ τὴν πρὸς ὅλην τὴν σειρὰν ἀναλογίαν.

Εἰ γὰρ δι' ὁμοιότητος ἡ ἐπιστροφὴ πᾶσίν ἐστι, τῷ ἐν τῇ ὑπερκειμένῃ τάξει μοναδικῷ καὶ ὅλῳ τὸ ἐν τῇ καταδεεστέρᾳ μερικὸν ἀνόμοιον, καὶ ὡς ὅλῳ μερικὸν καὶ ὡς τάξεως ἄλλης καὶ ἄλλης.

Πρὸς δὲ, τὸ ἐκ τῆς αὐτῆς σειρᾶς ὂν, ὅμοιον, διὰ τὴν τῆς ἰδιότητος κοινωνίαν, καὶ πρὸς, τὸ τῆς ὑπερκειμένης προσεχῶς ὁμοταγὲς, διὰ τὴν ἀνάλογον ὑπόστασιν.

Δῆλον δὴ, ὅτι διὰ τούτων αὐτῷ μέσων ἡ πρὸς ἐκεῖνο γίνεσθαι πέφυκεν ἐπιστροφὴ, ὡς δι' ὁμοίων ἀνόμοιον.

Τὸ μὲν γὰρ, ὡς μερικῷ μερικὸν, ὅμοιον· τὸ δὲ, ὡς τῆς αὐτῆς ὂν σειρᾶς οἰκεῖον. Ἐκεῖνο δὲ τὸ τῆς ὑπερκειμένης ὅλον κατ' ἀμφότερα ἀνόμοιον.

ΡΘʹ. Πᾶς μερικὸς νοῦς μετέχει τῆς ὑπὲρ νοῦν καὶ πρωτίστης ἑνάδος, διά τε τοῦ ὅλου καὶ διὰ τῆς ὁμοταγοῦς αὐτῷ μερικῆς ἑνάδος· καὶ πᾶσα μερικὴ ψυχὴ τοῦ ὅλου μετέχει, διά τε τῆς ὅλης ψυχῆς καὶ τοῦ μερικοῦ νοῦ. Καὶ πᾶσα σώματος μερικὴ φύσις διά τε τῆς ὅλης φύσεως καὶ μερικῆς ψυχῆς μετέχει τῆς ὅλης ψυχῆς.

Πᾶν γὰρ μερικὸν μετέχει τῆς ἐν τῇ ὑπερκειμένῃ τάξει μονάδος, ἢ διὰ τῆς οἰκείας ὁλότητος, ἢ διὰ τοῦ ἐν ἐκείνῃ μερικοῦ καὶ πρὸς αὐτὸ ὁμοταγοῦς.

ΡΙʹ. Πάντων τῶν καθ' ἑκάστην σειρὰν διατεταγμένων τὰ μὲν πρῶτα καὶ τῇ ἑαυτῶν μονάδι συνημμένα μετέχειν δύναται τῶν ἐν τῇ ὑπερκειμένῃ σειρᾷ προσεχῶς ἱδρυμένων δι' ἀναλογίας.

Τὰ δὲ ἀτελέστερα καὶ πολλοστὰ ἀπὸ τῆς οἰκείας ἀρχῆς οὐ πέφυκεν ἐκείνων ἀπολαύειν. Διότι γὰρ τὰ μέν ἐστι συγγενῆ πρὸς ἐκεῖνα, φύσιν ἐν τῇ σφετέρᾳ τάξει λαχόντα κρείττονα καὶ θειοτέραν, τὰ δὲ πορρώτερον προελήλυθε, δευτέραν καὶ ὑπηρετικὴν, ἀλλ' οὐ πρωτουργὸν καὶ ἡγεμονικὴν ἐν τῇ σειρᾷ πάσῃ κεκληρωμένα πρόοδον, ἐξ ἀνάγκης τὰ μὲν ὁμοφυῶς συζεύγνυται τοῖς ἐκ τῆς ὑπερκειμένης τάξεως, τὰ δὲ ἀσύναπτά ἐστι πρὸς ἐκείνην. Οὐ γὰρ ἅπαντα τῆς ἴσης ἐστὶν ἀξίας, κἂν ἐκ τῆς αὐτῆς ᾖ διακοσμήσεως· οὐδὲ γὰρ εἷς ὁ λόγος, ἀλλ' ὡς ἀφ' ἑνὸς καὶ πρὸς ἕν, πάντα πρόεισιν ἐκ τῆς οἰκείας μονάδος.

Ὥστε οὔτε δύναμιν ἔλαχε τὴν αὐτήν· ἀλλὰ τὰ μὲν ὑποδέχεσθαι δύναται τὰς τῶν ὑπερκειμένων προσεχῶς μεθέξεις, τὰ δὲ ἀνομοιούμενα ταῖς ἀπὸ τῶν ἀρχῶν ἐπὶ πλεῖστον προόδοις, τῆς τοιαύτης παρῄρηται δυνάμεως.

ΡΙΑʹ. Πάσης τῆς νοερᾶς σειρᾶς οἱ μέν εἰσι θεῖοι νόες ὑποδεξάμενοι θεῶν μεθέξεις· οἱ δὲ νόες μόνον· καὶ πάσης τῆς ψυχικῆς αἱ μέν εἰσι νοεραὶ ψυχαὶ, εἰς νοῦς ἀνηρτημέναι οἰκείους, αἱ δὲ ψυχαὶ μόνον.

Καὶ πάσης τῆς σωματικῆς φύσεως αἱ μὲν καὶ ψυχὰς ἔχουσιν ἐφεστώσας ἄνωθεν, αἱ δέ εἰσι φύσεις μόνον, τῆς τῶν ψυχῶν ἄμοιροι παρουσίας. Ἑκάστης γὰρ σειρᾶς οὐχ ὅλον τὸ γένος εἰς τὸ πρὸ αὐτοῦ ἀνηρτῆσθαι

iust Unitatem, vel per suam integritatem, vel per suam in illa *dispositione* particularem et cognatam cum ipsa *particulari sortem*, secundum proportionem, *quam habet ipsum particulare* cum tota serie.

Si enim per similitudinem ipsa reversio omnibus est, illi, quod in superiore ordine est singulare et totum, illud quod est in inferiore ordine particulare, *est* dissimile; et ut particulare Toti, et ut alius atque alius ordinis.

Præterea vero illud quod ex eadem est serie, *est* simile propter proprietatis communicationem, et præterea illud superioris *ordinis* proxime simul collocatum, *est illi simile* propter similem hypostasin *atque naturam*.

Perspicuum igitur *est*, quod per hæc, quæ media sunt inter ipsum *Totum et ipsum particulare*, reversio ad illud fieri solet, ut per similia dissimile *procreatur*

Nam alterum quidem, ut particulari particulare, *est* simile; alterum vero, ut id quod est ejusdem seriei proprium. Illud vero Totum, quod est superioris *ordinis*, *est* utraque de causa dissimile.

CIX. Omnis particularis Mens particeps est illius Unitatis, quæ est supra Mentem et prima, per ipsam Universale et per ipsam Unitatem, quæ cum ipsa *Mente* simul est collocata. Et omnis particularis Anima particeps est ejus, quod est universale et per ipsam universalem animam et *per* ipsam particularem Mentem. Et omnis corporis particularis natura per universalem naturam et *per* particularem animam particeps est universalis animæ.

Omne enim particulare particeps est illius Unitatis, quæ est in superiore ordine, vel per suam integritatem vel per *suam* in illo *ordine* particularem et cum ipsa *particulari* simul collocatam *atque cognatam* sortem.

CX. Omnium in unaquaque serie dispositorum prima quidem, et quæ cum sua Unitate sunt conjuncta, participare possunt ea *quæ* sunt in superiore serie proxime collocata, per proportionem.

Quæ vero sunt imperfectiora et multesima (*i. e. una de multis partibus*) a suo principio *manantia*, non solent naturaliter illis frui. Quoniam enim alia quidem sunt cognatione conjuncta cum illis, quod naturam in suo ordine præstantiorem et diviniorem sortita sint, alia vero longius progressa sunt, secundam et *superiorem* ministram *et famulam*, non autem primariam et principalem in ipsa tota serie progressionum sortita, necessario alia quidem per naturæ cognationem conjunguntur cum iis, *quæ pendent* ex superiore ordine; alia vero non conjunguntur *neque conjungi possunt* cum illo *superiore ordine*. Non enim omnia sunt ejusdem dignitatis *et pretii*, quamvis sint ex eadem dispositione *sive ejusdem ordinis*. Neque enim *omnium est* una *et eadem* ratio, sed ut ab Uno et ad Unum omnia progrediuntur ex sua Unitate.

Quare neque potestatem eandem sortita sunt; sed alia quidem suscipere possunt ipsas proxime supraslitorum communiones: alia vero, quæ dissimilia sunt ipsis progressionibus, *quæ progrediuntur* ab ipsis principiis quam longissime, ex hujusmodi facultate detracta sunt (*hujusmodi potestatis sunt immunia*).

CXI. Omnis intellectualis seriei aliæ quidem sunt divinæ Mentes, quæ deorum communiones susceperunt, aliæ vero Mentes tantum. Et omnis animalis *seriei*, *quæ continet animas*, aliæ quidem sunt intellectuales animæ, quæ pendent ex suis mentibus, aliæ vero *sunt* animæ tantum.

Et omnis corporeæ naturæ aliæ quidem *naturæ* etiam animas habent præfectas superne, aliæ vero sunt naturæ tantum, expertes animarum præsentiæ. Uniuscujusque enim seriei non totum genus ex eo, quod est ante ipsum, pendere *natura* solet, sed id, quod in eo est perfectius est.

πέφυκεν, ἀλλὰ τὸ ἐν αὐτῇ τελειότερον καὶ συμφύεσθαι τοῖς ὑπερκειμένοις ἱκανόν.

Οὔτε οὖν πᾶς νοῦς θεοῦ ἐξῆπται, ἀλλ' οἱ ἀκρότατοι καὶ ἑνικώτατοι τῶν νόων· οὗτοι γὰρ ταῖς θείαις ἑνάσι συγγενεῖς· οὔτε πᾶσαι ψυχαὶ μετέχουσι νοῦ τοῦ μεθεκτοῦ, ἀλλ' ὅσαι νοερώταται· οὔτε πᾶσαι σωματικαὶ φύσεις ἀπολαύουσι ψυχῆς παρούσης καὶ μετεχομένης, ἀλλ' αἱ τελειότεραι καὶ λογοειδέστεραι. Καὶ οὗτος ἐπὶ πάντων ὁ λόγος τῆς ἀποδείξεως.

ΡΙΒʹ. Πάσης τάξεως τὰ πρώτιστα μορφὴν ἔχει τῶν πρὸ αὐτῶν. Τὰ γὰρ καθ' ἑκάστην ἀκρότητα γένη διὰ τὴν ὁμοιότητα συνάπτεται τοῖς ὑπερκειμένοις, καὶ διὰ τὴν συνέχειαν τῆς προόδου τῶν ὅλων· ὥστε οἷα ἐστιν ἐκεῖνα πρώτως, τοιαύτην ἔλαχε καὶ ταῦτα μορφήν, συγγενῆ πρὸς τὴν ἐκείνων φύσιν· καὶ φαίνεται εἶναι τοιαῦτα κατὰ τὴν ἰδιότητα τῆς ὑποστάσεως, οἷα τὰ πρὸ αὐτῶν.

ΡΙΓʹ. Πᾶς ὁ θεῖος ἀριθμὸς ἑνιαῖός ἐστιν. Εἰ γὰρ ὁ θεῖος ἀριθμὸς αἰτίαν ἔχει προηγουμένην, τὸ ἕν, ὡς ὁ νοερὸς τὸν νοῦν, καὶ ὁ ψυχικὸν τὴν ψυχήν, καὶ ἔστιν ἀνάλογον τὸ πλῆθος πανταχοῦ πρὸς τὴν αἰτίαν, δῆλον δὴ ὅτι καὶ ὁ θεῖος ἀριθμὸς ἑνιαῖός ἐστιν, εἴπερ τὸ ἓν θεός· τοῦτο δέ, εἴπερ τἀγαθὸν καὶ τὸ ἓν ταὐτόν· καὶ γὰρ τἀγαθὸν καὶ θεὸς ταὐτόν· οὗ γὰρ μηδέν ἐστιν ἐπέκεινα, καὶ οὗ πάντα ἐφίεται, θεὸς τοῦτο.

Καὶ ἀφ' οὗ τὰ πάντα καὶ πρὸς ὅ, τοῦτο δὲ ἀγαθόν. Εἰ ἄρα ἔστι πλῆθος θεῶν, ἑνιαῖόν ἐστι τὸ πλῆθος. Ἀλλὰ μὴν ὅτι ἔστι, δῆλον, εἴπερ πᾶν αἴτιον ἀρχικὸν οἰκείου πλήθους ἡγεῖται καὶ ὁμοίου πρὸς αὐτὸ καὶ συγγενοῦς.

ΡΙΔʹ. Πᾶς θεὸς ἑνάς ἐστιν αὐτοτελής, καὶ πᾶσα αὐτοτελὴς ἑνὰς θεός. Εἰ γὰρ τῶν ἑνάδων διττὸς ὁ ἀριθμός, ὡς δέδεικται πρότερον, καὶ αἱ μὲν αὐτοτελεῖς εἰσιν, αἱ δὲ ἐλλάμψεις ἀπ' ἐκείνων, τῷ δὲ ἑνὶ καὶ τἀγαθῷ συγγενὴς καὶ ὁμοφυὴς ὁ θεῖος ἀριθμός, ἑνάδες εἰσὶν αὐτοτελεῖς οἱ θεοί· καὶ ἔμπαλιν, εἰ ἔστιν αὐτοτελὴς ἑνάς, θεός ἐστιν.

Καὶ γὰρ ὡς ἑνὰς τῷ ἑνί, καὶ ὡς αὐτοτελὴς τἀγαθῷ συγγενεστάτη διαφερόντως ἐστί, καὶ κατ' ἄμφω τῆς θείας ἰδιότητος μετέχει, καὶ ἔστι θεός. Εἰ δὲ ἑνὰς μέν, οὐκ αὐτοτελὴς δέ, ἢ αὐτοτελὴς μὲν ἡ ὑπόστασις, οὐκέτι δὲ ἑνάς, εἰς ἑτέραν ἂν ἐτάττετο τάξιν, διὰ τὴν τῆς ἰδιότητος ἐξαλλαγήν.

ΡΙΕʹ. Πᾶς θεὸς ὑπερούσιός ἐστι καὶ ὑπέρζωος καὶ ὑπέρνους. Εἰ γὰρ ἑνάς ἐστιν ἕκαστος αὐτοτελής, ἕκαστον δὲ τούτων οὐχὶ ἑνάς, ἀλλ' ἡνωμένον, δῆλον δὴ ὅτι πάντων ἐστὶν ἐπέκεινα τῶν εἰρημένων ἅπας θεός, οὐσίας, καὶ ζωῆς, καὶ νοῦ. Εἰ γὰρ διέστηκε μὲν ταῦτα ἀλλήλων, πάντα δὲ ἔστιν ἐν πᾶσιν, ἕκαστον τὰ πάντα ὄν, ἓν ἂν οὐκ ἂν εἴη μόνον.

Ἔτι δέ, εἰ τὸ πρῶτον ὑπερούσιον, ἅπας δὲ θεὸς τῆς τοῦ πρώτου σειρᾶς ἐστιν, ᾗ θεός, ὑπερούσιος ἕκαστος ἂν εἴη· ἀλλὰ μήν, ὅτι τὸ πρῶτον ὑπερούσιον,

et quod cum superioribus per naturæ cognationem conjungi potest.

Neque igitur omnis Mens ex deo pendet, sed summæ et maxime singulares Mentes: hæ enim divinis Unitatibus *sunt* cognatæ. Neque omnes animæ participes sunt mentis, quæ est participabilis, sed illæ, quotquot *sunt* maxime intellectuales. Neque omnes corporeæ naturæ fruuntur anima præsente et ea quæ participatur; sed illæ quæ sunt perfectiores et rationi similiores. Atque in omnibus hæc *est* demonstrationis ratio.

CXII. Omnis ordinis ea quæ prima sunt, formam habent eorum quæ sunt ante ipsa. Genera enim, quæ sunt in unaquaque summitate, propter similitudinem conjunguntur cum superjectis, et propter cohærentiam progressus rerum universarum. Quare qualia sunt illa prima, talem et ista formam sortita sunt cognatam cum illorum natura; et videntur esse talia propter substantiæ proprietatem, qualia *sunt* illa quæ sunt ante ipsa.

CXIII. Omnis divinus numerus unicus *et singularis* est. Si enim divinus numerus causam habet antecedentem *et principalem, scilicet* ipsum Unum, ut intellectualis *numerus habet causam antecedentem* ipsam Mentem, et ipse *numerus animarum, qui vulgo dicitur* animalis, animam *habet causam antecedentem*, et ubique multitudo est *suæ* causæ similis, perspicuum igitur *est*, quod et ipse divinus numerus est singularis *et unicus*, si quidem Unum *est* Deus. Hoc vero *verum est*, siquidem Bonum et Unum est idem. Etenim Bonum et Deus *est* idem. Quo enim nihil est superius, et quod omnia expetunt, hoc *est* Deus.

Et a quo omnia *manant*, et ad quod *omnia contendunt et feruntur*, hoc vero est Bonum. Si igitur est deorum multitudo, hæc multitudo *est* singularis. Verum quod sit *deorum multitudo*, perspicuum *est*; siquidem omnis causa principalis suæ multitudini præest et ei, quæ similis est ipsi et cognata.

CXIV. Omnis Deus est Unitas perfecta, et omnis perfecta Unitas *est* Deus. Si enim Unitatum duplex *est* numerus, ut ante demonstratum est, et earum aliæ quidem perfectæ sunt, aliæ vero *sunt* illuminationes ab illis *manantes*, ipsi vero Uni et ipsi Bono cognatus *est*, et cum eo natus *vel eadem natura præditus* ille divinus numerus, *ergo* ipsi dii sunt Unitates perfectæ; et vice versa, si est perfecta Unitas, est Deus.

Etenim ut Unitas ipsi Uni, et ut *Unitas* perfecta ipsi Bono per cognationem conjunctissima insigniter est, et duabus de causis divinam proprietatem participat, et est Deus. Si vero Unitas quidem *esset*, neque vero perfecta, vel perfecta quidem hypostasis, neque vero Unitas, in alio collocaretur ordine propter ipsam proprietatis immutationem.

CXV. Omnis Deus est superessentialis et supervitalis et supermentalis (*omni Mente superior*). Si enim unusquisque *deorum* est Unitas perfecta, horum vero unumquodque non Unitas, sed Unitum *est*, perspicuum igitur *est*, quod omnis Deus est supra omnia, quæ dicta sunt, *scilicet supra* Essentiam et Vitam et Mentem. Si enim hæc differunt quidem inter se, omnia vero sunt in omnibus, unumquodque cum sit omnia, non erit Unum tantum.

Præterea vero, si illud, quod est Primum, *est* superessentiale (*i. e. supra essentiam*), omnis vero Deus et ipsius Primi (*i. e. primæ*) seriei, quatenus *est* Deus, unusquisque *deorum* erit superessentialis. Atqui, quod illud,

φανερόν· οὐ γὰρ ταὐτὸν ἑνί τε εἶναι καὶ οὐσίᾳ εἶναι· οὐδὲ ταὐτὸν τὸ ἔστι καὶ τὸ ἥνωται.

Εἰ δὲ μὴ ταὐτόν, ἢ ἄμφω τὸ πρῶτον, καὶ ἔσται οὐχ ἓν μόνον, ἀλλά τι καὶ ἄλλο παρὰ τὸ ἕν, καὶ μετέχον δὴ λοιπὸν ἑνός, ἀλλ' οὐκ αὐτοέν· ἢ θάτερον τούτων. Ἀλλ' εἰ μὲν οὐσία, ἐνδεὲς ἔσται τοῦ ἑνός· ὅπερ ἀδύνατον, εἶναι τἀγαθὸν καὶ τὸ πρῶτον ἐνδεές.

Ἓν ἄρα μόνον ἐκεῖνο· ὥστε ὑπερούσιον. Εἰ δέ, ὃ ἕκαστόν ἐστι πρώτως, τούτου τὴν ἰδιότητα πάσῃ τῇ σειρᾷ δίδωσι, καὶ ὁ θεῖος ἀριθμὸς ἅπας ὑπερούσιός ἐστιν· ἐπεὶ καὶ τὰ ὅμοια παράγει πρὸ τῶν ἀνομοίων ἕκαστον τῶν ἀρχικῶν αἰτίων· εἰ ἄρα ὁ πρώτιστος θεὸς ὑπερούσιος, καὶ θεοὶ πάντες ὑπερούσιοι· πάντῃ γὰρ ὅμοιοι ἔσονται. Οὐσίαι δὲ ὄντες ἀπὸ οὐσίας ἂν παράγοιντο τῆς πρώτης, ὡς μονάδες τῶν οὐσιῶν.

ΡΙϚ'. Πᾶς θεὸς μεθεκτός ἐστι, πλὴν τοῦ ἑνός. Ὅτι μὲν γὰρ ἐκεῖνο ἀμέθεκτον, δῆλον, ἵνα μὴ μετεχόμενον, καί τινος διὰ τοῦτο γενόμενον, μηκέτι πάντων ὁμοίως ᾖ τῶν τε προόντων καὶ τῶν ὄντων αἴτιον.

Ὅτι δὲ αἱ ἄλλαι ἑνάδες μετέχονται ἤδη, δείξομεν οὕτως· εἰ γάρ ἐστιν ἄλλη μετὰ τὸ πρῶτον ἀμέθεκτος ἑνάς, τί διοίσει τοῦ ἑνός; Ἢ γὰρ ὡσαύτως ἕν ἐστιν, ὥσπερ ἐκεῖνο. Καὶ πῶς τὸ μὲν δεύτερον, τὸ δὲ πρῶτον; Ἢ οὐχ ὡσαύτως· τὸ μὲν αὐτοέν, τὸ δὲ ἕν τε καὶ οὐχ ἕν. Ἀλλὰ τὸ οὐχ ἓν τοῦτο, εἰ μὲν μηδεμία ὑπόστασις, ἔσται μόνον ἕν· εἰ δὲ ὑπόστασίς τις ἄλλη παρὰ τὸ ἕν, μετεχόμενον ἔσται τὸ ἓν ὑπὸ τοῦ οὐχ ἑνός. Καὶ τὸ μὲν αὐτοτελές, τὸ ἕν, ὃ συνάπτει πρὸς τὸ αὐτοέν.

Ὥστε τοῦτο πάλιν ὁ θεός; ἢ θεός· τὸ δὲ οὐχ ἓν ὑποστὰν ἐν μεθέξει τοῦ ἑνὸς ὑφέστηκε. Μεθεκτὴ ἄρα ἐστὶ πᾶσα ἑνὰς μετὰ τὸ ἓν ὑποστᾶσα, καὶ πᾶς θεὸς μεθεκτός.

ΡΙΖ'. Πᾶς θεὸς μέτρον ἐστὶ τῶν ὄντων. Εἰ γάρ ἐστιν ἑνιαῖος ἅπας θεός, τὰ πλήθη πάντα τῶν ὄντων ἀφορίζει καὶ μετρεῖ. Πάντα μὲν γὰρ τὰ πλήθη, τῇ ἑαυτῶν φύσει ἀόριστα ὄντα, διὰ τὸ ἓν ὁρίζεται· τὸ δὲ ἑνιαῖον μετροῦν καὶ περατοῦν, οἷς ἂν παρῇ, βούλεται περιάγειν εἰς ὅρον τὸ μὴ τοιοῦτον κατὰ τὴν αὐτοῦ δύναμιν.

Γίνεται γὰρ κἀκεῖνο ἑνοειδὲς τῇ μεθέξει· τοῦτο δὲ τῆς ἀοριστίας τε καὶ ἀπειρίας ἀφίσταται· καὶ ὅσῳ μᾶλλον ἑνοειδές, τοσούτῳ ἧττον ἀόριστον καὶ ἄμετρον. Μετρεῖται ἄρα πᾶν πλῆθος τῶν ὄντων ὑπὸ τῶν θείων ἑνάδων.

ΡΙΗ'. Πᾶν ὅ τι περ ἂν ἐν τοῖς θεοῖς ᾖ, κατὰ τὴν αὐτῶν ἰδιότητα προϋφέστηκεν ἐν αὐτοῖς, καὶ ἔστιν ἡ ἰδιότης αὐτῶν ἑνιαία καὶ ὑπερούσιος. Ἑνιαίως ἄρα καὶ ὑπερουσίως πάντα ἐν αὐτοῖς. Καὶ γὰρ εἰ τριχῶς ἕκαστον ὑφέστηκεν, ἢ κατ' αἰτίαν ἢ καθ' ὕπαρξιν ἢ κατὰ μέθε-

quod est primum, *sit superessentiale omnique essentia superius*, est perspicuum. Non enim idem *est* et Unum esse et essentiam esse. Neque idem *est* ipsum Est et Unitum est.

Si vero non *est* idem, vel utrumque *erit illud* quod est Primum, et erit non Unum tantum, sed aliquid etiam aliud praeter ipsum Unum, et id, quod jam reliquum est particeps Unius: at non *illud, quod est* per se Unum. Vel *erit* alterum horum. Sed si quidem *est* essentia, indigens erit Unius: quod impossibile *est*, ut ipsum Bonum et ipsum Primum sit indigens (*indigeat aliqua re*).

Illud igitur *est* Unum tantum. Quamobrem *est* superessentiale (*i. e. supra omnes essentias*). Si vero quod unumquodque est primo, hujus proprietatem toti seriei dat *atque suppeditat*, et ipse divinus numerus omnis superessentialis est; quoniam et unaquaeque principalium causarum similia producit ante dissimilia: si igitur illa primus Deus *est* superessentialis, et omnes dii *sunt* superessentiales. Prorsus enim similes erunt. Cum autem sint essentiae, ab illa prima essentia producentur, ut Unitates essentiarum.

CXVI. Omnis Deus participabilis est, praeter *illud quod est* Unum. Quod enim illud *primum Unum sit* imparticipabile, perspicuum *est*. *Hoc autem ideo dicitur*, ne, si *ab aliqua* participaretur, et alicujus propterea fieret, *a quo penderet*, non amplius omnium pariter et primorum Entium et *simpliciter* Entium esset causa.

Quod autem aliae Unitates participentur jam, demonstrabimus ita. Si enim est alia Unitas post illud primum *Unum* imparticipabilis, quid differet ab Uno? Vel enim eodem modo est Unum, quo illud *Unum*. Sed quomodo alterum quidem *est* secundum, alterum vero primum? Vel non eodem modo *Unum est*; et alterum quidem *erit* per se Unum, alterum vero *erit* et Unum, et non Unum. Sed hoc non Unum, si quidem nulla *sit* hypostasis, erit tantum Unum: si vero *sit* aliqua alia hypostasis praeter ipsum Unum, ipsum Unum erit participatum (*i. e. participabitur*) ab illo, quod est non Unum. Et alterum quidem *est* perfectum, *scilicet* ipsum Unum, quod conjunctum est cum illo, quod est per se Unum.

Quamobrem hoc rursus *erit* Deus, quatenus Deus *est per se Unum, idque perfectum*. Illud vero non Unum subsistens in communione *vel per communionem* ipsius Unius subsistit. Participabilis igitur est omnis Unitas, quae post Unum subsistit, et omnis Deus *est* participabilis.

CXVII. Omnis Deus est ipsorum Entium mensura. Si enim omnis Deus est singularis, omnes ipsorum Entium multitudines definit et metitur. Omnes enim multitudines sua natura cum sint indefinitae, per ipsum Unum finiuntur. Illud vero, quod est unicum, metiens et finiens *illa*, quibus adfuerit, vult circumducere ad finem illud, quod per suam facultatem non est tale.

Fit enim et illud Uni simile propter communionem *cum Uno*. Hoc autem ab indefinitione (*indefinita ratione*) et ab infinitate deficit (*recedit ac remotum est*); et quo magis *est* Uni simile, eo minus *est* indefinitum et immensum (*expers mensurae*). Mensuratur igitur omnis Entium multitudo a divinis Unitatibus.

CXVIII. Omne quodcumque fuerit in ipsis diis, per ipsorum proprietatem in ipsis prius exsistit, et ipsorum proprietas est singularis et superessentialis. Singulariter igitur et superessentialiter omnia *sunt* in ipsis *diis*. Etenim si trifariam unumquodque subsistit: vel per causam, vel per substantiam, vel per communionem, omnium

ξιν, πρῶτος δὲ πάντων ἀριθμὸς ὁ θεῖος ἀριθμὸς, οὐδὲν ἐν αὐτοῖς ἔσται κατὰ μέθεξιν, ἀλλὰ πάντα καθ' ὕπαρξιν, ἢ κατ' αἰτίαν.

Ἀλλὰ καὶ ὅσα ὡς αἴτιοι πάντων προειλήφασιν, οἰκείως τῇ ἑαυτῶν ἑνώσει προειλήφασι. Καὶ γὰρ πᾶν τὸ κατ' αἰτίαν τῶν δευτέρων ἡγεμονοῦν, ὡς αὐτὸ πέφυκεν, οὕτως ἔχει τὴν αἰτίαν τῶν καταδεεστέρων. Πάντα ἄρα ἐστὶν ἐν τοῖς θεοῖς ἑνιαίως καὶ ὑπερουσίως.

ΡΙΘ'. Πᾶς θεὸς κατὰ τὴν ὑπερούσιον ἀγαθότητα ὑφέστηκε, καὶ ἔστιν ἀγαθὸς οὔτε κατὰ μέθεξιν οὔτε κατ' οὐσίαν. Καὶ γὰρ αἱ ἕξεις καὶ αἱ οὐσίαι δευτέραν καὶ πολλοστὴν ἔλαχον τάξιν ἀπὸ τῶν θεῶν, ἀλλ' ὑπερουσίως.

Εἰ γὰρ τὸ πρῶτον ἓν, καὶ τἀγαθὸν, καὶ ᾗ ἓν, τἀγαθὸν, καὶ ᾗ τἀγαθὸν, ἓν, καὶ πᾶσα ἡ σειρὰ τῶν θεῶν ἑνοειδής τέ ἐστι καὶ ἀγαθοειδὴς κατὰ μίαν ἰδιότητα, καὶ οὐ κατ' ἄλλο ἕκαστος ἑνὰς καὶ ἀγαθότης.

Ἀλλ' ᾗ ἑνὰς, ταύτῃ ἀγαθότης, καὶ ᾗ ἀγαθότης, ἑνάς· καὶ ὡς μὲν ἀπὸ τοῦ πρώτου προελθόντες οἱ μετὰ τὸ πρῶτον, ἀγαθοειδεῖς καὶ ἑνοειδεῖς· εἴπερ ἐκεῖνο ἓν, καὶ τἀγαθόν· ὡς δὲ οἱ θεοὶ πάντες, ἑνάδες καὶ ἀγαθότητες. Ὡς οὖν τὸ ἓν τὸ τῶν θεῶν ὑπερούσιον, οὕτω καὶ τὸ ἀγαθὸν αὐτῶν ὑπερούσιον, οὐκ ἄλλο τι ὂν παρὰ τὸ ἕν. Οὐ γὰρ ἄλλο ἕκαστος· εἶτα ἀγαθὸν, ἀλλὰ μόνον ἀγαθόν· ὥσπερ οὐδὲ ἄλλο· εἶτα ἓν, ἀλλὰ μόνον ἕν.

ΡΚ'. Πᾶς θεὸς ἐν τῇ ἑαυτοῦ ὑπάρξει τὸ προνοεῖν τῶν ὅλων κέκτηται· καὶ τὸ πρώτως προνοεῖν ἐν τοῖς θεοῖς. Τὰ μὲν γὰρ ἄλλα πάντα μετὰ θεοὺς ὄντα διὰ τὴν ἐκείνων μετουσίαν προνοεῖ· τοῖς δὲ θεοῖς ἡ πρόνοια συμφυής ἐστιν.

Εἰ γὰρ τὸ τῶν ἀγαθῶν μεταδιδόναι τοῖς προνοουμένοις ἐξαίρετόν ἐστι τῆς προνοητικῆς ἰδιότητος, οἱ δὲ θεοὶ πάντες ἀγαθότητές εἰσιν, ἢ οὐδενὶ μεταδώσουσιν ἑαυτῶν, καὶ οὐδὲν ἔσται ἀγαθὸν ἐν τοῖς δευτέροις· πόθεν γὰρ τὸ κατὰ μέθεξιν ἢ ἀπὸ τῶν πρώτως τὰς ἰδιότητας ἐχόντων; ἢ μεταδιδόντες ἀγαθῶν μεταδιδοῦσι, καὶ ταύτῃ προνοήσουσι τῶν πάντων.

Ἐν θεοῖς οὖν ἡ πρόνοια πρώτως· καὶ ποῦ γὰρ ἡ πρὸ νοῦ ἐνέργεια, ἢ ἐν τοῖς ὑπερουσίοις; Ἡ δὲ πρόνοια (ὡς τοὔνομα ἐμφαίνει) ἐνέργειά ἐστι πρὸ νοῦ. Τῷ εἶναι ἄρα θεοὶ καὶ τῷ ἀγαθότητες εἶναι πάντων προνοοῦσι, πάντα τῆς πρὸ νοῦ πληροῦντες ἀγαθότητος.

ΡΚΑ'. Πᾶν τὸ θεῖον ὕπαρξιν μὲν ἔχει τὴν ἀγαθότητα, δύναμιν δὲ ἑνιαίαν καὶ γνῶσιν κρύφιον, ἄληπτον πᾶσιν ὁμοῦ τοῖς δευτέροις. Εἰ γάρ ἐστι προνοητικὸν τῶν ὅλων, ἔστιν ἐν αὐτῷ δύναμις κρατητικὴ τῶν προνοουμένων· δι' ἣν, ἀκράτητον καὶ ἀπερίγραφον τοῖς πᾶσιν ὑπάρχουσαν, πάντα πεπληρώκασιν ἑαυτῶν, πάντα ὑποστρώσαντες ἑαυτοῖς.

Πᾶν γὰρ τὸ ἀρχικὸν ἄλλων αἴτιον καὶ κρατητικὸν διὰ δυνάμεως περιουσίαν ἄρχει καὶ κρατεῖ κατὰ φύσιν.

Ἔστι δὴ οὖν ἡ πρωτίστη δύναμις ἐν τοῖς θεοῖς, οὐ

vero primus numerus est ille divinus numerus, ergo nihil in ipsis *diis* erit per communionem, sed omnia per substantiam vel per causam *in ipsis erunt.*

Sed etiam quaecunque *dii* ut omnium auctores primum sumpserunt, *ea* convenienter suae Unitioni primum sumpserunt. Etenim omne, quod per causam secundis praeest, ut ipsum naturaliter est, sic habet causam eorum quae sunt inferiora. Omnia igitur sunt in Diis singulariter et superessentialiter.

CXIX. Omnis Deus per *suam* superessentialem bonitatem subsistit, et est bonus neque per communionem neque per essentiam. Etenim et habitus et essentiae secundum et multesimum (*unum de multis*) ordinem sunt sortitae, *manantem* ab ipsis diis, sed superessentialiter.

Si enim illud primum Unum est etiam ipsum Bonum et *Unum*, qualenus est Unum, *est etiam* ipsum Bonum, et qualenus *est* ipsum Bonum, *est etiam* Unum, *ergo* et omnis series deorum est et Uni similis et Bono similis per unam proprietatem, et non per aliud unusquisque *deorum est* Unitas et Bonitas.

Sed qualenus *est* Unitas, eatenus *est* Bonitas, et qualenus *est* Bonitas, *eatenus est* Unitas; et ut ab illo quidem primo progressi illi, qui sunt post illud Primum, *sunt* Bono similes et Uni similes; siquidem illud Unum *est* etiam ipsum Bonum. Ut vero dii omnes, *sunt* Unitates et Bonitates. Ut igitur illud Unum deorum *est* superessentiale, sic etiam ipsorum Bonum *est* superessentiale, quia nihil aliud est praeter ipsum Unum. Non enim aliud *est deorum* unusquisque; itaque Bonum, sed tantum Bonum; quemadmodum ne aliud quidem *est deorum unusquisque*; itaque Unum, sed tantum Unum.

CXX. Omnis Deus in sua essentia ipsam *rerum* universarum providentiam possidet. Et ipsum primo *rebus universis providere*, *earumque providentiam primo possidere*, *est* in ipsis diis. Nam cetera quidem omnia, quae sunt post deos, propter illorum (*i. e. cum illis*) communionem *rebus* provident; at ipsis diis providentia est cognata *et cum ipsis nata*.

Si enim ipsum impertiri bona iis, quibus providetur, est eximium *munus* proprietatis providentia praeditae, ipsi vero dii omnes sunt Bonitates, vel nulli se ipsos impertientur, et nullum erit Bonum in secundis *naturis*: unde enim illud *proficisceretur*, quod *est* per participationem, nisi ab iis qui primo proprietates habent? vel Dii, dum impertiuntur se ipsos iis, *quorum providam curam gerunt*, *ipsis* Bona impertiuntur, et ita *rebus* omnibus providebunt.

In Diis igitur *est* primo providentia. Etenim ubinam *est* illa ante Mentem actio, nisi in ipsis superessentialibus? Ipsa vero providentia (ut ipsum nomen indicat) est Actio ante Mentem. Igitur Dii propter ipsum Esse (*propter suam essentiam*) et quod sunt Bonitates, omnibus provident *et omnia sua providentia administrant*, omnia replentes illa Bonitate, quae est ante Mentem.

CXXI. Omne numen substantiam habet Bonitatem, Potestatem vero singularem et Sapientiam occultam, et incomprehensibilem omnibus simul secundis *naturis*. Si enim divinum *numen rerum* universarum providam curam gerit, *usque providendi facultate praeditum est*, est in ipso facultas dominatrix rerum, quae providentia reguntur (*vel*, quae res, quibus providetur, in officio continet). Propter quam *facultatem*, invictam et incircumscriptam omnibus existentem, *dii* omnia se ipsis repleverunt, quoniam omnia sibi ipsis subjecerunt.

Omne enim, quod imperatoria potestate praeditum est, *et quod est* aliorum causa, et quod per potestatis abundantiam (*eximiam copiam*) dominandi vim habet, *aliud* imperat et dominatur secundum naturam.

Est igitur prima potestas in ipsis Diis, quae non alius

τῶν μὲν κρατοῦσα, τῶν δὲ οὔ· πάντων δὲ ἐξίσου προλαβοῦσα τὰς δυνάμεις ἐν ἑαυτῇ τῶν ὄντων, οὔτε οὐσιώδης οὖσα δύναμις, οὔτε πολλῷ πλέον ἀνούσιος, ἀλλὰ τῇ ὑπάρξει τῶν θεῶν συμφυὴς καὶ ὑπερούσιος. Ἀλλὰ μὴν καὶ τὰ πέρατα πάντων τῶν γνωστῶν ἑνοειδῶς ἐν τοῖς θεοῖς προϋφέστηκεν. Διὰ γὰρ τὴν θείαν γνῶσιν, τὴν ἐξῃρημένην τῶν ὅλων, καὶ αἱ ἄλλαι πᾶσαι γνώσεις ὑπέστησαν, οὔτε νοερὰν οὖσαν, οὔτε ἔτι μᾶλλον τῶν μετὰ νοῦν τινα γνώσεων, ἀλλὰ κατὰ τὴν ἰδιότητα τὴν θείαν ὑπὲρ νοῦν ἱδρυμένην.

Εἴτε ἄρα γνῶσίς ἐστι θεία, κρύφιός ἐστιν αὕτη καὶ ἑνοειδὴς ἡ γνῶσις· εἴτε δύναμις ἀπερίγραφος πᾶσι καὶ περιληπτικὴ πάντων ὡσαύτως· εἴτε ἀγαθότης, τὴν ὕπαρξιν αὐτῶν ἀφορίζουσα. Καὶ γὰρ εἰ πάντα ἐστὶν ἐν αὐτοῖς, γνῶσις, δύναμις, ἀγαθότης· ἀλλ' ἡ ὕπαρξις τῷ ἀρίστῳ χαρακτηρίζεται, καὶ ἡ ὑπόστασις κατὰ τὸ ἄριστον· τοῦτο δὲ ἡ ἀγαθότης.

ΡΚΒ'. Πᾶν τὸ θεῖον καὶ προνοεῖ τῶν δευτέρων, καὶ ἐξῄρηται τῶν προνοουμένων, μήτε τῆς προνοίας χαλώσης τὴν ἄμικτον αὐτοῦ καὶ ἑνιαίαν ὑπεροχήν, μήτε τῆς χωριστῆς ἑνώσεως τὴν πρόνοιαν ἀφανιζούσης. Μένοντες γὰρ ἐν τῷ ἑνιαίῳ τῷ ἑαυτῶν καὶ τῇ ὑπάρξει τὰ πάντα πεπληρώκασι τῆς ἑαυτῶν δυνάμεως. Καὶ πᾶν τὸ δυνάμενον αὐτῶν μεταλαγχάνειν ἀπολαύει τῶν ἀγαθῶν, ὧν δέχεσθαι δύναται κατὰ τὰ μέτρα τῆς οἰκείας ὑποστάσεως, ἐκείνων αὐτῷ τῷ εἶναι, μᾶλλον δὲ προεῖναι, τἀγαθὰ τοῖς οὖσιν ἐπιλαμπόντων.

Ὄντες γὰρ οὐδὲν ἄλλο, ἢ ἀγαθότης, αὐτῷ τῷ εἶναι τοῖς πᾶσιν ἀφθόνως τἀγαθὰ χορηγοῦσιν, οὐ κατὰ λογισμὸν ποιούμενοι τὴν διανομήν, ἀλλὰ τούτων μὲν κατὰ τὴν ἀξίαν δεχομένων, ἐκείνων δὲ κατὰ τὴν αὐτῶν ὕπαρξιν διδόντων. Οὔτε οὖν προνοοῦντες σχέσιν ἀναδέχονται πρὸς τὰ προνοούμενα.

Τῷ γὰρ εἶναι, ὅ εἰσι, πάντα ἀγαθύνουσιν. Πᾶν δὲ τὸ τῷ εἶναι ποιοῦν ἀσχέτως ποιεῖ. Ἡ γὰρ σχέσις πρόσθεσίς ἐστι τοῦ εἶναι. Διὸ καὶ παρὰ φύσιν.

Οὔτε χωριστοὶ ὄντες ἀναιροῦσι τὴν πρόνοιαν. Οὕτω γὰρ ἀναιροῖεν (ὃ μηδὲ θέμις εἰπεῖν) τὴν ὕπαρξιν τὴν ἑαυτῶν, ἧς ἡ ἰδιότης ἀγαθότης ἐστίν. Ἀγαθοῦ γὰρ ἡ μετάδοσις εἰς πᾶν τὸ μετέχειν δυνάμενον. Καὶ τὸ μέγιστόν ἐστιν οὐ τὸ ἀγαθοειδές, ἀλλὰ τὸ ἀγαθουργόν. Τοῦτο τοίνυν ἢ οὐδὲν ἕξει τῶν ὄντων, ἢ θεοὶ πρὸ τῶν ὄντων· οὐ γὰρ ἄν που τοῖς μὲν κατὰ μέθεξιν ἀγαθοῖς ὑπάρχοι τὸ μεῖζον ἀγαθόν, τοῖς δὲ πρώτοις ἀγαθοῖς τὸ ἔλαττον.

ΡΚΓ'. Πᾶν τὸ θεῖον αὐτὸ μὲν διὰ τὴν ὑπερούσιον ἕνωσιν ἄῤῥητόν ἐστι καὶ ἄγνωστον πᾶσι τοῖς δευτέροις· ἀπὸ δὲ τῶν μετεχόντων ληπτόν ἐστι καὶ γνωστόν.

Διὸ μόνον τὸ πρῶτον παντελῶς ἄγνωστον, ἅτε ἀμέθεκτον ὄν. Πᾶσα γὰρ ἡ διὰ λόγου γνῶσις τῶν ὄντων ἐστί, καὶ ἐν τοῖς οὖσιν ἔχει τὸ τῆς ἀληθείας καταληπτικόν· καὶ γὰρ νοημάτων ἐφάπτεται, καὶ ἐν νοήσεσιν ὑφέστηκεν· οἱ δὲ θεοὶ πάντων εἰσὶν ἐπέκεινα τῶν ὄντων.

imperat quidem, aliis vero non; sed aequaliter omnium Entium potestates in se ipsa primo sumpsit, quamvis ipsa neque essentialis sit potestas, neque multo magis (*multo minus*) *sit* expers essentiae, sed substantiae deorum ingenita et superessentialis. Quin etiam ipsi fines omnium cognitionum uniformiter in ipsis diis primo substitui. Nam propter divinam cognitionem ex universis *rebus* exemptam et aliae omnes cognitiones subsistunt, *quae divina cognitio* neque intellectualis est, neque multo magis (*multo minus*) *est* una ex illis cognitionibus quae sunt post aliam Mentem, sed secundum proprietatem divinam est supra Mentem collocata

Sive igitur cognitio est divina, ista cognitio est occulta et uniformis; sive potestas *est* incircumscripta omnibus, etiam omnium comprehendendorum vim habet eodem modo: sive Bonitas *est*, essentiam ipsorum *deorum* definit. Etenim si omnia sunt in ipsis *Diis*: cognitio, potestas, Bonitas *etiam in ipsis est*; substantia tamen deorum. Optimi notâ declaratur, et natura vero subsistens per Optimum. Hoc autem *est* ipsa Bonitas.

CXXII. Omne divinum numen et providam curam gerit secundarum *naturarum et rerum*, et exemptum est ex iis quorum providam curam gerit, ita ut neque providentia demittat, (*remittat et imminuat*) non mixtam ac *puram* ipsius et singularem excellentiam, neque separabilis Unitas providentiam *ejus* deleat. Manentes enim *Dii* in illo singulari suo *naturae statu* et in substantia, omnia replent sua facultate *et potestate*. Et omne, quod ipsos participare potest, illis bonis fruitur, quae percipere potest secundum mensuras naturalis suae subsistentiae, illis *diis* propter ipsum *suum* Esse, vel potius propter ipsum *suum* Primo esse, bona in ipsa Entia per illuminationem immittentibus.

Cum enim nihil aliud sint, quam Bonitas, per ipsum *suum* Esse omnibus *Entibus* abunde bona suppeditant, non secundum ratiocinationem facientes hanc distributionem, sed his quidem secundum *suam* dignitatem accipientibus *haec deorum bona*, illis vero *diis ea* secundum *suam* substantiam dantibus. Neque igitur, quum *ipsis Entibus dii* provident, habitudinem (atque adeo affectionem) ullam suscipiunt erga ea quibus provident.

Nam propter ipsum esse *illud*, quod sunt, omnia bona faciunt. Omne vero quod propter *suum* Esse facit *aliquid*, *illud* sine habitudine (adeoque affectu) facit. Nam habitudo (adeoque affectio) additamentum est ipsius Esse. Quamobrem etiam *est* praeter naturam.

Neque cum *ab ipsis Entibus* dii separati sunt, ipsam providentiam tollunt. Sic enim tollerent (quod ne dicere quidem fas *est*) suam substantiam, cujus proprietas est ipsa Bonitas. Boni enim *est* erogatio in omne quod *bona* participare potest. Et quod maximum est, non *est* illud quod Bono simile est; sed illud, quod bona facit, *et quod est beneficum*. Hoc igitur *bonorum in Entia conferendorum genus* vel nullum ipsorum Entium habebit, vel ipsi Dii *hoc habebunt* ante ipsa Entia. Nullo modo enim illis quidem bonis, quae sunt per communicationem, adesset *vel inesset* majus bonum, primis vero bonis minus *bonum adesset*.

CXXIII. Omne divinum ipsum quidem, propter superessentialem Unitatem, ineffabile est et ignotum omnibus secundis *Entibus*; per illa vero, quae participant *id quod est divinum*, *ipsum divinum* comprehendi cognoscique potest.

Quare solum illud, quod est primum, omnino *est* ignotum, utpote quod est imparticipabile. Omnis enim per rationem *vel per orationem* cognitio ipsorum Entium est, et in ipsis Entibus habet veritatis comprehensionem. Etenim notiones attingit, et in intelligentiis subsistit. Ipsi vero dii sunt supra omnia Entia.

Οὔτε οὖν δοξαστὸν τὸ θεῖον, οὔτε διανοητὸν, οὔτε νοητόν. Πᾶν γὰρ τὸ ὂν, ἢ αἰσθητόν ἐστι, καὶ διὰ τοῦτο δοξαστὸν, ἢ ὄντως ὂν, καὶ διὰ τοῦτο νοητὸν, ἢ μεταξὺ τούτων, ὂν ἅμα καὶ γεννητὸν, καὶ διὰ τοῦτο διανοητόν. Εἰ οὖν οἱ θεοὶ ὑπερούσιοι καὶ πρὸ τῶν ὄντων ὑφεστήκασιν, οὔτε δόξα ἐστὶν αὐτῶν, οὔτε ἐπιστήμη καὶ διάνοια, οὔτε νόησις. Ἀλλ' ἀπὸ τῶν ἐξηρτημένων, οἷαί πέρ εἰσιν αὐτῶν αἱ ἰδιότητες, γνωρίζονται, καὶ τοῦτο ἀναγκαίως. Κατὰ γὰρ τὰς τῶν μετεχομένων ἰδιότητας καὶ αἱ τῶν μετεχόντων συνδιαιροῦνται διαφορότητες.

Καὶ οὔτε πᾶν μετέχει παντός (οὐ γάρ ἐστι σύνταξις τῶν πάντῃ ἀνομοίων), οὔτε τὸ τυχὸν τοῦ τυχόντος μετέχει, ἀλλὰ τὸ συγγενὲς ἑκάστῳ συνῆπται, καὶ ἀφ' ἑκάστου πρόεισιν.

ΡΚΔ'. Πᾶς θεὸς ἀμερίστως μὲν τὰ μεριστὰ γινώσκει, ἀχρόνως δὲ τὰ ἔγχρονα, τὰ δὲ μὴ ἀναγκαῖα ἀναγκαίως, καὶ τὰ μεταβλητὰ ἀμεταβλήτως, καὶ ὅλως πάντα κρειττόνως, ἢ κατὰ τὴν αὐτῶν τάξιν. Εἰ γὰρ ἅπαν, ὅ τι περ ἂν ᾖ, παρὰ τοῖς θεοῖς κατὰ τὴν αὐτῶν ἐστιν ἰδιότητα, δῆλον δήπουθεν, ὡς οὐ κατὰ τὴν τῶν χειρόνων φύσιν ἐν τοῖς θεοῖς οὖσα ἡ γνῶσις αὐτῶν ἔσται, ἀλλὰ κατὰ τὴν αὐτῶν ἐκείνων ἐξῃρημένην ὑπεροχήν.

Ἑνοειδὴς ἄρα καὶ ἀπαθὴς ἡ γνῶσις ἔσται τῶν πεπληθυσμένων καὶ παθητῶν. Εἰ ἄρα καὶ τὸ γνωστὸν εἴη μεριστὸν, ἀλλ' ἡ θεία γνῶσις ἀμέριστος, καὶ ἡ τῶν μεριστῶν καὶ ἡ μεταβλητῶν, ἀμετάβλητος, καὶ ἡ τῶν ἐνδεχομένων ἀναγκαία, καὶ ἡ τῶν ἀορίστων ὡρισμένη.

Οὐ γὰρ ἀπὸ τῶν χειρόνων εἰσδέχεται τὸ θεῖον τὴν γνῶσιν, ἵνα οὕτως ἡ γνῶσις ἔχῃ, ὡς τὸ γνωστὸν ἔχει φύσεως. Ἀλλὰ τὰ χείρονα περὶ τὸ ὡρισμένον τῶν θεῶν ἀοριστταίνει· καὶ περὶ τὸ ἀμετάβλητον μεταβάλλει, καὶ τὸ ἀπαθὲς παθητικῶς ὑποδέχεται, καὶ τὸ ἄχρονον ἐγχρόνως. Τοῖς μὲν γὰρ χείροσιν ἀπὸ τῶν κρειττόνων παρεκβαίνειν δυνατόν· τοῖς δὲ θεοῖς εἰσδέχεσθαί τι παρὰ τῶν χειρόνων οὐ θέμις.

ΡΚΕ'. Πᾶς θεὸς, ἀφ' ἧς ἂν ἄρξηται τάξεως ἐκφαίνειν ἑαυτὸν, πρόεισι διὰ πάντων τῶν δευτέρων, ἀεὶ μὲν πληθύνων τὰς ἑαυτοῦ μεταδόσεις καὶ μερίζων, φυλάττων δὲ τὴν ἰδιότητα τῆς οἰκείας ὑποστάσεως. Αἱ μὲν γὰρ πρόοδοι δι' ὑφέσεως γινόμεναι τὰ πρῶτα πανταχοῦ πως πληθύνουσιν εἰς τὰς τῶν δευτέρων ὑποβάσεις.

Τὰ δὲ προϊόντα κατὰ τὴν πρὸς τὰ παράγοντα ὁμοιότητα τὴν ἑαυτῶν ὑποδέχεται διάταξιν, ὥστε τὸ ὅλον ταὐτόν πως εἶναι, καὶ ἕτερον τὸ προϊὸν τῷ μένοντι· διὰ μὲν τὴν ὕφεσιν ἀλλοῖον φαινόμενον, διὰ δὲ τὴν συνέχειαν τὴν πρὸς ἐκεῖνο τῆς ταυτότητος οὐκ ἐξιστάμενον.

Οἷον δὲ ἔστιν ἐκεῖνο ἐν τοῖς πρώτοις, τοιοῦτον ἐν τοῖς δευτέροις ὑφιστάμενον αὐτὸ, καὶ τῆς σειρᾶς τὴν ἀδιάλυτον κοινωνίαν διαφυλάττον. Ἐκφαίνεται μὲν οὖν ἕκαστος τῶν θεῶν οἰκείως ταῖς τάξεσιν, ἐν αἷς

Neque igitur opinabile *est illud* quod est divinum, neque cogitatione neque mente percipi *cognoscique* potest. Omne enim Ens vel sensibile est, et propterea opinabile, vel vero Ens, et propterea intelligibile, vel *est* inter haec *medium*, Ens simul et generatum, et propterea cogitatione perceptum. Si igitur Dii superessentiales *sunt*, et ante ipsa Entia subsistunt, neque opinio est ipsorum (*de ipsis*), neque scientia et cogitatio, neque intelligentia (*i. e. his percipi cognoscique non possunt*). Sed ex iis quae pendent *ex ipsis*, quales sunt ipsorum proprietates, cognoscuntur, idque necessario. Nam per ipsas proprietates eorum quae participantur, et ipsa illorum quae participant *ipsos Deos*, differentiae simul dividuntur.

Et neque omne participat omne (neque enim *rerum* prorsus dissimilium est ulla ordo sive ulla conjunctio), neque fortuitum participat fortuitum, sed ipsum cognatum cum unoquoque, *quod est cognatum*, conjunctum est, et ab unoquoque *cognato cognatum* progreditur.

CXXIV. Omnia Deus individue quidem dividua cognoscit, sine tempore ea quae sunt in tempore, non necessaria vero necessario, et mutabilia immutabiliter, et denique omnia *cognoscit* melius, quam fert ipsorum ordo. Si enim omne quodcumque fuerit, apud ipsos Deos secundum ipsorum proprietatem est, perspicuum profecto *est*, quod non secundum deteriorum naturam in diis existens erit ipsorum cognitio, sed secundum illam illorum ipsorum eximiam excellentiam.

Uniformis igitur et affectuum expers erit ipsa cognitio multiplicatarum et partibilium *rerum*. Si igitur et illud, quod in cognitionem cadit, *quodque cognosci potest*, est dividuum, tamen ipsa divina cognitio *est* individua, et dividuarum et mutabilium *rerum cognitio est* immutabilis, et eorum quae fieri possunt, necessaria, et indefinitorum, definita.

Non enim a deterioribus *manantem* cognitionem recipit ipsum divinum numen, ut ipsa cognitio talem habeat naturam, qualem habet id quod in cognitionem cadit *quodque cognosci potest*. Sed deteriora circa definitum, quod est in Diis, indefinita feruntur (*adeoque haesitant*); et circa immutabile mutantur, et quod est affectuum expers, affectuose suscipiunt, et quod est temporis expers, modo temporali. Nam illa, quidem, quae sunt deteriora, a praestantioribus degredi *atque recedere* possunt; ipsis vero Diis aliquid a deterioribus recipere nefas *est*.

Omnis deus, a quo coeperit ordine se ipsum ostendere, progreditur per omnia secunda, semper quidem multiplicans et partiens suas *donorum collationes et* communicationes, servans vero proprietatem suae subsistentiae. Nam illi quidem progressus, qui per remissionem fiunt, ea quae prima sunt, ubique quodammodo multiplicant in ipsa secundorum fundamenta *et in illas conditiones, quae primis sunt subjectae*.

Quae vero progrediuntur secundum similitudinem, *quam habent ea quae producuntur* cum iis quae producunt *ipsa*, suam suscipiunt constitutionem *et ordinem*, ita ut ipsum totum idem quodammodo sit, et diversum id quod progreditur, et id quod *firmum in suo loco* manet. Nam propter ipsam quidem remissionem alterum *ac diversum* videtur, propter cohaerentiam vero cum illo ex identitate non excedit, nec *degenerat*.

Quale vero est illud in primis, tale in secundis *hoc* ipsum subsistit, et seriei indissolubilem communionem perpetuo servat. Apparet igitur unusquisque Deorum convenienter illis ordinibus, in quibus apparitionem facit *et suam praesentiam ostendit*. Hinc vero progreditur usque ad

ποιεῖται τὴν ἔκφανσιν· πρόεισι δὲ ἐντεῦθεν ἄχρι τῶν ἐσχάτων διὰ τὴν γεννητικὴν τῶν πρώτων δύναμιν· πληθύνεται δὲ ἀεὶ τὴν πρόοδον ἀφ' ἑνὸς εἰς πλῆθος γιγνομένην· φυλάττει δὲ τὸ ταὐτὸν ἐν τῇ προόδῳ, διὰ τὴν ὁμοιότητα τῶν προϊόντων πρὸς τὸ ἑκάστης σειρᾶς ἡγεμονοῦν καὶ πρωτουργὸν αἴτιον.

ΡΚϚ'. Πᾶς θεὸς ὁλικώτερος μέν ἐστιν ὁ τοῦ ἑνὸς ἐγγυτέρω, μερικώτερος δὲ ὁ πορρώτερον. Τοῦ γὰρ πάντα παράγοντος ὁ πλειόνων αἴτιος ἐγγυτέρω· ὁ δὲ ἐλασσόνων, πορρωτέρω. Καὶ ὁ μὲν πλειόνων αἴτιος, ὁλικώτερος, ὁ δὲ ἐλασσόνων, μερικώτερος· καὶ ἑκάτερος μὲν ἑνάς ἐστιν· ἀλλ' ὁ μὲν δυνάμει μείζων, ὁ δὲ ἐλάσσων κατὰ τὴν δύναμιν. Καὶ οἱ μερικώτεροι γεννῶνται ἐκ τῶν ὁλικωτέρων, οὔτε μεριζομένων ἐκείνων (ἑνάδες γάρ), οὔτε ἀλλοιουμένων (ἀκίνητοι γάρ), οὔτε σχέσει πληθυνομένων (ἀμιγεῖς γάρ), ἀλλ' ἀφ' ἑαυτῶν δευτέρας ἀπογεννώντων προόδους διὰ δυνάμεως περιουσίαν, ὑφειμένας τῶν πρὸ αὐτῶν.

ΡΚΖ'. Πᾶν τὸ θεῖον, ἁπλοῦν, πρώτως ἐστὶ μάλιστα, καὶ διὰ τοῦτο αὐταρκέστατον. Ὅτι μὲν γὰρ ἁπλοῦν, ἐκ τῆς ἑνώσεως φανερόν· ἑνικώτατον γάρ ἐστι πᾶν· τὸ δὲ τοιοῦτον, διαφερόντως ἁπλοῦν.

Ὅτι δὲ αὐταρκέστατον, μάθοι τις ἂν ἐννοήσας, ὅτι τὸ μὲν σύνθετον ἐνδεές ἐστιν, εἰ καὶ μὴ τῶν ἄλλων, ὧν ἐστιν ἔξω, ἀλλ' ἐκείνων γε, ἐξ ὧν συνετέθη.

Τὸ δὲ ἁπλούστατον καὶ ἑνιαῖον, καὶ τὸ ἐν τῷ ἀγαθῷ ταὐτὸν προστησάμενον αὐταρκέστατον· τοιοῦτον δὲ τὸ θεῖον πᾶν. Οὔτε οὖν τῶν ἄλλων δεῖται, αὐτοαγαθότης ὑπάρχον, οὔτε ἐξ ὧν ὑφέστηκεν, ἑνιαῖον ὑπάρχον.

ΡΚΗ'. Πᾶς θεὸς, ὑπὸ μὲν τῶν ἐγγυτέρω μετεχόμενος, ἀμέσως μετέχεται· ὑπὸ δὲ τῶν πορρωτέρω, διὰ μέσων ἢ ἐλασσόνων ἢ πλειόνων τινῶν. Τὰ μὲν γὰρ, διὰ συγγένειαν ἑνοειδῆ καὶ αὐτοόντα, μετέχειν αὐτόθεν δύναται τῶν θείων ἑνάδων· τὰ δὲ δι' ὕφεσιν καὶ τὴν εἰς πλῆθος ἔκτασιν ἄλλων δεῖται τῶν μᾶλλον ἡνωμένων, ἵνα μετάσχῃ τῶν αὐτοενάδων οὐσῶν, ἀλλ' οὐχ ἡνωμένων.

Τῆς γὰρ αὐτοενάδος μεταξὺ καὶ τοῦ διῃρημένου πλήθους ἐστὶ τὸ ἡνωμένον πλῆθος, συμφύεσθαι μὲν τῇ ἑνάδι δυνάμενον διὰ τὴν ἕνωσιν, συγγενὲς δέ πως ὂν καὶ τῷ διῃρημένῳ πλήθει διὰ τὴν τοῦ πλήθους ἔμφασιν.

ΡΚΘ'. Πᾶν μὲν σῶμα θεῖον διὰ ψυχῆς ἐστι θεῖον τῆς ἐκθεουμένης· πᾶσα δὲ ψυχὴ θεία διὰ τὸν θεῖον νοῦν· πᾶς δὲ νοῦς θεῖος κατὰ μέθεξιν τῆς θείας ἑνάδος.

Καὶ ἡ μὲν ἑνὰς, αὐτόθεν θεός· ὁ δὲ νοῦς θειότατον· ἡ δὲ ψυχὴ, θεία· τὸ δὲ σῶμα, θεοειδές. Εἰ γὰρ καὶ ὑπὲρ νοῦν ἐστιν ἅπας ὁ τῶν θεῶν ἀριθμὸς, αἱ δὲ μεθέξεις διὰ τῶν συγγενῶν καὶ τῶν ὁμοίων ἐπιτελοῦνται· ἡ μὲν ἀμέριστος οὐσία μεθέξει πρώτως τῶν ὑπερουσίων ἑνάδων.

Δευτέρως δὲ, ἡ γενέσεως ἐφαπτομένη· τρίτως δὲ, ἡ γένεσις. Καὶ ἕκαστα διὰ τῶν προσεχῶς ὑπερκειμένων. Καὶ φοιτᾷ μὲν ἄχρι τῶν ἐσχάτων ἐν τοῖς

extrema, propter generatricem primorum facultatem. Multiplicat vero semper ipsum progressum ab Uno manantem in multitudinem. Servat autem ipsum idem (*vel ipsam Identitatem*) in ipso progressu, propter similitudinem ipsorum progredientium cum uniuscujusque seriei principali et primaria causa.

CXXVI. Omnis Deus universalior quidem est ille, qui propius ad Unum accedit, particularior vero *est* ille, qui longius *ab Uno distat*. Qui enim plurium *rerum est* auctor, propinquior est illi, qui omnia producit. Qui vero pauciorum *est auctor, ille ab illo, qui omnia producit est* remotior. Et ille quidem, qui plurium est auctor, est universalior; qui vero pauciorum, est particularior. Et uterque quidem est Unitas. Sed alter quidem *est* potestate major, alter vero potestate minor. Et particulariores *dii* generantur ab universalioribus, quamvis illi neque dividantur in partes (sunt enim Unitates), neque alterentur *neque mutentur* (sunt enim immobiles *ac immoti*), neque affectione multiplicentur (sunt enim expertes mixtionis); sed ex se ipsis secundos progressus procreent, propter potestatis abundantiam, inferiores illis qui sunt ante ipsos.

CXXVII. Omne Divinum, *quoniam est* simplex, est maxime primo, et propterea est sibi ipsum sufficientissimum. Quod autem *sit* simplex, ex ipsa Unitione perspicuum *est*. Est enim totum singularissimum *et maxime unicum*. Quod autem est hujusmodi, est insigniter simplex.

Quod autem sit sibi ipsum sufficientissimum, hoc quivis cognoscat, si consideret, quod ipsum quidem compositum indigens est (*indiget*), si non etiam reliquis extra quæ exsistit, at illis saltem, ex quibus compositum est.

Quod vero simplicissimum est et singulare, et quod in ipso Bono idem est, *et* antistat, est sibi ipsum sufficientissimum. Hujusmodi vero est omne Divinum. Neque igitur reliquis indiget, quoniam est ipsa Bonitas (*vel per se exsistens Bonitas*), neque iis ex quibus compositum est, quoniam est singulare.

CXXVIII. Omnis Deus, a propinquioribus quidem participatus, immediate participatur, a remotioribus vero *participatus*, per quædam media vel pauciora vel plura *participatur*. Nam alia quidem, cum propter cognationem sint uniformia et per se exsistentia, statim ipsas divinas Unitates participare possunt. Quæ vero *sunt* per remissionem et extensionem, *quæ fit* in multitudinem, aliis indigent magis unitis, ut participent ipsas per se Unitates exsistentes, at non unitas.

Nam inter per se Unitatem et divisam multitudinem est ipsa unita multitudo, quæ quidem nasci simul potest cum Unitate propter Unitionem, cognata vero quodammodo est etiam divisæ multitudini, propter ipsam multitudinis manifestam significationem.

CXXIX. Omne quidem corpus divinum per animam deificatam est divinum. Omnis vero anima *est* divina propter mentem divinam. Omnis vero Mens divina secundum Unitatis divinæ communionem.

Et Unitas quidem *est* statim Deus (*vel*, per se Deus). Mens vero est *quiddam* divinissimum. Anima vero, divina. Corpus vero, Deo simile. Quamvis enim omnis deorum numerus supra Mentem sit, ipsæ tamen *participationes et* communicationes per cognata et similia perficiuntur. Indivisa quidem essentia primo participabit superessentiales Unitates.

Secundo vero, illa *essentia* quæ generationem attingit. Tertio vero, ipsa generatio. Et singula per proxime superiora *progrediuntur*. Et progreditur quidem usque ad ultima in iis quæ participant *divinam naturam*, ipsa

μετέχουσιν ἡ τῶν θεῶν ἰδιότης, διὰ μέσων δὲ τῶν πρὸς ἑαυτὴν συγγενῶν.

Ἡ γὰρ ἑνὰς πρώτῳ μὲν τῷ νῷ δίδωσι τὴν ἑαυτῆς ἐξαίρετον ἐν τοῖς θείοις δύναμιν, καὶ ἀποτελεῖ κἀκεῖνον τοιοῦτον νοῦν, οἵα ἐστὶ καὶ αὐτὴ κατὰ τὸ ἑνιαῖον πλῆθος· διὰ δὲ νοῦ καὶ ψυχῇ πάρεστι, συνεξάπτουσα κἀκείνην τῷ νῷ καὶ συνεκπυροῦσα, εἰ ὁ νοῦς οὕτως εἴη μεθεκτός.

Διὰ δὲ ψυχῆς ἀπήχημα τῆς οἰκείας ἰδιότητος καὶ τῷ σώματι δίδωσιν, εἰ μετέχοι τι σῶμα ψυχῆς. Καὶ οὕτω γίνεται τὸ σῶμα οὐ μόνον ἔμψυχον καὶ νοερὸν, ἀλλὰ καὶ θεῖον, ζωὴν μὲν καὶ κίνησιν λαβὸν παρὰ ψυχῆς, διαμονὴν δὲ ἄλυτον ἀπὸ νοῦ, ἕνωσιν δὲ θείαν ἀπὸ τῆς μετεχομένης ἑνάδος· ἕκαστον γὰρ τῆς ἑαυτοῦ ὑπάρξεως μεταδίδωσι τοῖς ἐφεξῆς.

ΡΛʹ. Πάσης θείας τάξεως τὰ πρῶτα μειζόνως ἐξήρηται τῶν προσεχῶς ὑπ' αὐτὰ τεταγμένων, ἢ ταῦτα τῶν ἐφεξῆς, καὶ μειζόνως ἐξέχεται τὰ δεύτερα τῶν προσεχῶς ὑπερκειμένων, ἢ τούτων τὰ μετὰ ταῦτα· ὅσῳ μὲν γὰρ ἑνικώτερον ἤ τι καὶ ὁλικώτερον, τοσούτῳ καὶ τὴν ὑπεροχὴν ἔλαχε μείζονα πρὸς τὰ ἐφεξῆς.

Ὅσῳ δ' ἂν ὑφειμένον κατὰ τὴν δύναμιν, τοσούτῳ μᾶλλόν ἐστι τοῖς μετ' αὐτὸ συμφυέστερον· καὶ τὰ μὲν ὑψηλότερα μᾶλλον ἑνίζεται τοῖς ἑαυτῶν αἰτιωτέροις, τὰ δὲ καταδεέστερα ἧττον.

Δυνάμεως γάρ ἐστι μείζονος τὸ μᾶλλον ἐξῃρῆσθαι τῶν ὑφειμένων, καὶ μᾶλλον ἡνῶσθαι τοῖς κρείττοσιν, ὥσπερ αὖ ἔμπαλιν τὸ τῶν μὲν ἀφίστασθαι μᾶλλον, τοῖς δὲ συμπάσχειν, ἐλαττουμένης ἐστὶ δυνάμεως· ὃ δὴ συμβαίνει τοῖς δευτέροις καθ' ἑκάστην τάξιν, ἀλλ' οὐ τοῖς πρώτοις.

ΡΛΑʹ. Πᾶς θεὸς ἀφ' ἑαυτοῦ τῆς οἰκείας ἐνεργείας ἄρχεται· τὴν γὰρ ἰδιότητα τῆς εἰς τὰ δεύτερα παρουσίας ἐν ἑαυτῷ πρῶτον ἐπιδείκνυσι. Διότι δὴ καὶ τοῖς ἄλλοις ἑαυτοῦ μεταδίδωσι, κατὰ τὸ ὑπέρπληρες ἑαυτοῦ· οὔτε γὰρ τὸ ἐλλεῖπον οἰκεῖον τοῖς θεοῖς, οὔτε τὸ πλῆρες μόνον. Τὸ μὲν γὰρ ἐλλεῖπον πᾶν ἀτελὲς ὑπάρχει, καὶ ἄλλο τέλειον ποιεῖν, αὐτὸ μὴ τέλειον ὑπάρχον, ἀμήχανον. Τὸ δὲ πλῆρες αὔταρκες μὲν, οὔπω δὲ εἰς μετάδοσιν ἕτοιμον.

Ὑπέρπληρες ἄρα εἶναι δεῖ τὸ πληρωτικὸν ἄλλων καὶ εἰς ἄλλα διατεῖνον τὰς ἑαυτοῦ χορηγίας. Εἰ οὖν τὸ θεῖον ἅπαντα ἀφ' ἑαυτοῦ πληροῖ τῶν ἀγαθῶν τῶν ἐν ἑαυτῷ, ἕκαστον ὑπέρπληρές ἐστιν· εἰ δὲ τοῦτο, ἐν ἑαυτῷ πρώτῳ τὴν ἰδιότητα ἱδρυσάμενον, ᾗ δίδωσι τοῖς ἄλλοις, οὕτω δὴ κἀκείνοις ἐπορέγει τὰς μεταδόσεις τῆς ὑπερπλήρους ἀγαθότητος.

ΡΛΒʹ. Πᾶσαι τῶν θεῶν αἱ τάξεις μεσότητι συνδέδενται. Καὶ γὰρ πᾶσαι τῶν ὄντων αἱ πρόοδοι διὰ τῶν ὁμοίων ἀποτελοῦνται, καὶ πολλῷ δὴ μᾶλλον αἱ τῶν θεῶν διακοσμήσεις ἀδιάλυτον κέκτηνται τὴν συνέχειαν, ἅτε ἑνοειδῶς ὑφεστηκυῖαι, καὶ κατὰ τὸ ἓν ἀφωρισμέναι, τὸ ἀρχηγικὸν αὐτῶν αἴτιον. Ἡνωμένως οὖν αἱ ὑφέσεις γίνονται καὶ μειζόνως ἢ κατὰ τὴν ἐν

Deorum proprietas, per media vero illa quæ ipsi sunt cognata.

Unitas enim primæ quidem Menti dat suam eximiam in *rebus* divinis facultatem, et perficit etiam illam Mentem talem, qualis est et ipsa in singulari multitudine. Per Mentem vero etiam animæ adest, illam quoque (*animam*) simul accendens cum ipsa Mente et simul inflammans, si Mens ad hunc modum fuerit participabilis.

Per animam vero *quasi dicas* extremum sonum *et extremum resonantiam* etiam ipsi corpori suam proprietatem impertit, si corpus animæ particeps aliquo modo fuerit. Sic autem corpus fit non solum animatum et intellectuale, sed etiam divinum, cum vitam quidem et motum accipiat ab anima, permansionem vero indissolubilem a Mente, unionem denique divinam ab Unitate, quæ participatur. Quidlibet enim suam substantiam sequentibus impertit.

CXXX. In omni divino ordine ea quæ prima sunt, magis exempla sunt ex iis quæ proxime sub ipsis collocata sunt, quam hæc ex sequentibus, et ea quæ sunt secunda, magis pendent ex proxime superioribus, quam ex istis ea quæ sunt post ista. Quo enim aliquid singularius et universalius fuerit, eo etiam majorem excellentiam sortitum est ad sequentia.

Quo vero summissius ipsa potestate *fuerit*, *et quo viribus infirmius*, eo magis est cognatione conjunctum cum iis quæ sunt post ipsum. Et sublimiora quidem magis uniuntur cum suis principalioribus causis; inferiora vero minus *cum ipsis superioribus cognatione conjunguntur*.

Majoris enim est potentiæ magis exemptum esse ex summissis (*subjectis et inferioribus*), *et* magis unitum esse cum *superioribus et* præstantioribus; ut etiam contra ipsum ab his quidem *præstantioribus* magis recedere, cum his vero *deterioribus* simul pati *aliquid*, est imminutio potentiæ. Quod profecto accidit secundis in unoquoque ordine, sed non primis.

CXXXI. Omnis Deus a semetipso propriæ actionis initium ducit. Proprietatem enim *suæ* præsentiæ, *quam exserit* in secunda, in se ipso primum prodit. Quamobrem etiam aliis se ipsum impertit, secundum sui ipsius exsuperantem plenitudinem. Neque enim defectus conveniens *est* diis, neque plenitudo tantum. Nam omne quidem defectum est imperfectum, et fieri nullo modo potest, ut illud quod est imperfectum, aliud perfectum faciat. Quod vero plenum *est*, *illud est* quidem sibi ipsum sufficiens, nondum vero paratum ad communicationem *sui cum aliis*.

Quod igitur alia replet, et suas suppeditationes (*res quas aliis suppeditat*) in alia *diffundit et* extendit, supra modum plenum esse oportet. Si igitur illud, quod est divinum, omnia per se replet bonis, quæ in se *continet*, *ergo eorum, quæ divina sunt*, unumquodque per exsuperationem plenum est. Si vero hoc *est*, postea quam in se ipso primo proprietatem collocavit, qua dat reliqua, tum demum etiam illis porrigit communicationes (*res quas cum aliis communicat*) per exsuperationem plenæ Bonitatis.

CXXXII. Omnes Deorum ordines medietate conjunguntur (*i. e. medio quodam constringuntur*). Etenim omnes Entium progressus per similia perficiuntur, et multo magis ipsi Deorum ordines indissolubilem possident cohærentiam, utpote qui uniformiter subsistunt et definiti sunt secundum Unum, principalem ipsorum causam. Unite igitur remissiones fiunt, et majorem in modum quam pro sin-

τοῖς οὖσι τῶν δευτέρων πρὸς τὰ πρῶτα ὁμοιότητα· ὅσῳ δὴ καὶ ἡ τῶν θεῶν ὕπαρξις ἐν τῷ ἡνῶσθαι τῶν ὄντων μᾶλλον ὑφέστηκεν.

Πάντα οὖν τὰ θεῖα γένη συνδέδεται ταῖς οἰκείαις μεσότησι, καὶ οὐκ ἀμέσως ἐπὶ τὰς διαφερούσας πάντη προόδους χωρεῖ τὰ πρῶτα, ἀλλὰ διὰ τῶν ἑκατέροις κοινῶν γενῶν, ἀφ' ὧν τε πρόεισι, καὶ ὧν ἐστιν ἀμέσως αἴτια. Ταῦτα γὰρ συνάγει τὰ ἄκρα κατὰ μίαν ἕνωσιν, τοῖς μὲν ὑπεστρωμένα συμφυῶς, τῶν δὲ ἐξῃρημένα προσεχῶς, καὶ τὴν εὔτακτον διαφυλάττει τῶν θείων ἀπογέννησιν.

ΡΑΓ'. Πᾶς μὲν θεὸς ἑνάς ἐστιν ἀγαθουργὸς, ἢ ἀγαθότης ἑνοποιὸς, καὶ ταύτην ἔχει τὴν ὕπαρξιν, καθόσον ἕκαστος θεός· ἀλλ' ὁ μὲν πρώτιστος ἁπλῶς τἀγαθὸν καὶ ἁπλῶς ἕν· τῶν δὲ μετὰ τὸν πρῶτον ἕκαστος τὶς ἀγαθότης ἐστὶ καὶ τὶς ἑνάς. Ἡ γὰρ ἰδιότης ἡ θεία διέστησε τὰς ἑνάδας καὶ ἀγαθότητας τῶν θεῶν, ὥστε ἕκαστον κατά τι τῆς ἀγαθότητος ἰδίωμα πάντα ἀγαθύνειν, οἷον τελεσιουργεῖν, ἢ συνέχειν, ἢ φρουρεῖν.

Τούτων γὰρ ἕκαστον τὶ ἀγαθόν ἐστιν, ἀλλ' οὐ πᾶν τὸ ἀγαθόν· τὴν δὲ ἑνιαίαν αἰτίαν τὸ πρῶτον προεστήσατο. Διὸ καὶ τἀγαθόν ἐστιν ἐκεῖνο, ὡς πάσης ἀγαθότητος ὑποστατικόν· οὐ γὰρ αἱ πᾶσαι τῶν θεῶν ὑπάρξεις ἅμα παρισοῦνται τῷ ἑνί· τοσαύτην ἐκεῖνο πρὸς τὸ πλῆθος τῶν θεῶν ἔλαχεν ὑπερβολήν.

ΡΛΔ'. Πᾶς θεῖος νοῦς νοεῖ μὲν, ὡς νοῦς, προνοεῖ δὲ, ὡς θεός. Τοῦ μὲν γὰρ νοῦ τὸ γινώσκειν τὰ ὄντα, καὶ ἐν νοήσεσιν ἔχειν τὸ τέλειον, ἐξαίρετόν ἐστι· τοῦ δὲ θεοῦ τὸ προνοεῖν, καὶ ἀγαθῶν πάντα πληροῦν.

Ἡ δὲ μετάδοσις αὕτη καὶ ἡ πλήρωσις δι' ἕνωσιν γίνεται τῶν πληρούντων πρὸς τὰ πρὸ αὐτῶν· ἣν καὶ ὁ νοῦς μιμούμενος εἰς ταὐτὸν ἔρχεται τοῖς νοητοῖς.

Ἡ οὖν προνοεῖ, θεός, ἐν τῇ πρὸ νοῦ ἐνεργείᾳ τῆς προνοίας ἱσταμένης. Διὸ καὶ πᾶσι μὲν ἑαυτοῦ μεταδίδωσιν, ὡς θεοῦ, οὐ πᾶσι δὲ πάρεστιν, ὡς νοῦς.

Καὶ γὰρ ἐφ' ἃ τὸ νοερὸν ἰδίωμα μὴ πρόεισιν, ἐπὶ ταῦτα φθάνει τὸ θεῖον. Καὶ γὰρ τὰ μὴ νοοῦντα προνοεῖσθαι βούλεται, καὶ ἀγαθοῦ τινος μεταλαγχάνειν· τοῦτο δὲ, διότι νοῦ μὲν οὐ πάντα ἐφίεται, οὐδὲ οἷς μετασχεῖν δυνατόν· τοῦ δὲ ἀγαθοῦ πάντα ἐφίεται καὶ σπεύδει τυχεῖν.

ΡΛΕ'. Πᾶσα θεία ἑνὰς ὑφ' ἑνός τινος μετέχεται τῶν ὄντων ἀμέσως, καὶ πᾶν τὸ ἐκθεούμενον εἰς μίαν ἑνάδα θείαν ἀνατείνεται· καὶ ὅσαι αἱ μετεχόμεναι ἑνάδες, τοσαῦτα καὶ τὰ μετέχοντα γένη τῶν ὄντων· οὔτε γὰρ δύο ἢ πλείους ἑνάδες ὑφ' ἑνὸς μετέχονται.

Πῶς γὰρ, τῶν ἐν αὐταῖς ἰδιοτήτων ἐξηλλαγμένων, οὐχὶ καὶ τὸ ἑκάστῃ συμφυόμενον ἐξήλλακται, δι' ὁμοιότητος τῆς συναφῆς γενομένης;

Οὔτε μία ἑνὰς ὑπὸ πλειόνων μετέχεται διῃρημένως· ἀσύναπτα γὰρ τὰ πολλὰ ὄντα τῇ ἑνάδι, καὶ ὡς ὄντα τῇ πρὸ τῶν ὄντων, καὶ ὡς πολλὰ ἑνάδι.

similitudine secundorum cum Primis in Entibus *apparente*; quanto magis etiam Deorum quoque substantia in uniendis Entibus substitit.

Omnia igitur divina genera per suas medietates sunt conjuncta (*per sua media conjunguntur*), et non immediate ad omnino differentes progressus eunt ipsa prima, sed per genera utrisque communia, a quibus et progrediuntur, et quorum immediate sunt causæ. Hæc enim ipsas extremitates in unam Unitatem cogunt, quæ aliis quidem per naturæ cognationem sunt substratæ *et subjectæ*, ex aliis vero proxime sunt exemptæ, et bene compositam ac *ordinatam* rerum divinarum procreationem *atque progeniem* conservant.

CXXXIII. Omnis quidem Deus est Unitas benefica vel Bonitas unifica, et istam habet substantiam, quatenus unusquisque Deus *est*. Sed primus quidem simpliciter *est* Bonum, et simpliciter Unum; unusquisque vero eorum, qui sunt post illum primum *Deum*, est quædam Bonitas et quædam Unitas. Nam divina proprietas Unitates et Bonitates deorum distinguit ita, ut unusquisque *deorum* per aliquam Bonitatis proprietatem omnia bona faciat, *et* quodammodo perficiat (*ad perfectionem perducat*), vel contineat, vel custodiat.

Horum enim unumquodque est aliquod Bonum, sed non omne Bonum. Illud vero, quod est primum, unicam *et singularem* causam præposuit. Quamobrem etiam illud est Bonum, utpote quod omnem Bonitatem fundat *atque constituit*. Non enim omnes Deorum substantiæ simul Uni exæquantur. Tantam illud *Primum* superlationem *et excellentiam* sortitum est ad Deorum multitudinem.

CXXXIV. Omnis divina Mens cognoscit quidem, ut Mens, præcognoscit vero, ut Deus. Nam Mentis quidem *munus* est eximium Entia cognoscere, et in notionibus *ac intelligentiis* habere ipsam perfectionem; ipsius vero Dei *munus*, providere (*sua providentia omnia moderari*) et bonis omnia replere.

Hæc autem communicatio *bonorum* et ista repletio per Unionem fit per adunationem implentium cum iis quæ sunt ante ipsos *implentes*. Quam *unitionem* et ipsa Mens imitans, in idem venit cum ipsis mente perceptis (*intelligibilibus*).

Quatenus igitur providet, *et mente præcognoscit*, *eatenus est* Deus, quia providentia consistit in illa actione, quæ est ante Mentem. Quare etiam omnibus quidem se ipsum impertit, ut Deum, non omnibus tamen adest, ut Mens.

Etenim ad quæ intellectualis proprietas non progreditur, ad illa numen divinum actus pervenit. Etenim ea quæ non mente percipiunt, providere cupiunt, et aliquod bonum participare *student*. Hoc autem *fit*, quia Mentem quidem non omnia expetunt, ne illa quidem, quæ *Mentem* participare possunt; ipsum vero *Bonum* omnia expetunt et assequi properant.

CXXXV. Omnis divina Unitas ab Entium aliquo participatur immediate, et omne quod deificatur, ad unam Unitatem divinam contendit (*dirigitur ac refertur*). Et quot *sunt* Unitates, quæ participantur, tot etiam *sunt* ipsa genera quæ participant Entia. Non enim duæ vel plures Unitates ab Uno participantur.

Quomodo enim, cum proprietates, quæ sunt in ipsis *Unitatibus*, sint immutatæ, non etiam immutatur illud quod cum unaquaque *Unitate* simul nascitur, cum ipsa conjunctio per similitudinem fiat?

Neque una Unitas a pluribus participatur divisim (*dividue, partite*). Nam multa Entia cum Unitate non conjunguntur, et quatenus sunt Entia, quæ *conjunguntur* cum illa *Unitate*, quæ est ante ipsa Entia, et quatenus multa cum Unitate *conjunguntur*.

Δεῖ δὲ τὸ μετέχον πῇ [μὲν] ὅμοιον εἶναι τῷ μετεχομένῳ, πῇ δὲ ἕτερον καὶ ἀνόμοιον. Ἐπεὶ οὖν τὸ μετέχον τῶν ὄντων τί ἐστιν, ἡ δὲ ἑνὰς ὑπερούσιος, καὶ κατὰ τοῦτο ἀνωμοίωνται· ἓν ἄρα εἶναι χρὴ τὸ μετέχον, ἵνα καὶ κατὰ τοῦτο ὅμοιον ᾖ τῷ μετεχομένῳ ἑνί, εἰ καὶ τὸ μὲν οὕτως ἕν, ὡς ἑνάς, τὸ δέ, ὡς πεπονθὸς τὸ ἓν καὶ ἡνωμένον, διὰ τὴν ἐκείνης μέθεξιν.

ΡΛϚʹ. Πᾶς θεὸς ὁλικώτερος μὲν ὑπάρχων, καὶ ἐγγυτέρω τοῦ πρώτου τεταγμένος, ὑπὸ ὁλικωτέρου γένους τῶν ὄντων μετέχεται· μερικώτερος δέ, καὶ πορρώτερον, ὑπὸ μερικωτέρου· καὶ ὡς τὸ ὂν πρὸς τὸ ὄν, οὕτως ἡ ἑνὰς πρὸς τὴν ἑνάδα τὴν θείαν.

Εἰ γὰρ ὅσα τὰ ὄντα, τοσαῦται καὶ αἱ ἑνάδες, καὶ ἔμπαλιν, μιᾶς ὑφ᾽ ἑνὸς μετεχομένης, δῆλον δή, ὅτι κατὰ τὴν τῶν ἑνάδων τάξιν ἡ τῶν ὄντων πρόεισι τάξις, ὁμοιουμένη τῇ πρὸ αὐτῆς.

Καὶ ταῖς μὲν ὁλικωτέραις τὰ ὁλικώτερα συμφύεται, ταῖς δὲ μερικωτέραις ἑνάσι τὰ μερικώτερα ὄντα· εἰ γὰρ μή, πάλιν τὰ ἀνόμοια τοῖς ἀνομοίοις συνάψει, καὶ ἡ κατ᾽ ἀξίαν διανομὴ οὐκ ἔσται. Ταῦτα δὲ ἀδύνατα· εἴπερ καὶ τοῖς ἄλλοις ἅπασι τὸ ἓν καὶ τὸ οἰκεῖον μέτρον ἐκεῖθεν ἐπιλάμπεται, καὶ ἀπ᾽ ἐκείνων ἐφήκει. Πολλῷ δὴ οὖν μᾶλλον ἐν αὐτοῖς τάξις ἔσται τῆς μεθέξεως, τὰ ὅμοια κατὰ τὴν δύναμιν τῶν ὁμοίων ἐξάπτουσα.

ΡΛΖʹ. Πᾶσα ἑνὰς συνυφίστησι τῷ ἑνὶ τὸ μετέχον αὐτῆς ὄν. Τὸ μὲν γὰρ ἕν, ὡς πάντων ἐστὶν ὑποστατικόν, οὕτω καὶ τῶν ἑνάδων τῶν μετεχομένων καὶ τῶν ὄντων τῶν εἰς τὰς ἑνάδας ἀνηρτημένων αἴτιον· τὸ δὲ ἐξ ἑκάστης ἐξημμένον ἡ ἑνὰς ἡ εἰς αὐτὰ ἐλλάμπουσα παράγει ἁπλῶς μὲν εἶναι, τοῦ ἑνὸς ποιοῦντος· τὸ δὲ συμφυὲς εἶναι, τῆς ἑνάδος ἀπεργαζομένης, ᾗ ἐστι συμφυές. Αὕτη οὖν ἐστιν ἡ καθ᾽ ἑαυτὴν ἀφορίζουσα τὸ μετέχον αὐτῆς ὄν, καὶ τὴν ἰδιότητα τὴν ὑπερούσιον ἐν αὐτῷ δεικνύουσα οὐσιωδῶς. Ἐκ γὰρ τοῦ πρώτως πανταχοῦ τὸ δευτέρως ὑπάρχει τὸ εἶναι τοῦτο, ὅ ἐστιν. Ἥτις οὖν ἐστι τῆς θεότητος ὑπερούσιος ἰδιότης, αὕτη καὶ τοῦ ὄντος ἐστὶ τοῦ μετέχοντος αὐτῆς οὐσιωδῶς.

ΡΛΗʹ. Πάντων τῶν μετεχόντων τῆς θείας ἰδιότητος, καὶ ἐκθεουμένων, πρώτιστόν ἐστι καὶ ἀκρότατον τὸ ὄν.

Εἰ γὰρ καὶ τοῦ νοῦ καὶ τῆς ζωῆς ἐπέκεινα τὸ ὄν, ὡς δέδεικται, εἴπερ πλείστων τοῦτο, μετὰ τὸ ἕν, αἴτιον, ἀκρότατον ἂν εἴη τὸ ὄν· τούτων μὲν γὰρ ἑνικώτερον, καὶ διὰ τοῦτο πάντως σεμνότερον· ἄλλο δὲ πρὸ αὐτοῦ οὐκ ἔστι πλὴν τοῦ ἑνός· πρὸ γὰρ τοῦ ἑνιαίου πλήθους τί ἄλλο, ἢ τὸ ἕν; πλῆθος δὲ ἑνιαῖον τὸ ὄν, ὡς ἐκ πέρατος ὂν καὶ ἀπείρου· καὶ ὅλως πρὸ τῆς οὐσίας τὸ ὑπερούσιον ὄν· ἐπεὶ καὶ ἐν ταῖς εἰς τὰ δεύτερα ἐλλάμψεσι μόνον τὸ ἓν ἐπέκεινα φθάνει τοῦ ὄντος· τὸ δὲ ὂν εὐθὺς κατὰ τὸ ἕν. Τὸ γὰρ δυνάμει ὄν, οὔπω δὲ ὄν, ἕν ἐστι κατὰ τὴν αὐτοῦ φύσιν· καὶ τὸ μετὰ τοῦτο ἤδη ἐνεργείᾳ ὄν· καὶ ἐν ταῖς ἀρχαῖς ἄρα τοῦ ὄντος ἐπέκεινα εὐθὺς τὸ μὴ ὄν, ὡς κρεῖττον τοῦ ὄντος, καὶ ἕν.

ΡΛΘʹ. Πάντα τὰ μετέχοντα τῶν θείων ἑνάδων, ἀρ-

Oportet autem illud quod participat *aliquid*, partim *quidem* simile esse illi, quod participatur, partim vero diversum et dissimile. Quoniam igitur id quod *aliquid* participat, est aliquid ex Entium numero, ipsa vero Unitas *est* superessentialis, et propterea *hæc inter se* sunt dissimilia; unum igitur oportet esse id quod participat *aliquid*, ut etiam propter hoc *ipsum* simile sit ipsi Uni, quod participatur, quamvis alterum quidem, quod est ita Unum, sit ut Unitas, alterum vero sit ut illud quod passum est ipsum Unum et Unitum, propter illius *Unitatis* communicationem.

CXXXVI. Omnis Deus universalior quidem existens, et collocatus propius illum primum *Deum*, ab universaliore Entium genere participatur; ille vero qui est particularior et *ab illo primo Deo* remotior, a particulariore *participatur*; et ut Ens ad Ens *refertur*, sic Unitas ad illam Unitatem divinam *refertur et contendit*.

Si enim quot *sunt* Entia, tot etiam *sunt* Unitates, et vice versa, cum una *Unitas* ab uno participatur, perspicuum jam *est*, quod secundum Unitatum ordinem ipse Entium ordo progreditur, assimilatus illi *ordini*, qui est ante ipsum.

Et cum universalioribus quidem *Unitatibus* ea quæ sunt universaliora nascuntur *et cohærent*, cum particularioribus vero Unitatibus particulariora Entia *cohærent*. Si enim non *ita fiat*, rursus dissimilia cum dissimilibus conjungentur, et secundum dignitatem distributio non erit. Hæc autem impossibilia *sunt*: siquidem et aliis omnibus ipsum Unum et propria mensura illinc illucescit, et ab illis *ad alia* pervenit. Multo igitur magis in ipsis erit ordo communicationis, similia secundum facultatem similium accendens (*vel* similia ex similium facultate suspendens).

CXXXVII. Omnis Unitas una cum Uno constituit Ens, quod participat ipsam. Nam ipsum quidem Unum, ut omnium est fundatrix causa, sic etiam Unitatum, quæ participantur, et Entium ad unitates annexorum causa est. Quod vero ex unaquaque *Unitate* pendet id Unitas, quæ in ipsum illucet, producit *hactenus*, ut simpliciter existat, Uno faciente; ut vero cognatum sit, Unitate efficiente, cui est cognatum quid. Hæc igitur *Unitas* est illa quæ per se ipsam definit ipsum Ens, quod ipsam participat, et quæ proprietatem superessentialem in se demonstrat essentialiter. Ex eo enim, quod est ubique primo, ipsum, quod est secundo, suppetit, ut illud sit, quod est. Quæcumque igitur est ipsius Deitatis superessentialis proprietas, hæc est et ipsius Entis, quod ipsam essentialiter participat.

CXXXVIII. Omnium quæ divinam proprietatem participant, *et* quæ deificantur, primum est et summum ipsum Ens.

Si enim ipsum Ens est supra Mentem et Vitam, ut demonstratum est; siquidem plurimorum hoc (*Ens*) post ipsum Unum *est* causa, summum erit ipsum Ens. His enim singularius, et propterea præstantius *est* augustius. Aliud vero ante ipsum *Ens* non est præter ipsum Unum. Nam ante unitariam multitudinem quid aliud *est*, quam ipsum Unum? Multitudo vero unitaria *est* ipsum Ens, ut id quod ex fine constat et infinito. Et in universum ante ipsam essentiam *est* illud Ens superessentiale. Quoniam et in illis illuminationibus, *quæ fiunt* in secundis *naturis*, solum ipsum Unum statim est supra ipsum Ens; ipsum vero Ens *est* statim post ipsum Unum. Quod enim *est* potestate Ens, nondum vero *actu* Ens, *id* Unum est per suam naturam; et illud Ens, quod *est* post hoc *Unum*, jam actu *est Ens*. Ergo et in ipsis principiis illud quod non *est* Ens, statim *est* supra id quod est Ens, ut ipso Ente præstantius, et Unum *existens*.

CXXXIX. Omnia quæ participant divinas Unitates,

χόμενα ἀπὸ τοῦ ὄντος, εἰς τὴν σωματικὴν τελευτᾷ φύσιν· τὸ γὰρ πρῶτόν ἐστι τῶν μετεχόντων τὸ ὄν, ἔσχατον δὲ τὸ σῶμα· καὶ γὰρ σώματα θεῖα εἶναί φαμεν.

Πάντων γὰρ τῶν γενῶν τὰ ἀκρότατα τοῖς θεοῖς ἀνεῖται, σωμάτων, ψυχῶν, νόων, ἵνα ἐν πάσῃ τάξει τὰ τοῖς θεοῖς ἀναλογοῦντα συνεκτικὰ καὶ σωστικὰ τῶν δευτέρων ὑπάρχῃ, καὶ ἕκαστος ἀριθμὸς ὅλος ᾖ κατὰ τὸ ἐν μέρει ὅλον, ἔχων ἐν ἑαυτῷ πάντα, καὶ πρὸ τῶν ἄλλων τὴν θείαν ἰδιότητα.

Ἔστιν οὖν καὶ σωματικῶς καὶ ψυχικῶς καὶ νοερῶς τὸ θεῖον γένος· καὶ δῆλον ὅτι πάντα ταῦτα θεῖα κατὰ μέθεξιν. Τὸ γὰρ πρώτως θεῖον ἐν ταῖς ἑνάσιν ὑφέστηκε. Τὰ ἄρα μετέχοντα τῶν θείων ἑνάδων ἄρχεται μὲν ἀπὸ τοῦ ὄντος, λήγει δὲ εἰς τὴν σωματικὴν φύσιν.

ΡΜʹ. Πᾶσαι τῶν θείων αἱ δυνάμεις, ἄνωθεν ἀρχόμεναι, καὶ διὰ τῶν οἰκείων προϊοῦσαι μεσοτήτων, μέχρι τῶν ἐσχάτων καθήκουσι καὶ τῶν περὶ γῆν τόπων· οὔτε γὰρ ἐκείνας διείργει τι καὶ ἀποκωλύει τῆς εἰς πάντα παρουσίας· οὐδὲν γὰρ δέονται τόπων καὶ διαστάσεων, διὰ τὴν ἄσχετον πρὸς πάντα ὑπεροχὴν καὶ τὴν ἄμικτον πανταχοῦ παρουσίαν· οὔτε τὸ μετέχειν αὐτῶν ἐπιτήδειον κωλύεται τῆς μεθέξεως.

Ἀλλ' ἅμα τέ τι πρὸς τὴν μετουσίαν ἕτοιμον γίνεται, κἀκεῖναι πάρεισιν, οὔτε τότε παραγενόμεναι, οὔτε πρότερον ἀποῦσαι, ἀλλ' ἀεὶ ὡσαύτως ἔχουσαι. Ἐὰν οὖν τι τῶν περὶ γῆν ἐπιτήδειον ᾖ μετέχειν, καὶ τούτῳ πάρεισι, καὶ πάντα πεπληρώκασιν ἑαυτῶν, καὶ τοῖς μὲν ὑπερτέροις μειζόνως πάρεισι, τοῖς δὲ μέσοις κατὰ τὴν αὐτῶν τάξιν, τοῖς δὲ ἐσχάτοις ἐσχάτως. Ἄνωθεν οὖν μέχρι τῶν τελευταίων ἐκτείνουσιν ἑαυτάς· ὅθεν καὶ ἐν τούτοις εἰσὶ τῶν πρώτων ἐμφάσεις, καὶ συμπαθῆ πάντα πᾶσιν· ἐν μὲν τοῖς πρώτοις τῶν δευτέρων προϋπαρχόντων, ἐν δὲ τοῖς δευτέροις τῶν πρώτων ἐμφαινομένων. Τριχῶς ἦν ἕκαστον, ἢ κατ' αἰτίαν, ἢ καθ' ὕπαρξιν, ἢ κατὰ μέθεξιν.

ΡΜΑʹ. Πᾶσα πρόνοια θεῶν ἡ μὲν ἐξῃρημένη τῶν προνοουμένων ἐστίν, ἡ δὲ συντεταγμένη. Τὰ μὲν γὰρ κατὰ τὴν ὕπαρξιν καὶ τὴν τῆς τάξεως ἰδιότητα παντελῶς ὑπερήπλωται τῶν ἐλλαμπομένων.

Τὰ δὲ τῆς αὐτῆς ὄντα διακοσμήσεως προνοεῖ τῶν ὑφειμένων τῆς αὐτῆς συστοιχίας, μιμούμενα καὶ ταῦτα τὴν τῶν ἐξῃρημένων θεῶν προνοητικὴν ἐνέργειαν, καὶ πληροῦν ἐφιέμενα τὰ δεύτερα τῶν ἀγαθῶν, ὧν δύνανται.

ΡΜΒʹ. Πᾶσι μὲν οἱ θεοὶ πάρεισιν ὡσαύτως, οὐ πάντα δὲ ὡσαύτως τοῖς θεοῖς πάρεστιν· ἀλλ' ἕκαστα κατὰ τὴν ἑαυτῶν τάξιν τε καὶ δύναμιν μεταλαγχάνει τῆς ἐκείνων παρουσίας· τὰ μὲν ἑνοειδῶς, τὰ δὲ πεπληθυσμένως· καὶ τὰ μὲν ἀϊδίως, τὰ δὲ κατὰ χρόνον· καὶ τὰ μὲν ἀσωμάτως, τὰ δὲ σωματικῶς· ἀνάγκη γὰρ τὴν διάφορον μέθεξιν τῶν αὐτῶν ἢ παρὰ τὸ μετέχον γίνεσθαι διάφορον, ἢ παρὰ τὸ μετεχόμενον. Ἀλλὰ

initium ducunt ab ipso Ente, et desinunt in ipsam corpoream naturam. Nam ipsum Ens est primum eorum quae participant *divinas Unitates*; ipsum vero corpus *est* ultimum. Etenim corpora divina esse dicimus.

Omnium enim generum ea, quae summa sunt, diis attribuuntur, corporum, animarum, Mentium, ut in omni ordine ea quae diis conveniunt, secunda contineant et conservent, et unusquisque numerus integer sit, secundum illud Totum, quod in parte *continetur*, in se ipso continens omnia et ante alia divinam proprietatem.

Divinum igitur genus est et corporaliter et animaliter et intellectualiter (*et secundum corpus et secundum animam, et secundum intellectum*). Et perspicuum *est*, quod haec omnia divina *sunt* per communicationem *cum divina natura*. Quod enim est primo divinum, in ipsis Unitatibus subsistit. Quae igitur participant divinas Unitates, initium quidem ducunt ab ipso Ente, desinunt vero in corpoream naturam.

CXL. Omnes rerum divinarum potestates, quae superne ducunt initium, et quae per suas medietates (*per sua media*) progrediuntur, ad extremas usque *partes* perveniunt vel illorum locorum, quae sunt circa terram. Neque enim illas *potestates* quidquam dirimit et prohibet a praesentia, *qua feruntur* in omnia. Non enim indigent locis et intervallis, propter inviolatam in omnibus excellentiam et non mixtam ubique praesentiam. Neque illud, quod ad ipsas *potestates* participandas est aptum, ab *ipsarum* participatione prohibetur.

Sed et simul aliquid ad ipsarum participationem paratum est, et illae *statim* adsunt, neque tunc illae adfuerunt, neque prius abfuerunt; sed semper eodem modo fuerunt *et sunt*. Si quid igitur eorum quae sunt circa terram, aptum fuerit ad *ipsas* participandum, et huic adsunt *illae potestates*, et omnia se ipsis replent, et superioribus quidem magis adsunt, mediis vero secundum ipsorum ordinem, ultimis denique ultimo loco *adsunt*. A primis igitur ad ultima usque *potestates istae* se ipsas extendunt. Quamobrem etiam in his sunt primorum significationes, et omnia naturae cognatione consensuque cum omnibus conjuncta: cum in primis quidem secunda praeexsistunt, in secundis vero prima manifeste appareant. Nam unumquodque trifariam erat: vel per causam, vel per substantiam, vel per participationem.

CXLI. Omnis Deorum providentia *duplex est*: una quidem est exempta ex iis quibus providetur, altera vero cum *illis* collocata. Nam alia quidem per substantiam et ordinis proprietatem prorsus explicata sunt supra res illas quae collustrantur ac illuminantur.

Alia vero quae sunt ejusdem ordinis, provident subjectis quae sunt ejusdem conjugationis (*generis et ordinis*), haec et ipsa imitantia providam actionem exemptorum Deorum, *qui ab aliorum Entium ordine sunt exempti*, et cupientia replere secunda bonis, quibus *ea replere* possunt.

CXLII. Omnibus quidem Dii pariter adsunt, non omnia vero pariter ipsis Diis adsunt; sed singula secundum suum ordinem et facultatem illorum praesentiam participant; alia quidem uniformiter, alia vero multipliciter; et alia quidem ab aeterno *vel in aeternum*, alia vero secundum tempus *et in tempore*; et alia quidem sine corporis interventu (*q. d. incorporee*), alia vero corporee (*corporaliter*). Necesse enim *est* diversam eorundem participationem, vel propter ipsum participans esse diversam, vel propter illud quod participatur. Sed omne divinum semper eundem servat ordinem, et in omnibus est insupe-

τὸ θεῖον πᾶν καὶ τὴν αὐτὴν ἔχει τάξιν, καὶ ἄσχετόν ἐστι πρὸς πάντα καὶ ἄμικτον.

Παρὰ τὸ μετέχον ἄρα λείπεται τὴν ἐξαλλαγὴν ὑφίστασθαι, καὶ τὸ οὐχ ὡσαύτως ἐν τοῖς οὖσιν εἶναι, καὶ ταῦτα ἄλλοτε ἄλλως, καὶ ἄλλα ἄλλως παρεῖναι τοῖς θεοῖς· ὥστε πᾶσιν ἐκείνων ὡσαύτως παρόντων, τὰ πάντα οὐχ ὡσαύτως πάρεστιν ἐκείνοις, ἀλλ' ὡς ἕκαστα δύναται, πάρεστι, καὶ ὡς πάρεστιν, οὕτως ἐκείνων ἀπολαύει· κατὰ γὰρ τὸ μέτρον τῆς τούτων παρουσίας ἡ μέθεξις.

ΡΜΓ΄. Πάντα τὰ καταδεέστερα τῇ παρουσίᾳ τῶν θεῶν ὑπεξίσταται, κἂν ἐπιτήδειον ᾖ τὸ μετέχον· πᾶν μὲν τὸ ἀλλότριον τοῦ θείου φωτὸς ἐκποδὼν γίνεται· καταλάμπεται δὲ πάντα ἀθρόως ὑπὸ τῶν θεῶν. Ἀεὶ μὲν γὰρ τὰ θεῖα περιληπτικώτερα καὶ δυνατώτερα τῶν ἀπ' αὐτῶν προελθόντων· ἡ δὲ τῶν μετεχόντων ἀνεπιτηδειότης τῆς ἐκλείψεως τοῦ θείου αἰτία γίνεται· ἀμυδροῖ γὰρ κἀκείνην τῇ ἑαυτῆς ἀσθενείᾳ. Ἐκείνης δὲ ἀμυδρουμένης ἄλλο τι δοκεῖ τὴν ἐπικράτειαν μεταλαμβάνειν, οὐ κατὰ τὴν αὐτοῦ δύναμιν, ἀλλὰ κατὰ τὴν τοῦ μετέχοντος ἀδυναμίαν κατεξανίστασθαι δοκοῦν τοῦ θείου τῆς ἐλλάμψεως εἴδους.

ΡΜΔ΄. Πάντα τὰ ὄντα καὶ πᾶσαι τῶν ὄντων αἱ διακοσμήσεις ἐπὶ τοσοῦτον προεληλύθασιν, ἐφ' ὅσον καὶ αἱ τῶν θεῶν διατάξεις· καὶ γὰρ ἑαυτοῖς οἱ θεοὶ τὰ ὄντα συμπαρήγαγον, καὶ οὐδὲν οἷόν τε ἦν ὑποστῆναι καὶ μέτρου καὶ τάξεως τυχεῖν ἔξω τῶν θεῶν· καὶ γὰρ τελειοῦται πάντα κατὰ τὴν αὐτῶν δύναμιν, καὶ τάττεται, καὶ μετρεῖται παρὰ τῶν θεῶν. Καὶ πρὸ τῶν ἐσχάτων οὖν ἐν τοῖς οὖσι γενῶν προυπάρχουσιν οἱ καὶ ταῦτα κοσμοῦντες θεοὶ, καὶ διδόντες καὶ τούτοις ζωὴν καὶ εἰδοποιίαν καὶ τελειότητα, καὶ ἐπιστρέφοντες καὶ ταῦτα πρὸς τἀγαθὸν, καὶ πρὸ τῶν μέσων ὡσαύτως, καὶ πρὸ τῶν πρώτων, καὶ πάντα ἐνδέδεται καὶ ἐνεῤῥίζωται τοῖς θεοῖς, καὶ σώζεται διὰ ταύτην τὴν αἰτίαν. Ἀποστὰν δέ τι τῶν θεῶν, καὶ ἔρημον γενόμενον, παντελῶς εἰς τὸ μὴ ὂν ὑπεξίσταται, καὶ ἀφανίζεται τῶν συνεχόντων αὐτὸ πάντῃ στερόμενον.

ΡΜΕ΄. Πάσης θείας τάξεως ἰδιότης διὰ πάντων φοιτᾷ τῶν δευτέρων, καὶ δίδωσιν ἑαυτὴν ἅπασι τοῖς καταδεεστέροις γένεσιν. Εἰ γὰρ ἄχρι τοσούτων τὰ ὄντα πρόεισιν, ἕως οὗ καὶ τῶν θεῶν αἱ διακοσμήσεις προεληλύθασιν, ἐν ἑκάστοις γένεσίν ἐστιν ἡ τῶν θείων δυνάμεων ἰδιότης, ἄνωθεν ἐλλαμπομένη. Κομίζεται γὰρ ἕκαστον ἀπὸ τῆς οἰκείας προσεχοῦς αἰτίας τὴν ἰδιότητα, καθ' ἣν ἐκείνη τὴν ὑπόστασιν ἔλαχεν.

Λέγω δὲ οἷον εἴ τίς ἐστι θεότης καθαρτικὴ, καὶ ἐν ψυχαῖς ἐστι κάθαρσις, καὶ ἐν ζώοις, καὶ ἐν φυτοῖς, καὶ ἐν λίθοις. Καὶ εἴ τις φρουρητικὴ, ὡσαύτως, καὶ εἴ τις ἐπιστρεπτικὴ, καὶ εἰ τελεσιουργὸς, καὶ εἰ ζωοποιὸς, ὁμοίως. Καὶ ὁ μὲν λίθος μετέχει τῆς καθαρτικῆς δυνάμεως, σωματικῶς μόνον· τὸ δὲ φυτὸν, ἔτι τρανέστερον, κατὰ τὴν ζωήν· τὸ δὲ ζῶον ἔχει καὶ κατὰ τὴν ὁρμὴν τὸ εἶδος τοῦτο· ψυχὴ δὲ λογικὴ, λογικῶς· νοῦς δὲ,

stabile (*vel*, affectione liberum est erga omnia), et non mixtum (*i. e. nec ab ullo retineri coercerique potest, nec cum ullo misceri*).

Reliquum igitur est, ut propter ipsum participans haec immutatio *fiat atque* subsistat, et in Entibus sit illud, quod non eodem modo *semper est*, et haec alias aliter *se habent*, et alia aliter adsint ipsis Diis. Quare, quamvis illi *Dii* pariter omnibus adsint, omnia *tamen* non pariter illis adsunt, sed singula pro viribus, *et ut possunt*, *illis* adsunt, et ut adsunt, sic illis fruuntur. Nam ipsa participatio *sive communicatio fit* secundum mensuram horum praesentiae.

CXLIII. Omnia inferiora Deorum praesentiae deficiunt, quamvis ipsum participans aptum sit *ad participandam deorum praesentiam*. Omne quidem alienum a divina luce, procul ab ea recedit et amovetur. Omnia vero simul a Diis collustrantur *et illuminantur*. Semper enim divina rerum comprehendendarum majorem vim habent, et potentiora sunt rebus illis quae progressa sunt ab ipsis; ipsa vero participantium ineptitudo deficientis illuminationis numinis divini causa est; obscurat enim etiam illam sua infirmitate. Cum autem illa obscuratur, aliud quiddam videtur principatum facta mutatione sortiri; non secundum ipsius potestatem, sed secundum ipsius participantis imbecillitatem quod contra divinam illuminationis formam insurgere videtur.

CXLIV. Omnia Entia et omnes Entium ordines eo usque progrediuntur, quousque et ipsi Deorum ordines. Nam ipsi Dii secum Entia produxerunt, et nihil est quod possit subsistere et mensuram et ordinem consequi extra ipsos deos. Nam omnia perficiuntur per ipsorum potentiam, et disponuntur *et ordinantur* et mensurantur ab ipsis Diis. Ergo vel ante ultima genera, quae sunt in ipsis Entibus, praeexsistunt Dii, qui haec etiam ordinant, et dant etiam his vitam et formae fabricationem (*vel*, naturam formae procreatricem) et perfectionem, et convertunt *ac reducunt* haec etiam ad ipsum Bonum, et ante media pariter et ante prima, et omnia in ipsis Diis sunt colligata et *quasi* radicibus altius acta stabilita, et propter istam causam conservantur. Quidquid vero *recedit ac* deficit a Diis et deseritur, prorsus in illud quod non est mutatum deficit et deletur, illis qui continent ipsum, omnino privatum.

CXLV. Omnis divini ordinis proprietas per omnia secunda pervadit, et se ipsam dat *ac impertit* omnibus deterioribus *ac inferioribus* generibus. Si enim eo usque ipsa Entia progrediuntur, quousque etiam ipsi Deorum ordines progressi sunt, in singulis generibus est ipsa divinarum potestatum proprietas, superne illuminata. Unumquodque enim accipit a sua proxima causa proprietatem, per quam illa suam hypostasin *et naturam* est sortita.

Dico autem exempli gratia, si qua Deitas est purgandi vim habens (*vitiorum et peccatorum purgatrix et expiatrix*), *ergo* et in animabus et in animalibus et in plantis et in lapidibus est purgatio. Et si qua *Deitas est rerum custos*, pariter *et in supra dictis rebus est aliqua ipsarum divina custodia*. Et si qua convertendi vim habens, et si *qua* rerum perfectrix, et si vivifica, pariter *in his res accipienda*. Nam lapis quidem particeps est purgatricis facultatis corporaliter (*corpore*) tantum; planta vero multo dilucidius *particeps est purgatricis facultatis*, propter vitam; animal vero habet etiam secundum

νοερῶς, οἱ δὲ θεοί, ὑπερουσίως καὶ ἑνιαίως. Καὶ πᾶσα ἡ σειρὰ τὴν αὐτὴν ἔχει δύναμιν ἀπὸ μιᾶς τῆς θείας αἰτίας. Καὶ ἐπὶ τῶν λοιπῶν ὁ αὐτὸς λόγος· πάντα γὰρ ἐξῆπται τῶν θεῶν· καὶ τὰ μὲν ἐξ ἄλλων, τὰ δὲ ἐξ ἄλλων ἐλλάμπεται.

Καὶ αἱ σειραὶ μέχρι τῶν ἐσχάτων καθήκουσι. Καὶ τὰ μὲν ἀμέσως, τὰ δὲ διὰ μέσων πλειόνων, ἢ ἐλασσόνων, εἰς ἐκείνους ἀνήρτηται. Μεστὰ δὲ πάντα θεῶν, καὶ ὃ ἕκαστον ἔχει, κατὰ φύσιν, ἐκεῖθεν ἔχει.

ΡΜϚʹ. Πασῶν τῶν θείων προόδων τὰ τέλη πρὸς τὰς ἑαυτῶν ἀρχὰς ὁμοιοῦται, κύκλον ἄναρχον καὶ ἀτελεύτητον σώζοντα, διὰ τῆς πρὸς τὰς ἀρχὰς ἐπιστροφῆς. Εἰ γὰρ ἕκαστον τῶν προελθόντων ἐπιστρέφεται πρὸς τὴν οἰκείαν ἀρχήν, ἀφ' ἧς προελήλυθε, πολλῷ δήπου μᾶλλον αἱ ὅλαι τάξεις, ἀπὸ τῆς ἑαυτῶν ἀκρότητος προελθοῦσαι, πάλιν ἐπιστρέφονται πρὸς ἐκείνην.

Ἡ δὲ ἐπιστροφὴ τοῦ τέλους εἰς τὴν ἀρχὴν μίαν ἀπεργάζεται πᾶσαν, καὶ ὡρισμένην, καὶ εἰς ἑαυτὴν συννεύουσαν, καὶ ἐν τῷ πλήθει τὸ ἑνοειδὲς ἐπιδεικνυμένην διὰ τῆς συννεύσεως.

ΡΜΖʹ. Πάντων τῶν θείων διακόσμων τὰ ἀκρότατα τοῖς πέρασιν ὁμοιοῦται τῶν ὑπερκειμένων. Εἰ γὰρ δεῖ συνέχειαν εἶναι τῆς θείας προόδου, καὶ ταῖς οἰκείαις ἑκάστην τάξιν συνδεδέσθαι μεσότησιν, ἀνάγκη τὰς ἀκρότητας τῶν δευτέρων συνάπτειν ταῖς ἀποπερατώσεσι τῶν πρώτων· ἡ δὲ συναφὴ δι' ὁμοιότητος. Ὁμοιότης ἄρα ἔσται τῶν ἀρχῶν τῆς ὑφειμένης τάξεως πρὸς τὰ τέλη τῆς ὑπεριδρυμένης.

ΡΜΗʹ. Πᾶσα θεία τάξις ἑαυτῇ συνήνωται τριχῶς· ἀπό τε τῆς ἀκρότητος τῆς ἑαυτῆς καὶ ἀπὸ τῆς μεσότητος, καὶ ἀπὸ τοῦ τέλους. Ἡ μὲν γάρ, ἑνικωτάτην ἔχουσα δύναμιν, εἰς πᾶσαν αὐτὴν διαπέμπει τὴν ἕνωσιν, καὶ ἑνοῖ πᾶσαν ἄνωθεν, μένουσα ἐφ' ἑαυτῆς.

Ἡ δὲ μεσότης, ἐπ' ἄμφω τὰ ἄκρα διατείνουσα, συνδεῖ πᾶσαν περὶ ἑαυτήν· τῶν μὲν πρώτων διαπορθμεύουσα τὰς δόσεις, τῶν δὲ τελευταίων ἀνατείνουσα τὰς δυνάμεις, καὶ πᾶσι κοινωνίαν ἐντιθεῖσα καὶ σύνδεσιν πρὸς ἄλληλα.

Μία γὰρ οὕτως ἡ ὅλη γίνεται διάταξις ἔκ τε τῶν πληρούντων καὶ τῶν πληρουμένων, ὥσπερ εἴς τι κέντρον, εἰς τὴν μεσότητα συννευόντων. Ἡ δὲ ἀποπεράτωσις ἐπιστρέφουσα πάλιν εἰς τὴν ἀρχήν, καὶ τὰς προελθούσας ἐπανάγουσα δυνάμεις, ὁμοιότητα καὶ σύννευσιν τῇ ὅλῃ τάξει παρέχεται. Καὶ οὕτως ὁ σύμπας διάκοσμος εἷς ἐστι διὰ τῆς ἑνοποιοῦ τῶν πρώτων δυνάμεως, διὰ τῆς ἐν τῇ μεσότητι συνοχῆς, διὰ τῆς τοῦ τέλους εἰς τὴν ἀρχὴν τῶν προόδων ἐπιστροφῆς.

ΡΜΘʹ. Πᾶν τὸ πλῆθος τῶν θείων ἑνάδων πεπερασμένον ἐστὶ κατὰ ἀριθμόν. Εἰ γὰρ ἐγγυτάτω τοῦ ἑνός ἐστιν, οὐκ ἄπειρον ὑπάρχει. Οὐ γὰρ συμφυὲς τῷ ἑνὶ τὸ ἄπειρον, ἀλλ' ἀλλότριον. Εἰ γὰρ καὶ τὸ πλῆθος καθ' αὑτὸ ἀφίσταται τοῦ ἑνός, τὸ ἄπειρον πλῆθος δῆλον ὡς παντελῶς ἔρημον ἐκείνου. Διὸ καὶ ἀδύ

appetitionem istam formaliter, anima vero rationaliter, mens vero, intellectualiter, ipsi denique Dii, superessentialiter et singulariter. Et tota series eandem habet potestatem ab una divina causa *manantem*. Et in reliquis eadem *est* ratio. Omnia enim ex Diis pendent; et alia quidem ab aliis, alia vero ab aliis illuminantur.

Et ipsae series ad extremas usque *partes* perveniunt Et alia quidem immediate, alia vero per media plura vel pauciora ad illos (*deos*) referuntur *et ex illis pendent*. Plena vero omnia Deorum *sunt*, *et suam naturam ab illis accipiunt*, et quod unumquodque habet secundum naturam, illinc (*a Diis*) id *manans* habet

CXLVI. Omnium divinorum progressuum fines suis principiis assimilantur, circulum expertem principii et fine carentem servantes, per ipsam ad principia conversionem *atque reversionem*. Si enim unumquodque eorum, quae progressa sunt, ad suum principium revertitur, a quo progressum est, multo profecto magis ordines integri a sua summitate progressi rursus ad illam convertuntur *et ad suum principium revertuntur*.

Ipsa vero finis ad principium reversio unam efficit totam et finitam et vergentem ad se ipsam *reversionem*, et in multitudine demonstrantem ipsum uniformitatis genus per istam conspirationem, *qua propendet in se ipsam*.

CXLVII. Omnium divinorum ordinum ea, quae sunt extrema, ipsis finibus similia sunt eorum, quae supra sita *et superiora* sunt. Si enim oportet cohaerentiam esse divini progressus, et unumquemque ordinem cum suis mediis esse conjunctum, necesse *est* ipsas secundorum extremitates conjungi cum ipsis finitationibus primorum. Ista vero conjunctio *fit* per similitudinem. Erit igitur similitudo principiorum inferioris ordinis cum ipsis finibus superioris *ordinis*.

CXLVIII. Omnis divinus ordo secum trifariam est conjunctus, et ab extremitate, quae est ipsius, et a medio et a fine. Nam ille quidem *ordo*, qui singularissimam habet facultatem, in ipsum totum dimittit *ac immittit* unionem, et unit totum desuper, manens in se ipsa.

Medium vero, ad utramque extremitatem pertinens, totum *facultatem* circa se ipsum conjungit, primorum quidem trajiciens *atque transportans* donationes *sive dona*, ultimorum vero facultates extendens, et omnibus communionem imponens *ac inserens* et colligationem mutuam aliorum cum aliis.

Unicus enim ita totus est ordo, *qui constat* et ex iis qui *res aliquas* implent, et ex iis quae implentur, quae, ut in quoddam centrum, in ipsum medium simul vergunt *atque propendent*. Ipsa vero terminatio iterum revertens ad ipsum principium, et facultates *inde jam* progressas *ad ipsum* reducens, similitudinem et conspirationem (*qua propendet in se ipsam*) toti ordini praebet. Et ita totus ordo est unus per unificam primorum facultatem, per cohaerentiam in ipso medio *exsistentem*, per reversionem ipsius finis ad ipsum principium ipsorum progressuum.

CXLIX. Omnis divinarum Unitatum multitudo est numero finita. Si enim Uni est proxima, non est infinita. Non enim cognatum *est* Uni illud, quod est infinitum, sed alienum *est ab eo*. Si enim et ipsa multitudo per se recedit (*deficit et distat*) ab Uno, perspicuum *est*, quod infinita multitudo prorsus est illo Uno nuda. Quamobrem etiam *est* infirma et inefficax (*quae nec vires nec effi

νάμων καὶ [illegible]. Οὐκ ἄρα ἄπειρόν [illegible] τῶν θεῶν πλῆθος. Ἑνοειδὲς ἄρα καὶ πεπερασμένον, καὶ παντὸς ἄλλου πλήθους μᾶλλον πεπερασμένον· παντὸς γὰρ ἄλλου πλήθους μᾶλλον τῷ ἑνὶ συγγενές. Εἰ μὲν οὖν ἡ ἀρχὴ πλῆθος, ἔδει τὸ ἐγγυτέρω τῆς ἀρχῆς τοῦ πορῥώτερον μᾶλλον εἶναι πλῆθος.

Ὁμοιότερον γὰρ τὸ ἐγγύτερον. Ἐπεὶ δὲ ἕν ἐστι τὸ πρῶτον, τὸ ἐκείνῳ συναφὲς πλῆθος ἧττον πλῆθος τοῦ πορῥώτερον· τὸ δὲ ἄπειρον οὐχ ἧττον πλῆθος, ἀλλὰ μάλιστα πλῆθος.

ΡΝʹ. Πᾶν τὸ προϊὸν ἐν ταῖς θείαις τάξεσι πάσας ὑποδέχεσθαι τὰς τοῦ παράγοντος δυνάμεις οὐ πέφυκεν· οὐδὲ ὅλως τὰ δεύτερα πάσας τὰς πρὸ αὐτῶν, ἀλλ' ἔχει τινὰς ἐκεῖνα τῶν καταδεεστέρων ἐξῃρημένας δυνάμεις, καὶ ἀπεριλήπτους τοῖς μετ' αὐτά.

Εἰ γὰρ αἱ τῶν θεῶν ἰδιότητες διαφέρουσιν, αἱ μὲν τῶν ὑφειμένων ἐν τοῖς ὑπερτέροις προϋπάρχουσιν, αἱ δὲ τῶν ὑπερτέρων, ὁλικωτέρων ὄντων, ἐν τοῖς ὑφειμένοις οὐκ εἰσίν· ἀλλὰ τὰς μὲν ἐνδίδωσι τὰ κρείττονα τοῖς ἀπ' αὐτῶν παραγομένοις, τὰς δὲ ἐν αὐτοῖς προείληφεν ἐξῃρημένως. Δέδεικται γάρ, ὅτι ὁλικώτεροι μέν εἰσιν οἱ ἐγγυτέρω τοῦ ἑνός, μερικώτεροι δέ, οἱ πορῥώτερον. Εἰ δὲ ὁλικώτεροι τῶν μερικωτέρων περιληπτικωτέρας ἔχουσι δυνάμεις, οὐκ ἄρα τὴν ἐκείνων δύναμιν οἱ δευτέραν ἔχοντες τάξιν καὶ μερικωτέραν περιλήψονται. Ἔστιν ἄρα ἐν τοῖς ὑπερτέροις ἀπερίληπτόν τι καὶ ἀπερίγραφον τοῖς ὑφειμένοις· καὶ γὰρ ἄπειρον ἕκαστον τῶν θείων.

Οὕτως οὔτε ἑαυτῷ δέδεικται ὄν, οὔτε τοῖς ὑπὲρ αὐτὸ πολλῷ πρότερον, ἀλλὰ τοῖς μεθ' ἑαυτὸ πᾶσιν· ἡ δὲ ἀπειρία κατὰ τὴν δύναμιν ἐκείνοις· τὸ δὲ ἄπειρον ἀπερίληπτον, οἷς ἐστιν ἄπειρον. Οὐκ ἄρα πασῶν μετέχει τῶν δυνάμεων τὰ καταδεέστερα, ὧν ἐν ἑαυτοῖς τὰ κρείττονα προείληφεν. Ἦν γὰρ ἂν ἐκεῖνα ἀπερίληπτα τοῖς δευτέροις, ὥσπερ δὴ καὶ αὐτοῖς τὰ δεύτερα.

Οὔτε οὖν πάσας ἔχει ταύτας ἐκείνων, διὰ τὸ μερικώτερον, οὔτε ἃς ἔχει, τὸν αὐτὸν ἐκείνοις ἔχει τρόπον, διὰ τὴν ἀπειρίαν τὴν ἐκείνοις ὑπερφέρειν τῶν καταδεεστέρων ποιοῦσαν.

ΡΝΑʹ. Πᾶν τὸ πατρικὸν ἐν τοῖς θεοῖς πρωτουργόν ἐστι καὶ ἐν τἀγαθοῦ τάξει προϊστάμενον, κατὰ πάσας τὰς θείας διακοσμήσεις· τὰς γὰρ ὑπάρξεις τῶν δευτέρων, καὶ τὰς δυνάμεις ὅλας, καὶ τὰς οὐσίας αὐτὸ παράγει κατὰ μίαν ἄῤῥητον ὑπεροχήν. Διὸ καὶ πατρικὸν ἐπονομάζεται, τὴν ἡνωμένην καὶ ἀγαθοειδῆ τοῦ ἑνὸς δύναμιν ἐμφαῖνον, καὶ τὴν ὑποστατικὴν τῶν δευτέρων αἰτίαν.

Καὶ καθ' ἑκάστην τῶν θεῶν τάξιν τὸ πατρικὸν ἡγεῖται γένος, παράγον ἀφ' ἑαυτοῦ πάντα, καὶ κοσμοῦν, ἅτε τῷ ἀγαθῷ τεταγμένον ἀνάλογον· καὶ πατέρες οἱ μὲν ὁλικώτεροι, οἱ δὲ μερικώτεροι, καθάπερ καὶ αὐταὶ τῶν θεῶν αἱ τάξεις τῷ ὁλικωτέρῳ καὶ μερικωτέρῳ διαφέρουσι κατὰ τὸν τῆς αἰτίας λόγον.

*cariam habet*) Non igitur *est* infinita Deorum multitudo. Uniformis igitur *vel uni similis est*, et finita, et magis finita, quam omnis alia multitudo. *Est* enim Uni magis cognata, quam omnis alia multitudo. Si igitur ipsum principium *esset* multitudo, necesse foret, ut illud, quod est principio propinquius, magis esset multitudo, quam illud, quod remotius *ab eodem principio*.

Quod enim est propinquius *rei alicui*, *id et est* similius. Quoniam vero illud, quod est primum, est Unum, illa multitudo, quæ cum illo est conjuncta, minus *est* multitudo, quam illa, quæ remotior est *ab Uno;* quod vero est infinitum, non minus est multitudo, sed maxime multitudo.

CL. Omne quod progressum est in divinis ordinibus, omnes ipsius producentis facultates suscipere non solet naturaliter; neque omnino secunda omnes *facultates suscipiunt* eorum, quæ sunt ante ipsa (*i. e. primorum*); sed illa quasdam facultates ex inferioribus exemptas habent, et incomprehensas illis, quæ sunt post ipsa.

Si enim ipsæ Deorum proprietates *inter se* differunt, inferiorum quidem *Deorum facultates* in superioribus *Diis* præexistunt, superiorum vero, qui sunt universaliores, *facultates* in inferioribus non sunt. Sed ea quæ sunt præstantiora, alias quidem *facultates* indunt (*inferunt*, *suppeditant*) iis quæ producuntur ab illis, alias vero in se ipsis primo sumpserunt eximie. Demonstratum est enim, quod universaliores quidem sunt illi *Dii*, qui propius ad Unum accedunt, particulariores vero, qui longius *ab eo distant*. Si vero universaliores *Dii* facultates habent, quæ plura comprehendunt, quam illorum particulariorum *deorum facultates*, non igitur illorum facultatem *ac potestatem* illi, qui secundum et particulariorem ordinem tenent, comprehendent. Est igitur in illis superioribus *Diis* quiddam incomprehensum et incircumscriptum subjectis. Nam infinitum *est* quidlibet divinorum.

Hac parte neque sibi ipsi, demonstratum est, esse *infinitum*, neque illis quæ *sunt* supra ipsum multo prius, sed illis omnibus *quæ sunt* post ipsum. Verum infinitas illis *nascitur* secundum facultatem; id vero quod est infinitum, est incomprehensum *illis* quibus est infinitum. Ergo quæ sunt deteriora, non omnes facultates participant *rerum illarum* quas in se ipsis ipsa præstantiora primo sumpserunt. Essent enim illa *prima* incomprehensa secundis, ut ipsis etiam (*primis*) secunda *sunt incomprehensa*.

Neque igitur *hoc* habet omnes illas illorum *facultates*, propter particulariorem naturam, neque quas habet, eodem modo habet, quo illa, propter infinitatem *existentem in illis*, quæ facit ut *ipsa præstantiora* superent ea quæ sunt deteriora.

CLI. Omne quod est paternum in Diis, primum [illegible] efficiens est et in ipsius Boni ordine primum obtinens locum, secundum omnes divinas dispositiones. Nam ipsas secundorum substantias et facultates totas et [illegible] ipsum *Paternum* producit per unam ineffabilem excellentiam. Quamobrem etiam Paternum appellatur, unitam et Bono similem Unius facultatem indicans, et [illegible] secundorum causam.

Et in unoquoque Deorum ordine ipsum Paternum genus principatum obtinet, producens ex se ipso omnia, et [illegible] *ac ornans*, quippe quod ipsi Bono proportione respondens collocatum est. Et patres alii quidem universaliores, alii vero particulariores, ut et ipsi Deorum ordines, propter universaliorem et particulariorem naturam, differunt *inter se*, secundum ipsam causæ rationem.

Ὅσαι οὖν ὅλαι τῶν θεῶν πρόοδοι, τοσαῦται καὶ αἱ τῶν πατέρων διαφορότητες. Εἰ γάρ ἐστι τι κατὰ πᾶσαν τάξιν ἀνάλογον τἀγαθῷ, δεῖ τὸ πατρικὸν ἐν πάσαις εἶναι, καὶ προϊέναι ἀπὸ τῆς πατρικῆς ἑνώσεως ἑκάστην.

ΡΝΒ′. Πᾶν τὸ γεννητικὸν τῶν θείων κατὰ τὴν ἀπειρίαν τῆς θείας δυνάμεως πρόεισι, πολλαπλασιάζον ἑαυτὸ, καὶ διὰ πάντων χωροῦν, καὶ τὸ ἀνέκλειπτον ἐν ταῖς τῶν δευτέρων προόδοις διαφερόντως ἐπιδεικνύμενον. Τὸ γὰρ πληθύνειν τὰ προϊόντα, καὶ ἀπὸ τῆς ἐν ταῖς αἰτίαις κρυφίας περιοχῆς προάγειν εἰς ἀπογεννήσεις, τίνος ἐξαίρετόν ἐστιν, ἢ τῆς ἀπείρου τῶν θεῶν δυνάμεως; δι᾽ ἣν πάντα γονίμων ἀγαθῶν πεπλήρωται τὰ θεῖα; παντὸς τοῦ πλήρους ἄλλ᾽ ἀφ᾽ ἑαυτοῦ παράγοντος κατὰ τὴν ὑπερπλήρη δύναμιν. Γεννητικῆς οὖν θεότητος ἴδιον ἡ τῆς δυνάμεως ἐπικράτεια, πολλαπλασιάζουσα τὰς τῶν γεννωμένων δυνάμεις, καὶ γονίμους ἀπεργαζομένη, καὶ ἀνεγείρουσα πρὸς τὸ γεννᾷν ἄλλα καὶ ὑφιστάνειν. Εἰ γὰρ ἕκαστον τῆς οἰκείας ἰδιότητος, ἣν ἔχει πρώτως, τοῖς ἄλλοις μεταδίδωσι, πᾶν δήπου τὸ γόνιμον καὶ τοῖς μεθ᾽ ἑαυτὸ τὴν γόνιμον ἐνδίδωσι πρόοδον, καὶ τὴν ἀπειρίαν ἀπεικονίζεται τὴν τῶν ὅλων ἀρχέγονον, ἀφ᾽ ἧς πᾶσα γεννητικὴ προῆλθε δύναμις, τὰς ἀεννάους τῶν θείων προόδους ἐξῃρημένως ἀποῤῥέουσα.

ΡΝΓ′. Πᾶν τὸ τέλειον ἐν τοῖς θεοῖς τῆς θείας ἐστὶ τελειότητος αἴτιον. Ὡς γὰρ ἄλλαι τῶν ὄντων εἰσὶν ὑποστάσεις, ἄλλαι τῶν ὑπερουσίων, οὕτω δὴ καὶ τελειότητες, ἄλλαι μὲν τῶν θεῶν αὐτῶν κατὰ τὴν ὕπαρξιν, ἄλλαι δὲ αἱ τῶν ὄντων δεύτεραι μετ᾽ ἐκείνας· καὶ αἱ μὲν αὐτοτελεῖς καὶ πρωτουργοὶ, διότι καὶ τὸ ἀγαθὸν ἐν ἐκείνοις πρώτως· αἱ δὲ κατὰ μέθεξιν ἔχουσαι τὸ τέλειον. Ἄλλη μὲν οὖν διὰ ταῦτα ἡ τῶν θεῶν τελειότης, καὶ ἄλλη τῶν ἐκθεουμένων.

Τὸ δὲ ἐν τοῖς θεοῖς πρώτως τέλειον οὐ μόνον τοῖς ἐκθεουμένοις τῆς τελειότητος αἴτιον, ἀλλὰ καὶ τοῖς θεοῖς αὐτοῖς. Εἰ γὰρ, ᾗ τέλειον ἕκαστον, ἐπέστραπται πρὸς τὴν οἰκείαν ἀρχὴν, τὸ πάσης τῆς θείας ἐπιστροφῆς αἴτιον, τελεσιουργόν ἐστι τῶν θεῶν γένος.

ΡΝΔ′. Πᾶν τὸ φρουρητικὸν ἐν τοῖς θεοῖς ἕκαστον ἐν τῇ οἰκείᾳ τάξει διαφυλάττει, τῶν δευτέρων ἑνοειδῶς ἐξῃρημένον, καὶ τοῖς πρώτοις ἐνιδρυμένον. Εἰ γὰρ φρουρὰ τὸ τῆς ἑκάστου τάξεως μέτρον ἀτρέπτως διασώζει, καὶ συνέχει πάντα τὰ φρουρούμενα ἐν τῇ οἰκείᾳ τελειότητι, πᾶσιν ἐνδίδωσι τὴν ἀπὸ τῶν καταδεεστέρων ὑπεροχὴν, καὶ ἄμικτον ἕκαστον ἵστησιν ἐφ᾽ ἑαυτοῦ μονίμως, καθαρότητος ἀχράντου τοῖς φρουρουμένοις αἴτιον ὑπάρχον, καὶ ἐνιδρύει τοῖς ὑπερτέροις. Τέλειον γὰρ πᾶν ἐστι τῶν μὲν πρώτων ἀντεχόμενον, ἐν ἑαυτῷ δὲ μόνον, καὶ τῶν καταδεεστέρων ὑπερηπλωμένον.

ΡΝΕ′. Πᾶν μὲν τὸ ζωογόνον ἐν τοῖς θείοις γένεσιν αἴτιον γεννητικόν ἐστιν· οὐ πᾶσα δὲ ἡ γόνιμος τάξις ζωογόνος ἐστίν· ὁλικωτέρα γὰρ ἡ γεννητικὴ τῆς ζωογονικῆς, καὶ ἐγγυτέρω τῆς ἀρχῆς. Ἡ μὲν γὰρ γέννησις τὴν εἰς πλῆθος τὰ ὄντα προάγουσαν αἰτίαν δηλοῖ.

Quot igitur sunt universi (vel omnes) Deorum progressus, tot etiam sunt ipsa Patrum differentia. Si enim quid in omni ordine est ipsi Bono proportione respondens *et simile*, oportet ipsum Paternum in omnibus ordinibus esse, et progredi unumquemque *ordinem* a paterna Unitate.

CLII. Omne quod in Diis generandi vim habet, per infinitatem divinae facultatis progreditur, se ipsum multiplicans, et per omnia pervadens, et nunquam deficientem vim in secundorum progressibus insigniter ostendens. Ipsum enim explere ea, quae progrediuntur, et ex occulta comprehensione, quae *latet* in ipsis causis, producere in procreationes *et progenies*, cujusnam *alius* eximium *est munus*, quam infinitae Deorum potentiae, propter quam omnia divina foecundis bonis repleta sunt? cum id omne, quod est plenum, produceat propter suam supra modum plenam facultatem. Generatricis igitur Deitatis proprium *est* ipsa potestatis dominatio, (*vel*, ipsum potestatis imperium), eorum quae generantur, facultates multiplicans et foecundas efficiens, et excitans ad generandum alia, atque in naturam rerum producendum. Si enim unumquodque suam proprietatem, quam habet primo, *rebus* aliis impertit, omne haud dubie, quod est foecundum, et illis rebus, quae sunt post ipsum foecundum, indit *et suppeditat* progressum, et ipsam infinitatem effingit sibi ac *repraesentat* rerum universarum primam auctorem, a qua omnis generatrix facultas prodiit, perennes rerum divinarum progressus eximie distillans ac emittens.

CLIII. Omne quod est perfectum in Diis, divinae perfectionis est causa. Ut enim aliae sunt ipsorum Entium hypostases (*naturae*), aliae supraessentialium; sic etiam perfectiones, aliae quidem *sunt* ipsorum Deorum secundum essentiam (substantiam), aliae vero *sunt* ipsis Entibus posteriores post illas. Et aliae quidem *sunt* per se absolutae (per se perfectae) et primo efficientes, quoniam et ipsum Bonum in illis *Entibus est* primo: aliae vero *sunt* per communionem habentes ipsam perfectionem. Propter haec igitur alia quidem *est* ipsa Deorum perfectio, et alia eorum, qui deificantur.

Illud vero perfectum, quod primo est in Diis, non solum *est* perfectionis causa illis qui deificantur, sed etiam ipsis Diis. Si enim, quatenus unumquodque perfectum *est*, redit ad suum principium; quod est omnis divinae reversionis causa, deorum genus est perfectum reddens.

CLIV. Omne quod in Diis custodiendi facultate praeditum *est*, unamquamque rem in suo ordine conservat, cum a secundis sit uniformiter exemptum, et in primis collocatum. Si enim custodia uniuscujusque ordinis mensuram immutabiliter conservat, et omnia quae custodiuntur, in sua perfectione continet, omnibus indit *et suppeditat* excellentiam ab inferioribus *et deterioribus manantem*, et unumquodque non mixtum constituit in se ipso constanter, puritatis impollutae *rebus* illis, quae custodiuntur, causa existens, et in superioribus collocat. Perfectum enim est omne, quod primis quidem adhaeret, in se vero solum *est*, *et se continet*, et supra inferiora explicatur.

CLV. Omne quod vivificat in divinis generibus est causa generandi vim habens; neque vero omnis prolificus ordo vivificans est. Universalior enim *est* ipsa procreatrix *facultas* quam vivorum generatrix, et ipsi principio propinquior *est*. Nam ipsa quidem generatio causam indicat, quae Entia producit in multitudinem.

Ἡ δὲ ζωογονία τὴν χορηγὸν ἁπάσης ζωῆς θεότητα παρίστησιν. Εἰ οὖν ἡ μὲν τῶν ὄντων πολλαπλασιάζει τὰς ὑποστάσεις, ἡ δὲ τὰς τῆς ζωῆς προόδους ὑφίστησιν, ὡς ἔχει τὸ ὂν πρὸς τὴν ζωὴν, οὕτως ἡ γεννητικὴ τάξις ἕξει πρὸς τὴν ζωογόνον σειράν. Ὁλικωτέρα δὴ οὖν ἔσται, καὶ πλειόνων αἰτία, καὶ διὰ τοῦτο ἐγγυτέρω τῆς ἀρχῆς.

ΡΝϚʹ. Πᾶν μὲν τὸ τῆς καθαρότητος αἴτιον ἐν τῇ φρουρητικῇ περιέχεται τάξει· οὐκ ἔμπαλιν δὲ πᾶν τὸ φρουρητικὸν τῷ καθαρτικῷ γένει ταὐτόν. Ἡ μὲν γὰρ καθαρότης τὸ ἀμιγὲς ἐνδίδωσι πρὸς τὰ χείρονα πᾶσι τοῖς θεοῖς, καὶ τὸ ἄχραντον ἐν τῇ προνοίᾳ τῶν δευτέρων· ἡ δὲ φρουρὰ καὶ τοῦτο ἀπεργάζεται, καὶ ἐν ἑαυτοῖς πάντα συνέχει, καὶ σταθερῶς ἐντίθησι τοῖς ὑπερτέροις. Ὁλικώτερον ἄρα τοῦ καθαρτικοῦ τὸ φρουρητικόν ἐστιν.

Ἴδιον γὰρ ἁπλῶς φρουρᾶς μὲν τὸ τὴν αὐτὴν ἑκάστου τάξιν διατηρεῖν πρός τε ἑαυτὸ καὶ τὰ πρὸ αὐτοῦ, καὶ τὰ μετ' αὐτό· καθαρότητος δὲ τὸ ἐξαίρειν καταδεεστέρων τὰ κρείττονα· ταῦτα δὲ ἔστι πρώτως ἐν τοῖς θεοῖς.

Τοῦ γὰρ ἐν πᾶσιν ὄντος δεῖ μίαν αἰτίαν προηγεῖσθαι, καὶ ὅλως πάντων τῶν ἀγαθῶν τὰ ἑνοειδῆ μέτρα παρ' ἐκείνοις προείληπται. Καὶ οὐδέν ἐστιν ἐν τοῖς δευτέροις ἀγαθὸν, ὃ μὴ προϋφέστηκεν ἐν τοῖς θεοῖς· πόθεν γὰρ ἔσται τοῦτο, καὶ τίνα ἕξει τὴν αἰτίαν; ἐν ἐκείνοις ἄρα ἡ καθαρότης πρώτως ἀγαθὸν οὖσα, καὶ ἡ φρουρὰ, καὶ πᾶν ὅ τι τοιοῦτον.

ΡΝΖʹ. Πᾶν μὲν τὸ πατρικὸν αἴτιον τοῦ εἶναι πᾶσίν ἐστι χορηγὸν, καὶ τὰς ὑπάρξεις τῶν ὄντων ὑφίστησι· πᾶν δὲ τὸ δημιουργικὸν τῆς εἰδοποιΐας τῶν συνθέτων προϋφέστηκε, καὶ τῆς τάξεως, καὶ τῆς κατ' ἀριθμὸν αὐτῶν διαιρέσεως, καὶ ἔστι τῆς αὐτῆς τῇ πατρικῇ συστοιχίας ἐν μερικωτέραις γένεσιν. Ἑκάτερον γὰρ τῆς τοῦ πέρατός ἐστι τάξεως· ἐπεὶ καὶ ἡ ὕπαρξις καὶ ὁ ἀριθμὸς καὶ τὸ εἶδος περατοειδῆ πάντα ἐστίν· ὥστε ταύτῃ σύστοιχα ἀλλήλοις. Ἀλλὰ τὸ μὲν δημιουργικὸν εἰς πλῆθος παράγει τὴν ποίησιν· τὸ δὲ ἑνοειδὲς παρέχεται τὰς τῶν ὄντων προόδους. Καὶ τὸ μὲν εἰδοποιόν ἐστι· τὸ δὲ οὐσιοποιόν.

Ἦι οὖν ταῦτα διέστηκεν ἀλλήλων, τό τε εἶδος, καὶ τὸ ὂν, ταύτῃ τοῦ δημιουργικοῦ τὸ πατρικὸν διέστηκεν· ἔστι δ' αἴτιον τὸ εἶδος. Ὁλικώτερον ἄρα, καὶ αἰτιώτερον τὸ πατρικόν ἐστιν ἐπέκεινα τοῦ δημιουργικοῦ γένους, ὡς τὸ ὂν τοῦ εἴδους.

ΡΝΗʹ. Πᾶν τὸ ἀναγωγὸν αἴτιον ἐν τοῖς θεοῖς καὶ τοῦ καθαρτικοῦ διαφέρει καὶ τῶν ἐπιστρεπτικῶν γενῶν.

Ὅτι μὲν γὰρ εἶναι δεῖ καὶ τοῦτο πρώτως ἐν ἐκείνοις δῆλον, ἐπειδὴ τῶν ὅλων ἀγαθῶν ἐκεῖ τὰ αἴτια πάντα προϋφέστηκεν· ἀλλὰ τοῦ μὲν καθαρτικοῦ πρεσβύτερον, διότι τὸ μὲν ἀπολύει τῶν χειρόνων, τὸ δὲ συνάπτει τοῖς κρείττοσι· τοῦ δὲ ἐπιστρεπτικοῦ μερικωτέραν ἔχει τάξιν· διότι πᾶν τὸ ἐπιστρέφον ἢ πρὸς ἑαυτὸ ἐπιστρέφει, ἢ πρὸς τὸ κρεῖττον [illegible]

Ipsa vero vivorum generatio Deitatem omnis vitæ suppeditatricem nobis repræsentat. Si igitur altera quidem *facultas* multiplicat Entium hypostases *atque naturas*, altera vero vitæ progressus constituit, sicut ipsum Ens ad vitam se habet, sic etiam generandi facultate præditus ordo se habebit ad vivorum generatricem seriem. Universalior igitur erit *et latius patebit generatrix facultas* et plurium *erit* causa, et propterea propinquior *erit* ipsi principio.

CLVI. Omnis quidem puritatis causa in custodiendi facultate prædito ordine continetur; non contra vero omne custodiendi facultate præditum *genus* idem est atque id genus, quod purgandi vim habet. Nam puritas quidem non mixtam cum deterioribus naturam (*ipsam puritatem*) indit *et suppeditat* omnibus Diis ad deteriora, et impollutam rationem in ipsa providentia secundorum. Custodia vero etiam hoc efficit, et in semetipsis omnia continet, et stabiliter inserit superioribus. Ergo custodiendi facultate præditum *genus* est universalius *et generalius genere* purgandi facultate prædito.

Proprium enim *est* simpliciter *et generaliter* ipsius quidem custodiæ, ipsum uniuscujusque *rei* eundem ordinem conservare et ad ipsam et ad ea quæ sunt ante ipsam, et ea quæ sunt post ipsam; puritatis vero *proprium est*, ipsum ex deterioribus eximere præstantiora. Hæc autem sunt primo in Diis.

Ejus enim quod in omnibus est, oportet unam esse causam antecedentem; et in universum omnium Bonorum uniformes mensuræ apud illos *Deos* præoccupatæ sunt. Neque ullum est in secundis Bonum, quod non prius exstiterit in Diis. Unde enim erit hoc, et quam habebit causam? In illis (*Diis*) igitur puritas *est* primo Bonum exsistens, et ipsa custodia, et omne quodcunque hujus *est* generis.

CLVII. Omnis quidem paterna causa est omnibus ipsius Esse suppeditatrix, et ipsas Entium substantias constituit. Omne vero quod ipsam formæ procreationem efficit, exstitit ante ea quæ sunt composita, et *ante* ipsum ordinem, et *ante* divisionem ipsorum *factam* per numerum, et est ejusdem cum ipsa Paterna conjugationis *et ordinis* in particularioribus generibus. Utrumque enim est ejusdem ordinis, cujus est ipse finis; quoniam et ipsa substantia et ipse numerus et ipsa forma omnia sunt finis speciem habentia *finique similia*. Quamobrem hac in parte *hæc sunt* ejusdem seriei. Sed illud quidem, quod rerum fabricandarum facultate præditum est, ipsam effectionem producit in multitudinem. Quod vero est uniforme, ipsos Entium progressus præbet. Et alterum quidem est specificum (*quod speciem facit formamque procreat et constituit*), alterum vero *est* essentiæ efficiens (*essentiam efficit, procreat et constituit*).

Qualenus igitur hæc distant altera ab alteris, scilicet et ipsa Forma et ipsum Ens, eatenus ipsum Paternum distat ab illo, quod est rerum opifex. Est autem causa forma. Ipsum igitur Paternum, quod est universalius, et potior causa, est supra genus illud, quod est rerum opifex, ut ipsum Ens *est supra* Formam.

CLVIII. Omnis causa in sublime evehens in ipsis Diis et ab ipso purgandi facultate prædito *genere* differt *et* ab ipsis conversionem juvantibus.

Quod enim hoc etiam in illis (*Diis*) primo esse oporteat *est* perspicuum, quia universorum bonorum omnes causæ primum exstitere illic (*in Diis*). Sed ipsa *sublime evehens causa, quæ scilicet sua in principia reducit*, exstitit quidem ante genus purgandi facultate præditum, quoniam illud quidem a deterioribus liberat, hoc vero cum præstantioribus conjungit. Ordinem vero particulariorem habet quam illud *genus*, quod rerum convertendarum vim habet, quoniam omne quod convertit, vel ad se ipsum convertit, vel ad id quod præstantius est. Ipsum vero [illegible]

κατὰ τὴν πρὸς τὸ κρεῖττον ἐπιστροφὴν χαρακτηρίζεται, ὡς εἰς τὸ ἄνω καὶ τὸ θειότερον ἄγον τὸ ἐπιστρεφόμενον.

ΡΝΘ'. Πᾶσα τάξις θεῶν ἐκ τῶν πρώτων ἐστὶν ἀρχῶν, πέρατος καὶ ἀπειρίας· ἀλλ' ἡ μὲν πρὸς τῆς τοῦ πέρατος αἰτίας μᾶλλον, ἡ δὲ πρὸς τῆς ἀπειρίας. Πᾶσαι μὲν γὰρ ἐξ ἀμφοτέρων πρόεισι, διότι τῶν πρώτων αἰτιῶν αἱ μεταδόσεις διήκουσι διὰ πάντων τῶν δευτέρων· ἀλλ' ὅπου μὲν τὸ πέρας ἐνδυναστεύει κατὰ τὴν μίξιν, ὅπου δὲ τὸ ἄπειρον. Καὶ οὕτω δὴ τὸ μὲν περατοειδὲς ἀποτελεῖται γένος, ἐν ᾧ τὰ τοῦ πέρατος κρατεῖ· τὸ δὲ ἀπειροειδὲς, ἐν ᾧ τὰ τῆς ἀπειρίας.

ΡΞ'. [Περὶ νοῦ.] Πᾶς ὁ θεῖος νοῦς ἑνοειδής ἐστι καὶ τέλειος. Καὶ πρῶτος νοῦς ἀφ' ἑαυτοῦ καὶ τοὺς ἄλλους νόας παράγων· εἰ γὰρ θεός ἐστι, πεπλήρωται τῶν θείων ἑνάδων, καὶ ἔστιν ἑνοειδής· εἰ δὲ τοῦτο, καὶ τέλειος, τῆς ἀγαθότητος τῆς θείας πλήρης ὑπάρχων· εἰ δὲ ταῦτα, καὶ πρώτως ἐστὶ νοῦς, ἅτε τοῖς θεοῖς ἡνωμένος. Παντὸς γὰρ νοῦ κρείττων ὁ ἐκθεούμενος νοῦς· πρώτως δὲ ὢν νοῦς, καὶ τοῖς ἄλλοις αὐτὸς δίδωσι τὴν ὑπόστασιν· ἀπὸ γὰρ τῶν πρώτως ὄντων πάντα τὰ δεύτερα ὄντα τὴν ὕπαρξιν κέκτηται.

ΡΞΑ'. Πᾶν τὸ ὄντως ὂν, τὸ τῶν θεῶν ἐξημμένον, θεῖόν ἐστι καὶ ἀμέθεκτον. Ἐπεὶ γὰρ πρῶτόν ἐστι τῶν τῆς θείας ἑνώσεως μετασχόντων τὸ ὄντως ὂν, ὡς δέδεικται, καὶ πληροῖ τὸν νοῦν ἀφ' ἑαυτοῦ. Καὶ γὰρ ὁ νοῦς ὤν ἐστιν, ὡς τοῦ ὄντος πληρούμενος. Θεῖόν ἐστι δήπου νοητόν· ὡς μὲν ἐκθεούμενον, θεῖον, ὡς δὲ πληρωτικὸν τοῦ νοῦ καὶ ὑπ' αὐτοῦ μετεχόμενον, νοητόν. Καὶ ὁ μὲν νοῦς ὢν διὰ τὸ πρώτως ὄν.

Αὐτὸ δὲ τὸ πρώτως ὂν χωριστόν ἐστιν ἀπὸ τοῦ νοῦ, διότι μετὰ τὸ ὂν ἔστιν ὁ νοῦς. τὰ δὲ ἀμέθεκτα πρὸ τῶν μετεχομένων ὑφέστηκεν· ὥστε καὶ τοῦ συζύγου πρὸς τὸν νοῦν ὄντος προϋπάρχει τὸ καθ' αὑτὸ καὶ ἀμέθεκτον ὄν.

Νοητὸν γάρ ἐστιν, οὐχ ὡς τῷ νῷ συντεταγμένον, ἀλλ' ὡς τελειοῦν ἐξῃρημένως τὸν νοῦν, διότι κἀκείνῳ τοῦ εἶναι μεταδίδωσι, καὶ πληροῖ κἀκεῖνον τῆς ὄντως οὔσης οὐσίας.

ΡΞΒ'. Πᾶν τὸ καταλάμπον τὸ ὄντως ὂν πλῆθος τῶν ἑνάδων κρύφιον καὶ νοητόν ἐστι· κρύφιον μὲν, ὡς τῷ ἑνὶ συνημμένον, νοητὸν δὲ, ὡς ὑπὸ τοῦ ὄντος μετεχόμενον.

Ἀπὸ γὰρ τῶν ἐξημμένων πάντες οἱ θεοὶ καλοῦνται. Διότι καὶ τὰς ὑποστάσεις αὐτῶν τὰς διαφερούσας, ἀπὸ τούτων, ἀγνώστους ὑπαρχούσας, γνῶναι δυνατόν. Ἄρρητον γὰρ καθ' ἑαυτὸ πᾶν τὸ θεῖον καὶ ἄγνωστον, ὡς τῷ ἑνὶ τῷ ἀρρήτῳ συμφυές· ἀπὸ δὲ τῆς τῶν μετεχόντων ἐξαλλαγῆς καὶ τὰς ἐκείνων ἰδιότητας γνωρίζεσθαι συμβαίνει. Νοητοὶ οὖν εἰσιν οἱ τὸ ὄντως ὂν καταλάμποντες· διότι δὴ τὸ ὄντως ὂν νοητόν ἐστι θεῖον καὶ ἀμέθεκτον, τοῦ νοῦ προυφεστηκός.

Οὐ γὰρ ἂν τοῦτο τῶν πρωτίστων ἐξήπτετο θεῶν, εἰ μὴ κἀκεῖνοι πρωτουργὸν εἶχον ὑπόστασιν, καὶ δύνα-

excellentis *causæ* effectus insignitur secundum conversionem *et reversionem* ad id quod est præstantius, quia ad superiorem et diviniorem *causam* ducit id quod convertitur *et reducitur ad suum principium*.

CLIX. Omnis ordo Deorum ex primis est principiis, *scilicet ex* fine et infinitate. Sed alter quidem *ordo* stat magis a finis causa; alter vero ab infinitatis causa. Nam omnes *ordines* ex utraque prodeunt, quia primarum causarum communicationes per omnia secunda pervadunt. Sed alibi quidem ipse finis dominatur secundum ipsam *rerum et naturarum* mixtionem; alibi vero ipsum infinitum. Sic autem ipsum quidem finis forma præditum (*vel* fini simile) genus perficitur, in quo ipsius finis propria dominantur; illud vero *genus* infiniti forma præditum (*vel* infinito simile) *est*, in quo *sunt* propria infinitatis.

CLX. Omnis divina Mens est uniformis et perfecta. Et prima Mens *est* ex se ipsa, et ceteras Mentes producit. Si enim est deus, repletus est divinis Unitatibus, et est uniformis; si vero *detur* hoc, *ergo Deus* est etiam perfectus, quia bonitatis divinæ plenus existit; si vero *concedantur* hæc, *ergo Deus* etiam primo Mens est, quippe quod cum ipsis Diis sit unita. Nam illa Mens, quæ deificatur, *est* omni Mente præstantior. Primo autem cum sit Mens, ceteris etiam *Mentibus* eadem dat hypostasin *et naturam suppeditat*. Nam a primo Entibus omnia secunda Entia suam essentiam habent *manantem*.

CLXI. Omne quod est vere Ens, quod ex Diis pendet, divinum est et imparticipabile. Quoniam enim (ut demonstratum est) illud quod est vere Ens, primum est eorum, quæ divinam Unitatem participant, *idcirco* Mentem etiam a se *et per se* replet. Mens enim ipsa Mens est Ens, ut ea quæ ipso Ente repleta. Divinum videlicet est intelligibile: *nam* ut illud quidem, quod deificatur, *est* divinum; ut illud vero, quod Mentis replendæ vim habet, et quod ab ipsa *Mente* participatur, *est* intelligibile. Et ipsa quidem Mens *est* Ens propter illud, quod est primo Ens.

Ipsum vero primo Ens separatum est ab ipsa Mente, quia Mens est post ipsum Ens. Quæ vero sunt imparticipabilia, existunt ante ea quæ participantur; quamobrem etiam ante illud quod est cum ipsa Mente conjunctum, existit illud quod est per se et imparticipabile.

Intelligibile enim est, non ut cum ipsa Mente collocatum, sed ut eximie perficiens ipsam Mentem, quoniam et illi ipsum Esse impertit, et illam quoque replet ipsa vere existente essentia.

CLXII. Omnis multitudo Unitatum, quæ collustrat vere Ens, est occulta et intelligibilis; occultum quidem, ut cum Uno conjunctum; intelligibile vero, ut id quod ab ipso Ente participatur.

Ab illis enim, quæ pendent *ex iis quæ cognosci possunt*, omnes Dii nominantur. Quamobrem et ipsas ipsorum hypostases (*naturæ*), quæ sunt excelsæ, quamvis sint ignotæ, *tamen* ex his cognosci possunt. Ineffabile enim per se est omne divinum et ignotum, ut cum illo ineffabili Uno cognatione conjunctum; ex illorum vero, quæ participant, varietate illorum etiam proprietates cognosci contingit. Intelligibiles igitur sunt illi *Dii*, qui collustrant illud quod est vere Ens; quoniam profecto illud quod est vere Ens, est intelligibile divinum et imparticipabile, quoniam ante Mentem existit.

Neque enim hoc ex primis penderet Diis, nisi et illi primo efficientem haberent hypostasin, et facultatem perficientem

μιν τελειωτικὴν [illegible] ἄλλων θεῶν, εἴπερ, ὡς τὰ μετέχοντα πρὸς ἄλληλα, οὕτω καὶ αἱ τῶν μετεχομένων ἔχουσιν ὑπάρξεις.

ΡΞΓ'. Πᾶν τὸ πλῆθος τῶν ἑνάδων, τὸ μετεχόμενον ὑπὸ τοῦ ἀμεθέκτου νοῦ, νοερόν ἐστιν· ὡς γὰρ ἔχει νοῦς πρὸς τὸ ὄντως ὄν, οὕτως αἱ ἑνάδες αὗται πρὸς τὰς ἑνάδας τὰς νοητὰς ἔχουσιν.

Εἴπερ οὖν ἐκεῖναι, καταλάμπουσαι τὸν νοῦν, νοηταί εἰσι, ταύτῃ καὶ αὗται, καταλάμπουσαι τὸν θεῖον καὶ ἀμέθεκτον νοῦν, νοεραί εἰσιν, ἀλλ' οὐχ οὕτω νοεραί, ὡς ἐν νῷ ὑφεστηκυῖαι, ἀλλ' ὡς κατ' αἰτίαν τοῦ νοῦ προϋπάρχουσαι, καὶ ἀπογεννήσασαι τὸν νοῦν.

ΡΞΔ'. Πᾶν τὸ πλῆθος τῶν ἑνάδων τὸ μετεχόμενον ὑπὸ τῆς ἀμεθέκτου πάσης ψυχῆς ὑπερκόσμιόν ἐστι.

Διότι γὰρ ἡ ἀμέθεκτος ψυχὴ πρώτως ὑπὲρ τὸν κόσμον ἐστὶ, καὶ οἱ μετεχόμενοι ὑπ' αὐτῆς θεοὶ ὑπερκόσμιοί εἰσιν, ἀνάλογον ὄντες πρὸς τοὺς νοεροὺς καὶ νοητοὺς, ὃν ἔχει ψυχὴ πρὸς νοῦν, καὶ νοῦς πρὸς τὸ ὄντως ὄν. Ὡς οὖν ψυχὴ πᾶσα εἰς νοῦν ἀνήρτηται, καὶ νοῦς εἰς τὸ νοητὸν ἐπέστραπται, οὕτω δὴ καὶ οἱ ὑπερκόσμιοι θεοὶ τῶν νοερῶν ἐξέχονται, καθάπερ δὴ καὶ οὗτοι τῶν νοητῶν.

ΡΞΕ'. Πᾶν τὸ πλῆθος τῶν ἑνάδων τῶν μετεχομένων ὑπό τινος αἰσθητοῦ σώματος ἐγκόσμιόν ἐστιν· ἐλλάμπει γὰρ ἐπὶ τῶν τοῦ κόσμου μερῶν καὶ διὰ μέσου τοῦ νοῦ καὶ τῆς ψυχῆς· οὔτε γὰρ νοῦς ἄνευ ψυχῆς πάρεστί τινι τῶν ἐγκοσμίων σωμάτων, οὔτε θεότης ἀμέσως συνάπτεται καὶ ψυχῇ· διὰ γὰρ τῶν ὁμοίων αἱ μεθέξεις. Καὶ αὐτὸς ὁ νοῦς κατὰ τὸ νοητὸν τὸ ἑαυτοῦ καὶ τὸ ἀκρότατον μετέχει τῆς ἑνάδος. Ἐγκόσμιοι οὖν αἱ ἑνάδες, ὡς συμπληροῦσαι τὸν ὅλον κόσμον, καὶ ὡς ἐκθεοῦσαί τι καὶ τῶν ἐμφανῶν σωμάτων. Θεῖον γὰρ καὶ τούτων ἕκαστόν ἐστιν, οὐ διὰ τὴν ψυχήν, οὐ γὰρ αὕτη πρώτως θεός, οὐδὲ διὰ τὸν νοῦν· οὐδὲ γὰρ οὗτος τῷ ἑνὶ ὁ αὐτός· ἀλλ' ἔμψυχον μὲν, καὶ ἐξ αὑτοῦ κινούμενον, διὰ ψυχήν· ἀεὶ δὲ ὡσαύτως ἔχον καὶ τάξει τῇ ἀρίστῃ φερόμενον, διὰ τὸν νοῦν· θεῖον δὲ διὰ τὴν ἕνωσιν. Καὶ εἰ δύναμιν ἔχει προνοητικὴν, διὰ ταύτην ἐστὶ τὴν αἰτίαν τοιοῦτον.

ΡΞϚ'. Πᾶς νοῦς ἀμέθεκτός ἐστιν ἢ μεθεκτός· καὶ εἰ μεθεκτὸς, ἢ ὑπὸ τῶν ὑπερκοσμίων ψυχῶν μετεχόμενος, ἢ ὑπὸ τῶν ἐγκοσμίων. Παντὸς μὲν γὰρ τοῦ πλήθους τῶν νόων ὁ ἀμέθεκτος ἡγεῖται, πρωτίστην ἔχων ὕπαρξιν· τῶν δὲ μετεχομένων οἱ μὲν τὴν ὑπερκόσμιον καὶ ἀμέθεκτον ἐλλάμπουσι ψυχήν, οἱ δὲ τὴν ἐγκόσμιον. Οὔτε γὰρ ἀπὸ τοῦ ἀμεθέκτου τὸ πλῆθος εὐθὺς τὸ ἐγκόσμιον· εἴπερ αἱ πρόοδοι διὰ τῶν ὁμοίων· ὁμοιότερον δὲ τῷ ἀμεθέκτῳ τὸ χωριστὸν τοῦ κόσμου μᾶλλον, ἢ τὸ διηρημένον περὶ αὐτόν· οὔτε μόνον τὸ ὑπερκόσμιον ὑπέστη πλῆθος, ἀλλ' εἰσὶ καὶ ἐγκόσμιοι [illegible], εἴπερ καὶ θεῶν ἐγκόσμιον πλῆθος, καὶ αὐτὸς ὁ κόσμος ἔμψυχος ἅμα καὶ ἔννους ἐστί. Καὶ ἡ μέθεξις ταῖς ἐγκοσμίοις ψυχαῖς τῶν ὑπερκοσμίων [illegible] ἐστὶ τῶν ἐγκοσμίων [illegible]

aliorum Deorum, si modo ut illa, quae inter se mutuo participant, sic etiam ipsae eorum quae participantur substantiae se habent.

CLXIII. Omnis Unitatum multitudo, quae participatur ab imparticipabili Mente, est intellectualis. Ut enim se habet Mens ad illud quod est vere Ens, sic etiam Unitates istae se habent ad intelligibiles Unitates.

Si igitur illae, quae Mentem collustrant, intelligibiles sunt, ideo et istae, quae collustrant divinam et imparticipabilem mentem, intellectuales sunt: verum non ita intellectuales, ut in Mente subsistentes; sed ut secundum causam ante mentem exsistentes, et ut illae, quae mentem progenuerunt.

CLXIV. Omnis Unitatum multitudo, quae participatur ab omni imparticipabili anima, est supermundana.

Quoniam enim imparticipabilis anima est primo super ipsum mundum, et illi Dii, qui ab ipsa participantur, supermundani sunt, eandem proportionem habentes ad intellectuales et intelligibiles *deos*, quam habet anima ad mentem, et mens ad illud quod est vere Ens. Ut igitur omnis anima ex mente pendet, et mens ad mentem intelligibile est conversa (*vel convertitur ac revertitur*), sic etiam ipsi supermundani dii ex intellectualibus pendent, ut etiam isti *pendent* ex intelligibilibus.

CLXV. Omnis multitudo Unitatum, quae participantur ab aliquo sensili corpore, mundana est. Collustrat enim partes mundi *per interventum* mentis et animae. Neque enim Mens sine anima adest ulli corporum mundanorum, neque Deitas et anima conjungitur immediate: nam communicationes *et conjunctiones fiunt* per similia. Et ipsa mens secundum suum intelligibile et summum participat Unitatem. Unitates igitur mundanae *dicuntur*, ut illae, quae totum Mundum complent, et *ut illae quae sunt* ex diis aliquid, et *ut illae, quae sunt aliquid* manifestorum corporum. Nam horum quoque *corporum, ut supra dictum est*, unumquodque divinum est, non propter ipsam animam, non enim ista primo Deus *est*; neque propter ipsam Mentem; nam ne ista quidem eadem est atque ipsum Unum. Sed *ipsum corpus* animatum quidem *est*, et per se movetur, propter animam; semper vero pariter se habet, et ordine optimo fertur, propter ipsam Mentem. Divinum denique *dicitur et est* propter Adunationem. Et si facultatem habet providendi vi praeditam, propter istam causam (*cum divina Mente conjunctionem*) est tale.

CLXVI. Omnis Mens imparticipabilis est, vel participabilis. Et si participabilis *est*, vel a supermundanis animabus participatur, vel ab illis quae sunt in mundo. Nam omni quidem multitudini *Mens* imparticipabilis praeest, primam habens substantiam. Harum vero *Mentium* quae participantur, aliae quidem supermundanam et imparticipabilem animam illuminant; aliae vero *collustrant* animam illam quae est in mundo. Haud enim ab eo quod est imparticipabile, mundana multitudo statim *oritur*, siquidem ipsi progressus per similia *fiunt*. Similius autem *est* ei quod est imparticipabile, illud quod separatum *est* a mundo, similius, *inquam*, quam illud quod est divisum circa ipsum (*mundum*). Non solum *autem* exstitit supermundana multitudo, sed sunt etiam *qui degunt in mundo*, siquidem et Deorum *est* in mundo versans multitudo, et ipse mundus est animatus simul et mente praeditus. Et illa communio supermundanorum Deorum, quae fruuntur animae degentes in Mundo, fit propter mediam Mentium in Mundo comprehensarum

ΡΞΖ'. Πᾶς νοῦς ἑαυτὸν νοεῖ, ἀλλ' ὁ μὲν πρώτιστος ἑαυτὸν μόνον· καὶ ἓν κατ' ἀριθμὸν ἐν τούτῳ νοῦς καὶ νοητόν. Ἕκαστος δὲ τῶν ὑφεξῆς ἑαυτὸν ἅμα καὶ τὰ πρὸ αὐτοῦ· καὶ νοητόν ἐστι τούτων τὸ μὲν ὅ ἐστι, τὸ δὲ ἀφ' οὗ ἐστιν· ἢ γὰρ ἑαυτὸν νοεῖ πᾶς νοῦς, ἢ τὸ ὑπὲρ ἑαυτόν, ἢ τὸ μεθ' ἑαυτόν.

Ἀλλ' εἰ μὲν τὸ μεθ' ἑαυτόν, πρὸς τὸ χεῖρον ἐπιστρέψει, νοῦς ὤν. Καὶ οὐδὲ οὕτως ἐκεῖνος αὐτὸ γνώσεται, πρὸς ὃ ἐπέστρεψεν, ἅτε οὐκ ὢν ἐν αὐτῷ, ἀλλ' ἔξω αὐτοῦ· τὸν δὲ ἀπ' αὐτοῦ τύπον μόνον, ὡς ἐν ἑαυτῷ γέγονεν ἀπ' ἐκείνου. Ὃ γὰρ ἔχει, οἶδε, καὶ ὃ πέπονθεν, οὐχ ὃ μὴ ἔχει, καὶ ἀφ' οὗ οὐ πέπονθεν.

Εἰ δὲ τὸ ὑπὲρ αὐτόν, εἰ μὲν διὰ τῆς ἑαυτοῦ γνώσεως, ἑαυτὸν ἅμα κἀκεῖνο γνώσεται· εἰ δὲ ἐκεῖνο μόνον, ἑαυτὸν ἀγνοήσει, νοῦς ὤν.

Ὅλως δὲ τὸ πρὸ αὐτοῦ γινώσκων, οἶδεν ἄρα, ὅτι καὶ αἴτιόν ἐστιν ἐκεῖνο, καὶ ὧν αἴτιον. Εἰ γὰρ ταῦτα ἀγνοήσει, κἀκεῖνο ἀγνοήσει τὸ τῷ εἶναι παράγον, ἃ παράγει, καὶ ἃ παράγει, μὴ γινώσκων. Ἃ δὲ ὑφίστησι, καὶ ὧν αἴτιον τὸ πρὸ αὐτοῦ γινώσκον, καὶ ἑαυτὸν ἐκεῖθεν ὑποστάντα γνώσεται. Πάντως ἄρα τὸ πρὸ αὐτοῦ γινώσκων γνώσεται καὶ ἑαυτόν.

Εἰ οὖν τις ἔστι νοῦς νοητός, ἐκεῖνος ἑαυτὸν εἰδώς, καὶ τὸν νοητὸν οἶδε, νοητὸς ὤν, ὅ ἐστιν οὗτος.

Ἕκαστον δὲ τῶν μετ' ἐκεῖνον τὸ ἐν αὐτῷ νοητὸν νοεῖ, ἅμα καὶ τὸ πρὸ αὐτοῦ. Ἔστιν ἄρα καὶ ἐν τῷ νῷ νοητόν, καὶ ἐν τῷ νοητῷ νοῦς· ἀλλ' ὁ μὲν τῷ νοητῷ ὁ αὐτός, ὁ δὲ τῷ νοοῦντι· τῷ μὲν ἐν αὐτῷ, ὁ αὐτός· τῷ πρὸ αὐτοῦ δέ, οὐχ ὁ αὐτός. Ἄλλο γὰρ τὸ ἁπλῶς νοητόν, καὶ ἄλλο τὸ ἐν τῷ νοοῦντι νοητόν.

ΡΞΗ'. Πᾶς νοῦς κατ' ἐνέργειαν οἶδεν, ὅτι νοεῖ, καὶ οὐκ ἄλλου μὲν ἴδιον τὶ νοεῖν, ἄλλου δὲ τὸ νοεῖν, ὅτι νοεῖ. Εἰ γάρ ἐστι κατ' ἐνέργειαν νοῦς, καὶ νοεῖ ἑαυτὸν οὐκ ἄλλον ὄντα παρὰ τὸ νοούμενον, οἶδεν ἑαυτὸν καὶ ὁρᾷ ἑαυτόν.

Ὁρῶν δὲ νοοῦντα καὶ ὁρῶντα γινώσκων οἶδεν, ὅτι νοῦς ἐστι κατ' ἐνέργειαν· τοῦτο δὲ εἰδὼς οἶδεν ὅτι νοεῖ, καὶ οὐχ ἃ ἐννοεῖ μόνον. Ἅμα ἄρα ἄμφω οἶδε, καὶ τὸ νοητόν, καὶ ὅτι νοεῖ ἐκεῖνο, καὶ νοεῖται ὑφ' ἑαυτοῦ νοοῦντος.

ΡΞΘ'. Πᾶς νοῦς ἐν αἰῶνι τήν τε οὐσίαν ἔχει, καὶ τὴν δύναμιν, καὶ τὴν ἐνέργειαν. Εἰ γὰρ ἑαυτὸν νοεῖ, καὶ ταὐτὸ νοῦς καὶ νοητόν, καὶ νόησις τῷ νῷ ταὐτὸ καὶ τῷ νοητῷ. Μέση γὰρ οὖσα τοῦ τε νοοῦντος καὶ τοῦ νοουμένου, τῶν αὐτῶν ἐκείνων ὄντων, ἔσται δήπου καὶ ἡ νόησις ἡ αὐτὴ πρὸς ἄμφω. Ἀλλὰ μὴν ὅτι ἡ οὐσία τοῦ νοῦ αἰώνιος, [δῆλον]· ὅλη γὰρ ἅμα ἐστὶ καὶ ἡ νόησις ὡσαύτως, εἴπερ τῇ οὐσίᾳ ταὐτόν.

Εἰ γὰρ ἀκίνητος ὁ νοῦς, οὐκ ἂν ὑπὸ χρόνου μετροῖτο, οὔτε κατὰ τὸ εἶναι, οὔτε κατὰ τὴν ἐνέργειαν· τούτων δὲ ὡσαύτως ἐχόντων, καὶ ἡ δύναμις αἰώνιος.

CLXVII. Omnis Mens se ipsam percipit ac *intelligit*, sed prima quidem, se ipsam tantum *intelligit*. Et Unum numero in ista *prima Mente simul est* Mens et intelligibile. Unaquæque vero *Mentium* illarum, quæ sunt deinceps, se ipsam simul et ea, quæ sunt ante ipsam, *percipit et intelligit*. Et intelligibile est harum partim, quod est *ipsa Mens*, partim a quo est. Vel enim se ipsam cognoscit quælibet Mens, vel *cognoscit* illud quod est supra se ipsam, vel illud quod est post se ipsam.

Sed si quidem *intelligit et cognoscit* illud quod est post se ipsam, cum sit mens, ad deterius se *convertet ac revertetur*. Et ne sic quidem illa *Mens* id cognoscet, ad quod reversa fuerit, quippe quod non fuerit in se ipsa, sed extra se ipsam: sed notam *a prima Mente manantem cognoscet* tantum, *et sciet*, quomodo in se ipsa fuerit ab illa *prima Mente manans*. Quod enim habet, novit, et quod patitur; non autem, quod non habet, et a quo nihil patitur.

Si vero *cognoscit illud* quod est supra se ipsam, si quidem per sui ipsius cognitionem *hoc assequitur*, se ipsam simul et illud cognoscet: si vero illud tantum *cognoscit*, se ipsam ignorabit, quamvis sit Mens.

Omnino vero cognoscens illud quod est ante ipsam, novit igitur, quod illud est et causa, et quorum est causa. Si enim hæc ignorarit, illud etiam ignorabit, quod eo ipso, quod est, producit quæ producit, et quæ producit, non cognoscens. Quod vero constituit, et quorum causa *est illud* quod ante ipsum *est*, qui cognoscit, is etiam se ipsum illinc natum cognoscet. Omnino igitur *Mens* cognoscens id quod est ante ipsam, se ipsam quoque cognoscet.

Si qua igitur est Mens intelligibilis illa se ipsam cognoscens, et ipsam intelligibilem *Mentem* cognoscit, intelligibilis *Mens* existens, *id* quod est ista *Mens*.

Unaquæque vero *Mentium* illarum, quæ sunt post illam *primam Mentem*, id quod intelligibile *est (et quod mente percipi potest)* cognoscit simul et id quod est ante ipsam. Est igitur et in ipsa intelligibile et in ipso intelligibili *est* Mens. Sed alia quidem *Mens* eadem *est* cum intelligibili, alia vero cum intelligente, quod quidem in ipsa *est*, eadem *est*; cum eo vero quod est ante ipsam, non *est* eadem. Aliud enim *est* ipsum simpliciter intelligibile, et aliud ipsum intelligente *et cognoscente* mente intelligibile.

CLXVIII. Omnis Mens actu novit, quod intelligit; neque alius quidem proprium est, ipsum cognoscere, alius vero, ipsum cognoscere quod cognoscit. Si enim est actu Mens, et cognoscit se ipsam non aliam esse, quam illud ipsum quod cognoscitur, *ergo Mens* novit se ipsam et videt se ipsam.

Videns vero cognoscentem, et videntem cognoscens, novit quod Mens est per actionem. Hoc vero cognoscens, cognoscit se cognoscere, non ea tantum *cognoscit*, quæ in mente habet *et cogitat*. Simul igitur hæc duo novit, et ipsum intelligibile et quod cognoscit illud et cognoscitur a se ipso *illud* cognoscente.

CLXIX. Omnis Mens in ævo habet et essentiam, et potestatem, et actum. Si enim *Mens* se ipsam cognoscit, et idem *est* Mens et intelligibile; etiam intelligentia idem est atque intellectus et intelligibile. Cum enim *Intelligentia* sit media inter illud quod cognoscit et illud quod cognoscitur, quando hæc *duo* sunt eadem, erit igitur profecto et ipsa intelligentia eadem apud ambo (*respectu amborum*). Verum quod mentis essentia est æterna, *manifeste constat*. Tota enim simul est, et ipsa intelligentia pariter, si quidem est idem cum ipsa essentia.

Si vero immobilis *est* intellectus, non a tempore mensuratur, neque secundum Esse, neque secundum actum. Cum vero hæc eodem modo semper se habeant, etiam *intellectus* potentia est æterna.

ΡΟ'. Πᾶς νοῦς πάντα ἅμα νοεῖ· ἀλλ' ὁ μὲν ἀμέθεκτος ἁπλῶς πάντα, τῶν δὲ μετ' ἐκεῖνον ἕκαστος καθ' ἓν ἅπαντα. Εἰ γὰρ ἅπας νοῦς ἐν αἰῶνι τήν τε οὐσίαν ἱδρύσατο τὴν ἑαυτοῦ, καὶ ἅμα τῇ οὐσίᾳ τὴν ἐνέργειαν, πάντα ἅμα νοήσει.

Πᾶσι γὰρ κατὰ μέρος ἄλλο καὶ ἄλλο τῶν ἐφεξῆς, οὐκ ἐν αἰῶνι· τὸ γὰρ ἐφεξῆς ἐν χρόνῳ πᾶν· πρότερον γὰρ καὶ ὕστερον τὸ ἐφεξῆς, ἀλλ' οὐχ ὁμοῦ πᾶν.

Εἰ μὲν οὖν ὁμοίως πάντα νοήσουσι πάντες, οὐ διοίσουσιν ἀλλήλων· εἰ γὰρ ὁμοίως [**] πάντα εἰσίν, ἃ νοοῦσιν, ὄντες· ὁμοίως δὲ πάντα ὄντες, οὐχ ὁ μὲν ἀμέθεκτος, ὁ δὲ οὔ.

Ὧν γὰρ νοήσεις αἱ αὐταί, καὶ αἱ οὐσίαι· εἴπερ ἡ νόησις ἡ ἑκάστου ταὐτὸν τῷ ἑκάστου εἶναι, καὶ ἕκαστος ἄμφω, καὶ ἡ νόησις, καὶ τὸ εἶναι. Λείπεται δὴ οὖν, ἢ μὴ ὁμοίως πάντα νοεῖν ἕκαστον, ἀλλ' ἕν, ἢ πλείω, μὴ πάντα δὲ ὅμως, ἢ πάντα καθ' ἕν.

Ἀλλὰ τὸ μὲν μὴ πάντα νοεῖν λέγειν νοῦν ἐστι ποιεῖν ἀγνοοῦντά τι τῶν ὄντων. Εἰ γὰρ μεταβήσεται καὶ νοήσει, οὐχ ἅμα, ἀλλὰ πρότερον καὶ ὕστερον, ἀκίνητος ὤν, (καὶ) ἔσται ψυχῆς χείρων τῆς ἐν τῷ κινεῖσθαι πάντα νοούσης, διὰ τὸ μένειν ἓν μόνον νοῶν. Πάντα ἄρα νοήσει καθ' ἕν· ἢ γὰρ πάντα, ἢ ἕν, ἢ πάντα καθ' ἕν, τῆς νοήσεως ἀεὶ μὲν καὶ ἐν πᾶσι πάντων οὔσης· τὰ δὲ πάντα ἑνὶ τῶν πάντων ἀφοριζούσης. Ὥστε εἶναί τι κρατοῦν ἐν τῇ νοήσει καὶ τοῖς νοουμένοις, ἓν πάντων ἅμα κατὰ τὸ ἓν νοουμένων, καὶ τοῦ ἑνὸς αὐτῷ τὰ πάντα χαρακτηρίζοντος.

ΡΟΑ'. Πᾶς νοῦς ἀμέριστός ἐστιν οὐσία. Εἰ γὰρ ἀμεγέθης καὶ ἀσώματος καὶ ἀκίνητος, ἀμέριστός ἐστι· πᾶν γὰρ τὸ ὁπωσοῦν μεριστόν, ἢ κατὰ μέγεθος, ἢ κατὰ πλῆθος, ἢ κατὰ τὰς ἐνεργείας ἐστὶ μεριστὸν ἐν χρόνῳ φερομένας· ὁ δὲ νοῦς κατὰ πάντα αἰώνιος, καὶ ἐπέκεινα σωμάτων, καὶ ἥνωται τὸ ἐν αὐτῷ πλῆθος. Ἀμέριστος ἄρα ἐστίν.

Ὅτι μὲν οὖν ἀσώματος ὁ νοῦς, ἡ πρὸς ἑαυτὸν ἐπιστροφὴ δηλοῖ· τῶν γὰρ σωμάτων οὐδὲν πρὸς ἑαυτὸ ἐπιστρέφεται. Ὅτι δὲ αἰώνιος, ἡ τῆς ἐνεργείας ταὐτότης πρὸς τὴν οὐσίαν· οὕτω γὰρ δέδεικται πρότερον. Ὅτι δὲ ἥνωται τὸ πλῆθος, ἡ πρὸς τὰς ἑνάδας τὰς θείας τοῦ νοεροῦ πλήθους συνέχεια.

Αἱ μὲν γὰρ εἰσι πρῶτον πλῆθος· οἱ δὲ νόες μετ' ἐκείνας. Εἰ οὖν καὶ πλῆθος ἅπας νοῦς, ἀλλ' ἡνωμένον πλῆθος· πρὸ γὰρ τοῦ διῃρημένου συνεπτυγμένον καὶ ἐγγυτέρω τοῦ ἑνός.

ΡΟΒ'. Πᾶς νοῦς ἀϊδίων ἐστὶ προσεχῶς καὶ ἀμεταβλήτων κατ' οὐσίαν ὑποστάτης· τὸ γὰρ ἀπὸ ἀκινήτου παραγόμενον αἰτίας ἅπαν ἀμετάβλητόν ἐστι κατὰ τὴν οὐσίαν· νοῦς δὲ ἀκίνητος, αἰώνιος πάντα ὤν, καὶ ἐν αἰῶνι μένων, καὶ τῷ εἶναι παράγει, ἃ παράγει. Εἰ δὲ ἀεί ἐστι, καὶ ὡσαύτως ἐστίν, ἀεὶ παράγει καὶ ὡσαύτως

CLXX. Omnis intellectus omnia simul cognoscit. Sed imparticipabilis quidem *Mens* simpliciter omnia cognoscit: illorum vero *intellectuum*, qui *sunt* post illum, unusquisque singulatim omnia *intelligit*. Si enim omnis intellectus in aeterno et essentiam suam locavit, et simul cum essentia actum, omnia simul intelliget.

Omnibus enim *quae sunt* secundum partem aliud et aliud *adest* eorum quae sunt deinceps, non in aevo. Omne enim quod est deinceps, *est* in tempore. Illud enim quod est deinceps, *est* prius et posterius, sed non simul *est* omne.

Quodsi igitur omnia omnes *Mentes* cognoscent, non differrent aliae ab aliis. Si enim pariter omnes [omnia cognoscunt, pariter *ergo omnes*] omnia sunt, quae cognoscunt, dum sunt. Pariter vero si *Mentes omnes* omnia sunt, *ergo* non alia quidem *est* imparticipabilis, alia vero non.

Quorum enim *sunt* intelligentiae eaedem, *sunt* etiam essentiae: siquidem uniuscujusque *Mentis* intelligentia idem *est* cum ipsa uniuscujusque *Mentis* Esse, et unaquaeque *Mens est* ambo, *scilicet* et ipsa Intelligentia, et ipsum Esse. Restat igitur, ut unaquaeque *Mens* vel non pariter omnia cognoscat: sed unum *tantum*, vel plura, non autem omnia pariter, vel omnia in Uno *vel singulatim*.

Sed ipsum quidem dicere *unamquamque Mentem* non omnia cognoscere, Mentem est facere ignorantem aliquid ipsorum Entium (*rerum quae sunt in rerum natura*). Si enim *ipsa Mens alio* transibit et movetur, *et aliquid* cognoscet, non simul *omnia cognoscit*, sed *alia* prius et *alia* posterius, immobilis existens, et sic *ipsa Mens erit* animâ deterior, quae, dum movetur, omnia cognoscit, quia *Mens* propter ipsum manere (*quod immota maneat*) unum tantum cognoscit. Omnia igitur *Mens* cognoscet in Uno *vel singulatim*. Vel enim omnia *simul* cognoscet, vel Unum *tantum*, vel omnia in Uno (*quod in se continet vim totius*), cum intelligentia semper et in omnibus *intellectibus* omnium *rerum* sit, verum omnia per Unum omnium finiat. Quamobrem aliquid est, quod principatum obtinet in Intelligentia et *in* iis quae per Intelligentiam cognoscuntur, quod omnia simul Unum *tantum* per ipsum Unum intelliguntur, et ipsum Unum *Menti* per id (*Unum*) omnia figuret *ac repraesentet*.

CLXXI. Omnis Mens est individua essentia. Si enim *Mens est* expers magnitudinis et incorporea et immobilis, individuum *quid* est. Nam omne, *quod est* quomodocunque divisum, vel per magnitudinem, vel per multitudinem, vel per actus divisum est, quae in tempore feruntur. Ipsa vero Mens per omnia *est* aeterna, et superior corporibus, et multitudo, quae est in ipsa *Mente*, est unita. Est igitur individua.

Quod igitur Mens *sit* incorporea, ipsa ad se ipsam reversio declarat. Nullum enim corpus ad se revertitur. Quod vero *sit* aeterna ipsa actionis identitas in ipsa essentia, *satis constat*: sic enim *eam habere*, prius demonstratum est. Quod vero *Mentis* multitudo sit unita, *id declarat* ipsa multitudinis intellectualis cohaerentia cum divinis Unitatibus.

Nam istae quidem sunt prima multitudo, sed Mentes *sunt* post illas *Unitates*. Quamvis igitur et omnis Mens *sit* multitudo, tamen *est* unita multitudo. Nam ante illud quod est divisum, est illud quod est complicatum *et constrictum*, et quod est propinquius ipsi Uni.

CLXXII. Omnis intellectus est proxime *rerum* aeternarum et essentia immutabilium procreator. Quod enim ab immobili producitur causa, omne est immutabile essentia. Mens vero immobilis in aeternum *est*, quoniam est omnia, et in aeterno manet, et propter ipsum Esse producit ea quae producit. Si vero *Mens* semper est, et eodem modo est, *ergo* semper producit et eodem modo. Erat

οὐχ ἄρα ποτὲ μὲν ὄντων, ποτὲ δὲ μὴ ὄντων αἴτιος, ἀλλὰ τῶν ἀεὶ ὄντων.

ΡΟΓ'. Πᾶς νοῦς νοερός ἐστι, καὶ τὰ πρὸ αὐτοῦ, καὶ τὰ μετ' αὐτόν. Τὰ μὲν γάρ ἐστι κατ' αἰτίαν, ὅσα μετ' αὐτόν· τὰ δὲ κατὰ μέθεξιν, ὅσα πρὸ αὐτοῦ· νοῦς δὲ ὁ αὐτός ἐστι καὶ νοερὰν ἔλαχεν οὐσίαν. Κατὰ τὴν αὐτοῦ ἄρα ὕπαρξιν ἀφορίζει πάντα, καὶ ἃ κατ' αἰτίαν ἐστίν, ὡς τὰ κατὰ μέθεξιν. Καὶ γὰρ ἕκαστον, ὡς πέφυκεν, οὕτω μετέχει τῶν κρειττόνων, ἀλλ' οὐχ ὡς ἐκεῖνα ἐκεῖνά ἐστιν.

Ἢ γὰρ ἂν ὡσαύτως ὑπὸ πάντων μετείχετο· μετέχει δὲ ἄλλα ἄλλως· κατὰ τὴν ἰδιότητα ἄρα τῶν μετεχόντων καὶ δύναμιν αἱ μεθέξεις. Νοερῶς ἄρα ἐν τῷ νῷ τὰ πρὸ αὐτοῦ. Ἀλλὰ μὴν καὶ τὰ μετ' αὐτὸν νοερῶς ἐστιν· οὐ γὰρ ἐκ τῶν ἀποτελεσμάτων ἐστίν, οὐδὲ ἐκεῖνα ἔχει ἐν ἑαυτῷ, ἀλλὰ τὰς αἰτίας τὰς ἐκείνων. Ἔστι δὲ πάντων τῷ εἶναι αἴτιος.

Τὸ δὲ εἶναι αὐτοῦ νοερόν, καὶ τὰ αἴτια ἄρα νοερῶς ἔχει τῶν πάντων· ὥστε πάντα νοερῶς ἔχει πᾶς νο[ῦς], καὶ τὰ πρὸ αὐτοῦ, καὶ τὰ μετ' αὐτόν· ὡς οὖν τὰ νοητὰ νοερῶς ἔχει πᾶς νοῦς, οὕτω καὶ τὰ αἰσθητὰ νοερῶς.

ΡΟΔ'. Πᾶς νοῦς τῷ νοεῖν ὑφίστησι τὰ μετ' αὐτόν, καὶ ἡ ποίησις ἐν τῷ νοεῖν, καὶ ἡ νόησις ἐν τῷ ποιεῖν.

Εἰ γὰρ νοητόν ἐστι καὶ νοῦς ταὐτόν, καὶ τὸ εἶναι ἑκάστου τῇ νοήσει τῇ ἐν ἑαυτῷ ταὐτόν.

Ποιεῖ δέ, ἃ ποιεῖ, τῷ εἶναι, καὶ παράγει κατὰ τὸ εἶναι, ὅ ἐστι, καὶ τῷ νοεῖν ἂν παράγοι τὰ παραγόμενα. Τὸ γὰρ εἶναι καὶ τὸ νοεῖν ἓν ἄμφω· καὶ γὰρ ὁ νοῦς, καὶ πᾶν τὸ ὄν, τῷ ἐν αὐτῷ ταὐτόν. Εἰ οὖν ποιεῖ τῷ εἶναι, τὸ δὲ εἶναι νοεῖν ἐστι, ποιεῖ τῷ νοεῖν· καὶ ἡ νόησις ἡ κατ' ἐνέργειαν ἐν τῷ νοεῖν. Τοῦτο δὲ τῷ εἶναι ταὐτόν· τὸ δὲ εἶναι ἐν τῷ ποιεῖν. Τὸ γὰρ ἀκινήτως ποιοῦν τὸ εἶναι ἐν τῷ νοεῖν ἀεὶ ἔχει· καὶ ἡ νόησις ἄρα ἐν τῷ ποιεῖν.

ΡΟΕ'. Πᾶς νοῦς ὑπὸ τῶν κατ' οὐσίαν ἅμα καὶ ἐνέργειαν νοερῶν μετέχεται πρώτως. Ἀνάγκη γὰρ ἢ ὑπὸ τούτων, ἢ ὑπ' ἄλλων, τῶν νοερὰν μὲν ἐχόντων τὴν οὐσίαν, μὴ ἀεὶ δὲ νοούντων· ἀλλ' ὑπ' ἐκείνων ἀδύνατον· καὶ γὰρ ἡ ἐνέργεια τοῦ νοῦ ἀκίνητος. Καὶ ὑφ' ὧν ἄρα μετέχεται, ταῦτα ἀεὶ μετέχει τῆς νοερᾶς ἐνεργείας, ἀεὶ νοερὰ τὰ μετέχοντα ποιούσης. Τῷ γὰρ αἰωνίῳ τῆς ἐνεργείας τὸ ἐν μέρει τινὶ τοῦ χρόνου τὴν ἐνέργειαν ἔχον ἀσύναπτον.

Μεταξὺ δέ, ὥσπερ ἐν ταῖς οὐσίαις, οὕτω δὴ καὶ ἐν ταῖς τῶν ἐνεργειῶν ἐξαλλαγαῖς, τῆς αἰωνίου πάσης ἐνεργείας καὶ τῆς ἔν τινι χρόνῳ τελείας ἡ κατὰ πάντα τὸν χρόνον ἔχουσα τὸ τέλειον. Οὐδαμοῦ γὰρ αἱ πρόοδοι γίνονται ἀμέσως, ἀλλὰ διὰ τῶν συγγενῶν καὶ ὁμοίων, κατά τε τὰς ὑποστάσεις καὶ τὰς τῶν ἐνεργειῶν τελειότητας.

Ὡσαύτως πᾶς ἄρα νοῦς ὑπ' ἐκείνων μετέχεται πρώ[τως]

non est auctor eorum quæ modo quidem sunt, modo vero non sunt, sed eorum quæ semper sunt.

CLXXIII. Omnis Mens est intellectualis, et quæ sunt ante ipsam et post ipsam, *eodem modo sunt intellectualia*. Nam illa quidem, quæ sunt post ipsam, sunt secundum causam; illa vero quæ sunt ante ipsam, sunt secundum communionem; eadem tamen est Mens, et intellectualem essentiam est sortita. Proinde secundum ipsius substantiam definit omnia, et quæ secundum causam sunt, sicut *ea* quæ secundum communionem. Et enim unumquodque, ut natura comparatum est, ita participat præstantiorum, sed non ut illa sunt illa.

Profecto enim pariter ab omnibus *unumquodque* participaretur. Participant vero alia aliter (*aliter hoc, aliter illud*). Ergo per ipsorum participantium proprietatem et potestatem participationes *et communiones sunt*. Intellectualiter igitur in ipsa Mente *sunt ea* quæ sunt ante ipsam. Quinetiam ea quæ sunt post ipsam *Mentem*, est intellectus. Non enim ex ipsis *causarum effectis est nec inde pendet*, nec illa habet *Mens* in se ipsa, sed ipsas illorum causas. *Mens igitur* propter *suum* Esse *rerum* omnium est autor.

Ipsum vero *Mentis* ipsius Esse intellectuale *est*, ergo et ipsas *rerum* omnium causas intellectualiter habet. Quamobrem omnis Mens omnia intellectualiter habet, et ea quæ sunt ante ipsam, et ea quæ sunt post ipsam. Ut igitur omnis Mens ipsa intelligibilia intellectualiter habet, sic etiam ipsa sensilia intellectualiter *habet*

CLXXIV. Omnis Mens per ipsam Mentis perceptionem *et cognitionem* constituit ea quæ sunt post ipsam, et effectio *est* in ipsa mentis perceptione, et mentis perceptio *est* in ipsa effectione

Si enim intelligibile et Mens est idem, etiam ipsa essentia uniuscujusque *intellectus* idem *est* atque intelligentia, quæ *est* in ipso.

Facit vero *Mens* ea quæ facit, per ipsum Esse, et producit secundum ipsum Esse *illud* quod est ; *quare* et per ipsam mente perceptionem (*per intelligentiam et cognitionem*) *ea* produceret, quæ producuntur. Nam ipsum Esse et ipsum intelligere ambo *sunt* unum. Etenim Mens, et omne Ens, et quod est in se ipso, idem est. Si igitur *Mens* facit *et agit* per ipsum Esse, ipsum vero Esse est mente percipere, *Mens* per ipsum mente percipere facit *et agit*. Et ipsa mente perceptio, quæ per actum *est*, in ipso mente percipere *est*. Hoc vero est idem cum ipso Esse, ipsum vero Esse est in ipso facere *et agere*. Quod enim immobiliter facit, essentiam in intelligendo semper habet; ac proinde intelligentia consistit in efficiendo

CLXXV. Omnis Mens ab illis quæ per essentiam simul et *per* actionem sunt intellectualia, primo participatur. Necesse enim *est omnem Mentem participari* vel ab illis *quæ dicta sunt*, vel ab aliis, quæ intellectualem quidem essentiam habent, sed non semper mente percipiunt *ea quæ sunt in rerum natura*. Sed ab his *Mentem participari*, *est* impossibile. Etenim ipsa Mentis actio est immobilis. A quibus igitur *ipsa Mens* participatur, hæc etiam semper participant intellectualem actionem, quæ semper intellectualia facit ea quæ participant *ipsam*. Quod enim in aliqua temporis parte *suam* actionem habet, cum actionis æternitate conjungi non potest.

Ut autem in ipsis essentiis, sic etiam in ipsis actionum immutationibus *et varietatibus*, inter omnem æternam actionem et illam quæ in aliquo tempore est perfecta, est illa quæ in omni tempore perfectionem habet. Nunquam enim *rerum* progressus immediate fiunt, sed per cognata et similia, et secundum ipsas hypostases *et rerum naturas*, et ipsas actionum perfectiones

Pariter igitur omnis Mens ab illis primo participatur

τους τῶν κατὰ πάντα χρόνον νοεῖν δυναμένων, καὶ ἀεὶ νοούντων, εἰ καὶ κατὰ χρόνον, ἀλλὰ μὴ αἰωνίως ἡ νόησις. Ἐκ δὴ τούτου φανερὸν, ὅτι ψυχὴν ποτὲ νοοῦσαν, ποτὲ δὲ μὴ, νοῦ προσεχῶς μετέχειν ἀδύνατον.

ΡΟϚ'. Πάντα τὰ νοερὰ εἴδη καὶ ἐν ἀλλήλοις εἰσὶ καὶ καθ' αὑτὸ ἕκαστον. Εἰ γὰρ ἀμέριστος πᾶς νοῦς, καὶ ἡνωμένον διὰ τὴν νοερὰν ἀμέρειαν τὸ ἐν αὐτῷ πλῆθος, ἐν ἑνὶ πάντα, καὶ ἀμερεῖ ἥνωται ἀλλήλοις· καὶ φοιτᾷ πάντα διὰ πάντων.

Εἰ δὲ ἀΰλως πάντα τὰ νοερὰ εἴδη καὶ ἀσωμάτως, ἀσύγχυτά ἐστι πρὸς ἄλληλα, καὶ χωρὶς ἕκαστον, φυλάττον τὴν ἑαυτοῦ καθαρότητα, μένει, ὅ ἐστιν.

Δηλοῖ δὲ τὸ μὲν ἀσύγχυτον τῶν νοερῶν εἰδῶν ἡ τῶν ἑκάστου διακεκριμένως μετεχόντων ἰδιάζουσα μέθεξις. Εἰ μὴ γὰρ τὰ μετεχόμενα διεκέκριτο, καὶ ἦν χωρὶς ἀλλήλων, οὐδ' ἂν τὰ μετέχοντα αὐτῶν ἑκάστου μετεῖχε διακεκριμένως, ἀλλ' ἦν ἂν πολλῷ μᾶλλον ἐν τοῖς καταδεεστέροις ἀδιάκριτος σύγχυσις, χείροσιν οὖσι κατὰ τὴν τάξιν.

Πόθεν γὰρ ἂν ἐγένετο διάκρισις τῶν ὑφιστάντων αὐτὰ καὶ τελειούντων, ἀδιακρίτων ὄντων καὶ συγκεχυμένων; Τὸ δὲ αὖ ἡνωμένον τῶν εἰδῶν ἡ τοῦ περιέχοντος ἀμερὴς ὑπόστασις τεκμηριοῦται καὶ ἡ ἑνοειδὴς οὐσία.

Τὰ γὰρ ἐν ἀμερεῖ καὶ ἑνοειδεῖ τὴν ὕπαρξιν ἔχοντα ἐν τῷ αὐτῷ ἀμερίστως ὄντα. Πῶς γὰρ ἂν μερίσαις τὸ ἀμερὲς καὶ τὸ ἕν; Ὁμοῦ ἐστι, καὶ ἐν ἀλλήλοις ὅλα δι' ὅλων φοιτῶντα ἀδιαστάτως.

Οὐ γὰρ διάστατον τὸ περιέχον, καὶ ὡς ἐν διαστάτῳ, τὸ μὲν ἐν τῳδὶ, τὸ δὲ ἀλλαχοῦ, ἀλλ' ἅμα ἐν τῷ ἀμερεῖ καὶ ἑνὶ πᾶν· ὥστε καὶ ἐν ἀλλήλοις πάντα ἅμα τὰ νοερὰ εἴδη, καὶ ἐν ἀλλήλοις ἐστὶ καὶ ἡνωμένως καὶ χωρὶς ἕκαστον διακεκριμένως. Εἰ δέ τις ἐπὶ ταῖσδε ταῖς ἀποδείξεσι καὶ παραδειγμάτων δέοιτο, τὰ θεωρήματα νοείτω τὰ ἐν μιᾷ ψυχῇ· ἃ δὴ πάντα ἐν τῇ αὐτῇ ὄντα ἀμεγέθει οὐσίᾳ καὶ ἥνωται ἀλλήλοις. Τὸ γὰρ ἀμέγεθες οὐ τοπικῶς ἔχει τὰ ἐν αὐτῷ, ἀλλ' ἀμερίστως καὶ ἀδιαστάτως καὶ ἥνωται καὶ διακέκριται. Πάντα γὰρ εἰλικρινῶς ἡ ψυχὴ προάγει, καὶ χωρὶς ἕκαστον, μηδὲν ἐφέλκουσα ἀπὸ τῶν λοιπῶν, ἃ (εἰ μὴ διεκέκριτο ἀεὶ κατὰ τὴν ἕξιν) οὐδ' ἂν ἡ ἐνέργεια διέκρινε τῆς ψυχῆς.

ΡΟΖ'. Πᾶς νοῦς, πλήρωμα ὢν εἰδῶν, ὁ μὲν ὁλικωτέρων, ὁ δὲ μερικωτέρων ἐστὶ περιεκτικὸς εἰδῶν· καὶ οἱ μὲν ἀνωτέρω νόες ὁλικώτερον ἔχουσιν, ὅσα μερικώτερον οἱ μετ' αὐτούς· οἱ δὲ κατωτέρω μερικώτερον, ὅσα ὁλικώτερον οἱ πρὸ αὐτῶν. Οἱ μὲν γὰρ ἀνώτεροι δυνάμεσι χρῶνται μείζοσιν, ἑνοειδέστεροι τῶν δευτέρων ὄντες· οἱ δὲ κατωτέρω πληθυνόμενοι μᾶλλον, ἐλαττοῦσι τὰς δυνάμεις, ἃς ἔχουσι· τὰ γὰρ τῷ ἑνὶ συγγενέστερα τῷ ποσῷ, συνεσταλμένα τῇ δυνάμει, τὰ μετὰ ταῦτα ὑπεραίρει· καὶ τὰ τοῦ ἑνὸς πορρώτερον ἔμπαλιν.

Δύναμιν οὖν οἱ ἀνωτέρω προστησάμενοι μείζονα, πλῆθος δὲ ἔλαττον, δι' ἐλασσόνων κατὰ τὸ ποσὸν εἰδῶν, πλείω παράγουσι διὰ τὴν δύναμιν· οἱ δὲ μετ' ἐκείνους

quæ in omni tempore *res earumque naturas* mente percipere possunt, et semper mente percipiunt, quamvis in tempore, non autem ab æterno *nec in æternum sit* ipsa intelligentia. Ex hoc igitur perspicuum *est*, nullo modo fieri posse, ut anima, quæ *res* aliquando mente percipit, aliquando vero non, Mentem proxime participet.

CLXXVI. Omnes intellectuales formæ sunt et aliæ in aliis et unaquæque per se *et separatim*. Si enim omnis Mens *est* individua, et unita ipsa multitudo, quæ est in ipsa *Mente*, propter intellectualem individuitatem (*i. e. expertem partium rationem*), *sunt* in Una omnia, et *illa* quæ sunt partium expertia *et individua*, inter se sunt unita; et omnia per omnia pervadunt.

Si vero sine materia sunt intellectuales formæ et sine corpore, *ergo* sunt inconfusæ inter se, et separata manent. *Nam* unumquodque, suam puritatem conservans, manet *illud ipsum*, quod est.

Ipsam vero non confusam intellectualium formarum rationem indicat ipsa quamlibet rem discrete participantium dissociata communio. Nisi enim ea quæ participantur discreta essent, et alia ab aliis essent separata, neque illa quæ participant ipsorum unumquodque discrete participarent *alia*; sed in ipsis deterioribus esset multo magis indiscreta confusio, quia secundum ordinem sunt pejora.

Unde enim fieret discretio, si illa, quæ constituunt et perficiunt ipsa, essent indiscreta et confusa? Rursus vero ipsam unitam formarum rationem illa ipsius continentis partium expers hypostasis et uniformis essentia manifeste demonstrant.

Quæ enim in individua et uniformi ratione *suam* substantiam habent, in eodem individuo sunt *et sine partibus in eadem re subsistunt*. Quomodo enim partiri posses id quod est partium expers et Unum? *Hæc enim* simul sunt, et inter se tota per tota sine ullo intervallo pervadentia.

Non enim intervallo diremptum *est* illud, quod *res aliquas* continet, et aliud quidem *non est* in hoc, ut in eo quod separatum est intervallo *aliquo*, aliud vero alibi *est*; sed simul omne *est* in eo quod est partium expers, *individuum* et unum. Quamobrem etiam omnes intellectuales formæ *sunt* inter se conjunctæ et inter se sunt etiam unitæ, (*conjunctæ*), et separatim unaquæque, *et* discretæ. Si quis vero præter istas demonstrationes exemplis etiam indigeat, theoremata consideret, quæ sunt in una anima: quæ omnia profecto in eadem (*anima*) et sunt magnitudinis experte essentia, et inter se sunt unita. Quod enim est expers magnitudinis, non localiter habet ea quæ sunt in ipso, sed ea individue, et sine omni intervallo, et unita sunt et discreta sunt. Omnia enim anima pure producit, et separatim unumquodque, nihil a reliquis attrahens *ad se ipsam*, quæ (nisi semper discreta essent secundum habitum) ne ipsa quidem animæ efficacitas discerneret.

CLXXVII. Omnis mens, cum sit formarum plenitudo, alia quidem universaliores, alia vero particulariores formas continet. Et illæ quidem superiores mentes universalius habent, quæ particularius *habent* Mentes illæ, quæ sunt post ipsas *superiores Mentes*; inferiores vero particularius *habent*, quæ universalius *habent illæ Mentes* quæ sunt ante ipsas. Nam superiores quidem facultatibus utuntur majoribus, quia sunt Uni similiores, quam secundæ *Mentes*; inferiores vero, quia magis multiplicantur, minuunt illas facultates, quas habent. Quæ enim per cognationem cum Uno *sunt* conjunctiora *et propius ad Unum accedunt*, per ipsam *numeri* quantitatem contracta facultate, ea quæ sunt post hæc, superant. Et ea quæ ab Uno longius *distant*, contra se *habent*.

Illæ igitur superiores *Mentes* cum majorem facultatem sibi commissam habeant, multitudinem vero minorem *habeant*, per pauciora, secundum ipsam formarum quantitatem, plura producunt, propter facultatem ac po[illegible]

διὰ πλειόνων, ἐλάσσω κατὰ τὴν τῆς δυνάμεως ἔλλαμψιν. Εἰ οὖν ἐκεῖνοι δι' ἐλασσόνων πλείονα παράγουσιν, ὁλικώτερα τὰ ἐν αὐτοῖς εἴδη, καὶ εἰ οἵδε διὰ πλειόνων ἐλάσσονα, μερικώτερα τὰ ἐν τούτοις. Ἐξ ὧν δὴ συμβαίνει τὰ καθ' ἓν εἶδος ἐκ τῶν ὑπερτέρων ἀπογεννώμενα κατὰ πλείους ἰδέας ἐκ τῶν δευτέρων διῃρημένων παράγεσθαι· καὶ ἔμπαλιν τὰ διὰ πολλῶν καὶ διακεκριμένων εἰδῶν ὑπὸ τῶν καταδεεστέρων παραγόμενα δι' ἐλασσόνων ὁλικωτέρων ἀνωτέρω παράγεσθαι· καὶ τὸ μὲν ὅλον καὶ κοινὸν πᾶσι τοῖς μετέχουσιν ἄνωθεν παραγίνεσθαι· τὸ δὲ μεμερισμένον καὶ τὸ ἴδιον ἐκ τῶν δευτέρων.

Ὅθεν οἱ δεύτεροι νόες ταῖς τῶν εἰδῶν μερικωτέραις διακρίσεσιν ἐπιδιαρθροῦσί πως καὶ λεπτουργοῦσι τὰς τῶν πρώτων εἰδοποιΐας.

ΡΟΗ'. Πᾶν νοερὸν εἶδος ἀϊδίων ἐστὶν ὑποστατικόν. Εἰ γὰρ αἰώνιόν ἐστι καὶ ἀκίνητον πᾶν, ἀμεταβλήτων ἐστὶ κατ' οὐσίαν αἴτιον καὶ ἀϊδίων ὑποστάσεων, ἀλλ' οὐ γινομένων καὶ φθειρομένων· ὥστε πᾶν τὸ κατ' εἶδος νοερὸν ὑποστὰν, νοερὸν ἀΐδιόν ἐστι.

Καὶ γὰρ εἰ αὐτῷ τῷ εἶναι πάντα τὰ εἴδη παράγει τὰ μετὰ ταῦτα, τὸ δὲ εἶναι αὐτὸ ἀεὶ ὡσαύτως ἔχει, καὶ τὰ παραγόμενα ἀπ' αὐτῶν ὡσαύτως ἕξει, καὶ ἀΐδια ἔσται. Οὔτε ἄρα τὰ γένη τὰ κατά τινα χρόνον ἀπ' αἰτίας ὑφέστηκεν εἰδητικῆς, οὔτε τὰ φθαρτὰ, ᾗ φθαρτὰ, εἶδος ἔχει νοερὸν προϋπάρχον· ἦν γὰρ ἂν ἄφθαρτα καὶ ἀγέννητα, πρὸς ἐκεῖνα τὴν ὑπόστασιν ἔχοντα.

ΡΟΘ'. Πᾶς ὁ νοερὸς ἀριθμὸς πεπέρασται. Εἰ γάρ ἐστι μετ' αὐτὸ ἄλλο πλῆθος κατ' οὐσίαν ὑφειμένον, καὶ οὕτως πορρώτερον τοῦ ἑνὸς, ἐκεῖνος δὲ ἐγγυτέρω, τὸ δὲ ἐγγύτερον τοῦ ἑνὸς ἔλασσον κατὰ τὸ ποσὸν, πλεῖον δὲ τὸ πορρώτερον, καὶ ὁ νοερὸς ἀριθμὸς ἐλάσσων ἂν εἴη παντὸς τοῦ μετ' αὐτὸν πλήθους. Οὐκ ἄρα ἄπειρός ἐστι. Πεπέρασται ἄρα τὸ πλῆθος τῶν νόων· τὸ γάρ τινος ἔλασσον οὐκ ἄπειρον, διότι τὸ ἄπειρον οὐδενὸς ἔλασσον, ᾗ ἄπειρον.

ΡΠ'. Πᾶς νοῦς ὅλος ἐστὶν, ὡς ἐκ μερῶν ὑποστὰς ἕκαστος, καὶ ἥνωται τοῖς ἄλλοις, καὶ διακέκριται ἀπ' αὐτῶν. Ἀλλ' ὁ μὲν ἀμέθεκτος νοῦς ἁπλῶς ὅλος, ὡς τὰ μέρη πάντα ὁλικῶς ἔχων ἐν ἑαυτῷ, τῶν δὲ μερικῶν ἕκαστος ὡς ἐν μέρει τὸ ὅλον ἔχει.

Καὶ οὕτω πάντα ἐστὶ μερικῶς· εἰ γὰρ καθ' ἓν πάντα, τὸ δὲ καθ' ἓν οὐδὲν ἄλλο ἐστὶν, ἢ μερικῶς, τὸ ἄρα ὅλον οὕτως ἐστὶν ἐν ἑκάστῳ τούτων μερικῶς, καθ' ἕν τι τῶν μερικῶν, ἐπικρατοῦν ἐν τοῖς πᾶσιν, ἀφοριζόμενον.

ΡΠΑ'. Πᾶς ὁ μετεχόμενος νοῦς ἢ θεῖός ἐστιν, ὡς θεῶν ἐξημμένος, ἢ νοερὸς μόνον. Εἰ γάρ ἐστιν ὁ θεῖος καὶ ἀμέθεκτος νοῦς πρώτως, τούτῳ δήπου συγγενής ἐστιν οὐχ ὁ κατ' ἀμφότερα διαφέρων, καὶ τῷ μὴ εἶναι θεῖος, καὶ τῷ μὴ ἀμέθεκτος εἶναι· τὰ γὰρ κατ' ἄμφω ἀνόμοια ἀσύναπτα ἀλλήλοις. Δῆλον δὴ οὖν, ὅτι τῇ μὲν ὅμοιόν ἐστι πρώτως ὄντι νῷ τὸ μέσον, τῇ δὲ ἀνόμοιον.

Ἢ οὖν ἀμέθεκτόν ἐστι καὶ οὐ θεῖον, ἢ μετεχόμενον

*statum majorem*: illæ vero *Mentes inferiores*, quæ sunt post illas *superiores*, per plura *producunt* pauciora secundum facultatis illuminationem (quatenus facultas vel magis vel minus elucescit ac viget). Si igitur illi *intellectus* per pauciora plura producunt, universaliores *sunt* in ipsis formæ; et si hi per plura *producunt* pauciora, particulariores *sunt formæ, quæ sunt* in istis. Ex quibus profecto contingit, ut ea, quæ per unam formam a superioribus procreantur, per plures ideas formasque producantur ab inferioribus divisis. Et contra ut ea, quæ per multas et discretas formas a deterioribus producuntur, per pauciora, *sed* universaliora, a superioribus producantur; et ut *id*, quod universum est commune omnibus iis quæ participant, superne adveniat; quod vero partitum et proprium est, a secundis *et inferioribus*.

Proinde secundi intellectus per formarum particulares discretiones articulatim quodammodo insuper explicant et subtiliter effingunt primorum *intellectuum* formarum fabricas.

CLXXVIII. Omnis intellectualis forma *rerum* æternarum est fundatrix *et sustentatrix*. Si enim omnis forma est æterna et immobilis, secundum essentiam est immutabilium et æternarum hypostaseon (*naturarum*) causa, non autem earum quæ fiunt et corrumpuntur. Quamobrem omne quod per intellectualem formam subsistit, est intellectuale æternum.

Etenim si per ipsum Esse omnes formæ producunt ea, quæ sunt post ipsas, ipsum vero Esse semper eodem modo se habet, etiam illa, quæ producuntur ab ipsis *formis*, eodem modo se habebunt, et æterna erunt. Neque igitur genera, quæ sunt in aliquo tempore, a causa formali *manantia* subsistunt, neque ea quæ corruptioni sunt obnoxia, quatenus corruptioni sunt obnoxia, formam habent intellectualem præexistentem. Essent enim corruptionis expertia et non generata, si secundum illas *præexistentes formas* suam hypostasin *atque naturam* haberent.

CLXXIX. Omnis intellectualis numerus est finitus. Si enim post ipsum est alia multitudo secundum essentiam subjecta *superiori*, et ita remotior ab Uno, ille vero numerus *intellectualis* propior *abest*, id autem quod propius *abest* ab Uno, minus *est* ad quantitatem, plus vero quod remotius *abest ab Uno*: etiam intellectualis numerus minor erit omni, quæ post ipsum *est*, multitudine. Non igitur infinitus est. Mentium igitur multitudo est finita. Quod enim aliquo minus *est*, non *est* infinitum, quoniam quod *est* infinitum, quatenus *est* infinitum, nullo minus *est*.

CLXXX. Omnis mens est tota, quod ex partibus *conflata* constat unaquæque *Mens*, et cum aliis *Mentibus* unita sit, et ab ipsis discreta sit. Sed illa quidem imparticipabilis Mens *est* simpliciter tota, ut ea quæ partes omnes universaliter habet in se *comprehensas*. Particularium vero *Mentium* unaquæque Totum ut in parte *consistens* habet.

Sic autem omnia sunt particulariter. Si enim secundum Unum omnia *sunt*, illud vero quod est secundum Unum, nihil aliud est, quam particulariter, ipsum igitur Totum sic est in unoquoque horum particulariter, secundum unum aliquod ipsorum particularium, quod in omnibus principatum obtinet, *ab aliis* separatum *ac definitum*.

CLXXXI. Omnis Mens quæ participatur, vel est divina, quod ex Diis pendeat, vel intellectualis tantum. Si enim est divina et imparticipabilis Mens primo, huic profecto cognata est non illa quæ utroque modo differt, et quod non sit divina, et quod non sit imparticipabilis. Quæ enim in *his* duobus sunt dissimilia, inter se conjungi non possunt. Perspicuum igitur *est*, quod ipsum medium partim quidem est simile illi Menti, quæ primo est, partim vero dissimile.

Igitur vel imparticipabile est, et non divinum, vel parti-

καὶ θεῖον. Ἀλλὰ πᾶν τὸ ἀμέθεκτον θεῖον, ὡς τῷ ἑνὶ ἀνάλογον τάξιν ἐν τῷ πλήθει λαχόν· ἔσται ἄρα τις νοῦς θεῖος, ἅμα καὶ μετεχόμενος. Ἀλλὰ μὴν εἶναι δεῖ νοῦν μὴ μετέχοντα τῶν θείων ἑνάδων, ἀλλὰ νοοῦντα μόνον· καθ' ἑκάστην γὰρ σειρὰν τὰ μὲν πρῶτα, καὶ τῇ ἑαυτῶν μονάδι συνημμένα, μετέχειν δύναται τῶν ἐν τῇ ὑπερκειμένῃ τάξει προσεχῶς· τὰ δὲ πολλοστὰ ἀπὸ τῆς ἀρχικῆς μονάδος οὐχ οἷά τέ ἐστιν ἐκείνων ἐξῆφθαι. Ἔστιν ἄρα καὶ νοῦς θεῖος, καὶ νοῦς νοερὸς μόνον, ὁ μὲν κατὰ τὴν ἰδιότητα τὴν νοερὰν ἱστάμενος, ἣν ἀπὸ τῆς ἑαυτοῦ μονάδος ἔχει, τοῦ ἀμεθέκτου· ὁ δὲ κατὰ τὴν ἕνωσιν, ἣν ἀπὸ τῆς μετεχομένης μονάδος ὑπεδέξατο.

ΡΠΒ'. Πᾶς θεῖος νοῦς μετεχόμενος, ὑπὸ ψυχῶν μετέχεται θείων· εἰ γὰρ ἡ μέθεξις ἐξομοιοῖ τῷ μετεχομένῳ τὸ μετέχον, καὶ συμφυὲς ἀποτελεῖ, δῆλον δὴ ὅτι θείαν εἶναι ψυχὴν ἀνάγκη τὴν τοῦ θείου νοῦ μετέχουσαν, καὶ εἰς θεῖον νοῦν ἀνηρτημένην, καὶ διὰ μέσου τοῦ νοῦ τῆς ἐν αὐτῷ θεότητος μετέχειν. Ἡ γὰρ θεότης συνεξάπτει τῷ νῷ τὴν μετέχουσαν αὐτοῦ ψυχήν, καὶ συνδεῖ τῷ θείῳ τὸ θεῖον.

ΡΠΓ'. Πᾶς νοῦς μετεχόμενος μέν, νοερὸς δὲ μόνον ὤν, μετέχεται ὑπὸ ψυχῶν, οὔτε θείων, οὔτε νοῦ, καὶ ἀνοίας ἐν μεταβολῇ γινομένων· οὔτε γὰρ θεῖαι ψυχαί εἰσιν αἱ τοιαῦται, οὐδὲ νοῦ μετέχουσαι· θεῶν γὰρ αἱ ψυχαὶ διὰ νοῦ μετέχουσιν, ὡς δέδεικται πρότερον, οὔτε αἱ μεταβολῆς δεκτικαί. Πᾶς γὰρ νοῦς ὑπὸ τῶν κατ' οὐσίαν ἀεὶ καὶ κατ' ἐνέργειαν νοερῶν μετέχεται· καὶ γὰρ τοῦτο δῆλον ἐκ τῶν ἔμπροσθεν.

ΡΠΔ'. Πᾶσα ψυχὴ ἢ θεία ἐστίν, ἢ μεταβάλλουσα ἀπὸ νοῦ εἰς ἄνοιαν, ἢ μεταξὺ τούτων ἀεὶ μένουσα, καταδεεστέρα δὲ τῶν θείων ψυχῶν. Εἰ γὰρ ὁ μὲν θεῖος νοῦς ὑπὸ θείων μετέχεται ψυχῶν, ὁ δὲ νοερὸς μόνον ὑπὸ τῶν μήτε θείων μήτε μεταβολῆς δεκτικῶν, ἀπὸ νοήσεως εἰς ἄνοιαν — εἰσὶ δὲ καὶ αἱ τοῦτο πάσχουσαι καὶ ποτὲ μὲν νοοῦσαι, ποτὲ δὲ μή — φανερόν, ὅτι τρία γένη τῶν ψυχῶν εἰσιν· καὶ πρῶται μὲν αἱ θεῖαι, δεύτεραι δὲ τῶν μὴ θείων, αἱ ἀεὶ νοῦ μετέχουσαι, τρίται δὲ αἱ ποτὲ μὲν εἰς νοῦν, ποτὲ δὲ εἰς ἄνοιαν μεταβάλλουσαι.

ΡΠΕ'. Πᾶσαι μὲν αἱ θεῖαι ψυχαὶ θεοί εἰσι ψυχικῶς· πᾶσαι δὲ αἱ τοῦ νοεροῦ μετέχουσαι νῷ θεῶν ὀπαδοὶ ἀεί· πᾶσαι δὲ αἱ μεταβολῆς δεκτικαὶ θεῶν ὀπαδοί ποτε. Εἰ γὰρ αἱ μὲν ἔχουσι τὸ θεῖον φῶς ἄνωθεν ἐπιλάμπον, αἱ δὲ ἀεὶ νοοῦσιν, αἱ δὲ ποτὲ ταύτης μεταλαγχάνουσι τῆς τελειότητος, αἱ μὲν ἐν τῷ πλήθει τῶν ψυχῶν ἀνάλογον ἵστανται θεοῖς, αἱ δὲ ἀεὶ συνέπονται θεοῖς, κατὰ νοῦν ἐνεργοῦσαι ἀεί, καὶ τῶν θείων ἐξήρτηνται ψυχῶν, τοῦτον ἔχουσαι πρὸς αὐτὰς λόγον, ὃν τὸ νοερὸν πρὸς τὸ θεῖον· αἱ δὲ ποτε νοοῦσαι καὶ ἕπονται ποτὲ θεοῖς, οὔτε νοῦ μετέχειν ἀεὶ ὡσαύτως οὔτε ταῖς θείαις συνεπιστρέφεσθαι ψυχαῖς ἀεὶ δυνάμεναι· τὸ γάρ ποτε νοῦ μεταλαγχάνον οὐδεμίᾳ μηχανῇ θεοῖς ἀεὶ συνάπτεσθαι.

cipatur, et est divinum. Sed omne imparticipabile est divinum, ut id quod Uni proportione respondentem ordinem in multitudine est sortitum. Erit igitur quædam Mens divina, simul et quæ participatur. Sed tamen oportet esse intellectum, qui non participet divinas unitates, sed tantum modo mente percipiat. Nam in unaquaque serie, illa quidem quæ prima sunt, et quæ cum sua Unitate sunt conjuncta, participare possunt ea quæ proxime sunt in superiore ordine; quæ vero multesima sunt, a principali Unitate *remotiora* ex illis pendere non possunt. Est igitur et Mens divina, et Mens intellectualis tantum, una quidem propter intellectualem proprietatem subsistens, quam a sua Unitate et ab imparticipabili *Mente manantem* habet: altera vero per unionem, quam suscepit ab Unitate, quæ participatur.

CLXXXII. Omnis divina Mens, quæ participatur, a divinis animabus participatur. Si enim ipsa participatio simile facit illi quod participatur, illud quod participat, et *ipsi* cognatum efficit, perspicuum profecto *est*, quod necesse est animam esse divinam, quæ divinæ Mentis est particeps, et ex divina Mente pendet, et *necesse est eam* per mediam Mentem participem esse Deitatis in ipsa *manentis*. Nam Deitas conjungit cum Mente animam participem ipsius (*divinæ Mentis*), et divinum cum divino conjungit.

CLXXXIII. Omnis Mens, quæ participatur quidem, sed intellectualis tantum existit, ab animabus participatur, quæ neque sunt divinæ, neque Mens, et quæ per mutationem suam mente privantur. Neque enim hujusmodi animæ sunt divinæ, neque Mentis *sunt* participes. Deos enim animæ per Mentem participant, ut ante demonstratum est, neque illæ, quæ mutationem admittunt. Omnis enim Mens ab illis, quæ per essentiam et per actum semper sunt intellectuales, participatur: etenim hoc perspicuum *est* ex iis quæ *dicta sunt* supra.

CLXXXIV. Omnis Anima vel est divina, vel est ea quæ se a mente in amentiam convertit, vel ea quæ inter ista semper manet, inferior vero *est* divinis Animabus. Si enim divina quidem Mens a divinis Animabus participatur, illa vero, quæ tantum intellectualis est, *participatur* ab illis, quæ neque divinæ sunt, neque mutationem recipiunt, quæ ab intelligentia *et ab ipsa Mente feruntur* ad amentiam — sunt enim et *Animæ quædam*, quibus hoc accidit, et quæ modo quidem mente percipiunt, modo vero non — *ex his igitur est* perspicuum, tria esse Animarum genera. Et primæ quidem *sunt* divinæ; secundæ autem non divinarum *naturarum sunt*, quæ semper Mentem participant: tertiæ vero *sunt* quæ modo quidem in Mentem, modo vero in amentiam mutantur.

CLXXXV. Omnes quidem divinæ animæ Dii sunt animaliter (*i. e. secundum animarum naturam*): omnes vero, quæ Mentis intellectualis sunt participes, Deorum famulæ semper *sunt et eorum sectatrices*: omnes vero, quæ mutationem recipiunt, *sunt* aliquando sectatrices Deorum *et eorum famulæ*. Si enim aliæ quidem habent divinam lucem superne *manantem ac* illucescentem, aliæ autem semper *aliquid* mente percipiunt, aliæ vero perfectionis istius aliquando sunt participes, aliæ quidem in ipsa Animarum multitudine subsistunt per proportionem respondentem Diis; aliæ vero semper Deos comitantur, propter Mentem agentes semper, et ex divinis pendent Animabus, eam habentes ad ipsas rationem *ac proportionem*, quam *habet* ipsum intellectuale ad ipsum divinum; quæ denique *res aliquas* aliquando mente percipiunt et aliquando Deos sequuntur, neque mentem semper eodem modo participare, neque cum divinis animabus semper versari possunt. Quod enim aliquando *solum* Mentem participat, nullo modo cum illis semper conjungi potest.

ΡΠϚ'. Πᾶσα ψυχὴ ἀσώματός ἐστιν οὐσία καὶ χωριστὴ σώματος· εἰ γὰρ γινώσκει ἑαυτήν, πᾶν δὲ τὸ ἑαυτὸ γινῶσκον πρὸς ἑαυτὸ ἐπιστρέφεται, τὸ δὲ πρὸς ἑαυτὸ ἐπιστρέφον οὔτε σῶμά ἐστι (πᾶν γὰρ σῶμα ἀνεπίστροφον πρὸς ἑαυτό) οὔτε σώματος ἀχώριστον· καὶ γὰρ τὸ σώματος ἀχώριστον οὐ πέφυκε πρὸς ἑαυτὸ ἐπιστρέφειν· χωρίζοιτο γὰρ ἂν ταύτῃ σώματος. Πᾶσα ἄρα ψυχὴ οὔτε σωματική ἐστιν οὐσία, οὔτε σώματος ἀχώριστος· ἀλλὰ μὴν ὅτι γινώσκει ἑαυτήν, φανερόν· εἰ γὰρ καὶ τὰ ὑπὲρ αὐτὴν γινώσκει, καὶ ἑαυτὴν πέφυκε γινώσκειν πολλῷ μειζόνως, ἀπ' αἰτίων τῶν πρὸ αὐτῆς γινώσκουσα ἑαυτήν.

ΡΠΖ'. Πᾶσα ψυχὴ ἀνώλεθρός ἐστι καὶ ἄφθαρτος· πᾶν γὰρ τὸ ὁπωσοῦν διαλύεσθαι καὶ ἀπόλλυσθαι δυνάμενον ἢ σωματικόν ἐστι καὶ σύνθετον, ἢ ἐν ὑποκειμένῳ τὴν ὑπόστασιν ἔλαχε· καὶ τὸ μὲν διαλυόμενον, ὡς ἐκ πολλῶν ὑπάρχον, φθείρεται· τὸ δὲ ἐν ἑτέρῳ εἶναι πεφυκός, τοῦ ὑποκειμένου χωριζόμενον, ἀφανίζεται εἰς τὸ μὴ ὄν. Ἀλλὰ μὴν ἡ ψυχὴ καὶ ἀσώματός ἐστι, καὶ ἔξω παντὸς ὑποκειμένου ἐν ἑαυτῇ οὖσα, καὶ πρὸς ἑαυτὴν ἐπιστρέφουσα. Ἀνώλεθρός ἐστιν ἄρα καὶ ἄφθαρτος.

ΡΠΗ'. Πᾶσα ψυχὴ καὶ ζωή ἐστι καὶ ζῶν· ᾧ γὰρ ἂν παραγένηται ψυχή, τοῦτο ζῇ ἐξ ἀνάγκης· καὶ τὸ ψυχῆς ἐστερημένον ζωῆς εὐθὺς ἄμοιρον ἀπολείπεται. Ἢ οὖν διὰ ψυχὴν ζῇ, ἢ δι' ἄλλο τι, καὶ οὐ διὰ ψυχήν. Ἀλλὰ δι' ἄλλο τι μόνον, ἀδύνατον· πᾶν γὰρ τὸ μετεχόμενον, ἢ ἑαυτό, ἢ ἑαυτοῦ τι τῷ μετέχοντι δίδωσι· μηδέτερον δὲ πάσχον, οὐδ' ἂν μετέχοιτο· ψυχὴ δὲ μετέχεται ὑπ' ἐκείνου, ᾧ ἂν παρῇ· καὶ ἔμψυχον ἐκεῖνο λέγεται τὸ ψυχῆς μετέχον. Ἢ οὖν ζωὴν ἐπιφέρει τοῖς ἐμψύχοις, ἢ ζωή ἐστιν, ἢ ζῶν μόνον, ἢ τὸ συνάμφω, ζωὴ ἅμα καὶ ζῶν. Ἀλλ' εἰ μὲν ζῶν μόνον, οὐκέτι δὲ ζωή, ἔσται ἐκ ζωῆς καὶ μὴ ζωῆς· οὐκ ἄρα γινώσκει ἑαυτὴν οὔτε ἐπιστρέφεται πρὸς ἑαυτήν· ζωὴ γὰρ ἡ γνῶσις, καὶ τὸ γνωστικόν, ᾗ τοιοῦτον, ζῶν. Εἰ οὖν τι ἐν αὐτῇ ἄζων ἐστί, τοῦτο οὐκ ἔχει καθ' αὑτὸ τὴν τοῦ γινώσκειν δύναμιν· εἰ δὲ ζωὴ μόνον ἐστίν, οὐκέτι μεθέξει τῆς νοερᾶς ζωῆς. Τὸ γὰρ ζωῆς μετέχον, ζῶν ἐστι, καὶ οὐ ζωὴ μόνον, ἡ πρώτη, καὶ ἀμέθεκτος· ἡ δὲ μετ' ἐκείνην, ζῶν ἅμα καὶ ζωή· ψυχὴ δὲ οὐκ ἔστιν ἡ ἀμέθεκτος ζωή· ἅμα ἄρα ζωή ἐστι, καὶ ζῶν ἡ ψυχή.

ΡΠΘ'. Πᾶσα ψυχὴ αὐτόζως ἐστίν. Εἰ γὰρ ἐπιστρεπτικὴ πρὸς ἑαυτήν, τὸ δὲ πρὸς ἑαυτὸ ἐπιστρεπτικὸν πᾶν αὐθυπόστατον, καὶ ἡ ψυχὴ ἄρα αὐθυπόστατος, καὶ ἑαυτὴν ὑφίστησιν. Ἀλλὰ μὴν καὶ ζωή ἐστι, καὶ ζῶν, καὶ ἡ ὕπαρξις αὐτῆς κατὰ τὸ ζωτικόν· καὶ γάρ, οἷς ἂν παρῇ, ζωῆς μεταδίδωσιν αὐτῷ τῷ εἶναι· κἂν ᾖ τὸ μετέχον ἐπιτήδειον, εὐθὺς ἔμψυχον γίνεται καὶ ζῶν· οὐ λογισαμένης τῆς ψυχῆς καὶ προελομένης, οὐδὲ λογισμῷ καὶ κρίσει ζωοποιούσης, ἀλλ' αὐτῷ τῷ εἶναι, ὅ ἐστι, τὴν ζωὴν τῷ μεθεκτῷ χορηγούσης. Τὸ ἄρα εἶναι αὐτῆς ταὐτὸν τῷ ζῆν. Εἰ οὖν τὸ εἶναι παρ' ἑαυ-

CLXXXVI. Omnis anima est incorporea essentia, et separabilis a corpore. Si enim cognoscit se ipsam, et id omne, quod cognoscit se ipsum, ad se ipsum revertitur, et id, quod ad se ipsum revertitur, neque corpus est (omne enim corpus ad se revertendi facultate caret), neque a corpore *est* inseparabile. Etenim id quod est a corpore inseparabile, ad se ipsum reverti non potest, sic enim a corpore separaretur. Omnis igitur Anima neque corporea est essentia, neque a corpore inseparabilis; verum quod *Anima* se ipsam cognoscat, perspicuum *est*. Si enim et illa cognoscit, quae sunt supra ipsam, multo etiam magis se ipsam naturaliter cognoscit, quia per causas ipsam antecedentes se ipsam cognoscit.

CLXXXVII. Omnis Anima est expers interitus, et corruptionis expers. Omne enim, quod quomodocunque dissolvi et perire potest, vel corporeum est et compositum, vel in subjecto *suam* hypostasin est sortitum, et illud quidem, quod dissolvitur, ut ex multis existens, corrumpitur. Illud vero, quod in altero esse naturaliter solet, cum a subjecto separatur, deletum abit in id quod non est. Verum Anima et incorporea est, et extra omne subjectum in se ipsa existens, et ad se ipsam revertens. Est igitur interitus et corruptionis expers.

CLXXXVIII. Omnis Anima est et vita, et id quod vivit. Id enim, cui adfuerit Anima, necessario vivit. Et id, quod anima privatum est, vitae confestim expers relinquitur *atque deseritur*. Vel igitur propter animam vivit, vel propter aliud quid, neque vero propter animam. Sed tantum propter aliquid *id vivere est* impossibile. Omne enim, quod participatur, vel se ipsum, vel sui ipsius aliquid ipsi participanti dat *ac impertit*. Si vero neutrum patiatur, ne participabitur quidem. Anima vero participatur ab illo, cui praesens adfuerit; et illud animatum dicitur, quod est animae particeps. Vel igitur vitam affert animatis, vel est vita, vel vivens tantum, vel utrumque simul, vita simul et vivens. Sed si quidem vivens tantum est, non vero etiam vita, erit ex vita et non vita. Non igitur cognoscit se ipsam *anima*, neque revertitur ad se ipsam. Nam cognitio *est* vita, et ipsa cognoscendi facultas, quatenus *est* talis, *est quiddam* vivens. Si igitur in ipsa est aliquid vitae expers, hoc non habet per se cognoscendi facultatem. Si vero vita tantum est, non amplius participabit intellectualem vitam. Quod enim vitam participat, vivens est, et non vita solum, illa prima et imparticipabilis: illa vero *vita*, quae post illam *alteram est*, *est* simul vivens et vita. Anima vero non est illa imparticipabilis vita. Simul igitur anima est vita, et vivens.

CLXXXIX. Omnis anima per se vivens est. Si enim ad se revertendi facultatem habet, omne vero, quod ad se revertendi facultate praeditum est, per se subsistens est, ergo et ipsa anima per se subsistens *est*, et se ipsam constituit. Quinetiam et vita est, et vivens, et ipsius substantia est secundum ipsam vitalem facultatem. Etenim quibus adfuerit *anima*, vitam *ipsis* impertit per ipsum *suum* Esse. Et si illud, quod *animam* participat, aptum fuerit *ad animam participandam*, confestim animatum fit, et vivens; cum *tamen* non ratiocinetur anima, neque consulto praeflniat, neque ratiocinatione ac judicio animata procreet, verum per id ipsum esse, quod est, vitam ei, quod particeps est, suppeditet. Ergo ipsum ipsius *animae* Esse est idem ac ipsum vivere. Si igitur *anima* ipsum Esse a se ipsa habet, hoc vero idem

τῆς ἔχ[illegible] κατ' οὐσίαν τὸ ζῆν, καὶ τὴν ζωὴν ἣν ἐν ἑαυτῇ παρέχοι καὶ παρ' ἑαυτῆς ἔχοι. Εἰ δὲ τοῦτο, αὐτόζωος ἂν εἴη ἡ ψυχή.

ΡϞ'. Πᾶσα ψυχὴ μέση τῶν ἀμερίστων ἐστὶ καὶ τῶν περὶ τὰ σώματα μεριστῶν. Εἰ γὰρ αὐτόζωός ἐστι καὶ αὐθυπόστατος, καὶ χωριστὴν ἔχει σωμάτων τὴν ὕπαρξιν, ἐξῄρηται κρείττων οὖσα τῶν μεριστῶν πάντων περὶ τὰ σώματα. Ἐκεῖνα γὰρ ἀχώριστα πάντῃ τῶν ὑποκειμένων ἐστὶ, συμμερισθέντα τοῖς μεριστοῖς ὄγκοις, καὶ ἑαυτῶν μὲν ἐκστάντα καὶ τῆς ἑαυτῶν ἀμερείας, συνδιαστάντα δὲ τοῖς σώμασι, κἂν ἐν ζωαῖς ὑφεστήκῃ, οὐχ ἑαυτῶν ζωαὶ ὄντα, ἀλλὰ τῶν μετασχόντων, κἂν ἐν οὐσίᾳ καὶ ἐν εἴδεσιν ὑπάρξῃ, οὐχ ἑαυτῶν ὄντα εἴδη, ἀλλὰ τῶν εἰδοπεποιημένων. Εἰ δὲ μὴ ταῦτα μόνον ἐστὶν ἡ ψυχὴ οὐσία αὐθυπόστατος, καὶ ζωὴ αὐτόζωος, καὶ γνῶσις ἑαυτῆς γνωστικὴ, χωριστὴ κατὰ πάντα ταῦτα σωμάτων, ἀλλὰ καὶ μετέχον ζωῆς· εἰ δὲ τοῦτο, καὶ οὐσίας μετέχον· μετέχει δὲ καὶ γνώσεως ἀπ' ἄλλων αἰτίων. Δῆλον δὴ ὅτι καταδεεστέρα τῶν ἀμερίστων ἐστίν. Ὅτι μὲν ζωῆς ἀλλαχόθεν πληροῦται καὶ οὐσίας, εἴπερ ζωῆς, δῆλον· πρὸ γὰρ ζωῆς καὶ ψυχῆς ἡ ἀμέθεκτος ζωὴ, καὶ ἡ ἀμέθεκτος οὐσία. Ὅτι δὲ καὶ τὸ πρώτως γνωστικὸν οὐκ ἔστι, φανερὸν, εἴπερ καθ' ὃ μὲν ψυχὴ, πᾶσα ζωή· οὐ καθ' ὃ δὲ ψυχὴ, πᾶσα γνῶσιν ἔχει· καὶ γὰρ ἀγνοεῖ τὰ ὄντα ψυχή τις μένουσα ψυχή. Οὐκ ἄρα πρώτως ἐστὶ γνωστικὸν, οὐδὲ αὐτῷ τῷ εἶναι γνῶσίς ἐστιν. Δευτέραν ἄρα τὴν οὐσίαν ἔχει τῶν πρώτως καὶ αὐτῷ τῷ εἶναι γνωστικῶν. Ἐπεὶ δὲ ταύτης τῷ εἶναι διῄρηται τῆς γνώσεως, οὐκ ἄρα τῶν ἀμερίστων ἐστὶν ἡ ψυχή. Δέδεικται δὲ, ὅτι οὐδὲ τῶν περὶ τὰ σώματα μεριστῶν. Μέση ἄρα ἀμφοτέρων ἐστίν.

ΡϞΑ'. Πᾶσα ψυχὴ μεθεκτὴ τὴν μὲν οὐσίαν αἰώνιον ἔχει, τὴν δὲ ἐνέργειαν κατὰ χρόνον· ἢ γὰρ ἄμφω αἰωνίως ἕξει ἢ ἄμφω κατὰ χρόνον· ἢ τὸ μὲν αἰωνίως, τὸ δὲ κατὰ χρόνον. Ἀλλ' οὔτε ἄμφω αἰωνίως· ἔσται γὰρ ἀμέριστος οὐσία, καὶ οὐδὲν διοίσει τῆς νοερᾶς ὑποστάσεως ἡ ψυχῆς φύσις, τῆς ἀκινήτου ἡ αὐτοκίνητος· οὔτε ἄμφω κατὰ χρόνον· εἴη γὰρ ἂν γεννητὴ μόνον, καὶ οὔτε αὐτόζωος, οὔτε αὐθυπόστατος. Οὐδὲν γὰρ τῶν ὑπὸ χρόνου μετρουμένων κατ' οὐσίαν αὐθυπόστατον· ἡ δὲ ψυχὴ αὐθυπόστατος. Τὸ γὰρ κατ' ἐνέργειαν πρὸς ἑαυτὸ ἐπιστρέφον, καὶ κατ' οὐσίαν ἐπιστρεπτικόν ἐστι πρὸς ἑαυτὸ, καὶ ἀφ' ἑαυτοῦ προϊόν. Λείπεται ἄρα τῇ μὲν αἰώνιον εἶναι ψυχὴν πᾶσαν, τῇ δὲ χρόνου μετέχουσαν. Ἢ οὖν κατ' οὐσίαν αἰωνία ἐστὶ, κατ' ἐνέργειαν δὲ χρόνου μετέχος, ἢ ἔμπαλιν· ἀλλὰ τοῦτο ἀδύνατον. Πᾶσα ἄρα ψυχὴ μεθεκτὴ τὴν μὲν οὐσίαν αἰώνιον ἔλαχε, τὴν δὲ ἐνέργειαν κατὰ χρόνον.

ΡϞΒ'. Πᾶσα ψυχὴ μεθεκτὴ τῶν τε ἀεὶ καὶ ὄντων ἐστὶ, καὶ πρώτη τῶν γεννητῶν. Εἰ γὰρ αἰώνιός ἐστι κατ' οὐσίαν, ὄντως ὄν ἐστι κατὰ τὴν ὕπαρξιν, καὶ ἀεὶ ὄν· τὸ γὰρ αἰῶνος μετέχον τοῦ ἀεὶ εἶναι μετείληφεν

[illegible] ipsum vivere et secundum essentiam habet ipsum vivere, *ergo anima* et ipsam vitam sibi ipsi praebebit, et a se ipsa habebit. Si vero *detur* hoc, *ergo* per se vivens erit anima.

CXC. Omnis anima est media inter individua et ea quae sunt circa corpora dividua. Si enim est per se vivens et per se subsistens, et substantiam a corporibus separatam habet, praestantior existens omnibus *rebus* dividuis, quae sunt circa corpora, *ex iis* eximitur. Illa enim *corpora* sunt prorsus ab ipsis subjectis inseparabilia, quia cum ipsis dividuis molibus dividuntur, et cum ex se quidem ipsa excesserint et sua partium individua ratione (*q. d. ex sua ipsorum individuitate*), cum ipsis vero corporibus distant (*vel*, cum distantiam et intervallum cum ipsis corporibus habent), quamvis in *ipsis* vitis subsistant, *tamen* non existunt sui ipsorum vitae, sed ipsorum participantium, et quamvis in essentia et in formis insint, *tamen non sui ipsorum existunt formae, sed eorum*, quae per formam sint constituta. Si vero non solum haec sunt, *ergo* anima est essentia per se subsistens, et vita per se vivens, et cognitio sui ipsius cognoscendi facultatem habens, et propter haec omnia separabilis est a *corporibus, quinetiam est quiddam particeps vitae; si vero detur hoc, est quiddam* etiam essentiae particeps. Est autem etiam particeps cognitionis propter alias causas. Perspicuum igitur est, eam (*animam*) magis indigentem esse, quam quae dividi non possunt. Quod ipsa vita aliunde repletur et essentia, siquidem vita, perspicuum est. Nam ante vitam et animam *est* imparticipabilis vita, et imparticipabilis essentia. Eandem *animam* vero non primo cognoscendi facultate esse praeditam, manifestum est: quandoquidem, quatenus *est* anima, omnis *est* vita; neque vero, quatenus *est* anima, omnis cognitionem habet. Etenim quaedam anima, manens anima, ipsa Entia ignorat. Non igitur est primo ipsa cognoscendi facultas, neque propter ipsum Esse cognitio est. Secundam igitur essentiam habet eorum, quae primo sunt, et quae propter ipsum Esse cognoscendi facultatem habent. Quoniam autem ab hac, quae sua existentia continetur, cognitione separata est, non igitur individuorum est anima. Demonstratum est autem, quod *anima* nondum est eorum, quae circa ipsa corpora sunt dividua. Est igitur inter utrumque media.

CXCI. Omnis anima participabilis essentiam quidem aeternam habet, actionem vero in tempore. Aut enim utrumque aeterno modo habebit *anima*, aut utrumque in *tempore; vel alterum quidem, aeternum; alterum vero in* tempore. Sed neque utrumque aeternum: erit enim individua essentia, et nihil differet ab intellectuali hypostasi animae natura, ab immobili, quae per se *est* mobilis: neque utrumque in tempore: esset enim generata solum, et neque per se vivens, neque per se subsistens. Nihil enim eorum, quae a tempore mensurantur, secundum essentiam *est* per se subsistens. Anima vero per se subsistens *est*. Quod enim per actionem ad se revertitur, etiam per essentiam ad se revertendi facultate praeditum est, et a se ipso progreditur. Restat igitur, ut omnis anima partim quidem sit aeterna, partim vero temporis particeps. Vel igitur *anima* per essentiam est aeterna, sed secundum actionem temporis particeps; vel vice versa. Sed hoc est impossibile. Omnis igitur anima participabilis essentiam quidem aeternam habet, actionem vero in tempore.

CXCII. Omnis participabilis anima est ex eorum, quae semper et vere sunt, entium numero, et prima eorum, quae generata sunt. Si enim per essentiam est aeterna, est vere Ens, propter ipsam substantiam, et semper Ens. Quod enim aevi particeps, ipsius semper Esse particeps est

εἰ δὲ κατ' ἐνέργειάν ἐστιν ἐν χρόνῳ, γενητή ἐστι. Πᾶν γὰρ τὸ χρόνου μετέχον, γινόμενον ἀεὶ κατὰ τὸ πρότερον καὶ ὕστερον τοῦ χρόνου, καὶ οὐχ ἅμα, ὅ ἐστιν, ὂν ὅλον, γεννητόν ἐστιν· εἰ δέ πῃ γεννητή ἐστι πᾶσα ψυχὴ κατ' ἐνέργειαν, πρώτη ἂν εἴη τῶν γεννητῶν· τὸ γὰρ πάντῃ γεννητὸν, πορρωτέρω τῶν αἰωνίων.

ΡϞΓ'. Πᾶσα ψυχὴ προσεχῶς ἀπὸ νοῦ ὑφέστηκεν. Εἰ γὰρ ἀμετάβλητον ἔχει τὴν οὐσίαν καὶ αἰώνιον, ἀπὸ ἀκινήτου πρόεισιν οὐσίας· τὸ γὰρ ἀπὸ κινουμένης προϊὸν αἰτίας πάντα μεταβάλλει κατὰ τὴν οὐσίαν. Ἀκίνητον ἄρα τὸ ψυχῆς πάσης αἴτιον· εἰ δὲ προσεχῶς, ὑπὸ νοῦ τελειοῦται, καὶ ἐπιστρέφεται πρὸς νοῦν· καὶ εἰ μετέχει τῆς γνώσεως, ἣν ὁ νοῦς δίδωσι τοῖς μετέχειν δυναμένοις (πᾶσα γὰρ γνῶσις ἀπὸ νοῦ πᾶσιν ἔστιν, οἷς ἐστι, καὶ εἰς ὃ δὲ πάντα ἐπιστρέφεται κατὰ φύσιν, ἀπὸ τούτου καὶ τὴν πρόοδον ἔχει κατ' οὐσίαν), πᾶσα ἄρα ψυχὴ ἀπὸ νοῦ πρόεισι.

ΡϞΔ'. Πᾶσα ψυχὴ πάντα ἔχει τὰ εἴδη, ἃ ὁ νοῦς πρώτως ἔχει. Εἰ γὰρ ἀπὸ νοῦ πρόεισι, καὶ νοῦς ὁ ὑποστάτης ψυχῆς, καὶ αὐτῷ τῷ εἶναι ἀκίνητος ὢν πάντα ὁ νοῦς παράγει, δώσει καὶ τῇ ψυχῇ τῇ ὑφισταμένῃ τῶν ἐν αὐτῷ πάντων οὐσιώδεις λόγους. Πᾶν γὰρ τὸ τῷ εἶναι ποιοῦν, ὅ ἐστι πρώτως, τῷ γινομένῳ δευτέρως μεταδίδωσι. Τῶν νοερῶν ἄρα εἰδῶν ψυχὴ δευτέρως ἔχει τὰς ἐμφάσεις.

ΡϞΕ'. Πᾶσα ψυχὴ πάντα ἐστὶ τὰ πράγματα, παραδειγματικῶς μὲν τὰ αἰσθητὰ, εἰκονικῶς δὲ τὰ νοητά· μέση γὰρ οὖσα τῶν ἀμερίστων, καὶ τῶν περὶ τὸ σῶμα μεριστῶν, τὰ μὲν παράγει καὶ ὑφίστησι, τὰ δὲ αἴτια προεστήσατο ἑαυτῆς, ἀφ' ὧν προελήλυθεν. Ὧν μὲν οὖν αἰτία προϋπάρχει, ταῦτα προείληφε παραδειγματικῶς· ἀφ' ὧν δὲ ὑπέστη, ταῦτα κατὰ μέθεξιν ἔχει, καὶ ὡς γεννήματα τῶν πρώτων. Τὰ μὲν ἄρα αἰσθητὰ πάντα κατ' αἰτίαν προείληφε, καὶ τοὺς λόγους τῶν ἐνύλων ἀΰλως, καὶ τῶν σωματικῶν ἀσωμάτως, καὶ τῶν διαστατῶν ἀδιαστάτως ἔχει· τὰ δὲ νοητὰ εἰκονικῶς, καὶ τὰ εἴδη τὰ ἐκείνων, μεριστῶς μὲν τῶν ἀμερίστων, πεπληθυσμένως δὲ τῶν ἑνιαίων, αὐτοκινήτως δὲ τῶν ἀκινήτων ὑπεδέξατο. Πάντα ἄρα ἐστὶ τὰ ὄντα, τὰ μὲν κατὰ μέθεξιν, τὰ πρῶτα· τὰ δὲ παραδειγματικῶς, τὰ μετ' αὐτήν.

ΡϞϚ'. Πᾶσα ψυχὴ μεθεκτὴ σώματι χρῆται πρώτως ἀϊδίῳ, καὶ ἀγέννητον ἔχοντι τὴν ὑπόστασιν καὶ ἄφθαρτον. Εἰ γὰρ πᾶσα ψυχὴ κατ' οὐσίαν ἐστὶν ἀΐδιος, καὶ αὐτῷ τῷ εἶναι πρώτως ψυχοῖ τι τῶν σωμάτων, ἀεὶ αὐτὸ ψυχοῖ· τὸ γὰρ εἶναι πάσης ψυχῆς ἀμετάβλητον· εἰ δὲ τοῦτο τὸ ψυχούμενον ἀεὶ ψυχοῦται, καὶ ἀεὶ μετέχει ζωῆς· τὸ δὲ ἀεὶ ζῶν πολλῷ πρότερον ἀεί ἐστι· τὸ δὲ ἀεὶ ὂν, ἀΐδιον· τὸ ἄρα ἔμψυχον σῶμα καὶ πρώτως ἐξημμένον ἑκάστης ψυχῆς ἀΐδιόν ἐστιν. Ἀλλὰ μὲν πᾶσα μεθεκτὴ ψυχὴ ὑπὸ σώματός τινος μετέχεται πρώτως, εἴπερ καὶ μεθεκτή ἐστιν, ἀλλ' οὐκ ἀμέθεκτος, καὶ αὐτῷ τῷ εἶναι ψυχοῖ τὸ μετέχον. Πᾶσα ἄρα ψυχὴ μετεχο-

Si vero per actionem est in tempore, est generata. Omne enim, quod temporis est particeps, et quod semper fit secundum id quod est in tempore prius et posterius, et quod non una id, quod est, est totum, generatum est. Si ubi igitur generata est omnis anima per actionem, prima erit eorum, quae generata sunt. Quod enim omnino vel ubique generatum est, ab aeternis est remotius.

CXCIII. Omnis anima proxime a Mente subsistit. Si enim immutabilem habet essentiam et aeternam, ab immobili progreditur essentia. Quod enim progreditur a causa, quae movetur, id usquequaque mutatur secundum essentiam. Immobilis igitur *est* omnis animae causa. Si vero proxime *sit haec*, a Mente perficitur, et ad Mentem revertitur. Et si particeps est cognitionis, quam ipsa Mens suppeditat iis quae *cognitionem* participare possunt (omnis enim cognitio a Mente *manans* est omnibus, quibus est, et in quod omnia revertuntur secundum naturam, ab hoc etiam progressum habet per essentiam), omnis igitur anima a Mente progreditur.

CXCIV. Omnis anima omnes habet formas, quas ipsa Mens primo habet. Nam si ab intellectu progreditur *anima*, et si mens fundatrix est animae, et si per ipsum suum esse, cum immobilis sit, omnia mens producit: dabit etiam animae subsistenti (*quae ab ipsa mente fundatur*) omnium, quae in ipsa *mente* insunt, essentialia principia. Omne enim, quod per *suum* Esse facit, quod est primo, hoc et, quod fit, secundo impertit. Anima igitur intellectualium formarum secundo habet ipsas emphases (*tacitas vel potius apertas significationes*).

CXCV. Omnis anima est omnes res. Exempli loco, *est omnes res* sensiles, per similitudinem vero, *res* intelligibiles. Cum enim media sit inter individua et ea quae in ipso corpore sunt divisa, alia quidem producit atque constituit, ipsas vero causas sibi praeposuit, ex quibus est progressa. Quorum igitur causa praeexistit *animae*, haec praecipere sive anticipere solet exempli loco; ex quibus vero originem ducit, haec per communionem habet et ut fetus primorum. Omnia igitur sensilia causaliter anticipere solet et rationes rerum materialium habet eo modo, qui materiae est expers, et corporearum, incorporaliter, et distantium inter se, sine intervallo: verum intelligibilia per similitudinem, et formas illorum, dividue quidem eorum quae sunt individua, multiplicate vero eorum quae sunt singularia, per se mobiliter autem eorum quae sunt immobilia, suscepit. Omnia igitur entia est *anima*; alia per communionem, *nimirum* priora; alia vero exemplari modo, quae sunt post ipsam *animam*.

CXCVI. Omnis anima participabilis utitur primitus corpore aeterno, et non generatam et interitus expertem habente substantiam. Nam si omnis anima secundum essentiam est aeterna, et per ipsum Esse *suum* primitus animat aliquid corporum, semper id animabit. Etenim ipsa essentia omnis animae est immutabilis. Si vero illud, quod animatur, semper animatur, etiam semper particeps est vitae. Quod vero semper vivit, multo prius semper est. Quod vero semper est, *illud est* aeternum. Ergo illud corpus, quod est primo animatum, et primo pendens ex unaquaque anima, aeternum est. Sed omnis quidem participabilis anima ab aliquo corpore primitus participatur si quidem etiam participabilis est, non autem imparticipabilis, et per ipsum Esse animat ipsum participans. Omnis igitur anima, quae participatur, utitur primitus corpore

μένη σώματι χρῆται πρώτως ἀϊδίῳ, καὶ ἀγενήτῳ, καὶ ἀφθάρτῳ κατὰ τὴν οὐσίαν.

ΡϞΖ'. Πᾶσα ψυχὴ οὐσία ἐστὶ ζωτικὴ καὶ γνωστική, καὶ ζωὴ οὐσιώδης καὶ γνωστική, καὶ ὡς γνῶσις οὐσία καὶ ζωή, καὶ ἅμα ἐν αὐτῇ πάντα· τὸ οὐσιῶδες, τὸ ζωτικόν, τὸ γνωστικόν, καὶ πάντα ἐν πᾶσι, καὶ χωρὶς ἕκαστον. Εἰ γὰρ μέση τῶν ἀμερίστων ἐστὶ καὶ τῶν περὶ σῶμα μεριζομένων εἰδῶν, οὔτε οὕτως ἀμέριστός ἐστιν, ὡς τὰ νοερὰ πάντα, οὔτε οὕτω μεριστή, ὡς τὰ σωματοειδῆ. Διῃρημένων οὖν ἐν τοῖς σωματικοῖς τῶν οὐσιῶν, καὶ ζωῶν, καὶ γνώσεων, ἀμερίστως ἐστὶν ἐν ψυχαῖς ταῦτα, καὶ ἡνωμένως, καὶ ἀσωμάτως, καὶ ὁμοῦ πάντα διὰ τὴν ἀϋλίαν καὶ τὴν ἀμέρειαν. Καὶ ἐν τοῖς νοεροῖς πάντων καθ' ἕνωσιν ὄντων διακέκριται ἐν ψυχαῖς, καὶ μεμέρισται. Πάντα ἄρα ὁμοῦ, καὶ χωρίς. Εἰ δὲ ὁμοῦ καὶ ἐν ἑνὶ πάντα ἀμερῆ, δι' ἀλλήλων πεφοίτηκε. καὶ εἰ χωρίς, διῄρηται πάλιν ἀσυγχύτως, ὥστε καὶ ἐφ' ἑαυτοῦ ἕκαστον, καὶ πάντα ἐν πᾶσι. Καὶ γὰρ ἐν τῇ οὐσίᾳ ἡ ζωὴ καὶ ἡ γνῶσις· οὐ γὰρ γνώσεται πᾶσα ἑαυτήν, εἴπερ ἡ οὐσία καὶ ζωῆς καὶ γνώσεως ἐστέρηται καθ' αὑτήν, καὶ ἐν τῇ ζωῇ ἥ τε οὐσία καὶ ἡ γνῶσις. Ἡ γὰρ ἀνούσιος ζωὴ καὶ ἄνευ γνώσεως ταῖς ἐνύλοις προσήκει ζωαῖς, αἳ μήτε γινώσκειν ἑαυτὰς δύνανται, μήτε οὐσίαι εἰσὶν εἰλικρινεῖς· καὶ ἡ γνῶσις ἡ ἀνούσιος καὶ ἄζως ἀνυπόστατος· πᾶσα γὰρ γνῶσις καὶ ζῶντός ἐστι καὶ οὐσίαν καθ' αὑτὸ λαχόντος.

ΡϞΗ'. Πᾶν τὸ χρόνου μετέχον, ἀεὶ δὲ κινούμενον, περιόδοις μετρεῖται· διότι μὲν γὰρ χρόνου μετέχει, μέτρου καὶ ὅρου χρόνου μετείληφεν ἡ κίνησις, καὶ κατὰ ἀριθμὸν πορεύεται· διότι δὲ ἀεὶ κινεῖται, καὶ τὸ ἀεὶ τοῦτο οὐκ αἰώνιόν ἐστιν, ἀλλὰ χρονικόν, ἀνάγκη χρῆσθαι περιόδοις· ἡ μὲν γὰρ κίνησις μεταβολή τίς ἐστιν ἀφ' ἑτέρων εἰς ἕτερα. Τὰ δὲ ὄντα ὥρισται καὶ τοῖς πλήθεσι καὶ τοῖς μεγέθεσι. Τούτων δὲ ὡρισμένων, οὔτε κατ' εὐθεῖαν ἄπειρον ἡ μετάβασίς ἐστιν, οὔτε τὸ ἀεὶ κινούμενον πεπερασμένως μεταβαίνειν δυνατόν. Ἀπὸ τῶν αὐτῶν ἄρα ἐπὶ τὰ αὐτὰ πάλιν ἥξει τὸ ἀεὶ κινούμενον, ὥστε ποιῆσαι περίοδον.

ΡϞΘ'. Πᾶσα ψυχὴ ἐγκόσμιος περιόδοις χρῆται τῆς οἰκείας ζωῆς καὶ ἀποκαταστάσεσιν. Εἰ γὰρ ὑπὸ χρόνου μετρεῖται, καὶ μεταβατικῶς ἐνεργεῖ, καὶ ἔστιν αὐτῆς ἰδία κίνησις· πᾶν δὲ τὸ κινούμενον καὶ χρόνου μετέχον, ἀΐδιον ὄν, χρῆται περιόδοις, καὶ περιοδικῶς ἀνακυκλεῖται, καὶ ἀποκαθίσταται ἀπὸ τῶν αὐτῶν ἐπὶ τὰ αὐτὰ δῆλον ὅτι. Καὶ πᾶσα ψυχὴ ἐγκόσμιος κίνησιν ἔχουσα, καὶ ἐνεργοῦσα κατὰ χρόνον, περιόδους τε τῶν κινήσεων ἕξει καὶ ἀποκαταστάσεις· πᾶσα γὰρ περίοδος τῶν ἀϊδίων ἀποκαταστατική ἐστι.

Σ'. Πᾶσα ψυχῆς περίοδος χρόνῳ μετρεῖται· ἀλλ' ἡ μὲν τῶν ἄλλων ψυχῶν περίοδος τινὶ χρόνῳ μετρεῖται, ἡ δὲ τῆς πρώτης ὑπὸ χρόνου μετρουμένης τῷ σύμπαντι χρόνῳ. Εἰ γὰρ πᾶσαι αἱ κινήσεις τὸ πρότερον ἔχουσι καὶ τὸ ὕστερον, καὶ αἱ περίοδοι ἄρα, καὶ διὰ τοῦτο χρόνου μετέχουσι. Καὶ τὸ μετροῦν ἁπάσας τὰς περι-



æterno et non generato, et incorrupto secundum ipsam essentiam.

CXCVII. Omnis anima est essentia vitalis et cognoscendi facultate prædita, et vita essentialis et cognoscendi facultate prædita, et ut cognitio essentia et vita, et simul in ipsa *sunt* omnia: ipsa essentialis facultas, ipsa vitalis vis, ipsa cognoscendi facultas, et omnia in omnibus, et unumquodque separatim. Si enim est media inter individua et formas illas, quæ circa ipsum corpus dividuntur, neque adeo individua est, ut omnia intellectualia, neque adeo dividua, ut ea quæ sunt corporali specie. Cum igitur in *rebus* corporeis divisæ sint essentiæ, et vitæ, et cognitiones, hæc in animabus sunt individue, et unite, et incorporaliter, et simul omnia *sunt* propter materiæ vacuitatem, et individuitatem (*i. e. partium expertem rationem*). Et cum in intellectualibus omnia per unitionem sint, discreta sunt in animabus et divisa. Omnia igitur simul *sunt*, et separatim. Si autem simul et in uno omnia individua *sunt*, alia per alia mutuo pervadunt; et si separatim, rursus inconfuse divisa sunt, ita ut et per se *sit* unumquodque et omnia in omnibus. Etenim in ipsa essentia et vita *est* et cognitio. Neque enim omnis *anima* se ipsam cognosceret, siquidem essentia *ipsius animæ* et vita et cognitione privata esset per se; et in vita *animæ* et essentia *est* et cognitio. Nam essentia carens vita, et quæ sine cognitione est, materialibus convenit vitis, quæ neque se ipsas cognoscere possunt, neque sunt essentiæ puræ. Et cognitio, quæ est expers essentiæ et vita carens, vel ea quæ per se non subsistit. Omnis enim cognitio et viventis est et illius quod essentiam per se sortitum est.

CXCVIII. Omne quod temporis est particeps, semper vero movetur, periodis mensuratur. Quoniam enim temporis est particeps, mensuram et finem temporis participat ipse motus, et secundum numerum progreditur: quoniam vero semper movetur, et hoc semper non est æternum, sed temporale, propterea necesse *est hoc* ut periodis. Nam motus quidem est mutatio quædam ab alteris in altera. Ipsa vero entia finita sunt et multitudinibus et magnitudinibus. His vero definitis, neque per lineam rectam infinita est ipsa transitio, neque fieri potest, ut illud, quod semper movetur, *alio* finito transeat. Ab iisdem igitur ad eadem redibit illud, quod semper movetur, ut periodum faciat.

CXCIX. Omnis anima in mundo versans periodis utitur suæ vitæ, et in pristinum statum restitutionibus. Si enim a tempore mensuratur, etiam transitive agit, et ipsius est peculiaris motus. Omne vero quod movetur, et quod temporis est particeps, si est æternum, utitur periodis, et periodice circumagitur in orbem, et ab iisdem *progrediens*, in eadem profecto *revertens* restituitur. Et omnis anima in mundo versans, motum habens, et agens in tempore, motuum periodos habebit et in pristinum statum restitutiones *ac reversiones ad idem, unde prius est progressa*. Omnis enim periodus æternorum *in pristinum locum statumque res* restituendi facultate prædita est.

CC. Omnis animæ periodus tempore mensuratur. Sed reliquarum quidem animarum periodus aliquo tempore mensuratur: illa vero *periodus animæ* primæ, quæ a tempore mensuratur, universo tempore *mensuratur*. Si enim omnes motus habent prius et posterius, ergo et ipsæ periodi, et propterea temporis sunt participes. Et illud, quod omnes animarum periodos metitur, est ipsum tempus. Sed si

όδους τῶν ψυχῶν χρόνος ἐστίν. Ἀλλ' εἰ μὲν αἱ αὐταὶ πασῶν ἦσαν περίοδοι, καὶ περὶ τὰ αὐτά, καὶ χρόνος ἂν ἦν πασῶν ὁ αὐτός· εἰ δὲ ἄλλαι ἄλλων ἀποκαταστάσεις, καὶ χρόνος περιοδικὸς ἄλλος ἄλλων καὶ ἀποκαταστατικός.

Ὅτι μὲν οὖν ἡ πρώτως ὑπὸ χρόνου μετρουμένη ψυχὴ τῷ σύμπαντι χρόνῳ μετρεῖται, δῆλον. Εἰ γὰρ μέτρον ὁ χρόνος κινήσεως ἁπάσης, τὸ πρώτως κινούμενον ἔσται παντὸς τοῦ χρόνου μετέχον, καὶ ὑπὸ παντὸς μεμετρημένον· μὴ γὰρ τὸ πρώτως μετέχον μετρήσας ὁ σύμπας χρόνος, οὐδὲ ἄλλο μετρήσει καθ' ὅλον ἑαυτὸν οὐδέν. Ὅτι δὲ καὶ αἱ ἄλλαι πᾶσαι ψυχαὶ μερικωτέροις τοῦ σύμπαντος χρόνου μετροῦνταί τισι μέτροις, φανερὸν ἐκ τούτων. Εἰ γὰρ μερικώτεραι τῆς ψυχῆς εἰσι τῆς πρώτως χρόνου μετεχούσης, οὐδὲ χρόνῳ τῷ σύμπαντι τὰς ἑαυτῶν ἐφαρμόσουσι περιόδους. Ἀλλ' αἱ πολλαὶ αὐτῶν ἀποκαταστάσεις μέρη ἔσονται μιᾶς περιόδου καὶ ἀποκαταστάσεως, ἣν ἡ χρόνου μετέχουσα πρώτως ἀποκαθίσταται· τῆς γὰρ ἐλάττονος δυνάμεως ἡ μερικωτέρα μέθεξις· τῆς δὲ μείζονος, ἡ ὁλικωτέρα. Ὅλον οὖν τὸ χρονικὸν μέτρον κατὰ μίαν ζωὴν αἱ ἄλλαι ψυχαὶ δέχεσθαι οὐ πεφύκασι, τῆς πρώτως χρόνῳ μετρουμένης ὑφειμένην λαχοῦσαι τάξιν.

ΣΑ'. Πᾶσαι αἱ θεῖαι ψυχαὶ τριπλᾶς ἔχουσιν ἐνεργείας· τὰς μὲν ὡς ψυχαί, τὰς δὲ ὡς νοῦν ὑποδεξάμεναι θεῖον, τὰς δὲ ὡς θεῶν ἐξηρτημέναι. Καὶ προνοοῦσι μὲν τῶν ὅλων ὡς θεοί, γινώσκουσι δὲ τὰ πάντα κατὰ τὴν νοερὰν ζωήν, κινοῦσι δὲ τὰ σώματα κατὰ τὴν αὐτοκίνητον ὕπαρξιν. Διότι γὰρ ψυχικῶς μετέχουσι τῶν ὑπερκειμένων, καὶ εἰσιν οὐ ψυχαὶ ἁπλῶς, ἀλλὰ θεῖαι ψυχαί, τὴν ἀνάλογον τοῖς θεοῖς ἐν τῷ ψυχικῷ πλάτει προστησάμεναι τάξιν, ἐνεργοῦσιν οὐ ψυχικῶς μόνον, ἀλλὰ καὶ θείως, τὴν ἀκρότητα τῆς ἑαυτῶν οὐσίας ἔνθεον λαχοῦσαι, καὶ διότι νοερὰν ὑπόστασιν ἔχουσι, δι' ἣν καὶ ὑπεστρωμέναι ταῖς νοεραῖς οὐσίαις τυγχάνουσιν· ἐνεργοῦσιν οὖν οὐ θείως μόνον, ἀλλὰ καὶ νοερῶς· τὴν μὲν κατὰ τὸ ἓν τὸ ἐν αὐταῖς, τὴν δὲ κατὰ τὸν νοῦν ἱδρύσασαι ἐνέργειαν. Τρίτη δὲ αὐταῖς πάρεστιν ἡ κατὰ τὴν ἰδίαν ὕπαρξιν ἐνέργεια, κινητικὴ μὲν ὑπάρχουσα τῶν φύσει ἑτεροκινήτων, ζωοποιὸς δὲ τῶν ἐπείσακτον ἐχόντων τὴν ζωήν. Πάσης γὰρ ψυχῆς τοῦτό ἐστι τὸ ἴδιον ἐνέργημα· τὰ δὲ ἄλλα κατὰ μέθεξιν, ὡς τὸ νοεῖν καὶ προνοεῖν.

ΣΒ'. Πᾶσαι ψυχαὶ θεῶν ὀπαδοί, καὶ ἀεὶ ἑπόμεναι θεοῖς, καταδεέστεραι μέν εἰσι τῶν θείων· ὑπερήπλωνται δὲ τῶν μερικῶν ψυχῶν. Αἱ μὲν γὰρ θεῖαι καὶ νοῦ μετέχουσαι, καὶ θεότητος, διὸ νοεραί τε εἰσὶν ἅμα καὶ θεῖαι, τῶν ἄλλων ψυχῶν ἡγεμονοῦσι, καθόσον καὶ οἱ θεοὶ τῶν ὄντων ἁπάντων· αἱ δὲ μερικαὶ ψυχαὶ καὶ τῆς εἰς νοῦν ἀναρτήσεως παρῄρηνται, μὴ δυνάμεναι προσεχῶς τῆς νοερᾶς οὐσίας μετέχειν· οὐδὲ ἂν τῆς νοερᾶς ἐνεργείας ἀπέπιπτον, κατ' οὐσίαν μετέχουσαι τοῦ νοῦ, καθάπερ δέδεικται πρότερον. Μέσαι ἄρα εἰσὶν αἱ ἀεὶ θεοῖς ἑπόμεναι ψυχαί· νοῦν μὲν ὑποδεξάμε-

quidem omnium *animarum* eaedem essent periodi, et circa res easdem *versarentur*, etiam omnium *animarum* idem esset tempus. Si vero *sunt* aliae aliarum *animarum in pristinum statum* restitutiones, *est igitur* etiam tempus periodicum aliud aliarum *animarum*, eas in *pristinum statum* restituendi facultate praeditum.

Quod igitur illa anima, quae primo a tempore mensuratur, universo tempore mensuretur, perspicuum *est ex iis quae jam dicta sunt.* Si enim ipsum tempus est mensura motus omnis, id quod primo movetur, erit totius temporis particeps, et ab ipso toto *tempore* mensurabitur. Si enim ipsum universum tempus non metiatur illud quod primo particeps est *motus et temporis*, ne aliud quidem quicquam ad se totum metietur. Quod autem etiam omnes reliquae animae quibusdam mensuris ipso universo tempore particularioribus mensurentur, perspicuum est ex iis *quae dicta sunt.* Si enim sunt animâ particulariores illâ, quae tempus primo participat, ne tempori quidem universo *animae* suas periodos accommodant. Sed ipsarum multae *in pristinum statum* restitutiones partes erunt unius periodi et *in pristinum statum* restitutionis, per quam illa *anima*, quae temporis est primo particeps, in *pristinum statum* restituitur. Particularior enim communio *rerum est indicium* minoris facultatis *et potestatis*; majoris vero *potestatis argumentum est ipsa rerum communio* universalior. Universam igitur temporalem mensuram in una vita reliquae animae suscipere naturaliter non solent, ordinem inferiorem sortitae eo, *quem sortita est anima* quae primitus tempore mensuratur

CCI. Omnes divinae animae triplices habent actiones: alias quidem, ut animae, alias vero, ut *animae* quae divinam mentem susceperunt, alias vero, ut illae quae ex Diis pendent. Et universis quidem *rebus* provident ut Dii; omnia vero cognoscunt propter intellectualem vitam; corpora vero movent propter per se mobilem essentiam. Quoniam enim superiora secundum animam participant, et non simpliciter sunt animae, sed animae divinae, Diis proportione respondentem ordinem in animali (*id est animarum*) latitudine *sibi* proponentes, agunt non animaliter tantum (*secundum animae naturam*), sed etiam divine, divinam suae essentiae summitatem sortitae, et quia intellectualem hypostasin habent, propter quam etiam intellectualibus essentiis sunt substratae *et subjectae.* Agunt igitur non divine tantum, sed etiam intellectualiter, alteram efficacitatem constituentes secundum Unum, quod in ipsis est; alteram vero secundum intellectum. Tertia vero ipsis *animabus* adest actio, quae secundum propriam *ipsarum* essentiam *ipsis adest*, quae motrix quidem est *corporum* natura ab altero motorum (*vel*, rerum quae naturaliter ab altero moventur), vivifica vero (*vitam procreans*) illorum, quae vitam adventitiam habent. Omnis enim animae hoc est proprium opus, cetera vero *sunt* per communionem, ut intelligere et providere.

CCII. Omnes animae Deorum sectatrices, *eorumque famulae*, quamvis Deos semper sequantur, inferiores tamen sunt ipsis divinis *naturis*; explicatae vero sunt supra particulares animas. Nam illae quidem divinae, et Mentis et Deitatis participes *animae*, quoniam et intellectuales sunt, simul et divinae, aliis animabus praesunt, *earumque duces sunt*, quatenus et hi Dii *sunt duces* omnium entium. Animae vero particulares detractae sunt etiam ex ipsa ex Mente suspensione (*id est, ex ea ratione, qua fit ut ex mente pendeant*), quia non possunt intellectualis essentiae proxime participes esse. Neque enim ex intellectuali actione exciderent, si per essentiam participes essent ipsius Mentis, ut supra demonstratum est. Mediae sunt igitur animae, quae Deos semper sequuntur; quia

ναι τέλειον, καὶ ταύτῃ τῶν μερικῶν ὑπερέχουσαι, οὐκέτι δὲ καὶ θείων ἑνάδων ἐξηρτημέναι· οὐ γὰρ θεῖος ἦν ὁ μετεχόμενος ὑπ' αὐτῶν νοῦς.

ΣΓ'. Παντὸς τοῦ ψυχικοῦ πλήθους αἱ μὲν θεῖαι ψυχαί, τῇ δυνάμει μείζους οὖσαι τῶν ἄλλων, συνῄρηνται κατὰ τὸν ἀριθμόν· αἱ δὲ ἀεὶ ταύταις συνεπόμεναι καὶ τῇ δυνάμει καὶ τῷ ποσῷ μέσην ἔχουσιν ἐν πάσαις τάξιν· αἱ μὲν μερικαὶ τῇ μὲν δυνάμει καταδεέστεραι τῶν ἄλλων εἰσίν, εἰς ἀριθμὸν δὲ πλείονα προεληλύθασιν. Αἱ μὲν γάρ εἰσι τῷ ἑνὶ συγγενέστεραι διὰ τὴν ὕπαρξιν θείαν οὖσαν, αἱ δὲ μέσαι διὰ τὴν νοῦ μετουσίαν, αἱ δὲ ἔσχαται κατὰ τὴν τάξιν, ἀνομοιότεραι κατὰ τὴν οὐσίαν ταῖς τε μέσαις καὶ ταῖς πρώταις. Τὰ δὲ ἐγγυτέρω τοῦ ἑνὸς ἐν τοῖς ἀιδίοις τῶν πορρωτέρω τῷ ἀριθμῷ ἑνικώτερά ἐστι καὶ συνῄρηται κατὰ τὸ πλῆθος· τὸ δὲ πορρωτέρω μᾶλλον πληθύνεται. Αἵ τε οὖν δυνάμεις τῶν ἀνωτέρω μείζους, καὶ τοῦτον ἔχουσι τὸν λόγον πρὸς τὰς δευτέρας, ὃν τὸ θεῖον πρὸς τὸ νοερόν, καὶ τοῦτο πρὸς τὸ ψυχικόν, καὶ αἱ ποσότητες τῶν κατωτέρω πλείους· τὸ γὰρ πορρώτερον τοῦ ἑνὸς πλῆθος μᾶλλόν ἐστι, καὶ τὸ ἐγγύτερον ἧττον.

ΣΔ'. Πᾶσα θεία ψυχὴ πολλῶν μὲν ἡγεῖται ψυχῶν ἀεὶ θεοῖς ἑπομένων, πλειόνων δὲ ἔτι τῶν ποτὲ ταύτην τὴν τάξιν δεχομένων· θείαν μὲν γὰρ οὖσαν, πάντων ἡγεμονικὴν τάξιν εἰληχέναι δεῖ, καὶ πρωτουργὸν ἐν ταῖς ψυχαῖς· καὶ γὰρ τὸ θεῖον ἐν πᾶσι τοῖς οὖσιν ἡγεῖται τῶν ὅλων· οὔτε δὲ τῶν ἀεὶ ἑπομένων μόνων ἑκάστην ἄρχειν, οὔτε τῶν ποτὲ μόνον. Εἰ μὲν γὰρ τῶν ποτὲ ἑπομένων ἡγοῖτό τις μόνον, πῶς ἡ συναφὴ ταύταις ἔσται πρὸς τὴν θείαν ψυχήν, πάντη διαφερούσαις, καὶ μήτε νοῦ προσεχῶς μετεχούσαις, μήτε πολλῷ πλέον θεῶν; εἰ δὲ τῶν ἀεὶ ἑπομένων, πῶς μέχρις ἐκείνων ἡ σειρὰ προῆλθεν; ἔσται γὰρ οὕτως ἔσχατα τὰ νοερά, καὶ ἄγονα, καὶ τελειοῦν, ἀλλὰ καὶ ἀνάγειν οὐ πεφυκότα. Ἀνάγκη ἄρα πάσης ψυχῆς θείας πρώτως μὲν ἐξηρτῆσθαι τὰς ἑπομένας ψυχάς, καὶ κατὰ νοῦν ἐνεργούσας, καὶ εἰς νόας ἀνηγμένας μερικωτέρους τῶν θείων νόων· δευτέρας δέ, τὰς μερικάς, καὶ διὰ τούτων μόνον νοῦ μετέχειν καὶ τῆς θείας ζωῆς δυναμένας· διὰ γὰρ τῶν ἀεὶ μετεχόντων τῆς κρείττονος μοίρας, τὰ ποτὲ μετέχοντα τελειοῦται. Καὶ αὖ πάλιν πλείους εἶναι περὶ ἑκάστην ψυχὴν θείαν τὰς ποτὲ ἑπομένας ψυχὰς τῶν ἀεὶ ἑπομένων· ἡ γὰρ τῆς μονάδος δύναμις κατὰ τὴν ὕφεσιν εἰς πλῆθος ἀεὶ πρόεισι, τῇ μὲν δυνάμει λειπομένη, τῷ δὲ ἀριθμῷ πλεονάζουσα· ἐπεὶ καὶ ἑκάστη ψυχὴ τῶν ἀεὶ θεοῖς ἑπομένων πλειόνων ἡγεῖται μερικῶν ψυχῶν, μιμουμένη τὴν θείαν ψυχήν, καὶ πλείους ἀνάγει ψυχὰς εἰς τὴν πρωτουργὸν μονάδα τῆς ὅλης σειρᾶς. Πᾶσα ἄρα θεία ψυχὴ πολλῶν μὲν ἡγεῖται ψυχῶν τῶν ἀεὶ θεοῖς ἑπομένων, πλειόνων δὲ ἔτι τῶν ποτὲ τὴν τάξιν ταύτην δεχομένων.

ΣΕ'. Πᾶσα ψυχὴ μερικὴ τοῦτον ἔχει τὸν λόγον πρὸς τὴν ψυχήν, ὑφ' ἣν τέτακται κατ' οὐσίαν, ὃν τὸ ὄχημα αὐτῆς πρὸς τὸ ἐκείνης ὄχημα. Εἰ γὰρ κατὰ φύσιν ἡ

Mentem quidem susceperunt perfectam, et ideo sunt particularibus *animabus præstantiores atque* superiores, non tamen etiam ex divinis Unitatibus pendentes. Non enim erat divina Mens, quæ participatur ab ipsis.

CCIII. In omni animali multitudine illæ quidem divinæ animæ, quæ potestate sunt aliis majores, numero sunt contractæ; *quæ vero his semper comitantur, et potestate* et quantitate medium inter omnes ordinem tenent. Et particulares quidem potestate quidem aliis inferiores sunt, sed in majorem numerum progrediuntur. Nam aliæ quidem arctiore cognationis vinculo cum Uno conjunguntur propter substantiam, quæ est divina; mediæ vero propter Mentis communionem. Quæ vero sunt ordine ultimæ, propter essentiam dissimiles *sunt* et mediis et primis. Quæ vero propius accedunt ad Unum, inter ea quæ sunt æterna, sunt singulariora illis, quæ numero sunt remotiora *ab Uno*, et multitudine sunt contracta; *quæ vero sunt ab Uno remotiora, magis multiplicantur.* Ergo superiorum *animarum* potestates sunt majores, et eam habent proportionem ad secundas *et inferiores animas*, quam *habet* ipsum divinum ad ipsum intellectuale, et hoc ad animale (*id est, ad id quod ad animæ naturam pertinet*); et ipsæ quantitates inferiorum *animarum sunt numero* plures. Quod enim ab Uno remotius est, *illud est* magis (*major*) multitudo, et quod *Uni* propinquius est, *illud est* minus (*minor*) *multitudo.*

CCIV. Omnis divina anima multis quidem præest animabus semper Deos sequentibus, longe vero pluribus illis, quæ hunc ordinem aliquando acceperunt. Divina enim cum sit, omnium entium principalem ordinem sortiri debet, eumque, qui in animabus primitus operetur. Etenim ipsum divinum in omnibus Entibus præest universis *rebus, et eas antecedit*, neque vero *oportet* tantum unamquamque *principem animam* imperare illis *animabus*, quæ *Deos* semper sequuntur, neque illis, quæ tantum aliquando *Deos sequuntur*. Nam si illis quidem, quæ *Deos* aliquando sequuntur, aliqua *anima* tantum imperet, quomodo contactus *et conjunctio* erit istis *animabus* cum anima divina, prorsus *ab ea* differentibus, et neque Mentem proxime participantibus, neque multo magis (*id est, et multo minus*) *participantibus* Deos? Si vero *imperet* illis, quæ *Deos* semper sequuntur, quomodo ad illas usque ipsa series *animarum* esset progressa? Sic enim ipsa intellectualia erunt ultima, et infecunda *et sterilia*, et *res aliquas* perficere, quinetiam producere *non poterunt naturaliter. Necesse igitur est* ex omni anima divina primo quidem pendere animas, quæ *Deos* sequuntur, et quæ per Mentem agunt, et quæ reducuntur ad Mentes particulariores ipsis divinis Mentibus; et secundas vero *necesse est esse animas* particulares, illas, quæ per istas medias Mentem et divinam vitam participare possunt. Nam per illa, quæ semper participant præstantiorem sortem, illa, quæ *tantum* aliquando participant *præstantiorem sortem*, perficiuntur. Rursus etiam *necesse est* circa unamquamque divinam animam plures esse animas, quæ *Deos* aliquando sequuntur, quam illas quæ *Deos* semper sequuntur. Nam unitatis potestas per remissionem *et subjectionem* in multitudinem semper progreditur, quæ potestate quidem est inferior *ac minor*, numero vero superior *et major*; quoniam etiam unaquæque anima illarum, quæ Deos semper sequuntur, pluribus imperat particularibus animabus, imitata divinam animam, et plures attrahit animas ad illam Unitatem, totius *animarum* seriei primam auctorem. Omnis igitur divina anima multis quidem præest animabus, quæ *Deos* semper sequuntur, longe vero pluribus illis, quæ ordinem istum aliquando accipiunt.

CCV. Omnis particularis anima eam habet proportionem ad animam, cui subjicitur per essentiam, quam *proportionem habet* ipsius vehiculum ad illius vehiculum. Si enim secundum naturam est singulis *animabus* …

διανομὴ τῶν ὀχημάτων ἑκάσταις, ἀνάγκη πάσης μερικῆς ψυχῆς ὀχήματι τοῦτον εἶναι τὸν λόγον πρὸς τὸ ὄχημα τῆς ὅλης, ὅ ἐστιν αὐτῆς πρὸς ἐκείνην. Ἀλλὰ μὴν ἡ διανομὴ κατὰ φύσιν· τὰ γὰρ πρώτως μετέχοντα αὐτοφυῶς συνῆπται τοῖς μετεχομένοις. Εἰ οὖν ὡς ἡ θεία πρὸς τὸ θεῖον σῶμα, οὕτως ἡ μερικὴ πρὸς τὸ μερικόν, αὐτῷ τῷ εἶναι μετεχομένης ἑκατέρας, καὶ τὸ ἐξ ἀρχῆς ἀληθές, ὅτι καὶ τὰ ὀχήματα ταῖς ψυχαῖς τὸν αὐτὸν ἔχει πρὸς ἄλληλα λόγον.

ΣϚ'. Πᾶσα ψυχὴ μερικὴ κατιέναι τε εἰς γένεσιν ἐπ' ἄπειρον καὶ ἀνιέναι δύναται ἀπὸ γενέσεως εἰς τὸ ὄν. Εἰ γὰρ ποτὲ μὲν ἕπεται θεοῖς, ποτὲ δὲ ἀποπίπτει τῆς πρὸς τὸ θεῖον ἀνατάσεως, νοῦ τε καὶ ἀνοίας μετέχει, δῆλον δή, ὅτι παρὰ μέρος ἐν τῇ γενέσει γίνεται, καὶ ἐν τοῖς θεοῖς ἐστιν. Οὐδὲ γάρ, τὸν ἄπειρον οὖσα χρόνον ἐν τοῖς θεοῖς, αὖθις ὅλον τὸν ἐφεξῆς χρόνον ἔσται ἐν τοῖς σώμασι· τὸ γὰρ ἀρχὴν χρονικὴν μὴ ἔχον, οὐδὲ τελευτήν ποτε ἕξει, καὶ τὸ μηδεμίαν ἔχον τελευτήν, ἀνάγκη μηδὲ ἀρχὴν ἔχειν.

Λείπεται ἄρα περιόδους ἑκάστην ποιεῖσθαι ἀνόδων τε ἐκ τῆς γενέσεως καὶ τῶν εἰς γένεσιν καθόδων, καὶ τοῦτο ἄπαυστον εἶναι διὰ τὸν ἄπειρον χρόνον. Ἑκάστη ἄρα ψυχὴ μερικὴ κατιέναι τε ἐπ' ἄπειρον δύναται καὶ ἀνιέναι. Καὶ τοῦτο οὐ μὴ παύσεται περὶ ἁπάσας τὸ πάθημα γενόμενον.

ΣΖ'. Πάσης μερικῆς ψυχῆς τὸ ὄχημα ἀπὸ αἰτίας ἀκινήτου δεδημιούργηται. Εἰ γὰρ ἀϊδίως ἐξήρτηται τῆς χρωμένης αὐτῷ ψυχῆς, καὶ συμφυῶς ἀμετάβλητον ὂν κατ' οὐσίαν, ἀπ' αἰτίας ἀκινήτου τὴν ὑπόστασιν ἔλαχε. Τὸ γὰρ ἐκ κινουμένων αἰτίων γεγονὸς μεταβάλλει πᾶν κατὰ τὴν οὐσίαν. Ἀλλὰ μὴν πᾶσα ψυχὴ ἀΐδιον ἔχει σῶμα, τὸ πρώτως αὐτῆς μετέχον· ὥστε καὶ ἡ μερικὴ ψυχή, καὶ τὸ αἴτιον ἄρα τοῦ ὀχήματος αὐτῆς ἀκίνητόν ἐστι, καὶ διὰ τοῦτο ὑπερκόσμιον.

ΣΗ'. Πάσης μερικῆς ψυχῆς τὸ ὄχημα ἄϋλόν ἐστι, καὶ ἀδιαίρετον κατ' οὐσίαν, καὶ ἀπαθές. Εἰ γὰρ ἐξ ἀκινήτου προῆλθε δημιουργίας καὶ ἔστιν ἀΐδιον, ἄϋλον ὑπόστασιν ἔχει καὶ ἀπαθῆ. Τὰ γὰρ πάσχειν κατὰ τὴν οὐσίαν πεφυκότα, καὶ μεταβάλλειν, ἔνυλα πάντα ἐστί, καὶ ἄλλοτε ἄλλως ἔχοντα τῶν κινουμένων αἰτίων ἐξήρτηται· διὸ καὶ μεταβολὴν ἐπιδέχεται παντοίαν, συγκινούμενα ταῖς ἑαυτῶν ἀρχικαῖς αἰτίαις. Ἀλλὰ μήν, ὅτι καὶ ἀδιαίρετον, δῆλον· τὸ γὰρ διαιρούμενον πᾶν ταύτῃ φθείρεται, ᾗ διαιρεῖται, τοῦ τε ὅλου καὶ τῆς συνεχείας ἀφιστάμενον· εἰ οὖν ἀμετάβλητον κατὰ τὴν οὐσίαν καὶ ἀπαθές, ἀδιαίρετον ἂν εἴη.

ΣΘ'. Πάσης μερικῆς ψυχῆς τὸ ὄχημα κάτεισι μὲν προσθέσει χιτώνων ἐνυλοτέρων, συνάγεται δὲ τῇ ψυχῇ δι' ἀφαιρέσεως παντὸς τοῦ ἐνύλου καὶ τῆς εἰς τὸ οἰκεῖον εἶδος ἀναδρομῆς, ἀνάλογον τῇ χρωμένῃ ψυχῇ. Καὶ γὰρ ἐκείνη κάτεισι μὲν ἀλόγως, ἀλόγους προσλαβοῦσα ζωάς, ἄνεισι δὲ ἀποσκευασαμένη πάσας τὰς γενεσιουργοὺς δυνάμεις, ἃς ἐν τῇ καθόδῳ περιεβάλετο καὶ γενομένη ** μιμεῖται τὰς ζωὰς τῶν χρωμένων ψυχῶν,

vehiculorum distributio, necesse est omnis particularis animæ vehiculo eam esse rationem *atque proportionem* ad universalis *animæ* vehiculum, quæ est ipsius *particularis* animæ ad illam *universalem*. Atqui secundum naturam *fit ista* distributio *vehiculorum*. Quæ enim primo *res aliquas* participant, suapte natura conjunguntur cum illis quæ participantur. Si igitur ut *anima* divina *se habet* ad divinum corpus, sic etiam particularis *anima se habet* ad particulare *corpus*, utraque *anima* propter ipsum esse participata, etiam quod initio *dictum est*, *est* verum, quod et ipsa animarum vehicula eandem inter se proportionem habent.

CCVI. Omnis anima particularis descendere in generationem in infinitum, et ascendere potest a generatione ad ipsum Ens. Si enim modo quidem Deos sequitur, modo vero excidit ex illa contentione, *qua contendit et studios. fertur* ad ipsum divinum *numen*, et Mentis et amentiæ particeps est, perspicuum igitur *est*, quod alternis et in ipsa generatione versatur, et in Diis *est et inter eos degit*. Neque enim si per infinitum tempus est inter Deos, rursus totum sequens tempus erit in corporibus. Quod enim temporale principium non habet, ne finem quidem unquam habebit, et id quod nullum habet finem, necesse *est* ne principium quidem habere.

Relinquitur igitur, ut unaquæque *anima* periodos faciat et ascensuum ex ipsa generatione et descensuum in generationem, et *necesse est* hoc indesinens esse, *nec unquam desinere*, propter ipsum infinitum tempus. Ergo unaquæque anima particularis in infinitum et descendere et ascendere potest. Et hæc passio non desinet circa omnes *animas* esse (*i. e. hoc singulis ac universis animabus accidere nunquam desinet*).

CCVII. Omnis particularis animæ vehiculum ab immobili causa fabricatum est. Si enim *hoc vehiculum* æterne ab anima, quæ ipso utitur, et per naturæ cognationem *et cohærentiam* est immutabile propter essentiam, ab immobili causa *suam* hypostasin *atque naturam* est sortitum. Quod enim factum est a causis quæ moventur, *illud* omne mutatur secundum essentiam. Verumtamen omnis anima æternum habet corpus, quod eam primo participavit. Quamobrem et particularis anima, ergo et ipsius *animæ* vehiculi causa est immobilis, et propterea *est* supermundana.

CCVIII. Omnis particularis animæ vehiculum est immateriale, et divisionis expers secundum essentiam, et impatibile. Si enim ex immobili fabricatione prodiit et est æternum, hypostasin *et naturam* immaterialem et affectionis expertem habet. Quæ enim propter *suam* essentiam pati *variisque perturbationibus affici* naturaliter solent et commutari, *hæc* materialia omnia sunt, et aliter alias sese habentia pendent ex causis, quæ moventur. Quamobrem etiam *hæc* omnigenam mutationem admittunt, quia cum suis principalibus causis moventur. Verum etiam quod *omnis animæ particularis vehiculum sit* divisioni non obnoxium, perspicuum *est*. Omne enim, quod dividitur, eatenus corrumpitur, quatenus dividitur, quoniam a Toto et a continuitate deficit *ac recedit*. Si igitur *hoc vehiculum est* immutabile et affectionis expers propter *suam* essentiam, individuum *igitur* erit.

CCIX. Omnis particularis animæ vehiculum descendit quidem additione vestimentorum magis materialium (*vel, quæ majorem materiæ copiam habent*), cum anima vero cogitur *atque congregatur* per ablationem omnis *rei* materialis et *per* recursionem *ac reversionem* ad suam formam, ea proportione, quæ respondet animæ *illo vehiculo* utenti. Etenim illa descendit quidem sine ratione, irrationales vitas assumens; ascendit vero abjectis *ac depositis* omnibus generationis effectricibus facultatibus, quas *ipsa* in descensu sibi circumdederat, et cum facta est *** imitatur vitas animarum, quæ *talibus vehiculis*

καὶ συγκινεῖται κινουμέναις αὐταῖς πανταχοῦ· καὶ τῶν μὲν τὰς νοήσεις ἀπεικονίζονται ταῖς ἑαυτῶν περιφοραῖς, τῶν δὲ τὰς ἀποπτώσεις ταῖς εἰς τὴν γένεσιν ῥοπαῖς, τῶν δὲ τὰς καθάρσεις ταῖς εἰς τὸ ἄυλον περιαγωγαῖς.

Διότι γὰρ αὐτῷ τῷ εἶναι τὰς ψυχὰς ζωοποιεῖται παρ' αὐτῶν, καὶ ἔστι συμφυὴς ἐκείναις, παντοίως συμβάλλει ταῖς ἐκείνων ἐνεργείαις, καὶ συνέπεται πάντῃ, παθαινομέναις τε συμπάσχει, καὶ κεκαθαρμέναις συναποκαθίσταται, καὶ ἀναγομέναις συνεπαίρεται, τῆς ἑαυτῶν ἐφιεμένη τελειότητος· πᾶν γὰρ τελειοῦται τῆς οἰκείας ὁλότητος τυχόν.

ΣΙ'. Πᾶν ψυχῆς ὄχημα συμφυὲς καὶ σχῆμα τὸ αὐτὸ ἀεὶ καὶ μέγεθος ἔχει, μεῖζον δὲ καὶ ἔλαττον ὁρᾶται καὶ ἀνομοιόσχημον, δι' ἄλλων σωμάτων προσθέσεις καὶ ἀφαιρέσεις. Εἰ γὰρ ἐξ αἰτίας ἀκινήτου τὴν οὐσίαν ἔχει, δῆλον δὴ ὅτι καὶ τὸ σχῆμα καὶ τὸ μέγεθος αὐτῷ παρὰ τῆς αἰτίας ἀφώρισται, καὶ ἔστιν ἀμετάβλητον καὶ ἀνεξάλλακτον ἑκάτερον. Ἀλλὰ μὴν ἄλλοτε ἀλλοῖον φαντάζεται, καὶ μεῖζον, καὶ ἔλασσον. Δι' ἄλλα ἄρα σώματα, ἀπὸ τῶν ὑλικῶν στοιχείων προστιθέμενα καὶ αὖθις ἀφαιρούμενα, τοιόνδε ἢ τοιόνδε καὶ τοσόνδε φαίνεται.

ΣΙΑ'. Πᾶσα μερικὴ ψυχή, κατιοῦσα εἰς γένεσιν, ὅλη κάτεισι, καὶ οὐ τὸ μὲν αὐτῆς ἄνω μένει, τὸ δὲ κάτεισιν. Εἰ γάρ τι μένοι τῆς ψυχῆς ἐν τῷ νοητῷ, ἢ ἀμεταβάτως νοήσει ἀεί, ἢ μεταβατικῶς· ἀλλ' εἰ μὲν ἀμεταβάτως, νοῦς ἔσται, καὶ οὐ μέρος ψυχῆς, καὶ ἔσται ἡ ψυχὴ προσεχῶς νοῦ μετέχουσα· τοῦτο δὲ ἀδύνατον. Εἰ δὲ μεταβατικῶς, ἐκ τοῦ ἀεὶ νοοῦντος καὶ τοῦ ποτὲ νοοῦντος μία οὐσία ἔσται· ἀλλ' ἀδύνατον· ταῦτα γὰρ ἀεὶ διαφέρει, ὡς δέδεικται, πρὸς τῷ καὶ ἄτοπον εἶναι, τὸ τῆς ψυχῆς ἀκρότατον, ἀεὶ τέλειον ὄν, μὴ κρατεῖν τῶν ἄλλων δυνάμεων, κἀκείνας τελείας ποιεῖν. Πᾶσα ἄρα μερικὴ ψυχὴ ὅλη κάτεισιν.

utuntur, et una cum ipsis ubique movetur, cum moventur. Et aliarum quidem intelligentias effingunt ac *exprimunt* per suas circumvectiones, aliarum vero casus per *sua momenta et inclinationes, quibus inclinantur et feruntur* in ipsam generationem, aliarum vero purgationes *et lustrationes effingunt atque repraesentant* per circumductiones in illud, quod est immateriatum.

Quoniam enim propter ipsum Esse ipsas animas vivificat per ipsas *purgationes*, et cum illis cognatione conjungitur, *ideo* variis modis confert ad illarum *animarum* actiones et in *omnes partes comitatur eas*, et cum illae patiuntur *aliquid mali*, simul patitur *et iisdem affectionibus afficitur, quibus illae*, et cum ipsis *jam purgatis, lustratis et expiatis* simul restituitur *in suum pristinum statum*, et cum illae in altum feruntur, simul extollitur, ipsarum (suam?) perfectionem expetens. Omne enim perficitur, cum suam integritatem assequitur.

CCX. Omne vehiculum animae cognatum, et figuram et magnitudinem eandem semper habet: majus vero et minus et dissimili figura praeditum cernitur, propter aliorum corporum additiones et ablationes. Si enim a causa immobili *suam* essentiam habet, perspicuum igitur *est*, *quod et ipsa figura et ipsa magnitudo a causa ipsi est* definita, et utrumque est immutabile et invariabile. Sed tamen alias aliud et *varium* per imaginationem videtur, et majus et minus *putatur*. Ergo propter alia corpora, a materialibus (*vel* materialis; *aut* materiam suppeditantibus) elementis addita et rursus ablata, tale vel tale et tantum *videtur et* apparet.

*CCXI. Omnis particularis anima, descendens in generationem*, tota descendit; neque pars quidem ipsius supra *manet, pars* vero descendit. Nam si qua *pars* animae maneat in ipso intelligibili, vel intransitive intelliget semper vel transitive (*seu vel sine transitionem vel per transitionem ad alia percipiet*). Sed si quidem intransitive *intelliget*, Mens erit, et non animae pars, et anima Mentem proxime participans erit. Hoc autem est impossibile. Si vero transitive, ex eo quod semper intelligit, et ex eo quod *aliquando intelligit, una essentia erit conflata*. Sed *hoc est* impossibile. Haec enim semper *inter se* differunt, ut *demonstratum* est. Praeterea vero etiam absurdum est, si *etiam* illud, quod in anima summum est, et quod semper est perfectum, non imperare ceteris *animae* facultatibus *aliisque potestatibus*, et illas perfectas facere. Omnis igitur particularis anima tota descendit.

# ΠΛΩΤΙΝΟΣ.

# PLOTINI ENNEADES.

# ΠΛΩΤΙΝΟΥ

## ΕΝΝΕΑΔΟΣ Α.

### ΛΟΓΟΣ Α.

ΠΕΡΙ ΤΟΥ ΤΙ ΤΟ ΖΩΟΝ, ΚΑΙ ΤΙΣ Ο ΑΝΘΡΩΠΟΣ.

# PLOTINI

## ENNEADIS PRIMÆ

### LIBER I.

QUID ANIMAL, QUID HOMO.

Utrum perturbationes, sensus, opiniones, cogitatio, intelligentia, sint animæ solius, an compositi [*Ed. pr.* an misturæ], etc.

Α'. Ἡδοναὶ καὶ λῦπαι φόβοι τε καὶ θάρρη ἐπιθυμίαι τε καὶ ἀποστροφαὶ καὶ τὸ ἀλγεῖν τίνος ἂν εἶεν; ἢ γὰρ ψυχῆς, ἢ χρωμένης ψυχῆς σώματι, ἢ τρίτου τινὸς ἐξ ἀμφοῖν; Διχῶς δὲ καὶ τοῦτο. ἢ γὰρ τὸ μῖγμα, ἢ ἄλλο ἕτερον ἐκ τοῦ μίγματος· ὁμοίως δὲ καὶ τὰ ἐκ τούτων τῶν παθημάτων γινόμενα καὶ πραττόμενα καὶ δοξαζόμενα· καὶ οὖν καὶ διάνοια καὶ δόξα ζητητέα, πότερα ὧν τὰ πάθη, ἢ αἱ μὲν οὕτως, αἱ δὲ ἄλλως· καὶ τὰς νοήσεις δὲ θεωρητέον, πῶς, καὶ τίνος· καὶ δὴ καὶ αὐτὸ τοῦτο τὸ ἐπισκοποῦν καὶ περὶ τούτων τὴν ζήτησιν καὶ τὴν κρίσιν ποιούμενον τί ποτ' ἂν εἴη· καὶ πρότερον τὸ αἰσθάνεσθαι, τίνος· ἐντεῦθεν γὰρ ἄρχεσθαι προσήκει· ἐπείπερ τὰ πάθη ἢ αἰσθήσεις τινὲς, ἢ οὐκ ἄνευ αἰσθήσεως.

I. Voluptates et dolores, timores item atque audaciæ, cupiditates et fugæ atque cruciatus, cujusnam sunt? numquid ipsius animæ tantum? an animæ potius utentis corpore? an tertii cujusdam compositi? Dupliciter autem et hoc accipi potest: aut enim ipsum, quod est mistum, sive mistura aut aliud quiddam ex ipsa mistione proveniens. Similiter et de illis quæ ex his passionibus fiunt et aguntur atque putantur, rursus de cogitatione et opinione quærendum est, utrum eorumdem sint quorum et passiones: an alia [aliæ?] quidem sic, alia [aliæ?] vero se aliter habeant? Præterea de intelligentiis perscrutandum est, cujus sint, et qua ratione se habeant. Atqui et de hoc ipso, quod considerat, præstatque circa hæc inquisitionem atque judicium, quidnam sit. Et primum quidem sentire cujus sit potissimum. Hinc enim videtur exordiendum: quandoquidem passiones ipsæ vel sensus quidam sunt, vel saltem absque sensu non fiunt.

Si anima non est forma simplex in se existens, suscipit passiones: si autem est talis forma, non suscipit.

Β'. Πρῶτον δὲ ψυχὴν ληπτέον, πότερον ἄλλο μὲν ψυχὴ, ἄλλο δὲ ψυχῇ εἶναι. Εἰ γὰρ τοῦτο, συνθετόν τι ἡ ψυχή. Καὶ οὐκ ἄτοπον ἤδη δέχεσθαι αὐτὴν καὶ αὐτῆς εἶναι τὰ πάθη τὰ τοιαῦτα, εἰ ἐπιτρέψαι καὶ οὕτως ὁ λόγος, καὶ ὅλως ἕξεις καὶ διαθέσεις χείρους καὶ βελτίους· ἢ εἰ ταὐτόν ἐστι ψυχὴ, καὶ τὸ ψυχῇ εἶναι, εἶδός τι ἂν εἴη ψυχὴ, ἄδεκτον τούτων ἁπασῶν τῶν ἐνεργειῶν, ὧν ἐποιστικὸν ἄλλῳ, ἑαυτῷ δὲ συμφυᾶ ἔχον τὴν ἐνέργειαν ἐν ἑαυτῷ, ἥν τινα ἂν φήνῃ ὁ λόγος· οὕτω γὰρ καὶ τὸ ἀθάνατον ἀληθὲς λέγειν, εἴπερ δεῖ τὸ ἀθάνατον καὶ ἄφθαρτον ἀπαθὲς εἶναι, ἄλλῳ ἑαυτοῦ πως διδὸν, αὐτὸ δὲ παρ' ἄλλου μηδὲν, ἢ ὅσον παρὰ τῶν πρὸ αὐτοῦ ἔχειν, ὧν μὴ ἀποτέτμηται κρειττόνων ὄντων. Τί γὰρ ἂν καὶ φοβοῖτο τοιοῦτον, ἄδεκτον ὂν παντὸς τοῦ ἔξω; ἐκεῖνο τοίνυν φοβείσθω, ὃ δύναται παθεῖν· οὐδὲ θαῤῥεῖ τοίνυν· τούτοις γὰρ θάῤῥος, οἷς ἂν τὰ φοβερὰ μὴ παρῇ. Ἐπιθυμίαι τε αἱ διὰ σώματος ἀποπληροῦνται κενουμένου καὶ πληρουμένου, ἄλλου τοῦ κενουμένου καὶ πληρουμένου ὄντος· πῶς δὲ μίξεως, ἢ τὸ οὐσιῶδες ἄμικτον; πῶς δὲ ἐπεισαγωγῆς τινων; οὕτω γὰρ ἂν σπεύδοι εἰς τὸ μὴ εἶναι ὅ ἐστι, τὸ δ' ἀλγεῖν ἔτι πόῤῥω. Λυπεῖσθαι δὲ πῶς, ἢ ἐπὶ τίνι; αὔταρκες γὰρ τό γε ἁπλοῦν ἐν οὐσίᾳ, οἷόν ἐστι μένον ἐν οὐσίᾳ τῇ αὑτοῦ· ἥδεται δὲ προσγενομένου τινός; οὐδενὸς, οὐδ' ἀγαθοῦ προσιόντος. ὃ γάρ ἐστιν, ἔστιν ἀεί· καὶ μὴν οὐδὲ αἰσθήσεται, οὐδὲ διάνοια, οὐδὲ δόξα περὶ

II. Primum autem de anima cogitandum est, utrum aliud quidem sit anima, aliud vero animæ esse. Si enim aliud sit, compositum quiddam est anima: neque absurdum erit jam suscipere ipsam et ejus esse tales passiones, si modo id ratio permiserit, et omnino habitus affectionesque meliores atque pejores. Si vero idem est anima et animæ esse, species utique quædam erit anima, actiones ejusmodi non suscipiens, quas ipsa alteri infert: in se ipsa vero actionem habens sibi cognatam, quamcunque ratio demonstraverit. Sic enim verum erit dicere eam immortalem: si quidem oportet, quod immortale et incorruptibile est, impatibile quoque esse, alteri quidem sui ipsius nonnihil impertiens, ipsum vero ab alio nihil accipiens, nisi quantum a superioribus acceperit quicquam, a quibus profecto præstantioribus minime segregatur. Quid igitur tale quiddam metuat, quippe cum exteriorum nihil accipiat? Illud certe metuat, quod et potest pati: neque rursus audebit. His enim adest audacia, quibus, quæ sibi forent metuenda, nondum accidunt. Cupiditates præterea, quæ per corpus explentur, evacuato videlicet corpore vel impleto, non hujus essentiæ sunt, sed alterius, quod evacuari impleríque possit. Quo autem pacto appetet mistionem? nonne, quod essentiale est, permanet semper immistum? Rursus quonam modo introducere sibi aliud affectabit? Sic enim non esse, quod est, studeret. Cruciatus quoque procul abest. Dolor vero atque tristitia qua ratione et qua de re ibi esse potest? Sufficiens enim id, quod simplex in essentia, quale est in sua essentia permanens. Num delectatur nuper aliquo accedente? nullo profecto, neque etiam accedente bono. Quod enim est, est et semper: quin etiam neque sentiet. Rursus neque circa ipsum cogitatio erit, neque

αὐτό. Αἴσθησις γὰρ παραδοχὴ εἴδους, ἢ ἀπαθοῦς σώματος· διάνοια δὲ καὶ δόξα ἐπ' αἴσθησιν. Περὶ δὲ νοήσεως ἐπισκεπτέον πως, εἰ ταύτην αὐτῇ καταλείψομεν· καὶ περὶ ἡδονῆς αὖ καθαρᾶς, εἰ συμβαίνει περὶ αὐτὴν μόνην οὖσαν.

opinio. Sensus enim vel speciei vel impatibilis corporis perceptio est. Cogitatio autem et opinio ad sensum vergunt. De intelligentia vero considerandum quodammodo, numquid hanc ipsi concedere debeamus: ac de voluptate pura, num circa ipsam, quatenus permanet sola, contingat.

Anima et in se vivit, et vivificat corpus, eoque utens ut instrumento, non afficitur ejus passionibus.

Γ'. Ἀλλὰ γὰρ ἐν σώματι θετέον, ψυχὴν οὖσαν, εἴτε πρὸ τούτου, εἴτ' ἐν τούτῳ, ἐξ οὗ καὶ αὐτῆς ζῷον τὸ σύμπαν ἐκλήθη. Χρωμένη μὲν οὖν σώματι οἷα ὀργάνῳ οὐκ ἀναγκάζεται δέξασθαι τὰ διὰ τοῦ σώματος παθήματα· ὥσπερ οὐδὲ τὰ τῶν ὀργάνων παθήματα οἱ τεχνῖται· αἴσθησιν δὲ τάχ' ἂν ἀναγκαίως, εἴπερ δεῖ χρῆσθαι τῷ ὀργάνῳ, γινωσκούσῃ τὰ ἔξωθεν παθήματα ἐξ αἰσθήσεως· ἐπεὶ καὶ τὸ χρῆσθαι ὄμμασιν ἐστὶν ὁρᾶν· ἀλλὰ καὶ βλάβαι περὶ τὸ ὁρᾶν, ὥστε καὶ λῦπαι, καὶ τὸ ἀλγεῖν, καὶ ὅλως ὅ τι περ ἂν περὶ τὸ σῶμα πᾶν γίγνηται· ὥστε καὶ ἐπιθυμίαι, ζητούσης τὴν θεραπείαν τοῦ ὀργάνου. Ἀλλὰ πῶς ἀπὸ τοῦ σώματος εἰς αὐτὴν ἥξει τὰ πάθη; σῶμα μὲν γὰρ σώματι ἄλλῳ μεταδώσει τῶν ἑαυτοῦ· σῶμα δὲ ψυχῇ, πῶς; τοῦτο γὰρ ἐστιν, οἷον ἄλλου παθόντος ἄλλο παθεῖν. Μέχρι γὰρ τοῦ, τὸ μὲν εἶναι τὸ χρώμενον, τὸ δὲ ᾧ χρῆται, χωρίς ἐστιν ἑκάτερον. Χωρίζει γοῦν ὁ τὸ χρώμενον, τὴν ψυχήν, διδούς. Ἀλλὰ πρὸ τοῦ χωρίσαι διὰ φιλοσοφίας αὐτό, πῶς εἶχεν; ἢ ἐμέμικτο· ἀλλὰ εἰ ἐμέμικτο, ἢ κρᾶσίς τις ἦν, ἢ ὡς διαπλακεῖσα, ἢ ὡς εἶδος οὐ κεχωρισμένον, ἢ εἶδος ἐφαπτόμενον, ὥσπερ ὁ κυβερνήτης, ἢ τὸ μὲν οὕτως αὐτοῦ, τὸ δὲ ἐκείνως. Λέγω δέ, ἢ τὸ μὲν κεχωρισμένον ὅπερ τὸ χρώμενον· τὸ δὲ μεμιγμένον ὁπωσοῦν καὶ αὐτὸ ὂν ἐν τάξει τοῦ ᾧ χρῆται, ἵνα τοῦτο ἡ φιλοσοφία καὶ αὐτὸ ἐπιστρέφῃ πρὸς τὸ χρώμενον, καὶ τὸ χρώμενον ἀπάγῃ, ὅσον μὴ πᾶσα ἀνάγκη, ἀπὸ τοῦ ᾧ χρῆται, ὡς μὴ ἀεὶ μηδὲ χρῆσθαι.

III. Veruntamen in corpore ponere eam oportet, cum sit anima, sive super hoc, sive in hoc esse dicatur, ex quo simul atque ex ipsa animal totum est appellatum. Utens itaque corpore, ut instrumento, non cogitur corporeas suscipere passiones, sicut neque artifices passiones instrumentorum: sensum autem forlasse necessario. Siquidem instrumento oportet uti animam per sensum passiones illatas extrinsecus cognoscentem: uti namque oculis videre est. Sed et offensiones, quae circa visionem fiunt, illi accident: igitur et molestiae atque dolores, et omnino quodcunque accidit circa corpus: quapropter et cupiditates anima videlicet requirente ministerium instrumenti [corr. curante proprium instrumentum]. Verum quonam pacto a corpore in ipsam passiones ingrediuntur? corpus quidem alteri corpori tradere aut aliquid poterit: at corpus animae quomodo? Hoc enim perinde se haberet, ac si patiente alio aliud pateretur. Quatenus enim hoc quidem est utens, illud vero, quo utitur, est utrumque seorsum. Separat itaque ille, qui utentem tradiderit animam. At vero antequam per philosophiam separet ipsam, quomodo se habebat? An forte miscebatur? Quod si miscebatur, vel permixtio et temperatio quaedam erat, vel tanquam diffusa et explicata per corpus, vel tanquam species minime separata, vel tanquam species attingens, ut gubernator, vel partim quidem separatum, quod videlicet est utens, partim vero mixtum quomodocunque et ipsum versans [quodcunque ipsum est] in ordine ejus, quo illud utitur, ut philosophia et hoc convertat ad utens, et utens abigat inde, nisi quantum summa cogat necessitas, adeo ut, quoad fieri potest, ita se habeat, ac si non semper utatur.

Anima non miscetur, neque jacet corpori, sed adest toti: ideo non suscipit passiones: sed compositum.

Δ'. Θῶμεν τοίνυν μεμῖχθαι· ἀλλ' εἰ μέμικται, τὸ μὲν χεῖρον ἔσται βέλτιον, τὸ σῶμα· τὸ δὲ χεῖρον, ἡ ψυχή· καὶ βέλτιον μὲν τὸ σῶμα ζωῆς μεταλαβόν· χεῖρον δὲ ἡ ψυχή, θανάτου καὶ ἀλογίας. Τὸ δὴ ἀφαιρεθὲν ὁπωσοῦν ζωῆς πῶς ἂν προσθήκην λάβοι τὸ αἰσθάνεσθαι; τοὐναντίον δ' ἂν τὸ σῶμα ζωὴν λαβόν, τοῦτο ἂν εἴη τὸ αἰσθήσεως καὶ τῶν ἐξ αἰσθήσεως παθημάτων μεταλαμβάνον· τοῦτο τοίνυν καὶ ὀρέξεται· τοῦτο γὰρ καὶ ἀπολαύσει ὧν ὀρέγεται, καὶ φοβήσεται περὶ αὑτοῦ· τοῦτο γὰρ καὶ οὐ τεύξεται τῶν ἡδέων, καὶ φθαρήσεται. Ζητητέον δὲ καὶ τὸν τρόπον τῆς μίξεως, μήποτε οὐ δυνατὸς ᾖ, ὥσπερ ἂν εἴ τις λέγοι, μεμῖχθαι λευκῷ γραμμήν, φύσιν ἄλλην ἄλλῃ. Τὸ δὲ διαπλακεῖσα οὐ ποιεῖ ὁμοιοπαθῆ τὰ διαπλακέντα· ἀλλ' ἔστιν ἀπαθὲς εἶναι τὸ διαπλακέν· καὶ ἔστι ψυχὴν διαπεφοιτηκυῖαν μήτι πάσχειν τὰ ἐκείνου πάθη, ὥσπερ καὶ τὸ φῶς, καὶ μάλιστα εἰ οὕτω δι' ὅλου ὡς διαπεπλέχθαι. Οὐ παρὰ τοῦτο οὖν πείσεται τὰ σώματος πάθη, ὅτι διαπλέκεται· ἀλλ' ὡς εἶδος ἐν ὕλῃ, ἔσται ἐν τῷ σώματι; Ἀλλὰ

IV. Ponamus ergo animam esse mistam. At si mista fuerit, illud quidem, quod deterius est, id est corpus, evadet melius: illud vero, quod melius, scilicet anima, evadet deterius: et corpus fiet melius, vitam participando: anima autem pejor, participando mortem conditionemque irrationalem. Quod autem quoquomodo orbatum est vita, quonam pacto insuper pro additamento suscipit sensum? Contra vero ipsum corpus vitam nanciscens sensum ejusque passiones accipiet. Hoc ergo et appetet: hoc enim et his, quae appetit, potietur, sibique metuet. Hoc etiam interdum non adipiscetur jucunda, atque dissolvetur. Quaerendum vero de mistionis modo, ne forte id fieri nequeat: perinde ac si quis dixerit, misceri albedini lineam, naturam diversam valde diversae. Quod si dicatur anima diffusa et explicans se per corpus, non ex hoc eveniet, ut anima simul cum corpore patiatur: sed potest, quod diffusum est per aliud, impatibile permanere. Atque fieri potest ut anima corpori se insinuans, ejus non suscipiat passiones: sicut et lumen, praesertim si ita sit, per totum quasi se passim porrexerit atque protenderit. Non igitur ex eo accipiet corporis passiones, quod diffunditur atque explicatur in corpus. Sed numquid ita est in cor-

πρῶτον μὲν ὡς χωριστὸν εἶδος ἔσται, εἴπερ οὐσία, καὶ μᾶλλον ἂν εἴη κατὰ τὸ χρώμενον· εἰ δὲ ὡς τῷ πελέκει τὸ σχῆμα τὸ ἐπὶ τῷ σιδήρῳ, καὶ τὸ συναμφότερον ὁ πέλεκυς ποιήσει, ἃ ποιεῖ ὁ σίδηρος ὁ οὕτως ἐσχηματισμένος, κατὰ τὸ σχῆμα μέντοι· μᾶλλον ἂν τῷ σώματι διδοῖμεν ὅσα κοινὰ πάθη, τῷ μέντοι τοιούτῳ, τῷ φυσικῷ ὀργάνῳ δυνάμει ζωὴν ἔχοντι. Καὶ γὰρ ἄτοπόν φησι τὴν ψυχὴν ὑφαίνειν λέγειν, ὥστε καὶ ἐπιθυμεῖν καὶ λυπεῖσθαι· ἀλλὰ τὸ ζῷον μᾶλλον.

pore, ut forma est in materia? At vero ut forma separata erit, siquidem essentia est, atque potius erit velut utens: sin autem sicut figura est in securi, figura, inquam, in ferro, et utrumque simul conjunctum, id est, securis faciet quæcunque faciet ferrum sic figuratum, per figuram tamen: magis utique corpori communes dabimus passiones, corpori, inquam, tali scilicet naturali, instrumentis prædito, potentia vitam habenti. Etenim absurdum, ait, dicere animam texere, sic et appetere atque dolere: sed animal potius hæc pati vel agere dicendum putat.

Difficile dictu est, quomodo perturbationes ad compositum potius quam ad partem alteram referantur.

Ε΄. Ἀλλὰ τὸ ζῷον ἢ τὸ σῶμα δεῖ λέγειν τὸ τοιόνδε, ἢ τὸ κοινὸν, ἢ ἕτερόν τι τρίτον ἐξ ἀμφοῖν γεγενημένον· ὅπως δ᾽ ἂν ἔχοι, ἤτοι ἀπαθῆ δεῖ τὴν ψυχὴν φυλάττειν, αὐτὴν αἰτίαν γενομένην ἄλλῳ τοῦ τοιούτου, ἢ συμπάσχειν καὶ αὐτήν· καὶ ἢ ταὐτὸν πάσχουσαν πάθημα πάσχειν, ἢ ὅμοιόν τι, οἷον ἄλλως μὲν τὸ ζῷον ἐπιθυμεῖν, ἄλλως δὲ τὸ ἐπιθυμητικὸν ἐνεργεῖν ἢ πάσχειν. Τὸ μὲν οὖν σῶμα τὸ τοιόνδε ὕστερον ἐπισκεπτέον· τὸ δὲ συναμφότερον οἷον λυπεῖσθαι, πῶς; ἆρα ὅτι τοῦ σώματος οὑτωσὶ διατεθέντος καὶ μέχρις αἰσθήσεως διελθόντος τοῦ πάθους, τῆς αἰσθήσεως εἰς ψυχὴν τελευτώσης; ἀλλ᾽ ἡ αἴσθησις οὔπω δῆλον πῶς. Ἀλλ᾽ ὅταν ἡ λύπη ἀρχὴν ἀπὸ δόξης καὶ κρίσεως λάβῃ τοῦ κακόν τι παρεῖναι, ἢ αὐτῷ, ἤ τινι τῶν οἰκείων· εἶτ᾽ ἐντεῦθεν τροπὴ λυπηρὰ ἐπὶ τὸ σῶμα, καὶ ὅλως ἐπὶ πᾶν τὸ ζῷον γένηται. Ἀλλὰ καὶ τὸ τῆς δόξης οὔπω δῆλον τίνος, τῆς ψυχῆς, ἢ τοῦ συναμφοτέρου· εἶτα ἡ μὲν δόξα ἡ περὶ τοῦ κακοῦ τὸ τῆς λύπης οὐκ ἔχει πάθος· καὶ γὰρ δυνατὸν τῆς δόξης παρούσης μὴ πάντως ἐπιγίνεσθαι τὸ λυπεῖσθαι, μηδ᾽ αὖ τὸ ὀργίζεσθαι, δόξης τοῦ ὀλιγωρεῖσθαι γενομένης, μηδ᾽ αὖ ἀγαθοῦ δόξης, κινεῖσθαι τὴν ὄρεξιν. Πῶς οὖν κοινὰ ταῦτα; ἢ ὅτι καὶ ἡ ἐπιθυμία τοῦ ἐπιθυμητικοῦ, καὶ ὁ θυμὸς τοῦ θυμικοῦ, καὶ ὅλως τοῦ ὀρεκτικοῦ ἡ ἐπί τι ἔκτασις; Ἀλλ᾽ οὕτως οὐκέτι κοινὰ ἔσται· ἀλλὰ τῆς ψυχῆς μόνης, ἢ καὶ τοῦ σώματος, ὅτι δεῖ αἷμα καὶ χολὴν ζέσαι, καί πως διατεθὲν τὸ σῶμα τὴν ὄρεξιν κινῆσαι, οἷον ἐπὶ ἀφροδισίων. Ἡ δὲ τοῦ ἀγαθοῦ ὄρεξις, μὴ κοινὸν πάθημα, ἀλλὰ ψυχῆς ἔστω, ὥσπερ καὶ ἄλλα, καὶ οὐ πάντα τοῦ κοινοῦ δίδωσί τις λόγος. Ἀλλὰ ὀρεγομένου ἀφροδισίων τοῦ ἀνθρώπου ἔσται μὲν ὁ ἄνθρωπος ὁ ἐπιθυμῶν, ἔσται δὲ ἄλλως καὶ τὸ ἐπιθυμητικὸν ἐπιθυμοῦν. Καὶ πῶς; ἆρα ἄρξει μὲν ὁ ἄνθρωπος τῆς ἐπιθυμίας, ἐπακολουθήσει δὲ τὸ ἐπιθυμητικόν; Ἀλλὰ πῶς ὅλως ἐπεθύμησεν ὁ ἄνθρωπος, μὴ τοῦ ἐπιθυμητικοῦ κεκινημένου; Ἀλλὰ ἄρξει τὸ ἐπιθυμητικόν; ἀλλὰ τοῦ σώματος μὴ πρότερον οὑτωσὶ διατεθέντος πόθεν ἄρξεται;

V. Animal autem dicendum est vel corpus tale, vel commune, vel aliud quiddam tertium ex ambobus confectum. Quomodocunque vero se habeat, vel impassibilem oportet animam custodire, cum sit ipsa alteri causa passionis: vel ipsam quoque compatientem: ac si ita, aut eandem passionem, aut quandam similem sustinere: velut aliter animal quidem appetere, aliter vero concupiscendi naturam operari, vel pati. Corpus quidem tale in sequentibus videtur considerandum. Conjunctum vero quomodo accidit molestia affici? Numquid corpore quidem sic affecto et usque ad sensum passione progrediente, sensu vero in animam desinente? At nondum manifestum, quomodo fiat sensus. Sed num quando dolor principium accipit ab opinione atque judicio, quasi aliquod malum adsit, vel sibi vel suorum alicui? Deinde hinc permutatio molesta in corpus, et omnino in totum animal sese propagat. Verumtamen nequedum constat cujusnam sit opinio, num animæ, an conjuncti? Item opinio circa malum non habet doloris necessario passionem; fieri enim potest ut præsente opinione mali non accidat dolor, neque ira, præsente opinione contemptus, neque appetitus, ipsa boni opinione præsente. Quonam igitur modo hæc communia sunt? num quoniam concupiscentia est ipsius concupiscendi naturæ: et ira similiter irascendi: et omnino ipsius appetendi virtutis est omnis ad aliquid impetus? Sed neque adhuc ita communia erunt; sed solius animæ, aut corporis potius: quia oporteat sanguinem ac bilem inflammari, et corpus certa ratione affectum concupiscentiam incitare, ut in venereis accidit. Appetitio vero boni non est communis passio, sed animæ sit, sicut et alia, neque omnia esse ipsius communis permittit ratio. Sed quando quis cupit venerea, erit quidem homo appetens, erit et alio modo appetens etiam vis appetendi. Sed quomodo? numquid homo quidem dabit principium appetendi, comitabitur vero concupiscendi potentia? Verum quonam pacto appeteret homo, non excitata concupiscendi potentia? Numquid vero exordietur appetendi natura? Verum quomodo incipiet, corpore non prius sic affecto?

In dubium trahitur, utrum verum sit, quod fertur, animam esse, qua animal sentit et agit et patitur; animal vero non animam vel ejus vim hoc ipsum esse, quod sentit agitque vel patitur.

ς΄. Ἀλλ᾽ ἴσως βέλτιον εἰπεῖν καθόλου, τῷ παρεῖναι τὰς δυνάμεις τὰ ἔχοντα εἶναι τὰ ἐνεργοῦντα κατ᾽ αὐτάς, αὐτὰς δὲ ἀκινήτους εἶναι, χορηγούσας τὸ δύνασθαι τοῖς ἔχουσιν. Ἀλλ᾽ εἰ τοῦτό ἐστι, πάσχοντος τοῦ

VI. Sed fortassè præstat dicere universaliter, ex eo, quod adsint potentiæ, illa, quæ eas habent, per ipsas agere, ipsas vero immobiles esse, possessoribusque suis vim agendi præbere. At si ita est, patiente animali necesse est

ζώου τὴν αἰτίαν τοῦ ζῆν τῷ συναμφοτέρῳ οὖσαν ἀνάγκη ἀπαθῆ εἶναι, τῶν παθῶν καὶ τῶν ἐνεργειῶν τοῦ ἔχοντος ὄντων. Ἀλλ' εἰ τοῦτο, καὶ τὸ ζῆν ὅλως οὐ τῆς ψυχῆς, ἀλλὰ τοῦ συναμφοτέρου ἔσται· ἢ τὸ τοῦ συναμφοτέρου ζῆν, οὐ τῆς ψυχῆς ἔσται· καὶ ἡ δύναμις δὲ ἡ αἰσθητικὴ οὐκ αἰσθήσεται, ἀλλὰ τὸ ἔχον τὴν δύναμιν. Ἀλλ' εἰ ἡ αἴσθησις διὰ σώματος κίνησις οὖσα εἰς ψυχὴν τελευτᾷ, πῶς ἡ ψυχὴ οὐκ αἰσθήσεται; ἢ τῆς δυνάμεως τῆς αἰσθητικῆς παρούσης τῷ ταύτην παρεῖναι αἰσθήσεται; τί αἰσθήσεται; τὸ συναμφότερον; ἀλλ' εἰ ἡ δύναμις μὴ κινήσεται, πῶς ἔτι τὸ συναμφότερον, μὴ συναριθμουμένης ψυχῆς; μηδὲ τῆς ψυχικῆς δυνάμεως, ἢ τὸ συναμφότερον.

causam vivendi conjuncto dantem (vivere atque pati) impassibilem esse, cum passiones et actiones sint habentis. Sed si ita, vivere quoque omnino non erit animæ, sed conjuncti: aut vivere conjuncti non erit animæ. Item neque sentiendi potentia, sed id, quod eam possidet, sentiet. Verum si sensus, qui motus est per corpus, ad animam usque pervenit atque desinit, quomodo non sentiet anima? An virtute sensuali præsente ex eo, quod adsit, sentiet? Sed quidnam sentiet? num conjunctum? sed si potentia non movebitur, quomodo jam conjunctum, si neque anima neque vis animæ ad hoc ipsum connumeretur?

Anima rationalis præsidet animali genito: in illa est sensus sine passione atque ratio, in hoc autem sensus cum passione.

Ζ'. Ἔσται τῆς ψυχῆς τῷ παρεῖναι, οὐχ αὐτὴν δοῦσαν τῆς τοιαύτης εἰς τὸ συναμφότερον, ἢ εἰς θάτερον, ἀλλὰ ποιοῦσαν ἐκ τοῦ σώματος τοῦ τοιούτου, καί τινος οἷον φωτὸς τοῦ παρ' αὐτῆς δοθέντος, τὴν τοῦ ζώου φύσιν ἕτερόν τι, οὗ τὸ αἰσθάνεσθαι, καὶ τὰ ἄλλα ὅσα ζώου πάθη εἴρηται. Ἀλλὰ πῶς ἡμεῖς αἰσθανόμεθα; ἢ ὅτι οὐκ ἀπηλλάγημεν τοῦ τοιούτου ζώου, καὶ εἰ ἄλλα ἡμῖν τιμιώτερα εἰς τὴν ὅλην ἀνθρώπου οὐσίαν, ἐκ πολλῶν οὖσαν, πάρεστι· τὴν δὲ τῆς ψυχῆς τοῦ αἰσθάνεσθαι δύναμιν οὐ τῶν αἰσθητῶν εἶναι δεῖ· τῶν δὲ ἀπὸ τῆς αἰσθήσεως ἐγγινομένων τῷ ζώῳ τύπων ἀντιληπτικὴν εἶναι μᾶλλον. Νοητὰ γὰρ ἤδη ταῦτα· ὡς τὴν αἴσθησιν τὴν ἔξω εἴδωλον εἶναι ταύτης· ἐκείνην δὲ ἀληθεστέραν τῇ οὐσίᾳ οὖσαν εἰδῶν μόνον ἀπαθῶς εἶναι θεωρίαν. Ἀπὸ δὴ τούτων τῶν εἰδῶν, ἀφ' ὧν ψυχὴ ἤδη παραδέχεται μόνη τὴν τοῦ ζώου ἡγεμονίαν, διάνοιαι δὴ καὶ δόξαι καὶ νοήσεις, ἔνθα δὴ ἡμεῖς μάλιστα. Τὰ δὲ πρὸ τούτων ἡμέτερα, ἡμεῖς δὲ τὸ ἐντεῦθεν, ἄνω ἐφεστηκότες τῷ ζώῳ. Κωλύσει δὲ οὐδὲν τὸ σύμπαν ζῷον λέγειν, μικτὸν μὲν τὰ κάτω, τὸ δὲ ἐντεῦθεν ὁ ἄνθρωπος ὁ ἀληθὴς σχεδόν. Ἐκεῖνα δὲ τὸ λεοντῶδες καὶ τὸ ποικίλον ὅλως θηρίον. Συνδρόμου γὰρ ὄντος τοῦ ἀνθρώπου τῇ λογικῇ ψυχῇ, ὅταν λογιζώμεθα, ἡμεῖς λογιζόμεθα, τῷ τοὺς λογισμοὺς ψυχῆς εἶναι ἐνεργήματα.

VII. Sed ipsum conjunctum esto ipsius animæ, ex eo videlicet, quod illic adest: ipsa anima cum sit talis non tradente seipsam in conjunctum vel in alteram ejus partem, sed conficiente ex corpore tali, atque quodam velut lumine ab ipsa tradito, animalis naturam aliud aliquid existentem, cujus quidem sit sentire et ceteræ animalis, quas narravimus, passiones. Sed quomodo nos sentimus? Forlasse quoniam a tali vivente non segregamur, et si alia præstantiora ad totam hominis essentiam ex multis constitutam nobis adsunt: vim autem animæ sensualem, non sensibilia quidem, sed eorum imagines per sensum animali impressas oportet percipere. Intelligibiles enim quodammodo sunt hæ species: quapropter sensus interior hujus sensus simulacrum est: hic vero in essentia verior est: quippe cum imaginum tantum sit absque passione perceptio. Ab his utique speciebus, a quibus anima jam accipit sola viventis imperium, opiniones et cogitationes intelligentiæque proveniunt, ubi maxime nos sumus. Quæ vero ante hæc, nostra sunt: nos autem sumus, quod est deinceps, animali desuper præsidentes. Prohibebit tamen nihil universum hoc animal appellare, sed quod inferius est, dicere mixtum: quod reliquum est, homo est verus. Quantum vero inferius est partim leoninum, partim brutum, omnino multiplex nominatur. Concurrente enim homine una cum anima rationali, quando ratiocinamur, nos certe ratiocinamur, propterea quod rationis discursus animæ sunt actiones.

Anima rationalis quomodo intellectui divino conjungatur, et per hunc deo. Item, quomodo conjungatur animali suo, et per hoc corpori. Verum etsi cunctæ animæ ad communem redigantur mentem, et propriis singulæ modis accipiunt, alios sibi proprios intellectus inde reportant.

Η'. Πρὸς δὲ τὸν νοῦν, πῶς; νοῦν δὲ λέγω, οὐχ ἣν ἡ ψυχὴ ἔχει ἕξιν οὖσαν τῶν παρὰ τοῦ νοῦ, ἀλλ' αὐτὸν τὸν νοῦν· ἢ ἔχομεν καὶ τοῦτον ὑπεράνω ἡμῶν. Ἔχομεν δὲ ἢ κοινὸν, ἢ ἴδιον, ἢ καὶ κοινὸν πάντων καὶ ἴδιον· κοινὸν μὲν, ὅτι ἀμέριστος καὶ εἷς καὶ πανταχοῦ ὁ αὐτός· ἴδιον δὲ, ὅτι ἔχει καὶ ἕκαστος αὐτὸν ὅλον ἐν τῇ ψυχῇ τῇ πρώτῃ. Ἔχομεν οὖν καὶ τὰ εἴδη διχῶς· ἐν μὲν ψυχῇ οἷον ἀνειλιγμένα καὶ οἷον κεχωρισμένα, ἐν δὲ νῷ ὁμοῦ τὰ πάντα. Τὸν δὲ θεὸν, πῶς; ἢ ὡς ἐποχούμενον τῇ νοητῇ φύσει καὶ τῇ οὐσίᾳ τῇ ὄντως, ἡμᾶς δὲ ἐκεῖθεν τρίτους ἐκ τῆς ἀμερίστου, φησὶ, τῆς

VIII. Ad intellectum vero quomodo nos habemus? Intellectum dico non habitum quemdam, quem ab intellectu habeat anima, sed intellectum ipsum: fortasse et hunc super nos habemus. Habemus autem aut communem aut proprium; fortasse et communem omnium atque proprium: communem quidem, quoniam impartibilis et unus et ubique idem; proprium vero, quoniam unusquisque ipsum in anima prima totum habet. Habemus igitur et species duplici ratione: in anima quidem velut explicatas atque segregatas, in intellectu vero simul omnes. At deum quomodo habemus? Fortasse tanquam intelligibili naturæ veræque essentiæ incubantem, nos autem inde tertios ex individua (ut Plato inquit) natura superna, et ex natura

ἄνωθεν καὶ ἐκ τῆς περὶ τὰ σώματα μεριστῆς, ἣν δὴ δεῖ νοεῖν οὕτω μεριστὴν περὶ τὰ σώματα, ὅτι δίδωσιν ἑαυτὴν τοῖς σώματος μεγέθεσιν, ὁπόσον ἂν ζῷον ᾖ ἕκαστον· ἐπεὶ καὶ τῷ παντὶ ὅλῳ οὖσα μία· ἢ ὅτι φαντάζεται τοῖς σώμασι παρεῖναι, ἐλλάμπουσα εἰς αὐτὰ καὶ ζῷα ποιοῦσα, οὐκ ἐξ αὐτῆς καὶ σώματος, ἀλλὰ μένουσα μὲν αὐτή, εἴδωλα δὲ αὐτῆς διδοῦσα, ὥσπερ πρόσωπον ἐν πολλοῖς κατόπτροις. Πρῶτον δὲ εἴδωλον αἴσθησις, ἡ ἐν τῷ κοινῷ· εἶτα ἀπὸ ταύτης αὖ πᾶν ἄλλο εἶδος λέγεται ψυχῆς, ἕτερον ἀφ' ἑτέρου ἀεί, καὶ τελευτᾷ μέχρι γεννητικοῦ καὶ αὐξήσεως, καὶ ὅλως ποιήσεως ἄλλου, καὶ ἀποτελεστικοῦ ἄλλου, παρ' αὐτὴν τὴν ποιοῦσαν, ἐπεστραμμένης αὐτῆς τῆς ποιούσης πρὸς τὸ ἀποτελούμενον.

circa corpora divisibili: quam oportet intelligere sic divisibilem circa corpora, quoniam dimensionibus corporis seipsam tradit, quatenus unumquodque sit vivens; quando et in toto et universo una existit. Quin etiam apparet adesse corporibus illustrans illa viventiaque efficiens, non ex seipsa, inquam, atque corpore, sed manens quidem ipsa, sui vero simulacra exhibens, sicut in pluribus speculis vultus imaginem. Primum vero simulacrum sensus est, qui in ipso communi viget: deinde ab hoc rursus omnis alia species animæ dicitur, alia semper ab alia, desinitque usque ad generandi et augendi naturam, atque usque ad alterius operis effectionem præter ipsam vim facientem, conversa videlicet vi faciente ad opus efficiendum.

Causa peccatorum, in anima est consensio: cujus propria est intelligentia quædam, præcipue cogitatio, quæ non agunt per corporis instrumentum.

Θ'. Ἔσται τοίνυν ἐκείνης ἡμῖν τῆς ψυχῆς ἡ φύσις ἀπηλλαγμένη αἰτίας κακῶν, ὅσα ἄνθρωπος καὶ ποιεῖ καὶ πάσχει. Περὶ γὰρ τὸ ζῷον ταῦτα τὸ κοινόν, καὶ κοινόν, ὡς εἴρηται. Ἀλλ' εἰ δόξα τῆς ψυχῆς καὶ διάνοια, πῶς ἀναμάρτητος; ψευδὴς γὰρ δόξα, καὶ πολλὰ κατ' αὐτὴν πράττεται τῶν κακῶν, ἢ πράττεται μὲν τὰ κακὰ ἡττωμένων ἡμῶν ὑπὸ τοῦ χείρονος. Πολλὰ γὰρ ἡμεῖς ἢ ἐπιθυμίας, ἢ θυμοῦ, ἢ εἰδώλου κακοῦ· ἡ δὲ τῶν ψευδῶν λεγομένη διάνοια, φαντασία οὖσα, οὐκ ἀνέμεινε τὴν τοῦ διανοητικοῦ κρίσιν· ἀλλ' ἐπράξαμεν τοῖς χείροσι πεισθέντες, ὥσπερ ἐπὶ τῆς αἰσθήσεως, πρὶν τῷ διανοητικῷ ἐπικρῖναι, ψευδῆ ὁρᾶν συμβαίνει τῇ κοινῇ αἰσθήσει. Ὁ δὲ νοῦς ἢ ἐφήψατο; ἢ ὥστε ἀναμάρτητος· ἢ οὕτω δὲ λεκτέον, ὡς ἡμεῖς ἢ ἐφηψάμεθα τοῦ ἐν τῷ νῷ νοητοῦ, ἢ οὔ, ἢ τοῦ ἐν ἡμῖν. Δυνατὸν γὰρ καὶ ἔχειν, καὶ μὴ πρόχειρον ἔχειν. Διείλομεν δὲ τὰ κοινὰ καὶ τὰ ἴδια τῷ τὰ μὲν σωματικὰ καὶ οὐκ ἄνευ σώματος εἶναι, ὅσα δὲ οὐ δεῖται σώματος εἰς ἐνέργειαν, ταῦτα ἴδια ψυχῆς εἶναι, καὶ τὴν διάνοιαν ἐπίκρισιν ποιουμένην τῶν ἀπὸ τῆς αἰσθήσεως τύπων, εἴδη ἤδη θεωρεῖν, καὶ θεωρεῖν, οἷον συναισθήσει, τήν γε κυρίως τῆς ψυχῆς τῆς ἀληθοῦς διάνοιαν. Νοήσεων γὰρ ἐνέργεια ἡ διάνοια ἡ ἀληθής, καὶ τῶν ἔξω πολλάκις πρὸς τἄνδον ὁμοιότης καὶ κοινωνία· ἀτρεμήσει οὖν οὐδὲν ἧττον ἡ ψυχὴ πρὸς ἑαυτὴν καὶ ἐν ἑαυτῇ. Αἱ δὲ τροπαὶ καὶ ὁ θόρυβος ἐν ἡμῖν παρὰ τῶν συνηρτημένων καὶ τῶν τοῦ κοινοῦ, ὅ τι δήποτε ἐστὶ τοῦτο, ὡς εἴρηται, παθημάτων.

IX. Erit igitur nobis natura illius animæ extra malorum causam, quotcunque homo facit et patitur. Circa enim ipsum animal commune hæc sunt; commune, inquam, ut est dictum. Verum si opinio cogitatioque ipsius animæ sunt, quonammodo erit extra peccati culpam? Falsa enim opinio sæpe est, multaque per ipsam aguntur mala. Forsitan aguntur a nobis mala, a deteriore nostro videlicet superatis. Multa enim nos cupiditati, vel iræ, vel malo simulacro concedere consuevimus. Ipsa vero quæ falsorum cogitatio dicitur, quæ phantasia est, sæpe deliberantis judicium non exspectat: sed prosequimur pejoribus obsequentes; sicut sensui accidit, priusquam considerandi virtute discernas, falso videre, per communem videlicet sensum. Intellectus vero an attigit? fortasse non: quapropter innocens remanet. Fortasse vero sic dicendum, nos vel attigisse intelligibile ipsum, quod in intellectu est, aut non, vel id quod in nobis. Possibile enim est habere, neque habere præcipuum atque promptum. Distinximus utique communia atque propria, ex eo quod alia quidem corporea sunt, neque sine corpore sunt, alia vero non indigent corpore ad agendum, ideoque animæ propria judicamus. Et cogitationem, quæ discretionem judiciumque imaginum a sensu provenientium agit, species jam spectare et quodam quasi sensu prospicere, cogitationem, inquam, præcipue ipsius veræ animæ propriam. Intellectionum enim actus est cogitatio vera ac sæpe externorum ad interna similitudo quædam atque communio. Nihilo igitur minus anima in seipsa ad seipsam inconcussa manebit. Permutationes autem perturbationesque in nobis fiunt ab his quæ subjuncta sunt, et ab his passionibus quæ pertinent ad commune: quodcunque id est, ut dictum est.

Quæ animalis nostri propria sunt, quodammodo etiam ad nos pertinent: et vita animalis non extinguitur, sed animam sui causam comitatur. Item, virtutes intellectuales sunt in anima, morales in animali.

Ι'. Ἀλλ' εἰ ἡμεῖς ἡ ψυχή, πάσχομεν δὲ ταῦτα ἡμεῖς, ταῦτα ἂν εἴη πάσχουσα ἡ ψυχή· καὶ αὖ ποιήσει ἃ ποιοῦμεν, ἢ καὶ τὸ κοινὸν ἔφαμεν ἡμῶν εἶναι, καὶ μάλιστα οὔπω κεχωρισμένων· ἐπεὶ καὶ ἃ πάσχει τὸ σῶμα ἡμῶν, ἡμᾶς φαμεν πάσχειν. Διττὸν οὖν τὸ ἡμεῖς, ἢ συναριθμουμένου τοῦ θηρίου, ἢ τὸ ὑπὲρ τοῦτο ἤδη· θηρίον δὲ ζωωθὲν τὸ σῶμα. Ὁ δ' ἀληθὴς

X. Verum si nos anima ipsa sumus, hæc vero nos patimur, hæc certe anima patietur, et rursus faciet, quæ nos facimus. Fortasse et commune diximus esse nostrum præsertim antequam separemur: quoniam et, quæ patitur corpus nostrum, nos perpeti dicimus. Duobus ergo modis nos dicimur: vel bruto nobis annumerato, vel quod super hoc exstat. Brutum vero est vivificatum corpus

ἄνθρωπος, ἄλλος, ὁ καθαρὸς τούτων, τὰς ἀρετὰς ἔχων τὰς ἐν νοήσει, αἳ δὴ ἐν αὐτῇ τῇ χωριζομένῃ ψυχῇ ἵδρυνται, χωριζομένῃ δὲ καὶ χωριστῇ ἔτι ἐνταῦθα οὔσῃ. Ἐπεὶ καὶ ὅταν αὕτη παντάπασιν ἀποστῇ, καὶ ἡ ἀπ' αὐτῆς ἐλλαμφθεῖσα ἀπελήλυθε συνεπομένη. Αἱ δὲ ἀρεταὶ αἱ μὴ φρονήσει, ἔθεσι δὲ ἐπιγινόμεναι καὶ ἀσκήσεσι, τοῦ κοινοῦ. Τούτου γὰρ αἱ κακίαι, ἐπεὶ καὶ φθόνοι καὶ ζῆλοι καὶ ἔλεοι. Φιλίαι δέ, τίνος; ἢ αἱ μὲν τούτου, αἱ δὲ τοῦ ἔνδον ἀνθρώπου;

Verus autem homo alius ab his purus, virtutes, quae sunt in intelligentia, possidens, quae in ipsa anima separata fundantur: separata, inquam, et separabili etiam quatenus hic est. Siquidem et quando ipsa omnino abest, illa etiam, quae ab ipsa emicat, abit eam comitans. Virtutes autem, quae non prudentia, sed consuetudine quadam exercitationeque proveniunt, communis ipsius esse videntur. Hujus enim sunt et vitia, quoniam et invidiae et aemulationes atque misericordiae. Amicitiae autem cujusnam sunt? Fortasse partim ad id commune, partim ad interiorem hominem pertinent.

In pueris regunt animal et imaginatio animae. Intellectus et ratio altius occupantur. Item, vita brutorum propria ex anima pendet rationali, vel nostra vel alia.

ΙΑ'. Παίδων δὲ ὄντων ἐνεργεῖ μὲν τὰ ἐκ τοῦ συνθέτου, ὀλίγα δὲ ἐλλάμπει ἐκ τῶν ἄνω εἰς αὐτό· ὅταν δὲ ἀργῇ εἰς ἡμᾶς, ἐνεργεῖ πρὸς τὸ ἄνω· εἰς ἡμᾶς δὲ ἐνεργεῖ, ὅταν μέχρι τοῦ μέσου ἥκῃ. Τί οὖν; οὐχ ἡμεῖς καὶ τὸ πρὸ τούτου; ἀλλ' ἀντίληψιν δεῖ γενέσθαι· οὐ γὰρ ὅσα ἔχομεν, τούτοις χρώμεθα ἀεί· ἀλλ' ὅταν τὸ μέσον τάξωμεν, ἢ πρὸς τὰ ἄνω, ἢ πρὸς τὰ ἐναντία, ἢ ὅσα ἀπὸ δυνάμεως ἢ ἕξεως εἰς ἐνέργειαν ἄγωμεν. Τὰ δὲ θηρία πῶς τὸ ζῶον ἔχει; ἢ εἰ μὲν ψυχαὶ εἶεν ἐν αὐτοῖς ἀνθρώπειοι, ὥσπερ λέγεται, ἁμαρτοῦσαι, οὐ τῶν θηρίων γίνεται τοῦθ' ὅσον χωριστόν, ἀλλὰ παρὸν οὐ πάρεστιν αὐτοῖς· ἀλλ' ἡ συναίσθησις τὸ τῆς ψυχῆς εἴδωλον μετὰ τοῦ σώματος ἔχει· σῶμα δὴ τοιόνδε, οἷον ποιωθὲν ψυχῆς εἰδώλῳ· εἰ δὲ μὴ ἀνθρώπου ψυχὴ εἰσέδυ, ἐλλάμψει ἀπὸ τῆς ὅλης τὸ τοιοῦτον ζῶον γενόμενόν ἐστιν.

XI. Quamdiu autem pueri sumus, operantur quidem, quae in composito sunt, pauca vero a superioribus ad ipsum usque refulgent: quando autem otiantur quoad nos, ad superiora interim operantur: in nos sane agunt, quando ad medium usque procedunt. Quid ergo? nonne id etiam quod ante hoc est, nos sumus? Veruntamen adversionem oportet fieri. Non enim, quaecunque habemus, his assidue utimur. Sed quando medium vel ad superiora vel ad contraria vertimus: vel quodcunque a potentia vel habitu in actum producimus. Bruta vero quomodo animal habent? Fortasse si in ipsis animae sint humanae (ut fertur) quae peccaverunt, non brutorum fit hoc, quantum separabile est, sed praesens illis non adest: sed sensus ipsius communio simulacrum animae habet una cum corpore; corpus, inquam, tale, veluti quale factum ipsius animae simulacro. Sin autem anima hominis non est ingressa, illustratione quadam ab ipsa totius anima animal tale producitur.

In essentia animae neque peccatum est, neque poena, sed in animali ab ea genito; id quomodo generetur, exponitur.

ΙΒ'. Ἀλλ' εἰ ἀναμάρτητος ἡ ψυχή, πῶς αἱ δίκαι; ἀλλὰ γὰρ οὗτος ὁ λόγος ἀσυμφωνεῖ παντὶ λόγῳ, ὅς φησιν αὐτὴν καὶ ἁμαρτάνειν καὶ κατορθοῦν, καὶ διδόναι δίκας καὶ ἐν ᾅδου, καὶ μετενσωματοῦσθαι. Προσθετέον μὲν οὖν ὅτῳ τις βούλεται λόγῳ· τάχα δ' ἄν τις ἐξεύροι καὶ ὅπῃ μὴ μαχοῦνται. Ὁ μὲν γὰρ τὸ ἀναμάρτητον διδοὺς τῇ ψυχῇ λόγος ἓν ἁπλοῦν πάντῃ ἐτίθετο, τὸ αὐτὸ ψυχὴν καὶ τὸ ψυχῇ εἶναι λέγων. Ὁ δ' ἁμαρτεῖν διδοὺς συμπλέκει μὲν καὶ προστίθησιν αὐτῇ καὶ ἄλλο ψυχῆς εἶδος, τὸ τὰ δεινὰ ἔχον πάθη· σύνθετον οὖν καὶ τὸ ἐκ πάντων ἡ ψυχὴ αὐτὴ γίνεται, καὶ πάσχει δὴ κατὰ τὸ ὅλον, καὶ ἁμαρτάνει τὸ σύνθετον· καὶ τοῦτό ἐστι τὸ διδὸν δίκην αὐτῷ, οὐκ ἐκεῖνο. Ὅθεν φησί· τεθεάμεθα γὰρ αὐτήν, ὥσπερ οἱ τὸν θαλάττιον Γλαῦκον ὁρῶντες. Δεῖ δὲ περικρούσαντας τὰ προστεθέντα, εἴπερ τις ἐθέλει (φησὶ) τὴν φύσιν αὐτῆς ἰδεῖν, εἰς τὴν φιλοσοφίαν αὐτῆς ἰδεῖν, ὧν ἐφάπτεται, καὶ τίσι συγγενὴς οὖσα ἐστὶν ὅ ἐστιν. Ἄλλη οὖν ζωὴ καὶ ἄλλαι ἐνέργειαι, καὶ τὸ κολαζόμενον ἕτερον· ἡ δὲ ἀναχώρησις καὶ ὁ χωρισμὸς οὐ μόνον τοῦδε τοῦ σώματος, ἀλλὰ καὶ ἅπαντος τοῦ προστεθέντος. Καὶ γὰρ ἐν τῇ γενέσει ἡ προσθήκη, ἢ ὅλως ἡ γένεσις τοῦ ἄλλου ψυχῆς εἴδους. Τὸ δὲ πῶς ἡ γένεσις εἴρηται· ὅτι καταβαινούσης, ἄλλου του ἀπ' αὐτῆς γινομένου, τοῦ καταβαίνοντος ἐν τῇ νεύσει. Ἆρ' οὖν ἀφίησι τὸ

XII. Sed si anima non est peccatrix, quomodo judicia atque poenae? At hic sermo ab omni sermone dissentit dicente, ipsam peccare et purgari [corr. recte agere], poenasque apud inferos pendere, atque per corpora transmigrare. Adhaerendum ergo utri libet sermoni. Fortasse vero quispiam reperiat, quomodo invicem non repugnent. Qui enim tradit animam non peccare, unum quiddam simplex omnino ponit, idem accipiens animam, atque animam esse. Qui vero eam peccare dicit, conjungit ipsi et conflat alteram insuper animae speciem passiones graves habentem. Compositum igitur quiddam ex omnibus anima ipsa fit, et patitur utique secundum totum, peccatque compositum: atque id est, quod poenas dat ipsi, non illud. Hinc ait Plato: Videmus enim eam, quemadmodum qui marinum aspiciunt Glaucum. Oportet autem, si quis velit naturam ejus inspicere, adjunctam secernere, atque philosophiam ejus considerare, quae attingat, et quibus cognata existens id, quod ipsa est, existat. Alia ergo vita, et actiones aliae, et quod punitur aliud. Revocatio vero et separatio non solum ab hoc corpore, sed ab omni adjuncto esse debet. Etenim in generatione fit adjunctio, vel omnino generatio alterius animae speciei esse videtur. Quod vero quaeritur, quonam modo generatio fiat? responsum fuerit, quod videlicet anima descendente, atque tunc alio quodam ab anima facto, atque deveniente in ipsa animae ad corpus inclinatione quasi quodam nutu. Numquid ergo dimittit simulacrum? Item

εἴδωλον; καὶ ἡ νεῦσις δὲ πῶς οὐχ ἁμαρτία; ἀλλ' εἰ ἡ νεῦσις ἔλλαμψις πρὸς τὸ κάτω, οὐχ ἁμαρτία, ὥσπερ οὐδ' ἡ σκιά· ἀλλ' αἴτιον τὸ ἐλλαμπόμενον· εἰ γὰρ μὴ εἴη, οὐκ ἔχει ὅπη ἐλλάμψει. Καταβαίνειν οὖν καὶ νεύειν λέγεται τῷ συνεζηκέναι αὐτῇ τὸ ἐλλαμφθὲν παρ' αὐτῆς. Ἀφίησιν οὖν τὸ εἴδωλον, εἰ μὴ ἐγγὺς τὸ ὑποδεξάμενον. Ἀφίησι δὲ οὐ τῷ ἀποσχισθῆναι, ἀλλὰ τῷ μηκέτι εἶναι· οὐκέτι δέ ἐστιν, ἐὰν ἐκεῖ βλέπῃ ὅλη. Χωρίζειν δὲ ἔοικεν ὁ ποιητὴς τοῦτο ἐπὶ τοῦ Ἡρακλέους τὸ εἴδωλον αὐτοῦ διδοὺς ἐν ᾅδου, αὐτὸν δὲ ἐν θεοῖς εἶναι· ὑπ' ἀμφοτέρων τῶν λόγων κατεχόμενος, καὶ ὅτι ἐν θεοῖς, καὶ ὅτι ἐν ᾅδου· ἐμέρισε δ' οὖν. Τάχα δ' ἂν οὕτω πιθανὸς ὁ λόγος εἴη· ὅτι δὴ πρακτικὴν ἀρετὴν ἔχων Ἡρακλῆς, καὶ ἀξιωθεὶς διὰ καλοκαγαθίαν θεὸς εἶναι, ὅτι πρακτικὸς, ἀλλ' οὐ θεωρητικὸς ἦν, ἵνα ἂν ὅλος ᾖ ἐκεῖ· ἄνω τέ ἐστι, καὶ ἔτι ἐστί τι αὐτοῦ καὶ κάτω.

Ipsa inclinatio sive nutus quo pacto non est peccatum? Sed si annuere est illustrare id quod est inferius, certe non est peccatum, sicut neque umbra. Causa vero ejus id est, quod illustratur. Nisi enim hoc esset, quo modo illustraret anima, non haberet. Descendere igitur et inclinari sive annuere dicitur ex eo quod illuminatum ab ea ipsi convivitur. Dimittit ergo simulacrum, nisi sit proximum, quod suscipiat. Dimittit vero non ex eo quod discindatur, sed ex eo quod hic non sit amplius. Non amplius autem est hic, si illuc sursum tota respiciat. Separare vero videtur poeta hoc in Hercule, demittens simulacrum ejus ad inferos, ipsum vero inter deos annumerans. Utrumque ergo verbis observat, et quod inter deos, et quod apud inferos diversetur. Divisit igitur. Fortasse vero sic sermo probabilis erit: quoniam virtutem activam habens Hercules, atque existimatus propter probitatem esse deus: quippe cum activus esset, non autem contemplativus: alioquin totus apud superos esset nimirum, et apud superos quidem est, et aliquid ejus interim est apud inferos.

Non compositum, sed anima ipsa ratiocinatur atque intelligit, cum per intellectum proprium, tum etiam per communem.

ΙΓʹ. Τὸ δὲ ἐπισκεψάμενον περὶ τούτων, ἡμεῖς, ἢ ἡ ψυχή; ἢ ἡμεῖς, ἀλλὰ τῇ ψυχῇ; τὸ δὲ τῇ ψυχῇ, πῶς; ἆρα τῷ ἔχειν ἐπεσκέψατο, ἢ ἡ ψυχή; οὐκοῦν κινήσεται, ἢ κίνησιν τὴν τοιαύτην δοτέον αὐτῇ, ἣ μὴ σωμάτων, ἀλλ' ἔστιν αὐτῆς ζωή. Καὶ ἡ νόησις δὲ ἡμῶν οὕτως, ὅτι καὶ νοερὰ ἡ ψυχὴ, καὶ ζωὴ κρείττων ἡ νόησις, καὶ ὅταν ψυχὴ νοῇ, καὶ ὅταν νοῦς ἐνεργῇ εἰς ἡμᾶς· μέρος γὰρ καὶ οὗτος ἡμῶν, καὶ πρὸς τοῦτον ἄνιμεν.

XIII. Quod vero de his considerat, nosne sumus, an anima? Fortasse nos, sed per animam. Per animam vero quo pacto? Nunquid aliquis eam habendo consideravit; an anima ipsa potius? Non ergo movebitur: vel motum concedere oportet talem, qualis non est corporum, sed est ipsius vita. Praeterea intelligentia sic est nostra, quoniam intellectualis est anima: atque haec ipsa intelligentia vita melior existat: cum quando anima intelligit; tum quando intellectus in nos agit. Pars enim et hic est nostri, ad ipsumque ascendimus.

# ΕΝΝΕΑΔΟΣ Α

## ΛΟΓΟΣ Β.

### ΠΕΡΙ ΑΡΕΤΩΝ.

# ENNEADIS PRIMÆ

## LIBER II.

### DE VIRTUTIBUS.

[11, 19.] (44—41.)

Anima per virtutem quasi per imaginem fit similis deo exemplari virtutum.

Α'. Ἐπειδὴ τὰ κακὰ ἐνταῦθα καὶ τόνδε τὸν τόπον περιπολεῖ ἐξ ἀνάγκης, βούλεται δὲ ἡ ψυχὴ φεύγειν τὰ κακά, φευκτέον ἐντεῦθεν. Τίς οὖν ἡ φυγή; Θεῷ φησιν ὁμοιωθῆναι· τοῦτο δέ, εἰ δίκαιοι καὶ ὅσιοι μετὰ φρονήσεως γενοίμεθα καὶ ὅλως ἐν ἀρετῇ. Εἰ οὖν ἀρετῇ ὁμοιούμεθα, ἆρα ἀρετὴν ἔχοντι; καὶ δὴ καὶ τίνι; Θεῷ. Ἆρ' οὖν τῷ μᾶλλον δοκοῦντι ταῦτα ἔχειν; καὶ δὴ τῇ τοῦ κόσμου ψυχῇ, καὶ τῷ ἐν ταύτῃ ἡγουμένῳ, ᾧ φρόνησις θαυμαστὴ ὑπάρχει· καὶ γὰρ εὔλογον ἐνταῦθα ὄντας τούτῳ ὁμοιοῦσθαι. Ἢ πρῶτον μὲν ἀμφισβητήσιμον, εἰ καὶ τούτῳ ὑπάρχουσι πᾶσαι, οἷον σώφρονι ἀνδρείῳ εἶναι, ᾧ μήτε τι δεινόν ἐστιν· οὐδὲν γὰρ ἔξωθεν· μήτε προσιὸν ἡδύ, οὗ καὶ ἐπιθυμία ἂν γένοιτο, μὴ παρόντος, ἵν' ἔχῃ ἢ ἕλῃ· εἰ δὲ καὶ αὐτὸς ἐν ὀρέξει ἐστὶ τῶν νοητῶν, ὧν καὶ αἱ ἡμέτεραι, δῆλον ὅτι καὶ ἡμῖν ἐκεῖθεν ὁ κόσμος καὶ αἱ ἀρεταί. Ἆρ' οὖν ἐκεῖνο ταύτας ἔχει; ἢ οὐκ εὔλογον τάς γε πολιτικὰς λεγομένας ἀρετὰς ἔχειν; φρόνησιν μὲν περὶ τὸ λογιζόμενον, ἀνδρίαν δὲ περὶ τὸ θυμούμενον, σωφροσύνην δὲ ἐν ὁμολογίᾳ τινὶ καὶ συμφωνίᾳ ἐπιθυμητικοῦ πρὸς λογισμόν, δικαιοσύνην δέ, τὴν ἑκάστου τούτων ὁμοῦ οἰκειοπραγίαν ἀρχῆς πέρι καὶ τοῦ ἄρχεσθαι. Ἆρ' οὖν οὐ κατὰ τὰς πολιτικὰς ὁμοιούμεθα, ἀλλὰ κατὰ τὰς μείζους τῷ αὐτῷ ὀνόματι χρωμένας; ἀλλ' εἰ κατ' ἄλλας, κατὰ τὰς πολιτικὰς ὅλως οὔ; ἢ ἄλογον μηδ' ὁπωσοῦν ὁμοιοῦσθαι, κατὰ ταύτας; τούτους γοῦν καὶ θείους ἡ φήμη λέγει. Καὶ λεκτέον ἀμηγέπη ὁμοιοῦσθαι, κατὰ δὲ τὰς μείζους τὴν ὁμοίωσιν εἶναι· ἀλλ' ἑκατέρως γε συμβαίνει ἀρετὰς ἔχειν, κἂν εἰ μὴ τοιαύτας. Εἰ οὖν τις συγχωρεῖ κἂν εἰ μὴ τοιαύτας ὁμοιοῦσθαι δύνασθαι, ἄλλως ἡμῶν ἐχόντων πρὸς ἄλλας, οὐδὲν κωλύει, καὶ μὴ πρὸς τὰς πολιτικὰς ἀρετὰς ὁμοιουμένων ἡμᾶς ταῖς αὐτῶν ἀρεταῖς ὁμοιοῦσθαι τῷ μὴ ἀρετὴν κεκτημένῳ. Καὶ πῶς; ὧδε· εἴ τι θερμότητος παρουσίᾳ θερμαίνεται, ἀνάγκη καὶ ὅθεν ἡ θερμότης ἐλήλυθε, θερμαίνεσθαι· καὶ εἴ τι πυρὸς παρουσίᾳ θερμόν ἐστιν, ἀνάγκη καὶ τὸ πῦρ αὐτὸ πυρὸς παρουσίᾳ θερμαίνεσθαι. Ἀλλὰ πρὸς μὲν τὸ πρότερον, εἴποι ἄν τις, καὶ ἐν τῷ πυρὶ εἶναι θερμότητα, ἀλλὰ σύμφυτον, ὥστε τὸν λόγον ποιεῖν τῇ ἀναλογίᾳ ἑπόμενον, ἐπακτὸν μὲν τῇ ψυχῇ τὴν ἀρετήν, ἐκείνῳ δέ, ὅθεν μιμησαμένη ἔχει, σύμφυτον. Πρὸς δὲ τὸν ἐκ τοῦ πυρὸς λόγον, τὸ ἐκεῖνον ἀρετὴν εἶναι, ἀρετῆς δὲ ἀξιοῦμεν εἶναι μείζονα. Ἀλλ' εἰ μὲν οὗ μεταλαμβάνει ψυχή, τὸ αὐτὸ ἦν τῷ ἀφ' οὗ, οὕτως ἔδει λέγειν· νῦν δὲ ἕτερον μὲν ἐκεῖνο, ἕτερον δὲ

I. Cum mala hic sint, et circa locum hunc necessario revolvantur, velit autem anima fugere mala, hinc est procul dubio fugiendum. Quaenam igitur fuga? Deo, inquit Plato, similem fieri. Hoc autem fiet, si justi et sancti cum prudentia efficimur, et omnino cum virtute vivamus. Si itaque virtute assimilamur, num ergo virtuti habenti? At cuinam? Deo. Sed numquid illi deo, qui magis videatur haec habere? Nempe animae mundi et intimo ipsius duci, cui mirabilis inest prudentia. Sane probabile est, nos hic viventes huic similes fieri. Fortasse vero primo ambiguum est, num huic omnes adsint, veluti temperatum atque fortem esse, cui nihil terribile est. Nihil enim ab externis accidit, neque accedit jucundum quicquam, cujus cupiditas lacessat absente illo ad hoc, ut habeat vel apprehendat. Si autem et ipse intelligibilia sic appetit, ut et animae nostrae*: patet, nobis quoque inde decus virtutesque contingere. Numquid et ipse has habet? Forte non probabile est, virtutes civiles habere, videlicet prudentiam circa vim consultandi; et fortitudinem circa iracundiae impetum; temperantiam vero in consensione quadam et concordia naturae concupiscentis ad rationem; justitiam praeterea propriam uniuscujusque horum actionem, in eo quod est ducere atque duci, consentientem. An forte non secundum civiles assimilamur, sed secundum majores eodem nomine praeditas? Verum si secundum alias, num secundum civiles nullo modo? An forte a ratione alienum est, nullo modo per has assimilari? Hos enim divinos quoque fama praedicat: et quodammodo assimilari dicendum: secundum vero majores similitudinem fieri. Sed utroquomodo contingere videtur, deum virtutes habere, etsi non tales. Si quis ergo concedat quamvis non tales, tamen assimilari posse, aliter nobis ad alias nos habentibus, nihil prohibet nos virtutibus nostris assimilari non habenti virtutem, similitudine videlicet ad (civiles) virtutes minime pertinente. At quomodo? Ita. Si quid caloris praesentia calefit, an necesse est illud quoque, unde venit calor, calefieri? Et si quid ignis praesentia calidum est, numquid necesse est, et ignem ipsum ignis praesentia incalescere? Sed ad primum quidem dicat aliquis, et in igne esse calorem, sed innatum, ita ut ratio inde ducatur analogiam sequens videlicet, virtutem esse animae adventitiam, illi vero, unde per imitationem habet, esse innatam. Ad rationem vero, quae ab igne ducebatur, respondebit aliquis, illi adesse virtutem, virtutem, inquam, virtute majorem. Sed si illud, cujus fit particeps anima, esset idem illi a quo habet, sic oportebat dicere. nunc autem alterum quidem illud, hoc vero

ταὐτό· οὐδὲ γὰρ οἰκία ἡ αἰσθητὴ τὸ αὐτὸ τῇ νοητῇ, καίτοι ὡμοίωται· καὶ τάξεως δὲ καὶ κόσμου μεταλαμβάνει ἡ οἰκία ἡ αἰσθητή· κἀκεῖ ἐν τῷ λόγῳ οὐκ ἔστι τάξις, οὐδὲ κόσμος, οὐδὲ συμμετρία. Οὕτως οὖν κόσμου καὶ τάξεως καὶ ὁμολογίας μεταλαβόντες ἐκεῖθεν, καὶ τούτων ὄντων τῆς ἀρετῆς ἐνθάδε, οὐ δεομένων δὲ τῶν ἐκεῖ ὁμολογίας, οὐδὲ κόσμου, οὐδὲ τάξεως, οὐδ' ἂν ἀρετῆς εἴη χρεία, καὶ ὁμοιούμεθα δὲ οὐδὲν ἧττον τοῖς ἐκεῖ δι' ἀρετῆς παρουσίαν. Πρὸς μὲν οὖν τὸ μὴ ἀναγκαῖον κἀκεῖ ἀρετὴν εἶναι, ἐπείπερ ἡμεῖς ἀρετῇ ὁμοιούμεθα, ταυτί. Δεῖ δὲ πειθὼ ἐπάγειν τῷ λόγῳ, μὴ μένοντας ἐπὶ τῆς βίας.

est alterum. Neque enim sensibilis domus eadem est intelligibili, quamvis similis: etenim ordinem ornatumque domus sensibilis accipit: in ipsa vero ratione non est ordo, neque ornatus, neque commensuratio. Sic igitur cum ornatum et ordinem et consensionem participemus inde, atque haec apud nos ad virtutem attineant, quae vero illic sunt, consensione, ornatu, ordine non indigeant, nimirum illic non erit virtute opus, sed nihilominus similes illis per virtutis praesentiam evademus. Haec utique sic dicta sint ad id potissimum ostendendum, quod non necessarium sit, ibi quoque esse virtutem, ex eo quod virtute nos illis assimilemur. Oportet autem non cogere tantum (oratione), verum etiam suadere.

Anima per virtutes civiles quasi mensuras formasque ejus propius ad divinam similitudinem accedit, quam materia naturales formas accipiendo.

Β'. Πρῶτον τοίνυν τὰς ἀρετὰς ληπτέον, καθ' ἅς φαμεν ὁμοιοῦσθαι, ἵν' ἂν τὸ αὐτὸ εὕρωμεν, ὃ παρ' ἡμῖν μὲν μίμημα ὂν ἀρετή ἐστιν, ἐκεῖ δὲ, οἷον ἀρχέτυπον ὂν, οὐκ ἀρετή· ἐπισημηνάμενοι, ὡς ἡ ὁμοίωσις διττὴ, καὶ ἡ μέν τις ταὐτὸν ἐν τοῖς ὁμοίοις ἀπαιτεῖ, ὅσα ἐπίσης ὡμοίωται ἀπὸ τοῦ αὐτοῦ. Ἐν οἷς δὲ τὸ μὲν ὡμοίωται πρὸς ἕτερον, τὸ δὲ ἕτερόν ἐστι πρῶτον, οὐκ ἀντιστρέφον πρὸς ἐκεῖνο, οὐδὲ ὅμοιον αὐτῷ λεγόμενον, ἐνταῦθα τὴν ὁμοίωσιν ἄλλον τρόπον ληπτέον· οὐ ταὐτὸν εἶδος ἀπαιτοῦντας, ἀλλὰ μᾶλλον ἕτερον, εἴπερ κατὰ τὸν ἕτερον τρόπον ὡμοίωται. Τί ποτε οὖν ἐστιν ἡ ἀρετὴ, ἥ τε σύμπασα καὶ ἑκάστη; σαφέστερος δὲ ὁ λόγος ἔσται ἐφ' ἑκάστης· οὕτω γὰρ καὶ ὅ τι κοινὸν, καθὸ ἀρεταὶ πᾶσαι, δῆλον ῥᾳδίως ἔσται. Αἱ μὲν τοίνυν πολιτικαὶ ἀρεταὶ, ἃς ἄνω που εἴπομεν, κατακοσμοῦσι μὲν ὄντως, καὶ ἀμείνους ποιοῦσιν, ὁρίζουσαι καὶ μετροῦσαι τὰς ἐπιθυμίας, καὶ ὅλως τὰ πάθη μετροῦσαι, καὶ ψευδεῖς δόξας ἀφαιροῦσαι, τῷ ὅλως ἀμείνονι καὶ τῷ ὡρίσθαι, καὶ τῶν ἀμέτρων καὶ ἀορίστων ἔξω εἶναι, καὶ τὸ μεμετρημένον καὶ αὐταὶ ὁρισθεῖσαι· ᾗ μέτρα γε ἐν ὕλῃ τῇ ψυχῇ ὡμοίωνται τῷ ἐκεῖ μέτρῳ, καὶ ἔχουσιν ἴχνος τοῦ ἐκεῖ ἀρίστου. Τὸ μὲν γὰρ πάντη ἄμετρον, ὕλη ὂν, πάντη ἀνωμοίωται. Καθόσον δὲ μεταλαμβάνει εἴδους, κατὰ τοσοῦτον ὁμοιοῦται ἀνειδέῳ ἐκείνῳ ὄντι. Μᾶλλον δὲ τὰ ἐγγὺς μεταλαμβάνει. Ψυχὴ δὲ ἐγγυτέρω σώματος καὶ συγγενέστερον, ταύτῃ καὶ πλέον μεταλαμβάνει, ὥστε καὶ ἐξαπατᾶν, θεὸς φαντασθεῖσα, μὴ τὸ πᾶν θεοῦ τοῦτο ᾖ. Οὕτω μὲν οὖν αὗται ὁμοιοῦνται.

II. Primo igitur accipiendae sunt virtutes, per quas fieri similitudinem dicimus, ut idem ipsum inveniamus: quod apud nos quidem imitatio existens virtus est, ibi vero velut exemplar existit, neque est virtus, significantes geminam esse similitudinem. Quarum una quidem naturam eandem in rebus similibus exigit, quotcumque aequa mutuave ratione ab eodem similes fiunt. In quibus autem hoc quidem assimilatur ad alterum; alterum vero est primum, neque ad ipsum convertitur, neque simile ad ipsum dicitur. Hic similitudinem alio modo oportet accipere, non eandem speciem, sed alteram potius requirentes, siquidem secundum alteram rationem fit similitudo. Quidnam igitur est virtus et universa simul et quaelibet? Manifestior vero sermo erit in qualibet. Sic enim et ipsum commune, secundum quod virtutes sunt omnes, facilius apparebit. Civiles sane virtutes, quas modo dicebamus, exornant quidem vere, ac nos meliores efficiunt, cupiditates et omnino perturbationes ceteras moderantes, opinionesque falsas meliori modo auferentes, propterea quod definiunt, atque extra immoderata et indefinita animum collocant, modumque ipsae suscipiunt. Fortasse vero mensurae in anima quasi materia, mensurae, quae illic est, similes fiunt, vestigiumque optimi, quod illic est, observant. Quod enim omnino immoderatum est, cum sit ipsa materia, est omnino dissimile. Quatenus vero accipit (*corr.* participat) speciem, eatenus illi speciem non habenti fit simile. Magis autem, quae sunt propinqua, participant. Anima vero propinquior cognatiorque est, quam corpus, ideoque magis particeps illius evadit: adeo ut fallat deus apparens, suspicionemque inducens, ne totum dei hoc sit. Sic igitur hi similes fiunt.

Definitiones virtutis purgatoriae, animique jam purgati communes, et comparationes quaedam intelligentiae nostrae ad divinam longe superiorem.

Γ'. Ἀλλ' ἐπεὶ τὴν ὁμοίωσιν ἄλλην ὑποφαίνει, ὡς τῆς μείζονος ἀρετῆς οὖσαν, περὶ ἐκείνης λεκτέον. Ἐν ᾗ καὶ σαφέστερον ἔσται μᾶλλον καὶ τῆς πολιτικῆς ἡ οὐσία, καὶ ἥτις ἡ μείζων κατὰ τὴν οὐσίαν, καὶ ὅλως ὅτι ἐστὶ παρὰ τὴν πολιτικὴν ἑτέρα. Λέγων δὴ ὁ Πλάτων τὴν ὁμοίωσιν τὴν πρὸς τὸν θεὸν φυγὴν τῶν ἐντεῦθεν εἶναι, καὶ ταῖς ἀρεταῖς ταῖς ἐν πολιτείᾳ, οὐ τὸ ἁπλῶς διδοὺς, ἀλλὰ προστιθεὶς πολιτικάς γε, καὶ ἀλλαχοῦ

III. At quoniam similitudinem aliam esse significat, quae ad majorem virtutem attineat, de illa dicendum. Qua in re manifestius erit, et quae sit civilis virtutis essentia, et quaecumque sit per essentiam excellentior, atque omnino aliam, praeter civilem, esse constabit. Plato itaque, cum dicat similitudinem ad deum esse quandam ab inferioribus fugam: praeterea virtutibus, quae conveniunt civilibus, non simpliciter virtutum, sed virtutum civilium nomen

καθάρσεις λέγων ἁπάσας, δῆλός τέ ἐστι διττὰς τιθεὶς, καὶ τὴν ὁμοίωσιν οὐ κατὰ τὴν πολιτικὴν τιθείς. Πῶς οὖν λέγομεν ταύτας καθάρσεις, καὶ πῶς καθαρθέντες μάλιστα ὁμοιούμεθα; ἢ ἐπειδὴ κακὴ μέν ἐστιν ἡ ψυχὴ συμπεφυρμένη τῷ σώματι, καὶ ὁμοπαθὴς γινομένη αὐτῷ, καὶ πάντα συνδοξάζουσα, εἴη ἂν ἀγαθὴ καὶ ἀρετὴν ἔχουσα, εἰ μήτε συνδοξάζοι, ἀλλὰ μόνη ἐνεργοῖ (ὅπερ ἐστὶ νοεῖν τε καὶ φρονεῖν), μήτε ὁμοιοπαθὴς εἴη (ὅπερ ἐστὶ σωφρονεῖν), μήτε φοβοῖτο ἀφισταμένη τοῦ σώματος (ὅπερ ἐστὶν ἀνδρίζεσθαι)· ἡγοῖτο δὲ λόγος καὶ νοῦς, τὰ δὲ μὴ ἀντιτείνοι, δικαιοσύνη δ' ἂν εἴη τοῦτο. Τὴν δὴ τοιαύτην διάθεσιν τῆς ψυχῆς καθ' ἣν νοεῖ τε καὶ ἀπαθὴς οὕτως ἐστὶν, εἴ τις ὁμοίωσιν λέγοι πρὸς θεὸν, οὐκ ἂν ἁμαρτάνοι· καθαρὸν γὰρ καὶ τὸ θεῖον, καὶ ἡ ἐνέργεια τοιαύτη, ὡς τὸ μιμούμενον ἔχειν φρόνησιν. Τί οὖν; οὐ κἀκεῖνο οὕτω διάκειται; ἢ οὐδὲ διάκειται, ψυχῆς δὲ ἡ διάθεσις· νοεῖται ἡ ψυχὴ ἄλλως. Τῶν δὲ ἐκεῖ τὸ μὲν ἑτέρως, τὸ δὲ οὐδὲ ὅλως. Πάλιν οὖν τὸ νοεῖν ὁμώνυμον; οὐδαμῶς, ἀλλὰ τὸ μὲν πρώτως, τὸ δὲ παρ' ἐκείνου ἑτέρως. Ὡς γὰρ ὁ ἐν φωνῇ λόγος μίμημα τοῦ ἐν ψυχῇ, οὕτω καὶ ὁ ἐν ψυχῇ μίμημα τοῦ ἐν ἑτέρῳ. Ὡς οὖν μεμερισμένος ὁ ἐν προφορᾷ πρὸς τὸν ἐν ψυχῇ, οὕτω καὶ ὁ ἐν ψυχῇ ἑρμηνεὺς ὢν ἐκείνου, πρὸς τὸν πρὸ αὐτοῦ· ἡ δὲ ἀρετὴ ψυχῆς· νοῦ δὲ οὐκ ἔστιν, οὐδὲ τοῦ ἐπέκεινα.

attribuat; et alibi omnes virtutes purificationes appellet; plane videtur duplices ponere, ipsamque ad deum similitudinem non per civilem consummari virtutem. Quomodo igitur purificationes has appellamus? Item quomodo purificati prorsus assimilamur? Fortasse quoniam mala quidem est anima, si commista sit corpori, simulque cum ipso patiatur, et per omnia cum illo opinione consentiat: erit vicissim bona, virtuteque prædita, si neque ita consenserit, sed sola egerit, quod quidem intelligere est atque sapere: neque compatiens fuerit, quod est temperatum esse: neque secessum a corpore metuat, quod est esse fortem. Ducat autem ratio atque mens, cætera vero minime reluctentur, quod quidem erit esse justum. Hunc sane animi statum in quo intelligit, et ita procul a perturbatione vivit, si similitudinem ad deum dixerit, non aberrabit. Purum enim est divinum: et actio talis, ut, quod ipsum imitatur, sapientiam habeat. Quid ergo? nonne et ipsum sic afficitur? Fortasse vero nec afficitur quidem. Ad animam vero affectio sive dispositio pertinet; atque anima aliter, quam deus, intelligit. Eorum vero, quæ ibi esse dicuntur, partim aliter quam hic sunt, partim nullo modo sunt ibi. Rursus igitur intelligere æquivocum est? nullo modo, sed illud quidem est primo: hoc autem ab illo procedens se aliter habet. Ut enim sermo qui est in voce, imitatio est ejus qui est in anima; ita, qui in anima, ejus, qui in superiori manet. Sicut ergo sermo in prolatione ad sermonem animæ comparatus divisus est; sic, qui in anima ad superiorem divisus, est ipsius interpres: virtus autem animæ est, mentis vero nequaquam: neque ejus, quod est mente superius.

Puritas quærenda est, ut purgatus animus convertatur ad proprium intellectum, et ab hoc ad divinum: ut inde virtutibus exemplaribus reformetur.

Δ'. Ζητητέον δὲ, εἰ ἡ κάθαρσις ταὐτὸν τῇ τοιαύτῃ ἀρετῇ; ἢ προηγεῖται μὲν ἡ κάθαρσις, ἕπεται δὲ ἡ ἀρετή, καὶ πότερον ἐν τῷ καθαίρεσθαι ἡ ἀρετὴ, ἢ ἐν τῷ κεκαθάρθαι; ἀτελεστέρα τῆς ἐν τῷ κεκαθάρθαι, οἷον τέλος ἤδη. Ἀλλὰ τὸ κεκαθάρθαι ἀφαίρεσις ἀλλοτρίου παντός. Τὸ δὲ ἀγαθὸν ἕτερον αὐτοῦ· ἢ εἰ πρὸ τῆς ἀκαθαρσίας ἀγαθὸν ἦν, ἡ κάθαρσις ἀρκεῖ. Ἀλλ' ἀρκέσει μὲν ἡ κάθαρσις, τὸ δὲ καταλειπόμενον ἐστὶ τὸ ἀγαθὸν, οὐχ ἡ κάθαρσις. Καὶ τί τὸ καταλειπόμενον ἐστὶ, ζητητέον. Ἴσως γὰρ οὐδὲ τὸ ἀγαθὸν ἦν ἡ φύσις ἡ καταλειπομένη· οὐ γὰρ ἂν ἐγένετο ἐν κακῷ. Ἆρ' οὖν ἀγαθοειδῆ λεκτέον; ἢ οὐχ ἱκανὴν πρὸς τὸ μένειν ἐν τῷ ὄντως ἀγαθῷ; πέφυκε γὰρ ἐπ' ἄμφω. Τὸ οὖν ἀγαθὸν αὐτῆς τὸ συνεῖναι τῷ συγγενεῖ· τὸ κακὸν δὲ τὸ τοῖς ἐναντίοις. Δεῖ οὖν καθηραμένην συνεῖναι· συνέσται δὲ ἐπιστραφεῖσα. Ἆρ' οὖν μετὰ τὴν κάθαρσιν ἐπιστρέφεται; ἢ μετὰ τὴν κάθαρσιν ἐπέστραπται; τοῦτο οὖν ἡ ἀρετὴ αὐτῆς, ἢ τὸ γινόμενον αὐτῇ ἐκ τῆς ἐπιστροφῆς; Τί οὖν τοῦτο, θέα καὶ τύπος τοῦ ὀφθέντος ἐντεθεὶς καὶ ἐνεργῶν, ὡς ἡ ὄψις περὶ τὸ ὁρώμενον. Οὐκ ἄρα εἶχεν αὐτὰ οὐδ' ἀναμιμνήσκεται· ἢ εἶχεν οὐκ ἐνεργοῦντα, ἀλλὰ ἀποκείμενα ἀφώτιστα. Ἵνα δὲ φωτισθῇ καὶ τότε γνῷ αὐτὰ ἐνόντα, δεῖ προσβάλλειν τῷ φωτίζοντι. Εἶχε δὲ οὐκ αὐτὰ, ἀλλὰ τύπους. Δεῖ οὖν τὸν τύπον τοῖς ἀληθινοῖς, ὧν καὶ οἱ τύποι, ἐφαρμόσαι. Τάχα δὲ καὶ οὕτω λέγεται ἔχειν, ὅτι ὁ νοῦς οὐκ ἀλλότριος, καὶ μάλιστα δὲ οὐκ ἀλλότριος, ὅταν πρὸς

IV. Quærendum vero, nunquid purificatio sit idem atque ejusmodi virtus? an præcedat quidem purificatio; virtus vero sequatur? Et num in purificando, an potius in purificatione jam consummata consistat virtus? Imperfectior est utique virtus adhuc in purgando laborans: nam hujus finis est illa, quæ jam purgavit. Verum purificatum esse est alieni omnis ablatio. Bonum autem præter hoc ipsum aliud quiddam esse videtur. Fortasse si ante puritatis jacturam bonum erat, purificatio ipsa sufficiat: sed sufficiet quidem purificatio: reliquum vero erit bonum, non ipsa purificatio. Tum vero quærendum est, quid sit id reliquum. Fortasse enim natura residua non est bonum: alioquin nunquam fuisset in malo. Num ergo boniformem dicere licet? An potius nequaquam sufficientem in eo, quod vere bonum est, permanere? Natura enim ad utrumque vergit. Bonum igitur ipsius est adhærere cognato: malum vero, contrariis. Oportet ergo purgatam hærere: hærebit autem conversa. Num igitur post purgationem convertitur? vel post purgationem jam conversa est? Hoc igitur ejus est virtus: imo vero quod ex conversione consequitur? Quid hoc igitur? Visio, figuraque rei perspectæ impressa et agens, quemadmodum circa visibile visus. Non ergo hæc habebat, neque reminiscitur: vel forsan habebat, non agentia tamen, sed jacentia potius et obscura. Ut autem illuminentur, animaque tunc insita hæc agnoscat, admovere oportet illuminanti. Habebat autem non ipsa, sed figuras. Oportet ergo figuras veris rebus, quarum figuræ sunt, prorsus accommodare. Fortasse vero sic usque habere putatur: quoniam intellectus non est alie-

αὐτὸν βλέπῃ· εἰ δὲ μὴ, καὶ παρὼν ἀλλότριος· ἐπεὶ καὶ ταῖς ἐπιστήμαις, ἐὰν μηδ' ὅλως ἐνεργῶμεν κατ' αὐτὰς, ἀλλότριαι.

nus, ac maxime non alienus, quando ad ipsum respicit: alioquin etiam præsens est alienus: quoniam et scientiæ, si nullo modo illis utamur, sunt alienæ.

Animi purgati virtutes definiuntur, earumque traduntur officia.

Ε'. Ἀλλ' ἐπὶ πόσον ἡ κάθαρσις, λεκτέον· οὕτω γὰρ καὶ ἡ ὁμοίωσις τίνι φανερὰ, καὶ ἡ ταυτότης τίνι θεῷ. Τοῦτο δέ ἐστι μάλιστα ζητεῖν, πῶς θυμὸν καὶ ἐπιθυμίαν καὶ τἆλλα πάντα, λύπην καὶ τὰ συγγενῆ, καὶ τὸ χωρίζειν ἀπὸ σώματος, ἐπὶ πόσον δυνατόν. Ἀπὸ μὲν δὴ σώματος, ἴσως μὲν καὶ τοῖς οἷον τόποις συνάγουσαν πρὸς ἑαυτὴν, πάντως μὴν ἀπαθῶς ἔχουσαν, καὶ τὰς ἀναγκαίας τῶν ἡδονῶν αἰσθήσεις μόνον ποιουμένην καὶ ἰατρεύσεις ἀπαλλαγὰς πόνων, ἵνα μὴ ἐνοχλοῖτο, τὰς δὲ ἀλγηδόνας ἀφαιροῦσαν, καὶ εἰ μὴ οἷόν τε, πρᾴως φέρουσαν, καὶ ἐλάττους τιθεῖσαν τῷ μὴ συμπάσχειν, τὸν δὲ θυμὸν, ὅσον οἷόν τε, ἀφαιροῦσαν, καὶ εἰ δυνατὸν, πάντη· εἰ δὲ μὴ, μὴ γοῦν αὐτὴν συνοργιζομένην, ἀλλ' ἄλλου εἶναι τὸ ἀπροαίρετον· τὸ δὲ ἀπροαίρετον ὀλίγον εἶναι καὶ ἀσθενές, τὸν δὲ φόβον, πάντη· περὶ οὐδενὸς γὰρ φοβήσεται· τὸ δὲ ἀπροαίρετον καὶ ἐνταῦθα, πλήν γε ἐν νουθετήσει. Ἐπιθυμία δὲ, ὅτι μὲν μηδενὸς φαύλου, δῆλον· σίτων δὲ καὶ ποτῶν πρὸς ἄνεσιν οὐκ αὐτὴ ἕξει, οὐδὲ τῶν ἀφροδισίων γε· εἰ δ' ἄρα, φυσικῶν οἶμαι, καὶ οὐδὲ τὸ ἀπροαίρετον ἐχουσῶν· εἰ δ' ἄρα, ὅσον μετὰ φαντασίας, προπετοῦς καὶ ταύτης. Ὅλως δὲ αὐτὴ μὲν πάντων τούτων καθαρὰ ἔσται, καὶ τὸ ἄλογον δὲ βουλήσεται καὶ αὐτὸ καθαρὸν ποιῆσαι, ὥστε μηδὲ πλήττεσθαι· εἰ δ' ἄρα, μὴ σφόδρα, ἀλλ' ὀλίγας τὰς πληγὰς αὐτοῦ εἶναι, καὶ εὐθὺς λυομένας τῇ γειτονήσει, ὥσπερ εἴ τις σοφῷ γειτονῶν ἀπολαύοι τῆς τοῦ σοφοῦ γειτνιάσεως, ἢ ὅμοιος γενόμενος, ἢ αἰδούμενος, ὡς μηδὲν τολμᾷν ποιεῖν, ὧν ὁ ἀγαθὸς οὐ θέλει· οὔκουν ἔσται μάχη. Ἀρκεῖ γὰρ παρὼν ὁ λόγος, ὃν τὸ χεῖρον αἰδέσεται, ὥστε καὶ αὐτὸ τὸ χεῖρον δυσχερᾶναι, ἐάν τι ὅλως κινηθῇ, ὅτι μὴ ἡσυχίαν ἦγε παρόντος τοῦ δεσπότου, καὶ ἀσθένειαν αὐτῷ ἐπιτιμῆσαι.

V. Ceterum, quatenus procedat purgatio, superest dicendum. Sic enim patebit, cui potissimum deo similis eademque fiat. Hoc autem est maxime quærere, quatenus possibile sit, purgare iram et cupiditatem, voluptatem et dolorem, atque similia, et animum a corpore separare. A corpore quidem separare, id est fortasse animum quasi a locis ad ipsum diversis colligere, omnino a perturbationibus segregatum, *efficientemque, ut necessariæ voluptates* sensus quidam sint duntaxat, et quædam quasi medelæ sedationesque laborum sive languorum, ut interpellatio nulla contingat: dolores autem auferentem, ac, si nequeat, moderate ferentem, et quia non simul doleat, eos comminuentem, iram vero tollentem, quoad potest, e medio, ac, si fieri possit, omnino: sin minus, saltem non simul irascentem. Dabit sane operam, ut alterius sit irasci, videlicet inconsulto atque subito; inconsultum vero id, subitumque etiam sit perpaucum, atque debile: timorem præterea expellet omnino: nulla enim de re metuet: motum vero subitum expellet, nisi quatenus admonitionis loco sit. Cupiditatem vero turpium procul dubio non habebit: *esculentorum quoque et poculorum* [*scrib.* potulentorum, *ut Cic. de N. D.* II, 56] ad remissionem [doloris] ipse animus non habebit, neque venereorum etiam: sin autem habuerit, naturalium duntaxat, ut arbitror, ita tamen, ut neque inconsultum hæc habeant impetum. Quod si habeant, quatenus cum phantasia solum, hoc quoque [præfigurata] præcipite, subitaria. Omnino autem ipsa ab his omnibus erit pura, voletque etiam irrationale purum efficere: adeo, ut ne commoveatur quidem, aut saltem quam minime: commotionesque illius statim ipsa propinquitate sedari queant; perinde ac si quis sapienti propinquans ipsa propinquitate aliquid ab ipso percipiat: vel similis illi factus, vel reveritus, ut nihil audeat facere eorum quæ bonus non ausit. Non ergo erit pugna. Sufficit enim ratio præsens, quam deterius illud verebitur: adeo ut sibi succenseat, si quo pacto commotum quietem domino præsente non egerit, suamque inconstantiam increpet.

Confirmat, virtutis finem esse deo frui: et exemplares definit virtutes a nobis denique comparatas.

Ϛ'. Ἔστι μὲν οὖν οὐδὲν τῶν τοιούτων ἁμαρτία, ἀλλὰ κατόρθωσις ἀνθρώπῳ· ἀλλ' ἡ σπουδὴ οὐκ ἔξω ἁμαρτίας εἶναι, ἀλλὰ θεὸν εἶναι. Εἰ μὲν οὖν τι τῶν τοιούτων ἀπροαίρετον γένοιτο, θεὸς ἂν εἴη ὁ τοιοῦτος καὶ δαίμων, διπλοῦς ὤν, μᾶλλον δὲ ἔχων σὺν αὐτῷ ἄλλον ἄλλην ἀρετὴν ἔχοντα· εἰ δὲ μηδὲν, θεὸς μόνον· θεὸς δὲ, τῶν ἑπομένων τῷ πρώτῳ. Αὐτὸς μὲν γάρ ἐστιν, ὃς ἦλθεν ἐκεῖθεν· καὶ τὸ καθ' αὑτὸν εἰ γένοιτο, οἷος ἦλθεν ἐκεῖ ἐστι· ᾧ δὲ συνῳκίσθη ἐνθάδε ἥκων, καὶ τοῦτον αὐτῷ ὁμοιώσει κατὰ τὴν δύναμιν τὴν ἐκείνου· ὥστε, εἰ δυνατὸν, ἄπληκτον εἶναι ἢ ἄπρακτόν γε τῶν μὴ δοκούντων τῷ δεσπότῃ. Τίς οὖν ἑκάστη ἀρετὴ τῷ τοιούτῳ; ἢ σοφία μὲν ἐν θεωρίᾳ ὧν νοῦς ἔχει· νοῦς δὲ τῇ ἐπαφῇ. Διττὴ δὲ ἑκατέρα, ἡ μὲν ἐν νῷ οὖσα, ἡ δὲ ἐν ψυχῇ· κἀκεῖ μὲν οὐκ ἀρετὴ, ἐν δὲ ψυχῇ ἀρετή. Ἐκεῖ οὖν τί; ἐνέργεια αὐτοῦ καὶ ὅ ἐστιν· ἐνταῦθα δὲ

VI. Est igitur nullum talium peccatum, sed correctio homini ejusque officium. Studium vero ipsum atque votum non est extra peccatum esse, sed esse deum. Si ergo talium aliquid inconsulto tantum fiat, deus quidem erit talis atque dæmon, existens geminus: imo potius alium secum habens virtute alia præditum: sin vero nihil, deus solum: deum, inquam, ex eorum numero, qui primum sequuntur. Ipse enim est, qui processit inde. Et si secundum seipsum fiat, qualis venit, ibi est: intellectui vero [cohæret] cohabitat huc profectus: et hoc insuper ipsi assimilabit pro ejus potentia: adeo ut, si fieri possit, vel non commoveatur, vel non agat quicquam ex his quæ domino minime placeant. Quænam igitur quælibet huic est virtus? An sapientia quidem inspectio est eorum quæ possidet intellectus; intellectus autem tactu quodam habet? Duplex autem est utraque: altera quidem in intellectu existens, altera vero in anima: et ibi quidem non virtus, in anima virtus. Ibi ergo quidnam est? Actio

τὸ ἐν ἄλλῳ, ἐκεῖθεν ἀρετή· οὐδὲ γὰρ αὐτοδικαιοσύνη ἡ ἐνταῦθα καὶ ἑκάστη ἀρετή, ἀλλ' οἷον παράδειγμα. Τὸ δὲ ἀπ' αὐτῆς ἐν ψυχῇ, ἀρετή· τινὸς γὰρ ἡ ἀρετή. Αὐτὸ δὲ ἕκαστον, αὐτοῦ, οὐχὶ δ' ἄλλου τινός· δικαιοσύνη δὲ εἴπερ οἰκειοπραγία, ἆρα ἀεὶ ἐν πλήθει μερῶν; ἢ ἡ μὲν ἐν πλήθει, ὅταν πολλὰ ᾖ τὰ μέρη, ἡ δὲ ὅλως οἰκειοπραγία, κἂν ἑνός. Ἡ ἡ γοῦν ἀληθὴς αὐτοδικαιοσύνη ἑνὸς πρὸς αὐτό, ἐν ᾧ οὐκ ἄλλο, τὸ δὲ ἄλλο· ὥστε καὶ τῇ ψυχῇ δικαιοσύνη ἡ μείζων τὸ πρὸς νοῦν ἐνεργεῖν, τὸ δὲ σωφρονεῖν ἡ εἴσω πρὸς νοῦν στροφή, ἡ δὲ ἀνδρεία ἀπάθεια καθ' ὁμοίωσιν τοῦ πρὸς ὃ βλέπει, ἀπαθὲς ὂν τὴν φύσιν. Αὕτη δὲ ἐξ ἀρετῆς, ἵνα μὴ συμπαθῇ τῷ χείρονι συνοίκῳ.

ipsius atque quod est, hic vero quod in alio, inde virtus. Neque enim ipsa justitia et ipsa temperantia atque quaelibet similis propria virtus est, sed velut exemplar. Quae vero ab ipsa in anima fit, jam est virtus: alicujus enim virtus est. Ipsum vero unumquodque sui ipsius est, non alicujus alterius. Justitia vero siquidem proprii muneris actio est, num ergo semper in multitudine partium? Imo in multitudine, quotiens multae sunt partes. Anne simpliciter autem proprii muneris actio est, etiam si unum existeret? Vera igitur ipsa justitia unius est ad seipsum, in quo non aliud est atque aliud: quapropter et ipsa animae justitia major est se ad intellectum agendo dirigere. Temperantia vero intima ad intellectum conversio. Fortitudo habitus passionis expers per similitudinem ejus, ad quod suspicit, extra passionem naturaliter constituti. Anima vero ex virtute superat passionem, ne una cum deteriori socio patiatur.

Exemplares virtutes nobis accommodatas certo quodam ordine divinis accommodat exemplaribus definiens exemplaria: deinde virtutes inter se comparat: solvit dubia: divinum virtutis finem comprobat.

Ζ'. Ἀκολουθοῦσι τοίνυν ἀλλήλαις καὶ αὗται αἱ ἀρεταὶ ἐν ψυχῇ, ὥσπερ κἀκεῖ τὰ πρὸ τῆς ἀρετῆς αἱ ἐν νῷ, ὥσπερ παραδείγματα· καὶ γὰρ ἡ νόησις ἐκεῖ ἐπιστήμη καὶ σοφία· τὸ δὲ πρὸς αὑτὸν ἡ σωφροσύνη· τὸ δὲ οἰκεῖον ἔργον ἡ οἰκειοπραγία· τὸ δὲ οἷον ἀνδρεία ἡ ἀϋλότης, καὶ τὸ ἐφ' ἑαυτοῦ μένειν καθαρόν. Ἐν ψυχῇ τοίνυν πρὸς νοῦν ἡ ὅρασις, σοφία καὶ φρόνησις, ἀρεταὶ αὐτῆς. Οὐ γὰρ αὐτὴ ταῦτα ὥσπερ ἐκεῖ. Καὶ τὰ ἄλλα ὡσαύτως ἀκολουθεῖ· καὶ τῇ καθάρσει δέ, εἴπερ πᾶσαι καθάρσεις, κατὰ τὸ κεκαθάρθαι ἀνάγκη πάσας· ἢ οὐδεμία τελεία, καὶ ὁ μὲν ἔχων τὰς μείζους καὶ τὰς ἐλάττους ἐξ ἀνάγκης δυνάμει· ὁ δὲ τὰς ἐλάττους, οὐκ ἀναγκαίως ἔχει ἐκείνας. Ὁ μὲν δὴ προηγούμενος τοῦ σπουδαίου βίος οὗτος. Πότερα δὲ ἐνεργείᾳ ἔχει καὶ τὰς ἐλάττους ἢ τὰς μείζους, ἢ ἄλλον τρόπον, σκεπτέον καθ' ἑκάστην, οἷον φρόνησιν. Εἰ γὰρ ἄλλαις ἀρχαῖς χρήσεται, πῶς ἔτι ἐκείνη μένει; κἂν ᾖ μὴ ἐνεργοῦσα; καὶ εἰ ἡ μὲν φύσει τοσόνδε, ἡ δὲ τοσόνδε· καὶ ἡ σωφροσύνη ἐκείνη μετροῦσα, ἡ δὲ ὅλως ἀναιροῦσα. Ταὐτὸν δὲ καὶ ἐπὶ τῶν ἄλλων, ὅλως τῆς φρονήσεως κινηθείσης· ἢ εἰδήσει γε αὐτάς, καὶ ὅσον παρ' αὐτῶν ἕξει· τάχα δέ ποτε περιστατικῶς ἐνεργήσει κατά τινας αὐτῶν. Ἐπὶ μείζους δὲ ἀρχὰς ἥκων καὶ ἄλλα μέτρα κατ' ἐκεῖνα πράξει, οἷον τὸ σωφρονεῖν, οὐκ ἐν μέτρῳ ἐκείνῳ τιθείς, ἀλλ' ὅλως κατὰ τὸ δυνατὸν χωρίζων, καὶ ὅλως ζῶν οὐχὶ τὸν ἀνθρώπου βίον τὸν τοῦ ἀγαθοῦ, ὃν ἀξιοῖ ἡ πολιτικὴ ἀρετή, ἀλλὰ τοῦτον μὲν καταλιπών, ἄλλον δὲ ἑλόμενος τὸν τῶν θεῶν· πρὸς γὰρ τούτους, οὐ πρὸς ἀνθρώπους ἀγαθοὺς ἡ ὁμοίωσις. Ὁμοίωσις δὲ ἡ μὲν πρὸς τούτους, ὡς εἰκὼν εἰκόνι ὡμοίωται ἀπὸ τοῦ αὐτοῦ ἑκατέρα· ἡ δὲ πρὸς ἄλλον, ὡς πρὸς παράδειγμα.

VII. Consequuntur igitur invicem hae virtutes in anima, quemadmodum et intellectu, quae ante virtutem sunt exemplaria: etenim intellectio ibi scientia est atque sapientia: ad seipsum vero conversio temperantia est. Proprium autem opus propriorum actio dicitur atque justitia. Fortitudinis denique loco ipsa a materia segregatio puraque in se ipso permansio. In anima ergo intuitus in intellectum sapientia est atque prudentia, virtutes ejus. Non enim anima similiter atque intellectus haec ipsa est quae habet. Ceterae item virtutes ratione simili consequuntur, similiter quoque purificatio. Necesse vero est, siquidem virtutes omnes purificationes quaedam sunt, in purificatione quadam completa consistere: alioquin nulla perfecta foret. Praeterea quicumque majores habet, minores quoque potentia habeat necesse est; qui contra minores, non necessario et majores. Praecipua quidem haec est viri virtute praediti vita. Utrum vero actu habeat minores vel majores, an alio modo, sigillatim considerare decet, ceu prudentiam. Si enim aliis utatur principiis, quomodo amplius manet illa? atque etiamsi inactuosa operetur? Item, si haec quidem natura hactenus procedat, illa vero ulterius: et temperantia illa moderans, haec vero penitus auferens. Idem quoque de aliis, omnino mota prudentia? Fortasse vero videbit quantum ipsae penes se habeant. Forsan et quandoque circumstanti quadam conditione, vel sorte per quasdam illarum aget. In majora vero ascendens principia aliasque per illa mensuras agens per ejusmodi regulas operabitur: veluti temperantiam, non in mensura illa ponens, sed omnino se pro viribus separans, prorsusque agens non boni hominis vitam, quam civilis probaret virtus, sed hanc quidem dimittens, aliam vero scilicet divinam eligens. Ad deos enim, non ad homines, nobis est similitudo proposita. Similitudo vero nostra ad homines bonos est, perinde ac si imago assimiletur imagini, cum ab eodem utraque producatur. Sed illa ad aliud velut exemplar similitudo perficitur.

# ΕΝΝΕΑΔΟΣ Α

## ΛΟΓΟΣ Γ.

### ΠΕΡΙ ΔΙΑΛΕΚΤΙΚΗΣ.

# ENNEADIS PRIMÆ

## LIBER III.

### DE TRIPLICI AD MUNDUM INTELLIGIBILEM ASCENSU.



Ingenium musicum a proportione in voce reducendum est ad proportionem pulchritudinemque in mente.

Α'. Τίς τέχνη ἢ μέθοδος ἢ ἐπιτήδευσις ἡμᾶς, οἷ δεῖ πορευθῆναι, ἀνάγει; ὅπου μὲν οὖν δεῖ ἐλθεῖν, ὡς ἐπὶ τἀγαθὸν, καὶ τὴν ἀρχὴν τὴν πρώτην, κείσθω διωμολογημένον καὶ διὰ πολλῶν δεδειγμένον. Καὶ δὴ καὶ δι' ὧν τοῦτο ἐδείκνυτο, ἀναγωγή τις ἦν. Τίνα δὲ δεῖ εἶναι τὸν ἀναχθησόμενον, ἆρά γε τὸν πάντα, ἢ τὸν πλεῖστα φησὶν ἰδόντα; ὃς ἐν τῇ πρώτῃ γενέσει εἰς γονὴν ἀνδρὸς ἐσομένου φιλοσόφου, μουσικοῦ τινος ἢ ἐρωτικοῦ; Ὁ μὲν δὴ φιλόσοφος τὴν φύσιν καὶ ὁ μουσικὸς καὶ ὁ ἐρωτικὸς ἀνακτέοι. Τίς οὖν ὁ τρόπος; ἆρά γε εἷς καὶ ὁ αὐτὸς ἅπασι τούτοις, ἢ καθ' ἕκαστον εἷς τις; Ἔστι μὲν οὖν ἡ πορεία διττὴ πᾶσιν, ἢ ἀναβαίνουσιν ἢ ἄνω ἐλθοῦσιν. Ἡ μὲν γὰρ προτέρα ἀπὸ τῆς κάτω, ἡ δέ γε δευτέρα τοῖς ἤδη ἐν τῷ νοητῷ γενομένοις καὶ οἷον ἴχνος θεῖσιν. Ἐκεῖ πορεύεσθαι ἀνάγκη, ἕως ἂν εἰς τὸ ἔσχατον τοῦ τόπου ἀφίκωνται. Ὃ δὴ τέλος τῆς πορείας ὂν τυγχάνει, ὅταν τις ἐπ' ἄκρῳ γένηται τῷ νοητῷ. Ἀλλ' ἡ μὲν περιμενέτω· περὶ δὲ τῆς ἀναγωγῆς πρότερον πειρατέον λέγειν. Πρῶτον δὴ διασταλτέον τοὺς ἄνδρας τούτους ἡμῖν, ἀρξαμένους ἀπὸ τοῦ μουσικοῦ, ὅστις ἐστὶ, λέγοντας τὴν φύσιν. Θετέον δὴ αὐτὸν εὐκίνητον καὶ ἐπτοημένον μὲν πρὸς τὸ καλὸν, ἀδυνατώτερον δὲ παρ' αὐτοῦ κινεῖσθαι· ἕτοιμον δὲ ἐκ τῶν τυχόντων οἷον ἐκ τύπων, ὥσπερ οἱ δειλοὶ πρὸς τοὺς ψόφους, οὕτω καὶ τοῦτον πρὸς τοὺς φθόγγους καὶ τὸ καλὸν τὸ ἐν τούτοις ἕτοιμον, φεύγοντα δὲ ἀεὶ τὸ ἀνάρμοστον, καὶ τὸ μὴ ἓν ἐν τοῖς ᾀδομένοις καὶ ἐν τοῖς ῥυθμοῖς, καὶ τὸ εὔρυθμον καὶ τὸ εὔσχημον διώκειν. Μετὰ τοίνυν τοὺς αἰσθητοὺς τούτους φθόγγους καὶ ῥυθμοὺς καὶ σχήματα οὕτως ἀκτέον, χωρίζοντα τὴν ὕλην, ἐφ' ὧν αἱ ἀναλογίαι καὶ οἱ λόγοι, εἰς τὸ κάλλος τὸ ἐπ' αὐτοῖς ἀκτέον· καὶ διδακτέον, ὡς περὶ ἃ ἐπτόητο, ἐκεῖνα ἦν ἡ νοητὴ ἁρμονία, καὶ τὸ ἐν ταύτῃ καλὸν, καὶ ὅλως τὸ καλὸν, οὐ τό τι καλὸν μόνον· καὶ λόγους τοὺς φιλοσοφίας ἐνθετέον, ἀφ' ὧν εἰς πίστιν ἀκτέον ὧν ἀγνοεῖ ἔχων. Τίνες δὲ οἱ λόγοι, ὕστερον λεκτέον.

I. Quaenam ars, vel introductio, vel studium nos, quo eundum est, reducit? Quod enim ad ipsum bonum primumque principium perveniendum est, concessum sit ex multisque demonstratum. Et profecto ejusmodi demonstratio reductio quaedam exstitit. Sed quemnam oportet esse hominem illuc reducendum? atqui eum, qui omnia vel plurima vidit (ut ait Plato), qui in prima genitura in virum futurum philosophum musicumve aut amatorem descendit. Profecto Philosophus natura et Musicus et Amatorius reducendi sunt. Sed quinam modus? numquid his omnibus unus et idem, an potius proprius singulis adhibendus? Est utique omnibus processio duplex: altera quidem pro ascendentibus, altera vero ad supera jam profectis. Prima quidem ab inferioribus ascendit: secunda vero illorum est, qui jam in loco intelligibili sunt ibique fixere vestigia: oportetque eos ultra progredi, donec ad summum usque processerint. Qui certe finis tunc itineris contingit, quando quis ad summum intelligibilis mundi pervenerit. Sed processio quidem haec in praesentia maneat: de ascensu et reductione prius conandum est dicere. Primo quidem distinguendum est nobis inter hos viros, exordium a musico facientibus, quisnam sit natura. Ponendum sane ipsum facile mobilem, et qui velut admirabundus propensior sit ad pulchrum, sed non satis a seipso moveri possit: facile vero ab his quae occurrunt quasi figuris incitari queat; et sicut timidi strepitu, sic ille sonis harmonicis concitetur, promusque sit ad pulchrum, quod apparet in sonis, et fugiat ubique dissonantiam, quodve unum non est in cantibus atque numeris, numerosum vero concinnumque sequatur. Quamobrem post sensibiles ejusmodi sonos et numeros et figuras sic ducere hunc oportet, videlicet separando materiam, in qua proportiones earumque comparationes sunt, atque ad pulchritudinem, quae in his est, reducendo: praeterea docendo illa, ad quae velut admirabundus vehementer afficitur, non haec esse, sed intelligibilem potius harmoniam, et quod in ipsa pulchrum, et omnino ipsum pulchrum, non aliquod pulchrum tantum: denique philosophiae rationes ad haec adhibenda, per quas ad fidem perducatur eorum, quae ignorat, cum tamen habeat. Quae vero rationes sint, in sequentibus declarabimus.

Ingenium amatorium revocandum est a pulchritudine corporis ad pulchritudinem morum, deinde scientiarum, deinde mentis.

Β'. Ὁ δὲ ἐρωτικὸς, εἰς ὃν μεταπέσοι ἂν καὶ ὁ μουσικὸς, καὶ μεταπεσὼν ἢ μένοι ἂν ἢ παρέλθοι, μνημονικός ἐστί πως κάλλους· χωρὶς δὲ ὂν, ἀδυνατεῖ καταμαθεῖν. Πληττόμενος δὲ ὑπὸ τῶν ἐν ὄψει καλῶν περὶ αὐτὰ ἐπτόηται. Διδακτέον οὖν αὐτὸν, μὴ περὶ ἓν σῶμα πεσόντα ἐπτοῆσθαι, ἀλλ' ἐπὶ πάντα ἀκτέον τῷ λόγῳ σώματα, δεικνύντα τὸ ἐν πᾶσι ταὐτὸν, καὶ ὅτι

II. Amatorius autem, in quem fortasse musicus incidit, atque incidens vel permanet ibi vel praeterit, memor est quodammodo pulchritudinis: sed quia seorsum est ab ipsa, non potest perdiscere. Percussus autem a pulchris, quae aspectui patent, circa ipsa vehementius concitatur. Ducere itaque hunc oportet, ne circa corpus unum quasi cadens pronior revolvatur, sed ad omnia ratione persuasus ille se conferat corpora: considerans, quod in cunctis est idem, et animadvertens, ipsum a corporibus esse di-

ἕτερον τῶν σωμάτων, καὶ ὅτι ἄλλοθεν, λεκτέον, καὶ ὅτι ἐν ἄλλοις μᾶλλον, οἷον ἐπιτηδεύματα καλὰ καὶ νόμους καλοὺς δεικνύντα. Ἐν ἀσωμάτοις γὰρ ὁ ἐθισμὸς τοῦ ἐρασμίου ἤδη, καὶ ὅτι ἐν τέχναις καὶ ἐν ἐπιστήμαις καὶ ἐν ἀρεταῖς, εἶτα ἓν ποιητέον, καὶ διδακτέον, ὅπως ἐγγίνονται· ἀπὸ δὲ τῶν ἀρετῶν ἤδη ἀναβαίνειν ἐπὶ νοῦν, ἐπὶ τὸ ὄν, κἀκεῖ βαδιστέον τὴν ἄνω πορείαν.

versum, et aliunde procedere, aliisque magis inesse: qualia sunt pulchra studia legesque pulchrae. Circa enim haec amatoris affectum ad res incorporeas amandas jam assuescit. Ostendendum praeterea in artibus etiam et scientiis et virtutibus pulchritudinem esse, ac pulchritudinem in cunctis unam, quove modo adveniat. Denique a virtutibus ad intellectum atque ipsum ens perveniendum est, ibique iter ad sublimia peragendum.

Ingenium philosophicum natura solutum est a materia, ac solo indiget duce ad divinam pulchritudinem per certos disciplinarum gradus.

Γ'. Ὁ δὲ φιλόσοφος τὴν φύσιν ἕτοιμος οὗτος καὶ οἷον ἐπτερωμένος, καὶ οὐ δεόμενος χωρίσεως, ὥσπερ οἱ ἄλλοι οὗτοι, κεκινημένος πρὸς τὸ ἄνω, ἀπορῶν δὲ τοῦ δεικνύντος δεῖται μόνον. Δεικτέον οὖν καὶ λυτέον βουλόμενον καὶ αὐτὸν τῇ φύσει καὶ πάλαι λελυμένον. Τὰ μὲν δὴ μαθήματα δοτέον πρὸς συνεθισμὸν κατανοήσεως καὶ πίστεως ἀσωμάτου· καὶ γὰρ ῥᾴδιον δέξεται φιλομαθὴς ὤν· καὶ φύσει ἐνάρετον τὸ πρὸς τελείωσιν ἀρετῶν ἀκτέον, καὶ μετὰ τὰ μαθήματα λόγους διαλεκτικοὺς δοτέον, καὶ ὅλως διαλεκτικὸν ποιητέον.

III. Philosophus autem natura promptus est et velut alatus, neque indigens separatione, quemadmodum hi, quos paulo ante memoravimus, ad supera videlicet concitus, ambigens autem, ideoque duntaxat indiget demonstrante. Quamobrem operae pretium est demonstrare in primis, ac ducere hominem natura duci volentem atque jamdiu solutum. Adhibenda ergo sunt mathematica, quibus incorporea cogitare et credere consuescat. Facile namque percipiet: quippe cum discendi sit avidus; et ingenium naturali virtute generosum ad virtutum perfectionem oportet perducere: postquam mathematicas rationes dialecticas tradere, ac dialecticum prorsus efficere.

Dialectica, id est metaphysica, totam entium latitudinem contemplatur, atque ultra progreditur et logica utitur ut instrumento.

Δ'. Τίς δὲ ἡ διαλεκτική, ἣν δεῖ καὶ τοῖς προτέροις παραδιδόναι; ἔστι μὲν δὴ ἡ λόγῳ περὶ ἑκάστου δυναμένη ἕξις εἰπεῖν, τί τε ἕκαστον, καὶ τί τῶν ἄλλων διαφέρει, καὶ τίς ἡ κοινότης ἐν οἷς ἐστι, καὶ ποῦ τούτων ἕκαστον, καὶ εἰ ἔστιν, ὅ ἐστι, καὶ τὰ ὄντα ὁπόσα, καὶ τὰ μὴ ὄντα αὖ, ἕτερα δὲ ὄντων. Αὕτη καὶ περὶ ἀγαθοῦ διαλέγεται, καὶ περὶ μὴ ἀγαθοῦ, καὶ ὅσα ὑπὸ τὸ ἀγαθόν, καὶ ὅσα ὑπὸ τὸ ἐναντίον, καὶ τί τὸ ἀΐδιον δῆλον ὅτι, καὶ τὸ μὴ τοιοῦτον, ἐπιστήμῃ περὶ πάντων, οὐ δόξῃ· παύσασα δὲ τῆς περὶ τὸ αἰσθητὸν πλάνης ἐνιδρύει τῷ νοητῷ, κἀκεῖ τὴν πραγματείαν ἔχει, τὸ ψεῦδος ἀφεῖσα, ἐν τῷ λεγομένῳ ἀληθείας πεδίῳ τὴν ψυχὴν τρέφουσα, τῇ διαιρέσει τῇ Πλάτωνος χρωμένη μὲν καὶ εἰς διάκρισιν τῶν εἰδῶν· χρωμένη δὲ καὶ εἰς τὸ τί ἐστι· χρωμένη δὲ καὶ ἐπὶ τὰ πρῶτα γένη, καὶ τὰ ἐκ τούτων νοερῶς πλέκουσα, ἕως ἂν διέλθῃ πᾶν τὸ νοητόν, καὶ ἀνάπαλιν ἀναλύουσα, εἰς ὃ ἂν ἐπ' ἀρχὴν ἔλθῃ· τότε δὲ ἡσυχίαν ἄγουσα, ὡς μέχρι γε τοῦ ἐκεῖ εἶναι ἐν ἡσυχίᾳ οὐδὲν ἔτι πολυπραγμονοῦσα, εἰς ἓν γενομένη βλέπει τὴν λεγομένην λογικὴν πραγματείαν περὶ προτάσεων καὶ συλλογισμῶν· ὥσπερ ἂν τὸ εἰδέναι γράφειν ἄλλῃ τέχνῃ δοῦσα, ὧν τινα ἀναγκαῖα καὶ πρὸ τέχνης ἡγουμένη· κρίνουσα δὲ αὐτά, ὥσπερ καὶ τὰ ἄλλα, καὶ τὰ μὲν χρήσιμα αὐτῶν, τὰ δὲ περιττὰ ἡγουμένη καὶ μεθόδου τῆς ταῦτα βουλομένης.

IV. Quaenam est dialectica, quam oportet etiam prioribus adhibere? Est utique habitus, qui ratione de unoquoque potest dicere, quid sit unumquodque, et quo ab aliis differat, quove conveniat: praeterea quomodo et ubi sit quodlibet: et si est, quid sit: atque entia quot sint: et non entia rursus, sed ab entibus alia [scr. aliena]. Eadem haec et de ipso bono disputat et de non bono, et de his quaecunque sub bono, et quae sub sunt contraria. Item quid sempiternum; quidve non semper: de omnibus, inquam, non opinione, sed scientia tractans, ab errore, qui circa sensibilia accidit, vacans, intelligibili prorsus adhaeret; circaque ipsum diligenter agit, falso posthabito, nutriens animam in ipso veritatis campo, freta videlicet distinctione Platonica ad discretionem idearum specierumque, et ad quodlibet definiendum, et ad prima genera, et, quae ex illis sunt, intellectuali texens et complicans ratione, quousque per intelligibile totum progrediatur: ac rursus resolvens in illud, ad quod processerat ab initio: tum demum quietem agens, utpote quae, quatenus illuc pervenit, quietem assequitur: haud ulterius circa plurima satagens, sed in unum redacta prospicit eam, quae logica nominatur, circa propositiones syllogismosque occupatam, perinde ac si scribendi notitiam alteri cuidam arti concedat, quorum quaedam necessaria et artem antecedentia censet: judicat vero ipsa, sicut et cetera, et alia quidem eorum utilia, alia superflua putans, et ad facultatem appetentem haec pertinentia.

Metaphysicus accipit ab intellectu principia, et per regulas veritatis cum redarguit sophismata, tum logicae regulas comprehendit.

Ε'. Ἀλλὰ πόθεν τὰς ἀρχὰς ἔχει ἡ ἐπιστήμη αὕτη; ἢ νοῦς δίδωσιν ἐναργεῖς ἀρχάς, εἴ τις λαβεῖν δύναιτο ψυχή. Εἶτα τὰ ἑξῆς καὶ συντίθησι καὶ συμπλέκει καὶ διαιρεῖ, ἕως εἰς τέλεον νοῦν ἥκῃ· ἔστι γάρ, φησίν, αὕτη τὸ καθαρώτατον νοῦ καὶ φρονήσεως. Ἀνάγκη οὖν τιμιωτάτην οὖσαν ἕξιν τῶν ἐν ἡμῖν περὶ τὸ ὂν

V. At unde principia haec habet scientia? Intellectus fortasse principia dat perspicua, si qua anima possit accipere. Deinceps vero anima componit copulatque et dividit, quousque ad perfectum pervenerit intellectum. Est enim haec, ut ille ait, purissimum intelligentiae atque prudentiae sive sapientiae. Necesse est igitur, cum sit habitus praestantissimus eorum qui sunt in nobis, circa ens prae-

καὶ τὸ τιμιώτατον εἶναι· φρόνησιν μὲν περὶ τὸ ὄν, νοῦν δὲ περὶ τὸ ἐπέκεινα τοῦ ὄντος. Τί οὖν ἡ φιλοσοφία; τὸ τιμιώτατον. Ἦ ταὐτὸν φιλοσοφία καὶ διαλεκτική; ἢ φιλοσοφίας μέρος τὸ τιμιώτατον. Οὐ γὰρ δὴ οἰητέον ὄργανον τοῦτο εἶναι τοῦ φιλοσόφου· οὐ γὰρ ψιλὰ θεωρήματά ἐστι καὶ κανόνες, ἀλλὰ περὶ πράγματά ἐστι, καὶ οἷον ὕλην ἔχει τὰ ὄντα. Ὁδῷ μέντοι ἐπ' αὐτὰ χωρεῖ, ἅμα τοῖς θεωρήμασι τὰ πράγματα ἔχουσα· τὸ δὲ ψεῦδος καὶ τὸ σόφισμα κατὰ συμβεβηκὸς γινώσκει, ἄλλου ποιήσαντος ὡς ἀλλότριον κρίνουσα, τοῖς ἐν αὐτῇ ἀληθέσι τὸ ψεῦδος γινώσκουσα, ὅταν τις προσαγάγῃ ὅτι παρὰ τὸν κανόνα τοῦ ἀληθοῦς. Περὶ προτάσεως οὖν οὐκ οἶδε, καὶ γὰρ γράμματα· εἰδυῖα δὲ τὸ ἀληθές, οἶδεν ὃ καλοῦσι πρότασιν, καὶ καθόλου οἶδε τὰ κινήματα τῆς ψυχῆς, ὅ, τε τίθησι, καὶ ὃ αἴρει, καὶ εἰ τοῦτο αἴρει ὃ τίθησιν, ἢ ἄλλο, καὶ εἰ ἕτερα, ἢ ταὐτὰ προσφερομένων, ὥσπερ καὶ ἡ αἴσθησις ἐπιβάλλουσα· ἀκριβολογεῖσθαι δὲ ἑτέρᾳ δίδωσι τοῦτο ἀγαπῶσῃ.

præstantissimumque versari: prudentiam quidem sive sapientiam circa ens: intellectum vero circa id, quod ente superius. Quid igitur philosophia? Præstantissimum procul dubio. Sed nunquid idem philosophia atque dialectica? Profecto philosophiæ pars præstantissima dialectica esse videtur. Non enim existimandum est hanc esse philosophi instrumentum. Siquidem non nudas propositiones respectusque [*corr.* regulasque] continet, sed circa res ipsas versatur, et quasi materiam habet entia. Via tamen ad ipsa progreditur, res ipsas una cum notionibus habens. Mendacium vero et sophisma accidenti quodam respectu cognoscit: alio videlicet hoc inferente, ipsa judicans ut alienum, cognoscens mendacium per vera quæ possidet, quoties quis illud objicit, quasi sit præter regulam veritatis. Quod ergo ad propositionem proprie spectat, fere non novit. Literæ enim sunt. Cognoscens autem verum, cognovit ipsum, quod propositionem vocant: communiterque cognovit animæ motiones: quod ponit, quodve aufert, ac sive id aufert, quod et ponit, sive aliud: item utrum alia, an potius eadem inter se afferantur, quasi more sensus attingens: alteri vero facultati hæc plurimi facienti concedens exactam in iis diligentiam.

Metaphysica dat regulas ceteris facultatibus, cum speculativis, tum moralibus: atque sine illa et scientiæ non sunt, et mores sunt imperfecti.

ϛ. Μέρος οὖν τὸ τίμιον· ἔχει γὰρ καὶ ἄλλα φιλοσοφία· καὶ γὰρ καὶ περὶ φύσεως θεωρεῖ, βοήθειαν παρὰ διαλεκτικῆς λαβοῦσα, ὥσπερ καὶ ἀριθμητικῇ προσχρῶνται αἱ ἄλλαι τέχναι, μᾶλλον μέντοι αὕτη ἐγγύθεν κομίζεται παρὰ τῆς διαλεκτικῆς. Καὶ περὶ ἠθῶν ὡσαύτως, θεωροῦσα μὲν ἐκεῖθεν, προστιθεῖσα δὲ τὰς ἕξεις καὶ τὰς ἀσκήσεις, ἐξ ὧν προΐασιν αἱ ἕξεις. Ἴσχουσι δὲ αἱ λογικαὶ ἕξεις καὶ ὡς ἴδια ἤδη τὰ ἐκεῖθεν· καὶ γὰρ μετὰ τῆς ὕλης τὰ πλεῖστα. Καὶ αἱ μὲν ἄλλαι ἀρεταὶ τοὺς λογισμοὺς ἐν τοῖς πάθεσι τοῖς ἰδίοις καὶ ταῖς πράξεσιν· ἡ δὲ φρόνησις ἐπιλογισμός τις, καὶ τὸ καθόλου μᾶλλον, καὶ εἰ ἀντακολουθοῦσι, καὶ εἰ δεῖ νῦν ἐπισχεῖν, ἢ εἰσαῦθις, ἢ ὅλως ἄλλο βέλτιον. Ἡ δὲ διαλεκτικὴ καὶ ἡ σοφία ἔτι καθόλου καὶ ἀΰλως πάντα εἰς χρῆσιν προσφέρει τῇ φρονήσει. Πότερα δέ ἐστι τὰ κάτω εἶναι ἄνευ διαλεκτικῆς καὶ σοφίας, ἢ ἀτελῶς καὶ ἐλλειπόντως; ἔστι δὲ σοφὸν εἶναι καὶ διαλεκτικὸν οὕτως ἄνευ τούτων· ἢ οὐδ' ἂν γένοιτο, ἀλλὰ ἢ πρότερον ἢ ἅμα συναύξεται. Καὶ τάχα ἂν φυσικάς τις ἀρετὰς ἔχοι, ἐξ ὧν αἱ τέλειαι, σοφίας γενομένης. Μετὰ τὰς φυσικὰς οὖν ἡ σοφία, εἶτα τελειοῖ τὰ ἤθη, ἢ τῶν φυσικῶν οὐσῶν συναύξεται ἤδη ἄμφω καὶ συντελειοῦται· ἢ προλαβοῦσα ἡ ἑτέρα τὴν ἑτέραν ἐτελείωσεν. Ὅλως γὰρ ἡ φυσικὴ ἀρετὴ καὶ ὄμμα ἀτελὲς καὶ ἦθος ἔχει, καὶ αἱ ἀρχαὶ τὸ πλεῖστον ἀμφοτέραις ἀφ' ὧν ἔχομεν.

VI. Pars igitur hæc est honoranda. Habet enim philosophia alias insuper facultates: nempe naturam etiam speculatur, auxilium a dialectica sumens, quemadmodum etiam arithmetica ceteræ artes utuntur: ipsa vero principia propius trahit a dialectica. Facultas quoque de moribus similiter contemplatur quidem inde: adjungit vero habitus exercitationesque, a quibus habitus ipsi proficiscuntur. Rationales quoque virtutes habent habitus et tanquam propria jam, quæ inde ducunt: etenim cum materia habent plurima. Et aliæ quidem virtutes ratiocinationes habent in passionibus propriis atque insuper actionibus: prudentia vero est præcipua ratiocinatio quædam, et circa magis universale versatur. Considerat etiam, nunquid in præsentia cohibendum sit abstinendumque? an in posterum? an omnino melius aliud? et quæ vicissim consequantur, quæ non, animadvertit. Dialectica vero et sapientia etiam universali immaterialique ratione omnia in usum prudentiæ profert. At utrum possint inferiora esse sine dialectica atque sapientia, quæri potest, fortasse admodum imperfecte: fieri vero potest, ut absque iis ita sit sapiens atque dialecticus. Vel non utique sic contingit, sed vel prius vel simul coalescunt. Et fortasse aliquis naturales virtutes habebit, ex quibus et perfectæ fiunt, adhibita videlicet sapientia. Post naturales ergo sapientia provenit: deinde mores perficit, vel potius existentibus naturalibus concrescunt jam ambo, simulque tandem perficiuntur: aut forsan antecipans altera alteram perficit. Omnino enim naturalis virtus imperfectum habet oculum atque morem: et principia plurimum ab iis quæ habemus utrisque contingunt.

# ΕΝΝΕΑΔΟΣ Α

## ΛΟΓΟΣ Δ.

### ΠΕΡΙ ΕΥΔΑΙΜΟΝΙΑΣ.

(20, 30.)

# ENNEADIS I

## LIBER IV.

### DE BEATITUDINE.

[44-45]

Variæ opiniones, quid sit bene vivere, quibusve conveniat.

Α'. Τὸ εὖ ζῆν καὶ τὸ εὐδαιμονεῖν ἐν τῷ αὐτῷ τιθέμενοι καὶ τοῖς ἄλλοις ζώοις ἆρα τούτων μεταδώσομεν; Εἰ γάρ ἐστιν αὐτοῖς ᾗ πεφύκασιν ἀνεμποδίστως διεξάγειν, κἀκεῖνα τί κωλύει ἐν εὐζωΐᾳ λέγειν εἶναι; καὶ γὰρ εἴτε ἐν εὐπαθείᾳ τὴν εὐζωΐαν τις θήσεται, εἴτε ἐν ἔργῳ οἰκείῳ τελειουμένῳ, κατ' ἄμφω καὶ τοῖς ἄλλοις ζώοις ὑπάρξει. Καὶ γὰρ εὐπαθεῖν ἐνδέχοιτο ἄν, καὶ ἐν τῷ κατὰ φύσιν ἔργῳ εἶναι· οἷον καὶ τὰ μουσικὰ τῶν ζώων, ὅσα τοῖς τε ἄλλοις εὐπαθεῖ, καὶ δὴ καὶ ᾄδοντα ᾗ πέφυκε, καὶ ταύτῃ αἱρετὴν αὐτοῖς τὴν ζωὴν ἔχει. Καὶ τοίνυν, καὶ εἰ τέλος τι τὸ εὐδαιμονεῖν τιθέμεθα, ὅπερ ἐστὶν ἔσχατον τῆς ἐν φύσει ὀρέξεως, καὶ ταύτῃ ἂν αὐτοῖς μεταδοίημεν τοῦ εὐδαιμονεῖν, εἰς ἔσχατον ἀφικνουμένων. Εἰς ὃ ἐλθοῦσιν ἵσταται ἡ ἐν αὐτοῖς φύσις πᾶσαν ζωὴν αὐτοῖς διεξελθοῦσα καὶ πληρώσασα ἐξ ἀρχῆς εἰς τέλος. Εἰ δέ τις δυσχεραίνει τὸ τὴν εὐδαιμονίαν καταφέρειν εἰς τὰ ζῷα τὰ ἄλλα· (οὕτω γὰρ ἂν καὶ τοῖς ἀτιμοτάτοις αὐτῶν μεταδώσει δεῖ, καὶ τοῖς φυτοῖς, ζῶσι καὶ αὐτοῖς, καὶ ζωὴν ἐξελιττομένην εἰς τέλος ἔχουσι·) πρῶτον μὲν ἄτοπος διὰ τί εἶναι οὐ δόξει, μὴ ζῆν εὖ τὰ ἄλλα ζῷα λέγων, ὅτι μὴ πολλοῦ ἄξια αὐτῷ δοκεῖ εἶναι; Τοῖς δὲ φυτοῖς οὐκ ἀναγκάζοιτο ἂν διδόναι, ὃ τοῖς ἅπασι ζώοις δίδωσιν, ὅτι μὴ αἴσθησις πάρεστιν αὐτοῖς. Εἴη δ' ἂν ἴσως καὶ ὁ διδοὺς τοῖς φυτοῖς, εἴπερ καὶ τὸ ζῆν· ζωὴ δὲ ἡ μὲν εὖ ἂν εἴη, ἡ δὲ τοὐναντίον, οἷόν ἐστι καὶ ἐπὶ φυτῶν εὖ παθεῖν, καὶ καρπὸν αὖ φέρειν καὶ μὴ φέρειν. Εἰ μὲν οὖν ἡδονὴ τὸ τέλος, καὶ ἐν τούτῳ τὸ εὖ ζῆν, ἄτοπος ὁ ἀφαιρούμενος τὰ ἄλλα ζῷα τὸ εὖ ζῆν· καὶ εἰ ἀταραξία δὲ εἴη, ὡσαύτως· καὶ εἰ τὸ κατὰ φύσιν ζῆν λέγοιτο τὸ εὖ ζῆν εἶναι.

I. Cum bene vivere atque felicem esse in eodem constituamus, numquid hoc ceteris quoque animantibus concedemus? Si enim datur ipsis, qua ratione nata sunt, sine impedimento vitam transigere: quid prohibet illa etiam bene, id est feliciter vivere? Etenim, sive quis bene vivere posuerit in bene se habendo, sive in opere proprio perficiendo, secundum ambo ceteris quoque animalibus competet. Nam et bene se habere possibile erit, et ipsum etiam opus naturale perficere: veluti musica animalia quotcumque et in ceteris bene se habent, et sicut naturaliter apta sunt, canunt; et hoc pacto dici posse videtur, ut vitam optabilem consequantur. Quinetiam si finem quemdam felicitatem esse ponamus, quod quidem extremum est in appetitu naturæ, hoc quoque pacto illa fore felicia confitebimur, videlicet quando ad extremum pervenerint; quo cum processerint, sistit in ipsis natura motum: quæ totam vitam ipsis jam peregit, et a principio ad finem usque prorsus implevit. At si quis moleste ferat in bestias transferri felicitatem, fore asserens, ut ita vel abjectissimis conveniat, et plantis insuper, ipsis quoque viventibus, vitamque ad finem propriam perducentibus: absurdus ille quidem videri poterit, dicens non posse cetera animalia bene vivere; quoniam ipsi non multi pretii videantur esse censenda. Plantis autem concedere non cogetur, quod cunctis dat animalibus, propterea, quod sensu careant. Neque fortasse deerit, qui plantis quoque tradat [corr. tribuat] felicitatem, siquidem et vivere illis adest. Vivere autem partim quidem bene contingit, partim vero contra: sicut et plantis datum est, ut bene se habeant ferantque fructum atque non ferant. Proinde, si voluptas est finis, et in hac vivere bene consistit, absurdus erit, qui bene vivere brutis abstulerit. Quod si tranquillitas erit finis, similiter accidet. Item si secundum naturam vivere esse dicatur ipsum bene vivere, idem sequi videbitur.

Falsas opiniones agitat, atque ex eis veri aliquid excutit, inquirendo utrum bene vivere conveniat rationali tantum, an etiam bruto et plantis?

Β'. Τοῖς μέντοι φυτοῖς διὰ τὸ μὴ αἰσθάνεσθαι οὐ διδόντες κινδυνεύουσιν οὐδὲ τοῖς ζώοις ἤδη ἅπασι διδόναι. Εἰ μὲν γὰρ τὸ αἰσθάνεσθαι τοῦτο λέγουσι, τὸ τὸ πάθος μὴ λανθάνειν, δεῖ αὐτὸ ἀγαθὸν εἶναι τὸ πάθος πρὸ τοῦ μὴ λανθάνειν, οἷον τὸ κατὰ φύσιν ἔχειν κἂν λανθάνῃ· καὶ οἰκεῖον εἶναι, κἂν μήπω γινώσκῃ ὅτι οἰκεῖον, καὶ ὅτι ἡδύ· δεῖ γὰρ ἡδὺ εἶναι· ὥστε ἀγαθοῦ τούτου ὄντος καὶ παρόντος ἤδη ἐστὶν ἐν τῷ εὖ τὸ ἔχον. Ὥστε τί δεῖ τὴν αἴσθησιν προσλαμβάνειν; εἰ μὴ ἄρα οὐκ ἐν τῷ γινομένῳ πάθει ἢ καταστάσει τὸ ἀγαθὸν διδόασιν, ἀλλὰ τῇ γνώσει καὶ αἰσθήσει. Ἀλλ' οὕτω γε τὴν αἴσθησιν αὐτὴν τὸ ἀγαθὸν ἐροῦσι καὶ ἐνέργειαν ζωῆς αἰσθητικῆς, ὥστε καὶ ὁτουοῦν ἀντιλαμβανομέ-

II. Quicumque vero plantis adesse negant felicitatem, quia non sentiant, videntur etiam neque cunctis eam animantibus tradituri [cor. tributuri]. Si utique sentire hoc esse dicunt, scilicet affectionem non latere, oportet ipsum bonum affectionem ipsam esse ante id ipsum, quod dicitur non latere, veluti secundum naturam se habere, etiam si latuerit, et proprium esse, etiam si nondum proprium esse cognoscas. Quinetiam esse dulce: oportet enim dulce esse, antequam dulce id esse percipias. Quapropter, cum id sit bonum atque adsit, quod ipsum habet, jam bene se habet. Itaque quidnam sensum oportet adjungere? nisi forte non in præsenti quadam affectione vel constitutione bonum collocant, sed cognitione potius atque sensu. At vero sic sensum ipsum sensualisque vitæ actionem dicent esse bonum, ideoque quodlibet percipientibus, bonum adesse confitebuntur. Sin autem ex ambobus bonum con-

νοις. Εἰ δὲ ἐξ ἀμφοῖν τὸ ἀγαθὸν λέγουσιν, οἷον αἰσθήσεως τοιούτου, πῶς ἑκατέρου ἀδιαφόρου ὄντος τὸ ἐξ ἀμφοῖν ἀγαθὸν εἶναι λέγουσιν; εἰ δὲ ἀγαθὸν μὲν τὸ πάθος καὶ τὴν τοιάνδε κατάστασιν τὸ εὖ ζῆν, ὅταν γνῷ τις τὸ ἀγαθὸν αὐτῷ παρὸν, ἐρωτητέον αὐτοὺς, εἰ γνοὺς τὸ παρὸν δὴ τοῦτο ὅ τι πάρεστιν, εὖ ζῇ· ἢ δεῖ γνῶναι οὐ μόνον ὅτι ἡδὺ, ἀλλ' ὅτι τοῦτο τὸ ἀγαθόν. Ἀλλ' εἰ ὅτι τοῦτο τὸ ἀγαθὸν, οὐκ αἰσθήσεως τοῦτο ἔργον ἤδη, ἀλλ' ἑτέρας μείζονος ἢ κατ' αἴσθησιν δυνάμεως· οὐ τοίνυν τοῖς ἡδομένοις τὸ εὖ ζῆν ὑπάρξει, ἀλλὰ τῷ γινώσκειν δυναμένῳ, ὅτι ἡδονὴ τὸ ἀγαθόν. Αἴτιον δὲ τοῦ εὖ ζῆν οὐχ ἡδονὴ ἔσται, ἀλλὰ τὸ κρίνειν δυνάμενον, ὅτι ἡδονὴ ἀγαθόν. Καὶ τὸ μὲν κρῖνον βέλτιον ἢ κατὰ πάθος· λόγος γὰρ ἢ νοῦς, ἡδονὴ δὲ πάθος· οὐδαμοῦ δὲ κρεῖττον ἄλογον λόγου. Πῶς ἂν οὖν ὁ λόγος αὑτὸν ἀφεὶς ἄλλο θήσεται ἐν τῷ ἐναντίῳ γένει κείμενον κρεῖττον εἶναι ἑαυτοῦ; Ἀλλὰ γὰρ ἐοίκασιν ὅσοι τε καὶ τοῖς φυτοῖς [οὐ] διδόασι, καὶ ὅσοι αἰσθήσει τοιᾷδε τὸ εὖ, λανθάνειν ἑαυτοὺς μεῖζόν τι τὸ εὖ ζῆν ζητοῦντες καὶ ἐν τρανοτέρᾳ ζωῇ τὸ ἄμεινον τιθέντες. Καὶ ὅσοι δὲ ἐν λογικῇ ζωῇ εἶναι λέγουσιν, ἀλλ' οὐχ ἁπλῶς ζωῇ, οὐδ' εἰ αἰσθητικὴ εἴη, καλῶς μὲν ἴσως ἂν λέγοιεν. Διὰ τί δὲ οὕτω καὶ περὶ τὸ λογικὸν ζῷον μόνον τὸ εὐδαιμονεῖν τίθενται, ἐρωτᾶν αὐτοὺς προσήκει· ἆρά γε τὸ λογικὸν προσλαμβάνετε, ὅτι εὐμήχανον μᾶλλον ὁ λόγος, καὶ ῥᾳδίως ἀνιχνεύειν καὶ περιποιεῖν τὰ πρῶτα κατὰ φύσιν δύναται, ἢ κἂν μὴ δυνατὸς ᾖ ἀνιχνεύειν μηδὲ τυγχάνειν; ἀλλ' εἰ μὲν διὰ τὸ ἀνευρίσκειν μᾶλλον δύνασθαι, ἔσται καὶ τοῖς μὴ λόγον ἔχουσιν, εἰ ἄνευ λόγου φύσει τυγχάνοιεν τῶν πρώτων κατὰ φύσιν τὸ εὐδαιμονεῖν. Καὶ ὑπουργὸς ἂν ὁ λόγος, καὶ οὐ δι' αὑτὸν αἱρετὸς γίγνοιτο, οὐδ' αὖ ἡ τελείωσις αὐτοῦ, ἥν φαμεν ἀρετὴν εἶναι. Εἰ δὲ φήσετε μὴ διὰ τὰ κατὰ φύσιν πρῶτα ἔχειν τὸ τίμιον, ἀλλὰ δι' αὑτὸν ἀσπαστὸν εἶναι, λεκτέον τί τε ἄλλο ἔργον αὐτοῦ, καὶ τίς ἡ φύσις αὐτοῦ, καὶ τί τέλειον αὐτὸν ποιεῖ. Ποιεῖν γὰρ δεῖ αὐτὸν τέλειον, οὐ τὴν θεωρίαν τὴν περὶ ταῦτα, ἀλλὰ ἄλλο τι τέλειον αὐτὸν εἶναι, καὶ φύσιν ἄλλην εἶναι αὐτόν· καὶ μὴ εἶναι αὐτὸν τούτων τῶν πρώτων κατὰ φύσιν, μηδὲ ἐξ ὧν τὰ πρῶτα κατὰ φύσιν, μηδ' ὅλως τούτου τοῦ γένους εἶναι, ἀλλὰ κρείττονα τούτων ἁπάντων· ἢ πῶς τὸ τίμιον αὐτῷ, οὐκ οἶμαι ἕξειν αὐτοὺς λέγειν. Ἀλλ' οὗτοι μὲν, ἕως ἂν κρείττονα εὕρωσι φύσιν τῶν περὶ ἃ νῦν ἵστανται, ἐατέοι ἐνταυθοῖ εἶναι, οὗπερ μένειν ἐθέλουσιν, ἀπόρως ἔχοντες [ὅ τι καὶ] ὅπη τὸ εὖ ζῆν, οἷς δυνατόν ἐστι τούτων.

aliud dicant, velut certae cujusdam vel affectionis vel perceptione: quonam pacto, cum utrumque sit indifferens, quod ex ambobus constat, bonum asserunt? At si bonum quidem affectionem talemque statum esse bene vivere dicant, quando quis bonum praesens sibi cognoscit, interrogare eos expedit, utrum cognoscens praesens hoc esse praesens, bene vivat? an nosse oporteat, non solum esse dulce, sed hoc ipsum esse bonum? Verum, si nosse oportet esse bonum, non sensus ipsius jam id opus erit, sed virtutis cujusdam sensu praestantioris. Non ergo voluptate perfusis bene vivere competet, sed ei, qui cognoscere valeat voluptatem esse bonum. Atque ita bene vivendi causa non voluptas erit, imo quod judicare queat voluptatem esse bonum. Et id quidem, quod judicat, est affectione et passione praestantius: est enim ratio vel intellectus: voluptas vero passio. Nullo autem modo, quod irrationale est, ratione est excellentius. Quomodo igitur ratio seipsam dimittens aliud ponet in opposito quodam genere constitutum seipsa praestantius esse? Sed videntur, quicunque plantis [non] attribuunt, et quicunque sensui tali bene se habere, latere seipsos, dum bene vivere tanquam majus aliquid quaerunt, ipsumque, quod melius dicitur, in vita integriore quodammodo collocant. Rursus quotcunque in vita rationali esse dicunt, non autem in vita simpliciter, neque etiam, si fuerit sensualis, recte forsan dicere possint. Quam vero ob causam sic et circa rationale animal solum felicitatem ponunt, interrogare eos oportet, numquid rationale adjungitis, quoniam ratio solertior sagaciorque sit, atque facilius prima secundum naturam investigare comparareque possit? Numquid etiam si neque sagaciter investigare neque assequi valeret? At vero si propter ipsam duntaxat inveniendi potentiam magis id dicatur, aderit felicitas etiam ratione carentibus: si modo absque ratione prima secundum naturam naturaliter assequantur. Itaque ministra erit ratio, nec ullo modo propter se eligenda, neque rursum perfectio ejus, quam dicimus esse virtutem. Sin autem dicatis non habere dignitatem propter prima naturae, sed propter seipsam esse colendam: dicendum superest vobis, quidnam sit aliud ejus opus et quae natura, quidve ipsam perfectam efficiat. Perfectam sane evadere eam oportet non ob ipsam circa haec inspectionem, sed in alia quadam perfectionem ejus consistere, aliamque ipsi inesse naturam: neque in numero esse horum secundum naturam primorum: neque ex quibus prima hujusmodi componuntur: neque omnino hujus generis esse, sed horum omnium praestantissimam: alioquin, quomodo sit veneranda, illos assignare posse non arbitror. At vero id quidem, quousque naturam his inveniant meliorem, circa quae nunc immorantur, permittendi sunt ibi trahere moras ubicunque libuerit, ambigentes, quidnam sit bene vivere, quibus inesse potest, et quo pacto, et in quibus bonum valeat reperiri.

Si eadem ratione gradusque perfectione viverent omnia, possent omnia bene vivere: quia vita ipsa est quae intellectus: in aliis autem vivere distat ab intellectu, id est, ab ipsa vita plus quam genere.

Γ'. Ἡμεῖς δὲ λέγωμεν ἐξ ἀρχῆς, τί ποτε τὸ εὐδαιμονεῖν ὑπολαμβάνομεν εἶναι. Τιθέμενοι δὲ δὴ τὸ εὐδαιμονεῖν ἐν ζωῇ, εἰ μὲν συνώνυμον τὸ ζῆν ἐποιούμεθα, πᾶσι μὲν ἂν τοῖς ζῶσιν ἀπέδομεν δεκτικοῖς εὐδαιμονίας εἶναι. Εὖ δὲ ζῆν ἐνεργείᾳ ἐκεῖνα, οἷς παρῆν ἕν τι καὶ ταὐτὸν, οὗ ἐπεφύκει δεκτικὰ πάντα τὰ ζῷα εἶ-

III. Nos vero ab initio resumamus, quidnam felicitatem existimemus. Profecto cum felicitatem in vita constituamus, si vivere univocum [*imo synonymum*] putaremus, omnibus felicitatis facultatem tribueremus. Bene autem vivere actu illa opinaremur, quibus unum idemque adesset, cujus animalia omnia naturaliter capacia esse valeant.

ναι. Καὶ οὐκ ἂν τῷ μὲν λογικῷ ζῴῳ δοίημεν δύνασθαι τοῦτο, τῷ δ' ἀλόγῳ οὐκέτι. Ζωὴ γὰρ ἦν τὸ κοινόν, ὃ δεκτικὸν τοῦ αὐτοῦ πρὸς τὸ εὐδαιμονεῖν ἔμελλεν εἶναι· εἴπερ ἐν ζωῇ τινι τὸ εὐδαιμονεῖν ὑπῆρχεν. Ὅθεν οἶμαι καὶ οἱ ἐν λογικῇ ζωῇ λέγοντες τὸ εὐδαιμονεῖν γίνεσθαι, οὐκ ἐν τῇ κοινῇ ζωῇ τιθέντες, ἠγνόησαν τὸ εὐδαιμονεῖν οὐδὲ ζωὴν ὑποτιθέμενοι. Ποιότητα δὲ τὴν λογικὴν δύναμιν, περὶ ἣν ἡ εὐδαιμονία συνίσταται, ἀναγκάζοιντο ἂν λέγειν· ἀλλὰ τὸ ὑποκείμενον αὐτοῖς λογικὴ ἐστι ζωή· περὶ γὰρ τὸ ὅλον τοῦτο ἡ εὐδαιμονία συνίσταται, ὥστε περὶ ἄλλο εἶδος ζωῆς. Λέγω δὲ οὐχ ὡς ἀντιδιῃρημένον τῷ λόγῳ, ἀλλ' ὡς ἡμεῖς φαμεν, πρότερον, τὸ δὲ ὕστερον εἶναι. Πολλαχῶς τοίνυν τῆς ζωῆς λεγομένης, καὶ τὴν διαφορὰν ἐχούσης κατὰ τὰ πρῶτα καὶ δεύτερα καὶ ἐφεξῆς· καὶ ὁμωνύμως τοῦ ζῆν λεγομένου, ἄλλως μὲν τοῦ φυτοῦ, ἄλλως δὲ τοῦ ἀλόγου· καὶ τρανότητι καὶ ἀμυδρότητι τὴν διαφορὰν ἐχόντων, ἀνάλογον δηλονότι καὶ τὸ εὖ. Καὶ εἰ εἴδωλον ἄλλο ἄλλου, δηλονότι καὶ τὸ εὖ ὡς εἴδωλον τοῦ εὖ· εἰ δὲ ὅτῳ ἄγαν ὑπάρχει τὸ ζῆν (τοῦτο δέ ἐστιν ὃ μηδενὶ τοῦ ζῆν ἐλλείπει τὸ εὐδαιμονεῖν), μόνῳ ἂν τῷ ἄγαν ζῶντι τὸ εὐδαιμονεῖν ὑπάρχοι· τούτῳ γὰρ τὸ ἄριστον, εἴπερ ἐν τοῖς οὖσι τὸ ἄριστον τὸ ὄντως ἐν ζωῇ καὶ ἡ τέλειος· οὕτω γὰρ ἂν οὐδὲ ἐπακτὸν τὸ ἀγαθὸν ὑπάρχοι, οὐδ' ἄλλο τὸ ὑποκείμενον ἀλλαχόθεν γενόμενον παρέξει αὐτὸ ἐν ἀγαθῷ εἶναι. Τί γὰρ τῇ τελείᾳ ζωῇ ἂν προσγένοιτο εἰς τὸ ἀρίστη εἶναι; Εἰ δέ τις τὴν τοῦ ἀγαθοῦ φύσιν ἐρεῖ, οἰκεῖος μὲν ὁ λόγος ἡμῖν, οὐ μὴν τὸ αἴτιον, ἀλλὰ τὸ ἐνυπάρχον ζητοῦμεν· ὅτι δὲ ἡ τελεία ζωή, καὶ ἡ ἀληθινὴ καὶ ὄντως, ἐν ἐκείνῃ τῇ νοερᾷ φύσει, καὶ ὅτι αἱ ἄλλαι ἀτελεῖς, καὶ ἰνδάλματα ζωῆς, καὶ οὐ τελείως οὐδὲ καθαρῶς, καὶ οὐ μᾶλλον ζωαὶ ἢ τοὐναντίον, πολλάκις μὲν εἴρηται. Καὶ νῦν δὲ λελέχθω συντόμως, ὡς, ἕως ἂν πάντα τὰ ζῷα ἐκ μιᾶς ἀρχῆς ᾖ, μὴ ἐπίσης δὲ τὰ ἄλλα ζῇ, ἀνάγκη τὴν ἀρχὴν τὴν πρώτην ζωὴν καὶ τὴν τελειότητα εἶναι.

Neque sic certe hujusmodi particeam, ut rationali quidem facultatem hujus concederemus, irrationali vero nunquam. Vita enim erat ipsum commune, quod quidem ejusdem capax ad beatitudinem consequendam esse debebat: siquidem in vita quadam beatitudo consisteret. Quapropter et qui in vita rationali beatitudinem fieri dicunt, non in communi vita ponentes, non satis, ut arbitror, adverturunt, se felicitatem ponere non esse vitam. Qualitatem vero rationalem potentiam, circa quam felicitas consistit, dicere compellentur: at subjectum apud eos vita rationalis existit. Nam circa totum hoc felicitas ipsa versatur: quemadmodum circa aliam vitae speciem ponenda videtur. Dico autem non tanquam aliae species adversus rationem distinguantur ex aequo, sed, quemadmodum dicere consuevimus, hoc quidem prius, illud vero posterius. Cum igitur multifariam vita dicatur, differentiasque habeat secundum prima atque secunda et deinceps; et vivere aequivoca ratione dicatur, aliter quidem de planta, aliter vero de bruto; et plenitudine atque exiguitate differentiam habeat: certe proportione quadam analogica, tam bene vivere, quam vivere de his omnibus dicitur. Atque si alterum vivens viventis alterius simulacrum est, similiter et alter bene vivendi habitus, alterius bene vivendi simulacrum judicari debet: sin autem cuicunque satis adest vivere, (hoc autem est, quod nulla ex parte a vita deficit, felicitas competit,) certe soli sufficienter viventi felicitas aderit. Huic enim adest et optimum: siquidem in ipso entium ordine optimum est, quod vere est in vita, ipsumque est vita perfecta. Sic enim neque adventitium erit ipsum bonum: neque aliud quicquam aliunde adveniens efficiet, ut subjectum collocetur in bono. Quid enim perfectae vitae ad hoc, ut optima sit, est addendum? Siquis vero ipsam boni naturam dicat addendam, proprius quidem sermo nobis erit: neque tamen causam, sed, quod inest nobis, inquirimus. Saepe quidem dictum est perfectam veramque vitam in illa intellectuali natura vigere: alias vero imperfectas esse vitaeque imagines, neque perfecte vivere neque pure: rursus neque vitas magis esse, quam non-vitas. Et nunc summatim dictum fuerit, quatenus omnia viventia ex uno principio vivunt, neque alia aeque vivunt, necessario sequi, ipsum vivendi principium primam vitam perfectionemque esse.

Homo potest vitam beatam assequi, quatenus consequitur intellectum, quod actu totus animus fiat intellectus.

Δ'. Εἰ μὲν οὖν τὴν τελείαν ζωὴν ἔχειν οἷός τε ἄνθρωπος, καὶ ἄνθρωπος ὁ ταύτην ἔχων τὴν ζωήν, εὐδαίμων· εἰ δὲ μή, ἐν θεοῖς ἄν τις τὸ εὐδαιμονεῖν θεῖτο, εἰ ἐν ἐκείνοις μόνοις ἡ τοιαύτη ζωή. Ἐπειδὴ τοίνυν καὶ ἐν ἀνθρώποις φαμὲν εἶναι τὸ εὐδαιμονεῖν τοῦτο, σκεπτέον πῶς ἐστι τοῦτο. Λέγω δὲ ὧδε· ὅτι μὲν οὖν ἔχει τελείαν ζωὴν ἄνθρωπος, οὐ τὴν αἰσθητικὴν μόνον ἔχων, ἀλλὰ καὶ λογισμὸν καὶ νοῦν ἀληθινόν, δῆλον καὶ ἐξ ἄλλων. Ἀλλ' ἆρά γε ὡς ἄλλος ὤν, ἄλλο τοῦτο ἔχει; ἢ οὐδ' ἔστιν ὅλως ἄνθρωπος, μὴ οὐ καὶ τοῦτο ἢ δυνάμει ἢ ἐνεργείᾳ ἔχων, ὃν δὴ καί φαμεν εὐδαίμονα εἶναι; ἀλλ' ὡς μέρος αὐτοῦ τοῦτο φήσομεν ἐν αὐτῷ τὸ εἶδος τῆς ζωῆς τὸ τέλειον εἶναι; ἢ τὸν μὲν ἄλλον ἄνθρωπον μέρος τι τοῦτο ἔχειν δυνάμει ἔχοντα· τὸν δὲ εὐδαίμονα ἤδη, ὃς δὴ καὶ ἐνεργείᾳ ἐστὶ τοῦτο, καὶ μεταβέβηκε πρὸς τὸ αὐτὸ εἶναι τοῦτο· περικεῖσθαι δ' αὐτῷ τὰ ἄλλα ἤδη, ἃ

IV. Si igitur homo potest vitam perfectam habere, certe homo hanc habens est beatus: alioquin diis tantum felicitatem attribuemus, si solis ejusmodi adest vita. Quoniam vero fatemur hominibus quoque posse inesse felicitatem: quonam pacto id sit, nobis est cogitandum. Dico autem ita: Quod homo perfectam vitam habeat, non quidem si habeat sensualem solam, sed rationem quoque intellectumque verum, ex aliis potest esse perspicuum. Sed numquid ipse, tanquam alius existens, id tanquam aliud habet? Aut certe omnino non est homo, nisi hoc vel potentia habeat vel actu, quem nimirum dicimus esse felicem. Sed numquid, tanquam ejus partem, id in ipso ponemus dicemusque perfectam vitae speciem esse? Aut certe alium quidem hominem velut partem id dicemus habere, potentia quadam habentem: illum vero felicem, qui jam id actu exstitit, ad idque pervenit, ut una cum hoc sit idem. Circumstare vero ipsum jam cetera: quae quidem aliquis

ὥστε οὐδὲ μέρη αὐτοῦ ἄν τις θεῖτο οὐκ ἐθέλοντι περικείμενα· ἦν δ' ἂν αὐτοῦ κατὰ βούλησιν συνηρτημένα. Τούτῳ τοίνυν τί ποτ' ἐστὶ τὸ ἀγαθόν; ἢ αὐτὸς αὑτῷ ὅπερ ἔχει· τὸ δὲ ἐπέκεινα αἴτιον τοῦ ἐν αὐτῷ· καὶ ἄλλως ἀγαθόν, αὐτῷ παρὸν ἄλλως. Μαρτύριον δὲ τούτου τὸ εἶναι, τὸ μὴ ἄλλο ζητεῖν τὸν οὕτως ἔχοντα. Τί γὰρ ἂν καὶ ζητήσειε; τῶν μὲν γὰρ χειρόνων οὐδέν, τῷ δὲ ἀρίστῳ σύνεστιν. Αὐτάρκης οὖν ὁ βίος τῷ οὕτω ζωὴν ἔχοντι. Κἂν σπουδαῖος ᾖ, αὐτάρκης εἰς εὐδαιμονίαν καὶ εἰς κτῆσιν ἀγαθοῦ. Οὐδὲν γάρ ἐστιν ἀγαθόν, ὃ μὴ ἔχει. Ἀλλ' ὃ ζητεῖ, ὡς ἀναγκαῖον ζητεῖ, καὶ οὐχ αὑτῷ, ἀλλά τινι τῶν αὐτοῦ. Σώματι γὰρ προσηρτημένῳ ζητεῖ, κἂν ζῶντι δὲ σώματι, τὰ αὑτοῦ ζῶντι ταύτῃ, οὐχ ἃ τοιούτου τοῦ ἀνθρώπου ἐστί. Καὶ γινώσκει ταῦτα, καὶ δίδωσιν, ἃ δίδωσιν, οὐδὲν τῆς αὑτοῦ παραιρούμενος ζωῆς· οὐδ' ἐν τύχαις τοίνυν ἐναντίαις ἐλαττώσεται εἰς τὸ εὐδαιμονεῖν· μένει γὰρ καὶ ὡς ἡ τοιαύτη ζωή· ἀποθνησκόντων τε οἰκείων καὶ φίλων, οἶδε τὸν θάνατον, ὅ τι ἐστίν. Ἴσασι δὲ καὶ οἱ πάσχοντες, σπουδαῖοι ὄντες. Οἰκεῖοι δὲ καὶ προσήκοντες τοῦτο πάσχοντες, κἂν λυπῶσιν, οὐκ αὐτόν, τὸ δ' ἐν αὐτῷ νοῦν οὐκ ἔχον, οὗ τὰς λύπας οὐ δέξεται.

non tanquam partes ipsius acceperit, eo nolente videlicet circumstantia: ipsius vero jam essent, si vellet esse connexa. Huic ergo quidnam est bonum? Fortasse ipse sibimet per id quod possidet. Quod autem superius exstat, causa ejus est, quod viget in ipso. Atque illud quidem aliter in se bonum est, alteri vero aliter adest. Testimonium vero hinc haberi potest, quod, qui sic est affectus, nihil ultra desiderat. Quid enim quaerat? Deteriorum quidem nihil: optimo autem est conjunctus. Qui igitur ita vivit, vitam habet sufficientem. Ac si virtute sit praeditus, sufficiens ad felicitatem et ad boni possessionem erit. Nullum est enim bonum, quod non habeat. Quod autem quaerit, tanquam necessarium quaerit, non quidem sibi, sed suorum alicui. Corpori quidem annexo quaerit: et si corpori viventi, certe, quae ad ipsum pertinent, non quae interioris sunt hominis propria. Profecto haec plane cognoscit, atque ita dat, quae tribuit, ut nullo modo a vita sua desciscat. Quamobrem in fortunis adversis nihilominus beatus erit: permanet enim quemadmodum ejusmodi vita: praeterea in domesticorum amicorumque obitu, quid sit mors, non ignorat. Ipsi quoque, qui talia patiuntur, si probi sint, idem plane noverunt. Familiares autem atque necessarii id patientes, si quam molestiam afferant, non ipsi inferunt, sed et potius, quod in ipso est mente captum, cujus quidem molestias proprias felix animus non accipiet.

Enumerat quae Peripatetici huic definitioni felicitatis objiciant.

Ε'. Ἀλγηδόνες δ' ἔτι καὶ νόσοι καὶ τὰ ὅλως κωλύοντα ἐνεργεῖν; εἰ δὲ δὴ μηδ' ἑαυτῷ παρακολουθοῖ; γένοιτο γὰρ ἂν καὶ ἐκ φαρμάκων καὶ τινων νόσων· πῶς δὴ ἐν τούτοις ἅπασι τὸ ζῆν εὖ καὶ τὸ εὐδαιμονεῖν ἂν ἔχοι; πενίας γὰρ καὶ ἀδοξίας ἐατέον. Καίτοι κἂν πρὸς ταῦτα ἄν τις ἀποβλέψας ἐπιστήσειε, καὶ πρὸς τὰς πολυθρυλλήτους αὖ μάλιστα Πριαμικὰς τύχας· ταῦτα γὰρ εἰ καὶ φέροι, καὶ ῥᾳδίως φέροι, ἀλλ' οὐ βουλητά γε ἦν αὐτῷ. Δεῖ δὲ βουλητὸν τὸν εὐδαίμονα βίον εἶναι, ἐπεὶ οὐδὲ τοῦτον εἶναι τὸν σπουδαῖον ψυχὴν τοιάνδε, μὴ συναριθμεῖσθαι δ' αὐτοῦ τῇ οὐσίᾳ τὴν σώματος φύσιν. Ἑτοίμως γὰρ τοῦτο φαῖεν ἂν λαμβάνειν, ἕως ἂν αἱ τοῦ σώματος πείσεις πρὸς αὐτὸν ἀναφέρωνται, καὶ αὖ καὶ αἱ αἱρέσεις καὶ φυγαὶ διὰ ταῦτα γίγνωνται αὐτῷ. Ἡδονῆς δὲ συναριθμουμένης τῷ εὐδαίμονι βίῳ, πῶς ἂν λυπηρὸν διὰ τύχας καὶ ὀδύνας ἔχων εὐδαίμων εἴη, ὅτῳ ταῦτα σπουδαίῳ ὄντι γίγνοιτο; ἀλλὰ θεοῖς μὲν ἡ τοιαύτη διάθεσις εὐδαίμων καὶ αὐτάρκης· ἀνθρώποις δὲ προσθήκην τοῦ χείρονος λαβοῦσι περὶ ὅλον χρὴ τὸ γενόμενον τὸ εὔδαιμον ζητεῖν, ἀλλὰ μὴ περὶ μέρος, ὃ ἐκ θατέρου κακῶς ἔχοντος ἀναγκάζοιτο ἂν καὶ θάτερον τὸ κρεῖττον ἐμποδίζεσθαι πρὸς τὰ αὐτοῦ, ὅτι μὴ καὶ τὰ τοῦ ἑτέρου καλῶς ἔχει· ἢ ἀπορρήξαντα δεῖ σῶμα, ἢ καὶ αἴσθησιν τὴν σώματος, οὕτω τὸ αὔταρκες ζητεῖν πρὸς τὸ εὐδαιμονεῖν ἔχειν.

V. Dolores autem corporis et morbi, et quae omnino actiones impediunt, quidnam poterunt? Quinetiam si per haec sibi minime constet [i. e. si sibi ipse non amplius constet et perturbetur mente], quid dicendum? Id enim ex veneficiis et morbis quibusdam fieri potest. Quonam pacto in his omnibus bene vivere felixque esse poterit? Inopem quidem et abjectam fortunam missam in praesentia facimus. Quamvis et ad haec aspiciens aliquis nobis forsitan adversabitur, Priamique calamitates contra adducet in medium: haec enim etsi ferat, ac facile ferat, non tamen pro voto ejus eveniunt. Oportet autem vitam felicem ad votum esse: quandoquidem probum hominem non esse solum animam talem dicent, sed hominis ipsius substantiae corporis naturam annumerari. Facile vero hoc diceret aliquis accipere, quousque corporis passiones ad ipsum animum transferantur: rursusque corporis gratia hominem singula vel prosequi vel declinare. Proinde cum vitae felici voluptas necessaria sit, quonam pacto angustiis et doloribus circumventus felix erit? etiam si bonus sit is, quem adversitas ejusmodi presserit? Atqui diis quidem perfectus ipse mentis solius habitus felix atque sufficiens. Hominibus autem, quorum animis deterius aliud est adjunctum, circa totum compositum est quaerenda felicitas, non autem circa alteram duntaxat partem, quamvis praestantiorem: quae, quotiens altera male se habet, necessario officia sua exsequi prohibetur. Alioquin corpus vel corporis sensum oportet abjicere, atque ita ad felicitatem nobis sufficientiam quaerere.

Respondet objectionibus, quod finis ultimus sit bonum simplex, scilicet intelligibile: cetera vero non finis, sed ad finem.

Ϛ'. Ἀλλ' εἰ μὲν τὸ εὐδαιμονεῖν ἐν τῷ μὴ ἀλγεῖν μηδὲ νοσεῖν μηδὲ δυστυχεῖν μηδὲ συμφοραῖς μεγάλαις περιπίπτειν ἐδίδου ὁ λόγος, οὐκ ἦν, τῶν ἐναντίων παρόντων, εἶναι ὁντινοῦν εὐδαίμονα· Εἰ δ' ἐν τῇ τοῦ

VI. At si felicitatem in non dolendo et non aegrotando et non periclitando neque in magnas adversitates incidendo ratio collocasset, nemo felix contrariis imminentibus esse posset. Sin autem in ipsa veri boni possessione id positum

ἀληθινοῦ ἀγαθοῦ κτήσει τοῦτό ἐστι κείμενον, τί δεῖ παρέντας τοῦτο, καὶ τὸ πρὸς τοῦτο βλέποντας κρίνειν τὸν εὐδαίμονα, τὰ ἄλλα ζητεῖν ἃ μὴ ἐν τῷ εὐδαιμονεῖν ἠρίθμηται; Εἰ μὲν γὰρ συμφόρησις ἦν ἀγαθῶν καὶ ἀναγκαίων, ἢ καὶ οὐκ ἀναγκαίων, ἀλλ' ἀγαθῶν καὶ τούτων λεγομένων, ἐχρῆν καὶ ταῦτα παρεῖναι ζητεῖν· εἰ δὲ τὸ τέλος ἕν τι εἶναι, ἀλλ' οὐ πολλὰ δεῖ (οὕτω γὰρ ἂν οὐ τέλος, ἀλλὰ τέλη ἂν ζητοῖ), ἐκεῖνο χρὴ λαμβάνειν μόνον, ὃ ἔσχατόν τέ ἐστι καὶ τιμιώτατον, καὶ ὃ ἡ ψυχὴ ζητεῖ ἐν αὐτῇ ἐγκολπίσασθαι. Ἡ δὲ ζήτησις αὕτη καὶ ἡ βούλησις οὐχὶ τὸ μὴ ἐν τούτῳ εἶναι· ταῦτα γὰρ οὐκ ἂν τῇ φύσει, ἀλλὰ παρόντα μόνον φεύγει ὁ λογισμὸς ἀποικονομούμενος, ἢ καὶ προσλαμβάνων ζητεῖ. Αὐτὴ δὲ ἡ ἔφεσις πρὸς τὸ κρεῖττον αὐτῆς, οὗ ἐγγενομένου ἀποπεπλήρωται καὶ ἔστη, καὶ οὗτος ὁ βουλητὸς ὄντως βίος. Τῶν δ' ἀναγκαίων τι παρεῖναι οὐ βούλησις ἂν εἴη, εἰ κυρίως τὴν βούλησιν ὑπολαμβάνοι, ἀλλὰ μὴ καταχρώμενος ἄν τις λέγοι, ἐπειδὴ καὶ ταῦτα παρεῖναι ἀξιοῦμεν, ἐπεὶ καὶ ὅλως τὰ κακὰ ἐκκλίνομεν· καὶ οὐ δή που βουλητὸν τὸ τῆς ἐκκλίσεως τῆς τοιαύτης· μᾶλλον γὰρ βουλητὸν τὸ μηδὲ δεηθῆναι τῆς ἐκκλίσεως τῆς τοιαύτης. Μαρτυρεῖ δὲ καὶ αὐτά, ὅταν παρῇ· οἷον ὑγίεια, καὶ ἀνωδυνία. Τί γὰρ τούτων ἐπαγωγόν ἐστι; καταφρονεῖται γοῦν ὑγίεια παροῦσα καὶ τὸ μὴ ἀλγεῖν. Ἃ δὲ παρόντα μὲν οὐδὲν ἐπαγωγὸν ἔχει, οὐδὲ προστίθησί τι πρὸς τὸ εὐδαιμονεῖν, ἀπόντα δὲ διὰ τὴν τῶν [ἐναντίων] λυπούντων παρουσίαν ζητεῖ, εὔλογον ἀναγκαῖα, ἀλλ' οὐκ ἀγαθὰ φάσκειν εἶναι· οὐδὲ συναριθμητέα τοίνυν τῷ τέλει, ἀλλὰ καὶ ἀπόντων αὐτῶν καὶ τῶν ἐναντίων παρόντων ἀκέραιον τὸ τέλος τηρητέον.

est: quidnam oportet hoc praetereuntes et, quod praeterea accedit, prospicientes, judicare felicem, alia insuper quaerere, quae in felicitate minime numerantur? Si enim felicitas esset bonorum simul ac necessariorum accumulatio, sive bonorum majorum atque minorum, quae non modo necessaria, sed etiam bona dicantur, haec insuper oporteret adesse. At si finem esse unum aliquid, non autem multa oportet, (alioquin non finem, sed fines homo quaerat,) illud consequi oportet solum, quod ultimum est atque praestantissimum, quodve intimum sibi fieri anima quaerit. Inquisitio vero haec atque voluntas non eo tendit, ut in hoc minime sit. Incommodorum enim declinationem haud praecipuo naturae voto eligit, sed praesentia solum fugit rationis discursio atque propellit; aut etiam commoda quaerit adjungere. Ipsa vero appetitio principalis ad id, quod optimum est, dirigitur: quo praesente impletur et conquiescit. Atque haec vita est, quae voluntate praecipua exoptatur. Necessariorum vero aliquid adesse non voluntas erit, si proprie ac praecipue, nec per abusum, nomines voluntatem: quandoquidem et haec adesse existimamus oportere: quoniam videlicet a malis pro viribus declinamus; neque tamen hoc ipsum declinationis officium est principaliter exoptandum: optabilius enim est, declinatione hac nequaquam indigere. Testantur autem hoc eadem ipsa cum adsunt, velut sanitas et indolentia. Quod enim horum mirifice animum ad se adducit? Praesens namque sanitas et indolentia negligi consuevit. Quae vero praesentia nequaquam habent blandam ad se animi convertendi virtutem, neque ad felicitatem nobis quicquam addunt: absentia vero propter contrariorum offendentium praesentiam requiruntur, rationi consentaneum est, necessaria potius quam bona censere. Neque igitur fini videntur annumeranda, sed et absentibus ipsis eorumque contrariis imminentibus finis integer est servandus.

Felix bonum intelligibile solum vult: ab aliis vel bonis vel malis non pendet

Ζ'. Διὰ τί οὖν ὁ εὐδαιμονῶν ταῦτα ἐθέλει παρεῖναι, καὶ τὰ ἐναντία ἀπωθεῖται; ἢ φήσομεν, οὐχ ὅτι πρὸς τὸ εὐδαιμονεῖν εἰσφέρεταί τινα μοῖραν, ἀλλὰ μᾶλλον πρὸς τὸ εἶναι· τὰ δὲ ἐναντία τούτων ἢ πρὸς τὸ μὴ εἶναι, ἢ ὅτι ἐνοχλεῖ τῷ τέλει παρόντα, οὐχ ὡς ἀφαιρούμενα αὐτό, ἀλλ' ὅτι ὁ ἔχων τὸ ἄριστον αὐτὸ μόνον βούλεται ἔχειν, οὐκ ἄλλο τι μετ' αὐτοῦ· ὃ ὅταν παρῇ, οὐκ ἀφῄρηται μὲν ἐκεῖνο, ἔστι δ' ὅμως κἀκείνου ὄντος. Ὅλως δέ, οὐκ εἴ τι ὁ εὐδαίμων μὴ ἐθέλοι, παρείη δὲ τοῦτο, ἤδη παραιρεῖταί τι τῆς εὐδαιμονίας· ἢ οὕτω γε καθ' ἑκάστην τὴν ἡμέραν μεταπίπτοι ἄν, καὶ ἐκπίπτοι τῆς εὐδαιμονίας· οἷον εἰ καὶ παῖδα ἀποβάλλοι, ἢ καὶ ὁτιοῦν τῶν κτημάτων. Καὶ μυρία ἂν εἴη, ἃ οὐ κατὰ γνώμην ἐκβάντα οὐδέν τι παρακινεῖ τοῦ παρόντος τέλους αὐτῷ. Ἀλλὰ τὰ μεγάλα, φασί, καὶ οὐ τὰ τυχόντα. Τί δ' ἂν εἴη τῶν ἀνθρωπίνων μέγα, ὥστ' ἂν μὴ καταφρονηθῆναι ὑπὸ τοῦ ἀναβεβηκότος πρὸς τὸ ἀνωτέρω ἁπάντων τούτων καὶ οὐδενὸς ἔτι τῶν κάτω ἐξηρτημένου; διὰ τί γὰρ τὰς μὲν εὐτυχίας, ἡλίκαι οὖν ἐὰν ὦσιν, οὐ μεγάλας ἡγεῖται, οἷον βασιλείας καὶ πόλεων καὶ ἐθνῶν ἀρχάς, οὐδὲ οἰκήσεις καὶ κτήσεις πόλεων, οὐδ' εἰ ὑπ' αὐτοῦ γίγνοιντο· ἐκπτώσεις δὲ ἀρχῶν καὶ πόλεως αὐτοῦ κατασκαφὴν ἡγήσεταί τι εἶναι

VII. Quam igitur ob causam felix appetit haec adesse, et contraria respuit? Fortasse dicemus, non quia ad beatum esse, sed ad ipsum esse potius aliquid conferant; contraria vero horum vel ad non esse deducant, vel quoniam virum fine potitum occurrentia interpellent, non auferentia finem; sed quoniam, qui optimo fruitur, ipsum solum optat habere, aliud vero quicquam una cum ipso nequaquam: quinetiam si occurrerit aliud, non aufert quidem finem, qui vel hoc praesente non abest. Omnino autem non si quid perdat felix, quod nolit, propterea ulla ex parte a beatitudine decidit: alioquin quotidie permutabitur, a felicitateque excidet: veluti si filium amittat, vel jacturam quandam supellectilium patiatur. Profecto innumerabilia sunt, quae praeter sententiam accidentia nihil finis praesentiae detrahant. At dicunt magnas adversitates, non quaslibet, mutare felicitatem. Sed quidnam erit humanorum adeo magnum, quin ab eo despiciatur, qui ad altiora his omnibus sese contulit, neque ab inferioribus ullis ultra pendet? Cum enim prosperitates quidem, qualescunque adsint, non magnas existimet: sicut regna et civitatum gentiumque imperia constitutionesque urbium, vel si ab eo ipso fiant: cur jam dominationis vel patriae jacturam grave malum existimabit? Sin autem malum

μέγα; εἰ δὲ δὴ καὶ κακὸν μέγα, ἢ ὅλως κακόν, γέλοιος ἂν εἴη τοῦ δόγματος, καὶ οὐκ ἂν ἔτι σπουδαῖος εἴη, ξύλα καὶ λίθους καί, νὴ Δία, θανάτους θνητῶν μέγα ἡγούμενος, ᾧ φαμεν δεῖν δόγμα παρεῖναι περὶ θανάτου τὸ ἄμεινον ζωῆς τῆς μετὰ σώματος εἶναι. Αὐτὸς δὲ εἰ τυθείη, κακὸν οἰήσεται αὐτῷ τὸν θάνατον, ὅτι παρὰ βωμοῖς τέθνηκεν; ἀλλ' εἰ μὴ ταφείη, πάντως που καὶ ὑπὲρ γῆς καὶ ὑπὸ γῆν τεθὲν τὸ σῶμα σαπείη· εἰ δ' ὅτι μὴ πολυδαπάνως, ἀλλ' ἀνωνύμως τέθαπται, οὐκ ἀξιωθεὶς ὑψηλοῦ μνήματος, τῆς μικρολογίας. Ἀλλ' εἰ αἰχμάλωτος ἄγοιτο, πάντῃ ἐστὶν ὁδὸς ἐξιέναι, εἰ μὴ εἴη εὐδαιμονεῖν. Εἰ δὲ οἰκεῖοι αὐτῷ αἰχμάλωτοι, οἷον ἑλκόμεναι νυοὶ καὶ θυγατέρες, τί οὖν φήσομεν, εἰ ἀποθνήσκοι μηδὲν τοιοῦτον ἑωρακώς; ἆρ' οὖν οὕτω δόξης ἔχοι ἀπιών, ὡς μὴ ἂν τούτων ἐνδεχομένων γενέσθαι; ἀλλ' ἄτοπος ἂν εἴη. Οὐκ ἂν οὖν δοξάσειεν, ὡς ἐνδέχεται τοιαύταις τύχαις τοὺς οἰκείους περιπεσεῖν; ἆρ' οὖν διὰ τὸ οὕτως ἂν δόξαι ὡς καὶ γενησομένου ἄν, οὐκ εὐδαίμων; ἢ καὶ δοξάζων οὕτως εὐδαίμων, ὥστε καὶ γινομένου· ἐνθυμοῖτο γὰρ ἄν, ὡς ἡ τοῦδε τοῦ παντὸς φύσις τοιαύτη, οἷα καὶ τὰ τοιαῦτα φέρειν καὶ ἕπεσθαι χρή. Καὶ πολλοὶ δὴ καὶ ἄμεινον αἰχμάλωτοι γενόμενοι πράξουσι· καὶ ἐπ' αὐτοῖς δὲ βαρυνομένοις ἀπελθεῖν· ἢ μένοντες ἢ εὐλόγως μένουσι, καὶ οὐδὲν δεινόν, ἢ ἀλόγως μένοντες δέον μὴ αὐτοῖς αἴτιοι. Οὐ γὰρ δὴ διὰ τὴν τῶν ἄλλων ἄνοιαν οἰκείων ὄντων αὐτὸς ἐν κακῷ ἔσται, καὶ εἰς ἄλλων εὐτυχίας καὶ δυστυχίας ἀναρτήσεται.

ejusmodi quicquam esse censeat, ridiculus erit habendus, neque amplius erit probus, ligna et lapides, et, per Jovem, *mortes mortalium magnum quiddam ducens : quem* censemus debere mortem prorsus existimare esse vita corporea meliorem. Ipse autem si immoletur, num putabit malum sibi mortem, propterea quod juxta aras sit jugulandus? Quod nisi condatur, omnino tam super quam sub terram corpus dissolvetur. Nunquid etiam multifaciet, quod tenui sumptu ignobiliterque sepeliatur, alioqui monumento dignus minime judicatus? Omnino vero pusilli animi est talia multi facere. Praeterea si captivus ducatur, adest solvendi facultas, si non datur ibi esse felicem. Sin autem domestici ejus captivi ducantur, sicut tractae nurus et filiae, num minus felix erit? Quid ergo dicemus, si decedat e vita nihil talium intuitus? nunquid e vita tali quadam opinione migrabit, perinde ac si haec accidere nequeant? Sed ita putans foret absurdus. An non igitur opinabitur fieri posse, ut sui fortunis talibus opprimantur? Nunquid ergo ob hanc ipsam opinionem, quasi sit eventurum, felix minime sit futurus? *Imo etiam opinatus ita, felix esse* poterit. Quapropter etiam si acciderit in praesentia, considerabit enim [*del.*] eam esse universi naturam, ut talia ferat, atque sequi oporteat. Multi quinetiam in captivitatem ducti melius agent. Praeterea in eorum arbitrio est, qui vincti sunt, se solvere : quod si permaneant, vel quadam ratione manebunt, *atque ita nihil admodum grave* fuerit : vel absque ratione, tum vero non decet, ut ipsi sibimet perturbationis causa sint. Sane vir probus neque unquam propter suorum inscitiam malo premetur, neque in aliorum fortunas, sive adversas sive prosperas, traducetur.

Beatus bonum intelligibile servat integrum in quolibet ictu fortunae.

Η'. Τὸ δὲ τῶν ἀλγηδόνων αὐτοῦ, ὅταν σφοδραὶ ὦσιν, ἕως δύναται φέρειν, οἴσει· εἰ δὲ ὑπερβάλλουσιν, ἐξοίσουσι, καὶ οὐκ ἐλεεινὸς ἔσται ἐν τῷ ἀλγεῖν, ἀλλὰ τὸ αὐτοῦ καὶ ἐν τῷ ἔνδον φέγγος, οἷον ἐν λαμπτῆρι φῶς, πολλοῦ ἔξωθεν πνέοντος, ἐν πολλῇ ζάλῃ ἀνέμων καὶ χειμῶνι. Ἀλλ' εἰ μὴ παρακολουθοῖ, ἢ παρατείνοι τὸ ἀλγεῖν ἐπὶ τοσοῦτον αἰρόμενον, ὥστε ἐν τῷ σφοδρῷ ὅμως μὴ ἀποκτιννύναι; Ἀλλ' εἰ μὲν παρατείνοι, τί χρὴ ποιεῖν, βουλεύσεται· οὐ γὰρ ἀφῄρηται τὸ αὐτεξούσιον ἐν τούτοις. Χρὴ δὲ εἰδέναι, ὡς οὐχ, οἷα τοῖς ἄλλοις φαίνεται, τοιαῦτα καὶ τῷ σπουδαίῳ φανεῖται ἕκαστα, καὶ οὐ μέχρι τοῦ εἴσω ἕκαστα, οὔτε τὰ ἄλλα, οὔτε ἀλγεινὰ οὔτε λυπηρά, καὶ ὅταν περὶ ἄλλους τὰ ἀλγεινά· ἀσθένεια γὰρ εἴη ψυχῆς ἡμετέρας. Καὶ τοῦτο μαρτυρεῖ, ὅταν λανθάνειν ἡμᾶς κέρδος ἡγώμεθα, καὶ ἀποθανόντων ἡμῶν εἰ γίγνοιτο κέρδος εἶναι τιθεμένων, καὶ οὐ τὸ ἐκείνων ἔτι σκοπουμένων, ἀλλὰ τὸ αὐτῶν, ὅπως μὴ λυποίμεθα. Τοῦτο δὲ ἡμετέρα ἤδη ἀσθένεια, ἣν δεῖ περιαιρεῖν, ἀλλὰ μὴ ἐῶντας φοβεῖσθαι μὴ γένηται. Εἰ δέ τις λέγοι, οὕτως ἡμᾶς πεφυκέναι, ὥστε ἀλγεῖν ἐπὶ ταῖς τῶν οἰκείων συμφοραῖς, γινωσκέτω, ὅτι οὐ πάντες οὕτω, καὶ ὅτι τῆς ἀρετῆς τὸ κοινὸν τῆς φύσεως πρὸς τὸ ἄμεινον ἄγειν, καὶ πρὸς τὸ κάλλιον παρὰ τοὺς πολλούς. Κάλλιον δὲ τὸ μὴ ἐνδιδόναι τοῖς

VIII. Quando vero dolores ejus vehementes sunt, quatenus poterit ferre, feret : sin autem vehementer excesserint, efferent. Neque miserabilis erit positus in doloribus : sed ipsum suum lumen in suis penetralibus, velut facula quaedam in pharo, fulgebit assidue, etiam dum extrinsecus venti perflant, turbine procellisque frementes. At si minus sibimet ipse constet, vel si forte protendatur dolor adeo vehemens, ut ferme jam enecet, quid dicemus? Profecto si protendatur, quid oporteat facere consultabit. *non enim in his liberum aufertur arbitrium.* Nosse vero oportet, non qualia ceteris singula, talia viris virtute praestantibus apparere : neque rursus singula usque ad hominis intima pervenire, neque alia quidem, neque cruciatus neque dolores : neque rursus, quando alii angustiis opprimuntur. Alioquin foret haec quaedam animae nostrae debilitas. Quod quidem perspicue tunc apparet, quando operae pretium, ut haec nos lateant, fore censemus : similiter quoque, si quando praestare putemus, imminentem mortem nos latere. Praeterea cum aliena incommoda latere nos cupimus, non illis jam, sed nobis ipsis prospicimus, ne molestiis ullis afficiamur. Id vero totum nostrae imbecillitatis est vitium, quam propulsare procul oportet, neque imbecillitati cedentes formidare, ne quid molestiae accidat. Si quis autem objecerit, nos ita natura institutos, ut domesticorum casibus doleamus, is intelligat, primum quidem non omnes sic affectos esse, deinde virtutis officium esse, communem naturae conditionem ad id quod melius est perducere, atque ad honestius aliquid *praeter vulgi sententiam* : honestius autem est nequaquam

νομιζομένοις τῇ κοινῇ φύσει δεινοῖς εἶναι. Οὐ γὰρ ἰδιωτικῶς δεῖ, ἀλλ' οἷον ἀθλητὴν μέγαν διακεῖσθαι τὰς τῆς τύχης πληγὰς ἀμυνόμενον, γινώσκοντα μὲν, ὅτι τινὶ φύσει τὰ τοιαῦτα οὐκ ἀρεστὰ, τῇ δὲ αὑτοῦ φύσει οἰστὰ, οὐχ ὡς δεινὰ, ἀλλ' ὡς παισὶ φοβερά. Τοῦτο οὖν ἤθελεν; ἢ καὶ πρὸς τὰ μὴ θελητὰ, ὅταν παρῇ, ἀρετὴν καὶ πρὸς ταῦτα ἔχει δυσκίνητον καὶ δυσπαθῆ τὴν ψυχὴν παρέχουσαν.

his concedere, quae communi naturae gravia esse videntur. Non enim quasi rudem esse decet, sed tanquam strenuum certatorem fortunae ictus viriliter propulsantem: quippe cum cognoscat communi quidem naturae talia displicere, suo autem ingenio ferenda non tanquam re vera gravia, sed velut pueris terribilia. Haec igitur num voluisset? Fortasse quidem nolebat: quando tamen accidunt, virtutem his opponit, per quam animus haud facile permutetur atque patiatur.

Beatus rationis suae superiorem oculum aeternae jam affixit intelligentiae, unde beatus est, etiam si inferior rationis oculus prospiciat alia.

Θ'. Ἀλλ' ὅταν μὴ παρακολουθῇ βαπτισθεὶς ἢ νόσοις ἢ μάγων τέχναις; Ἀλλ' εἰ μὲν φυλάξουσιν αὐτὸν σπουδαῖον εἶναι οὕτως ἔχοντα, καὶ οἷα ἐν ὕπνῳ κοιμώμενον, τί κωλύει αὐτὸν εὐδαίμονα εἶναι; ἐπεὶ οὐδὲ ἐν τοῖς ὕπνοις ἀφαιροῦνται τῆς εὐδαιμονίας αὐτὸν, οὐδὲ ὑπὸ λόγον ποιοῦνται τὸν χρόνον τοῦτον, ὡς μὴ πάντα τὸν βίον εὐδαιμονεῖν λέγειν. Εἰ δὲ μὴ σπουδαῖον φήσουσιν, οὐ περὶ τοῦ σπουδαίου ἔτι τὸν λόγον ποιοῦνται· ἡμεῖς δὲ ὑποθέμενοι σπουδαῖον, εἰ εὐδαιμονεῖ ἕως ἂν εἴη σπουδαῖος ζητοῦμεν. Ἀλλ' ἔστω σπουδαῖος, φασὶ, μὴ αἰσθανόμενος, μηδ' ἐνεργῶν κατ' ἀρετὴν, πῶς ἂν εὐδαίμων εἴη; Ἀλλ' εἰ μὲν μὴ αἰσθάνοιτο ὅτι ὑγιαίνει, ὑγιαίνει οὐδὲν ἧττον, καὶ εἰ μὴ ὅτι καλὸς, οὐδὲν ἧττον καλός. Εἰ δὲ ὅτι σοφὸς μὴ αἰσθάνοιτο, ἧττον σοφὸς ἂν εἴη; Εἰ μή πού τις λέγοι, ὡς ἐν τῇ σοφίᾳ γὰρ δεῖ τὸ αἰσθάνεσθαι καὶ παρακολουθεῖν αὐτῷ παρεῖναι· ἐν γὰρ τῇ κατ' ἐνέργειαν σοφίᾳ καὶ τὸ εὐδαιμονεῖν παρεῖναι. Ἐπακτοῦ μὲν οὖν ὄντος τοῦ φρονεῖν καὶ τῆς σοφίας, λέγοι ἄν τι ἴσως ὁ λόγος οὗτος. Εἰ δ' ἡ τῆς σοφίας ὑπόστασις ἐν οὐσίᾳ τινὶ, μᾶλλον δὲ ἐν τῇ οὐσίᾳ· οὐκ ἀπόλωλε δὲ αὕτη ἡ οὐσία ἔν τε τῷ κοιμωμένῳ καὶ ὅλως ἐν τῷ λεγομένῳ μὴ παρακολουθεῖν ἑαυτῷ· καὶ ἔστιν ἡ τῆς οὐσίας αὐτὴ ἐνέργεια ἐν αὐτῷ, καὶ ἡ τοιαύτη ἄϋπνος ἐνέργεια· ἐνεργοῖ μὲν ἂν καὶ τότε ὁ σπουδαῖος ἡ τοιοῦτος. Λανθάνοι δ' ἂν αὕτη ἡ ἐνέργεια οὐκ αὐτὸν πάντα, ἀλλά τι μέρος αὐτοῦ, οἷον καὶ τῆς φυτικῆς ἐνεργείας ἐνεργούσης οὐκ ἔρχεται εἰς τὸν ἄλλον ἄνθρωπον ἡ τῆς τοιαύτης ἐνεργείας ἀντίληψις τῷ αἰσθητικῷ· καὶ εἴπερ ἦμεν τὸ φυτικὸν ἡμῶν, ἡμεῖς ἂν ἐνεργοῦντες ἦμεν. Νῦν δὲ τοῦτο μὲν οὐκ ἐσμὲν, ἡ δὲ τοῦ νοοῦντος ἐνέργεια· ὥστε ἐνεργοῦντος ἐκείνου ἐνεργοῖμεν ἂν ἡμεῖς.

IX. Sed quando sibi minime constat vel morbis vel magorum artibus obrutus, quidnam dicemus? At si concesserint ipsum eo statu virtutem propriam retinere ac veluti dormientem, quid prohibet esse felicem? Quoniam neque in somnis illi felicitatem adimunt, neque momenti ullius tempus id aestimant, quo minus per omnem vitam felicem esse confiteantur. Sin autem probum esse negent, haud amplius de probato viro verba faciunt. Nos autem concedentes esse probum, utrum semper sit felix quatenus probus est, quaerimus. At si virtute praeditus, aiunt, neque tamen id sentiens neque secundum virtutem agens: quomodo ergo felix erit? Verum etsi non sentiat se esse sanum, nihilominus sanus erit: rursus si non se esse pulchrum, non minus erit pulcher. Si autem sapientem se esse non sentiat, minusne erit sapiens? Sed fortasse quis dixerit, sapientiae quidem oportere sui ipsius sensum animadversionemque inesse: sapientiae namque in actu suo positae adesse felicitatem. Ceterum si sapientia ejusque actio adventitia foret, ejusmodi sermo nonnihil forte convinceret. Sin autem substantia sapientiae in essentia quadam, imo potius in essentia sita est: neque perit haec ipsa essentia in dormiente, vel in eo qui sibimet constare vel conscium esse negatur: atque est ipse essentiae actus in ipso, talisque actus perpetuo vigilans. Nimirum tunc etiam ipse probus, qua probus, vel si dormiens inscriusque sit, aget. Latebit autem actus ejusmodi non ipsum totum, sed partem potius aliquam: quemadmodum et vegetali actu vigente non transmigrat in reliquum hominem talis actionis animadversio per ipsam sentiendi naturam. Quod si idem penitus atque vegetalis nostra virtus essemus, procul dubio agente illa nos ageremus. At vero id minime sumus, sed ipse intelligentis ipsius actus scilicet sumus: quapropter agente illo nos agimus.

Quare lateat hominem intelligentiae suae actus aeternus, et quomodo possit animadverti.

Ι'. Λανθάνει δὲ ἴσως τῷ μὴ περὶ ὁτιοῦν τῶν αἰσθητῶν. Διὰ γὰρ τῆς αἰσθήσεως, ὥσπερ μέσης, περὶ ταῦτα ἐνεργεῖν δεῖ καὶ περὶ τούτων. Αὐτὸς δὲ ὁ νοῦς διὰ τί οὐκ ἐνεργήσει; καὶ ἡ ψυχὴ περὶ αὐτὸν, ἡ πρὸ αἰσθήσεως καὶ ὅλως ἀντιλήψεως; δεῖ γὰρ τὸ πρὸ ἀντιλήψεως ἐνέργημα εἶναι, εἴπερ τὸ αὐτὸ τὸ νοεῖν καὶ εἶναι. Καὶ ἔοικεν ἡ ἀντίληψις εἶναι καὶ γίνεσθαι, ἀνακάμπτοντος τοῦ νοήματος καὶ τοῦ ἐνεργοῦντος τοῦ κατὰ τὸ ζῆν τῆς ψυχῆς, οἷον ἀπωσθέντος πάλιν, ὥσπερ ἐν κατόπτρῳ περὶ τὸ λεῖον καὶ λαμπρὸν ἡσυχάζον.

X. Latet vero forsitan propterea, quod non pervenit ad vim aliquam persentientem. Nam per sensum quendam quasi circa haec medium agere quoque circa haec oportet. Ipse vero intellectus cur non agat? rursusque circa ipsum anima sensum animadversionemque praecedens? Oportet enim actionem aliquam ante animadversionem esse: siquidem idem est intelligere atque esse. Videtur autem animadversio esse fierique, quando intelligentiae actus reflectitur, et quando, quod agit secundum animae vitam, quasi iterum repercutitur, velut aliquid in speculo circa leve nitidumque quiescens. Ut enim in ejusmodi rebus,

ὡς οὖν ἐν τοῖς τοιούτοις παρόντος μὲν τοῦ κατόπτρου ἐγένετο τὸ εἴδωλον, μὴ παρόντος δὲ, ἢ μὴ οὕτως ἔχοντος*, ἐνέργεια πάρεστιν, οὗ τὸ εἴδωλον ἦν ἄν· οὕτω καὶ περὶ ψυχὴν, ἡσυχίαν μὲν ἄγοντος τοῦ ἐν ἡμῖν τοιούτου, ᾧ ἐμφαίνεται τὰ τῆς διανοίας καὶ τοῦ νοῦ εἰκονίσματα, ἐνορᾶται ταῦτα καὶ οἷον αἰσθητῶς γινώσκεται μετὰ τῆς προτέρας γνώσεως, ὅτι ὁ νοῦς καὶ ἡ διάνοια ἐνεργεῖ· συγκλασθέντος δὲ τούτου διὰ τὴν τοῦ σώματος ταραττομένην ἁρμονίαν, ἄνευ εἰδώλου ἡ διάνοια καὶ ὁ νοῦς νοεῖ καὶ ἄνευ φαντασίας ἡ νόησις τότε· ὥστε καὶ τοιοῦτον ἄν τι νοοῖτο, μετὰ φαντασίας τὴν νόησιν γίνεσθαι, οὐκ οὔσης τῆς νοήσεως φαντασίας. Πολλὰς δ' ἄν τις εὕροι καὶ ἐγρηγορότων καλὰς ἐνεργείας καὶ θεωρίας καὶ πράξεις, ὅτε θεωροῦμεν καὶ ὅτε πράττομεν τὸ παρακολουθεῖν ἡμᾶς αὐταῖς οὐκ ἐχούσας. Οὐ γὰρ τὸν ἀναγινώσκοντα ἀνάγκη παρακολουθεῖν ὅτι ἀναγινώσκει, καὶ τότε μάλιστα, ὅτε μετὰ τοῦ συντόνου ἀναγινώσκει· οὐδέ γε ὁ ἀνδριζόμενος, ὅτι ἀνδρίζεται, καὶ κατὰ τὴν ἀνδρίαν ἐνεργεῖ, ὅσῳ ἐνεργεῖ· καὶ ἄλλα μυρία· ὥστε τὰς παρακολουθήσεις κινδυνεύειν ἀμυδροτέρας αὐτὰς τὰς ἐνεργείας, αἷς παρακολουθοῦσι, ποιεῖν· μόνας δὲ αὐτὰς οὔσας καθαρὰς τότε εἶναι καὶ μᾶλλον ἐνεργεῖν καὶ μᾶλλον ζῆν· καὶ δὴ καὶ ἐν τῷ τοιούτῳ πάθει τῶν σπουδαίων γενομένων μᾶλλον τὸ ζῆν εἶναι, οὐ κεχυμένον πρὸς αἴσθησιν, ἀλλ' ἐν τῷ αὐτῷ ἐν ἑαυτῷ συνηγμένον.

quando adest speculum, fit simulacrum; quando vero non adest vel non rite se habet, actus quidem, cujus erat simulacrum, adest, simulacrum vero abest: sic et circa animam, quando quietem agit, quod tale est in nobis, ut in eo imaginationes sive notae quaedam cogitationis intellectusque refulgeant, tunc introspiciuntur imaginationes ejusmodi, et modo quasi sensibili jam agnoscitur, una cum cognitione priori intellectum cogitationemque agere. Cum vero id confunditur, propterea quod perturbata sit corporis harmonia, tunc absque simulacro cogitatio intellectusque intelligit, ac sine phantasia tunc agitur intellectio. Quapropter ejusmodi quodam pacto considerari potest cum phantasia intelligentiam fieri, cum tamen intelligentia phantasia minime sit. Multas utique reperiet quis etiam vigilantium speculationes actionesque honestas, in quibus constituti speculari nos et agere non advertimus. Non enim necesse est legentem quod legat agnoscere, praesertim quando attentione maxima legit: neque, qui fortiter agit, necessario cognoscit se fortiter agere: aliaque permulta similiter adeo, ut animadversiones videantur actiones, quas comitantur, debiliores reddere. Ipsae vero cum solae sunt, tunc purae sunt plusque actionis et vitae habere videntur. Jam vero cum probi viri in eo statu vivunt, eos magis vivere constat: quippe cum vita in eo tempore non in sensum diffusa sit, sed in ipsam eodem tenore collecta.

Beatus maxime omnium vivit: et qua ratione.

ΙΑ'. Εἰ δέ τινες μηδὲ ζῆν λέγοιεν τὸν τοιοῦτον, ζῆν μὲν αὐτὸν φήσομεν, λανθάνειν δ' αὐτοὺς τὴν εὐδαιμονίαν τοῦ τοιούτου, ὥσπερ καὶ τὸ ζῆν· εἰ δὲ μὴ πείθοιντο, ἀξιώσομεν αὐτοὺς ὑποθεμένους τὸν ζῶντα καὶ τὸν σπουδαῖον οὕτω ζητεῖν εἰ εὐδαίμων, μηδὲ τὸ ζῆν αὐτοῦ ἐλαττώσαντας, τὸ εὖ ζῆν ζητεῖν εἰ πάρεστι, μηδὲ ἀνελόντας τὸν ἄνθρωπον περὶ εὐδαιμονίας ἀνθρώπου ζητεῖν, μηδὲ τὸν σπουδαῖον συγχωρήσαντας εἰς τὸ εἴσω ἐπεστράφθαι ἐν ταῖς ἔξωθεν ἐνεργείαις αὐτὸν ζητεῖν, μηδὲ ὅλως τὸ βουλητὸν αὐτοῦ ἐν τοῖς ἔξω· οὕτω γὰρ ἂν οὐδὲ ὑπόστασις εὐδαιμονίας εἴη, εἰ τὰ ἔξω βουλητὰ λέγοι, καὶ τὸν σπουδαῖον βούλεσθαι ταῦτα. Ἐθέλοι γὰρ ἂν καὶ πάντας ἀνθρώπους εὖ πράττειν καὶ μηδὲν τῶν κακῶν περὶ μηδένα εἶναι· ἀλλὰ μὴ γινομένων ὅμως εὐδαίμων. Εἰ δέ τις παράλογον ἂν αὐτὸν ποιήσειν φήσει, εἰ ταῦτα ἐθελήσει (μὴ γὰρ οἷόν τε τὰ κακὰ μὴ εἶναι), δῆλον ὅτι συγχωρήσει ἡμῖν ἐπιστρέφουσιν αὐτοῦ τὴν βούλησιν εἰς τὸ εἴσω.

XI. At si qui objecerint virum hujusmodi ne vivere quidem, profecto nos ipsum vivere affirmabimus: latere autem illos hujusmodi felicitatem, sicut et vitam. At nisi crediderint, aequum censebimus, ut concedentes eum vivere probumque esse, hoc pacto utrum beatus sit perquirant: ne forte detrahentes ei vitam, utrum bene vivat, inquirant: neque rursus hominem tollentes de medio jam de hominis felicitate deliberent: demum neque cum probum concesserint ad intima esse conversum, mox eum in actionibus quaerant externis, votumque ejus in extrinsecis esse positum arbitrentur: alioquin neque substantia ulla felicitatis erit, si votum ejus ad externa posueris, probumque talia quaedam dixeris affectare. Optat profecto omnes homines bene vivere, nullisque malis quempiam affici. Veruntamen, si haec ad votum non succedant, nihilominus beatus erit. Si quis autem eum deceptum iri et a ratione aberraturum dicat, si modo talia velit (quandoquidem impossibile sit non esse mala), is profecto concedet nobis voluntatem ejus ad intima convertentibus.

Beatus non eget voluptate aliqua extra mentem et cur?

ΙΒ'. Τὸ δὲ ἡδὺ τῷ βίῳ τῷ τοιούτῳ ὅσοι ἀπαιτοῦσιν, οὐ τὰς τῶν ἀκολάστων οὐδὲ τὰς τοῦ σώματος ἡδονὰς ἀξιώσουσι παρεῖναι· αὗται γὰρ ἀδύνατα παρεῖναι καὶ τὸ εὐδαιμονεῖν ἀφανιοῦσιν· οὐδὲ μὴν τὰς περιχαρείας. Διὰ τί γάρ; ἀλλὰ τὰς συνούσας παρουσίᾳ ἀγαθῶν, οὐκ ἐν κινήσεσιν οὔσας, οὐδὲ γινομένας τοίνυν· ἤδη γὰρ τὰ

XII. At si voluptatem in hoc vita requirant, certe non intemperantium, neque omnino corporis voluptates exquirent. Fieri enim non potest, ut haec adsint, quin felicitatem contaminent: neque rursus affluentior laetitiae motus. Quam enim ob causam hujusmodi quaedam exposcent? sed eas duntaxat voluptates, quae ipsius boni praesentiam necessario comitantur, neque in motu sunt positae, neque

ἀγαθὰ πάρεστι, καὶ αὐτὸς αὐτῷ πάρεστι, καὶ ἕστηκε τὸ ἡδὺ καὶ τὸ ἵλεων τοῦτο. Ἵλεως δὲ ὁ σπουδαῖος ἀεὶ, καὶ κατάστασις ἥσυχος, καὶ ἀγαπητὴ ἡ διάθεσις, ἣν οὐδὲν τῶν λεγομένων κακῶν παρακινεῖ, εἴπερ σπουδαῖος. Εἰ δέ τις ἄλλο εἶδος ἡδονῆς περὶ τὴν σπουδαῖον βίον ζητεῖ, οὐ τὸν σπουδαῖον βίον ζητεῖ.

semper adveniunt. Jam enim adsunt bona, adest et ipse sibi, permanetque voluptas serenitasque ejus. Serenus autem semper est probus, statusque ejus quietus, affectioque sufficiens, quam nullum omnino eorum quae mala dicuntur, si modo probus ille sit, perturbat. Si quis autem aliam voluptatis speciem in ipsa probi vita requirit, non jam probam amplius exigit vitam.

Actum aeternum mentis et rationis non impedit externis.

IΓ'. Οὐδ' αἱ ἐνέργειαι δὲ διὰ τὰς τύχας ἐμποδίζοιντο ἄν, ἀλλὰ ἄλλαι ἂν κατ' ἄλλας γίγνοιντο τύχας. Πᾶσαι δὲ ὅμως καλαὶ, καὶ καλλίους ἴσως, ὅσῳ περιστατικαί. Αἱ δὲ κατὰ τὰς θεωρίας ἐνέργειαι, αἱ μὲν καθ' ἕκαστα, τάχ' ἂν οἷον ὃς ζητήσας ἂν καὶ σκεψάμενος προφέροι. Τὸ δὲ μέγιστον μάθημα πρόχειρον ἀεὶ καὶ μετ' αὐτοῦ· καὶ τοῦτο μᾶλλον, κἂν ἐν τῷ Φαλάριδος ταύρῳ λεγομένῳ ᾖ. Ὃ μάτην λέγεται ἡδὺ δὶς ἢ καὶ πολλάκις λεγόμενον. Ἐκεῖ μὲν γὰρ τὸ φθεγξάμενον τοῦτο αὐτό ἐστι, τὸ ἐν τῷ ἀλγεῖν ὑπάρχον· ἐνταῦθα δὲ τὸ μὲν ἀλγοῦν, ἄλλο· τὸ δὲ ἄλλο, ὃ συνὸν ἑαυτῷ, ἕως ἂν ἐξ ἀνάγκης συνῇ, οὐκ ἀπολείψεται τῆς τοῦ ἀγαθοῦ ὅλου θέας.

XIII. Neque vero actiones ejus ob fortunam prorsus impedientur, sed aliae potius in fortunis aliis erunt. Omnes autem honestae similiter, atque tunc forsan illae honestiores, quae circumstantia rite componunt. Actiones vero in contemplatione positae, si quae circa singula versantur, forsan tales erunt, quales cum ille jam quaesiverit et consideraverit, proferet. Sed maxima doctrina expedita semper est penes illum: idque magis, etiam si in Phalaridis tauro sit collocatus. Quod quidem stulte jucundum dicitur, bis terve pronuntiatum. Ibi enim, quod ita pronum nuntiat, hoc ipsum est, quod in cruciatu est positum: hic autem quod quidem dolet, aliud: hoc vero est aliud, quod secum habitans, quatenus ita secum necessario habitat, nunquam ab ipsa totius boni contemplatione deficiet.

Quid homo, quod homo beatus ab externo non impeditur. (*Ed. pr.* Homo est solus rationalis animus: homo beatus est animus, qui jam intellectus evaserit. Ideo, quae ad sensum pertinent, beatus nihili pendit.)

IΔ'. Τὸ δὲ μὴ συναμφότερον εἶναι τὸν ἄνθρωπον καὶ μάλιστα τὸν σπουδαῖον, μαρτυρεῖ καὶ ὁ χωρισμὸς ὁ ἀπὸ τοῦ σώματος καὶ ἡ τῶν λεγομένων ἀγαθῶν τοῦ σώματος καταφρόνησις. Τὸ δὲ καθόσον ἀξιοῦν τὸ ζῷον τὴν εὐδαιμονίαν εἶναι, γελοῖον, εὐζωΐας τῆς εὐδαιμονίας οὔσης, ἣ περὶ ψυχὴν συνίσταται, ἐνεργείας ταύτης οὔσης, καὶ ψυχῆς οὐ πάσης· οὐ γὰρ δὴ τῆς φυτικῆς, ἵν' ἂν καὶ ἐφήψατο σώματος· οὐ γὰρ δὴ τὸ εὐδαιμονεῖν τοῦτο ἦν σώματος μέγεθος καὶ εὐεξία· οὐδ' αὖ ἐν τῷ αἰσθάνεσθαι εὖ, ἐπεὶ καὶ κινδυνεύουσιν αἱ τούτων πλεονεξίαι βαρύνασαι πρὸς αὐτὰς φέρειν τὸν ἄνθρωπον. Ἀντισηκώσεως δὲ οἷον ἐπὶ θάτερα πρὸς τὰ ἄριστα γενομένης μινύθειν καὶ χείρω τὰ σώματα ποιεῖν, ἵνα δεικνύοιτο οὗτος ὁ ἄνθρωπος ἄλλος ὤν, ἢ τὰ ἔξω. Ὁ δὲ τῶν τῇδε ἄνθρωπος ἔστω καὶ καλὸς καὶ μέγας καὶ πλούσιος καὶ πάντων ἀνθρώπων ἄρχων, ὡς ἂν ὢν τοῦδε τοῦ τόπου, καὶ οὐ φθονητέον αὐτῷ τῶν τοιούτων ἠπατημένῳ. Περὶ δὲ σοφὸν ταῦτα ἴσως μὲν ἂν οὐδὲ τὴν ἀρχὴν γένοιτο, γενομένων δὲ ἐλαττώσει αὐτὸς, εἴπερ αὐτοῦ κήδεται, καὶ ἐλαττώσει μὲν καὶ μαρανεῖ ἀμελείᾳ τὰς τοῦ σώματος πλεονεξίας, ἀρχὰς δὲ ἀποθήσεται· σώματος δὲ ὑγίειαν φυλάττων οὐκ ἄπειρος νόσων εἶναι παντάπασι βουλήσεται, οὐδὲ μὴν οὐδὲ ἄπειρος εἶναι ἀλγηδόνων· ἀλλὰ καὶ μὴ γινομένων νέος ὢν μαθεῖν βουλήσεται, ἤδη δὲ ἐν γήρᾳ ὢν οὔτε ταύτας οὔτε ἡδονὰς ἐνοχλεῖν, οὐδέ τι τῶν τῇδε, οὔτε προσηνὲς οὔτε ἐναντίον, ἵνα μὴ πρὸς τὸ σῶμα βλέπῃ· γινόμενος δὲ ἐν ἀλγηδόσι τὴν πρὸς ταύτας αὐτῷ πεπορισμένην δύναμιν ἀντιτάξει, οὔτε προσθήκην ἐν ταῖς ἡδοναῖς καὶ ὑγιείαις καὶ ἀπονίαις πρὸς τὸ εὐδαιμονεῖν λαμβάνων, οὔτε ἀφαίρεσιν ἢ ἐλάττωσιν ταύτης ἐν τοῖς ἐναντίοις

XIV. Hominem vero praesertim probum non esse quiddam ex anima corporeque compositum, testatur etiam ipsa a corpore separatio contemptusque eorum quae bona corporis appellantur. Ridiculum autem foret, si quis dixerit felicitatem ad id quoque, quod in nobis est, animal pertinere. Quippe cum felicitas vita sit bona, quae quidem in anima ipsa consistit: cum hoc scilicet vita bona actus sit, neque tamen totius animae: non enim vegetalis, adeo ut et corpus attingat: non enim felicitas in magnitudine bonoque corporis habitu collocatur: neque rursus in perspicacia sensus: quandoquidem nimia corporis sensuumque prosperitas gravans animum hominem ad se detorquet. Decet autem vicissim compensatione et diversione quadam ad optimum potius conferente quodammodo corpus attenuare, ut appareat hominem ipsum ab externis esse diversum. Homo tamen ille ex eorum, qui inter nos sunt, numero esto et formosus et magnus et dives, hominum quoque omnium dominus, utpote qui regionis hujus civis habetur: neque illi ab his decepto est invidendum. Circa vero sapientem ipsum talia quaedam fortasse neque ab initio sunt: ac si adsint, comminuet ipse, si modo se ipsum colat, luxumque et dotes corporis per negligentiam atteret; deponet et principatus: praeterea sanitatem corporis ita curabit, ut morborum haud omnino imperitus esse desideret, similiter quoque dolorum: imo et nisi acciderint, in juventute volet discere, in senio vero neque his neque etiam voluptatibus perturbari volet: neque a re ulla corporea, sive jucunda sive molesta, ne videlicet ad corpus declinare cogatur. In doloribus vero positus praesentem sibi sufficientemque ad haec virtutem his opponet, atque ita se comparabit, ut neque in voluptatibus prosperaque valetudine et vacatione laborum beatiorem esse se censeat, neque in eorum oppositis minus existimet se bea-

τούτων. Τοῦ γὰρ ἐναντίου μὴ προστιθέντος τῷ αὐτῷ πῶς ἂν τὸ ἐναντίον ἀφαιροῖ;

bum. Cum enim priora illa felicitatem non augeant, certe neque eorum contraria minuant.

Homini beato nihil addi, nihil demi posse. (*Ed. pr.* Et qui bonum intelligibile possidet, nihil addi potest boni bonorum aliorum præsentia, nihil demi boni oppositione malorum.)

ΙΕ'. Ἀλλ' εἰ δύο εἶεν σοφοί, τῷ μὲν ἑτέρῳ παρείη ὅσα κατὰ φύσιν λέγεται, τῷ δὲ τἀναντία· ἴσον φήσομεν τὸ εὐδαιμονεῖν αὐτοῖς παρεῖναι; Φήσομεν, εἴπερ ἐπίσης σοφοί· εἰ δὲ καλὸς τὸ σῶμα ὁ ἕτερος, καὶ πάντα τὰ ἄλλα ὅσα μὴ πρὸς σοφίαν μηδὲ ὅλως πρὸς ἀρετὴν καὶ τοῦ ἀρίστου θέαν καὶ τὸ ἄριστον εἶναι, τί τοῦτο ἂν εἴη; ἐπεὶ οὐδ' αὐτὸς ὁ ταῦτα ἔχων σεμνυνεῖται, ὡς μᾶλλον εὐδαίμων τοῦ μὴ ἔχοντος. Οὐδὲ γὰρ ἂν πρὸς αὐλητικὸν τέλος ἡ τούτων πλεονεξία συμβάλλοιτο. Ἀλλὰ γὰρ θεωροῦμεν τὸν εὐδαίμονα μετὰ τῆς ἡμετέρας ἀσθενείας, φρικτὰ καὶ δεινὰ νομίζοντες, ἃ μὴ ἂν ὁ εὐδαίμων νομίσειεν· ἢ οὔπω οὔτε σοφὸς οὔτε εὐδαίμων εἴη, μὴ τὰς περὶ τούτων φαντασίας ἁπάσας ἀλλαξάμενος, καὶ οἷον ἄλλος παντάπασι γενόμενος, πιστεύσας ἑαυτῷ ὅτι μηδέν ποτε κακὸν ἕξει. Οὕτω γὰρ καὶ ἀδεὴς ἔσται περὶ πάντα· ἢ δειλαίνων περί τινα, οὐ τέλεος πρὸς ἀρετήν, ἀλλὰ ἥμισύς τις ἔσται. Ἐπεὶ καὶ τὸ ἀπροαίρετον αὐτῷ, καὶ τὸ γινόμενον πρὸ κρίσεως δέος, κἄν ποτε πρὸς ἄλλοις ἔχοντι γένηται, προσελθὼν ὁ σοφὸς ἀπώσεται, καὶ τὸν ἐν αὐτῷ κινηθέντα οἷον πρὸς λύπας παῖδα, καταπαύσει ἢ ἀπειλῇ, ἢ λόγῳ, ἀπειλῇ δὲ ἀπαθεῖ· οἷον εἰ ἐμβλέψαντος σεμνὸν μόνον παῖς ἐκπλαγείη· οὐ μὴν διὰ ταῦτα ἄφιλος οὐδὲ ἀγνώμων ὁ τοιοῦτος· τοιοῦτος γὰρ καὶ περὶ αὐτὸν καὶ ἐν τοῖς ἑαυτοῦ. Ἀποδιδοὺς οὖν ὅσα αὐτῷ καὶ τοῖς φίλοις, φίλος ἂν εἴη μάλιστα μετὰ τοῦ νοῦν ἔχειν.

XV. Quod si duo sapientes sint: quorum alter quidem habeat quæcumque naturæ consentanea judicantur, alter vero contraria: numquid pariter dicemus fore beatos? Dicemus utique: si modo æque sapientes sint. Nempe si alter pulchro sit corpore, ceteraque possideat omnia quæ neque ad sapientiam, neque omnino ad virtutem, neque ad ejus, quod optimum est, contemplationem, neque ad vitam optimam conferant, nescio quid plus ob hæc momenti reportet: quandoquidem neque etiam, qui talia possidet, gloriabitur, quasi eo, qui hæc non possidet, sit beatior. Quinetiam neque ad ipsum tibicinis finem horum copia conferret. At nos ex infirmitate nostra felices consideramus, gravia horribiliaque judicantes, quæ beatus ipse non judicat: alioquin nondum sapiens, nondum beatus erit, nisi prius ejusmodi imaginationis fallacias omnes a se fugaverit; et, quasi omnino jam factus alter, sibi ipsi confidat, tanquam nihil mali passuro. Hoc enim pacto in omnibus vivet intrepidus. Si quid vero metuat, nondum est virtute perfectus, sed dimidium duntaxat habere videbitur. Jam vero improvisos et qui ante judicium accidunt metus, si quando aliis intento acciderint, sapiens propulsare conabitur: atque conjunctum sibi sensum, quasi puerum dolore commotum, vel minis vel ratione compescet, comminatione, inquam, non perturbante: perinde ac si puer majorem quemdam reveritus statim coerceatur: neque tamen ob hæc vir talis ab amicitia erit et gratitudine alienus: talis enim est sibi ipsi atque suis. Cum igitur quæ et sibi, eadem amicis attribuat, amicus erit præcipuus, simulque mente vivet.

Vir sapiens, beatus futurus, solum se confert ad mentem: pendet ex deo: cetera vel contemnit, vel sine perturbatione gubernat.

ΙϚ'. Εἰ δέ τις μὴ ἐνταῦθα ἐν τῷ νῷ τούτῳ ἄρας θήσει τὸν σπουδαῖον, κατάγοι δὲ πρὸς τύχας, καὶ ταύτας φοβήσεται περὶ αὐτὸν γενέσθαι, οὔτε σπουδαῖον τηρήσει οἷον ἀξιοῦμεν εἶναι, ἀλλ' ἐπιεικῆ ἄνθρωπον καὶ μικτὸν ἐξ ἀγαθοῦ καὶ κακοῦ διδούς, μικτὸν βίον ἔκ τινος ἀγαθοῦ καὶ κακοῦ ἀποδώσει τῷ τοιούτῳ, καὶ οὐ ῥᾴδιον γενέσθαι, ὅς, εἰ καὶ γένοιτο, οὐκ ἂν ὀνομάζεσθαι εὐδαίμων εἴη ἄξιος, οὐκ ἔχων τὸ μέγα οὔτε ἐν ἀξίᾳ σοφίας, οὔτε ἐν καθαρότητι ἀγαθοῦ· οὐκ ἔστιν οὖν ἐν τῷ κοινῷ εὐδαιμόνως ζῆν. Ὀρθῶς γὰρ καὶ Πλάτων ἐκεῖθεν [ἄνωθεν] τὸ ἀγαθὸν ἀξιοῖ λαμβάνειν, καὶ πρὸς ἐκεῖνο βλέπειν τὸν μέλλοντα σοφὸν καὶ εὐδαίμονα ἔσεσθαι καὶ ἐκείνῳ ὁμοιοῦσθαι καὶ κατ' ἐκεῖνο ζῆν. Τοῦτο οὖν δεῖ ἔχειν μόνον πρὸς τὸ τέλος· τὰ δ' ἄλλα, ὡς ἂν καὶ τόπους μεταβάλλοι, οὐκ ἐκ τῶν τόπων προσθήκην πρὸς τὸ εὐδαιμονεῖν ἔχων, ἀλλ' ὡς στοχαζόμενος καὶ τῶν ἄλλων περικεχυμένων αὐτόν, οἷον εἰ ὡδὶ κατακείσεται, εἰ ὡδί, διδοὺς μὲν τούτῳ, ὅσα πρὸς τὴν χρείαν καὶ δύναται, αὐτὸς δὲ ὢν ἄλλος, οὐ κωλυόμενος καὶ τοῦτον ἀφεῖναι, καὶ ἀφήσων δὲ ἐν καιρῷ φύσεως· κύριος δὲ καὶ αὐτὸς ὢν τοῦ βουλεύσασθαι περὶ

XVI. Si quis autem probum virum in hac excelsa mente non constituerit, sed fortunæ ictibus subjugaverit, ejusque ab his timuerit, is certe non qualem nos esse oportere censemus, probum virum adducet in medium, sed mediocrem quemdam atque ex bono maloque permixtum: mediam quoque vitam agentem ex bono simul et malo compositam. Qualem utique neque reperire facile est: neque si reperiatur, erit felicis nomine dignus: quippe cum nihil habeat magnum, vel ad sapientiæ excellentiam, vel ad boni pertinens puritatem. Non est igitur felicitas in vita conjuncta. Recte enim Plato petendum desuper summum bonum judicat: ad ipsumque et respiciendum, qui sapiens sit beatusque futurus: studendumque ad similitudinem illius accedere illiusque vita vivere. Id ergo solum ad finis ipsius perfectionem est habendum. Cetera vero vir sapiens quasi quasdam loci mutationes existimabit, nullum ex locis ad felicitatem suscipiens incrementum, sed quasi conjectans alia insuper, quæ circumstant: velut si vel hic, et ita, vel ibi, et aliter disponantur: attribuens quidem huic, quodcunque necessitas postulat et facultas præstat: ipse vero vivens alius, non impeditus conjunctum sibi dimittere: naturæ quoque suo tempore concessurus, idque facile dimissurus: potest quoque de hoc pro arbitrio con

τούτου· ὥστε αὐτῷ τὰ ἔργα τὰ μὲν πρὸς εὐδαιμονίαν συντείνοντα ἔσται, τὰ δὲ οὐ τοῦ τέλους χάριν, καὶ ὅλως οὐκ αὐτοῦ, ἀλλὰ τοῦ προσεζευγμένου, οὗ φροντιεῖ καὶ ἀνέξεται, ἕως δυνατόν· οἷον εἰ μουσικὸς λύρας ἕως οἷόν τε χρῆσθαι· εἰ δὲ μή, ἄλλην ἀλλάξεται, ἢ ἀφήσει τὰς λύρας χρήσεις, καὶ τοῦ εἰς λύραν ἐνεργεῖν ἀφέξεται, ἄλλο ἔργον ἄνευ λύρας ἔχων, καὶ κειμένην πλησίον περιόψεται, ᾄδων ἄνευ ὀργάνων· καὶ οὐ μάτην αὐτῷ ἐξ ἀρχῆς τὸ ὄργανον ἐδόθη· ἐχρήσατο γὰρ αὐτῷ ἤδη πολλάκις.

sultura. Quamobrem hujus officia partim quidem ad felicitatem conducent; partim vero neque hujus, neque omnino sui ipsius gratia suscepta erunt, sed ejus duntaxat, quod est adjunctum. quod quidem curabit, quamdiu poterit atque sustinebit: quemadmodum si lyram musicus, quamdiu uti valeat, curet: cum vero inutilis sit, vel mutet vel usum omnino lyrae dimittat, actionibusque circa lyram prorsus abstineat, officium ipse absque lyra aliud habens: itaque jacentem prope despiciat lyram, ipse absque instrumenti ministerio cantans; neque tamen huic ab initio quidem instrumentum frustra tributum fuit, quippe cum saepe jam ipso fuerit usus

# ΕΝΝΕΑΔΟΣ Α

## ΛΟΓΟΣ Ε.

### ΠΕΡΙ ΤΟΥ ΕΙ ΤΟ ΕΥΔΑΙΜΟΝΕΙΝ ΕΠΙΔΟΣΙΝ ΧΡΟΝΩΙ ΛΑΜΒΑΝΕΙ.

(43, 44.)

Α'. Εἰ τὸ εὐδαιμονεῖν ἐπίδοσιν τῷ χρόνῳ λαμβάνει, τοῦ εὐδαιμονεῖν ἀεὶ κατὰ τὸ ἐνεστὼς λαμβανομένου; οὐδὲ γὰρ ἡ μνήμη τοῦ εὐδαιμονῆσαι ποιοῖ ἄν τι· οὐδ' ἐν τῷ λέγειν, ἀλλ' ἐν τῷ διακεῖσθαί πως τὸ εὐδαιμονεῖν· ἡ δὲ διάθεσις ἐν τῷ παρεῖναι καὶ ἡ ἐνέργεια τῆς ζωῆς.

Β'. Εἰ δ' ὅτι ἐφιέμεθα ἀεὶ τοῦ ζῆν καὶ τοῦ ἐνεργεῖν τὸ τυγχάνειν τοῦ τοιούτου εὐδαιμονεῖν λέγοι μᾶλλον· πρῶτον μὲν οὕτω καὶ ἡ αὔριον εὐδαιμονία μείζων ἔσται, καὶ ἡ ἑξῆς ἀεὶ τῆς προτέρας, καὶ οὐκέτι μετρηθήσεται τὸ εὐδαιμονεῖν τῇ ἀρετῇ. Ἔπειτα καὶ οἱ θεοὶ νῦν μᾶλλον εὐδαιμονήσουσιν ἢ πρότερον, καὶ οὔπω τέλεον, καὶ οὐδέποτε τέλεον· ἔπειτα καὶ ἡ ἔφεσις λαβοῦσα τὴν τεῦξιν τὸ παρὸν εἴληφε, καὶ ἀεὶ τὸ παρόν, καὶ ζητεῖ, ἕως ἂν ᾖ, τὸ εὐδαιμονεῖν ἔχειν. Ἡ δὲ ἔφεσις τοῦ ζῆν τὸ εἶναι ζητοῦσα τοῦ παρόντος ἂν εἴη, εἰ τὸ εἶναι ἐν τῷ παρόντι. Εἰ δὲ τὸ μέλλον καὶ τὸ ἐφεξῆς θέλει, ὃ ἔχει, θέλει καὶ ὅ ἐστιν, οὐχ ὃ παρελήλυθεν, οὐδ' ὃ μέλλει, ἀλλ' ὃ ἤδη ἐστί, τοῦτ' εἶναι· οὐ τὸ εἰσαεὶ ζητοῦσα, ἀλλὰ τὸ παρὸν ἤδη, εἶναι ἤδη.

Γ'. Τί οὖν τὸ πλείονα χρόνον εὐδαιμονῆσαι, καὶ πλείονα χρόνον ἰδεῖν τοῖς ὄμμασι τὸ αὐτό; Εἰ μὲν γὰρ ἐν τῷ πλείονι τὸ ἀκριβέστερον εἶδε, πλέον ἄν τι ὁ χρόνος αὐτῷ εἰργάσατο· εἰ δὲ ὁμοίως διὰ παντὸς εἶδε, τὸ ἴσον, καὶ ὁ ἅπαξ θεασάμενος ἔχει.

Δ'. Ἀλλὰ πλείονα θάτερος ἥσθη χρόνον. Ἀλλὰ τοῦτο οὐκ ἂν ὀρθῶς ἔχοι ἀριθμεῖν εἰς τὸ εὐδαιμονεῖν· εἰ δὲ τὴν ἡδονὴν λέγει τις τὴν ἐνέργειαν τὴν ἀνεμπόδιστον, τὸ αὐτὸ τῷ ζητουμένῳ λέγοι. Καὶ ἡ ἡδονὴ δὲ ἡ πλείων ἀεὶ τὸ παρὸν μόνον ἔχει· τὸ δὲ παρεληλυθὸς αὐτῆς οἴχεται.

Ε'. Τί οὖν; εἰ ὁ μὲν ἐξ ἀρχῆς εὐδαιμονήσας εἰς τέλος, ὁ δὲ τὸν ὕστερον χρόνον, ὁ δὲ πρότερον εὐδαιμονήσας μετέβαλεν, ἔχουσι τὸ ἴσον; Ἢ ἐνταῦθα ἡ παραβολὴ οὐκ εὐδαιμονούντων γεγένηται πάντων, ἀλλὰ μὴ εὐδαιμονούντων, ὅτε μὴ εὐδαιμόνουν, πρὸς εὐδαιμονοῦντα. Εἴ τι οὖν πλέον ἔχοι, τοῦτο ἔχει ὅσον ὁ εὐδαίμων πρὸς οὐκ εὐδαίμονας, ᾧ καὶ συμβαίνει πλεονεκτεῖν αὐτοὺς τῷ παρόντι.

Ϛ'. Τί οὖν ὁ κακοδαίμων, οὐ μᾶλλον κακοδαίμων τῷ πλείονι; καὶ τὰ ἄλλα δὲ ὅσα δυσχερῆ οὐκ ἐν τῷ πλείονι χρόνῳ πλείω τὴν συμφορὰν δίδωσιν, οἷον ὀδύναι πολυχρόνιοι καὶ λῦπαι καὶ πάντα τὰ ταύτου τοῦ τύπου; ἀλλ' εἰ ταῦτα οὕτω τῷ χρόνῳ τὸ κακὸν ἐπαύξει, διὰ τί οὐ καὶ τὰ ἐναντία καὶ τὸ εὐδαιμονεῖν ὡσαύτως; ἢ ἐπὶ μὲν τῶν λυπῶν καὶ ὀδυνῶν [illegible]

# ENNEADIS PRIMÆ

## LIBER V.

### UTRUM BEATITUDO TEMPORE SUSCIPIAT INCREMENTUM.

[81—88.]

*Quæstio I.* Quærendum est, numquid felicitas tempore suscipiat incrementum, cum beatum esse semper secundum præsens accipiatur? Profecto neque felicitatis præteritæ recordatio momenti quicquam habet: neque in dicendo, sed in affectione quadam beatitudo consistit. Affectio vero in qualitate præsenti posita est, actio quoque vitæ.

*Quæstio II.* At si quis, ex eo quod vivere atque agere semper appetimus, id assequi felicitatem potius esse dicat, sic est respondendum. Primo quidem, si ita sit, felicitas crastina major erit, et quæ deinceps, semper antecedente major: neque felicitatem virtus ipsa ulterius metietur. Deinde dii quoque feliciores nunc erunt, quam consueverint: nequedum perfecta felicitas erit, neque esse perfecta poterit unquam. Præterea appetitus voto potitus præsens aliquid est adeptus, semperque ad ipsum præsens admittitur: et quamdiu est, ita semper esse in felicitate requirit. Appetitio vero vivendi esse perquirens præsens quiddam procul dubio quærit: siquidem esse in præsenti est positum. Quod si futurum, et quod deinceps sequitur, appetat, quod habet jam, qualeve est, desiderat: non quod præteriit, neque quod est futurum, imo quod jam est, id exsistere: non sempiternam protractionem sive præcessionem quærens, sed, quod jam præsens adest, id adesse.

*Quæstio III.* Quid ergo de illo dicemus, qui plurimum tempus vixit felix, idemque spectaculum diutissime est intuitus? Profecto, si longiori in tempore perspicacius vidit, plus aliquid ipsi longitudo temporis attulit: sin autem universo in tempore vidit similiter, certe nihil proficit, et, qui semel est intuitus, æque reportat.

*Quæstio IV.* At dixerit quispiam alterum esse diutius oblectatum. Sed hoc in felicitate annumerare non licet: nisi forte quis voluptatem nominet actionem intelligentiæ expeditam. Hic enim idem, quod nos quærimus, dixerit. Proinde voluptas longior semper præsens habet solum: quod autem ex ea præteritum dicitur, jam prorsus evanuit.

*Quæstio V.* Ceterum quidnam dicemus, si alius quidem ab initio ad finem usque beate vixit, alius autem in posteriori tantum? alius denique, olim felix, jam felix esse desierit? numquid pariter esse felices? Profecto hujusmodi comparatio non inter eos, qui omnes felices sint, exhibitur. Sed in ipsa quidem non felices, scilicet quando non sunt [ eos, erant ] felices, cum felici aliquo conferuntur. Si quid ergo plus possidet, id certe possidet, quantum felix adversus homines non felices: cui quidem id contigit, ut præsenti [ tempore ] quodam alios superaret.

*Quæstio VI.* Quid ergo? miser nonne longiore tempore fit miserior? Et alia quæcunque molesta nonne tempore longiora majorem afferunt calamitatem: velut angustiæ molestiæque diuturnæ ac cetera generis ejusdem? Quod si hæc ita tempore malum augeant, cur non et opposita augent quoque felicitatem? Fortasse vero circa molestias et an[illegible] licet dicere augmentum tempore fieri, ut in mor-

προσθήκην ὁ χρόνος δίδωσιν· οἷον τὸ ἐπιμένειν τὴν νόσον· ἕξις γὰρ γίνεται, καὶ κακοῦται μᾶλλον τῷ χρόνῳ τὸ σῶμα· ἐπεὶ εἴγε τὸ αὐτὸ μένοι καὶ μὴ μείζων ἡ βλάβη, καὶ ἐνταῦθα τὸ παρὸν ἀεὶ τὸ λυπηρὸν ἔσται, εἰ μὴ τὸ παρεληλυθὸς προσαριθμοῖ, ἀφορῶν εἰς τὸ γενόμενον καὶ μένον, ἐπί τε τῆς κακοδαίμονος ἕξεως τὸ κακὸν εἰς τὸν πλείονα χρόνον ἐπιτείνεσθαι, αὐξομένης καὶ τῆς κακίας τῷ ἐμμόνῳ. Τῇ γοῦν προσθήκῃ τοῦ μᾶλλον οὐ τῷ πλείονι ἴσως τὸ μᾶλλον κακοδαιμονεῖν γίνεται. Τὸ δὲ πλεῖον ἴσον οὐχ ἅμα ἐστὶν, οὐδὲ δὴ πλεῖον ὅλως λεκτέον τὸ μηκέτι ὂν τῷ ὄντι συναριθμοῦντα. Τὸ δὲ τῆς εὐδαιμονίας ὅρον τε καὶ πέρας ἔχει καὶ ταὐτὸν ἀεί. Εἰ δέ τις καὶ ἐνταῦθα ἐπίδοσις παρὰ τὸ πλείονα χρόνον, ὥστε μᾶλλον εὐδαιμονεῖν εἰς ἀρετὴν ἐπιδιδόντα μείζονα, οὐ τὴν πολυετῆ εὐδαιμονίαν ἀριθμῶν ἐπαινεῖ, ἀλλὰ τὴν μᾶλλον γενομένην τότε, ὅτε μᾶλλον ἐστίν.

Ζ'. Ἀλλὰ διὰ τί, εἰ τὸ παρὸν θεωρεῖν δεῖ μόνον, καὶ μὴ συναριθμεῖν τῷ γενομένῳ, οὐκ ἐπὶ τοῦ χρόνου τὸ αὐτὸ ποιοῦμεν, ἀλλὰ καὶ τὸν παρεληλυθότα τῷ παρόντι συναριθμοῦντες πλείω λέγομεν; διὰ τί οὖν οὐχ, ὅσος ὁ χρόνος, τοσαύτην καὶ τὴν εὐδαιμονίαν ἐροῦμεν; καὶ διαιροῖμεν ἂν κατὰ τὰς τοῦ χρόνου διαιρέσεις καὶ τὴν εὐδαιμονίαν. Καὶ γὰρ αὖ τῷ παρόντι μετροῦντες ἀδιαίρετον αὐτὴν ποιήσομεν. Ἢ τὸν μὲν χρόνον ἀριθμεῖν καὶ μηκέτι ὄντα οὐκ ἄτοπον, ἐπείπερ καὶ τῶν γενομένων μὲν, μηκέτι δὲ ὄντων, ἀριθμὸν ἂν ποιησαίμεθα, οἷον τῶν τετελευτηκότων. Εὐδαιμονίαν δὲ μηκέτι οὖσαν παρεῖναι λέγειν τῆς παρουσίας πλείονα, ἄτοπον· τὸ μὲν γὰρ εὐδαιμονεῖν συμβεβηκέναι ἀξιοῖ. Ὁ δὲ χρόνος ὁ πλείων παρὰ τὸν παρόντα, τὸ μηκέτι εἶναι. Ὅλως δὲ τοῦ χρόνου τὸ πλέον σκέδασιν βούλεται ἑνός τινος ἐν τῷ παρόντι ὄντος. Διὸ καὶ εἰκὼν αἰῶνος εἰκότως λέγεται, ἀφανίζειν βουλομένη ἐν τῷ σκιδναμένῳ αὐτῆς τὸ ἐκείνου μένον. Ὅθεν κἂν ἀπὸ τοῦ αἰῶνος ἀφέληται τὸ ἐν ἐκείνῳ μεῖναν [ἂν], καὶ αὑτῆς ποιήσηται, ἀπώλεσεν αὐτὸ, σωζόμενον τέως ἐκείνῳ τρόπον τινὰ, ἀπολόμενον δὲ ἐν αὐτῇ, εἰ πᾶν γένοιτο. Εἴπερ οὖν τὸ εὐδαιμονεῖν κατὰ ζωὴν ἀγαθὴν, δηλονότι κατὰ τὴν τοῦ ὄντος αὐτὴν θετέον ζωὴν, (αὕτη γὰρ ἀρίστη,) οὐκ ἄρα ἀριθμητέα χρόνῳ, ἀλλ' αἰῶνι· τοῦτο δὲ οὔτε πλέον, οὔτε ἔλαττον, οὔτε μήκει τινὶ, ἀλλὰ τὸ τοῦτο, καὶ τὸ ἀδιάστατον, καὶ τὸ οὐ χρονικὸν εἶναι. Οὐ συναπτέον τοίνυν τὸ ὂν τῷ μὴ ὄντι, οὐδὲ τῷ αἰῶνι τὸν χρόνον, οὐδὲ τὸ χρονικὸν δὲ ἀεὶ τῷ αἰῶνι, οὐδὲ παρεκτατέον τὸν ἀδιάστατον, ἀλλὰ πᾶν ὅλον ληπτέον, εἴ ποτε λαμβάνοις· λαμβάνων, οὐ τοῦ χρόνου τὸ ἀδιαίρετον, ἀλλὰ τοῦ αἰῶνος τὴν ζωὴν, τὴν οὐκ ἐκ πολλῶν χρόνων, ἀλλὰ τὴν ἐκ παντὸς χρόνου πᾶσαν ὁμοῦ.

Η'. Εἰ δέ τις λέγοι τὴν μνήμην τῶν παρεληλυθότων ἐν τῷ ἐνεστηκότι μένουσαν παρέχεσθαι τὸ πλέον τῷ πλείονα χρόνον ἐν τῷ εὐδαιμονεῖν γεγενημένῳ, τί ἂν τὸ τῆς μνήμης λέγοι; ἢ γὰρ φρονήσεως μνήμη τῆς πρόσθεν γεγενημένης, ὥστε φρονιμώτερον ἂν λέγοι, καὶ

his. Morbus enim efficitur habitus, corpusque ipsum tempore magis inficitur : alioquin si maneret idem, neque majus accideret detrimentum, tum hic quoque præsens ipsum semper esset, quod molestum, nisi quis præteritum annumerarit, respiciens videlicet in id quod actum est, atque quod manet : adeo ut in habitu quoque miseri malum in tempus productius augeatur, adaucta videlicet pravitate in eo quod permanet, quatenus permanet. Quapropter miseria major non productiore tempore, imo vero majoris gradus adjunctione provenire videtur. Plus autem ipsum simul forsitan non existit, neque omnino plus est dicendum, dum, quod non est, et quod est, simul annumeratur. Ipsa vero felicitatis natura certum quendam semperque eundem possidet terminum. Jam vero si et hic ex ipsa temporis longitudine profectus adveniat, adeo ut virtute proficiendo felicitate quoque proficiatur, non diuturnam quasi multos per annos dinumerantes probamus felicitatem, imo eam, quæ magis tunc facta dicitur, quando magis existit.

*Quæstio VII.* Ceterum cur, si præsens solum spectare oportet, neque connumerare peracto, non in tempore quoque idem facimus, sed præteritum præsenti annumerantes plus temporis spatium appellamus? Cur non igitur, quantum tempus est, tantam quoque esse dicimus felicitatem? Fortasse enim secundum temporis ipsius divisiones beatitudinem partiri licet. Nam si solo præsenti metiamur, individuam faciemus. Forsan vero haud absurdum fuerit numerare tempus etiam nondum existens; quippe cum eorum etiam, quæ præteriere, neque sunt amplius, numerum computamus, ceu numerum defunctorum. Felicitatem vero jam præteritam nec amplius existentem si quis velut præsentem præsenti plurem dixerit, aberrabit : beatitudinem namque contingisse censeret. Tempus autem longius ultra præsens nihil aliud quam nondum esse dicendum est. Omnino autem temporis intervallum productum longius dispersionem alicujus unius, quod in præsenti est, quodammodo machinatur. Quapropter recte dicitur æternitatis imago, dispersione sua id, quod in æternitate permanens est, disperdere cupiens. Ideoque si ab æternitate permanens ipsum tollatur fiatque temporis, protinus evanescet, eatenus videlicet salvum, quatenus quodammodo in æternitate servatur : evanescens vero, si totum fiat in tempore. Si ergo felicitas in vita bona consistit, certe vita ipsa bona in vita existentis sive entis ipsius est collocanda : hæc enim optima est : non ergo tempore numeranda est, sed æternitate censenda. Id vero neque plus est neque minus : neque longitudine quadam constat, sed in eo quod et hoc ipsum et indistans et præter tempus existit. Quamobrem neque existens non existenti in unum decet conjungere, neque æternitati tempus, neque quod in tempore sempiternum æternitati, neque quod indistans in diversa protendere. Imo id omne si quando acceperis, totum accipiendum. Quando, inquam, acceperis non individuum quiddam temporis proprium, sed æternitatis vitam, non ex temporibus multis conceptam, sed ab universo seculo simul totam.

*Quæstio VIII.* Si quis autem dixerit, præteritorum memoriam in præsenti manentem aliquid plus afferre ei viro qui plus temporis in beatitudine vixerit : interrogandus erit, quidnam de memoria ipsa significet? Vel enim sapientiæ memoria jam præteritæ hic significatur : quapropter sapientiorem hunc appellaret, neque servaret propositum.

οὐκ ἂν τηροῖ τὴν ὑπόθεσιν· ἢ τῆς ἡδονῆς τὴν μνήμην, ὥσπερ πολλῆς περιχαρείας δεομένου τοῦ εὐδαίμονος καὶ οὐκ ἀρκουμένου τῇ παρούσῃ. Καίτοι, τί ἂν ἡδὺ ἡ μνήμη τοῦ ἡδέος ἔχοι; ὥσπερ ἂν, εἰ μνημονεύοι τις, ὅτι ἐχθὲς ἐπὶ ὄψῳ ἥσθη, ἢ εἰς δέκατον ἔτος, ἔτι ἂν εἴη γελοιότερος· τὸ δὲ τῆς φρονήσεως, ὅτι πέρυσιν ἐφρόνουν.

Θʹ. Εἰ δὲ τῶν καλῶν εἴη ἡ μνήμη, πῶς οὐκ ἐνταῦθα λέγοιτο ἄν τι; ἀλλὰ ἀνθρώπου ἐστὶ τοῦτο ἐλλείποντος τοῖς καλοῖς ἐν τῷ παρόντι, καὶ τῷ μὴ ἔχειν νυνὶ, ζητοῦντος τὴν μνήμην τῶν γεγενημένων.

Ιʹ. Ἀλλ' ὁ πολὺς χρόνος πολλὰς ποιεῖ καλὰς πράξεις, ὧν ἄμοιρος ὁ πρὸς ὀλίγον εὐδαίμων· εἰ δεῖ λέγειν ὅλως εὐδαίμονα τὸν οὐ διὰ πολλῶν τῶν καλῶν· ἢ δὲ ἐκ πολλῶν τὸ εὐδαιμονεῖν καὶ χρόνων καὶ πράξεων λέγει, ἐκ τῶν μηκέτι ὄντων, ἀλλ' ἐκ τῶν παρεληλυθότων· καὶ ἑνός τινος τοῦ παρόντος τὸ εὐδαιμονεῖν συνίστησιν. Διὸ κατὰ τὸ παρὸν ἐθέμεθα τὸ εὐδαιμονεῖν· εἶτα ἐζητοῦμεν, εἰ μᾶλλον τὸ ἐν πλείονι εὐδαιμονῆσαι μᾶλλον ἐστί. Τοῦτο οὖν ζητητέον, εἰ ταῖς πράξεσι ταῖς πλείοσι πλεονεκτεῖ τὸ ἐν πολλῷ χρόνῳ εὐδαιμονεῖν. Πρῶτον μὲν οὖν ἔστι καὶ μὴ ἐν πράξεσι γενόμενον εὐδαιμονεῖν καὶ οὐκ ἔλαττον, ἀλλὰ μᾶλλον τοῦ πεπραγότος· ἔπειτα αἱ πράξεις οὐκ ἐξ αὑτῶν τὸ εὖ διδόασιν, ἀλλ' αἱ διαθέσεις καὶ τὰς πράξεις καλὰς ποιοῦσι. Καρποῦταί τε ὁ φρόνιμος τὸ ἀγαθὸν καὶ πράττων, οὐχ ὅτι πράττει, οὐδ' ἐκ τῶν συμβαινόντων, ἀλλ' ἐξ οὗ ἔχει. Ἐπεὶ καὶ ἡ σωτηρία τῆς πατρίδος γένοιτο ἂν καὶ παρὰ φαύλου, καὶ τὸ ἐπὶ σωτηρίᾳ τῆς πατρίδος ἡδὺ καὶ ἄλλου πράξαντος γένοιτο ἂν αὐτῷ. Οὐ τοίνυν τοῦτό ἐστι τὸ ποιοῦν τὴν τοῦ εὐδαίμονος ἡδονὴν, ἀλλ' ἡ ἕξις καὶ τὴν εὐδαιμονίαν εἴ τι ἡδὺ δι' αὐτὴν ποιεῖ. Τὸ δὲ ἐν ταῖς πράξεσι τὸ εὐδαιμονεῖν τίθεσθαι ἐν τοῖς ἔξω τῆς ἀρετῆς καὶ τῆς ψυχῆς ἐστι τιθέντος· ἡ γὰρ ἐνέργεια τῆς ψυχῆς ἐν τῷ φρονῆσαι καὶ ἐν ἑαυτῇ ὡδὶ ἐνεργῆσαι· καὶ τοῦτο τὸ εὐδαιμόνως.

Vel memoria voluptatis, perinde ac si oblectationibus multis beatus indigeat, neque præsenti gaudio sit contentus. Præterea quidnam jucunditatis affert voluptatis actæ memoria? ceu si quis se obsonium heri cum voluptate gustasse meminerit: ac si ante decennium, magis adhuc deridendus erit: similiter quoque si anno præterito sapientiam se habuisse meminerit.

*Quæstio IX.* Sin autem bonorum honestorumve sit recordatio, cur non aliquid conferat? At istud hominis est bonis honestisve in præsente carentis: atque propterea quod nunc minime habeat, quærentis eorum, quæ præteriere, memoriam.

*Quæstio X.* At enim longum tempus multis præclarisque actionibus præbet occasionem: qua quidem privatus erit, qui felix brevi tempore vixerit. Ad hæc utique dicendum est omnino felicem non ob præclaras actiones atque multas: alioquin quisquis felicitatem ex multis tam temporibus quam actionibus dicat accumulandam, ex his, quæ non amplius sunt, sed ex transactis, atque uno quodam præsente felicitatem conservabit. Quamobrem in præsenti quodam beatitudinem collocavimus. Deinde quæsivimus num id quod magis dicitur, in quodam, quod plus est, consistat, atque ita major quoque contingat felicitas? Hoc ergo quærendum: numquid temporis multi felicitas in eo duntaxat excellat, quod actionibus multis abundet? Primo quidem fieri potest ut qui actionibus nullis incumbit sit beatus, neque minus quidem, imo vero magis eo qui actionibus fuerit occupatus: deinde actiones non ex se ipsis bonum afferunt, sed affectiones ipsæ actiones efficiunt bonas. Jam vero sapiens bono potitur etiam agens, non quia videlicet agat, neque ex his quæ accidunt, sed ex eo quod possidet. Quandoquidem et salus patriæ potest vel a pravo aliquo provenire. Ipsa quinetiam in patria servanda jucunditas etiam aliud agente [*corr.* alio agente ab eo (sc. pravo)] percipi potest. Itaque non hoc est, quod felicis efficit voluptatem: imo vero habitus ipse et voluptatem ejusmodi parit, et præstat felicitatem. Ac si quid contingit jucundum, per se ipsum facit ejusmodi. In actionibus autem externis felicitatem ponere, nihil aliud est, quam in his, quæ extra virtutem sunt et extra animam, collocare. Ipsa enim propria animi actio consistit in sapientia, adeo ut in se ipsa sic agat: idque est feliciter agere.

# ΕΝΝΕΑΔΟΣ Α

## ΛΟΓΟΣ Ϛ.

### ΠΕΡΙ ΤΟΥ ΚΑΛΟΥ.

(50, 51.)

Pulchritudo est in his quae videntur, quae audiuntur, quae cogitantur, neque est proportio.

Α΄. Τὸ καλὸν ἔστι μὲν ἐν ὄψει πλεῖστον· ἔστι δὲ ἐν ἀκοαῖς κατά τε λόγων συνθέσεις, ἔστι δὲ καὶ ἐν μουσικῇ καὶ ἁπάσῃ· καὶ γὰρ μέλη καὶ ῥυθμοί εἰσι καλοί. Ἔστι δὲ καὶ προϊοῦσι πρὸς τὸ ἄνω ἀπὸ τῆς αἰσθήσεως, καὶ ἐπιτηδεύματα καλὰ, καὶ πράξεις, καὶ ἕξεις, καὶ ἐπιστῆμαί τε καὶ τὸ τῶν ἀρετῶν κάλλος· εἰ δέ τι καὶ πρὸ τούτων, αὐτὸ δείξει. Τί οὖν δὴ τὸ πεποιηκὸς καὶ τὰ σώματα καλὰ φαντάζεσθαι, καὶ τὴν ἀκοὴν ἐπινεύειν ταῖς φωναῖς ὡς καλαῖς, καὶ ὅσα ἐφεξῆς ψυχῆς ἔχεται πῶς ποτε πάντα καλά; καὶ ἆρά γε ἑνὶ καὶ τῷ αὐτῷ καλὰ τὰ πάντα, ἢ ἄλλο μὲν ἐν σώματι τὸ κάλλος, ἄλλο δὲ ἐν ἄλλῳ; καὶ τίνα ποτὲ ταῦτα, ἢ τοῦτο; τὰ μὲν γὰρ οὐ παρ' αὐτῶν τῶν ὑποκειμένων καλὰ, οἷον τὰ σώματα, ἀλλὰ μεθέξει· τὰ δὲ κάλλη αὐτὰ, ὥσπερ ἀρετῆς ἡ φύσις. Σώματα μὲν γὰρ τὰ αὐτὰ ὁτὲ μὲν καλὰ, ὁτὲ δὲ οὐ καλὰ φαίνεται, ὡς ἄλλου ὄντος τοῦ σώματα εἶναι, ἄλλου δὲ τοῦ καλά. Τί οὖν ἐστι τοῦτο τὸ παρὸν τοῖς σώμασι, πρῶτον γὰρ περὶ τούτου σκεπτέον. Τί οὖν ἐστιν, ὃ κινεῖ τὰς ὄψεις τῶν θεωμένων, καὶ ἐπιστρέφει πρὸς αὐτὸ, καὶ ἕλκει, καὶ εὐφραίνεσθαι τῇ θέᾳ ποιεῖ; τοῦτο γὰρ εὑρόντες, τάχ' ἂν ἐπιβάθρᾳ αὐτῷ χρώμενοι καὶ τὰ ἄλλα θεασαίμεθα. Λέγεται μὲν δὴ παρὰ πάντων, ὡς εἰπεῖν, ὡς συμμετρία τῶν μερῶν πρὸς ἄλληλα καὶ πρὸς τὸ ὅλον, τό τε τῆς εὐχροίας προστεθὲν, τὸ πρὸς τὴν ὄψιν κάλλος ποιεῖ. Καὶ ἔστιν αὐτοῖς καὶ ὅλως τοῖς ἄλλοις πᾶσι, τὸ καλοῖς εἶναι, τὸ συμμέτροις καὶ μεμετρημένοις ὑπάρχειν· οἷς [δὲ] ἁπλοῦν οὐδὲν, μόνον δὲ τὸ σύνθετον ἐξ ἀνάγκης καλὸν ὑπάρξει, τό τε ὅλον ἔσται καλὸν αὐτοῖς. Τὰ δὲ μέρη ἕκαστα οὐχ ἕξει παρ' ἑαυτῶν τὸ καλὰ εἶναι, πρὸς δὲ τὸ ὅλον συντελοῦντα, ἵνα καλὸν ᾖ. Καίτοι δεῖ, εἴπερ ὅλον, καὶ τὰ μέρη καλὰ εἶναι· οὐ γὰρ δὴ ἐξ αἰσχρῶν, ἀλλὰ πάντα κατειληφέναι τὸ κάλλος. Τά τε χρώματα αὐτοῖς τὰ καλὰ, οἷον καὶ τὸ τοῦ ἡλίου φῶς, ἁπλᾶ ὄντα, καὶ οὐκ ἐκ συμμετρίας ἔχοντα τὸ κάλλος, ἔξω ἔσται τοῦ καλὰ εἶναι. Χρυσός τε δὴ πῶς καλόν; καὶ νυκτὸς ἡ ἀστραπὴ, ἢ ἄστρα ὁρᾶσθαι τῷ καλῷ; Ἐπί τε τῶν φωνῶν ὡσαύτως τὸ ἁπλοῦν οἰχήσεται· καίτοι ἑκάστου φθόγγου πολλαχῇ τῶν ἐν τῷ ὅλῳ καλῶν, καλοῦ μὲν καὶ αὐτοῦ ὄντος. Ὅταν δὲ δὴ, καὶ τῆς αὐτῆς συμμετρίας μενούσης, ὁτὲ μὲν καλὸν τὸ αὐτὸ πρόσωπον, ὁτὲ δὲ μὴ φαίνηται, πῶς οὐκ ἄλλο δεῖ ἐπὶ τῷ συμμέτρῳ λέγειν τὸ καλὸν εἶναι, καὶ τὸ σύμμετρον καλὸν εἶναι δι' ἄλλο; εἰ δὲ δὴ, μεταβαίνοντες καὶ ἐπὶ τὰ ἐπιτηδεύματα καὶ τοὺς λόγους τοὺς κα-

# ENNEADIS PRIMÆ

## LIBER VI.

### DE PULCHRITUDINE.

[97—99.]

I. Pulchritudo est in aspectu plurimum: est etiam in auditu secundum verborum compositiones et musicam quoque omnem: nam cantus et numerosi concentus pulchri sunt. Praeterea, si a sensu ad id quod supra sensum est ascendamus, inveniemus studia quoque et officia pulchra, et actiones, et habitus, atque scientias virtutumque pulchritudinem. Utrum vero et super haec ulla sit pulchritudo, res ipsa procedentibus declarabit. Quid igitur est, quod efficit, ut corpora pulchra videantur, atque auditus voces approbet tanquam pulchras, et quaecunque deinceps ad animum attinent? Quonam igitur pacto pulchra haec omnia fiunt? Numquid una quadam atque eadem pulchritudinis ratione pulchra sunt omnia? aut aliud quidem est pulchritudo in corpore, in alio vero aliud? Rursus quaenam haec sunt, si duo sunt? Quidve id existit, si est unum? [*Fic. legerit* ταῦτα, εἰ δύο, καὶ τί τοῦτο, εἰ ἕν;] Quaedam enim procul dubio non ex ipsa subjectorum natura sunt pulchra, velut corpora, sed participatione potius aliqua. Quaedam vero pulchritudines quaedam ipsa sunt, ut virtutis ipsius natura. Corpora quidem eadem alias quidem pulchra, alias vero non pulchra videntur, quasi aliud sit, esse corpus, aliud esse pulchrum. Quid ergo id est potissimum, quod pulchra corpora sua praesentia facit? In primis enim id est nobis considerandum. Dic age: quid potissimum spectantium allicit oculos, convertitque ad seipsum atque rapit, spectantesque delectat? Si enim id invenerimus, forsan quasi scala ad cetera prospicienda uti poterimus. Tradunt enim ferme omnes, commensurationem quandam partium et invicem et ad totum una cum coloris gratia pulchritudinem pertinentem ad oculos procreare, atque in eo pulchritudinem omnium esse sitam, ut moderata commensurataque sint. Sed apud eos, qui id opinantur, nihil simplex, solum vero compositum necessario erit pulchrum, ipsumque totum formosum erit. Partes vero singulae nullam habebunt propriam pulchritudinem: solum vero quatenus ad totum conferunt, pulchrae dicentur: quanquam oportet, si modo pulchrum est totum, partes quoque esse formosas: non enim ex turpibus constat pulchrum. Oportet autem partes omnes pulchritudinem accepisse. Colores insuper pulchri, sicut et ipsum solis lumen, cum simplicia sint, neque ex commensuratione habeant pulchritudinem, apud illos exclusa a pulchritudine relinquentur. Aurum quoque quonam pacto illis erit pulchrum? coruscatioque nocturna, siderumque spectaculum? Similiter in vocibus, quod simplex fuerit, id erit a pulchritudine alienum: quanquam tonus quilibet in his cantibus qui ex toto pulchri sunt, est ipse pulcher. Proinde quando, eadem proportione manente, facies eadem alias quidem pulchra, alias vero non pulchra videtur: nonne aliud in eo, quod commensuratum est, pulchritudinem oportet dicere, commensurationem vero aliud, ipsumque commensuratum propter aliud esse pulchrum? Si autem illi ad studia pulchra pulchrosque sermones se transferentes, mensurae proportionem in his etiam in causa

λους, τὸ σύμμετρον καὶ ἐπ' αὐτῶν αἰτιῷντο, τίς ἂν λέγοιτο ἐν ἐπιτηδεύμασι συμμετρία καλοῖς, ἢ νόμοις, ἢ μαθήμασιν, ἢ ἐπιστήμαις; θεωρήματα γὰρ σύμμετρα πρὸς ἄλληλα, πῶς ἂν εἴη; εἰ δ' ὅτι σύμφωνά ἐστι, καὶ κακῶν ἔσται ὁμολογία τε καὶ συμφωνία· τῷ γὰρ τὴν σωφροσύνην ἠλιθιότητα εἶναι, τὸ τὴν δικαιοσύνην γενναίαν εἶναι εὐήθειαν, σύμφωνον καὶ συνῳδόν, καὶ ὁμολογεῖ πρὸς ἄλληλα. Κάλλος μὲν οὖν ψυχῆς ἀρετὴ πᾶσα, καὶ κάλλος ἀληθινώτερον ἢ τὰ πρόσθεν. Ἀλλὰ πῶς σύμμετρα; οὔτε γὰρ ὡς μεγέθη, οὔτε ὡς ἀριθμὸς σύμμετρα· καὶ πλειόνων μερῶν τῆς ψυχῆς ὄντων ἐν ποίῳ γὰρ λόγῳ ἡ σύνθεσις ἢ ἡ κρᾶσις τῶν μερῶν, ἢ τῶν θεωρημάτων. Τὸ δὲ τοῦ νοῦ κάλλος μονουμένου τί ἂν εἴη;

pulchritudinis assignaverunt : quaenam dicetur in studiis pulchris vel legibus vel disciplinis, scientiisve commensurata proportio? Quinetiam speculationes ipsae quonam pacto invicem commensuratae dicentur? Quod si quis id ipsum assignet, quoniam videlicet concordes sunt, dicemus utique malorum quoque consensionem quandam esse atque concordiam. Duo namque haec inter se conveniunt (ut fertur) videlicet, et temperantiam esse stoliditatem, atque justitiam esse insulsam generosam. Pulchritudo itaque animae est virtus omnis, atque haec ipsa species superioribus admodum verior. At quonam pacto hic commensuratio erit? neque enim qualis id est magnitudine [*Ed. pr.* qualis in magn.] neque qualis in numero. Atqui cum plures sint animae partes, in qualinam ratione compositio vel temperatio partium vel speculationum sita erit? Denique pulchritudo intellectus ipsius videlicet segregati soliusque secundum se quidnam erit?

Pulchritudo in corporibus est flos formae materiam superantis propter imperium idealis rationis super materiam.

Β'. Πάλιν οὖν ἀναλαβόντες λέγωμεν, τί δῆτά ἐστι τὸ ἐν τοῖς σώμασι καλόν; πρῶτόν ἐστι μὲν γάρ τι καὶ βολῇ τῇ πρώτῃ αἰσθητὸν γινόμενον, καὶ ἡ ψυχὴ ὥσπερ συνεῖσα λέγει, καὶ ἐπιγνοῦσα ἀποδέχεται, καὶ οἷον συναρμόττεται· πρὸς δὲ τὸ αἰσχρὸν προσβαλοῦσα ἀνίλλεται καὶ ἀρνεῖται καὶ ἀνανεύει ἀπ' αὐτοῦ, οὐ συμφωνοῦσα, καὶ ἀλλοτριουμένη. Φαμὲν δή, ὡς τὴν φύσιν οὖσα ὅπερ ἐστί, καὶ πρὸς τῆς κρείττονος ἐν τοῖς οὖσιν οὐσίας, ὅ τι ἂν ἴδῃ συγγενὲς ἢ ἴχνος τοῦ συγγενοῦς, χαίρει τε καὶ διεπτόηται, καὶ ἀναφέρει πρὸς ἑαυτήν, καὶ ἀναμιμνήσκεται ἑαυτῆς καὶ τῶν ἑαυτῆς. Τίς οὖν ὁμοιότης τοῖς τῇδε πρὸς τὰ ἐκεῖ καλά; καὶ γάρ, εἰ ὁμοιότης, ὅμοια μὲν ἔστω. Πῶς δὲ καλὰ κἀκεῖνα καὶ ταῦτα; μετοχῇ εἴδους φαμὲν ταῦτα. Πᾶν γὰρ τὸ ἄμορφον πεφυκὸς μορφὴν καὶ εἶδος δέχεσθαι, ἄμοιρον ὂν λόγου καὶ εἴδους, αἰσχρὸν καὶ ἔξω θείου λόγου, καὶ τὸ πάντη αἰσχρὸν τοῦτο· αἰσχρὸν δὲ καὶ τὸ μὴ κρατηθὲν ὑπὸ μορφῆς καὶ λόγου, οὐκ ἀνασχομένης τῆς ὕλης τὸ πάντη κατὰ τὸ εἶδος μορφοῦσθαι. Προσιὸν οὖν τὸ εἶδος, τὸ μὲν ἐκ πολλῶν ἐσόμενον μερῶν ἓν συνθέσει, συνέταξέ τε καὶ εἰς μίαν συντέλειαν ἤγαγε, καὶ ἓν τῇ ὁμολογίᾳ πεποίηκεν· ἐπείπερ ἓν ἦν αὐτό, ἕν τε ἔδει τὸ μορφούμενον εἶναι ὡς δυνατὸν αὐτῷ ἐκ πολλῶν ὄντι. Ἵδρυται οὖν ἐπ' αὐτῷ τὸ κάλλος ἤδη εἰς ἓν συναχθέντος, καὶ τοῖς μέρεσι διδὸν ἑαυτὸ καὶ τοῖς ὅλοις· ὅταν δὲ ἕν τι καὶ ὁμοιομερὲς καταλάβῃ, εἰς ὅλον δίδωσι τὸ αὐτό, οἷον ὁτὲ μὲν πάσῃ οἰκίᾳ μετὰ τῶν μερῶν, ὁτὲ δὲ ἑνὶ λίθῳ αὐτή τις φύσις τὸ κάλλος, τῇ δὲ ἡ τέχνη. Οὕτω μὲν δὴ τὸ καλὸν σῶμα γίγνεται λόγου ἀπὸ θείου ἐλθόντος κοινωνίᾳ.

II. Repetamus iterum a principio, quaerentes quidnam sit ipsa in corporibus pulchritudo? Principio quidem est quiddam primo intuitu sensui se patefaciens : idque animus apprehendens familiariterque agnoscens suscipit et quasi accommodatissimum approbat et amplectitur. At vero in turpe incidens sese recipit et velut abhorrens ob discordiam respuit ut alienum. Existens utique anima id quod naturaliter est, ac prope et secundum essentiam in rerum ordine praestantissimam, quandocumque aspexerit cognatum quiddam cognatisve vestigium, congratulatur et stupet, refertque in se ipsam subque recordatur atque suorum. Quaenam igitur similitudo his quae apud nos pulchra videntur, ad illa, quae supra nos sunt, pulchra? Etenim si qua similitudo est, similia quidem sint. At quonam pacto pulchra simul et haec et illa? Participatione utique speciei nostrae haec dicimus esse pulchra. Omne namque informe aptum natura ad formam ac speciem capiendam, quatenus rationis et speciei est expers, turpe est atque a divina ratione semotum : idque omnino turpe est, quod omnino semotum; turpe quinetiam, quod a forma rationeque minime superatur, materia videlicet formationem integram minime sustinente. Accedens itaque species id, quod ex multis partibus unum est compositione futurum, simul ordinat conciliatque invicem, atque ipsa consensione conficit unum : quandoquidem et ipsa erat unum, ideoque unum oportuit esse formatum, quatenus, quod ex multis componitur, unum effici potest. Fundatur ergo pulchritudo in ipso, quando in unum fuerit jam redactum, atque seipsam partibus totique impertit. At quando species unum quiddam similibusque partibus constitutum nanciscitur, seipsam et idem tradit in totum. Aliquando enim, exempli gratia, toti aedificio simul partibusque communicat, aliquando vero unico lapidi : et tunc quidem id arte fit, alias vero fit natura. Hac itaque ratione formosum corpus efficitur communione videlicet rationis a divinis desuper venientis.

Animus per innatam sibi formulam pulchritudinis agnoscit pulchritudinem in corporibus : quae [illegible] quod provenit ex victoria divinae artis in materia.

Γ'. Γινώσκει δὲ αὐτὸ ἡ ἐπ' αὐτῷ δύναμις τεταγμένη, ἧς οὐδὲν κυριώτερον εἰς κρίσιν τῶν ἑαυτῆς, ὅταν καὶ ἡ ἄλλη συνεπικρίνῃ ψυχή. Τάχα δὲ καὶ αὐτὴ λέγει συναρμόττουσα τῷ παρ' αὐτῇ εἴδει, κἀκείνῳ πρὸς τὴν κρίσιν χρωμένη, ὥσπερ κανόνι τοῦ εὐθέος:

III. Cognoscit autem ipsam vis quaedam ad eam instituta, qua nihil validius ad propria judicanda, quando et alia anima in judicando concurrit. Forsan vero et haec ipsa dicit, scilicet speciei, quae penes ipsam est, accommodans, eaque freta ad judicandum quemadmodum ad recti judicium regula uti solent. At quonam pacto, quod in

Πῶς δὲ συμφωνεῖ τὸ περὶ σῶμα τῷ πρὸ σώματος; πῶς δὲ τὴν ἔξω οἰκίαν τῷ ἔνδον οἰκίας εἴδει ὁ οἰκοδομικὸς συναρμόσας καλὴν εἶναι λέγει; ἢ ὅτι ἐστὶ τὸ ἔξω, εἰ χωρίσειας τοὺς λίθους, τὸ ἔνδον εἶδος, μερισθὲν τῷ ἔξω ὕλης ὄγκῳ, ἀμερὲς ὂν ἐν πολλοῖς φανταζόμενον. Ὅταν οὖν καὶ ἡ αἴσθησις τὸ ἐν σώμασιν εἶδος ἴδῃ, συνδησάμενον καὶ κρατῆσαν τῆς φύσεως τῆς ἐναντίας ἀμόρφου οὔσης, καὶ μορφὴν ἐπὶ ἄλλαις μορφαῖς ἐκπρεπῶς ἐποχουμένην, συνελοῦσα ἀθρόον αὐτὸ τὸ πολλαχῇ ἀνήνεγκέ τε, καὶ εἰσήγαγεν εἰς τὸ εἴσω ἀμερὲς ἤδη, καὶ ἔδωκε τῷ ἔνδον σύμφωνον καὶ συναρμόττον καὶ φίλον, οἷα ἀνδρὶ ἀγαθῷ προσηνὲς ἐπιφαινόμενον ἀρετῆς ἴχνος ἐν νέῳ, συμφωνοῦν τῷ ἀληθεῖ τῷ ἔνδον. Τὸ δὲ τῆς χρόας κάλλος ἁπλοῦν μορφῇ, καὶ κρατήσει τοῦ ἐν ὕλῃ σκοτεινοῦ παρουσίᾳ φωτός, ἀσωμάτου καὶ λόγου καὶ εἴδους ὄντος. Ὅθεν καὶ τὸ πῦρ αὐτὸ παρὰ τὰ ἄλλα σώματα καλόν, ὅτι τάξιν εἴδους πρὸς τὰ ἄλλα στοιχεῖα ἔχει· ἄνω μὲν τῇ θέσει, λεπτότατον δὲ τῶν ἄλλων σωμάτων, ὡς ἐγγὺς ὂν τοῦ ἀσωμάτου. Μόνον δὲ αὐτὸ οὐκ εἰσδεχόμενον τὰ ἄλλα, τὰ δὲ ἄλλα δέχεται αὐτό· θερμαίνεται γὰρ ἐκεῖνα, οὐ ψύχεται δὲ τοῦτο· κέχρωσταί τε πρώτως, τὰ δὲ ἄλλα παρὰ τούτου τὸ εἶδος τῆς χρόας λαμβάνει· λάμπει οὖν καὶ στίλβει, ὡς ἂν εἶδος ὄν· τὸ δὲ μὴ κρατοῦν, ἐξίτηλον τῷ φωτὶ γινόμενον, οὐκέτι καλόν, ὡς ἂν τοῦ εἴδους τῆς χρόας οὐ μετέχον ὅλου. Αἱ δὲ ἁρμονίαι ἐν ταῖς φωναῖς αἱ ἀφανεῖς τὰς φανερὰς ποιήσασαι καὶ ταύτῃ τὴν ψυχὴν σύνεσιν καλοῦ λαβεῖν ἐποίησαν, ἐν ἄλλῳ τὸ αὐτὸ δείξασαι. Παρακολουθεῖ δὲ ταῖς αἰσθηταῖς, μετρεῖσθαι ἀριθμοῖς ἐν λόγῳ οὐ παντί, ἀλλ' ὃς ἂν ᾖ δουλεύων εἰς ποίησιν εἴδους εἰς τὸ κρατεῖν. Καὶ περὶ μὲν τῶν ἐν αἰσθήσει καλῶν, ἃ δὴ εἴδωλα καὶ σκιαὶ οἷον ἐκδραμοῦσαι, εἰς ὕλην ἐλθοῦσαι, ἐκόσμησάν τε καὶ διεπτόησαν φανεῖσαι, τοσαῦτα.

corpore est, et, quod super corpus est, congruit? Dic age: et quomodo extrinsecum aedificium aedificii formae, quae in mente est, architectus accommodans pulchrum esse judicat? forsan quia, si lapides tollas e medio, aedificium, quod erat extrinsecum, nihil aliud est, quam intrinseca forma, divisa quidem per externam materiae molem, indivisa vero existens, etsi apparet in multis. Quando igitur et sensus speciem, quae [est *add. Ed. pr.*] in corporibus aspicit, colligantem superantemque contrariam naturam, quae est informis, atque formam decenter in formis aliis eminentem, tunc congregans simul totam, quae passim dispersa videbatur, refert ad se atque ad formam, quae intus est, impartibilem [*i. e.* individuam] introducit: redditque intimae formae consonam, et congruam, et amicam; quemadmodum probo viro virtutis indoles apparens in juvene jucunda contingit: propterea quod verae virtuti, quae intus est, consonat. Pulchritudo vero coloris simplex provenit, ubi formatur superaturque, quod est in materia tenebrosum, praesentia luminis, quod quidem incorporeum et ratio quaedam est et species. Quapropter et ignis ipse prae ceteris corporibus pulcher: quoniam, si cum elementis aliis conferatur, speciei obtinet ordinem; nempe et ceteris eminentior est, et omnium subtilissimus, quasi incorporeae jam naturae propinquus. Atqui solus ipse non suscipit alia, cum tamen ipsum alia capiant. Calefiunt namque illa: ipse vero non suscipit frigus. Praeterea colorem ipse primus habet: cetera vero ab hoc speciem coloris accipiunt: emicat igitur atque fulget, quasi sit species. Quando vero subjectum non superatur, velut luminis exigui particeps, haud ultra provenit pulchrum, utpote quod coloris speciem non accipit totam. Praeterea harmoniae, quae sunt in vocibus, aliae quae latent in anima faciunt, et absconditam usque producunt, atque ita faciunt, ut anima percipiat pulchri notitiam, idem in alio demonstrantes. Competit vero harmoniis, quae sentiuntur, ut numeris mensurentur non in omni ratione numeri seu vocis, sed in ea duntaxat, quae ad effectionem speciei victoriamque ejus obtemperat. Sed hactenus de pulchris, quae sunt in sensu, sit dictum: quae tanquam imagines umbraeque in materiam effluentes ipsam exornaverunt, admirationemque sui occurrentes sensibus concitant.

Oportet animum fieri pulchrum, si intellectualem sis pulchritudinem cogniturus, quae magis fruentem delectat, quam corporea pulchritudo.

Δ'. Περὶ δὲ τῶν προτέρω καλῶν, ἃ οὐκέτι αἴσθησις ὁρᾷν εἴληχε, ψυχὴ δὲ ἄνευ ὀργάνων ὁρᾷ καὶ λέγει, ἀναβαίνοντας δεῖ θεάσασθαι, καταλιπόντας τὴν αἴσθησιν κάτω περιμένειν. Ὥσπερ δὲ ἐπὶ τῶν τῆς αἰσθήσεως καλῶν οὐκ ἦν περὶ αὐτῶν λέγειν τοῖς μήτε ἑωρακόσι, μήτε ὡς καλῶν ἀντειλημμένοις, οἷον εἴ τινες ἐξ ἀρχῆς τυφλοὶ γεγονότες, τὸν αὐτὸν τρόπον οὐδὲ περὶ κάλλους ἐπιτηδευμάτων, μὴ τοῖς ἀποδεξαμένοις τὸ τῶν ἐπιτηδευμάτων καὶ ἐπιστημῶν, καὶ τῶν ἄλλων τῶν τοιούτων κάλλος· οὐδὲ περὶ ἀρετῆς φέγγους τοῖς μηδὲ φαντασθεῖσιν, ὡς καλὸν τὸ τῆς δικαιοσύνης καὶ σωφροσύνης πρόσωπον, καὶ οὔτε ἕσπερος οὔτε ἑῷος οὕτω καλά. Ἀλλὰ δεῖ ἰδόντας μὲν εἶναι, ᾧ ψυχὴ τὰ τοιαῦτα βλέπει, ἰδόντας δὲ ἡσθῆναι καὶ ἔκπληξιν λαβεῖν, καὶ πτοηθῆναι πολλῷ μᾶλλον ἢ ἐν τοῖς πρόσθεν, ἅτε ἀληθινῶν ἤδη ἐφαπτομένους. Ταῦτα γὰρ δεῖ τὰ πάθη γενέσθαι περὶ τὸ ὅ τι ἂν ᾖ καλόν, θάμβος καὶ ἔκπληξιν ἡδεῖαν καὶ πόθον, καὶ ἔρωτα, καὶ πτόησιν μεθ' ἡδονῆς· ἔστι δὲ

IV. At vero pulchra, quae his superiora sunt, oculisque minime patent, sed animus ipse absque instrumentis cernit atque pronuntiat, ascensu quodam contemplari debemus, sensum in infimo relinquentes. Quemadmodum vero pulchra, quae sensibus offeruntur, verbis exprimere non potuissemus, nisi vidissemus aliquando et tanquam pulchra percepissemus: quo quidem munere orbati sunt, qui caeci nascuntur: sic neque de officiorum et scientiarum ceterorumque ejusdem generis pulchritudine possumus eloqui, nisi haec ipsa possideamus. Similiter neque de fulgore virtutis: nisi quodammodo excogitaverimus, quam pulcher sit justitiae et temperantiae vultus, quare ratione neque hesperus neque lucifer adeo speciosus. Quinimo eo duntaxat haec oportet videre, quo animus ipse talia intuetur. Praeterea videntes admodum oblectari et affici vehementer, multoque magis quam corpoream pulchritudinem admirari, utpote qui vera jam attingamus. Tales, inquam, affectus oportet circa pulchrum quodlibet excitari, admirationem stuporemque suavem, desiderium quoque atque amorem, concitationemque jucundam: ejus-

ταῦτα παθεῖν, καὶ πάσχουσιν αἱ ψυχαὶ καὶ περὶ τὰ μὴ ὁρώμενα, πᾶσαι μὲν, ὡς εἰπεῖν, μᾶλλον μέντοι αἱ τούτων ἐρωτικώτεραι, ὥσπερ καὶ ἐπὶ τῶν σωμάτων πάντες μὲν ὁρῶσι, κινοῦνται δὲ οὐκ ἴσα, ἀλλ' εἰσὶν οἳ μάλιστα οἳ καὶ λέγονται ἐρᾶν.

modo quodam etiam circa ea quae non videntur, animae patiuntur: omnes quidem (ut ita dicam), magis autem, quae sunt ad illorum amorem propensiores, sicut et circa corporis pulchritudinem accidit. Omnes enim aeque vident, non tamen incitantur aeque, sed maxime omnium amatores.

Pulchritudo in animo naturalis tunc nobis effulget, cum primum deformitatem, id est affectus ad materiam, superavimus.

Ε'. Τῶν δὴ καὶ περὶ τὰ ἐν οὐκ αἰσθήσει ἐρωτικῶν ἀναπυνθάνεσθαι δεῖ· τί πάσχετε περὶ τὰ λεγόμενα ἐπιτηδεύματα καλὰ, καὶ τρόπους καλοὺς, καὶ ἤθη σώφρονα, καὶ ὅλως ἔργα ἀρετῆς καὶ διαθέσεις, καὶ τὸ τῶν ψυχῶν κάλλος; καὶ ἑαυτοὺς δὲ ἰδόντες τὰ ἔνδον καλοὺς, τί πάσχετε; καὶ πῶς ἀναβακχεύεσθε καὶ ἀνακινεῖσθε, καὶ ἑαυτοῖς συνεῖναι ποθεῖτε, συλλεξάμενοι αὑτοὺς ἀπὸ τῶν σωμάτων; πάσχουσι μὲν γὰρ ταῦτα οἱ ὄντως ἐρωτικοί. Τί δέ ἐστι περὶ ὃ ταῦτα πάσχουσιν; οὐ σχῆμα, οὐ χρῶμα, οὐ μέγεθός τι, ἀλλὰ περὶ ψυχὴν, ἀχρώματον μὲν αὐτὴν, ἀχρώματον δὲ καὶ τὴν σωφροσύνην ἔχουσαν, καὶ τὸ ἄλλο τῶν ἀρετῶν φέγγος, ὅταν ἢ ἐν αὐτοῖς ἴδητε, ἢ καὶ καὶ ἐν ἄλλῳ θεάσησθε μέγεθος ψυχῆς καὶ ἦθος δίκαιον, καὶ σωφροσύνην καθαρὰν, καὶ ἀνδρίαν βλοσυρὸν ἔχουσαν πρόσωπον, καὶ σεμνότητα καὶ αἰδῶ ἐπιθέουσαν ἐν ἀτρεμεῖ καὶ ἀκύμονι καὶ ἀπαθεῖ διαθέσει, ἐπὶ πᾶσι δὲ τούτοις τὸν θεοειδῆ νοῦν ἐπιλάμποντα. Ταῦτα οὖν ἀγάμενοι καὶ φιλοῦντες πῶς αὐτὰ λέγομεν καλά; ἔστι μὲν γὰρ καὶ φαίνεται, καὶ οὐ μήποτε ὁ ἰδὼν ἄλλο τι φήσει, ἢ τὰ ὄντως ὄντα ταῦτα εἶναι. Τί ὄντα ὄντως; ἢ καλά. Ἀλλ' ἔτι ποθεῖ ὁ λόγος, τί ὄντα πεποίηκε τὴν ψυχὴν εἶναι ἐράσμιον· τί τὸ ἐπὶ πάσαις ἀρεταῖς διαπρέπον, οἷον φῶς; Βούλει δὲ καὶ τὰ ἐναντία λαβὼν τὰ περὶ ψυχὴν αἰσχρὰ γινόμενα ἀντιπαραθεῖναι; τάχα γὰρ ἂν συμβάλλοιτο πρὸς ὃ ζητοῦμεν, τὸ αἰσχρὸν ὅ τί ποτ' ἐστὶ, καὶ διότι φανέν. Ἔστω δὴ ψυχὴ αἰσχρὰ ἀκόλαστός τε καὶ ἄδικος, πλείστων μὲν ἐπιθυμιῶν γέμουσα, πλείστης δὲ ταραχῆς, ἐν φόβοις διὰ δειλίαν, ἐν φθόνοις διὰ μικροπρέπειαν, πάντα φρονοῦσα, ἃ δὴ καὶ φρονεῖ, θνητὰ καὶ ταπεινὰ, σκολιὰ πανταχοῦ, ἡδονῶν οὐ καθαρῶν φίλη, ζῶσα ζωὴν τοῦ ὅ τι ἂν πάθῃ διὰ σώματος, ὡς ἡδὺ λαβοῦσα αἶσχος. Αὐτὸ τοῦτο τὸ αἶσχος αὐτῇ ἆρ' οὐ προσγεγονέναι οἷον ἐπακτὸν κακὸν φήσομεν, ὃ ἐλυμήνατο μὲν αὐτῇ, πεποίηκε δὲ αὐτὴν ἀκάθαρτον, καὶ πολλῷ τῷ κακῷ συμπεφυρμένην, οὐδὲ ζωὴν ἔτι ἔχουσαν, οὐδὲ αἴσθησιν καθαρὰν, ἀλλὰ τῷ μίγματι τοῦ κακοῦ ἀμυδρᾷ τῇ ζωῇ κεχρημένην, καὶ πολλῷ τῷ θανάτῳ κεκραμένην, οὐκέτι μὲν ὁρῶσαν ἃ δεῖ ψυχὴν ὁρᾶν, οὐκέτι δὲ ἐωμένην ἐν αὑτῇ μένειν, τῷ ἕλκεσθαι ἀεὶ πρὸς τὸ ἔξω, καὶ τὸ κάτω, καὶ τὸ σκοτεινόν; ἀκάθαρτος δὴ οἶμαι οὖσα καὶ φερομένη πανταχοῦ ὁλκαῖς πρὸς τὰ τῇ αἰσθήσει προσπίπτοντα, πολύ γε τὸ τοῦ σώματος ἔχουσα ἐγκεκραμένον, τῷ ὑλικῷ πολλῷ συνοῦσα, καὶ εἰς αὑτὴν εἰσδεξαμένη εἶδος ἕτερον ἠλλάξατο κράσει τῇ πρὸς τὸ χεῖρον· οἷον εἴ τις δὺς εἰς πηλὸν ἢ βόρβορον τὸ μὲν, ὅπερ εἶχε, κάλλος μηκέτι προφαίνοι, τοῦτο δὲ ὁρῷτο, ὃ παρὰ τοῦ πηλοῦ ἢ βορ-

βόρου.

V. Caeterum circa amatorios affectus, qui super sensum assurgunt, sciscitari licet hunc in modum. Agite, quidnam patimini circa decora studia et officia, et modos honestos temperatosque mores, et omnino erga virtutis opera affectionesque, et habitus et pulchritudinem animorum? Quid, inquam, patimini, quando vos intus intuemini pulchros? Et quo pacto (ut ita dixerim) debacchamini atque concitamini, affectatisque vobiscum congredi, vos ipsos seorsum a corporibus colligentes? Afficiuntur enim sic amatores veri. At vero quidnam est id, erga quod ita provenus afficiuntur? Non est figura, non color, non magnitudo, sed erga animum ipsum coloris omnis expertem, similiterque temperantiam possidentem a colore semotam, reliquumque virtutum splendorem: quotiens vel in vobismet intuemini, vel in alio contemplamini animi amplitudinem, et justum morem puramque temperantiam, praeterea fortitudinem generoso vultu verendam, pudicitiam denique, honestatemque venerabilem habitu quodam intrepido et tranquillo serenoque incedentem, atque hanc divinam mentem desuper collustrantem. Haec igitur amantes [ἀγάμενοι, nisi scripsit admirantes] quanam ratione pulchra esse dicimus? Sunt enim atque apparent, neque, qui aspicit, unquam aliud esse dicet, quam vere existentia haec esse. Sed quidnam vere existentia? Fortasse pulchra. At enim adhuc desiderat ratio scire quidnam haec existentia, ut anima amabilis sit, efficiunt; quid in virtutibus cunctis decorum, quasi lumen? Visne contraria sumens, quae videlicet in anima turpia sunt, contra conferre? Forsitan enim, si cognoverimus, quid et qua de causa turpe sit, ad id, quod quaerimus, conferet. Esto itaque turpis anima, quae intemperans est atque injusta, cupiditatibus multis abundans et perturbatione quamplurima, ob timiditatem vexata timoribus, ob animi ipsius angustiam avaritiamque laborans invidia, nihil unquam nisi mortale abjectumque cogitans, obliqua semper animo versans, impuris voluptatibus mancipata, vitam agens ex propriam, quodcunque id sit, quod ipsa per corpus patitur, turpitudinem per ipsum adducens quasi jucundum. Atqui hanc ipsam turpitudinem huic animae esse adventitiam pulchritudinis praetextu, tanquam adventitium malum dicemus. Ecce, haec quidem gravi omni detrimento eam reddit impuram multaque pravitate permistam, neque vitae ulterius neque sensus puritate praeditam, sed permistione mali vita exigua jam utentem, plurima infectam morte, haud amplius, quae sunt videnda, videntem, neque permissam amplius habitare secum, propterea quod ad externa semper et infima obscuraque rapiatur. Impura profecto sic evadens, passimque ab iis rapiata, quae sensibus incidunt, plena videlicet corporis labe, utpote cum materiae plurimum se dediderit, materialemque naturam in se contraxerit, plurimum ob ejusmodi commistionem in deterius prolabentem, jam ferme speciem suam in speciem alteram commutavit: perinde ac si quis limo coenoque provolutus haud ulterius pristinam praeferat pulchritudinem, id vero,

βόρου ἀπεμάξατο· ᾧ δὴ τὸ αἰσχρὸν προσθήκη τοῦ ἀλλοτρίου προσῆλθε· καὶ ἔργον αὐτῷ, εἴπερ ἔσται πάλιν καλὸς, ἀπονιψαμένῳ καὶ καθηραμένῳ, ὅπερ ἦν, εἶναι. Αἰσχρὰν δὴ ψυχὴν λέγοντες μίξει καὶ κράσει καὶ νεύσει τῇ πρὸς σῶμα καὶ ὕλην, ὀρθῶς ἂν λέγοιμεν. Καὶ ἔστι τοῦτο αἶσχος ψυχῇ, μὴ καθαρᾷ μηδὲ εἰλικρινεῖ εἶναι, ὥσπερ χρυσῷ, ἀναπεπλῆσθαι δὲ τοῦ γεώδους, ὃ εἴ τις ἀφέλοι, καταλέλειπται χρυσὸς, καὶ ἔστι καλὸς, μονούμενος μὲν τῶν ἄλλων, αὐτῷ δὲ συνὼν μόνῳ. Τὸν αὐτὸν δὴ τρόπον καὶ ψυχὴ, μονωθεῖσα μὲν ἐπιθυμιῶν, ἃς διὰ τὸ σῶμα ἔχει, ᾧ ἄγαν προσωμίλει, ἀπαλλαγεῖσα δὲ τῶν ἄλλων παθῶν, καὶ καθαρθεῖσα, ἃ ἔχει σωματωθεῖσα, μείνασα μόνη, τὸ αἰσχρὸν τὸ παρὰ τῆς ἑτέρας φύσεως ἅπαν ἀπεθήκατο.

videntur esse, quod a limo in se ipsum coenoque contraxit. Huic sane turpitudo accessione quadam alienae naturae accidisse videtur. Quod si priorem recipere cupiat pulchritudinem, operae pretium erit infecta diluere, ipsaque purgatione rursum esse, quod erat. Quamobrem si animam mistione, confusione, commercio cum corpore atque materia turpem dicemus evadere, recte (ut arbitror) asseremus. Est enim haec animae turpitudo scilicet, non esse puram atque sinceram. Quemadmodum et auro accidit *turpitudo, si glebis terreis cumulatur: quas si quis excusserit*, purum subito restat aurum: idque jam pulchrum, cum ab alienis fuerit segregatum, sua videlicet ad pulchritudinem puritate contentum. Eadem ratione animus ab his cupiditatibus segregatus, quas nimio corporis commercio in se concepit, a ceterisque perturbationibus liberatus: deletis jam maculis, quas corporea familiaritas prius inusserat, atque ita solus sibi relictus, procul dubio turpitudinem omnem ab aliena natura haustam prorsus expurgavit.

Anima quando virtutem pulchritudinemque habeat, deoque persimilis sit? [*Ed. princ.*: Anima tunc solum virtutem pulchritudinemque habere videtur, cum restituta est in propriam puritatem. Tunc enim maxime fulget intellectuali lumine, quod est ei maxime proprium. Tunc et maxime species est, et ipsa jam pulchritudo, deoque persimilis.]

Ϛ. Ἔστι γὰρ δὴ, ὡς ὁ παλαιὸς λόγος, καὶ ἡ σωφροσύνη καὶ ἡ ἀνδρία καὶ πᾶσα ἀρετὴ κάθαρσις, καὶ ἡ φρόνησις αὐτή. Διὸ καὶ αἱ τελεταὶ ὀρθῶς αἰνίττονται, τὸν μὴ κεκαθαρμένον εἰς ᾅδου κείσεσθαι ἐν βορβόρῳ, ὅτι τὸ μὴ καθαρὸν, βορβόρῳ διὰ κάκην φίλον· οἷα δὴ καὶ ὕες οὐ καθαραὶ τὸ σῶμα χαίρουσι τῷ τοιούτῳ· τί γὰρ ἂν καὶ εἴη σωφροσύνη ἀληθὴς, ἢ τὸ μὴ προσομιλεῖν ἡδοναῖς τοῦ σώματος, φεύγειν δὲ ὡς οὐ καθαρὰς οὐδὲ καθαροῦ; Ἡ δὲ ἀνδρία ἀφοβία θανάτου· ὁ δέ ἐστιν ὁ θάνατος χωρὶς εἶναι τὴν ψυχὴν τοῦ σώματος. Οὐ φοβεῖται δὲ τοῦτο, ὃς ἀγαπᾷ μόνος γενέσθαι. Μεγαλοψυχία δὲ δὴ ὑπεροψία τῶν τῇδε· ἡ δὲ φρόνησις νόησις ἐν ἀποστροφῇ τῶν κάτω, πρὸς δὲ τὰ ἄνω τὴν ψυχὴν ἄγουσα. Γίνεται οὖν ἡ ψυχὴ καθαρθεῖσα εἶδος καὶ λόγος, καὶ πάντη ἀσώματος, καὶ νοερὰ, καὶ ὅλη τοῦ θείου, ὅθεν ἡ πηγὴ τοῦ καλοῦ, καὶ τὰ συγγενῆ πάντα τοιαῦτα. Ψυχὴ οὖν ἀναχθεῖσα πρὸς νοῦν ἐπὶ τὸ μᾶλλόν ἐστι καλόν. Νοῦς δὲ καὶ τὰ παρὰ νοῦ τὸ κάλλος αὐτῇ οἰκεῖον καὶ οὐκ ἀλλότριον, ὅτι τότε ἐστὶν ὄντως μόνον ψυχή. Διὸ καὶ λέγεται ὀρθῶς, τὸ ἀγαθὸν καὶ καλὸν τὴν ψυχὴν γίνεσθαι ὁμοιωθῆναι εἶναι θεῷ, ὅτι ἐκεῖθεν τὸ καλὸν καὶ ἡ μοῖρα ἡ ἑτέρα τῶν ὄντων· μᾶλλον δὲ τὰ ὄντα ἡ καλλονή ἐστιν, ἡ δὲ ἑτέρα φύσις τὸ αἰσχρόν· τὸ δ' αὐτὸ καὶ πρῶτον κακὸν, ὥστε κἀκεῖνο ταὐτὸν ἀγαθόν τε καὶ καλόν· ἢ ἀγαθόν τε καὶ καλλονή. Ὁμοίως δὴ ζητητέον καλόν τε καὶ ἀγαθὸν, καὶ αἰσχρόν τε καὶ κακὸν, καὶ τὸ πρῶτον θετέον τὴν καλλονὴν, ὅπερ καὶ τἀγαθὸν, ἀφ' οὗ νοῦς εὐθὺς τὸ καλόν. Ψυχὴ δὲ νῷ καλὸν, τὰ δὲ ἄλλα ἤδη παρὰ ψυχῆς μορφούσης καλὰ, τά τε ἐν ταῖς πράξεσι, τά τε ἐν τοῖς ἐπιτηδεύμασι. Καὶ δὴ καὶ τὰ σώματα, ὅσα οὕτω λέγεται, ψυχὴ ἤδη ποιεῖ· ἅτε γὰρ θεῖον οὖσα καὶ οἷον μοῖρα τοῦ καλοῦ, ὧν ἂν ἐφάψηται καὶ κρατῇ, καλὰ ταῦτα, ὡς δυνατὸν αὐτοῖς μεταλαβεῖν, ποιεῖ.

VI. Profecto, quemadmodum oraculum tradit antiquum temperantia fortitudoque et ipsa prudentia et omnino virtus *omnis est purificatio quaedam. Quapropter sacra mysteria* recte, quamvis per obscura, vaticinantur, animum non purgatum apud inferos in coeno jacere. Impurum namque ob pravitatem coeno est amicum: quemadmodum sues corpore sordidi sordibus delectantur. Quidnam aliud vera temperantia est, quam corporeis voluptatibus non indulgere, sed eas tanquam quae neque purae, neque puri sunt, procul effugere? Fortitudo vero non metuere mortem. Mors namque est quaedam animae a corpore separatio. Id vero non metuit, qui solus esse desiderat. Praeterea magnanimitas rerum mortalium est contemptus. *Prudentia* denique intelligentia est inferiora declinans, animumque erigens ad superna. Anima igitur jam purgata species ratioque evadit, ac penitus incorporea, intellectualisque, ac tota divina [ divini *Florent.* ]: unde fons effluit pulchritudinis, cognataque omnia talia. Quamobrem anima reducta in intellectum pulchritudine mirifice proficit. Intellectus autem et quicquid ab intellectu manat, *non alienum, sed proprium fit animae decus*, quippe cum tunc solum vere sit anima. Recte itaque dicitur, bonum pulchrumque animae in eo consistere, ut deo sit similis: quoniam hinc decor animae provenit seraque existentium altera. Quinimo id, quod et ens et entia dicitur, ipsa est pulchritudo. Diversa vero natura est turpitudo, primumque malum, ideoque illud idem bonum atque pulchrum: *fortasse vero et idem ipsum bonum ipsaque pulchritudo.* Quamobrem simili quadam via quaerendum est pulchrum atque bonum: simili quoque turpe atque malum. Primoque gradu ipsa pulchritudo collocanda est, eadem videlicet atque ipsum bonum, a quo manat proxime intellectus tanquam pulchrum. Anima vero intellectu pulchrum, sed alia ab anima formante jam pulchra, sive in actionibus, sive in studiis officiisque versentur. Jam vero corpora quaecumque pulchra dicuntur, talia efficiuntur ab anima, quae quidem tanquam divinum aliquid et ipsius portio pulchri, quaecunque attigerit superaveritque, reddit pro naturae capacitate formosa.

Animus affectibus ad materiam quasi nubibus procul expulsis, ad intellectualis pulchritudinis lumen extemplo convertitur, atque ea ibi voluptate perfunditur, quam exprimere nequeat. [Cum vero in hac luce reperit ipsum bonum, eoque illo impletur gaudio, quod etiam nequeas intelligere. *Ed. pr.*]

Ζ'. Ἀναβατέον οὖν πάλιν ἐπὶ τὸ ἀγαθόν, οὗ ὀρέγεται πᾶσα ψυχή. Εἴ τις οὖν εἶδεν αὐτό, οἶδεν ὃ λέγω, ὅπως καλόν· ἐφετὸν μὲν γὰρ ὡς ἀγαθόν, καὶ ἡ ἔφεσις πρὸς τοῦτο. Τεῦξις δὲ αὐτοῦ ἀναβαίνουσι πρὸς τὸ ἄνω, καὶ ἐπιστραφεῖσι καὶ ἀποδυομένοις, ἃ καταβαίνοντες ἠμφιέσμεθα· οἷον ἐπὶ τὰ ἅγια τῶν ἱερῶν τοῖς ἀνιοῦσι καθάρσεις τε καὶ ἱματίων ἀποθέσεις τῶν πρὶν καὶ τὸ γυμνοῖς ἀνιέναι, ἕως ἄν τις παρελθὼν ἐν τῇ ἀναβάσει πᾶν ὅσον ἀλλότριον τοῦ θεοῦ αὐτῷ μόνῳ αὐτὸ μόνον ἴδῃ εἰλικρινές, ἁπλοῦν, καθαρόν, ἀφ' οὗ πάντα ἐξήρτηται, καὶ πρὸς αὐτὸ βλέπει, καὶ ἔστι, καὶ ζῇ, καὶ νοεῖ· ζωῆς γὰρ αἴτιον καὶ νοῦ καὶ τοῦ εἶναι. Τοῦτο οὖν εἴ τις ἴδοι, ποίους ἂν ἴσχοι ἔρωτας, ποίους δὲ πόθους, βουλόμενος αὐτῷ συγκραθῆναι, πῶς δ' ἂν ἐκπλαγείη μεθ' ἡδονῆς. Ἔστι γὰρ τῷ μὲν μήπω ἰδόντι ὀρέγεσθαι, ὡς ἀγαθοῦ· τῷ δὲ ἰδόντι ὑπάρχει ἐπὶ καλῷ ἄγασθαί τε καὶ θάμβους πίμπλασθαι μεθ' ἡδονῆς, καὶ ἐκπλήττεσθαι ἀβλαβῶς, καὶ ἐρᾶν ἀληθῆ ἔρωτα καὶ δριμεῖς πόθους, καὶ τῶν ἄλλων ἐρώτων καταγελᾶν, καὶ τῶν πρόσθεν νομιζομένων καλῶν καταφρονεῖν. Ὁποῖον πάσχουσιν ὅσοι, θεῶν εἴδεσιν ἢ δαιμόνων προστυχόντες, οὐκέτ' ἂν ἀποδέχοιντο ὁμοίως ἄλλων κάλλη σωμάτων. Τί δῆτα οἰόμεθα εἴ τις αὐτὸ τὸ καλὸν θεῷτο ἐφ' ἑαυτοῦ καθαρόν, μὴ σαρκῶν, μὴ σώματος ἀνάπλεων, μὴ ἐν γῇ, μὴ ἐν οὐρανῷ, ἵν' ᾖ καθαρόν; καὶ γὰρ ἐπακτὰ πάντα ταῦτα, καὶ μέμικται, καὶ οὐ πρῶτα, παρ' ἐκείνου δέ. Εἰ οὖν ἐκεῖνο, ὃ χορηγεῖ μὲν ἅπασιν, ἐφ' ἑαυτοῦ δὲ μένον δίδωσι, καὶ οὐ δέχεταί τι εἰς αὐτό, ἴδοι, μένων ἐν τῇ θέᾳ τοῦ τοιούτου, καὶ ἀπολαύων αὐτοῦ, ὁμοιούμενος, τίνος ἂν ἔτι δέοιτο καλοῦ; τοῦτο γὰρ αὐτὸ μάλιστα κάλλος ὂν αὐτὸ καὶ τὸ πρῶτον ἐργάζεται τοὺς ἐραστὰς αὐτοῦ καλούς, καὶ ἐραστοὺς ποιεῖ· οὗ δὴ καὶ ἀγὼν μέγιστος καὶ ἔσχατος ψυχαῖς πρόκειται, ὑπὲρ οὗ καὶ ὁ πᾶς πόνος, μὴ ἀμοίρους γενέσθαι τῆς ἀρίστης θέας, ἧς ὁ μὲν τυχὼν μακάριος, ὄψιν μακαρίαν τεθεαμένος· ἀτυχὴς δὲ οὗτος ὁ μὴ τυχών. Οὐ γὰρ ὁ χρωμάτων ἢ σωμάτων καλῶν μὴ τυχών, οὐδὲ δυνάμεως, οὐδὲ ἀρχῶν, οὐδ' ὁ βασιλείας μὴ τυχών, ἀτυχής, ἀλλ' ὁ τούτου καὶ μόνου, ὑπὲρ οὗ τῆς τεύξεως καὶ βασιλείας καὶ ἀρχὰς γῆς ἁπάσης, καὶ θαλάττης, καὶ οὐρανοῦ προέσθαι χρεών, εἰ καταλιπὼν τις ταῦτα καὶ ὑπεριδὼν εἰς ἐκεῖνο στραφεὶς ἴδοι.

VII. Ascendendum itaque rursus ad ipsum bonum, quod anima omnis appetit. Si quis autem vidit ipsum, novit quod dico, quo pacto sit pulchrum. Appetibile quidem est tanquam bonum, ad idque appetitio tendit. Sequuntur autem ipsum, qui ad superiora conscendunt, convertunturque ad ipsum quatenus exuunt, quae induerant descendendo: quemadmodum, qui in sancta sacrorum penetrant, purgantur prius exuuntque vestes, nudique procedunt, quousque progrediens aliquis dimissis omnibus alienis a deo, se ipso tantum divinum ipsum inspiciat solum sincerum et simplex atque purum, a quo cuncta pendent, ad quod respiciunt et sunt et vivunt atque intelligunt. Causa enim est vitae et mentis atque essendi. Id igitur quisquis videt, quanto, proh Juppiter, ardet amore, quanto desiderio flagrat, in unum congredi vehementer affectans: quam mirabiliter voluptatem cum stupore commiscet! Sic profecto natura comparatum est, ut qui nondum videt, ipsum appetat tanquam bonum: qui vero jam videt, oblectetur velut pulchro, admirationeque cum voluptate pariter impleatur, salutari quodam stupore pulsetur, vero summoque afficiatur amore atque acri affectu, aliosque amores irrideat; quae prius habebantur pulchra contemnat. Quod quidem ferme his quoque contingit, qui, cum obvias habuerint deorum vel daemonum formas, ceterorum deinde corporum formas nihili pendunt. Quidnam igitur acturum putamus eum qui pulchrum ipsum fuerit contemplatus? ipsum, inquam, in se ipso purum: neque carnibus, neque alio corpore praegravatum, neque terra, neque coelo comprehensum, ut videlicet existat purum? Etenim adventitia sunt haec omnia atque mista, itaque nec prima, sed ab ipso procedunt. Si quis ergo illud, quod praebet quidem omnibus munera, manetque interim in se ipso, dum tradit, nec quicquam ab alio recipit, quandoque intueatur, in ejus intuitu permanens; adeoque fruatur, ut similis ipsi fiat, quonam pulchro ulterius indigebit? Id namque cum praecipua primaque ipsa sit pulchritudo, amatores suos pulchros efficit et amabiles. Ubi profecto maximum extremumque animabus propositum est certamen, cujus gratia prorsus elaborandum ne forte relinquamur optimae contemplationis expertes, quam quisquis assequitur, evadit felici visione beatus: contra vero, qui non consequitur, est infelix. Non enim miser est, qui colores pulchros et formosa corpora non consequitur, neque qui a potentia et principatu regnoque excidit: sed qui hujus solius caret possessione, pro qua certe sola regna imperiaque terrae totius et maris atque coeli oportet abjicere, si relictis his omnibus atque spretis ad ipsum quis conversus intueatur.

Pulchritudinem quomodo anima videat. [Animi pater quidem est intellectus ipse divinus, patria vero intellectus illius pulchritudo, miraque series idearum, ad quam redit, cum primum videt. Videt autem eam subito, cum inferiora non videt amplius vel externo vel interno sensu. *Ed. pr.*]

Η'. Τίς οὖν ὁ τρόπος; τίς μηχανή; πῶς τις θεάσηται κάλλος ἀμήχανον, οἷον ἔνδον ἐν ἁγίοις ἱεροῖς μένον, οὐδὲ προϊὸν εἰς τὸ ἔξω, ἵνα τις καὶ βέβηλος ἴδῃ. Ἴτω δὴ καὶ συνεπέσθω εἰς τὸ εἴσω ὁ δυνάμενος, ἔξω καταλιπὼν ὄψιν ὀμμάτων, μηδ' ἐπιστρέφων αὐτὸν εἰς τὰ

VIII. Quis itaque modus? quae machina? quae ratio, qua quis inexistimabilem pulchritudinem contempletur? pulchritudinem, inquam, in sacris adytis constitutam, neque prodeuntem foras, ne quis profanus inspiciat. Ingrediatur ergo atque progrediatur, quicunque potest, in intima, extra relinquens intuitum oculorum, neque solita spectacula

προτέρας ἀγλαΐας σωμάτων. Ἰδόντα γὰρ δεῖ τὰ ἐν σώμασι καλὰ μή τι προστρέχειν, ἀλλὰ γνόντας, ὡς εἰσὶν εἰκόνες καὶ ἴχνη καὶ σκιαί, φεύγειν πρὸς ἐκεῖνο, οὗ ταῦτα εἰκόνες. Εἰ γάρ τις ἐπιδράμοι, λαβεῖν βουλόμενος ὡς ἀληθινόν, οἷα εἰδώλου καλοῦ ἐφ' ὕδατος ὀχουμένου, οὗ λαβεῖν βουληθείς, ὥς πού τις μῦθος δοκῶ μοι αἰνίττεται, δὺς εἰς τὸ κάτω τοῦ ῥεύματος ἀφανὴς ἐγένετο· τὸν αὐτὸν δὴ τρόπον ὁ ἐχόμενος τῶν καλῶν σωμάτων, καὶ μὴ ἀφιείς, οὐ τῷ σώματι, τῇ δὲ ψυχῇ καταδύσεται εἰς σκοτεινὰ καὶ ἀτερπῆ τῷ νῷ βάθη, ἔνθα τυφλὸς ἐν ᾅδου μένων, καὶ ἐνταῦθα κἀκεῖ σκιαῖς συνέσται. Φεύγωμεν δὴ φίλην ἐς πατρίδα, ἀληθέστερον ἄν τις παρακελεύοιτο. Τίς οὖν ἡ φυγή; καὶ πῶς ἀναξόμεθα, οἷον ἀπὸ μάγου Κίρκης φησὶν ἢ Καλυψοῦς Ὀδυσσεὺς αἰνιττόμενος, δοκεῖ μοι, μεῖναι οὐκ ἀρεσθείς, καίτοι ἔχων ἡδονὰς δι' ὀμμάτων, καὶ κάλλει πολλῷ αἰσθητῷ συνών. Πατρὶς δὲ ἡμῖν ὅθεν παρήλθομεν, καὶ πατὴρ ἐκεῖ. Τίς οὖν ὁ στόλος καὶ ἡ φυγή; οὐ ποσὶ δεῖ διανύσαι, πανταχοῦ γὰρ φέρουσι πόδες ἐπὶ γῆν ἄλλην ἀπ' ἄλλης· οὐδέ σε δεῖ ἵππων ὄχημα ἤ τι θαλάττιον παρασκευάσαι, ἀλλὰ ταῦτα πάντα ἀφεῖναι δεῖ, καὶ μὴ βλέπειν, ἀλλ', οἷον μύσαντα, ὄψιν ἄλλην ἀλλάξασθαι καὶ ἀνεγεῖραι, ἣν ἔχει μὲν πᾶς, χρῶνται δὲ ὀλίγοι.

sensuum ulterius a tergo respiciens. Oportet enim hunc intuentem nihil penitus corporeæ pulchritudinis ultra spectare, sed, cognoscentem corporea hæc esse imagines vestigiaque et umbras, ad illud omnino confugere, cujus hæc simulacra sunt. Si quis enim ad hæc procurrat, quasi vera capessens, quæ tamen velut formosæ imagines apparent in aqua, idem procul dubio patietur, quod (ut fabula tradit) ille perpessus est, qui umbram capture contendens in aquam sese mersit atque disperiit. Simili namque pacto, qui formas corporum amplexatur, neque inde discedit, non tam corpore quam animo in profundum tenebrosum mentique horrendum præcipitatur, ubi et apud inferos cæcus et hic manens utrobique versabitur inter umbras. Hic igitur verius admodum aliquis proclamabit: Abeamus hinc, amici, in patriam dulcem confugientes. Quænam igitur fugiendi ratio, et qua via veneficia Circes Calypsusque devitabimus? Quod quidem licet perobscure Ulixis significat fabula: quæ illum fingit manere nolentem, quamvis spectacula illi oculis jucunda occurrerent, et cetera, quæ sensus oblectant, promitterentur. Patria vero nostra ibi est, unde venimus, ibidem quoque pater. Quænam igitur profectio et quæ fuga? Haud sane pedibus est fugiendum. Pedes enim ab alia passim id aliam ferunt terram. Neque rursus equos ad vehendum, neque naves ad navigandum hujus gratia parare debemus: imo vero hæc cuncta dimittere, neque prospicere quidem, sed visu corporis clauso alterum pro hoc visum assumere atque suscitare, quem habent quidem omnes, utuntur vero perpauci.

Quomodo anima tandem ad veram pulchritudinem perveniat, et qualis illa pulchritudo. [Oculus animæ intimus est ratio contemplatrix. Intellectus autem animæ proprius est hujus oculi lumen. Ipsum denique bonum est lux paterque luminum. Anima igitur cum oculum ab exterioribus prorsus avertit, subito ad intima convertit lumina atque lucem, evaditque non solum luminosa, sed lumen. *Ed. pr.*]

Θ'. Τί οὖν ἐκείνη, ἡ ἔνδον βλέπει; ἄρτι μὲν ἐγειρομένη οὐ πάνυ τὰ λαμπρὰ δύναται βλέπειν. Ἐθιστέον οὖν τὴν ψυχὴν αὐτὴν πρῶτον μὲν τὰ καλὰ βλέπειν ἐπιτηδεύματα· εἶτα ἔργα καλά, οὐχ ὅσα αἱ τέχναι ἐργάζονται, ἀλλ' ὅσα οἱ ἄνδρες οἱ λεγόμενοι ἀγαθοί· εἶτα ψυχὴν ἰδὲ τῶν τὰ ἔργα τὰ καλὰ ἐργαζομένων. Πῶς ἂν οὖν ἴδοις ψυχὴν ἀγαθὴν οἷον τὸ κάλλος ἔχει; Ἄναγε ἐπὶ σαυτὸν καὶ ἰδέ· κἂν μήπω σαυτὸν ἴδῃς καλόν, οἷα ποιητὴς ἀγάλματος, ὃ δεῖ καλὸν γενέσθαι, τὸ μὲν ἀφαιρεῖ, τὸ δὲ ἀπέξεσε, τὸ δὲ λεῖον, τὸ δὲ καθαρὸν ἐποίησεν, ἕως ἔδειξε καλὸν ἐπὶ τῷ ἀγάλματι πρόσωπον· οὕτω καὶ σὺ ἀφαίρει ὅσα περιττά, καὶ ἀπεύθυνε ὅσα σκολιά, ὅσα σκοτεινὰ καθαίρων, ἐργάζου εἶναι λαμπρά, καὶ μὴ παύσῃ τεκταίνων τὸ σὸν ἄγαλμα, ἕως ἂν ἐκλάμψειέ σοι τῆς ἀρετῆς ἡ θεοειδὴς ἀγλαΐα, ἕως ἂν ἴδῃς σωφροσύνην ἐν ἁγνῷ βεβῶσαν καθαρῷ. Εἰ γέγονας τοῦτο, καὶ εἶδες αὐτό, καὶ σαυτῷ καθαρῶς συνεγένου, οὐδὲν ἔχων ἐμπόδιον πρὸς τὸ εἷς οὕτω γενέσθαι, οὐδὲ σὺν αὐτῷ ἄλλο τι ἐντὸς μεμιγμένον ἔχων, ἀλλ' ὅλως αὐτὸς φῶς ἀληθινὸν μόνον, οὐ μεγέθει μεμετρημένον, οὐδὲ σχήματι εἰς ἐλάττωσιν περιγραφέν, οὐδ' αὖ εἰς μέγεθος δι' ἀπειρίας αὐξηθέν, ἀλλὰ ἀμέτρητον πανταχοῦ, ὡς ἂν μεῖζον παντὸς μέτρου, καὶ παντὸς κρεῖσσον ποσοῦ· εἰ τοῦτο γενόμενον σαυτὸν ἴδοις, ὄψις ἤδη γενόμενος, θαρσήσας περὶ σαυτῷ καὶ ἐνταῦθα ἤδη ἀναβεβηκώς, μηκέτι τοῦ δεικνύντος δεηθείς, ἀτε-

IX. Quidnam igitur intimus ille oculus inspicit? Profecto subito experrectus haud valde lucida potest aspicere. Assuefaciendus igitur animus primo quidem studia pulchra considerare, deinde opera pulchra: opera, inquam, non quæ fiunt ab artibus, sed quæ a viris probis aguntur: post hæc eorum animum, qui talia gerunt, debes inspicere. Quonam igitur pacto, quale sit animi boni decus, inspicies? Age, te revoca in te ipsum, atque contemplare; ac si nondum te cognosces pulchrum, statuarium imitabere. Ille enim, ubi statuam optat pulchram, partim quidem abscindit, partim quoque dirigit et expoliturus abradit, partim levigat et abstergit, donec faciem in statua exprimat speciosam. Ita et tu tolle supervacua, obliqua dirige, obscura purgando collustra, neque desinas circa statuam tuam elaborare, quousque divinus virtutis fulgor tibi subrutilet, quoad temperantiam cernas firmiter in majestate pura sanctaque sedentem. Si hoc ipsum evaseris, atque ipsum simulque te ipsum inspexeris, ac pure jam habitaveris ipse tecum, nihil videlicet habens impedimenti, quo minus sic unus efficiaris, neque rursus habens aliud quicquam tecum intus admixtum, sed totus ipse verum solumque lumen: lumen, inquam, non magnitudine mensuratum, non coarctante figura aliqua circumscriptum, non magnitudine tumidum, licet immensum, sed immensurabile passim, tanquam omni mensura majus, omni quantitate præstantius: si te ipsum, inquam, id factum videris, visus ipse jam factus, atque te ipso fretus eoque progressus, ut duce amplius indiceque non egens: fige jam prorsus

νίσας ἴδε· οὗτος γὰρ μόνος ὁ ὀφθαλμὸς τὸ μέγα κάλλος βλέπει. Ἐὰν δὲ ἴῃ ἐπὶ τὴν θέαν λημῶν κακίαις, καὶ οὐ κεκαθαρμένος, ἢ ἀσθενὴς ἀνανδρίᾳ, οὐ δυνάμενος τὰ πάνυ λαμπρὰ βλέπειν, οὐδὲν βλέπει, κἂν ἄλλος δεικνύῃ παρὸν τὸ ὁραθῆναι δυνάμενον. Τὸ γὰρ ὁρῶν πρὸς τὸ ὁρώμενον συγγενὲς καὶ ὅμοιον ποιησάμενον δεῖ ἐπιβάλλειν τῇ θέᾳ. Οὐ γὰρ ἂν πώποτε εἶδεν ὀφθαλμὸς ἥλιον ἡλιοειδὴς μὴ γεγεννημένος· οὐδὲ τὸ καλὸν ἂν ἴδοι ψυχὴ μὴ καλὴ γενομένη. Γενέσθω δὴ πρῶτον θεοειδὴς πᾶς, καὶ καλὸς πᾶς, εἰ μέλλει θεάσασθαι θεόν τε καὶ καλόν. Ἥξει γὰρ πρῶτον ἀναβαίνων ἐπὶ τὸν νοῦν, κἀκεῖ πάντα εἴσεται καλὰ τὰ εἴδη, καὶ φήσει τὸ κάλλος τοῦτο εἶναι τὰς ἰδέας. Πάντα γὰρ ταύταις καλὰ τοῖς νοῦ γεννήμασι καὶ οὐσίᾳ. Τὸ δὲ ἐπέκεινα τούτου τὴν τοῦ ἀγαθοῦ λέγομεν φύσιν, προβεβλημένον τὸ καλὸν πρὸ αὐτῆς ἔχουσαν· ὥστε ὁλοσχερεῖ μὲν λόγῳ τὸ πρῶτον καλόν. Διαιρῶν δὲ τὰ νοητά, τὸ μὲν νοητὸν καλὸν, τὸν τῶν εἰδῶν φήσει τόπον· τὸ δ' ἀγαθὸν τὸ ἐπέκεινα, καὶ πηγὴν καὶ ἀρχὴν τοῦ καλοῦ· ἢ ἐν τῷ αὐτῷ τὸ ἀγαθὸν καὶ καλὸν πρῶτον θήσεται, πλὴν ἐκεῖ τὸ καλόν.

intuitum: solus namque hic oculus ingentem inspicit pulchritudinem. At vero, si forte oculus vel sordibus infectus, nec dum purgatus, vel ignavia debilis in spectaculum lucidissimum intendatur, caligabit protinus, nihilque discernet, vel si præsens quispiam spectaculum, quod alioquin cerni valeat, demonstraverit. Oportet enim videntem viso cognatum similemque prius efficere, quam ad spectandum adhibeatur. Neque vero oculus unquam videret solem, nisi factus solaris esset; neque rursus animus, nisi factus sit pulcher, ipsam pulchritudinem intuebitur. Efficiatur ergo divinus sive deiformis quilibet atque pulcher, si modo deum sit et pulchritudinem inspecturus. Sic enim primum ascendet in mentem, ibique pulchras omnes *species contemplabitur, atque affirmabit pulchritudinem* illam ideas esse. Cuncta namque his pulchra sunt, genituris videlicet mentis ejusque substantiæ. Quod autem his superius est, dicimus ipsius boni naturam, pulchrum *circa se effundentem; quapropter ratione quidem eloquu*tioneque integra id primum occurrit diciturque pulchrum. At si intelligibilia ipsa distinxeris, pulchritudinem quidem intelligibilem esse dices habitaculum idearum; ipsum vero bonum, quod superius est, fontem principiumque pulchri; vel forte in eodem ipsum bonum primumque pulchrum pones præter id, quod illic pulchrum.

# ΕΝΝΕΑΔΟΣ Α

## ΛΟΓΟΣ Ζ.

### ΠΕΡΙ ΤΟΥ ΠΡΩΤΟΥ ΑΓΑΘΟΥ, ΚΑΙ ΤΩΝ ΑΛΛΩΝ ΑΓΑΘΩΝ.

# ENNEADIS PRIMÆ

## LIBER VII.

### DE PRIMO BONO ATQUE ALIIS BONIS.

(61,62.) [120—122.]

Proprium unicuique bonum est appetendo et agendo converti ad ipsum universi bonum : ipsum vero bonum non actione ulla, sed se ipso bonum est.

Α'. Ἆρ' ἄν τις ἕτερον εἴποι ἀγαθὸν ἑκάστῳ εἶναι, ἢ τὴν κατὰ φύσιν τῆς ζωῆς ἐνέργειαν; καὶ εἴ τι ἐκ πολλῶν εἴη, τούτῳ εἶναι ἀγαθὸν τὴν τοῦ ἀμείνονος ἐν αὐτῷ ἐνέργειαν, οἰκείαν καὶ κατὰ φύσιν ἀεὶ, μηδὲν ἐλλείπουσαν; ψυχῆς δὴ ἐνέργεια τὸ κατὰ φύσιν ἀγαθὸν αὐτῇ. Εἰ δὲ καὶ πρὸς τὸ ἄριστον ἐνεργοῖ, ἀρίστη οὖσα, οὐ μόνον πρὸς αὐτὴν τὸ ἀγαθὸν, ἀλλὰ καὶ ἁπλῶς τοῦτο ἀγαθὸν ἂν εἴη. Εἰ οὖν τι μὴ πρὸς ἄλλο ἐνεργεῖ, ἄριστον ὂν τῶν ὄντων καὶ ἐπέκεινα τῶν ὄντων, πρὸς αὐτὸ δὲ τὰ ἄλλα, δῆλον ὡς τοῦτο ἂν εἴη τὸ ἀγαθὸν, δι' ὃ καὶ τοῖς ἄλλοις ἀγαθοῦ μεταλαμβάνειν ἐστί· τὰ δὲ ἄλλα διχῶς ἂν ἔχοι, ὅσα οὕτω τὸ ἀγαθὸν καὶ τῷ πρὸς αὐτὸ ὡμοιῶσθαι καὶ τῷ πρὸς αὐτὸ τὴν ἐνέργειαν ποιεῖσθαι. Εἰ οὖν ἔφεσις καὶ ἐνέργεια πρὸς τὸ ἄριστον ἀγαθὸν, δεῖ τὸ ἀγαθὸν μὴ πρὸς ἄλλο βλέπειν, μηδὲ ἐφιέμενον ἄλλου ἐν ἡσύχῳ οὖσαν πηγὴν καὶ ἀρχὴν ἐνεργειῶν κατὰ φύσιν οὖσαν, καὶ τὰ ἄλλα ἀγαθοειδῆ ποιοῦσαν οὐ τῇ πρὸς ἐκεῖνα ἐνεργείᾳ· ἐκεῖνα γὰρ πρὸς αὐτήν· οὐ τῇ ἐνεργείᾳ οὐδὲ τῇ νοήσει τἀγαθὸν εἶναι, ἀλλ' αὐτῇ τῇ μονῇ τἀγαθὸν εἶναι. Καὶ γὰρ ὅτι ἐπέκεινα οὐσίας, ἐπέκεινα καὶ ἐνεργείας, καὶ ἐπέκεινα νοῦ καὶ νοήσεως. Καὶ γὰρ αὖ τοῦτο δεῖ τἀγαθὸν τίθεσθαι, εἰς ὃ πάντα ἀνήρτηται, αὐτὸ δὲ εἰς μηδέν. Οὕτω γὰρ καὶ ἀληθὲς τὸ οὗ πάντα ἐφίεται. Δεῖ οὖν μένειν αὐτὸ, πρὸς αὐτὸ δὲ ἐπιστρέφειν πάντα, ὥσπερ κύκλον πρὸς κέντρον, ἀφ' οὗ πᾶσαι γραμμαί. Καὶ παράδειγμα ὁ ἥλιος, ὥσπερ κέντρον ὢν πρὸς τὸ φῶς τὸ παρ' αὐτοῦ ἀνηρτημένον πρὸς αὐτόν· πανταχοῦ γοῦν μετ' αὐτοῦ καὶ οὐκ ἀποτέτμηται, κἂν ἀποτεμεῖν ἐθελήσῃς ἐπὶ θάτερα, πρὸς τὸν ἥλιόν ἐστι τὸ φῶς.

I. An potest quispiam aliud suum cuique bonum dicere præter naturalem vitæ actionem? Ac si quid componatur ex multis, inde bonum esse ipsam ejus, quod est in eo melius, actionem propriam semper, naturæque consentaneam, et nulla ex parte deficientem? Animæ itaque actio secundum naturam ipsius est bonum. Quod si ad optimum insuper agat, si quidem ipsa sit optima, non solum, quod ad ipsam spectat, id bonum est, verum etiam simpliciter exsistit bonum. Si quid igitur ad aliud quicquam minime agat, quippe cum ipsum sit omnium præstantissimum superque omnia, ad ipsum vero agant cetera, constat id ipsum esse bonum, cujus virtute cetera quoque bona participia sunt. Cetera vero duobus præcipue modis ita bonum habent : cum quia illi similia facta sint, tum quia operentur ad ipsum. Proinde si appetitio actioque ad optimum est bonum, consequens est, ipsum bonum ad aliud non aspicere nihilque aliud exoptare : esse vero fontem quietumque omnino principium omnium secundum naturam exordium actionum : quod quidem cetera ad sui similitudinem efficit bona : efficit, inquam, non actione aliqua circa illa : illa enim circa ipsum agunt. Id itaque constat, neque intelligentia neque actione prorsus ulla, imo ipsa permansione bonum exsistere. Etenim quia super essentiam exstat, rursus super actionem et intellectum intelligentiamque exsistit. Quin etiam id ipsum bonum oportet asserere, ad quod omnia referuntur, ipsum vero ad aliud non refertur. Sic enim illud quoque verum constat, ipsum bonum esse, quod omnia appetunt. Oportet itaque ipsum firmiter permanere et ad seipsum cuncta convertere : quemadmodum revolvitur circulus circa centrum, a quo lineæ singulæ producuntur. Exemplo nobis ad id sol esse potest, qui quasi centrum est ad lumen, quod ab ipso pendet, simul ad ipsumque annectitur, ideoque una cum illo exsistit ubique, nec ab illo alicubi separatur : ac si separatum volueris in partem alteram, penes solem interea viget lumen.

In omnibus est aliquid ipsius boni, i. e. unitas, essentia, species : et ubi hæc tria sunt vera, ibi quoque verum bonum.

Β'. Τὰ δ' ἄλλα πάντα πρὸς αὐτὸ πῶς; ἢ τὰ μὲν ἄψυχα πρὸς ψυχὴν, ψυχὴ δὲ πρὸς αὐτὸ διὰ νοῦ. Ἔχει δέ τι αὐτοῦ τῷ ἕν πως καὶ τῷ ὄν πως ἕκαστον εἶναι, καὶ μετέχει δὲ καὶ εἴδους. Ὡς οὖν μετέχει τούτων, οὕτω καὶ τοῦ ἀγαθοῦ, εἰδώλου ἄρα· ὧν γὰρ μετέχει, εἴδωλα ὄντος καὶ ἑνός, καὶ τὸ εἶδος ὡσαύτως. Ψυχῇ δὲ τὸ ζῆν, τῇ μὲν πρώτῃ τῇ μετὰ νοῦν, ἐγγυτέρω ἀληθείας καὶ διὰ νοῦ· ἀγαθοειδὲς αὕτη· ἔχοι δ' ἂν τὸ ἀγαθὸν, εἰ πρὸς ἐκεῖνο βλέποι· νοῦς δὲ μετὰ τἀγαθόν. Ζωὴ τοίνυν, ὅτῳ τὸ ζῆν τὸ ἀγαθὸν, καὶ νοῦς, ὅτῳ νοῦ μέτεστιν. Ὥστε ὅτῳ ζωὴ μετὰ νοῦ, διχῶς καὶ ἐπ' αὐτό.

II. Alia vero omnia quonam pacto ad ipsum referuntur? profecto inanimata ad animam reducuntur, anima vero ad ipsum bonum per intellectum. Habet autem quodlibet ipsius aliquid, quatenus unum quodammodo et ens est unumquodque speciei que particeps. Qua igitur ratione horum est particeps, eadem quoque boni : quapropter est simulacri particeps. Ea enim quæ participat, simulacra entis unius que censentur : species quoque similiter. At in anima prima intellectui proxima vivere est veritati propinquius, bonique formam sortitur per intellectum : sortitur, inquam, si ipsum suspiciat bonum : intellectus autem post ipsum bonum sedem obtinet. Quamobrem vita illis, quibus vivere datum est, bonum est judicanda : similiter intellectus quibuscunque intelligentia convenit. Itaque ubicunque vita una cum intellectu viget, dupliciter adest bonum.

Tres quaestiones de vita et morte movet et solvit, quod videlicet neutrum sit per se simpliciter bonum aut malum.

Γʹ. Εἰ δ' ἡ ζωὴ ἀγαθόν, ὑπάρχει τοῦτο ζῶντι παντί, ἢ οὔ· χωλεύει γὰρ ἡ ζωὴ τῷ φαύλῳ, ὥσπερ ὄμματι μὴ καθαρῶς ὁρῶντι· οὐ γὰρ ποιεῖ τὸ ἔργον αὐτοῦ. Εἰ δὴ ἡ ζωὴ ἡμῖν, ᾗ μέμικται, κακὸν ἀγαθόν, πῶς οὐχ ὁ θάνατος κακόν; ἢ τίνι; Τὸ γὰρ κακὸν συμβεβηκέναι δεῖ τῳ. Ὃ δ' οὐκ ἔστιν ἔτι ὄν, ἢ εἰ ἔστιν ἐστερημένον ζωῆς, οὐδ' οὕτω κακὸν τῷ λίθῳ. Εἰ δ' ἔστι ζωὴ καὶ ψυχὴ μετὰ θάνατον, ἤδη ἂν εἴη ἀγαθόν, ὅσῳ μᾶλλον ἐνεργεῖ τὰ αὐτῆς ἄνευ σώματος. Εἰ δὲ τῆς ὅλης γίνεται, τί ἂν ἐκεῖ οὔσῃ εἴη κακόν; καὶ ὅλως ὥσπερ τοῖς θεοῖς ἀγαθὸν μέν ἐστι, κακὸν δὲ οὐδέν, οὕτως οὐδὲ τῇ ψυχῇ τῇ σωζούσῃ τὸ καθαρὸν αὐτῆς· εἰ δὲ μὴ σώζοι, οὐχ ὁ θάνατος ἂν εἴη κακὸν αὐτῇ, ἀλλ' ἡ ζωή, [ὅτι μὴ ζωή]. Εἰ δὲ καὶ ἐν ᾅδου δίκαι, πάλιν αὐτῇ ἡ ζωὴ κἀκεῖ κακόν, ὅτι μὴ ζωὴ μόνον. Ἀλλ' εἰ σύνοδος μὲν ψυχῆς καὶ σώματος ζωή, θάνατος δὲ διάλυσις τούτων, ἡ ψυχὴ ἔσται ἀμφοτέρων δεκτική. Ἀλλ' εἰ ἀγαθὸν ἡ ζωή, πῶς ὁ θάνατος οὐ κακόν; ἢ ἀγαθὴ μὲν ἡ ζωὴ οἷς ἐστιν ἀγαθόν, οὐ καθόσον σύνοδος, ἀλλ' ὅτι δι' ἀρετῆς ἀμύνεται τὸ κακόν· ὁ δὲ θάνατος μᾶλλον ἀγαθόν. Ἢ λεκτέον αὐτὴν μὲν τὴν ἐν σώματι ζωὴν κακὸν μὲν παρ' αὐτῆς, τῇ δὲ ἀρετῇ ἐν ἀγαθῷ γίνεσθαι τὴν ψυχὴν οὐ σώζουσαν τὸ σύνθετον, ἀλλ' ἤδη χωρίζουσαν ἑαυτήν.

III. Quodsi vita bonum est, fortasse id viventi cuilibet competit? Imo vero non competit: prava enim vita claudicat, non aliter quam oculo non pure videnti: quippe cum opus proprium minime peragat. Proinde si vita nobis, quatenus mixta est, malum bonum est, cur non mors sit malum? Sed cuinam malum? Malum namque alicui oportet accidere. Quod vero mortuum dicitur, non est amplius: aut si est, vita carens, neque sic lapidi malum. At si est vita animaque post mortem, jam utique erit bonum, quanto magis actiones suas absque corpore peragit. Quod si totius animae comes evadit, quidnam illic viventi malum accidere poterit? Jam vero quemadmodum penes deos bonum est sine admistione malorum, ita penes animam nihil omnino malum est, modo suam servaverit puritatem: quam nisi servaverit, non mors quidem illi, sed vita malum. Praeterea si apud inferos poenae luuntur, rursus vita illic animae malum, quoniam non vita solum. Verum *si vita est animae corporisque copula, mors autem horum* solutio, utrumque anima suscipere poterit. At si bona vita est, cur mors non erit malum? Sed certe bona quidem vita est, quibus adest bonum, non quidem ratione copulae, sed quoniam malum virtute propulsat: mors vero magis bonum. Summatim vero dicendum, ipsam in corpore vitam ex se quidem esse malum, sed animam per virtutem in bono constitui, non ut servat vivificatque compositum, sed jam se ipsam a corporis commercio segregat.

# ΕΝΝΕΑΔΟΣ Α

## ΛΟΓΟΣ Η.

### ΠΕΡΙ ΤΟΥ ΤΙΝΑ, ΚΑΙ ΠΟΘΕΝ ΤΑ ΚΑΚΑ.

# ENNEADIS PRIMÆ

## LIBER VIII.

### QUÆ ET UNDE SINT MALA.

[72, 73.]

[130 – 138.]

Quaestiones quatuor de bono et malo

Α'. Οἱ ζητοῦντες πόθεν τὰ κακὰ, εἴτ' οὖν εἰς τὰ ὄντα, εἴτε περὶ γένος τῶν ὄντων παρελήλυθεν, ἀρχὴν ἂν προσήκουσαν τῆς ζητήσεως ποιοῖντο, εἰ, τί ποτ' ἐστὶ τὸ κακὸν, καὶ ἡ κακοῦ φύσις, πρότερον ὑποθοῖντο. Οὕτω γὰρ, καὶ ὅθεν ἐλήλυθε, καὶ ὅπου ἵδρυται, καὶ ὅτῳ συμβέβηκε, γνωσθείη, καὶ ὅλως, εἰ ἔστιν ἐν τοῖς οὖσιν, ὁμολογηθείη. Κακοῦ δὲ φύσιν τίνι ποτὲ δυνάμει τῶν ἐν ἡμῖν γνοίημεν ἂν, τῆς γνώσεως ἑκάστων δι' ὁμοιότητος γιγνομένης, ἄπορον ἂν εἴη. Νοῦς μὲν γὰρ καὶ ψυχὴ εἴδη ὄντα εἰδῶν καὶ τὴν γνῶσιν ἂν ποιοῖντο, καὶ πρὸς αὐτὰ ἂν ἔχοιεν τὴν ὄρεξιν. Εἶδος δὲ τὸ κακὸν πῶς ἄν τις φαντάζοιτο ἐν ἀπουσίᾳ παντὸς ἀγαθοῦ ἐνδαλλόμενον; ἀλλ' εἰ, ὅτι τῶν ἐναντίων ἡ αὐτὴ γένοιτ' ἂν ἐπιστήμη, καὶ τῷ ἀγαθῷ ἐναντίον τὸ κακὸν, ἥπερ τοῦ ἀγαθοῦ καὶ τοῦ κακοῦ ἔσται, ἀναγκαῖον περὶ ἀγαθοῦ διϊδεῖν τοῖς μέλλουσι τὰ κακὰ γνώσεσθαι· ἐπείπερ προηγούμενα τὰ ἀμείνω τῶν χειρόνων, καὶ εἴδη, τὰ δὲ οὒ, ἀλλὰ στέρησις μᾶλλον. Ζήτημα δ' ὅμως καὶ πῶς ἐναντίον τὸ ἀγαθὸν τῷ κακῷ· εἰ μὴ ἄρα, ὡς τὸ μὲν ἀρχὴ, τὸ δὲ ἔσχατον· ἢ τὸ μὲν ὡς εἶδος, τὸ δὲ ὡς στέρησις. Ἀλλὰ ταῦτα μὲν ὕστερον.

I. Quicunque perquirunt, unde mala sive circa res sive circa aliquod rerum genus inciderint, conveniens investigationis exordium facient, si prius quidnam sit [*Ed. pr.* est] malum et naturam mali proponant. Sic enim unde venerit, ubi fundetur, cui accidat malum, apparebit: atque omnino sicubi est in rerum natura, constabit. Ceterum dubium est, quanam potissimum, ex viribus quae nobis insunt, mali naturam percipiamus: quippe cum cognitio singulorum per similitudinem quandam perficiatur. Intellectus namque et anima cum species quaedam sint, species quoque cognoscunt, speciesque naturaliter appetunt. At vero malum nemo sub speciei ratione potest effingere, cum in quadam boni totius absentia cogitetur. Quodsi, quia contrariorum eadem scientia est, et bono contrarium est malum, ideo eadem boni malique notitia erit, profecto necessarium est cognituros mala discernere bonum: quandoquidem praestantiora rite deteriora praecedunt, ac species antecedunt ea, quae non species, sed privationes potius judicantur. Quaestione rursus dignum est, quonam modo bonum sit malo contrarium. Fortasse enim, quoniam illud quidem primum est, hoc vero postremum: aut certe illud velut species, hoc ceu privatio. Sed de his opportunius in sequentibus.

Descriptio boni: et quousque bona sint pura: et quomodo intellectus proxime fruatur bono, anima vero per intellectum.

Β'. Νῦν δὲ λεγέσθω, τίς ἡ τοῦ ἀγαθοῦ φύσις, καθόσον τοῖς παροῦσι λόγοις προσήκει. Ἔστι δὲ τοῦτο, εἰς ὃ πάντα ἀνήρτηται, καὶ οὗ πάντα τὰ ὄντα ἐφίεται, ἀρχὴν ἔχοντα αὐτὸ κἀκείνου δεόμενα. Τὸ δ' ἐστὶν ἀνενδεὲς, ἱκανὸν ἑαυτῷ, μηδενὸς δεόμενον, μέτρον πάντων καὶ πέρας, δοὺς ἐξ αὐτοῦ νοῦν καὶ οὐσίαν καὶ ψυχὴν καὶ ζωὴν καὶ περὶ νοῦν ἐνέργειαν. Καὶ μέχρι μὲν τούτου καλὰ πάντα· αὐτός τε γὰρ ὑπέρκαλος, καὶ ἐπέκεινα τῶν ἀρίστων, βασιλεύων ἐν τῷ νοητῷ, νοῦ ἐκείνου ὄντος, οὐ κατὰ νοῦν, ὃν οἰηθείη ἄν τις κατὰ τοὺς παρ' ἡμῖν λεγομένους νοῦς εἶναι, τοὺς ἐκ προτάσεων συμπληρουμένους, καὶ τῶν λεγομένων συνιέναι δυναμένους, λογιζομένους τε καὶ τοῦ ἀκολούθου θεωρίαν ποιουμένους, ὡς ἐξ ἀκολουθίας τὰ ὄντα θεωμένους, ὡς πρότερον οὐκ ἔχοντας, ἀλλὰ κενοὺς ἔτι πρὶν μαθεῖν ὄντας, καίτοι νοῦς ὄντας. Οὐ δὴ ἐκεῖνος ὁ νοῦς τοιοῦτος, ἀλλ' ἔχει πάντα, καὶ ἔστι πάντα, καὶ σύνεστιν αὑτῷ συνὼν, καὶ ἔχει πάντα οὐκ ἔχων· οὐ γὰρ ἄλλα, ὁ δὲ ἄλλος· οὐδὲ χωρὶς ἕκαστον τῶν ἐν αὐτῷ· ὅλον τε γάρ ἐστιν ἕκαστον, καὶ πανταχῇ πᾶν, καὶ οὐ συγκέχυται, ἀλλὰ αὖ χωρίς. Τὸ γοῦν μεταλαμβάνον, οὐχ ὁμοῦ πάντων, ἀλλ' ὅσου δύναται, μεταλαμβάνει. Καὶ ἔστι πρώτη ἐνέργεια ἐκείνου καὶ πρώτη οὐσία,

II. In praesentia vero nobis dicendum est quae sit boni natura, quantum praesens disputatio postulat. Est autem hoc, a quo omnia pendent quodve omnia appetunt, accipientia ab ipso principium ejusque penitus indiga: ipsum vero nullius egenum, ipsum sibi sufficiens, nihil penitus appetens, mensura omnium atque terminus, ex seipso producens intellectum, essentiam, animam, vitam, rursus actionem circa intellectum. Huc usque pulchra sunt omnia, ipsum vero pulchrum, et super ea quae sunt optima, in mundo regnans intelligibili: qui sane intellectus est: intellectus, inquam, non qualem quis forsitan putaret, existimans similem esse horum qui apud nos intellectus esse dicuntur, qui ex propositione impleri solent, et quae ratiocinando colliguntur [*Ed. pr.* et quae dicuntur] percipere possunt: item ratiocinantur, quidve ex quoque sequatur, excogitant et res per consequentiam speculantur: utpote qui antea non habuerint, sed, antequam discerent, vacui fuerint, quamvis tunc etiam intellectus exstiterint. Intellectus ille, inquam, non est talis, sed habet omnia, est omnia, secum habitat, sibi prorsus unitus, habet cuncta, non habens: non enim ea possidet tanquam alia, nec ipse existit alius, neque, quae sunt in eo, singula segregantur a singulis: imo vero quodlibet est universum et ubique totum, neque tamen confunduntur cuncta, sed rursus singula discernuntur. Quod ergo hujus fit particeps, non simul omnia, sed, quod potest, participat. Est idem pri

ἐκείνου μένοντος ἐν ἑαυτῷ. Ἐνεργεῖ μέντοι περὶ ἐκεῖνον, οἷον περὶ ἐκεῖνον ζῶν. Ἡ δὲ ἔξωθεν περὶ τοῦτον χορεύουσα ψυχή, περὶ αὐτὸν βλέπουσα καὶ τὸ εἴσω αὐτοῦ θεωμένη, τὸν θεὸν δι' αὐτοῦ βλέπει· καὶ οὗτος ὁ θεῶν ἀπήμων καὶ μακάριος ὁ βίος, καὶ τὸ κακὸν οὐδαμοῦ ἐνταῦθα· καὶ εἰ ἐνταῦθα ἔστη, κακὸν οὐδὲν ἂν ἦν. Ἀλλὰ πρῶτα καὶ δεύτερα τἀγαθὰ καὶ τρίτα περὶ τὸν πάντων βασιλέα πάντα ἐστί, καὶ ἐκεῖνο αἴτιον πάντων καλῶν, καὶ πάντα ἐστὶν ἐκείνου. Καὶ δεύτερον περὶ τὰ δεύτερα, καὶ τρίτον περὶ τὰ τρίτα.

mus ac lucidius, primaque essentia, illo videlicet in seipso manente. Agit sane circa illum, tanquam circa illum vivens. Proinde anima extrinsecus circa hunc se versans ipsum circumspicit: quin etiam intima ejus inspiciens, per ipsum videt et deum: atque haec est illaesa felixque deorum vita, a malis omnino semota. Quodsi hic sisteret natura, malum, nusquam foret malum. At vero sunt prima bona, sunt et secunda, sunt quoque tertia: cunctaque circa regem universorum; ipseque rex bonorum omnium causa est, et illius gratia omnia. Denique circa secundum secunda sunt, et tertia circa tertium.

Malum non est in his quae vere sunt, sed in his quae aut non vere sunt, aut ad illa quae non vere sunt inclinantur.

Γ'. Εἰ δὴ ταῦτά ἐστι τὰ ὄντα καὶ τὸ ἐπέκεινα τῶν ὄντων, οὐκ ἂν ἐν τοῖς οὖσι τὸ κακὸν ἐνείη, οὐδ' ἐν τῷ ἐπέκεινα τῶν ὄντων· ἀγαθὰ γὰρ ταῦτα. Λείπεται τοίνυν, εἴπερ ἔστιν, ἐν τοῖς μὴ οὖσιν εἶναι, οἷον εἶδός τι τοῦ μὴ ὄντος ὄν, καὶ περί τι τῶν μεμιγμένων τῷ μὴ ὄντι, ἢ ὁπωσοῦν κοινωνούντων τῷ μὴ ὄντι. Μὴ ὂν δὲ οὔτι τὸ παντελῶς μὴ ὄν, ἀλλ' ἕτερον μόνον τοῦ ὄντος. Οὐχ οὕτω δὲ μὴ ὄν, ὡς κίνησις καὶ στάσις ἡ περὶ τὸ ὄν, ἀλλ' ὡς εἰκὼν τοῦ ὄντος, ἢ καὶ ἔτι μᾶλλον μὴ ὄν. Τοῦτο δέ ἐστι τὸ αἰσθητὸν πᾶν, καὶ ὅσα περὶ τὸ αἰσθητὸν πάθη, ἢ ὕστερόν τι τούτων, καὶ ὡς συμβεβηκὸς τούτοις, ἢ ἀρχὴ τούτων, ἢ ἕν τι τῶν συμπληρούντων τοῦτο, τοιοῦτον ὄν. Ἤδη γὰρ ἄν τις εἰς ἔννοιαν ἥκοι αὐτοῦ, οἷον ἀμετρίαν εἶναι πρὸς μέτρον, καὶ ἄπειρον πρὸς πέρας, καὶ ἀνείδεον πρὸς εἰδοποιητικόν, καὶ ἀεὶ ἐνδεὲς πρὸς αὔταρκες, ἀεὶ ἀόριστον, οὐδαμῇ ἑστώς, παμπαθές, ἀκόρητον, πενία παντελής· καὶ οὐ συμβεβηκότα ταῦτα αὐτῷ, ἀλλ' οἷον οὐσία αὐτοῦ ταῦτα, καὶ ὅ τι ἂν αὐτοῦ μέρος ἴδῃς, καὶ αὐτὸ πάντα ταῦτα· τὰ δ' ἄλλα ὅσα ἂν αὐτοῦ μεταλάβῃ καὶ ὁμοιωθῇ, κακὰ μὲν γίνεσθαι, οὐχ ὅπερ δὲ κακὰ εἶναι. Τίνι οὖν ὑποστάσει ταῦτα πάρεστιν, οὐχ ἕτερα ὄντα ἐκείνης, ἀλλ' ἐκείνη. Καὶ γὰρ εἰ ἑτέρῳ συμβαίνει τὸ κακόν, δεῖ τι πρότερον αὐτὸ εἶναι, κἂν μὴ οὐσία τις ᾖ. Ὡς γὰρ ἀγαθὸν τὸ μὲν αὐτό, τὸ δὲ ᾧ συμβέβηκεν, οὕτω καὶ κακὸν τὸ μὲν αὐτό, τὸ δὲ ἤδη κατ' ἐκεῖνο συμβεβηκὸς ἑτέρῳ. Τίς οὖν ἀμετρία, εἰ μὴ ἐν τῷ ἀμέτρῳ; τί δὲ μέτρον, εἰ μὴ ἐν τῷ μεμετρημένῳ; Ἀλλ' ὥσπερ ἐστὶ μέτρον μὴ ἐν τῷ μεμετρημένῳ, οὕτω καὶ ἀμετρία οὐκ ἐν ἀμέτρῳ. Εἰ γὰρ ἐν ἄλλῳ, ἢ ἐν ἀμέτρῳ, ἀλλ' οὐ δεῖ αὐτῷ ἀμετρίας, αὐτῷ ἀμέτρῳ ὄντι· ἢ ἐν μεμετρημένῳ, ἀλλ' οὐχ οἷόν τε τὸ μεμετρημένον ἀμετρίαν ἔχειν, καθ' ὃ μεμέτρηται. Καὶ οὖν εἶναί τι καὶ ἄπειρον καθ' αὑτὸ, καὶ ἀνείδεον αὖ αὐτό, καὶ τὰ ἄλλα τὰ πρόσθεν, ἃ τὴν τοῦ κακοῦ ἐχαρακτήριζε φύσιν. Καὶ εἴ τι μετ' ἐκεῖνο τοιοῦτον, ἢ μεμιγμένον ἔχει τοῦτο, ἢ βλέπον πρὸς αὐτὸ ἐστι τοιοῦτον, ἢ ποιητικόν ἐστι τοιούτου. Τὴν δὴ ὑποκειμένην σχήμασι, καὶ εἴδεσι, καὶ μορφαῖς, καὶ μέτροις, καὶ πέρασι, καὶ ἀλλοτρίῳ κόσμῳ κοσμουμένην, μηδὲν παρ' αὐτῆς ἀγαθὸν ἔχουσαν, εἴδωλον δὲ ὡς πρὸς τὰ ὄντα, κακοῦ δὲ οὐσίαν, εἴ τις καὶ δύναται κακοῦ οὐσία εἶναι, ταύτην ἂν εὑρίσκοι ὁ λόγος κακὸν εἶναι πρῶτον, καὶ καθ' αὑτὸ κακόν.

III. Si haec entia sunt, atque hoc est, quod super entia, malum certe in entibus nusquam erit, multoque minus in eo, quod entia supereminet. Bona enim haec omnia sunt. Reliquum est igitur, alicubi malum est, in his quae non sunt, reperiri, quasi quandam non entis speciem, et circa aliquid eorum, quae non enti miscentur, vel quomodocunque habent cum non ente commercium. Non ens, inquam, haudquaquam omnino non ens, sed tantum ab ente diversum. Non sic vero non ens, ut motus atque status, quae circa ens esse dicuntur, sed tanquam entis imaginem, aut etiam ab ente remotius. Id autem est sensibile universum, et quaecunque sunt circa sensibile passiones, vel aliquid his posterius et quasi his accidens, vel horum principium, vel eorum aliquid, quae id ipsum complent, tale quidem, quale jam dicam. Licet enim id cogitare quasi quandam immoderationem si ad mensuram referatur, infinitum quidem ad terminum, informe rursus ad formatorem; item semper egenum ad sufficiens, semper indeterminatum, nusquam omnino quiescens, omnia undique patiens, insatiabile, extremam prorsus inopiam. Neque talia huic accidunt, sed tanquam ipsius essentia esse videntur: quin etiam, quamcunque ipsius videris portionem, invenies in qualibet haec cuncta summatim: cetera vero, quaecunque id participant eique assimilantur, mala quidem fieri, neque tamen ipsum esse malum. Itaque cuidam fundamento haec insunt, non alia quadam ab ipso, sed ipsum. Etenim si alteri malum accidit, oportet aliquid prius ipsum esse, etiam si nulla id essentia sit. Ut enim bonum alterum quidem ipsum existit bonum, alterum vero quod alicui accidit, sic et malum: hoc quidem ipsum malum est, illud autem secundum hoc accidit alteri. Quaenam igitur immoderatio, dicet aliquis, nisi in eo quod immoderatum? Quae rursus mensura, nisi in re mensurae participe? At quemadmodum mensura quaedam est in nulla re mensurata, sic et immoderatio extra *subjectum immoderatum*. Si enim sit in alio, aut erit in eo quod immoderatum est, sed non eget hoc immoderatione, cum sit ipsum immoderatum: aut erit in re moderata: verum nequit, quod moderatum est, quatenus moderatum, immoderationem subire. Proinde oportet esse aliquid secundum se infinitum atque informe simplici natura, taleque per singula, qualia in superioribus commemoravimus describentia mali naturam. Praeterea et quid praeter illud est tale, vel ipsum habet admixtum, vel saltem, quoniam ad id spectat, evadit tale: aut quoniam cujusdam talis est causa. Quam ergo naturam figuris, speciebus, formis, mensuris, terminis subditam, ornamentoque praeditam alieno, nihil praeterea boni ex se possidentem: simulacrum rursus, si cum entibus conferatur, quinetiam mali ipsius essentiam, si qua modo esse potest essentia mali: hanc, inquam, talem primum esse malum et per se malum ratio convincit.

Gradus malorum tres : quomodo in anima malum : quomodo materia nihil habet boni.

Δ'. Σωμάτων δὴ φύσις, καθόσον μετέχει ὕλης, κακὸν ἂν οὐ πρῶτον εἴη· ἔχει μὲν γὰρ εἶδός τι οὐκ ἀληθινόν, ἐστέρηταί οὔτε ζωῆς, φθείρει τε ἄλληλα, φορᾷ τε παρ' αὐτῶν ἄτακτος, ἐμπόδιά τε ψυχῆς, πρὸς τὴν αὐτῆς ἐνέργειαν, φεύγει τε οὐσίαν ἀεὶ ῥέοντα, δεύτερον κακόν. Ψυχὴ δὲ καθ' ἑαυτὴν μὲν οὐ κακή, οὐδ' αὖ πᾶσα κακή. Ἀλλὰ τίς ἡ κακή; οἷον, φησί, δουλωσαμένῳ μέν, ᾧ πέφυκε κακία ψυχῆς ἐγγίγνεσθαι, ὡς τοῦ ἀλόγου τῆς ψυχῆς εἴδους τὸ κακὸν δεχομένου, ἀμετρίαν, καὶ ὑπερβολήν, καὶ ἔλλειψιν, ἐξ ὧν καὶ ἀκολασία καὶ δειλία, καὶ ἡ ἄλλη ψυχῆς κακία, ἀκούσια παθήματα, δόξας ψευδεῖς ἐμποιοῦντα, κακά τε νομίζειν καὶ ἀγαθά, ἃ φεύγει τε καὶ διώκει. Ἀλλὰ τί τὸ πεποιηκὸς τὴν κακίαν ταύτην, καὶ πῶς εἰς ἀρχὴν ἐκείνην καὶ αἰτίαν ἀνάξεις; Ἢ πρῶτον μὲν οὐκ ἔξω ὕλης, οὐδὲ κατ' αὐτὴν εἶναι ἡ ψυχὴ ἡ τοιαύτη· μέμικται οὖν ἀμετρίᾳ, καὶ ἄμοιρος εἴδους τοῦ κοσμοῦντος καὶ εἰς μέτρον ἄγοντος· σώματι γὰρ ἐγκέκραται, ὕλην ἔχοντι. Ἔπειτα δὲ καὶ τὸ λογιζόμενον εἰ βλάπτοιτο, ὁρᾷν κωλύεται καὶ τοῖς πάθεσι καὶ τῷ ἐπισκοτεῖσθαι τῇ ὕλῃ καὶ πρὸς ὕλην νενευκέναι, καὶ ὅλως οὐ πρὸς οὐσίαν, ἀλλὰ πρὸς γένεσιν ὁρᾷν, ἧς ἀρχὴ ἡ ὕλης φύσις οὕτως οὖσα κακή, ὡς καὶ τὸ μήπω ἐν αὐτῇ, μόνον δὲ βλέψαν εἰς αὐτήν, ἀναπιμπλάναι κακοῦ ἑαυτῆς. Ἄμοιρος γὰρ παντελῶς οὖσα ἀγαθοῦ, καὶ στέρησις τούτου, καὶ ἄκρατος ἔλλειψις, ἐξομοιοῖ ἑαυτῇ πᾶν ὅ τι ἂν αὐτῆς προσάψηται ὁπωσοῦν. Ἡ μὲν οὖν τελεία καὶ πρὸς νοῦν νεύουσα ψυχὴ ἀεὶ καθαρά, καὶ ὕλην ἀπέστραπται, καὶ τὸ ἀόριστον ἅπαν καὶ τὸ ἄμετρον καὶ κακὸν οὔτε ὁρᾷ οὔτε πελάζει· καθαρὰ οὖν μένει ὁρισθεῖσα νῷ παντελῶς. Ἡ δὲ μὴ μείνασα τοῦτο, ἀλλ' ἐξ αὐτῆς προελθοῦσα, τῷ μὴ τελείῳ μηδὲ πρώτῳ, οἷον ἴνδαλμα ἐκείνης, τῷ ἐλλείμματι, καθόσον ἐνέλιπεν, ἀοριστίας πληρωθεῖσα, σκότον ὁρᾷ, καὶ ἔχει ἤδη ὕλην, βλέπουσα εἰς ὃ μὴ βλέπει, ὡς λεγόμεθα ὁρᾷν καὶ τὸ σκότος.

IV. Natura corporum quantum est materiæ particeps, malum quidem est, etsi non primum : habet enim speciem quandam, quamvis non veram : privatur et vita : corruptionem infert inter corpora mutuam, concussionemque ex ipsis inordinatam : impedimenta quinetiam animæ ad actionem propriam affert : præterea perpetuo fluxu aufugit essentiam, ideoque secundum obtinet mali gradum. Anima vero secundum se mala non est, neque omnis anima prava. Sed quænam prava? illa videlicet, ut inquit Plato, quæ servit illi, cui pravitas animæ naturaliter inesse potest : quasi irrationalis animæ speciem malum subeat, immoderationem et excessum atque defectum : ex quibus intemperantia et timiditas aliaque animæ pravitas, velut passiones involuntariæ, oriuntur : ex quibus et opiniones falsæ, per quas bona vel mala quis putet, quæ prosequitur aut fugit. Verum quidnam pravitatem hanc adducit? et quomodo in principium illud causamque redigere poteris? Primo quidem dicetur, animam ejusmodi non esse extra materiam, neque secundum se ipsam talem esse : itaque immoderationi miscetur, speciei que ornantis et moderantis expers evadit : corpori namque materiam habenti immergitur. Præterea si vis rationalis offenditur, discernere prohibetur perturbationibus offuscata et materiæ tenebris obruta, utpote quæ annuendo prolabitur in materiam : et omnino non ad essentiam, sed ad generationem spectat : cujus origo est natura materiæ, usque adeo mala, ut illud etiam, quod nondum est in ea, solum vero eam prospicit, suo impleat malo. Cum enim boni omnino sit expers, bonique privatio sit purusque defectus, similem quidquid quomodocunque attingit eam, sibi simile reddit. Perfecta igitur anima vergensque ad mentem, semper pura est, procul a se materiam eliminans et omne interminatum, immoderatum, malum, neque his propinquat, neque prospicit quidem : quamobrem pura permanet, intellectu prorsus determinata. Quæ vero munus id non sustinet, sed ex seipsa progreditur, in gradu quodam existens, neque perfecto neque primo, velut illius imago, ob ipsum defectum, quatenus deficit, indeterminata sorte repletur tenebrasque prospectat. Jamque habet materiam, in illud aspiciens, quod non cernit, et, ut dici solet, tenebras aspicit.

In quo defectu consistat malum : quomodo materia sit ipsum malum : quomodo fiat malum in anima.

Ε'. Ἀλλ' εἰ ἡ ἔλλειψις τοῦ ἀγαθοῦ αἰτία τοῦ ὁρᾷν καὶ συνεῖναι τῷ σκότει, τὸ κακὸν εἴη ἂν ἐν τῇ ἐλλείψει ἢ τῷ σκότῳ τῇ ψυχῇ, καὶ πρῶτον. Δεύτερον δὲ ἔστω τὸ σκότος καὶ ἡ φύσις τοῦ κακοῦ, οὐκέτι ἐν τῇ ὕλῃ, ἀλλὰ καὶ πρὸ τῆς ὕλης· ἢ οὐκ ἐν τῇ ὁπωσοῦν ἐλλείψει, ἀλλ' ἐν τῇ παντελεῖ τὸ κακόν. Τὸ γοῦν ἐλλεῖπον ὀλίγον τοῦ ἀγαθοῦ οὐ κακόν· δύναται γὰρ καὶ τέλεον εἶναι ὡς πρὸς φύσιν τὴν αὐτοῦ. Ἀλλ' ὅταν παντελῶς ἐλλείπῃ, ὅπερ ἐστὶν ἡ ὕλη, τοῦτο τὸ ὄντως κακόν, μηδεμίαν ἔχον ἀγαθοῦ μοῖραν. Οὐδὲ γὰρ τὸ εἶναι ἔχει ἡ ὕλη, ἵνα ἀγαθοῦ ταύτῃ μετεῖχεν, ἀλλ' ὁμώνυμον αὐτῇ τὸ εἶναι, ὡς ἀληθῶς εἶναι λέγει αὐτὸ μὴ εἶναι. Ἡ οὖν ἔλλειψις ἔχει μὲν τὸ μὴ ἀγαθὸν εἶναι· ἡ δὲ παντελής, τὸ κακόν· ἡ δὲ πλείων, τὸ πεσεῖν εἰς τὸ κακὸν δύνασθαι, καὶ ἤδη κακόν. Τῷ χρὴ δὴ τὸ κακὸν νοεῖσθαι, μὴ τόδε τὸ κακόν, οἷον ἀδικίαν ἢ ἄλλην τινὰ κακίαν, ἀλλ' ἐκεῖνο

V. Ceterum si boni defectus causa est, ut anima videat tenebras eisque mergatur, malum animæ erit in defectu tenebrisve situm, idque malum erit primum. Secundum vero sit tenebrositas ipsa malique natura, non in materia primum, sed etiam ante materiam : aut certe non in quovis defectu, sed in defectu universo consistit malum. Quod igitur paullum a bono deficit, nondum est malum : potest enim pro natura sua esse perfectum : imo quod penitus deficit, qualis est materia, id re vera malum est, nullam boni possidens portionem. Materia sane neque esse habet (cujus munere bonum habere posset), sed esse de ipsa æquivoco dicitur [ut re vera dicatur ipsum non esse]. Defectus igitur sortitur, ut non sit bonum : defectus autem universus sortitur, ut sit ipsum malum : defectus vero medius est, posse in malum cadere, quod jam est malum. Unde oportet malum excogitare, non hoc quidem malum, velut injustitiam vel aliam quandam pravitatem, sed illud, quod nondum horum quicquam est : sed hæc

ὁ οὐδὲν μήπω τοῦτο, ταῦτα δὲ οἷον εἴδη ἐκείνου προσθήκαις εἰδοποιούμενα· οἷον ἐν μὲν ψυχῇ πονηρία· καὶ ταύτης αὖ εἴδη, ἢ ὕλῃ περὶ ἥν, ἢ τοῖς μέρεσι τῆς ψυχῆς, ἢ τῷ τὸ μὲν οἷον ὁρᾷν εἶναι, τὸ δὲ ὁρμᾷν ἢ πάσχειν. Εἰ δέ τις θεῖτο καὶ τὰ ἔξω ψυχῆς κακὰ εἶναι, πῶς ἐπ' ἐκείνην τὴν φύσιν ἀνάξει, οἷον νόσον, [αἶσχος,] πενίαν; ἢ νόσον μὲν ἔλλειψιν καὶ ὑπερβολὴν σωμάτων ἐνύλων τάξιν καὶ μέτρον οὐκ ἀνεχομένων· αἶσχος δὲ ὕλην οὐ κρατηθεῖσαν εἴδει· πενίαν δὲ ἔνδειαν καὶ στέρησιν ὧν ἐν χρείᾳ ἐσμὲν διὰ τὴν ὕλην, ᾗ συνεζεύγμεθα, φύσιν ἔχουσαν χρησμοσύνην εἶναι. Εἰ δὴ ταῦτα ὀρθῶς λέγεται, οὐ θετέον ἡμᾶς ἀρχὴν κακῶν εἶναι, κακοὺς παρ' αὑτῶν ὄντας, ἀλλὰ πρὸ ἡμῶν ταῦτα· ἃ δ' ἂν ἀνθρώπους κατάσχῃ, κατέχειν οὐχ ἑκόντας, ἀλλ' εἶναι μὲν ἀποφυγὴν κακῶν τῶν ἐν ψυχῇ τοῖς δυνηθεῖσι, πάντας δὲ οὐ δύνασθαι. Θέσις δὲ, ὕλης παρούσης τοῖς αἰσθητοῖς, τὸ κακὸν μὴ παρεῖναι τὴν κακίαν, ἣν ἄνθρωποι ἔχουσιν, ὅτι μηδὲ ἀνθρώποις ἅπασι· (κρατεῖν γὰρ αὐτῆς·) ἀμείνους δὲ, οἷς μὴ πάρεστι καὶ τοῦτο· κρατεῖν δὲ τῷ μὴ ἐν ὕλῃ ἐν αὐτοῖς ὄντι.

quasi illius species sunt additamentis quibusdam distinctae: velut in anima quidem pravitas: cujusque hujus species vel secundum materiam, circa quam est: vel secundum quasdam animae partes: ut ex eo, quod partim quidem aspicit, partim vero appetendo incitatur, partim denique patitur. Si quis autem extra animam quoque mala posuerit, quaerendum est, quomodo ad naturam illam mali reducat seu morbum, deformitatem, paupertatem? Forsan vero morbum dicent esse defectum aut excessum in corporibus compositis ex materia, ordinem et mensuram non sustinentibus: deformitatem vero esse materiam forma minime superatam: paupertatem denique egestatem privationemque eorum quibus egemus ob materiam cui conjungimur, sic natura institutam, ut ipsa sit indigentia. Proinde si haec recte dicuntur, non est dicendum, nos malorum esse principium, quasi ex natura propria mali simus, sed ante nos haec esse: quae vero vitia [vitia om. *Ad. pr.*] homines occupant, detineri his ipsos [detineri non *Ad. pr.*] nolentes: attamen praestari malorum animi fugam, animis videlicet qui id possunt, *non omnes autem posse.* Posita vero materia corporum naturae praesentia malum est: neque enim ipsum malum est pravitas hominum; quandoquidem non omnibus inest hominibus (datur enim ejus superandae facultas), praestantiores certe sunt, quibus id quoque non accidit. Superant denique eo, quod in ipsis est a materia segregatum.

Quomodo aliquid bono contrarium sit: quomodo formae a materia separatae sint contrariae.

Ϛ. Ἐπισκεπτέον δὲ, καὶ πῶς λέγεται, μὴ ἂν ἀπολέσθαι τὰ κακὰ, ἀλλ' εἶναι ἐξ ἀνάγκης· καὶ ἐν θεοῖς μὲν οὐκ εἶναι, περιπολεῖν δὲ τὴν θνητὴν φύσιν καὶ τόνδε τὸν τόπον ἀεί. Ἆρ' οὖν οὕτως εἴρηται, ὡς τοῦ μὲν οὐρανοῦ καθαροῦ κακῶν ὄντος, ἀεὶ ἐν τάξει ἰόντος καὶ κόσμῳ φερομένου, καὶ μήτε ἀδικίας ἐκεῖ οὔσης, μήτε ἄλλης κακίας, μήτε ἀδικοῦντα ἄλληλα, κόσμῳ δὲ φερόμενα· ἐν γῇ δὲ τῆς ἀδικίας καὶ τῆς ἀταξίας οὔσης, τοῦτο γάρ ἐστιν ἡ θνητὴ φύσις καὶ ὅδε ὁ τόπος. Ἀλλὰ τὸ ἐντεῦθεν φεύγειν δεῖν οὐκέτι περὶ τῶν ἐπὶ γῆς λέγεται. Φυγὴ γὰρ, φησὶν, οὐ τὸ ἐκ γῆς ἀπελθεῖν, ἀλλὰ καὶ ὄντα ἐπὶ γῆς δίκαιον καὶ ὅσιον εἶναι μετὰ φρονήσεως, ὡς εἶναι τὸ λεγόμενον, φεύγειν κακίαν δεῖν, ὥστε τὰ κακὰ αὐτῷ ἡ κακία καὶ ὅσα ἐκ κακίας· καὶ τοῦ προσδιαλεγομένου δὲ ἀναίρεσιν λέγοντος κακῶν ἔσεσθαι, εἰ πείθοι τοὺς ἀνθρώπους, ἃ λέγει· ὁ δέ φησι μὴ δύνασθαι τοῦτο γενέσθαι· τὰ γὰρ κακὰ εἶναι ἀνάγκη, ἐπείπερ τοὐναντίον τι δεῖ εἶναι τῷ ἀγα-

[illegible] τον πῶς
τίον γὰρ
ἀγαθῷ,
[illegible] πῶς
ἀνάγκη
ρον; ἐν-
ίων, τοῦ
εται καὶ
γκη δὲ
ἐς, ἀλλ'
ιον, πῶς
Τὸ μὲν
ἕκαστα
ὅλως δὲ

VI. Operae pretium est intelligere, qua ratione potissimum a Platone dictum sit, Mala omnia deleri non posse, sed ex necessitate venire: neque apud deos esse, sed apud mortalem naturam inferioremque hunc locum assidue circumvolvi. Numquid igitur ita dictum est, quoniam coelum quidem semper liberum sit a malis? quippe cum ordine perpetuo moveatur, et ordine feratur, neque injustia neque iniquitas alia ibi sit, neque coelestia sibi invicem injuriam inferant, ordine ac ratione perducta: in terra vero injustitia, ordinisque expers sit iniquitas: haec enim est natura mortalis locusque inferior. Verum quod ait hinc aufugiendum esse, nequaquam de terrenis locis est dictum. Fuga enim est, inquit, non a terra discedere, sed hominem etiam in terra viventem justum et sanctum una cum prudentia fieri: perinde ac si dicatur, fugiendam pravitatem esse, quasi mala homini sint tum pravitas, tum quae ex pravitate nascuntur. Tum vero cum Theodorus diceret, posse mala de medio tolli, si modo, quae dicat, hominibus persuaserit; Socrates fieri id posse negavit: mala enim ait necessario evenire; quippe cum necessarium sit aliquid bono subcontrarium esse. At vero qua ratione fieri potest, ut humanum malum, id est pravitas, ipsi bono contrarium sit? nempe contrarium hoc est virtuti. Virtus autem non ipsum bonum est, sed quoddam bonum, quod quidem efficit, ut materiae dominemur. Ipsi autem bono quomodo aliquid contrarium erit? non enim est quale. *Praeterea quidnam cogit ubique, si alterum contrariorum exstat, alterum rursus exstare?* Verum esse quidem possit, atque sit contrarium, quandoquidem et contrarium ejus exstabat: velut existente sanitate potest et morbus esse, neque tamen necessario provenit. Forsan non putat Plato, in quolibet contrariorum ordine ejusmodi necessitatem esse veram, sed in ipso boni contrario. At si ipsum bonum essentia est, vel potius super essentiam, quidnam potest ei esse contrarium? Quod igitur nihil essentiae sit contrarium, id in singulis essentiis per inductionem satis est manifestum. Utrum vero ipsi simpliciter essentiae con

[οὐσία] οὐκ ἔστι δεδειγμένον. Ἀλλὰ τί τῇ καθόλου οὐσίᾳ ἔσται ἐναντίον καὶ ὅλως τοῖς πρώτοις; ἢ τῇ μὲν οὐσίᾳ ἡ μὴ οὐσία· τῇ δὲ ἀγαθοῦ φύσει, ἥτις ἐστὶ κακοῦ φύσις καὶ ἀρχή. Ἀρχαὶ γὰρ ἄμφω, ἡ μὲν κακῶν, ἡ δὲ ἀγαθῶν· καὶ πάντα τὰ ἐν τῇ φύσει ἑκατέρᾳ ἐναντία· ὥστε καὶ τὰ ὅλα ἐναντία, καὶ μᾶλλον ἐναντία, ἢ τὰ ἄλλα. Τὰ μὲν γὰρ ἄλλα ἐναντία, ἢ ἐν τῷ αὐτῷ εἴδει ὄντα, ἢ ἐν τῷ αὐτῷ γένει, καὶ κοινοῦ τινός ἐστι μετειληφότα ἐν οἷς ἐστιν· ὅσα δὲ χωρίς ἐστι, καὶ ἃ τῷ ἑτέρῳ ἐστὶ, συμπληρώσει τοῦ ὅ ἐστι, τούτων τἀναντία ἐν τῷ ἑτέρῳ ἐστὶ, πῶς οὐ μάλιστα ἂν εἴη ἐναντία, εἴπερ ἐναντία τὰ πλεῖστον ἀλλήλων ἀφεστηκότα; πέρατι δὴ καὶ μέτρῳ, καὶ τὰ ἄλλα ὅσα ἔνεστιν ἐν τῇ θείᾳ φύσει, ἀπειρία καὶ ἀμετρία, καὶ τὰ ἄλλα ὅσα ἔχει ἡ κακὴ φύσις ἐναντία· ὥστε καὶ τὸ ὅλον τῷ ὅλῳ ἐναντίον. Καὶ τὸ εἶναι δὲ ψευδόμενον ἔχει, καὶ πρώτως καὶ ὄντως ψεῦδος· τῷ δὲ τὸ εἶναι τὸ ἀληθὲς εἶναι· ὥστε καὶ ἀληθῶς κατὰ τὸ ψεῦδος τῷ ἀληθεῖ ἐναντίον, καὶ τὸ κατ' οὐσίαν τῷ κατ' οὐσίαν αὐτῆς ἐναντίον· ὥστε ἡμῖν ἀναπέφανται, τὸ μὴ πανταχοῦ οὐσίᾳ μηδὲν εἶναι ἐναντίον· ἐπεὶ καὶ ἐπὶ πυρὸς καὶ ὕδατος ἐδεξάμεθα ἂν εἶναι ἐναντία, εἰ μὴ κοινὸν ἦν ἡ ὕλη ἐν αὐτοῖς, ἐφ' ἧς τὸ θερμὸν, καὶ ξηρὸν, καὶ ὑγρὸν, καὶ ψυχρὸν συμβεβηκότα ἐγίγνετο. Εἰ δ' ἐπ' αὐτῶν ἦν μόνα τὴν οὐσίαν αὐτῶν συμπληροῦντα ἄνευ τοῦ κοινοῦ, ἐγίγνετο ἂν ἐναντίον, καὶ ἐνταῦθα οὐσία οὐσίᾳ ἐναντίον. Τὰ ἄρα πάντη κεχωρισμένα, καὶ μηδὲν ἔχοντα κοινὸν, καὶ πλείστην ἀπόστασιν ἔχοντα, ἐν τῇ φύσει αὐτῶν ἐναντία· ἐπείπερ ἡ ἐναντίωσις οὐχ ᾗ ποιόν τι, οὐδὲ ὅλως ὁτιοῦν γένος τῶν ὄντων, ἀλλ' ᾗ πλεῖστον ἀλλήλων κεχώρισται, καὶ ἐξ ἀντιθέτων συνέστηκε, καὶ τὰ ἐναντία ποιεῖ.

trarium aliquid sit, nondum est demonstratum. Sed quidnam ipsi universali essentiae contrarium esse poterit, atque omnino primis universi principiis? Fortasse vero ipsi quidem essentiae erit contrarium non essentia: boni vero naturae contrarium, ei quae est mali natura atque principium. Principia enim utraque sunt, id quidem bonorum, illud vero malorum: atque omnia, quae in alterutra natura sunt, inter se contraria sunt. Quocirca et ipsa tota contraria, magisque contraria sunt, quam cetera. Alia namque contraria vel in eadem specie vel in eodem genere collocantur, et in quibuscunque sunt, communi quodam conveniunt: quae vero sunt seorsum, atque ita se habent, ut, quae naturam implent alterius, contraria sint eorum, quae naturam alterius implent: quidnam prohibet maxime inter se esse contraria? si modo contraria sunt, quae intervallo a se invicem longissimo distant. Termino sane atque mensurae et ceteris, quae divinae naturae sunt propria, contraria sunt infinitas immoderatioque, et reliqua quaecunque in natura mali esse dicuntur: quapropter universum est universo contrarium. Alterum profecto esse fallacissimum habet, ac primo vereque falsum atque mendacium: alterius autem esse est vero esse. Itaque illius falsitas hujus veritati repugnat. Rursus quod secundum illius essentiam est, ei, quod secundum hujus essentiam est, opponitur. Quas ob res satis constat, non ubique videri verum, nihil essentiae contrarium esse, quoniam ignem et aquam confiteremur esse contraria, etiam si non subesset illis communis materia: in quibus calor, frigus, humor, siccitas accidentia sunt. Si autem in se ipsis essent sola, essentiam ipsorum absque communi subjecto complentia, tunc quoque contraria forent, essentia videlicet essentiae. Quae igitur segregata inter se sunt omnino, communeque nihil habent, atque intervallum habent quamplurimum, in ipsa sui natura contraria sunt: quandoquidem contrarietas non fit, qua ratione quale quiddam sint, neque omnino secundum quodvis rerum genus; sed quia plurimum inter se distant: item quia ex oppositis constituuntur et contraria faciunt.

Quomodo, si bonum est, necessarium sit esse malum: et quomodo universum ex materia constat et forma, ex mente atque necessitate.

Ζ'. Ἀλλὰ πῶς οὖν ἐξ ἀνάγκης, εἰ τὸ ἀγαθὸν, καὶ τὸ κακόν; Ἆρα οὖν οὕτως, ὅτι ἐν τῷ παντὶ δεῖ τὴν ὕλην εἶναι; ἐξ ἐναντίων γὰρ ἐξ ἀνάγκης τόδε τὸ πᾶν· ἢ οὐδ' ἂν εἴη μὴ ὕλης οὔσης. Μεμιγμένη γὰρ οὖν δὴ ἡ τοῦδε τοῦ κόσμου φύσις ἔκ τε νοῦ καὶ ἀνάγκης. Καὶ ὅσα παρὰ θεοῦ εἰς αὐτὸν ἥκει, ἀγαθά· τὰ δὲ κακὰ, ἐκ τῆς ἀρχαίας φύσεως, τὴν ὕλην λέγων τὴν ὑποκειμένην, οὔπω κοσμηθεῖσαν εἰ θεῷτο. Ἀλλὰ πῶς θνητὴν φύσιν; τὸ μὲν γὰρ τόνδε τὸν τόπον ἔστω δεικνύειν τὸ πᾶν· ἢ τὸ, Ἀλλ' ἐπείπερ ἐγένεσθε, ἀθάνατοι μὲν οὐκ ἐστὲ, οὔτι γε μὴν λυθήσεσθε δι' ἐμέ. Εἰ δὴ οὕτως, ὀρθῶς ἂν λέγοιτο, μὴ ἂν ἀπολέσθαι τὰ κακά. Πῶς οὖν ἐκφεύξεται; οὐ τῷ τόπῳ, φησὶν, ἀλλ' ἀρετὴν κτησάμενος καὶ τοῦ σώματος αὑτὸν χωρίσας· οὕτω γὰρ καὶ ὕλης· ὡς ὅ γε συνὼν τῷ σώματι καὶ ὕλῃ σύνεστι. Τὸ δὲ χωρίσαι καὶ μὴ δῆλόν που αὐτὸς ποιεῖ· τὸ δ' ἐν θεοῖς εἶναι, ἐν τοῖς νοητοῖς· οὗτοι γὰρ ἀθάνατοι. Ἔστι δὲ τοῦ κακοῦ λαβεῖν καὶ οὕτω τὴν ἀνάγκην. Ἐπεὶ γὰρ οὐ μόνον τὸ ἀγαθὸν, ἀνάγκη τῇ ἐκβάσει τῇ παρ' αὐτὸ [ὑποστάσει]. Ἢ εἰ οὕτω τις ἐθέλοι λέ-

VII. Ceterum cur, si bonum est, necessarium sit esse malum? Numquid propterea, quod necessaria est universo materia? Ex contrariis enim universum hoc necessario constat: alioquin non foret non existente materia. Mista est igitur hujus mundi natura ex necessitate simul atque mente. Sane, quaecunque in hunc mundum a deo proveniunt, bona sunt: mala vero ex antiqua natura, inquit Plato, significans videlicet subjectam materiam nondum exornatam, si modo eo in gradu prospiceretur. Sed quomodo naturam dicit mortalem? Quod enim dixit circa hunc locum mala revolvi, designare conceditur universum: num forte per illud confirmatur, quod in Timaeo inquit: Sed quoniam estis geniti, immortales quidem non estis: neque tamen unquam solvemini, mea virtute servati? Quod si ita sit, recte diceretur, Mala deleri non posse. Qua igitur via quis mala vitabit? Non loco fugientem ait devitaturum, sed virtutem potius comparantem, seque ipsum a corpore removentem: sic enim se a materia segregabit: quippe cum haerens corpori haereat et materiae. Separare vero vel non separare quomodo se habeat, ipse aperit. Esse praeterea penes deos, significat in mundo intelligibili esse. Illic enim sunt immortales. Licet hac insuper ratione necessitatem mali considerare. Nempe cum bonum non maneat solum, necessarium est digressione quadam ab ipso procul tandem accidere malum. Vel si

γειν, τῇ ἀεὶ ὑποβάσει καὶ ἀποστάσει τὸ ἔσχατον, καὶ μεθ' ὃ οὐκ ἦν ἔτι γενέσθαι ὁτιοῦν, τοῦτο εἶναι τὸ κακόν· ἐξ ἀνάγκης δὲ εἶναι τὸ μετὰ τὸ πρῶτον, ὥστε καὶ τὸ ἔσχατον. Τοῦτο δὲ ἡ ὕλη μηδὲν ἔτι ἔχουσα αὐτοῦ. Καὶ αὕτη ἡ ἀνάγκη τοῦ κακοῦ.

quo ulterius nihil oriri possit, videlicet perpetua quadam subjectione atque distantia, ex eo descensu atque defectione ultimum proveniens, ultra quod aliud quicquam fieri nequeat, idque ipsum esse malum. Necessitate vero esse aliquid post ipsum primum, ideoque et ultimum. Hoc autem materia est, nihil amplius habens primi. Atque haec est mali necessitas.

*Quomodo materia sit causa mali: primo quidem formis suis, deinde animo. Item, quod omne bonum ad unum bonum, omne malum ad unum malum denique referantur.*

Η'. Εἰ δέ τις λέγοι, μὴ διὰ τὴν ὕλην ἡμᾶς γενέσθαι κακούς, μήτε γὰρ τὴν ἄγνοιαν διὰ τὴν ὕλην εἶναι, μήτε τὰς ἐπιθυμίας τὰς πονηράς· καὶ γὰρ, εἰ διὰ σώματος κακίαν ἡ σύστασις γίγνοιτο, μὴ τὴν ὕλην, ἀλλὰ τὸ εἶδος ποιεῖν· οἷον θερμότητας, ψυχρότητας, πικρὸν, ἁλμυρὸν, καὶ ὅσα χυμῶν εἴδη· ἔτι δὲ πληρώσεις, κενώσεις· καὶ πληρώσεις οὐχ ἁπλῶς, ἀλλὰ πληρώσεις τοιῶνδε, καὶ ὅλως τὸ τοιόνδε εἶναι, τὸ ποιοῦν τὴν διαφορὰν τῶν ἐπιθυμιῶν, καὶ, εἰ βούλει, δοξῶν ἐσφαλμένων, ὥστε τὸ εἶδος μᾶλλον, ἢ τὴν ὕλην τὸ κακὸν εἶναι. Καὶ οὕτως οὐδὲν ἧττον τὴν ὕλην συγχωρεῖν ἀναγκασθήσεται τὸ κακὸν εἶναι. Ἃ γὰρ ποιεῖ ἡ ἐν ὕλῃ ποιότης, οὐ χωρὶς οὖσα ποιεῖ· ὥσπερ οὐδὲ τὸ σχῆμα τοῦ πελέκεως ἄνευ σιδήρου ποιεῖ. Εἶτα καὶ τὰ ἐν τῇ ὕλῃ εἴδη οὐ ταὐτά ἐστιν, ἅπερ ἦν, εἰ ἐφ' ἑαυτῶν ὑπῆρχεν, ἀλλὰ λόγοι ἔνυλοι φθαρέντες ἐν ὕλῃ καὶ τῆς φύσεως τῆς ἐκείνης ἀναπλησθέντες· οὔτε γὰρ τὸ πῦρ αὐτὸ καίει, οὔτ' ἄλλο τι τῶν ἐφ' ἑαυτῶν ταῦτα ἐργάζεται, ἃ ἐν τῇ ὕλῃ γενόμενα λέγεται ποιεῖν. Γενομένη γὰρ κυρία τοῦ εἰς αὐτὴν ἐμφαντασθέντος, φθείρει αὐτὸ καὶ διόλλυσι, τὴν αὐτῆς παραθεῖσα φύσιν ἐναντίαν οὖσαν, οὐ τῷ θερμῷ τὸ ψυχρὸν προσφέρουσα, ἀλλὰ τῷ εἴδει τοῦ θερμοῦ τὸ αὐτῆς ἀνείδεον προσάγουσα, καὶ τὴν ἀμορφίαν τῇ μορφῇ, καὶ ὑπερβολὴν καὶ ἔλλειψιν τῷ μεμετρημένῳ, ἕως ἂν αὐτὸ ποιήσῃ αὐτῆς, ἀλλὰ μὴ τοῦ αὐτοῦ ἔτι εἶναι· ὥσπερ ἐν τροφῇ ζῴων τὸ εἰσενεχθὲν μηκέτι εἶναι ὅπερ προσελήλυθεν, ἀλλ' αἷμα κυνὸς καὶ πᾶν κύνειον, καὶ χυμοὶ πάντες ὑπὲρ τοῦ δεξαμένου ἐκείνου. Εἰ δὴ σῶμα αἴτιον τῶν κακῶν, ὕλη ἂν εἴη καὶ ταύτῃ αἴτιον τῶν κακῶν. Ἀλλὰ κρατεῖν ἔδει, ἄλλος ἂν εἴποι. Ἀλλ' οὐ καθαρὸν τὸ δυνάμενον κρατεῖν, εἰ μὴ φύγοι· καὶ σφοδρότεραι δὲ αἱ ἐπιθυμίαι κράσει τοιᾷδε σωμάτων, ἄλλαι δ' ἄλλων, ὥστε μὴ κρατεῖν τὸ ἐν ἑκάστῳ· ἀμβλύτεροι δὲ καὶ πρὸς τὸ κρίνειν διὰ σωμάτων κάκην κατεψυγμένοι καὶ ἐμπεποδισμένοι· αἱ δ' ἐναντίαι, κούφους ἀνερματίστους. Μαρτυροῦσι δὲ ταῦτα καὶ αἱ πρὸς καιρὸν ἕξεις· πλήρεις μὲν γὰρ ἄλλοι καὶ ταῖς ἐπιθυμίαις καὶ ταῖς διανοίαις, κενοὶ δὲ ἄλλοι· καὶ τοιῶνδε πληρωθέντες ἄλλοι, τοιῶνδε δὲ ἄλλοι. Ἔστω δὴ πρώτως μὲν τὸ ἄμετρον κακόν· τὸ δὲ ἐν ἀμετρίᾳ γενόμενον, ἢ ὁμοιώσει ἢ μεταλήψει, τῷ συμβεβηκέναι αὐτῷ, δευτέρως κακόν. Καὶ πρώτως μὲν τὸ σκότος, τὸ δὲ ἐσκοτισμένον δευτέρως ὡσαύτως· κακία δὲ ἡ ἄγνοια οὖσα καὶ ἀμετρία περὶ ψυχὴν δευτέρως κακὸν, καὶ οὐκ αὐτόκακον· οὐδὲ γὰρ ἀρετὴ πρῶτον ἀγαθὸν, ἀλλ' ὅτι ὡμοίωται ἢ μετείληφεν αὐτοῦ.

VIII. Objiciet forte quispiam, non propter materiam nos fieri malos. Neque enim ignorantiam, neque pravas cupiditates ob materiam provenire. Atqui si ob pravam corporis affectionem quispiam vitiosus fiat, compositionem, non materiam, sed formam affectus ejusdem esse principium: velut calorem, frigiditatem, amarum, salsum, reliquasque humorum species: praeterea repletiones evacuationesque. Repletiones, inquam, non quaslibet, sed talium quorundam repletiones, et omnino tale quiddam esse, quod differentiam facit concupiscendi: ac, si vis, opinionum quoque fallentium discrepantiam: quo appareat formam potius, quam materiam esse malum. Verum hoc quoque pacto nihilominus compelletur, malum esse materiam confiteri. Namque quaecunque facit qualitas in materia jacens, haud quaquam seorsum existens efficit, quemadmodum neque figura securis absque ferro secat. Praeterea formae, quae in materia sunt, non eadem sunt, quae essent, si in se ipsis existerent: sed rationes quaedam materiales sunt in materia jam corruptae naturaque materialis plenae. Neque enim ignis ipse seiunctus separatus urit, neque aliud quicquam eorum, quae in se ipsis existunt, talia facit, qualia formae jam in materia factae dicuntur efficere. Materia siquidem cum ejus quod apparet in ea sit domina, depravat ipsum atque dissolvit, suam videlicet naturam adhibens illi contrariam. Non, inquam, calido frigus admovens, sed speciei caloris suam speciei objiciens orbitatem et formae informitatem, excessum quoque atque defectum opponens moderatae naturae, quousque tandem efficiat, ut forma non amplius sui juris, sed materiae prorsus evadat. Quemadmodum in animalibus nutrimentum, quod intus assumitur, haud ulterius, quale influxerat, permanet: sed in cane fit sanguis et omnino caninum, humoresque omnes pro natura accipientis evadunt. Quam ob rem, si corpus causa est malorum, hac quoque ratione materia malorum causa judicatur. Dixerit forte aliquis, oportere talia superare. Verum haud purum est, quod superare queat, nisi fugiat. Jam vero vehementiores cupiditates certa quadam corporum complexione proveniunt: aliae quoque aliorum cupiditates, adeo ut non facile quilibet superare possit. Quid vero quod alii quidem obtusiores sunt ad judicandum quia impediti frigidique redduntur corporis vitio: alii vero contra ob contrariam levitate feruntur. Id enim hoc nostri habitus pro temporum diversitate docent. Pleni enim cum sumus, aliter cupimus, atque cogitamus: vacui vero, aliter: quin etiam aliter quidem repleti, aliter aliis consumentibus. Denique, ut summatim dicam, primo quidem malum sit, quod omnino mensurae est expers: quod autem in natura mensurae expers fit aut evadit, vel similitudine, vel participatione, secundo loco sit malum, propterea, quod ipsi accidit. Rursus primo quidem malum sit tenebrositas, sequenti autem gradu similiter sit tenebrosum: tum vero pravitas cum sit inscitia immoderatioque in anima, secundum obtineat mali locum, neque sit ipsum malum: quippe cum neque virtus sit primum bonum, sed quatenus vel similis vel particeps boni ipsius evadit, bona evadit.

Quomodo, quod est informe, cognosci possit ab anima, quæ est forma, et per formas solet cognoscere.

Θ'. Τίνι οὖν ἐγνωρίσαμεν ταῦτα; καὶ πρῶτον κακίαν τίνι; ἀρετὴν μὲν γὰρ νῷ αὐτῷ καὶ φρονήσει· αὐτὴν γὰρ γνωρίζει· κακίαν δὲ πῶς; ἢ ὥσπερ κανόνι τὸ ὀρθὸν καὶ μή, οὕτω καὶ τὸ μὴ ἐναρμόζον τῇ ἀρετῇ, κακίαν; Βλέποντες οὖν αὐτὸ ἢ μὴ βλέποντες τὴν κακίαν λέγω; ἢ τὴν μὲν παντελῆ κακίαν οὐ βλέποντες, καὶ γὰρ ἄπειρον. Ἀφαιρέσει οὖν τὸ μηδαμοῦ τοῦτο, τὴν δὲ μὴ παντελῆ τῷ ἐλλείπειν τι τούτῳ. Μέρος οὖν ὁρῶντες, τῷ παρόντι μέρει τὸ ἀπὸν λαμβάνοντες, ὃ ἔστι μὲν ἐν τῷ ὅλῳ εἴδει, ἐκεῖ δὲ ἄπεστιν, οὕτω κακίαν λέγομεν, ἐν ἀορίστῳ τὸ ἐστερημένον καταλιπόντες. Καὶ δὴ ἐπὶ τῆς ὕλης οἷον αἰσχρόν τι πρόσωπον ἰδόντες, οὐ κρατήσαντος ἐν αὐτῷ τοῦ λόγου, ὥστε κρύψαι τὸ τῆς ὕλης αἶσχος, αἰσχρὸν φανταζόμεθα τῇ τοῦ εἴδους ἐλλείψει. Ὃ δὲ μηδαμῇ εἴδους τετύχηκε, πῶς; ἢ τὸ παράπαν εἶδος ἀφαιροῦντες, πᾶν εἶδος ᾧ μὴ ταῦτα πάρεστι, λέγομεν εἶναι ὕλην, ἀμορφίαν καὶ αὐτοὶ ἐν ἡμῖν λαβόντες, ἐν τῷ πᾶν εἶδος ἀφελεῖν, εἰ ἐμέλλομεν ὕλην θεάσασθαι. Διὸ καὶ νοῦς ἄλλος οὗτος, οὐ νοῦς, τολμήσας ἰδεῖν τὰ μὴ αὐτοῦ· ὥσπερ ὄμμα ἀποστῆσαν αὑτὸ φωτός, ἵνα ἴδῃ τὸ σκότος, καὶ μὴ ἴδῃ, τῷ καταλιπεῖν τὸ φῶς, ἵνα ἴδῃ τὸ σκότος μεθ' οὗ οὐκ ἦν ἰδεῖν αὐτό· οὐδ' αὖ ἄνευ τοῦ, οἷόν τε ἦν ἰδεῖν, ἀλλὰ μὴ ἰδεῖν, ἵνα γένηται αὐτῷ ὡς οἷόν τε ἦν ἰδεῖν· οὕτως οὖν καὶ νοῦς εἴσω αὑτοῦ, τὸ αὑτοῦ καταλιπὼν φῶς καὶ οἷον ἔξω αὑτοῦ προελθών, εἰς τὰ μὴ αὑτοῦ ἐλθών, μὴ ἐπαγόμενος τὸ ἑαυτοῦ φῶς, ἔπαθε τοὐναντίον ἢ ἔστιν, ἵν' ἴδῃ τὸ αὑτῷ ἐναντίον.

IX. Quonam igitur hæc novimus? An primo quidem quonam novimus pravitatem? Virtutem quidem mente atque prudentia: se namque cognoscit: at vero quomodo pravitatem? Numquid, quemadmodum regula quadam rectum discernimus a non recto, sic et vitium tanquam virtuti non consequens? Sed numquid vitium cognoscimus, ipsum aspicientes? profecto integrum vitium nequaquam aspicientes animadvertimus: nam est infinitum. Itaque ablatione quadam, dum videlicet dicimus, virtutis omnino nihil habere: vitium vero non integrum ex hoc pensitamus, quod deficit a virtute. Partem ergo videntes, partemque præsenti, quod abest, reliquum suspicantes, quod quidem in tota specie continetur, hinc vero abest, hac ratione vitium judicamus in ipso indeterminato, quod est privatum derelinquentes. Atqui in ipsa materia quasi deformem faciem intuentes, quippe cum ratio ibi non dominetur, neque possit materiæ turpitudinem operire, utrum deformitatem ex quodam speciei defectu excogitamus. At vero, quod nulla ex parte nactum est speciem, quo pacto cognoscimus? Fortasse omnino speciem adimentes, totum id, quod residuum est, cui non insunt species, asserimus esse materiam, ipsique interim informitatem quandam intra nos admittimus, dum universam speciem auferimus, si modo simus materiam inspecturi. Quapropter hic intellectus fit alius ac ferme non intellectus: dum, quæ sua non sunt, audet inspicere: quemadmodum oculus divertens a lumine, ut videat tenebras et non videat: propterea quod, ut tenebras videat, relinquit lumen: neque enim una cum lumine tenebras videre potest: neque rursus absque lumine videre potest quicquam, quo videlicet illi contingat, ut, quoad potest fieri, videat. Similiter intellectus in penetralibus suis proprium lumen occulens, et quasi extra se progrediens, in illa, quæ ab ipso aliena sunt, abit: nec interea proprium lumen admovet: ideoque contrariam naturæ suæ subit conditionem, ut, quod sibi contrarium est, inspiciat.

Quod materia sit mala, non quia qualis sit, sed quia non qualis: sic deus est sine qualitate bonum. Item materiam esse prorsus informem: et quid sit forma.

Ι'. Καὶ ταῦτα μὲν ταύτῃ. Ἄποιος δὲ οὖσα πῶς κακή; ἢ ἄποιος λέγεται τῷ μηδὲν ἔχειν αὐτὴ ἐφ' ἑαυτῆς τούτων τῶν ποιοτήτων, ἃς δέξεται, καὶ ἐν αὐτῇ ὡς ὑποκειμένῳ ἔσονται· οὐ μὴν οὕτως, ὡς μηδεμίαν φύσιν ἔχειν. Εἰ δὴ ἔχει τινὰ φύσιν, ταύτην τὴν φύσιν τί κωλύει κακὴν εἶναι; οὐχ οὕτω δέ, κακήν, ὡς ποιόν· ἐπειδὴ καὶ τὸ ποιὸν τοῦτό ἐστι, καθ' ὃ ἕτερον ποιὸν λέγεται. Συμβεβηκὸς οὖν τὸ ποιόν, καὶ ἐν ἄλλῳ· ἡ δὲ ὕλη οὐκ ἐν ἄλλῳ, ἀλλὰ τὸ ὑποκείμενον, καὶ τὸ συμβεβηκὸς περὶ αὐτό. Τοῦ οὖν ποιοῦ τὴν φύσιν συμβεβηκότος ἔχοντος οὐ τυχοῦσα ἄποιος λέγεται. Εἰ τοίνυν καὶ ἡ ποιότης αὐτὴ ἄποιος, πῶς ἡ ὕλη οὐ δεξαμένη ποιότητα ποιὰ ἂν λέγοιτο; Ὀρθῶς ἄρα λέγοιτο καὶ ἄποιος εἶναι καὶ κακή· οὐ γὰρ λέγεται κακὴ τῷ ποιότητα ἔχειν, ἀλλὰ μᾶλλον τῷ ποιότητα μὴ ἔχειν, ἵνα μὴ ᾖ ἴσως κακή, εἶδος οὖσα, ἀλλὰ μὴ ἐναντία τῷ εἴδει φύσις.

X. Hactenus de his satis fuerit dictum. Cum vero materia omnino qualitatis sit expers, quonam conditione dicitur esse mala? Forsan qualitate vacua dicitur, quoniam nullam ex se ipsa possideat qualitatum, quas susceptura est, in ipsa velut in subjecto futuras: neque tamen ita dicitur esse non qualis, quasi naturam habeat nullam. Quod si quam naturam habet, quidnam prohibet, quo minus naturam hanc malam esse dicamus? neque sic, inquam, malam, quasi quadam prædita qualitate: quandoquidem id ipsum quale est, cujus præsentia aliud quoque quale denominatur. Quale igitur accidens est, jacetque in alio: materia vero non est in alio, sed est subjectum, circa quod accidens omne versatur. Cum itaque quod quale dicitur, naturam habeat accidentis, nimirum materia id nequaquam sortita, dicitur esse non qualis. Quin etiam si qualitas ipsa est non qualis: quonam pacto materia non sortita qualitatem poterit dici qualis? Recte ergo dicetur et non qualis, simul et mala. Non enim eo, quod qualitatem habeat, mala censetur, imo ex eo potius, quod nullam habeat qualitatem, ne si foret species, fortasse quodammodo quidem mala foret, non tamen contraria speciei natura.

Utrum malum sit privatio summa? et utrum esse per se et in se possit? Respondetur distinguendo.

ΙΑ'. Ἀλλ' ἡ ἐναντία τῷ εἴδει παντὶ φύσις στέρησις· στέρησις δὲ ἀεὶ ἐν ἄλλῳ καὶ ἐπ' αὐτῆς οὐχ ὑπόστασις· ὥστε τὸ κακὸν εἰ ἐν στερήσει, ἐν τῷ ἐστερη-

XI. Verum contraria speciei universæ natura privatio est: privatio autem semper in alio, in se ipsa vero non est substantia. Malum igitur si est in privatione situm, certe in eo, quod specie privatum est, erit malum. Ita-

μένῳ εἴδους τὸ κακὸν ἔσται· ὥστε καθ' ἑαυτὸ οὐκ ἔσται. Εἰ οὖν ἐν τῇ ψυχῇ ἔσται τὸ κακόν, ἡ στέρησις ἐν αὐτῇ τὸ κακὸν καὶ ἡ κακία ἔσται, καὶ οὐδὲν ἔξω· ἐπεὶ καὶ ἄλλοι λόγοι τὴν ὕλην ὅλως ἀναιρεῖν ἀξιοῦσιν· οἱ δὲ οὐδ' αὐτὴν κακὴν εἶναι οὖσαν. Οὐδὲν οὖν δεῖ ἄλλοθεν ζητεῖν τὸ κακόν, ἀλλὰ θέμενον ἐν ψυχῇ οὕτω θέσθαι ἀπουσίαν ἀγαθοῦ εἶναι. Ἀλλ' εἰ ἡ στέρησις ἐπιβάλλοντός ἐστι παρεῖναι εἴδους τινός, εἰ τοῦ ἀγαθοῦ στέρησις ἐν ψυχῇ, τὴν δὲ κακίαν ἐν αὐτῇ ποιεῖ τῷ λόγῳ τῷ ἑαυτῆς, ἡ ψυχὴ οὐδὲν ἔχει ἀγαθόν· οὐ τοίνυν οὐδὲ ζωήν, οὖσα ψυχή. Ἄψυχον ἄρα ἔσται ἡ ψυχή, εἴπερ μηδὲ ζωήν· ὥστε ψυχὴ οὖσα οὐκ ἔσται ψυχή. Ἔχει ἄρα τῷ ἑαυτῆς λόγῳ ζωήν· ὥστε οὐ στέρησιν ἔχει τὴν τοῦ ἀγαθοῦ παρ' αὐτῆς. Ἀγαθοειδὲς ἄρα, ἔχουσά τι ἀγαθὸν νοῦ ἴχνος, καὶ οὐ κακὸν παρ' αὐτῆς· οὐκ ἄρα οὐδὲ πρώτως κακόν, οὐδὲ συμβεβηκός τι αὐτῇ τὸ πρώτως κακόν, ὅτι μηδὲ ἄπεστιν αὐτῆς πᾶν τὸ ἀγαθόν.

quae per se ipsum esse non poterit. Si ergo in anima erit malum, privatio in ea malum et pravitas erit, nihilque extrinsecus oportebit accipere, unde in ea sit malum: quoniam et aliae rationes materiam penitus auferunt; hae vero neque ipsam quidem, cum sit, putant esse malam. Nihil igitur est aliunde quaerendum quasi malum: sed, qui malum in anima collocat, ita collocet, ut sit absentia boni. At si privatio speciei cujusdam est spectantis ad esse, atque boni privatio est in anima, quae quidem pravitatem in ea sua quadam efficit ratione: consequens est, ut anima nihil habeat boni. Jam igitur *neque habebit vitam, etiam* dum est anima. Quodsi vita caruerit, anima erit inanimis: itaque etiam dum anima erit, non erit anima. Habet igitur sua ratione vitam. Quamobrem privationem boni ex se ipsa non habet. Est igitur boniformis, utpote quae bonum aliquod habeat vestigium intellectus: neque ex seipsa malum: neque igitur primo malum est, neque rursus, quod est primo malum, est animae accidens, quippe cum ab ea non absit omne bonum.

Utrum ipsum malum non sit purum malum, atque in anima. Respondetur, esse purum, neque in anima.

ΙΒʹ. Τί οὖν εἰ μὴ παντελῆ στέρησιν λέγοι ἀγαθοῦ τὴν κακίαν καὶ τὸ κακὸν τὸ ἐν ψυχῇ, ἀλλά τινα στέρησιν ἀγαθοῦ; Ἀλλ' εἰ τοῦτο, τὸ μὲν ἔχουσα, τὸ δὲ ἐστερημένη, μικτὴν ἕξει τὴν αἴσθησιν, καὶ οὐκ ἄκρατον τὸ κακόν, καὶ οὔπω εὕρηται τὸ πρῶτον καὶ ἄκρατον κακόν· καὶ τὸ μὲν ἀγαθὸν τῇ ψυχῇ ἔσται ἐν οὐσίᾳ· συμβεβηκὸς δέ τι τὸ κακόν.

XII. Quid ergo, si quis non universam privationem boni pravitatem malumque in anima, sed quandam boni privationem esse dixerit? Profecto, si ita res se habeat, partim quidem habens, partim vero carens, mistum habebit sensum, neque purum malum, atque ita nondum primum purumque malum nobis erit inventum. Et bonum quidem animae in ipsa sui erit essentia; malum vero accidens quoddam esse censebitur.

Utrum ipsum malum sit impedimentum in anima: et quomodo anima descendat in malum, scilicet materiam.

ΙΓʹ. Εἰ μὴ ἄρα τοῦτο κακὸν ᾖ ἐμπόδιον, ὥσπερ ὀφθαλμῷ πρὸς τὸ βλέπειν. Ἀλλ' οὕτω ποιητικὸν κακοῦ ἔσται τὸ κακὸν αὐτῆς, καὶ οὕτω ποιητικόν, ὡς ἑτέρου τοῦ κακοῦ αὐτοῦ ὄντος. Εἰ οὖν ἡ κακία ἐμπόδιον τῇ ψυχῇ, ποιητικὸν κακοῦ, ἀλλ' οὐ τὸ κακὸν ἡ κακία ἔσται· καὶ ἡ ἀρετὴ δὲ οὐ τὸ ἀγαθόν, ἀλλ' ἢ ὡς συνεργόν· ὥστε εἰ μὴ ἡ ἀρετὴ τὸ ἀγαθόν, οὐδ' ἡ κακία τὸ κακόν· εἶτα καὶ ἡ ἀρετὴ οὐκ αὐτὸ τὸ καλὸν οὐδ' αὐταγαθόν· οὐ τοίνυν οὐδὲ ἡ κακία αὐτὸ τὸ αἰσχρὸν οὐδ' αὐτόκακον. Ἔφαμεν δὲ τὴν ἀρετὴν οὐκ αὐτόκαλον οὐδ' αὐταγαθόν, ὅτι πρὸ αὐτῆς καὶ ἐπέκεινα αὐτῆς αὐτόκαλον καὶ αὐταγαθόν· καὶ μεταλήψει πως ἀγαθὸν καὶ καλόν. Ὡς οὖν ἀπὸ τῆς ἀρετῆς ἀναβαίνοντι τὸ καλὸν καὶ τὸ ἀγαθόν, οὕτω καὶ ἀπὸ τῆς κακίας καταβαίνοντι τὸ κακὸν αὐτό, ἀρξαμένῳ μὲν ἀπὸ τῆς κακίας· θεωροῦντι μὲν ἡ θεωρία ἥτις ἐστὶ τοῦ κακοῦ αὐτοῦ, γινομένῳ δὲ ἡ μετάληψις αὐτοῦ· γίνεται γὰρ παντάπασαν ἐν τῷ τῆς ἀνομοιότητος τόπῳ, ἔνθα, δὺς εἰς αὐτήν, εἰς βόρβορον σκοτεινὸν ἔσται πεσών· ἐπεὶ καὶ εἰ παντελῶς ἴοι ἡ ψυχὴ εἰς παντελῆ κακίαν, οὐκ ἔτι κακίαν ἔχει, ἀλλ' ἑτέραν φύσιν τὴν χείρω ἠλλάξατο· ἔτι γὰρ ἀνθρωπικὸν ἡ κακία μεμιγμένη τινὶ ἐναντίῳ. Ἀποθνήσκει οὖν, ὡς ψυχὴ ἂν θάνοι· καὶ ὁ θάνατος αὐτῇ, καὶ ἔτι ἐν τῷ σώματι βεβαπτισμένῃ, ἐν ὕλῃ ἐστὶ καταδῦναι καὶ πλησθῆναι αὐτῆς· καὶ ἐξελθούσῃ ἐκεῖ κεῖσθαι, ἕως ἀναδράμῃ καὶ ἀφέλῃ πως

XIII. Nisi forte malum huic impedimentum esse dicatur, quemadmodum oculo ad videndum. Quod si ita sit, certe malum ejus causa erit mali, atque ita causa, quasi aliud quiddam sit ipsum malum. Si igitur vitium impedimentum animae sit, certe vitium non malum ipsum erit, sed causa mali: etenim virtus non est bonum, sed velut conferens. Quodsi virtus non est bonum, neque vitium ergo malum: proinde virtus neque est ipsum pulchrum, neque ipsum bonum: similiter ergo neque vitium est ipsum turpe, aut ipsum malum. Diximus vero virtutem non esse ipsum pulchrum, neque bonum ipsum: quoniam ante eam et super eam exstat ipsum pulchrum ipsumque bonum. Idcirco participatione quadam virtus bonum pulchrumque censetur. Quemadmodum igitur animo a virtute superius ascendenti ipsum pulchrum bonumque occurrit: sic et a pravitate inferius descendenti malum ipsum fit obvium, dum videlicet a pravitate facit exordium, atque inde jam intuetur malum, si quis modo esse potest mali ipsius intuitus. Denique cum jam descenderit, subit malum: proruit vero penitus in ipsam dissimilitudinis regionem, ubi mersus in eam jam in coenum tenebrosum dicitur corruisse: quandoquidem, si anima in universam omnino corruat pravitatem, non amplius pravitatem habebit, sed naturam aliam subibit deteriorem. Pravitas enim adhuc *humanum quiddam est cuidam permista contrario.* Moritur ergo vitiosus homo ea videlicet conditione, qua mori potest anima. Mors autem animae est et, dum corpore mergitur, in materiam labi ipsaque repleri, et, postquam deposuit corpus, eodem luto revolvi, donec tandem ad superiora recurrat atque a coeno sursum tollat aspectum:

τὴν ὄψιν ἐκ τοῦ βορβόρου· καὶ τοῦτό ἐστι τὸ ἐν ᾅδου ἐλθόντα ἐπικαταδαρθεῖν.

alioquin hoc ipsum fuerit, quod dicitur, animam delapsam ad inferos dormitare.

Quomodo malum in anima sit debilitas. Quomodo anima corpori conjuncta sit, quomodo separata.

ΙΔʹ. Εἰ δέ τις ἀσθένειαν ψυχῆς τὴν κακίαν λέγοι, εὐπαθῆ γοῦν καὶ εὐκίνητον εἶναι τὴν κακὴν ἀπὸ παντὸς εἰς ἅπαν κακὸν φερομένην· εὐκίνητον μὲν εἰς ἐπιθυμίας, εὐερέθιστον δὲ εἰς ὀργάς, προπετῆ δὲ εἰς συγκαταθέσεις, καὶ ταῖς ἀμυδραῖς φαντασίαις εἴκουσαν ῥᾳδίως, οἷα τὰ ἀσθενέστατα τῶν φύσει ἢ τέχνῃ πεποιημένων, ἃ ῥᾳδίως ἔχει ὑπό τε πνευμάτων ὑπό τε εἱλήσεων τὴν φθοράν· ἄξιον ἂν εἴη ζητεῖν, τίς καὶ πόθεν ἡ ἀσθένεια τῆς ψυχῆς; Οὐ γὰρ δὴ ὥσπερ ἐπὶ τῶν σωμάτων, οὕτω καὶ ἐπὶ τῆς ψυχῆς τὸ ἀσθενές· ἀλλ' ὥσπερ ἐκεῖ ἡ πρὸς τὸ ἔργον ἀδυναμία καὶ τὸ εὐπαθές, οὕτω καὶ ἐνταῦθα ἀναλογία τὴν τῆς ἀσθενείας ἔσχε προσηγορίαν· εἰ μὴ ταύτῃ εἰς τὸ αὐτὸ αἴτιον ἡ ὕλη τῆς ἀσθενείας. Ἀλλὰ προσιτέον ἐγγὺς τῷ λόγῳ, τί τὸ αἴτιον ἐν τῷ λεγομένῳ ἀσθενεῖ τῆς ψυχῆς. Οὐ γὰρ δὴ πυκνότητες ἢ ἀραιότητες· οὐδ' αὖ ἰσχνότητες ἢ παχύτητες, ἢ νόσος ὥσπερ τις πυρετός, ἀσθενῆ ἐποίησε ψυχὴν εἶναι. Ἀνάγκη δὲ τὴν τοιαύτην ἀσθένειαν ψυχῆς ἢ ἐν ταῖς χωρισταῖς παντελῶς, ἢ ἐν ταῖς ἐνύλοις, ἢ ἐν ἀμφοτέραις εἶναι. Εἰ δὲ μὴ ἐν ταῖς χωρὶς ὕλης, καθαραὶ γὰρ πᾶσαι, καί, τὸ λεγόμενον, ἐπτερωμέναι, καὶ τέλειοι, καὶ τὸ ἔργον αὐταῖς ἀνεμπόδιστον, λοιπὸν ἐν ταῖς πεσούσαις εἶναι τὴν ἀσθένειαν, ταῖς οὐ καθαραῖς οὐδὲ κεκαθαρμέναις, καὶ ἡ ἀσθένεια αὐταῖς εἴη ἂν οὐκ ἀφαίρεσίς τινος, ἀλλ' ἀλλοτρίου παρουσία, ὥσπερ φλέγματος ἢ χολῆς ἐν σώματι. Τοῦ δὲ πτώματος τὸ αἴτιον τῇ ψυχῇ σαφέστερον λαμβάνουσι, καὶ ὡς προσήκει λαβεῖν, καταφανὲς ἔσται τὸ ζητούμενον, ἡ τῆς ψυχῆς ἀσθένεια. Ἔστιν οὖν ἐν τοῖς οὖσιν ὕλη· ἔστι δὲ καὶ ψυχή, καὶ οἷον τόπος εἷς τις. Οὐ γὰρ χωρὶς μὲν ὁ τόπος τῇ ὕλῃ, χωρὶς δ' αὖ ὁ τῆς ψυχῆς· οἷον ὁ μὲν ἐν γῇ τῇ ὕλῃ, ὁ δὲ ἐν ἀέρι τῇ ψυχῇ· ἀλλ' ὁ τόπος τῇ ψυχῇ χωρίς, τὸ μὴ ἐν ὕλῃ· τοῦτο δέ, τὸ μὴ ἑνωθῆναι τῇ ὕλῃ· τοῦτο δέ, τὸ μὴ ἕν τι ἐξ αὐτῆς καὶ ὕλης γενέσθαι· τοῦτο δέ, τὸ μὴ ἐν ὑποκειμένῳ τῇ ὕλῃ γενέσθαι· καὶ τοῦτό ἐστι τὸ χωρὶς εἶναι. Δυνάμεις δὲ ψυχῆς πολλαί· καὶ ἀρχὴν καὶ μέσα καὶ ἔσχατα ψυχὴ ἔχει· ὕλη δὲ παροῦσα προσαιτεῖ, οἷον καὶ ἐνοχλεῖ καὶ εἰς τὸ εἴσω παρελθεῖν ἐθέλει· πᾶς δὲ ὁ χῶρος ἱερός, καὶ οὐδέν ἐστιν, ὃ ἄμοιρόν ἐστι ψυχῆς. Ἐλλάμπεται οὖν ὑποβάλλουσα ἑαυτήν, καὶ ἀφ' οὗ μὲν ἐλλάμπεται, οὐ δύναται λαβεῖν· οὐ γὰρ ἀνέχεται αὐτὴν ἐκεῖνο, καίτοι παροῦσαν, ὅτι μὴ ὁρᾷ διὰ κάκην. Τὴν δὲ ἔλλαμψιν καὶ τὸ ἐκεῖθεν φῶς ἐσκότωσε τῇ μίξει καὶ ἀσθενὲς πεποίηκε, τὴν γένεσιν αὐτὴ παρασχοῦσα, καὶ τὴν αἰτίαν τοῦ εἰς αὐτὴν ἐλθεῖν· οὐ γὰρ ἂν ἦλθε τῷ μὴ παρόντι. Καὶ τοῦτό ἐστι πτῶμα τῆς ψυχῆς, τὸ οὕτως ἐλθεῖν εἰς ὕλην καὶ ἀσθενεῖν, ὅτι πᾶσαι αἱ δυνάμεις οὐ πάρεισιν εἰς ἐνέργειαν, κωλυούσης ὕλης παρεῖναι τῷ τὸν τόπον, ὃν κατέχει αὐτή,

XIV. Dixerit forte quispiam pravitatem esse debilitatem animæ: malam namque animam facile admodum et a quolibet pati atque moveri, et in malum omne transferri: ad libidines pronam, præcipitem ad iras atque judicia, levissimis imaginationis judiciis inconsiderate cedentem, non aliter, quam quæ vel natura vel arte facta sunt debilissima. Hæc enim a ventis turbinibusque [ *vel* æstibusque] facile corrumpuntur. Operæ pretium vero est ab eo, qui ita dixerit, sciscitari, quænam et unde animæ sit imbecillitas? Neque enim qualis in corporibus, talis omnino est in anima imbecillitas, sed quemadmodum ibi debilitas est, non valere opus proprium exsequi, atque etiam facillime pati: ita ferme et hic similitudo quædam proportionis appellationem debilitatis induxit, nisi forte materia eadem causa debilitatis sit utriusque. Verum ratione propius accedendum perscrutandumque, quænam hujus causa sit, quod in anima infirmitatis nomen accepit. Neque enim natura quædam vel densa, vel extenuata, vel pinguis, vel morbus aliquis, velut febris, infirmam reddit animam. Præterea necesse est, ejusmodi debilitatem animæ vel in animabus a materia penitus segregatis, vel in conjunctis esse, vel in utrisque. At si in segregatis non est debilitas, puræ namque sunt omnes, et (ut dicitur) alatæ atque perfectæ, actionemque suam peragunt expeditam: reliquum est in animabus, quæ ceciderunt, esse debilitatem: siquidem nec puræ sunt nec expiatæ. Harum vero debilitas non est alicujus ablatio, sed alieni præsentia: velut pituitæ aut bilis in corpore. Proinde, si causam, ob quam anima cadit, plane recteque comprehendamus, compertum jam nobis erit, quod quærimus, quæ videlicet sit debilitas animæ. Est sane in ordine rerum materia, est et anima ac veluti utriusque locus unus. Non enim seorsum est materiæ locus, seorsum insuper locus animæ: perinde ac si materiæ locus sit in terra, animæ autem in aere: sed locus animæ, qui dicitur a materia separatus, significat non esse animam in materia. Hoc autem indicat eam materiæ non uniri: id rursus ostendit non fieri unum quiddam ex anima simul atque materia. Hoc denique innuit, non esse animam in materiali quasi subjecto: atque id ipsum est, quod dicitur animam esse a materia separatam. Vires autem animæ multæ sunt. Habet enim principium anima in se, mediaque iterum et postrema. Materia vero præsens affectat et quasi procax efflagitat, intro cupiens penetrare: at locus totus est sacer nihilque est expers animæ. Illustratur ergo materia sese illi subjiciens, neque tamen id, a quo illustratur, comprehendere valet. Illud enim eam, quamvis præsentem, minime sustinet, quoniam neque etiam videt ob pravitatem. Illustrationem vero lumenque inde proveniens materia obscurat permistione redditque debile: quippe cum ipsa generationem adhibeat occasionemque, ut in ipsam fiat introitus: nunquam enim accederet anima, nisi præsente materia. Atque id est animæ casus, in materiam ita labi debilemque evadere: quoniam non omnes animæ vires ad agendum adsunt, cum materia adesse prohibeat: propterea, quod locum,

καταλαβεῖν καὶ οἷον συσκοτισθῆναι ποιῆσαι ἐκείνην· ὃ δὲ ἔλαβεν οἷον κλέψασα, ποιῆσαι κακὸν εἶναι, ἕως ἂν δυνηθῇ ἀναδραμεῖν· ὕλη τοίνυν καὶ ἀσθενείας ψυχῇ αἰτία, καὶ κακίας αἰτία. Πρότερον ἄρα κακὴ αὐτὴ καὶ πρῶτον κακόν· καὶ γὰρ εἰ αὐτὴ ἡ ψυχὴ τὴν ὕλην ἐγέννησε παθοῦσα, καὶ εἰ ἐκοινώνησεν αὐτῇ, καὶ ἐγένετο κακή, ἡ ὕλη αἰτία παροῦσα· οὐ γὰρ ἂν ἐγένετο εἰς αὐτήν, μὴ τῇ παρουσίᾳ αὐτῆς τὴν γένεσιν λαβοῦσα.

quem continet ipsa, comprehendit et quasi contrahi cum efficit. Quod autem inde surripit quasi furto, reddit malum, donec illinc valeat assurgere. Materia igitur et debilitatis et pravitatis animæ causa est. Quare ipsa prius est mala primumque malum. Etenim, si anima ipsa materiam genuit patiens [sive præsens], ac si communicavit cum ipsa evasitque mala, certe materia in causa est præsentia sua: neque enim anima accessit ad eam, nisi generationem ejus præsentia adsumpsisset.

Probatur materiam esse, scilicet prorsus informem. Item, quomodo malum fit in anima: quomodo materia intus mala.

ΙΕ'. Εἰ δέ τις τὴν ὕλην μὴ φησὶν εἶναι, δεικτέον αὐτῷ ἐκ τῶν περὶ ὕλης λόγων τὴν ἀνάγκην τῆς ὑποστάσεως αὐτῆς, διὰ πλειόνων ἐκεῖ περὶ τούτου εἰρημένου. Κακὸν δὲ εἴ τις λέγοι τὸ παράπαν ἐν τοῖς οὖσι μὴ εἶναι, ἀνάγκη αὐτῷ καὶ τὸ ἀγαθὸν ἀναιρεῖν, καὶ μηδὲ ὀρεκτὸν μηδὲν εἶναι, μὴ τοίνυν μηδ' ὄρεξιν, μηδ' αὖ ἔκκλισιν, μηδὲ νόησιν· ἡ γὰρ ὄρεξις ἀγαθοῦ, ἡ δὲ ἔκκλισις κακοῦ, ἡ δὲ νόησις καὶ ἡ φρόνησις ἀγαθοῦ ἐστι καὶ κακοῦ· καὶ αὐτὴ ἕν τι τῶν ἀγαθῶν. Εἶναι μὲν οὖν δεῖ καὶ ἀγαθόν, καὶ ἄμικτον ἀγαθόν, τὸ δὲ μεμιγμένον ἤδη ἐκ κακοῦ καὶ ἀγαθοῦ, καὶ πλείονος κακοῦ μεταλαβόν, ἤδη καὶ αὐτὸ συντελέσαν ἐκείνῳ ἐν τῷ ὅλον κακόν· ἐλάττονος δὲ ᾗ ἠλάττωται τῷ ἀγαθῷ· ἐπεὶ καὶ ψυχῇ τί ἂν εἴη κακόν; ἢ τίνι ἄν, μὴ ἐφαψαμένη τῆς φύσεως τῆς χείρονος; ἐπεὶ οὐδὲ ἐπιθυμίαι, οὐδ' αὖ λῦπαι, οὐ θυμοί, οὐ φόβοι· καὶ γὰρ φόβοι τῷ συνθέτῳ, μὴ λυθῇ· καὶ λῦπαι καὶ ἀλγηδόνες, λυομένου· ἐπιθυμίαι δέ, ἐνοχλοῦντός τινος τῇ συστάσει, ἤ, ἵνα μὴ ἐνοχλῇ, ἴασιν προνοουμένου. Φαντασία δὲ πληγὴ ἀλόγου ὡς ἔξωθεν· δέχεται δὲ τὴν πληγὴν διὰ τοῦ οὐκ ἀμεροῦς· καὶ δόξα δὴ ψευδὴς ἔξωθεν γενομένη τοῦ ἀληθοῦς αὐτοῦ. Ἔξωθεν δὲ γίνεται τῷ μὴ εἶναι καθαρά· ἡ δὲ πρὸς νοῦν ὄρεξις ἄλλο· συνεῖναι γὰρ δεῖ μόνον καὶ ἐν αὐτῷ ἱδρυμένην, οὐ νεύσασαν εἰς τὸ χεῖρον. Τὸ δὲ κακὸν οὐ μόνον ἐστὶ κακὸν διὰ δύναμιν ἀγαθοῦ καὶ φύσιν, ἐπείπερ ἐφάνη ἐξ ἀνάγκης περιληφθὲν δεσμοῖς τισι καλοῖς, οἷα δεσμῶταί τινες χρυσῷ, κρύπτεται τούτοις, ἵνα οὖσα μὴ ὁρῷτο τοῖς θεοῖς, καὶ ἄνθρωποι ἔχοιεν μὴ ἀεὶ τὸ κακὸν βλέπειν, ἀλλ', ὅταν καὶ βλέπωσιν, εἰδώλοις τοῦ καλοῦ εἰς ἀνάμνησιν συνιῶσιν.

XV. Si quis autem materiam esse negaverit, monstrandum erit illi ex disputationibus de materia tractantibus, quam necessarium sit esse materiam: multa enim illic in hanc sententiam adducuntur. Præterea si quis malum in ordine rerum esse omnino negaverit, bonum quoque tollere compelletur, et quicquid usquam est appetendum, ipsumque appetitum, item declinationem, atque rursus intelligentiam. Appetitus enim boni est, declinatio vero mali. Intelligentia denique et prudentia boni simul est atque mali: ipsaque in bonorum numero collocatur. Oportet igitur esse bonum, rursusque bonum purum, nec non mixtum ex bono atque malo. Item quod plus mali participat, ad id jam declinare, quod est totum malum: quod vero minus habet mali, hoc ipsum, quod minus habet, ad bonum spectare. Jam vero quidnam animæ malum esset et cuinam animæ, nisi naturam attingat deteriorem? Alioquin neque cupiditates, neque dolores, neque iræ, neque timores excitarentur. Etenim timentes compositum metuunt, ne solvatur. Rursusque dolores et cruciatus, ubi compositum dissolvitur, oriuntur. Præterea concupiscentiæ insurgunt, ubi aliquid compositionem ipsam disturbat: vel ne quid perturbet, insurgunt, quasi remedio consulentes. Phantasia vero impulsio quædam est viventis irrationalis ab externis illata: suscipit autem impulsionem per ipsum, quod non est impartibile. Opiniones denique falsæ animæ extra ipsam verum positæ accidunt. Extra vero ponitur, eo quod non est pura. At vero instinctus ad intellectum vergens aliud quiddam est. Oportet enim intellectui duntaxat hærere, atque animam in eo locatam firmiter permanere, neque ad id unquam, quod est deterius, declinare. Malum vero non solum malum est ob ipsam boni potentiam atque naturam: quoniam occurrit ex necessitate pulchris quibusdam vinculis comprehensum atque opertum, instar eorum qui catenis aureis vinciuntur: ne palam in conspectum deorum prodeat, neve homines undique malum semper ante oculos habeant, et, si quando quomodo videant, tunc pulchris ipsius boni simulacris in boni memoriam revocentur.

# ΕΝΝΕΑΔΟΣ Α

## ΛΟΓΟΣ Θ.

### ΠΕΡΙ ΕΞΑΓΩΓΗΣ.

(85.)

Οὐκ ἐξάξει, ἵνα μὴ ἐξίῃ· ἐξελεύσεται γὰρ ἔχουσά τι, ἵνα καὶ ἐξέλθῃ. Τό τε ἐξελθεῖν ἐστι μεταβῆναι εἰς ἄλλον τόπον. Ἀλλὰ μενεῖ τὸ σῶμα ἀποστῆναι πᾶν αὐτῆς, ὅτε μὴ δεῖται μετελθεῖν, ἀλλ' ἔστι πάντη ἔξω. Πῶς οὖν ἀφίσταται τὸ σῶμα; ὅταν μηδὲν ἔτι δεδεμένον ᾖ τῆς ψυχῆς, ἀδυνατοῦντος ἔτι τοῦ σώματος συνδεῖν, τῆς ἁρμονίας αὐτοῦ οὐκέτι οὔσης, ἣν ἔχον εἶχε τὴν ψυχήν. Τί οὖν, εἰ μηχανήσαιτό τις λυθῆναι τὸ σῶμα; ἢ ἐβιάσατο, καὶ ἀπέστη αὐτός, οὐκ ἐκεῖνο ἀφῆκε· καὶ ὅτε λύει οὐκ ἀπαθής, ἀλλ' ἢ δυσχέρανσις, ἢ λύπη, ἢ θυμός. Δεῖ δὲ μηδὲν πράττειν. Εἰ οὖν ἀρχὴν αἴσθοιτο τοῦ ληρεῖν; ἢ τάχα μὲν οὐ περὶ σπουδαῖον· εἰ δὲ καὶ γένοιτο, τάττοιτο ἂν ἐν τοῖς ἀναγκαίοις τοῦτο, καὶ ἐκ περιστάσεως αἱρετοῖς, οὐχ ἁπλῶς αἱρετοῖς. Καὶ γὰρ ἡ τῶν φαρμάκων προσαγωγὴ πρὸς ἔξοδον ψυχῆς τάχα ἂν ψυχῇ οὐ πρόσφορος· καὶ εἰ εἱμαρμένος χρόνος ὁ δοθεὶς ἑκάστῳ, πρὸ τούτου οὐκ εὐτυχές, εἰ μὴ ὥσπερ φαμὲν ἀναγκαῖον. Εἰ δέ, οἷος ἕκαστος ἔξεισι, ταύτην ἴσχει ἐκεῖ τάξιν εἰς τὸ προκόπτειν, οὔσης ἐπιδόσεως οὐκ ἐξακτέον.

# ENNEADIS PRIMÆ

## LIBER IX.

### DE EDUCTIONE ANIMÆ A CORPORE.

[184, 185.]

Nemo extrudat per vim e corpore animam, ne forte exeat in locum similem migratura: alioquin exibit corpori nonnihil deferens, quo per similia emigrabit. *Emigrare* enim est a loco in locum alium pertransire. Sed exspectare debet quoad corpus totum ab anima ipsa deficiat: quando transmigratione non indiget anima, sed extra est omnino. Quo igitur pacto corpus ab anima deficit? quando videlicet nulla vis animæ amplius in ipso ligatur: quippe cum corpus jam ipsam ligare non possit, perdita videlicet harmonia, quam olim habens habebat et animam. Quid ergo, si quis det operam, ut corpus dissolvatur ab anima? verum sic vim inferet, neque corpus tunc dimitteret animam, sed ipsam anima destitueret. Accedit ad hæc, quod, quando quis dissolvit corpus, non est a passione liber, sed vel angustia, vel dolore, vel ira compellitur. Nihil vero ejusmodi est agendum. At si insaniam quis persenserit imminentem, quidnam aget? Fortasse vero id probo non accidet. Quodsi acciderit, reponendum erit in eorum genere, quæ necessaria nuncupantur, atque ob ea, quæ circumstant, non autem simpliciter eligenda. Etenim venenorum excogitatio ad exitum animæ compellentium fortasse non expedit animæ. Atqui etsi fatale tempus unicuique datum est, ante ipsum haud feliciter id fiet, nisi (ut diximus) id tanquam necessarium habeatur. Si denique, qualis quisque exit, talem ibi quoque retinet ordinem, non est e corpore animus extrahendus, cum adhuc proficiendi esse possit accessio.

# ΕΝΝΕΑΔΟΣ Β

## ΛΟΓΟΣ Α

### ΠΕΡΙ ΟΥΡΑΝΟΥ.

# ENNEADIS SECUNDÆ

## LIBER I.

### DE CÆLO.

(96, 97.) [178—180.]

1. Quærit, utrum cælum sit sempiternum, tam in quolibet singulari ejus substantia, quam in specie.

Α'. Τὸν κόσμον ἀεὶ λέγοντες καὶ πρόσθεν εἶναι καὶ ἔσεσθαι σῶμα ἔχοντα, εἰ μὲν ἐπὶ τὴν τοῦ θεοῦ βούλησιν ἀνάγοιμεν τὴν αἰτίαν, πρῶτον μὲν ἀληθὲς μὲν ἂν ἴσως λέγοιμεν, σαφήνειαν δὲ οὐδεμίαν ἂν παρεχοίμεθα. Ἔπειτα τῶν στοιχείων ἡ μεταβολὴ καὶ τῶν ζώων τῶν περὶ γῆν ἡ φθορὰ τὸ εἶδος σώζουσα, μήποτε τοῦτο καὶ ἐπὶ τοῦ παντὸς ἀξιώσει γίγνεσθαι, ὡς τῆς βουλήσεως τοῦτο δυναμένης, ἀεὶ ὑπεκφεύγοντος καὶ ῥέοντος τοῦ σώματος, ἐπιτιθέναι τὸ εἶδος τὸ αὐτὸ ἄλλοτε ἄλλῳ, ὡς μὴ σώζεσθαι τὸ ἓν ἀριθμῷ εἰς τὸ ἀεί, ἀλλὰ τὸ ἓν τῷ εἴδει· ἐπεὶ διὰ τί τὰ μὲν οὕτω κατὰ τὸ εἶδος μόνον τὸ ἀεὶ ἕξει, τὰ δὲ ἐν οὐρανῷ καὶ αὐτὸς ὁ οὐρανὸς κατὰ τόδε ἕξει τὸ ἀεί. Εἰ δὲ τῷ πάντα συνειληφέναι, καὶ μὴ εἶναι εἰς ὃ τὴν μεταβολὴν ποιήσεται, μηδὲ τῷ ἔξωθεν ἂν προσπεσὸν φθεῖραι δύνασθαι, τούτῳ δώσομεν τὴν αἰτίαν τῆς οὐ φθορᾶς, τῷ μὲν ὅλῳ καὶ παντὶ δώσομεν ἐκ τοῦ λόγου τὸ μὴ ἂν φθαρῆναι. Ὁ δὲ ἥλιος ἡμῖν καὶ τῶν ἄλλων ἄστρων ἡ οὐσία, τῷ μέρη καὶ μὴ ὅλον ἕκαστον εἶναι καὶ πᾶν, οὐχ ἕξει τὴν πίστιν παρὰ τοῦ λόγου, ὅτι εἰς ἅπαντα μένει τὸν χρόνον· τὸ δὲ κατὰ εἶδος τὴν μονὴν αὐτοῖς εἶναι, ὥσπερ καὶ πυρὶ καὶ τοῖς τοιούτοις μόνον ἂν δόξειε παρεῖναι, καὶ αὐτῷ δὲ παντὶ τῷ κόσμῳ. Οὐδὲν γὰρ κωλύει ὑπ' ἄλλου ἔξωθεν μὴ φθειρόμενον τῶν μερῶν ἄλληλα φθειρόντων, οὕτω φθορὸν ἀεὶ ἔχοντα τῷ εἴδει μόνον περιμένειν· καὶ ῥεούσης ἀεὶ τῆς φύσεως τοῦ ὑποκειμένου, τὸ εἶδος ἄλλου διδόντος, γίγνεσθαι τὸ αὐτὸ ἐπὶ τοῦ παντὸς ζώου, ὅπερ καὶ ἐπὶ ἀνθρώπου καὶ ἵππου καὶ τῶν ἄλλων. Ἀεὶ γὰρ ἄνθρωπος καὶ ἵππος, ἀλλ' οὐχ ὁ αὐτός. Οὐ τοίνυν ἔσται τὸ μὲν μένον αὐτοῦ ἀεί, ὥσπερ ὁ οὐρανός, τὰ δὲ περὶ γῆν φθειρόμενα, ἀλλ' ὁμοίως ἅπαντα τὴν διαφορὰν ἔχοντα μόνῳ τῷ χρόνῳ. Ἔσται γὰρ πολυχρονιώτερα τὰ ἐν οὐρανῷ. Εἰ μὲν οὖν οὕτω συγχωρησόμεθα τὸ ἀεὶ ἐπὶ τοῦ παντὸς καὶ ἐπὶ τῶν μερῶν εἶναι, ἧττον ἂν τὸ ἄπορον τῇ δόξῃ προσείη· μᾶλλον δὲ παντάπασιν ἔξω ἀπορίας ἂν γιγνοίμεθα, εἰ τὸ τῆς βουλήσεως τοῦ θεοῦ ἱκανὸν εἶναι δεικνύοιτο, κἂν οὕτω καὶ τοῦτον τὸν τρόπον συνέχειν τὸ πᾶν. Εἰ δὲ καὶ τόδε τι αὐτοῦ ὁποσονοῦν λέγοιμεν ἔχειν τὸ ἀεί, ἥ τε βούλησις δεικτέα, εἰ ἱκανὴ ποιεῖν τοῦτο· τό τε ἄπορον μένει, διὰ τί τὰ μὲν οὕτω, τὰ δὲ οὐχ οὕτως, ἀλλὰ τῷ εἴδει μόνον· τά τε μέρη τὰ ἐν οὐρανῷ, πῶς καὶ αὐτά· ἐπειδὴ οὕτω καὶ αὐτὰ τὰ πάντα εἶναι.

1. Cum mundum corpus habentem fuisse semper ac fore *dicamus, si perpetuitatis hujus causam divinæ voluntati* attribuamus, primo quidem verum fortasse dicemus, nihil tamen perspicuum afferemus. Deinde cum elementorum mutua commutatio animaliumque terrenorum interitus sempiternam interim retineat speciem, ambiguum erit, num forte similiter fiat in universo: quasi divina voluntas id *possit, videlicet subterfugiente semper fluenteque corpore,* speciem alias aliis eandem imprimere: adeo ut non numero, sed specie unum perpetuo maneat. Nec injuria dubitatur, quam ob causam alia quidem in mundo solam speciem habeant sempiternam, quæ vero in cælo sunt ipsumque cælum per singula quoque semper manere dicantur. Si autem ex eo, quod mundus in se omnia complectatur, neque supersit quicquam, in quo aliquando valeat permutari, neque rursus in hunc externum aliquid, quo disperdatur, incidere queat, perpetuitatis ejus causam adducamus, toti quidem et omni causam salutis æternæ congruam assignabimus. Sol autem stellarumque reliquarum substantia cum singula partes quædam sint, non *autem totum et omne, nondum ab ejusmodi ratione certam* reportabit fidem, quod in omne tempus valeat perdurare: sed quemadmodum igni cæterisque talibus convenit secundum speciem tantum perseverare: sic et iis convenire videbitur, imo vero etiam universo. Nihil enim prohibet, etsi ab extrinseco non lædatur, partibus tamen se mutuo destruentibus interitum perpeti sempiternum, et interea eandem sibi speciem conservare: atque, fluente semper natura subjecti, ab alio quodam suscipere speciem, fierique idem in universo hoc animali, quod et in homine et equo cæterisque efficitur. Semper enim homo est et equus, quamvis non idem. Non igitur aliud quidem in mundo sempiternum perseverabit scilicet cælum, aliud autem videlicet terrenorum genus interitum patietur: sed similiter omnia se habebunt, solo autem spatio temporis discrepabunt: erunt enim diuturniora cælestia. Si igitur hac conditione sempiternum tam in universo quam in partibus ejus acciperemus, minor opinionem hanc ambiguitas sequeretur: imo vero omnis procul abesset dubitatio, si *divinam voluntatem sufficientem esse demonstraverimus,* et si ita talique pacto ad universum perpetuo continendum. At si quid in mundo perpetuitatem in substantia insuper propria possidere dicamus, reliquum erit, ut demonstremus, nunquid divina voluntas id possit efficere. Perseverabit etiam dubitatio, cur nam alia quidem specie simul et numero, alia vero specie tantum sempiterna permaneant: quia etiam partes, quæ in cælo sunt, qua ratione eadem perpetuo sint: quandoquidem sic et omnia futura sint eadem

II. Similiter dubitat et tentat viam ad respondendum.

Β. Εἰ οὖν ταύτην παραδεξόμεθα τὴν δόξαν, καὶ φαμὲν τὸν μὲν οὐρανὸν καὶ πάντα τὰ ἐν αὐτῷ κατὰ τὸ τόδε τι ἔχειν τὸ ἀεὶ, τὰ δὲ ὑπὸ τῇ τῆς σελήνης σφαίρᾳ τὸ κατ' εἶδος, δεικτέον πῶς σῶμα ἔχων ἕξει τὸ τόδε ἐπὶ τοῦ αὐτοῦ κυρίως, ὡς τὸ καθ' ἕκαστον καὶ τὸ ὡσαύτως, τῆς φύσεως τοῦ σώματος ῥεούσης ἀεί. Τοῦτο γὰρ δοκεῖ τοῖς τε ἄλλοις τοῖς περὶ φύσεως εἰρηκόσι, καὶ αὐτῷ τῷ Πλάτωνι, οὐ μόνον περὶ τῶν ἄλλων σωμάτων, ἀλλὰ καὶ περὶ τῶν οὐρανίων αὐτῶν. Πῶς γὰρ ἄν, φησί, σώματα ἔχοντα καὶ ὁρώμενα ἀπαραλλάκτως ἕξει καὶ τὸ ὡσαύτως; συγχωρῶν καὶ ἐπὶ τούτων δηλονότι τῷ Ἡρακλείτῳ, ὃς ἔφη ἀεὶ καὶ τὸν ἥλιον γίγνεσθαι. Ἀριστοτέλει μὲν γὰρ οὐδὲν ἂν πρᾶγμα εἴη, εἴ τις αὐτοῦ τὰς ὑποθέσεις τοῦ πέμπτου παραδέξαιτο σώματος. Τοῖς δὲ μὴ τοῦτο τιθεμένοις, τοῦ σώματος δὲ ἐκ τούτων ὄντος τοῦ οὐρανοῦ, ἐξ ὧνπερ καὶ τὰ τῇδε ζῶα, πῶς τὸ τόδ' ἂν ἔχοι; ἔτι δὲ μᾶλλον, πῶς ἥλιος καὶ τὰ ἄλλα τὰ ἐν οὐρανῷ μόρια ὄντα; συγκειμένου δὴ παντὸς ζώου ἐκ ψυχῆς καὶ τῆς σώματος φύσεως, ἀνάγκη τὸν οὐρανόν, εἴπερ ἀεὶ κατ' ἀριθμὸν ἔσται, ἢ δι' ἄμφω ἔσεσθαι, ἢ διὰ θάτερον τῶν ἐνόντων, οἷον ψυχὴν ἢ σῶμα. Ὁ μὲν δὴ τῷ σώματι διδοὺς τὸ ἄφθαρτον οὐδὲν ἂν εἰς τοῦτο τῆς ψυχῆς δέοιτο, ἢ τοῦ ὁμοῦ ἀεὶ εἶναι πρὸς ζώου σύστασιν. Τῷ δὲ τὸ σῶμα παρ' αὐτοῦ φθαρτὸν εἶναι λέγοντι καὶ τῇ ψυχῇ διδόντι τὴν αἰτίαν πειρατέον καὶ τὴν τοῦ σώματος ἕξιν μηδ' αὐτὴν ἐναντιουμένην τῇ συστάσει καὶ τῇ διαμονῇ δεικνύναι, ὅτι μηδὲν ἀσύμφωνον ἐν τοῖς συνεστηκόσιν ἐστὶ κατὰ φύσιν, ἀλλὰ πρόσφορον καὶ τὴν ὕλην πρὸς τὸ βούλημα τοῦ ἀποτελέσματος ὑπάρχειν προσήκει.

II. Si opinionem hanc admiserimus, diximusque cælum quidem et cælestia omnia secundum singularem cujusque substantiam sempiternam habere perseverantiam, quæ vero sub luna sunt, id ipsum duntaxat secundum speciem possidere: demonstrandum erit, quomodo possit, quod habet corpus, eandem semper sub singulari proprietate servare naturam, cum ipsius corporis natura continuo perfluat. Vetus enim hæc sententia est, cum aliorum qui de natura disputaverunt, tum Platonis ipsius, non solum circa alia, verum etiam circa cælestia corpora, fluxum esse perpetuum. Ait enim: Quonam pacto, cum corpora sint atque visibilia, naturam immutabilem semperque eandem conservare valebunt? una cum Heraclito hac in re consentiens dicente, ipsum quoque solem assidue fieri. Apud Aristotelem quidem haud admodum id difficile fuerit, si quis suppositiones ejus de quinto corpore jam concesserit. Apud illos autem, qui id minime ponunt, quanam ratione cæleste corpus sub singulari proprietate substantiæ esse poterit sempiternum? cum tamen penes illos ex eisdem elementis cælum constituatur, ex quibus etiam illa, quæ hic sunt, animalia. Præterea multo magis dubitandum id erit de sole et ceteris, quæ in cælo sunt, partibus. Profecto cum omne animal ex anima naturaque corporis componatur, necesse est, cælum, siquidem semper idem numero fuerit, vel secundum utrumque vel secundum alterutrum eorum, quæ in ipso sunt scilicet, vel per corpus vel per animam, id ipsum habere. Quicunque igitur, quod sit incorruptibile, attribuit corpori, nihilo ad id anima indigebit, nisi forte ad hoc unum, ut semper anima sit cum corpore ad animal ipsum constituendum. Et vero, qui corpus quidem ex se ipso posuerit corruptibile, animæ autem æternæ salutis causam attribuerit, conandum erit ostendere, ipsam quoque naturam corporis ejusmodi constitutioni perseverantiæque minime repugnare: quippe cum in his, quæ natura constituuntur, nihil sit dissonum: sed ipsam quoque materiam ad affectus ipsius intentionem esse oporteat prorsus accommodatam.

III. Respondet, cælum esse sempiternum, cum animæ, tum corporis beneficio.

Γ'. Πῶς οὖν ἡ ὕλη καὶ τὸ σῶμα τοῦ παντὸς συνεργὸν ἂν εἴη πρὸς τὴν τοῦ κόσμου ἀθανασίαν, ἀεὶ ῥέον; Ἢ ὅτι φαμὲν ἄν· ῥεῖ γὰρ οὐκ ἔξω. Εἰ οὖν ἐν αὐτῷ, καὶ οὐκ ἀπ' αὐτοῦ, μένον τὸ αὐτὸ, οὔτ' ἂν αὔξοιτο οὔτε φθίνοι· οὐ τοίνυν οὐδὲ γηράσκει. Ὁρᾶν δὲ δεῖ καὶ γῆν μένουσαν ἀεὶ ἐν σχήματι τῷ αὐτῷ ἐξ ἀϊδίου καὶ ὄγκῳ· καὶ ἀὴρ οὐ μήποτ' ἐπιλείπει, οὐδὲ ἡ ὕδατος φύσις· καὶ τοίνυν ὅσον μεταβάλλει αὐτῶν, οὐκ ἠλλοίωσε τὴν τοῦ ὅλου ζώου φύσιν. Καὶ γὰρ ἡμῖν ἀεὶ μεταβαλλόντων μορίων, καὶ εἰς τὸ ἔξω ἀπιόντων, μένει ἕκαστος εἰς πολύ· ᾧ δὲ ἔξω μηδὲν, οὐκ ἀσύμφωνος ἂν τούτῳ ἡ σώματος φύσις πρὸς ψυχὴν, πρὸς τὸ τὸ αὐτὸ εἶναι ζῷον καὶ ἀεὶ μένον· πῦρ δὲ, ὀξὺ μὲν καὶ ταχὺ, τῷ μὴ ὧδε μένειν· ὥσπερ καὶ γῆ τῷ μὴ ἄνω· γενόμενον δὲ ἐκεῖ, οὗ στῆναι δεῖ, οὔτοι δεῖ νομίζειν οὕτως ἔχειν ἐν τῷ οἰκείῳ ἱδρυμένον, ὡς μὴ καὶ αὐτὸ, ὥσπερ καὶ τὰ ἄλλα, στάσιν ἐπ' ἄμφω ζητεῖν. Ἀνωτέρω μὲν γὰρ οὐκ ἂν φέροιτο· οὐδὲν γὰρ ἔτι· κάτω δ' οὐ πέφυκε· λείπεται δὲ αὐτῷ εὐαγώγῳ τε εἶναι καὶ κατὰ φυσικὴν ὁλκὴν ἑλκομένῳ ὑπὸ ψυχῆς πρὸς τὸ ζῆν εὖ μάλα ἐν καλῷ τόπῳ κινεῖσθαι ἐν τῇ ψυχῇ. Καὶ γὰρ εἴ τῳ φόβος, μὴ

III. Quo igitur modo materia corpusque universi ad immortalitatem mundi conducet, cum perpetuo fluat? An fortasse ob id conferre dicemus, quod non effluat extra? Si igitur in se ipso, non autem a se ipso fluit, nimirum permanens idem, nec augetur neque minuitur: neque igitur consenescit. Operæ pretium est contemplari terram in eadem semper figura moleque permanentem, aerem quoque nunquam deficientem, aquamque similiter. Atqui, quod commutatur in ipsis, totius viventis naturam non permutat. Nam et in nobis dum partes assidue permutantur effluuntque foras, diu quilibet interea vivit: ubi vero extra nihil exhalat, natura corporis non dissentit ab anima, quominus unum ex utrisque conficiatur animal semperque permaneat. Conducit ad hoc ipsum ignis, acutus quidem et velox, quatenus non quiescit in terra: quemadmodum et terra, quatenus non quiescit in alto. Postquam vero ignis ad alta conscendit, ubi sistere transitum oportet, nimirum torpere non debet. Neque enim existimandum est, sic eum se habere in sede propria collocatum, ut ipse, minus quam alia, amplificationem suam undique quærat. Ad superiora quidem nequit ascendere, (nihil enim superius exstat,) ad inferiora vero ferri natura non patitur. Quam ob rem reliquum est, ut ductu facilis sit in amplum, tractuque naturali ab anima perducatur ad vitam, ideoque in pulchra admodum regione, in ipsa videlicet anima, moveatur. Si quis autem forsan metuat ne ruat ignis, is etiam inveniet, unde confidat,

πέσῃ, θαῤῥεῖν δεῖ· φθάνει γὰρ ἡ τῆς ψυχῆς περιαγωγὴ πᾶσαν νεῦσιν ὡς κρατοῦσαν ἀνέχειν. Εἰ δὲ μὴ ῥοπὴν πρὸς τὸ κάτω ἔχει παρ' αὑτοῦ, οὐκ ἀντιτεῖνον μένει. Τὰ μὲν οὖν ἡμέτερα μέρη ἐν μορφῇ γενόμενα, οὐ στέγοντα αὐτῶν τὴν σύστασιν, ἀπαιτεῖ ἀπ' ἄλλων μόρια, ἵνα μένῃ. Εἰ δ' ἐκεῖθεν μὴ ἀποῤῥέοι, οὐδὲν δεῖ τρέφεσθαι· εἰ δὲ ἀποῤῥέοι ἀποσβεννύμενον ἐκεῖθεν, πῦρ δεῖ ἕτερον ἐξάπτεσθαι· καὶ εἰ ἄλλου τινὸς ἔχοι, καὶ ἐκεῖθεν ἀποῤῥέοι, δεῖ καὶ, ἀντ' ἐκείνου, ἄλλου. Ἀλλὰ διὰ τοῦτο οὐ μένοι ἂν τὸ πᾶν ζῷον τὸ αὐτὸ, εἰ καὶ οὕτως.

si modo consideraverit, quemadmodum illic circuitus animae inclinationem omnem praeveniat, circumducens fortiter atque sustinens. Sin autem nihil penitus ad descensum naturaliter habet momenti, certe, quominus ibi maneat, non repugnat. Partes quidem, quae sunt in nobis in nostram compositae formam, cum constitutionem suam continere non possint, appetunt partes insuper ab aliis mutuari, quibus in suo habitu conserventur. At si e caelo nihil defluit, nullo prorsus opus est nutrimento. Sin autem defluit inde aliquid et extinguitur, ignem oportet vicissim alterum illic accendi. Quod si quid habet ab alio, quod decidat inde, oportet et aliud ejus vice suppleri. Verum ob id non manebit idem animal universum, si et ita res ipsa se habeat.

*IV. Iterum ratione animae atque corporis mundum ostendit esse perpetuum.*

Δ'. Ἀλλ' αὐτό γ' ἐφ' ἑαυτοῦ, οὐχ ὡς πρὸς τὸ ζητούμενον, σκεπτέον, εἶτα τι ἀποῤῥεῖ ἐκεῖθεν, ὥστε δεῖσθαι κἀκεῖνα τῆς λεγομένης οὐ κυρίως τροφῆς; ἢ ἅπαξ τὰ ἐκεῖ ταχθέντα κατὰ φύσιν μένοντα οὐδεμίαν πάσχει ἀποῤῥοήν; καὶ πότερον πῦρ μόνον, ἢ πλέον τὸ πῦρ, καὶ ἔστι τοῖς ἄλλοις αἰωρεῖσθαι καὶ μετεωρίζεσθαι ὑπὸ τοῦ κρατοῦντος; εἰ γάρ τις προσθείη καὶ τὴν κυριωτάτην αἰτίαν τὴν ψυχὴν μετὰ τῶν οὕτω σωμάτων καθαρῶν καὶ πάντως ἀμεινόνων, ἐπεὶ καὶ ἐν τοῖς ἄλλοις ζώοις ἐν τοῖς κυρίοις αὐτῶν τὰ ἀμείνω ἐκλέγεται ἡ φύσις, πάγιον ἂν τὴν δόξαν περὶ τοῦ οὐρανοῦ τῆς ἀθανασίας λάβοι. Ὀρθῶς γὰρ καὶ Ἀριστοτέλης τὴν φλόγα ζέσιν τινὰ καὶ πῦρ οἷον διὰ κόρον ὑβρίζον· τὸ δὲ ἐκεῖ, ὁμαλὸν καὶ ἠρεμαῖον, καὶ τῇ τῶν ἄστρων πρόσφορον φύσει. Τὸ δὲ δὴ μέγιστον, τὴν ψυχὴν ἐφεξῆς τοῖς ἀρίστοις κινουμένην, δυνάμει θαυμαστῇ κειμένην, πῶς ἐκρεύξεταί τι αὐτὴν εἰς τὸ μὴ εἶναι τῶν ἅπαξ ἐν αὐτῇ τεθέντων; μὴ παντὸς δὲ δεσμοῦ οἴεσθαι κρείττονα εἶναι ἐκ θεοῦ ὡρμημένην ἀνθρώπων ἀπείρων ἐστὶν αἰτίας τῆς συνεχούσης τὰ πάντα. Ἄτοπον γὰρ τὴν καὶ ὁποσονοῦν χρόνον δυνηθεῖσαν συνέχειν μὴ καὶ ἀεὶ ποιεῖν τοῦτο, ὥσπερ βίᾳ τοῦ συνέχειν γεγονότος καὶ τοῦ κατὰ φύσιν ἄλλου ἢ τούτου ὄντος, ὃ ἐν τῇ τοῦ παντός ἐστι φύσει, καὶ ἐν τοῖς καλῶς τεθεῖσιν· ἢ ὄντος τινὸς τοῦ βιασομένου καὶ διαλύσοντος τὴν σύστασιν, καὶ οἷον βασιλείας τινὸς καὶ ἀρχῆς καταλύσοντος τὴν ψυχῆς φύσιν. Τό τε μήποτε ἄρξασθαι (ἄτοπον γὰρ καὶ ἤδη εἴρηται) πίστιν καὶ περὶ τοῦ μέλλοντος ἔχει. Διὰ τί γὰρ ἔσται ὅτε καὶ οὐκ ἤδη; οὐ γὰρ ἐκτέτριπται τὰ στοιχεῖα ὥσπερ ξύλα καὶ τὰ τοιαῦτα· μενόντων δ' ἀεὶ καὶ τὸ πᾶν μένει· καὶ εἰ μεταβάλλει ἀεὶ, καὶ τὸ πᾶν μένει, μένει γὰρ καὶ ἡ τῆς μεταβολῆς αἰτία. Ἡ δὲ μετάνοια τῆς ψυχῆς, ὅτι κενόν ἐστι, δέδεικται, ὅτι ἄπονος καὶ ἀβλαβὴς ἡ διοίκησις· καὶ εἰ πᾶν οἷόν τε σῶμα ἀπολέσθαι, οὐδὲν ἂν ἀλλοιότερον αὐτῇ γίγνοιτο.

IV. Veruntamen hoc ipsum jam non tam quoad quaesitum, quam quoad se ipsum spectat, videtur seorsum considerandum, an aliquid exhalet inde: ideoque caelestia nutritione quadam, etsi non propria dicta, videantur egere? an forte, quo ordine illic semel disposita sunt, naturaliter conquiescant, neque defluxum aliquem patiantur? Item, numquid ibi solus sit ignis, vel potius ignis quidem sit quam plurimus, cetera vero illic elementa ab igne penitus superante et attollantur in altum et per sublimia transferantur? Si quis enim adjunxerit potissimam causam, scilicet animam, una cum corporibus adeo puris omninoque melioribus; quandoquidem et in ceteris animalibus natura pro membris principalibus eligit meliora, is certe solidam de immortalitate caeli sententiam in medium adduxisse videbitur. Recte enim et Aristoteles ait, flammam esse fervorem quendam et ignem velut ob satietatem injuriosum atque luxuriantem. Ignis autem caelestis aequalis est atque quietus naturaeque astrorum accommodatus. Quod vero maximum est, cum anima optimis proxima mirabili potentia praedita sit, quanam via quicquam eorum, quae in ea semel posita sunt, hanc ipsam versus interitum subterfugere poterit? Si quis autem animam ex deo manantem non judicaverit omni vinculo fortiorem, is profecto causam omnia continentem ignorare videbitur. Absurdum certe est opinari, animam, quae ad tempus caelum continere potest, non etiam id semper efficere: perinde ac si per violentiam contineret, quodve naturae consentaneum est, aliud quicquam praeter hoc ipsum, quod in universi natura situm est, atque in his, quae pulcherrime disposita sunt, consistit: item quasi quicquam possit vi quadam illata constitutionem mundi dissolvere ac, veluti regnum et principatum, animi naturam labefactare. Proinde hoc ipsum, quod nunquam mundus inceperit (alioquin absurdum fuerit), de futura ejus perseverantia facit fidem. Quid enim in causa esse potest, ut mundus aliquando desinat? non enim elementa mundi, instar lignorum reliquorumque talium, conteruntur. Cum igitur semper maneant, similiter manet universum: quin etiam si continue commutantur, nihilominus permanet universum, quippe cum mutationis causa perseveret. Mutationem vero mundi futuram aliquando ob quandam animae poenitentiam opinari, vanum esse, alibi demonstravimus: praesertim cum gubernatio mundi procul ab omni labore et detrimento sit posita. Quin etiam, si quando corpus totum disperdi queat, nihil tamen ex hoc animae accidet alienum.

*V. Solvit dubium, cur caelestia maneant potius, quam subcaelestia.*

Ε'. Πῶς οὖν τὰ ἐκεῖ μέρη μένει, τὰ δὲ ἐνταῦθα στοιχεῖά τε καὶ ζῷα οὐ μένει; ἢ, φησὶν ὁ Πλάτων, τὰ μὲν παρὰ θεοῦ γεγένηται, τὰ δὲ ἐνταῦθα ζῷα παρὰ τῶν γενομένων παρ' αὐτοῦ θεῶν· γενόμενα δὲ παρ' ἐκείνου οὐ θεμιτὸν φθείρεσθαι. Τοῦτο δὲ ταὐτὸν τῷ ἐφεξῆς μὲν τῷ δημιουργῷ εἶναι τὴν ψυχὴν τὴν οὐρανίαν καὶ

V. At cur eorum partes in caelo consistunt, elementa vero apud nos et animalia minime? Forsan, ut inquit Plato, propterea, quod illa quidem ab ipso deo sunt facta, sed haec apud nos animalia a diis deo genitis sunt effecta: facta vero ab ipso deo nefas est interire. Id autem idem est, ac si dicatur, proximam post mundi architectum animam esse caelestem nostramque similiter: ab ipsa vero ea

τὰς ἡμετέρας δέ· ἀπὸ δὲ τῆς οὐρανίας ἴνδαλμα αὐτῆς ἰὸν καὶ οἷον ἀποῤῥέον ἀπὸ τῶν ἄνω τὰ ἐπὶ γῆς ζῷα ποιεῖν. Ψυχῆς οὖν μιμουμένης τοιαύτης τὴν ἐκεῖ, ἀδυνατούσης δὲ τῷ καὶ χείροσι σώμασι χρῆσθαι πρὸς τὴν ποίησιν καὶ ἐν τόπῳ χείρονι, καὶ τῶν εἰς τὴν σύστασιν ληφθέντων, οὐκ ἐθελόντων μένειν, τά τε ζῷα ἐνταῦθα οὐκ ἀεὶ δύναται μένειν, τά τε σώματα οὐχ ὁμοίως κρατοῖτο ἄν, ὡς ἂν ἄλλης ψυχῆς αὐτῶν προσεχῶς ἀρχούσης. Τὸν δὲ ὅλον οὐρανὸν εἴπερ ἔδει μένειν, καὶ τὰ μόρια αὐτοῦ, τὰ ἄστρα τὰ ἐν αὐτῷ, ἔδει· ἢ πῶς ἂν ἔμεινε μὴ ὁμοίως καὶ τούτων μενόντων; τὰ γὰρ ὑπὸ τὸν οὐρανὸν οὐκ ἔτι οὐρανοῦ μέρη· ἢ οὐ μέχρι σελήνης ὁ οὐρανός· ἡμεῖς δὲ πλασθέντες ὑπὸ τῆς διδομένης παρὰ τῶν ἐν οὐρανῷ θεῶν ψυχῆς καὶ αὐτοῦ τοῦ οὐρανοῦ, κατ' ἐκείνην καὶ σύνεσμεν τοῖς σώμασιν· ἡ γὰρ ἄλλη ψυχὴ, καθ' ἣν ἡμεῖς, τοῦ εὖ εἶναι, οὐ τοῦ εἶναι αἰτία. Ἤδη γοῦν τοῦ σώματος ἔρχεται γενομένου, μικρὰ ἐκ λογισμοῦ πρὸς τὸ εἶναι συλλαμβανομένη.

lesti imaginem quandam prodire, ac velut a superis defluentem terrena animalia facere. Cum igitur imaginaria haec anima superiorem pro viribus imitetur, neque tamen omnino id assequi possit, propterea quod deterioribus ad opus suum utatur corporibus locoque rursus deteriori, eaque in unum conciliare contendat, quae vix congrediuntur, et congressa in unum invita maneant, hinc terrena animalia haec non semper vivere possunt. Et corpora haec haud similiter valida potestate tenentur: quippe cum alia his anima proxime dominetur. Proinde si totum caelum perseverare debet, ejus quoque partes, scilicet stellas, oportet perseverare: alioquin quonam pacto maneret, nisi illae similiter perdurarent? Quae enim sunt infra caelum, non amplius sunt caeli partes: alioquin non usque ad lunam duntaxat caelum protenderetur. Nos autem formati ab anima, quae a diis caelestibus tradita est ipsoque caelo, secundum illam corporibus cohaeremus. Alia namque anima, per quam ipsi sumus, non ipsius esse, sed bene esse, causa est. Accedit enim facto jam corpore, parum ratione simul ad esse conducens.

VI. Solum in caelo esse ignem, et quodlibet in se purum esse,¹ sed in quolibet esse qualitates quasdam etiam aliorum.

ϛ'. Ἀλλὰ πότερον πῦρ μόνον, καὶ εἰ ἀποῤῥεῖ ἐκεῖθεν καὶ δεῖται τροφῆς, νῦν σκεπτέον. Τῷ μὲν οὖν Τιμαίῳ τὸ τοῦ παντὸς σῶμα πεποιηκότος πρῶτον ἐκ γῆς καὶ πυρὸς, ἵνα ὁρατόν τε ᾖ, διὰ τὸ πῦρ, στερεὸν δὲ διὰ τὴν γῆν, ἀκολουθεῖν ἔδοξε καὶ τὰ ἄστρα ποιεῖν οὐ πᾶν, ἀλλὰ τὸ πλεῖστον πυρὸς ἔχειν· ἐπειδὴ τὰ ἄστρα τὸ στερεὸν φαίνεται ἔχοντα. Καὶ ἴσως ὀρθῶς ἂν ἔχοι, συνεπικρίναντος καὶ Πλάτωνος τῷ εἰκότι τὴν γνώμην ταύτην. Παρὰ μὲν γὰρ τῆς αἰσθήσεως, κατά τε τὴν ὄψιν, κατά τε τὴν τῆς ἁφῆς ἀντίληψιν, πυρὸς ἔχειν τὸ πλεῖστον ἢ τὸ πᾶν φαίνεται· διὰ δὲ τοῦ λόγου ἐπισκοποῦσιν, εἰ τὸ στερεὸν ἄνευ γῆς οὐκ ἂν γένοιτο, καὶ γῆς ἂν ἔχοι. Ὕδατος δὲ καὶ ἀέρος τί ἂν δέοιτο; ἄτοπόν τε γὰρ δόξει ὕδατος εἶναι ἐν τοσούτῳ πυρί· ὅ τε ἀὴρ εἰ ἐνείη, μεταβάλλοι ἂν εἰς πυρὸς φύσιν. Ἀλλ' εἰ δύο στερεὰ ἄκρων λόγον ἔχοντα δύο μέσων δεῖται, ἀπορήσειεν ἄν τις, εἰ καὶ ἐν φυσικοῖς οὕτως· ἐπεὶ καὶ γῆν ἄν τις ὕδατι μίξειεν οὐδενὸς δεηθεὶς μέσου; Εἰ δὲ λέγοιμεν, ἐνυπάρχει γὰρ ἤδη ἐν τῇ γῇ καὶ τῷ ὕδατι τὰ ἄλλα, δόξομεν ἴσως τι λέγειν· εἴποι δ' ἄν τις, ἀλλ' οὐ πρὸς τὸ συνδῆσαι συνιόντα τὰ δύο. Ἀλλ' ὅμως ἐροῦμεν ἤδη συνδεῖσθαι τῷ ἔχειν ἑκάτερον πάντα. Ἀλλ' ἐπισκεπτέον, εἰ ἄνευ πυρὸς οὐχ ὁρατὸν γῆ, καὶ ἄνευ γῆς οὐ στερεὸν πῦρ· εἰ γὰρ τοῦτο, τάχα ἂν οὐδὲν ἔχοι ἐφ' ἑαυτοῦ τὴν αὐτοῦ οὐσίαν, ἀλλὰ πάντα μὲν μέμικται. Λέγεται δὲ κατὰ τὸ ἐπικρατοῦν ἕκαστον, ἐπεὶ οὐδὲ τὴν γῆν ἄνευ ὑγροῦ φασι συστῆναι δύνασθαι· κόλλαν γὰρ εἶναι τῇ γῇ τὴν ὕδατος ὑγρότητα. Ἀλλ' εἰ καὶ δώσομεν οὕτως, ἀλλ' ἕκαστόν γε ἄτοπον λέγοντα εἶναί τι, ἐφ' ἑαυτοῦ μὲν μὴ διδόναι σύστασιν αὐτῷ, μετὰ δὲ τῶν ἄλλων ὁμοῦ οὐδενὸς ἑκάστου ὄντος. Πῶς γὰρ ἂν εἴη γῆς φύσις, καὶ τό τι ἦν εἶναι γῇ, μηδενὸς ὄντος μορίου γῆς, ὃ γῆ ἐστιν, εἰ μὴ καὶ ὕδωρ ἐνείη εἰς κόλλησιν; τί δ' ἂν κολλήσειε μὴ ὄντος ὅλως μεγέθους, ὃ πρὸς ἄλλο

VI. Deinceps considerandum restat, utrum solus in caelo sit ignis, et numquid inde defluat aliquid, unde indigeat nutrimento? Cum igitur Timaeus mundi corpus ex igne primum terraque componat, ut per ignem quidem videri, per terram vero solidum esse tangique valeat: consentaneum esse videtur, ut et astra non totum quidem, sed plurimum habeant ignem: quandoquidem astra soliditatem habere videntur [corr. apparent]. Forsan vero recte se id habebit, quippe cum Plato sententiam hanc probabili et apparenti ratione confirmet. Nempe ab ipso sensu cum per aspectum, tum per tactum plurimum, vel totum, ignem apparet [corr. videtur] habere; per ipsam vero rationem considerantibus terram insuper habere putabitur, siquidem solidum absque terra esse non possit. Sed curnam aqua et aere indiget? Absurdum enim videri potest in igne tanto esse aquam. Aer autem si illic insit, in naturam ignis subito permutabitur. Verum si solida duo rationem habentia extremorum duobus indigent mediis, ambiget forte quispiam, numquid in rebus etiam naturalibus res ita se habeat: quandoquidem terram quis aquae permisceat, nullo ad haec concilianda medio indigens? Quodsi dixerimus, terrae et aquae inesse jam reliqua, nonnihil forsan afferre videbimur: sed objiciet alius, reliqua illa ad duo concilianda minime conspirare. Veruntamen dicemus jam invicem colligari, quoniam utrumque possideat omnia. Ceterum considerandum est, an absque igne terra videri non possit, et rursus sine terra ignis solidus esse non valeat. Si enim ita natura sit institutum, forsan nihil in se ipso suam habebit essentiam, sed erunt cuncta confusa. Appellabitur autem quodlibet ex eo, quod praevalebit in ipso: siquidem aiunt terram absque humore sibimet cohaerere non posse: aquae namque humorem terrae glutinum esse. Verum si et ita id concesserimus, attamen absurdum foret, dicere quidem, quodlibet aliquid esse, neque tamen in se ipso constitutionem sibi ipsi suppeditare, sed duntaxat una cum ceteris, ubi videlicet nullum in se aliquid sit futurum. Quo enim pacto terrae natura erit atque ipsa essentia terrae, cum nulla terrae portio sit id ipsum quod terra est, nisi et aqua insit ibi pro glutino? Praeterea quidnam ibi conglutinabit, ubi nulla sit magnitudo, quam

μόριον συνεχὲς συνάψει; εἰ γὰρ καὶ ὁτιοῦν μέγεθος γῆς αὐτῆς ἔσται, ἔσται γῆν φύσει καὶ ἄνευ ὕδατος εἶναι· ἢ εἰ μὴ τοῦτο, οὐδὲν ἔσται ὃ κολλήσεται ὑπὸ τοῦ ὕδατος. Ἀέρος δὲ τί ἂν δέοιτο γῆς ὄγκος πρὸς τὸ εἶναι, ἔτι ἀέρος μένοντος πρὶν μεταβάλλειν; περὶ δὲ πυρὸς, εἰς μὲν τὸ γῆ εἶναι, οὐκ εἴρηται· εἰς δὲ τὸ ὁρατὴ εἶναι, καὶ αὐτὴ καὶ τὰ ἄλλα· εὔλογον μὲν γὰρ συγχωρεῖν, παρὰ φωτὸς τὸ ὁρᾶσθαι γίγνεσθαι. Οὐ γὰρ δὴ τὸ σκότος ὁρᾶσθαι, ἀλλὰ μὴ ὁρᾶσθαι, φατέον, ὥσπερ τὴν ἀψοφίαν μὴ ἀκούεσθαι. Ἀλλὰ πῦρ γε ἐν αὐτῇ οὐκ ἀνάγκη παρεῖναι, φῶς γὰρ ἀρκεῖ· χιὼν γοῦν καὶ τὰ ψυχρότατα πολλὰ λαμπρὰ πυρὸς ἄνευ· ἀλλ' ἐνεγένετο, φήσει τις, καὶ ἔχρωσε πρὶν ἀπελθεῖν. Καὶ περὶ ὕδατος δὲ ἀπορητέον, εἰ μὴ ἔστιν ὕδωρ, εἰ μὴ γῆς λάβοι; ἀὴρ δὲ πῶς ἂν λέγοιτο μετέχειν γῆς, εὔθρυπτος ὤν; Περὶ δὲ πυρὸς, εἰ γῆς δεῖ αὐτῷ, τὸ συνεχὲς παρ' αὐτοῦ οὐκ ἔχοντι, οὐδὲ τὸ διάστατον τριχῆ· ἡ δὲ στερεότης αὐτῷ οὐ κατὰ τὴν διάστασιν τὴν τριχῆ, ἀλλὰ κατὰ τὴν ἀντέρεισιν δηλονότι, διὰ τί οὐκ ἔσται, ᾗ φυσικὸν σῶμα; σκληρότης δὲ γῇ μόνῃ· ἐπεὶ καὶ τὸ πυκνὸν τῷ χρυσῷ ὕδατι ὄντι προσγίνεται, οὐ γῆς προσγενομένης, ἀλλὰ πυκνότητος ἢ πήξεως. Καὶ πῦρ δὲ ἐφ' ἑαυτοῦ διὰ τί ψυχῆς παρούσης οὐ συστήσεται πρὸς τὴν δύναμιν αὐτῆς; καὶ ζῷα δὲ πύρινά ἐστι δαιμόνων. Ἀλλὰ κινήσομεν τὸ πᾶν ζῷον ἐκ πάντων τὴν σύστασιν ἔχειν; ἢ τὰ ἐπὶ γῆς τις ἐρεῖ, γῆν δὲ εἰς τὸν οὐρανὸν αἴρειν παρὰ φύσιν εἶναι καὶ ἐναντίον τοῖς ὑπ' αὐτῆς τεταγμένοις· συμπεριάγειν δὲ τὴν ταχίστην φορὰν, γεηρὰ σώματα, οὐ πιθανὸν εἶναι· ἐμπόδιόν τε καὶ πρὸς τὸ φανὸν καὶ λευκὸν τοῦ ἐκεῖ πυρός.

ad proximam partem continuatione connectat? Si enim *quantalibet terræ ipsius fuerit magnitudo, licebit terram* suapte natura sine aqua consistere : alioquin nihil amplius erit, quod ab aqua conglutinetur. Item terræ moles quidnam ad hoc, ut terra sit, aere indigebit, aere adhuc manente antequam transmutetur? Igne vero terram ad hoc, ut terra sit, egere non est dictum : sed ad hoc ipsum, ut et hæc alia spectari possint, igne indigere concessum. Rationi namque consentaneum est concedere, aspectum a lumine fieri. Neque enim videri tenebras, sed non videri dicendum, quemadmodum silentium non audiri. At vero ignem inesse terræ nequaquam necessarium est : *sufficit enim lumen.* Si quidem nix et *frigidissima multa* absque igne sunt lucida : quamvis dixerit aliquis affuisse illis ignem et illa, antequam discederet, colorasse. De aqua insuper est ambigendum, an nequeat esse aqua, nisi terræ sit particeps? Aer item quanam ratione terræ particeps appellabitur, cum sit mollissimus et penetrantibus quam facillime cedat? De igne autem dubitatur, num ipsi opus sit terra, quasi videlicet continuitatem ex se ipso non habeat, neque trinam dimensionem, [quatenus corpus est naturale]: soliditas vero in ipso non per trinam dimensionem, sed per quandam repercussionem nimirum, quam ob rem non erit, quatenus est corpus naturale? Durities autem aspera tantum convenit terræ : quandoquidem densitudo auro, quod aqua est, competit, non ob terram quidem, sed propter densitudinem glutinumque concretum. Proinde ipse quidem in se ipso ignis cur non præsente anima secum ipso ad animæ potentiam connectatur? Sunt enim et *ignea dæmonum animalia. An vero immutemus id, quod* dicitur, universum animal ex universis esse compositum? Fortasse vero quis animalia terrena composita sic esse concesserit : terram vero in cælum attollere, contra naturam esse dicet, contrariumque his, quæ in naturæ ordine disponuntur. Jam vero nulla ratione videri probabile, ut *celerrimus cælestium cursus terrena in se corpora perferat* : denique terram illos splendorique cælestis ignis impedimento futuram.

VII. Confirmat idem auctoritate Platonica.

Ζ'. Ἴσως οὖν βέλτιον χρὴ ἀκούειν τοῦ Πλάτωνος λέγοντος, ἐν μὲν τῷ παντὶ κόσμῳ δεῖν εἶναι τὸ τοιοῦτον στερεὸν, τὸ ἀντίτυπον ὄν, ἵνα τε ἡ γῆ ἐν μέσῳ ἱδρυμένη ἐπιβάθρα καὶ τοῖς ἐπ' αὐτῆς βεβηκόσιν ἑδραία ᾖ, τά τε ζῷα τὰ ἐπ' αὐτῆς ἐξ ἀνάγκης τὸ τοιοῦτον στερεὸν ἔχῃ· ἡ δὲ γῆ τὸ μὲν εἶναι συνεχὴς παρ' αὐτῆς ἔχῃ, ἐπιλάμποιτο δὲ ὑπὸ πυρός· μετέχειν δὲ ὕδατος πρὸς τὸ μὴ αὐχμηρόν· ἔχῃ δὲ καὶ μερῶν πρὸς μέρη μὴ κωλύεσθαι συναγωγὴν, ἀέρα δὲ κουφίζειν γῆς ὄγκους· μεμίχθαι δὲ τῷ ἄνω πυρὶ οὐκ ἐν τῇ συστάσει τῶν ἄστρων τὴν γῆν, ἀλλ' ἐν κόσμῳ γενομένου ἑκάστου, καὶ τὸ πῦρ ἀπολαῦσαί τι τῆς γῆς, ὥσπερ καὶ τὴν γῆν τοῦ πυρός· καὶ ἕκαστον ἑκάστου, οὐχ ὡς τὸ ἀπολαῦσαν γενέσθαι ἐξ ἀμφοῖν, ἑαυτοῦ τε καὶ οὗ μετέσχεν, ἀλλὰ κατὰ τὴν ἐν κόσμῳ κοινωνίαν ὄν, ὅ ἐστι, λαβεῖν οὐκ αὐτὸ, ἀλλά τι αὐτοῦ, οἷον οὐκ ἀέρα, ἀλλ' ἀέρος τὴν ἁπαλότητα, καὶ τὴν γῆν, πυρὸς τὴν λαμπρότητα, τὴν δὲ μίξιν, πάντα διδόναι, καὶ τὸ συναμφότερον τότε ποιεῖν, οὐχὶ γῆν μόνον καὶ τὴν πυρὸς φύσιν, τὴν στερεότητα ταύτην καὶ τὴν πυκνότητα. Μαρτυρεῖ δὲ καὶ αὐτὸς τούτοις εἰπών· Φῶς ἀνῆψεν ὁ θεὸς περὶ τὴν δευτέραν ἀπὸ γῆς περιφοράν· τὸν ἥλιον λέγων, καὶ λαμπρότατόν που λέγει ἀλλαχοῦ τὸν ἥλιον, τὸν αὐτὸν

VII. Fortasse operæ pretium est audire Platonem dicentem, oportere in universo esse tale quiddam solidum, quod videlicet sit resistens, ut terra in medio collocata fundamentum sit omnibus per eam incedentibus stabilissimum, animaliaque terrena necessario talem quandam habeant soliditatem, terra vero hoc ipsum, quod continua sit, ex se ipsa possideat : illustretur autem ab igne, particeps quoque sit aquæ ad ariditatem nimiam devitandam : habeat insuper facultatem, qua non prohibeantur partes ejus cum partibus conspirare : aer denique terræ molem quadam levitate suffulciat. Meminisse vero oportet, terram non ita *misceri igni sublimi, ut in ipsa stellarum compositione* commemoretur : sed cum in uno mundi corpore singula collocentur, nimirum et ignem aliquid habere terreni : quemadmodum et terra ignei aliquid habet. Ac summatim singula habere aliquid singulorum, non adeo quidem, ut, quod dicitur alia possidere, ex utrisque constituatur, videlicet ex se ipso atque ex eo, cujus est particeps : imo in ipsa mundi communione illo situm, non tam alterum, quam alterius nonnihil accipiat : velut non ipsum aerem, sed aeris ipsius liquiditatem : sic et terra non tam ignem, quam igneam claritatem. Mixtio autem ipsa adhibet *omnia et utrumque conflat in unum, non terram quidem tantum, atque naturam ignis, vel ignem tantum, atque terræ naturam,* videlicet soliditatem quandam densitatemque ejusmodi. Testimonium his Plato ipse perhibet dicens : « Accendit deus lumen circa secundam a terra sphæram : » solem certo significans, quem alibi nuncupat splendidissi-

δὲ λευκότατον· ἀπάγων ἡμᾶς τοῦ ἄλλο τι νομίζειν, ἢ πυρὸς εἶναι. Πυρὸς δὲ οὐδετέρων τῶν εἰδῶν αὐτοῦ τῶν ἄλλων, ἀλλὰ τὸ φῶς, ὅ φησιν, ἕτερον φλογὸς εἶναι· θερμὸν δὲ προσηνῶς μόνον· τοῦτο δὲ τὸ φῶς σῶμα εἶναι· ἀποστίλβειν δὲ ἀπ' αὐτοῦ τὸ ὁμώνυμον αὐτῷ φῶς, ὃ δή φαμεν καὶ ἀσώματον εἶναι· τοῦτο δὲ ἀπ' ἐκείνου τοῦ φωτὸς παρέχεσθαι, ἐκλάμπον ἐξ ἐκείνου ὥσπερ ἄνθος ἐκείνου καὶ στιλπνότητα, ὃ δὴ καὶ εἶναι τὸ ὄντως λευκὸν σῶμα· ἡμεῖς δὲ τὸ γεηρὸν πρὸς τὸ χεῖρον λαμβάνοντες, τοῦ Πλάτωνος κατὰ τὴν στερεότητα λαβόντος τὴν γῆν, ἕν τι γοῦν δὴ γῆν ὀνομάζομεν ἡμεῖς, διαφορὰς γῆς ἐκείνου τιθεμένου. Τοῦ δὴ τοιούτου πυρὸς τὸ φῶς παρέχοντος τὸ καθαρώτατον, ἐν τῷ ἄνω τόπῳ κειμένου, καὶ κατὰ φύσιν ἐκεῖ ἱδρυμένου, ταύτην τὴν φλόγα οὐκ ἐπιμίγνυσθαι τοῖς ἐκεῖ ὑποληπτέον, ἀλλὰ φθάνουσαν μέχρι τινὸς ἀποσβέννυσθαι, πλείονι ἐντυχοῦσαν ἀέρι, ἀνελθοῦσάν τε μετὰ γῆς ῥίπτεσθαι κάτω, οὐ δυναμένην ὑπερβαίνειν πρὸς τὸ ἄνω, κάτω δὲ τῆς σελήνης ἵστασθαι, ὥστε καὶ λεπτότερον ποιεῖν τὸν ἐκεῖ ἀέρα, καὶ φλόγα, εἰ μένοι, μαραινομένην, εἰς τὸ πρᾳότερον γίγνεσθαι, καὶ τὸ λαμπρὸν μὴ ἔχειν, ὅσον εἰς τὴν ζέσιν, ἀλλ' ἢ ὅσον παρὰ τοῦ φωτὸς τοῦ ἄνω ἐναυγάζεσθαι· τὸ δὲ φῶς ἐκεῖ, τὸ μὲν ποικιλθὲν ἐν λόγοις τοῖς ἄστροις, ὥσπερ ἐν τοῖς μεγέθεσιν, οὕτω καὶ ἐν ταῖς χρόαις τὴν διαφορὰν ἐργάσασθαι· τὸν δ' ἄλλον οὐρανὸν εἶναι καὶ αὐτὸν τοιούτου φωτός· μὴ ὁρᾶσθαι δὲ λεπτότητι τοῦ σώματος καὶ διαφανείᾳ οὐκ ἀντιτύπῳ, ὥσπερ καὶ τὸν καθαρὸν ἀέρα· πρόσεστι δὲ τούτοις καὶ τὸ πόῤῥω.

mum, omnium que nitidissimum. Quibus in verbis omnem a nobis opinionem abigit suspicantem, aliquid illic esse aliud praeter ignem. Significat quoque, nullam adesse igni aliam qualitatem praeter lumen, quod quidem esse ab a flamma diversum; calorem vero lenem tantum atque suavem. Item lumen hoc esse corpus: emicare autem ab ipso lumen æquivocum, quod esse dicimus incorporeum, quod quidem ab illo lumine pendet, ex illo micans quasi flos ejus atque nitor, quod utique vere dictum corpus album existere. Nos autem, quod terrenum dictum, in deterius accipere consuevimus, quippe cum Plato terram pro soliditate quadam acciperet; nos vero unum aliquid tantum terram appellare solemus, cum tamen ille differentes in terra consideret qualitates. Cum igitur talis ignis purissimum praebeat lumen ipseque in sede sublimi resideat ibique naturaliter habitet, non est putandum nostram hanc flammam superioribus esse permistam, sed ad certum spatium percurrentem prorsus extingui, aero quam plurimo videlicet occurrente; procedentem vero saepe cum terra deorsum praecipitari: quippe cum superius transcendere nequeat, sed subsideat infra lunam, ubi aerem extenuat proximum: ac si maneat ibi flamma, certe facta subtilior, evadit et mitior, splendoremque habet non quo ad fervorem spectat, sed quatenus a superiori lumine perlustratur. Lumen vero caeleste, partim quidem varia ratione distributum est in stellis, in quibus tam colorum quam magnitudinum differentia discrepat; partim vero in reliqua praeter stellas caelo simili ratione viget. Et si oculis non apparet propter corporis tenuitatem perspicuitatemque aspectui minime resistentem, quemadmodum in aere quoque puro contingit: accedit ad haec intervalli etiam longitudo.

Quod caelo nihil effluit, nihil influat

Η'. Τούτου δὴ μείναντος ἄνω τοῦ τοιούτου φωτός, ἐν ᾧ τέτακται, καθαροῦ, ἐν καθαρωτάτῳ, τίς ἂν τρόπος ἀποῤῥοῆς ἀπ' αὐτοῦ ἂν γένοιτο; οὐ γὰρ δὴ πρὸς τὸ κάτω πέφυκεν ἀποῤῥεῖν ἡ ἄνω τοιαύτη φύσις· οὐδ' αὖ τί ἐστιν ἐκεῖ τῶν βιαζομένων ὠθεῖν πρὸς τὸ κάτω· πᾶν δὲ σῶμα μετὰ ψυχῆς ἄλλο, καὶ οὐ ταὐτὸν οἷον μόνον ἦν· τοιοῦτον δὲ τὸ ἐκεῖ, οὐχ οἷον τὸ μόνον· τό τε γειτονοῦν, εἴτε ἀὴρ εἴτε πῦρ εἴη· ἀὴρ μέν, τί ἂν ποιήσειε; πυρὸς δέ, οὐδ' ἂν ἐναρμόσειε πρὸς τὸ ποιῆσαι, οὐδ' ἂν ἐφάψαιτο εἰς τὸ δρᾶσαι· τῇ ῥύμῃ τι γὰρ καὶ παραλλάξειεν ἄν, πρὶν παθεῖν ἐκεῖνο· ἔλαττόν τε τοῦτο ἰσχνόν τε, οὐκ ἴσα τοῖς ἐνθάδε· εἶτα καὶ τὸ ποιῆσαι θερμῆναί ἐστι. Δεῖ τε τὸ θερμανθησόμενον μὴ θερμὸν παρ' αὐτοῦ εἶναι· εἰ δέ τι φθαρήσεται παρὰ πυρός, θερμανθῆναι δεῖ πρότερον αὐτό, καὶ παρὰ φύσιν αὐτὸ ἐν τῷ θερμαίνεσθαι γίνεσθαι· οὐδὲν δεῖ τοίνυν ἄλλου σώματος τῷ οὐρανῷ, ἵνα μένῃ, οὐδ' αὖ, ἵνα κατὰ φύσιν ἡ περιφορά· οὐ γάρ πω δέδεικται οὐδὲ ἐπ' εὐθείας οὖσα ἡ κατὰ φύσιν αὐτῷ φορά· ἢ γὰρ μένειν ἢ περιφέρεσθαι κατὰ φύσιν αὐτοῖς· αἱ δ' ἄλλαι βιασθέντων. Οὐ τοίνυν οὐδὲ τροφῆς δεῖσθαι φατέον τὰ ἐκεῖ, οὐδὲ ἀπὸ τῶν τῇδε περὶ ἐκείνων ἀποφαντέον, οὔτε ψυχὴν τὴν αὐτὴν τὴν συνέχουσαν ἐχόντων, οὔτε τὸν αὐτὸν τόπον, οὔτε αἰτίας οὔσης ἐκεῖ, δι' ἣν τὰ τῇδε τρέφεται συγκρί-

VIII. Cum itaque tale lumen vigeat in excelso, ubi est naturaliter constitutum, purum videlicet in sede purissima, quanam via potest defluxus inde ullus accidere? neque enim natura talis tamque sublimis sua sponte defluit. neque rursus est ibi quicquam, quo impellente deorsum praecipitetur. Adde quod omne corpus longe se aliter habet, quando animae conjunctum est, quam si esset ab anima separatum: corpus vero caeleste nullo modo est ab anima destitutum. Item, quicquid propinquat caelo, aut aer est, aut ignis. Primo quidem, si aer est, non video quo pacto agat in caelum. Deinde si est ignis, neque quam ad id congruit tangitque caelum, ut agat in ipsum. Accedit quod repente ad caelestem permutatur naturam, priusquam caelum patiatur ab ipso. Item et magnitudine admodum minor est, et robore longissime cedit. Praeterea ignis actio potissima est calefactio. Oportet autem, quod quod calefaciendum est, non esse calidum ex se ipso. Si quid vero dissolvatur ab igne, calefieri omnino prius oportet, atque in ipsa calefactione ex naturali ejus habitu dimoveri. Quamobrem nullo prorsus alio corpore ad id opus est caelo, ut suam servet naturam? neque rursus ut circuitus ejus sit naturalis, quamquam nondum de hoc est demonstratum. Neque in rectum vergit caeli motio naturalis: nempe vel quiescere vel revolvi natura propria caelestia jubet: reliqui vero motus ad violentiam pertinerent: neque igitur alimonia caelestia indigent. Profecto non decet ex nostrarum rerum conditione sublimia judicare: quippe cum neque animam prorsus eandem habeant continentem, neque similem regionem, neque illic ea sit causa, ob quam inferiora composita continue profluentia

ματα ἀεὶ ῥέοντα· τήν τε μεταβολὴν τῶν τῇδε σωμάτων ἀφ' ἑαυτῶν μεταβάλλειν, ἄλλης ἐπιστατούσης φύσεως αὐτοῖς, ἢ ὑπ' ἀσθενείας οὐκ οἶδε κατέχειν ἐν τῷ εἶναι, μιμεῖται δὲ ἐν τῷ γίγνεσθαι ἢ γεννᾶν τὴν πρὸ
b αὐτῆς φύσιν· τὸ δὲ μὴ ὡσαύτως πάντῃ, ὥσπερ τὰ νοητά, εἴρηται.

nutrimento indigere coguntur. Absit ergo permutatio ab illis ea, quae in his corporibus dominans ex habitu naturae deturbat: quippe cum alia quaedam his natura praesideat, quae propter debilitatem in ipso suo esse continere eu non potest, imitatur tamen in eo, quod generari est atque generare naturam, quoad potest, superiorem: de qua dictum est alibi, non posse et ipsam eodem prorsus modo, quo intelligibilia, se semper habere.

# ΕΝΝΕΑΔΟΣ Β

## ΛΟΓΟΣ Β.

### ΠΕΡΙ ΚΙΝΗΣΕΩΣ ΟΥΡΑΝΟΥ.

# ENNEADIS II

## LIBER II.

### DE MOTU CŒLI.

(107, 108.) [199—201]

Motus cœli fit ab anima intellectuali, et fit in circulum, cum quia et anima et intellectus circuitum quendam in se ipsis faciunt, tum quia ad circuitum confert circularis figura cœli.

Α'. Διὰ τί κύκλῳ κινεῖται; ὅτι νοῦν μιμεῖται. Καὶ τίνος ἡ κίνησις; ψυχῆς ἢ σώματος; Τί οὖν; ὅτι ψυχὴ ἐν αὐτῇ ἐστι καὶ πρὸς αὐτὴν ἀεὶ σπεύδει ἰέναι; ἢ ἔστιν ἐν αὐτῇ οὐ συνεχεῖ οὖσα, ἢ φερομένη συμφέρει; ἀλλ' ἔδει συμφέρουσαν μηκέτι φέρειν, ἀλλ' ἐνηνοχέναι, τοῦτ' ἔστι, στῆναι μᾶλλον ποιῆσαι, καὶ μὴ ἀεὶ κύκλῳ· ἢ καὶ αὐτὴ στήσεται, ἢ εἰ κινεῖται, οὔτι γε τοπικῶς. Πῶς οὖν τοπικῶς κινεῖ, αὐτὴ ἄλλον τρόπον κινουμένη; ἢ ἴσως οὐδὲ τοπική, ἡ κύκλῳ. Ἀλλ' εἰ ἄρα κατὰ συμβεβηκός, ποία οὖν τις; εἰς αὐτὴν συναισθητικὴ καὶ συννοητικὴ καὶ ζωτική, καὶ οὐδαμοῦ ἔξω, οὐδ' ἄλλοθι, καὶ τὸ πάντα δεῖν περιλαμβάνειν. Τοῦ γὰρ ζώου τὸ κύριον περιληπτικὸν καὶ ποιοῦν ἕν· οὐ περιλήψεται δὲ ζωτικῶς, ἢ τοπικῶς, εἰ μένοι· οὐδὲ σώσει τὰ ἔνδον, σῶμα ἔχον· καὶ γὰρ σώματος ζωὴ κίνησις. Εἰ οὖν καὶ τοπική, ὡς δυνήσεται κινήσεται· καὶ οὐχ ὡς ψυχὴ μόνον, ἀλλ' ὡς σῶμα ἔμψυχον, καὶ ὡς ζῷον, ὥστε εἶναι μικτὴν ἐκ σωματικῆς καὶ ψυχικῆς, τοῦ μὲν σώματος εὐθὺ φερομένου φύσει, τῆς δὲ ψυχῆς κατεχούσης, ἐκ δ' ἀμφοῖν γενομένου, φερομένου τε καὶ μένοντος. Εἰ δὲ σώματος ἡ κύκλῳ λέγοιτο, πῶς, παντὸς εὐθυποροῦντος καὶ τοῦ πυρός; ἢ εὐθυπορεῖ, ἕως ἂν ἥκοι εἰς τό, οὗ τέτακται. Ὡς γὰρ ἂν ταχθῇ, οὕτω δοκεῖ καὶ ἑστάναι κατὰ φύσιν καὶ φέρεσθαι, εἰς ὃ ἐτάχθη. Διὰ τί οὖν οὐ μένει ἐλθόν; ἆρα ὅτι ἡ φύσις τῷ πυρὶ ἐν κινήσει; εἰ οὖν μὴ κύκλῳ, σκεδασθήσεται ἐπ' εὐθύ· δεῖ ἄρα κύκλῳ; Ἀλλὰ τοῦτο προνοίας; ἀλλ' ἐν αὐτῷ παρὰ τῆς προνοίας· ὥστε εἰ ἐκεῖ γένοιτο, κύκλῳ κινεῖσθαι ἐξ αὐτοῦ· ἢ ἐφιέμενον τοῦ εὐθέος, οὐκ ἔχον οὐκέτι τόπον, ὥσπερ περιολισθάνον ἀνακάμπτει ἐν οἷς τόποις δύναται· οὐ γὰρ ἔχει τόπον μεθ' ἑαυτό, οὗτος γὰρ ἔσχατος. Θεῖ οὖν ἐν ᾧ ἔχει, καὶ αὐτὸς αὑτοῦ τόπος, οὐχ ἵνα μένῃ γεγενημένος, ἀλλ' ἵνα φέρηται. Καὶ κύκλου δὲ τὸ μὲν κέντρον μένει κατὰ φύσιν, ἡ δὲ ἔξωθεν περιφέρεια εἰ μένοι, κέντρον ἔσται μέγα· μᾶλλον οὖν ἔσται περὶ τὸ κέντρον, καὶ ζῶντι καὶ κατὰ φύσιν δὲ ἔχοντι σώματι· οὕτω γὰρ συννεύσει πρὸς τὸ κέντρον, οὐ τῇ συνιζήσει· ἀπολεῖ γὰρ τὸν κύκλον· ἀλλ' ἐπεὶ τοῦτο οὐ δύναται, τῇ περιδινήσει· οὕτω γὰρ μόνως ἀποπληρώσει τὴν ἔφεσιν· εἰ ψυχὴ δὲ περιάγοι, οὐ καμεῖται· οὐ γὰρ ἕλκει, οὐδὲ παρὰ φύσιν· ἡ γὰρ φύσις τὸ ὑπὸ ψυχῆς τῆς πάσης ταχθέν, ἔτι πανταχοῦ οὖσα ἡ ψυχὴ ὅλη. Καὶ οὐ διειλημμένη ἡ τοῦ παντὸς κατὰ μέρος δίδωσι καὶ τῷ οὐρανῷ, ὡς δύναται, πανταχοῦ εἶναι· δύναται δὲ τῷ πάντα μετιέναι καὶ ἐπιπορεύεσθαι. Ἔστη μὲν γάρ,

I. Quare cœlum movetur circulo? quia mentem imitatur. Sed cujusnam est ille motus? animæne an corporis? Quid ergo? num quoniam anima in sphæra est, atque hæc circa ipsam procedere properat? Item numquid est in ea quasi non continua, an potius ita, ut ipsa mota commoveat? At forsitan oportebat animam commoventem haud ultra movere, sed jam movisse: id autem est efficere potius, ut permaneat, neque agitare semper in gyrum. Fortasse enim et ipsa stabit, aut, si movetur, non tamen loco mutabitur. Quo igitur modo movet loco, quum ipsa modo quodam alio moveatur? Forsitan circularis motus non videatur alicui esse localis. Quodsi secundum accidens sit motus ejusmodi, qualisnam igitur per se est hic motus? Profecto conspiratio quædam in se ipsam consentiens, suorumque conscia atque vitalis, nec extra ullo modo vel usquam, nec alio vergens, in qua oportet cuncta comprehendi. Quod enim in animali principale est, comprehendit in se cuncta et conflat in unum. Non complectetur autem vitaliter, si quiescat: neque, cum habeat corpus, interiora servabit; etenim vita corporis est motio quædam. Quodsi motus ejusmodi etiam sit localis, utcunque poterit, agitabitur. Neque tanquam anima solum, sed tanquam corpus animatum atque vivens, adeo ut agitatio talis ex motione corporea simul et animali sit mixta: quippe cum corpus quidem suapte natura feratur in rectum, anima vero contineat, atque ita ex utrisque conficiatur motio quædam, in qua ferri simul sit atque manere. Si autem circuitus motio corporis esse dicatur, quonam modo id dicetur, cum omne corpus vel ipse ignis recta motione feratur? Fortasse vero dicendum est, via recta procedere, donec eo perveniat, ubi esse est naturaliter institutum. Ut enim ordine institutum est, ita videtur et manere secundum naturam et ferri, in quod est ordinatum. Curnam igitur non quiescit ignis, postquam fuerit sedem propriam consequutus? Numquid, quoniam ipsa natura ignis est in motu versari? Itaque nisi volvatur, nimirum distractus in rectum protinus dissipabitur; restat igitur, ut agitetur in orbem? At vero id jam est providentiæ munus? Esto id quidem: nam et ipse ignis in se ipso est ab ipsa providentia positus. Quapropter, si ibi fiat, ex se circulariter revolvetur: aut forsan, si rectum cupit motum, ubi non habeat ultra locum, ad quem feratur, necessario quasi circumlabens, quibus in locis potest, jam revolvitur. Nullus enim huic ultra se ipsum patet locus: hic namque est locus extremus. Itaque circumcurrit ea in sede, quam possidet: imo ipse sui ipsius est locus sic naturaliter institutus, non quidem ut maneat, sed ut feratur. Proinde in circulo centrum quidem natura quiescit: exterior vero circumferentia si quiescat, centrum erit ingens. Potius igitur aderit circa centrum, corpori videlicet viventi, atque naturaliter se habenti. Sic enim ad ipsum medium nutu continuo conspirabit, non videlicet considendo, alioquin orbem perderet, sed quando id non valet, saltem circumvagando. Hac enim ratione duntaxat appetitum prorsus explebit. Quodsi anima circumvolvat, nunquam defatigabitur: neque enim vel ipsa trahit, vel corpus præter naturam agitur. Id namque ipsum natura est, quod ab anima universali est ordinatum. Præterea mundi anima ubique existens non divisa per partes, sed ubique tota, dat et cœlo, ut et ipsum, quoad potest, sit ubique. Potest autem duntaxat ex eo, quod pertranseat progrediaturque per omnia. Quiesceret sane ipsum, sicubi quiesceret anima,

εἴ που ἑστῶσα ἦν ἡ ψυχή, ἐλθὸν ἐκεῖ ἂν ἔστη· νῦν δέ, ἐπειδὴ πᾶσά ἐστιν αὐτῆς, παντὸς ἐφίεται. Τί οὖν; οὐδέποτε τεύξεται; ἢ οὕτως ἀεὶ τυγχάνει, μᾶλλον δὲ αὐτὴ πρὸς αὑτὴν ἄγουσα ἀεί, ἐν τῷ ἀεὶ ἄγειν ἀεὶ κινεῖ, καὶ οὐκ ἀλλαχοῦ κινοῦσα, ἀλλὰ πρὸς αὑτὴν ἐν τῷ αὐτῷ, οὐκ ἐπ' εὐθύ, ἀλλὰ κύκλῳ ἄγουσα, δίδωσιν αὐτῷ, οὗ ἂν ἥκῃ, ἐκεῖ ἔχειν αὐτήν. Εἰ δὲ μένοι ὡς ἐκεῖ οὔσης μόνον, οὗ ἕκαστον μένει, στήσεται· εἰ οὖν μὴ ἐκεῖ μόνον ὁπουοῦν, πανταχοῦ οἰσθήσεται καὶ οὐκ ἔξω· κύκλῳ ἄρα.

cum tandem ad animam pervenisset. Nunc vero, cum anima ipsa, quam appetit, totam se per totum fundat, nimirum ipsum quoque passim sequitur animam. Quid igitur? an numquam animam assequetur? Forsan vero sic eam semper assequitur, imo ipsa potius cælum ad se semper agens, semper agendo movet et semper: non alio quidem movens, sed ad se ipsam et in eodem, non quidem in rectum, sed circulo ducens, ideoque tradit illi, ut, quocunque pervenerit, ibi reperiat ipsam. Quodsi quievit anima, tanquam hac duntaxat illic manente, ubi quodlibet *requiescit, conquiescit et cælum. Si ergo non alicubi* tantum est anima, sed ubique, nimirum per omnia movetur cælum; cumque non feratur extra, merito retorquetur in orbem.

Solvuntur quæstiones: Quomodo moveatur anima et corpus hominis. Rursus, Quomodo cælum in circulum.

Β'. Τὰ οὖν ἄλλα, πῶς; ἢ οὐχ ὅλον ἕκαστον· μέρος δὲ καὶ κατεχόμενον μερικῷ τόπῳ· ἐκεῖνο δὲ ὅλον καὶ οἷον τόπος, καὶ οὐδὲν κωλύει· αὐτὸ γὰρ τὸ πᾶν. Πῶς οὖν ἄνθρωποι; ἢ ὅσον παρὰ τοῦ παντὸς μέρος· ὅσον δὲ αὐτοί, οἰκεῖον ὅλον· εἰ οὖν πανταχοῦ, οὗ ἂν ᾖ, ἔχει αὐτήν, τί δεῖ περιιέναι; ἢ ὅτι μὴ μόνον ἐκεῖ· εἰ δὲ ἡ δύναμις αὐτῆς περὶ τὸ μέσον, καὶ ταύτῃ ἂν κύκλῳ· μέσον δὲ οὐχ ὡσαύτως σώματος καὶ φύσεως ψυχῆς ληπτέον· ἀλλ' ἐκεῖ μὲν μέσον, ἀφ' οὗ ἡ ἄλλη, τοπικῶς δὲ, σώματος· ἀνάλογον οὖν δεῖ τὸ μέσον· ὡς γὰρ ἐκεῖ, οὕτω καὶ ἐνταῦθα μέσον δεῖ εἶναι, ὃ μόνως ἐστὶ μέσον σώματος καὶ σφαιρικοῦ· ὡς γὰρ ἐκεῖνο περὶ αὐτό, οὕτω καὶ τοῦτο. Εἰ δὴ ψυχή ἐστι περιθέουσα τὸν θεόν, ἀμφαγαπάζεται, καὶ περὶ αὐτόν, ὡς οἷόν τε, αὐτὴ ἔχει· ἐξήρτηται γὰρ αὐτοῦ πάντα. Ἐπεὶ οὖν οὐκ ἔστι πρὸς αὐτόν, περὶ αὐτόν· πῶς οὖν οὐ πᾶσαι οὕτως; ἢ ἑκάστη, ὅπου ἐστίν, οὕτως. Διὰ τί οὖν οὐ καὶ τὰ σώματα ἡμῶν οὕτως; ὅτι τὸ εὐθύπορον προσήρτηται καὶ πρὸς ἄλλα αἱ ὁρμαί, καὶ τὸ σφαιροειδὲς ἡμῶν οὐκ εὔτροχον· γεηρὸν γάρ· ἐκεῖ δὲ συνέπεται λεπτὸν καὶ εὐκίνητον. Διὰ τί γὰρ ἂν καὶ σταίη, ἡντινοῦν κίνησιν τῆς ψυχῆς κινουμένης; ἴσως δὲ καὶ παρ' ἡμῖν τὸ πνεῦμα τὸ περὶ τὴν ψυχὴν τοῦτο ποιεῖ. Εἰ γάρ ἐστιν ὁ θεὸς ἐν πᾶσι, τὴν συνεῖναι βουλομένην ψυχὴν περὶ αὐτὸν δεῖ γίγνεσθαι· οὐ γάρ πη. Καὶ Πλάτων δὲ τοῖς ἄστροις οὐ μόνον τὴν μετὰ τοῦ ὅλου σφαιρικὴν κίνησιν, ἀλλὰ καὶ ἑκάστῳ δίδωσι τὴν περὶ τὸ κέντρον αὐτῶν· ἕκαστον γὰρ οὗ ἐστι περιειληφὸς τὸν θεόν, ἀγάλλεται, οὐ λογισμῷ, ἀλλὰ φυσικαῖς ἀνάγκαις

II. Cetera vero quanam ratione moventur? Profecto non quodlibet est totum, sed pars unumquodque et proprio loco contentum: cælum vero totum est ac veluti locus, neque quicquam prohibet: ipsum enim est universum. Quo igitur modo moventur homines? Forlasse, qua ratione a toto pendent, pars est unusquisque: qua vero ipsi nos sumus, quilibet totum est proprium. Item si, ubicunque sit corpus, reperit animam, quidnam cogitur pervagari? *Forsitan quia neque solum alicubi viget anima, neque* solum alicubi eam assequi corpus affectat. Si autem potestas animæ circa medium viget, hac etiam ratione fit motus in circulum. Medium vero non eadem ratione in anima, qua et in corpore est ponendum: sed in anima quidem medium est, a quo alia pendet vita, in corpore vero medium est conditione locali. Quam ob rem proportione quadam medium hic esse oportet: ut enim ibi, ita et hic medium esse debet; quod quidem duntaxat medium est corporis, atque hujus quidem sphærici: nam sicut illud, ita et hoc circa se ipsum. Quodsi ita est, anima rursus revolvitur circa deum affectatque complecti, et, utcunque potest, circa ipsum sese habet; cuncta enim a deo pendent. Quoniam vero non permanet penes ipsum, saltem se versat circa ipsum: curnam igitur non omnes id efficiunt? Imo vero quælibet, ubicunque est, id agit. Sed curnam corpora quoque nostra idem minime faciunt? Quoniam videlicet adjunctum est, quod recta motione progreditur, et impetus insuper ad alia vergunt. Quod rursus sphæricum est in nobis, in orbem facile retorqueri nequit: terrenum namque jam evasit: ibi vero consequitur, quod tenue est et facile mobile. Qua enim ratione *quiescat, non satis video, quæcunque motu anima moveatur.* Forlasse in nobis etiam spiritale corpus, quod circa animam est diffusum, efficit idem. Si enim est deus in cunctis, oportet animam cum illo congredi cupientem sese fundere circa ipsum: non enim est duntaxat alicubi. Proinde Plato stellis non solum attribuit motum una cum toto orbicularem, verum etiam singulis motionem circa centrum proprium revolutam. Quilibet enim globus, ubicunque est, deum quodammodo circumplectens prorsus exsultat, non utique consilio quodam, sed naturali quadam necessitate commotus.

Confirmantur superiora, quoniam anima mundi per superiorem ejus vim in orbem retorquet inferiorem, rursusque per inferiorem rotat cælum.

Γ'. Ἔστω δὲ καὶ ὧδε· τῆς ψυχῆς ἡ μέντοι δύναμις ἡ ἐσχάτη, ἀπὸ γῆς ἀρξαμένη, καὶ διόλου διαπλακεῖσα ἐστίν· ἡ δὲ αἰσθάνεσθαι πεφυκυῖα, καὶ ἡ λόγον δοξαστικὸν δεχομένη, πρὸς τὸ ἄνω ἐν ταῖς σφαίραις ἑαυτὴν ἔχει, ἐποχουμένη καὶ τῇ προτέρᾳ, καὶ δύναμιν διδοῦσα παρ' αὐτῆς εἰς τὸ ποιεῖν ζωτικωτέραν. Κινεῖται οὖν ὑπ' αὐτῆς κύκλῳ περιεχούσης καὶ ἐφιδρυμένης παντί, ὅσον αὐτῆς εἰς τὰς σφαίρας ἀνέδραμε. Κύκλῳ οὖν ἐκείνης περιεχούσης συννεύουσα ἐπιστρέφεται πρὸς αὐτήν· ἡ δὲ ἐπιστροφὴ αὐτῆς περιάγει τὸ σῶμα, ἐν ᾧ ἐμπέπλεκται. Ἑκάστου γὰρ μορίου κἂν ὁπωσοῦν

III. Idem hac insuper ratione consideretur. Postrema quidem vis animæ a terra exordiens, sese fundit per universum: vis autem animæ sensualis, et quæ opinantem possidet rationem, penes superiora viget in sphæris, incubans inferiori potentiæ atque ex se ipsa vim huic porrigens vitalem magis atque vivificam. Agitatur igitur hæc ab illa circulariter complectente totique insidente, quantum ipsius recurrit in sphæras. Itaque cum illa hanc circulo comprehendat, merito hæc connivens reflectitur in se ipsam. Hujus vero reflexio corpus una, cui est infusa, contorquet In sphæra enim quantacunque pars moveatur, si modo

κινηθέντος ἐν σφαίρᾳ, εἰ μένον κινοῖτο, ἔσεισεν ἐν ᾧ ἐστι, καὶ τῇ σφαίρᾳ κίνησις γίνεται. Καὶ γὰρ ἐπὶ τῶν σωμάτων τῶν ἡμετέρων τῆς ψυχῆς ἄλλως κινουμένης, οἷον ἐν χαραῖς καὶ τῷ φανέντι ἀγαθῷ τοῦ σώματος ἡ κίνησις καὶ τοπικὴ γίγνεται. Ἐκεῖ δὴ ἐν ἀγαθῷ γινομένη καὶ αἰσθητικωτέρα γενομένη κινεῖται πρὸς τὸ ἀγαθὸν, καὶ σείει ὡς πέφυκεν ἐκεῖ τοπικῶς τὸ σῶμα. Ἥ τε αἰσθητικὴ, ἀπὸ τοῦ ἄνω αὖ καὶ αὐτὴ τὸ ἀγαθὸν λαβοῦσα καὶ τὰ αὐτῆς, ἡσθεῖσα, διώκουσα αὐτὸ ὂν πανταχοῦ, πρὸς τὸ πανταχοῦ συμφέρεται. Ὁ δὲ νοῦς οὕτω κινεῖται· ἕστηκε γὰρ καὶ κινεῖται· περὶ αὐτὸν γάρ· οὕτως οὖν καὶ τὸ πᾶν τῷ κύκλῳ κινεῖται ἅμα καὶ ἕστηκεν.

permanens moveatur, sphaeram, in qua est, necessario concutit, unde motus sphaerae procedit. In nostris enim corporibus quando movetur animus, etsi longo aliter moveatur, velut laetitia gestiens opinione boni, motus inde corporis etiam localis efficitur. Illinc igitur anima, evadens bono proxima effectaque sensu sagacior, movetur circa bonum, corpusque pro natura sua secundum localem concitat motionem. Sensualis virtus a superiori rursus concita, ipsaque suum percipiens bonum, secumque congratulans id prosequitur: cumque ubique sit, merito se per omnia confert. Intellectus autem quidnam agit? Sic certe movetur. Manet enim simul atque movetur: nam reflectitur in se ipsum. Ratione itaque simili universum circulo movetur simul et permanet.

# ΕΝΝΕΑΔΟΣ Β

## ΛΟΓΟΣ Γ'.

### ΠΕΡΙ ΤΟΥ ΕΙ ΠΟΙΕΙ ΤΑ ΑΣΤΡΑ.

# ENNEADIS SECUNDÆ

## LIBER III.

### UTRUM STELLÆ ALIQUID AGANT.

(137,138.) [242—244.]

Narrat opiniones astrologorum de motibus et virtutibus planetarum.

Α'. Ὅτι ἡ τῶν ἄστρων φορὰ σημαίνει περὶ ἕκαστον τὰ ἐσόμενα, ἀλλ' οὐκ αὐτὴ πάντα ποιεῖ, ὡς τοῖς πολλοῖς δοξάζεται, εἴρηται μὲν πρότερον ἐν ἄλλοις, καὶ πίστεις τινὰς παρείχετο ὁ λόγος· λεκτέον δὲ καὶ νῦν ἀκριβέστερον διὰ πλειόνων· οὐ γὰρ μικρὸν, τὸ ἢ ὧδε ἢ ὧδε ἔχειν δοξάζειν. Τοὺς δὴ πλανήτας φερομένους ποιεῖν λέγουσιν οὐ μόνον τὰ ἄλλα, πενίας, καὶ πλούτους, καὶ ὑγιείας, καὶ νόσους, ἀλλὰ καὶ αἴσχη, καὶ κάλλη αὖ, καὶ δὴ τὸ μέγιστον, καὶ κακίας, καὶ ἀρετὰς, καὶ δὴ καὶ τὰς ἀπὸ τούτων πράξεις καθ' ἕκαστα ἐπὶ καιρῶν ἑκάστων, ὥσπερ θυμουμένους εἰς ἀνθρώπους, ἐφ' οἷς μηδὲν αὐτοὶ οἱ ἄνθρωποι ἀδικοῦσιν, οὕτω παρ' αὐτῶν κατεσκευασμένοι ὡς ἔχουσι· καὶ τὰ λεγόμενα ἀγαθὰ διδόναι οὐκ ἀγασθέντας τῶν λαμβανόντων, ἀλλ' αὐτοὺς ἢ κακουμένους κατὰ τοὺς τόπους τῆς φορᾶς, ἢ αὖ εὐπαθοῦντας· καὶ αὖ ἄλλους αὐτοὺς ταῖς διανοίαις γιγνομένους· ὅταν τε ἐπὶ κέντρων ὦσι, καὶ ἀποκλίνοντας, ἄλλους· τὸ δὲ μέγιστον, τοὺς μὲν κακοὺς αὐτῶν λέγοντες, τοὺς δὲ ἀγαθοὺς εἶναι, ὅμως καὶ τοὺς κακοὺς αὐτῶν λεγομένους ἀγαθὰ διδόναι, τοὺς δὲ ἀγαθοὺς φαύλους γίγνεσθαι· ἔτι δὲ ἀλλήλους ἰδόντας ποιεῖν ἕτερα, μὴ ἰδόντας δὲ ἄλλα, ὥσπερ οὐχ αὑτῶν ὄντας, ἀλλὰ ἰδόντας μὲν, ἄλλους, μὴ ἰδόντας δὲ, ἑτέρους· καὶ τόνδε μὲν ἰδόντα ἀγαθὸν εἶναι, εἰ δ' ἄλλον ἴδοι, ἀλλοιοῦσθαι· καὶ ἄλλως μὲν ὁρᾶν, εἰ κατὰ σχῆμα τόδε ἡ ὄψις, ἄλλως δὲ, εἰ κατὰ τόδε· ὁμοῦ τε πάντων τὴν κρᾶσιν ἑτέραν γίγνεσθαι· ὥσπερ ἐξ ὑγρῶν διαφόρων τὸ κρᾶμα ἕτερον παρὰ τὰ μεμιγμένα. Ταῦτα μὲν οὖν καὶ τὰ τοιαῦτα δοξαζόντων περὶ ἑκάστου λέγειν ἐπισκοπουμένους προσήκει. Ἀρχὴ δ' ἂν εἴη προσήκουσα αὕτη.

I. Stellarum motum circa unum quodque significare quidem futura, non autem facere omnia, ut opinantur *multi*, alibi diximus persuasiones aliquas adducentes : dicendum autem in præsentia exactioribus jam et pluribus argumentis. Non enim parum refert hoc vel illo modo de his opinari. Tradunt astrologi multi, planetas suis motibus facere non solum cetera, velut inopias et divitias, valetudinemque prosperam vel adversam : verum etiam turpia atque pulchra atque, id quod maximum est, vitia insuper et virtutes. Item singulas in temporibus singulis actiones ab his oriente, perinde ac si adversus homines sint irati, in his videlicet, in quibus homines ipsi injuriam nullam inferunt : utpote qui tales sunt, quales a planetis fuerint instituti. Addunt præterea, illos, quæ bona dicuntur afferre, non propterea, quod diligant accepturos, sed quoniam ipsi pro diversitate motus atque loci vel bene vel male prorsus afficiantur : rursus adducantur mutare *sententias pro mutatione cursus*, diversique a se ipsis evadant, quando vel sunt in angulis vel quando declinant. Quod vero maximum est, cum dicant, alios quidem inter illos esse malos, alios vero bonos, nihilo minus cum malos sæpe bona largiri, tum bonos nonnunquam evadere malos. Adjungunt, planetas, quando mutuo se conspiciunt, alia, quando non conspiciunt, alia facere, quasi sui juris minime sint, sed aspiciendo quidem alii, non aspiciendo autem alii fiant. Postremo, planetam, cum certum aliquem intuetur, evadere bonum : cum vero intuetur alium, repente mutari. Afferunt quin etiam, *eos aliter contueri, si certa quadam* figura fiat intuitus, aliter autem, si intuendi figura mutetur : deinde ex cunctis una invicem conspirantibus aliam confici mistionem : quemadmodum ex liquoribus variis diversa quædam præter mista singula mistura conflatur. Cum hæc igitur hunc in modum et alia similiter opinentur, operæ pretium est de singulis accurate disserere. Conveniens autem exordium erit hujusmodi.

Si stellæ inanimatæ sunt, non faciunt nisi corporea : si animatæ, non faciunt mala.

Β'. Πότερα ἔμψυχα νομιστέον ἢ ἄψυχα ταῦτα τὰ φερόμενα. Εἰ μὲν γὰρ ἄψυχα, οὐδὲν, ἀλλ' ἢ θερμὰ καὶ ψυχρὰ παρεχόμενα, εἰ δὴ καὶ ψυχρὰ ἄττα τῶν ἄστρων φήσομεν. Ἀλλ' οὖν ἐν τῇ τῶν σωμάτων ἡμῶν φύσει στήσουσι τὴν δόσιν, φορᾶς δηλονότι σωματικῆς εἰς ἡμᾶς γινομένης, ὡς μηδὲ πολλὴν τὴν παραλλαγὴν τῶν σωμάτων γίγνεσθαι, τῆς τ' ἀποῤῥοῆς ἑκάστων τῆς αὐτῆς οὔσης· καὶ δὴ καὶ ὁμοῦ εἰς ἓν ἐπὶ γῆς μιγνυμένων, ὡς μόνον κατὰ τοὺς τόπους τὰς διαφορὰς γίγνεσθαι, ἐκ τοῦ ἐγγύθεν καὶ πόῤῥωθεν πρὸς τὴν διαφορὰν διδόντος· καὶ τοῦ ψυχροῦ ὡσαύτως· σοφοὺς δὲ καὶ ἀμαθεῖς, καὶ γραμματικοὺς ἄλλους, τοὺς δὲ ῥήτορας, τοὺς δὲ

II. Principio considerandum est, utrum cœlestia sint animata vel contra. Si enim, quæ ita feruntur, anima careant, nihil aliud, præter caliditatem et frigiditatem atque similia quædam adducere poterunt, si modo stellas ullas esse frigidas concesserimus. Jam igitur usque ad corporum nostrorum naturas tantum actiones suas et mu*nera propagabunt : quippe cum corporeus duntaxat im*pulsus in nos inde proveniat, adeo ut neque etiam multa inde corporum diversitas accidat : quandoquidem defluxus *idem sit singulorum, atque simul in terra commisceantur in* unum, ubi solum pro varietate locorum diversitas oriatur : diversitate videlicet nata ex eo, quod aut propinquius ali*quid aut remotius exponatur ad influxum sic vel aliter ca*piendum. Eadem quoque ratio erit, si frigus inter hæc admittatur. Sapientes autem et ignorantes, item alios quidem *grammaticos, alios autem rhetores*, alios citharœdos [*l.* ci-

κιθαριστάς, καὶ τὰς ἄλλας τέχνας· ἔτι δὲ πλουσίους καὶ πένητας, πῶς; καὶ τὰ ἄλλα, ὅσα μὴ ἐκ σωμάτων κράσεως τὴν αἰτίαν ἔχει τοῦ γίγνεσθαι· οἷον καὶ ἀδελφὸν τοιόνδε καὶ πατέρα, καὶ υἱὸν γυναῖκά τε· καὶ τὸ νῦν εὐτυχῆσαι, καὶ στρατηγὸν καὶ βασιλέα γενέσθαι· εἰ δ' ἔμψυχα ὄντα προαιρέσει ποιεῖ, τί παρ' ἡμῶν παθόντα, κακὰ ἡμᾶς ποιεῖ ἑκόντα; καὶ ταῦτα ἐν θείῳ τόπῳ ἱδρυμένα καὶ αὐτὰ θεῖα ὄντα. Οὐδὲ γὰρ δι' ἃ ἄνθρωποι γίνονται κακοὶ ταῦτα ἐκείνοις ὑπάρχει, οὐδέ γε ὅλως γίνεται ἢ ἀγαθὸν ἢ κακὸν αὐτοῖς, ἡμῶν ἢ εὐπαθούντων, ἢ κακὰ πασχόντων.

citharistas caeterisque artibus discrepantes: item alios quidem divites, alios vero pauperes qua ratione faciant, minime video. Similiterque et alia, quae nullo modo ex ipsa corporum mistione causam, per quam fiunt, habere possunt: veluti quod talem habeas fratrem, talem et patrem atque filium et uxorem: postremo, quod aliquando prospere tibi res succedant, et nunc dux exercitus designeris regnumque potiaris. Sin autem animata caelestia sint agantque consilio, dic, amabo, quidnam injuriae a nobis acceperint, unde nobis sponte quotidie noceant? praesertim cum et in sede divina collocata sint, et ipsa divina. Non enim illis haec accidunt, quorum causa homines mali fiunt: neque omnino ex humana sive prosperitate sive adversitate boni quicquam vel mali illis accidit.

Stellae non mutant naturam motibus, locis, aspectibus.

Γ'. Ἀλλ' οὐχ ἑκόντες ταῦτα, ἀλλ' ἠναγκασμένοι τοῖς τόποις καὶ τοῖς σχήμασιν. Ἀλλ' εἰ ἠναγκασμένοι, τὰ αὐτὰ δήπουθεν ἐχρῆν ἅπαντας ποιεῖν, ἐπὶ τῶν αὐτῶν τόπων καὶ σχημάτων γιγνομένους. Νῦν δὲ τί διάφορον πέπονθεν ὅδε, τόδε τὸ τμῆμα τοῦ τῶν ζῳδίων κύκλου παριών; καὶ αὖ τόδε; οὐ γὰρ δὴ οὐδ' ἐν αὐτῷ τῷ ζῳδίῳ γίγνεται, ἀλλ' ὑπ' αὐτῷ πλεῖστον ἀπέχων, καὶ καθ' ὁποῖον ἂν γίγνηται κατὰ τὸν οὐρανὸν ὤν. Γελοῖον γάρ, καθ' ἕκαστον ὧν τις παρέρχεται, ἄλλον καὶ ἄλλον γίγνεσθαι, καὶ διδόναι ἄλλα καὶ ἄλλα· ἀνατέλλων δὲ καὶ ἐπὶ κέντρου γεγονὼς καὶ ἀποκλίνας ἄλλος. Οὐ γὰρ δὴ τοτὲ μὲν ἥδεται ἐπὶ τοῦ κέντρου ὤν, τοτὲ δὲ λυπεῖται ἀποκλίνας ἢ ἀργὸς γίνεται· οὐδ' αὖ θυμοῦται ἀνατείλας ἄλλος, πραΰνεται δὲ ἀποκλίνας· εἷς δέ τις αὐτῶν καὶ ἀποκλίνας ἀμείνων· ἔστι γὰρ ἀεὶ ἕκαστος, καὶ ἐπίκεντρος ἄλλοις, ἀποκλίνας ἄλλοις, καὶ ἀποκλίνας ἑτέροις, ἐπίκεντρος ἄλλοις· καὶ οὐ δήπου κατὰ τὸν αὐτὸν χρόνον χαίρει τε καὶ λυπεῖται, καὶ θυμοῦται, καὶ πρᾷός ἐστι. Τὸ δὲ τοὺς μὲν αὐτῶν χαίρειν λέγειν δύνοντας, τοὺς δὲ ἐν ἀνατολαῖς ὄντας, πῶς οὐκ ἄλογον; καὶ γὰρ οὕτω συμβαίνει ἅμα λυπεῖσθαί τε καὶ χαίρειν. Εἶτα, διὰ τί ἡ ἐκείνων λύπη ἡμᾶς κακώσει; Ὅλως δὲ οὐδὲ λυπεῖσθαι οὐδὲ ἐπὶ καιροῦ χαίρειν αὐτοῖς δοτέον, ἀλλ' ἀεὶ τὸ ἵλεων ἔχειν, χαίροντας ἐφ' οἷς ἀγαθοῖς ἔχουσι, καὶ ἐφ' οἷς ὁρῶσι. Βίος γὰρ ἐφ' αὐτοῦ ἑκάστῳ, καὶ ἐν τῇ ἐνεργείᾳ τὸ εὖ· τὸ δὲ οὐ πρὸς ἡμᾶς· καὶ μάλιστα τοῖς οὐ κοινωνοῦσιν ἡμῖν ζῴοις κατὰ συμβεβηκὸς οὐ προηγούμενον οὐδὲ ὅλως τὸ ἔργον πρὸς ἡμᾶς, εἰ ὥσπερ ὄρνισι κατὰ συμβεβηκὸς τὸ σημαίνειν.

III. Dicent forsan, stellas non sponte talia facere, sed locis figurisque coactas. At enim si compulsae fuerint, oporteret omnes, dum in eisdem locis figurisque [statuque] sunt, eadem facere. Nunc autem quid differens hic planeta patitur, dum per gradum hunc aut rursus per illum zodiaci circuli transit? quidve differens ille? Neque enim in ipso zodiaco est, sed sub ipso longissime distans, et, per qualemcunque portionem transeat, similiter est in caelo. Ridiculum namque est, secundum quamlibet caeli portiunculam, quam percurrit, planetam alterius fieri alteriusque naturae, aliaque rursus et alia exhibere. Item aliam habere naturam, cum exoritur atque est in angulo, aliam cum declinat. Non enim tunc quidem gaudet, quando est in angulo; tunc autem dolet aut torpet, quando declinat. Neque rursum saevit, quando exoritur alius, mansuescit vero, cum inclinatur: unus vero inter eos, cum inclinatur, melior. Est enim continue quilibet aliis quidem angularis [i. in cardinibus], aliis vero cadens: item cadens aliis, vicissim aliis angularis [i. in cardinibus]: neque tamen eodem tempore delectatur et maeret, et irascitur atque mitigatur. Quod autem aiunt alios quidem occasu, alios contra ortu gaudere, videtur absurdum. Sic enim accideret, eundem oblectari simul atque maerere. Praeterea, cur tandem illorum maeror nobis inferat malum? At enim neque dolere neque pro tempore delectari eos est concedendum: sed semper esse tranquillos, bonis gaudentes praesentibus, et quibus ipsi fruuntur, et quae prospiciunt. Nempe vita illic sua cuique in se ipso consistit, ipsaque actu suum possidet bonum. Id autem non vergit ad nostra. Nimirum viventium illorum, quae nullum nobiscum commercium habent, opus non praecipue, sed potius consequenter, imo vero nullo modo ad nostra declinat, siquidem tanquam avibus penes augures, sic et illis accidit futura portendere.

Astrologi non vere assignant planetarum aspectus.

Δ'. Κἀκεῖνο δὲ ἄλογον, τόνδε μὲν τόνδε ὁρῶντα χαίρειν, τόνδε δὲ τόνδε τοὐναντίον· τίς γὰρ αὐτοῖς ἔχθρα; ἢ περὶ τίνων; διὰ τί δὲ τρίγωνος μὲν ὁρῶν, ἄλλως, ἐξ ἐναντίας δὲ ἢ τετράγωνος, ἄλλως; διὰ τί δὲ ὡδὶ μὲν ἐσχηματισμένος ὁρᾷ, κατὰ δὲ τὸ ἑξῆς ζῴδιον ἐγγυτέρω ὢν μᾶλλον, οὐχ ὁρᾷ; ὅλως δέ, τίς καὶ ὁ τρόπος ἔσται τοῦ ποιεῖν, ἃ λέγονται ποιεῖν; πῶς τε χωρὶς ἕκαστος καὶ ἔτι πῶς ὁμοῦ πάντες ἄλλο ἐκ πάντων; οὐ γὰρ δὴ συνθέμενοι πρὸς ἀλλήλους οὕτω ποιοῦσιν εἰς ἡμᾶς τὰ δόξαντα, ὑφεὶς ἕκαστός τι τῶν ἀφ' αὐτοῦ· οὐδ' αὖ ἄλλος ἐκώλυσε τὴν τοῦ ἑτέρου δόσιν γενέσθαι βιασάμενος·

IV. Praeterea absurdum esse videtur, hunc quidem planetam hujus aspectu congratulari, illum vero conspectu illius offendi. Quaenam inter illos et qua de re potest esse discordia? Deinde quam ob causam aliter sese habent, cum aspectu trino se contuentur, aliter autem, cum averso vel quadrato respiciunt? Item cur nam sic quidem et hic configuratus aspicit? procedens vero ad signum deinceps positum et propinquius negatur aspicere? Omnino autem quis esse poterit modus ad illa, quae inde fieri dicuntur, efficienda? Et quo pacto illorum quilibet seorsum suum aliquid agit? cur et vero simul quiddam ex omnibus aliud? Non enim inter se quasi consulto convenientes, quae deliberarunt in nos, exsequuntur, remittens unusquisque ex officio suo nonnihil: neque rursus alter alterius munus

οὐδ' αὖ ὁ ἕτερος παρεχώρησε τῷ ἑτέρῳ πεισθεὶς αὐτῷ πράττειν. Τὸ δὲ τόνδε μὲν χαίρειν ἐν τοῖς τοῦδε γενόμενον, ἀνάπαλιν δὲ τὸν ἕτερον ἐν τοῖς τοῦ ἑτέρου γενόμενον, πῶς οὐχ ὅμοιον, ὥσπερ ἂν εἴ τις ὑποθέμενος δύο φιλοῦντας ἀλλήλους, ἔπειτα λέγοι τὸν μὲν ἕτερον φιλεῖν τὸν ἕτερον, ἀνάπαλιν δὲ θάτερον μισεῖν θάτερον.

illata vi prohibet : neque etiam alter cedet alteri, persuasus alteri suum officium tradere. Postremo quod aiunt, alium quidem in hujus sedibus positum oblectari, contra vero alterum in ipsius sede receptum, perinde se habere videtur, ac si quis, cum duos quosdam inter se amicos esse concesserit, deinde tamen asserat, alterum quidem diligere alterum, vicissim vero alterum habere odio alterum.

*Errant circa naturas planetarum*

Ε'. Λέγοντες δὲ ψυχρόν τινα αὐτῶν εἶναι, ἔτι πόῤῥω γινόμενον ἀφ' ἡμῶν μᾶλλον ἡμῖν ἀγαθὸν εἶναι, ἐν τῷ ψυχρῷ τὸ κακὸν αὐτοῦ εἰς ἡμᾶς τιθέμενοι· καίτοι ἔδει ἐν τοῖς ἀντικειμένοις ζῳδίοις ἀγαθὸν ἡμῖν εἶναι· καὶ, ἐναντίους γενομένους, τὸν ψυχρὸν τῷ θερμῷ δεινοὺς ἀμφοτέρους γίνεσθαι· καίτοι ἔδει κρᾶσιν εἶναι· καὶ τόνδε μὲν χαίρειν τῇ ἡμέρᾳ καὶ ἀγαθὸν γίγνεσθαι θερμαινόμενον· τὸν δὲ τῇ νυκτὶ χαίρειν πυρώδη ὄντα, ὥσπερ οὐκ ἀεὶ ἡμέρας αὐτοῖς οὔσης, λέγω δὲ φωτός· ἢ τοῦ ἑτέρου καταλαμβανομένου ὑπὸ νυκτὸς, πολὺ ὑπεράνω τῆς σκιᾶς τῆς γῆς ὄντος· τὸ δὲ τὴν σελήνην πλησίφωτον μὲν οὖσαν ἀγαθὴν εἶναι, τῷδε συνερχομένην, λείπουσαν δὲ κακὴν, ἀνάπαλιν, εἴπερ δοτέον. Πλήρης γὰρ οὖσα πρὸς ἡμᾶς, ἐκείνῳ ὑπεράνω ὄντι ἀφώτιστος ἂν εἴη τῷ ἑτέρῳ ἡμισφαιρίῳ· λείπουσα δὲ ἡμῖν, ἐκείνῳ πλησίφωτος, ὥστε τὰ ἐναντία ποιεῖν ἔδει λείπουσαν, ἐκείνῳ μετὰ φωτὸς ὁρῶσαν. Αὐτῇ μὲν οὖν ὅπως ἐχούσῃ οὐδὲν διαφέροι ἂν, τὸ ἥμισυ ἀεὶ φωτιζομένῃ· τῷ δ' ἴσως διαφέροι ἂν θερμαινομένῳ ὥς λέγουσιν· ἀλλὰ θερμαίνοιτο ἂν, εἰ ἀφώτιστος πρὸς ἡμᾶς ἡ σελήνη εἴη· πρὸς δὲ τὸν ἕτερον ἀγαθὴ οὖσα ἐν τῷ ἀφωτίστῳ πλήρης ἐστὶ πρὸς αὐτόν· τὸ δὲ πρὸς ἡμᾶς τῆς σελήνης ἀφώτιστόν ἐστι πρὸς τὰ ἐπὶ γῆς, οὐ τὸ ἄνω λυπεῖ. Οὐκ ἐπικουροῦντος δὲ ἐκείνου τῷ πόῤῥω χεῖρον εἶναι δοκεῖ· ὅταν δὲ πλήρης ᾖ, ἀρκεῖ τῷ κάτω, κἂν ἐκεῖνος πόῤῥωθεν ᾖ· πρὸς δὲ τὸν πυρώδη ἀφώτιστος οὖσα, πρὸς ἡμᾶς ἔδοξεν εἶναι ἀγαθή. Αὐταρκεῖ γὰρ τὸ ἐκείνου πυρωδεστέρου ἢ πρὸς ἐκεῖνον ὄντος. Τὰ δὲ ἰόντα ἐκεῖθεν σώματα ἐμψύχων, ἄλλα ἄλλων ἐπὶ τὸ μᾶλλον καὶ ἧττον θερμὰ, ψυχρὸν δὲ οὐδέν· μαρτυρεῖ δὲ ὁ τόπος. Δία δὲ ὃν λέγουσιν, εὔκρατος πυρί· καὶ ὁ Ἑῷος οὕτως· διὸ καὶ σύμφωνοι δοκοῦσιν ὁμοιότητι· πρὸς δὲ τὸν Πυρόεντα καλούμενον τῇ κράσει· πρὸς δὲ Κρόνον ἀλλοτρίως τῷ πόῤῥω. Ἑρμῆς δὲ ἀδιάφορος, πρὸς ἅπαντας ὡς δοκεῖ ὁμοιούμενος· πάντες δὲ πρὸς τὸ ὅλον σύμφοροι· ὥστε πρὸς ἀλλήλους οὕτως, ὡς τῷ ὅλῳ συμφέρει· ὡς ἐφ' ἑνὸς ζῴου ἕκαστα τῶν μερῶν ὁρᾶται. Τούτου γὰρ χάριν μάλιστα, οἷον χολὴ καὶ τῷ ὅλῳ καὶ πρὸς τὸ ἐγγύς· καὶ γὰρ ἔδει καὶ θυμὸν ἐγείρειν, καὶ τὸ πᾶν καὶ τὸ πλησίον μὴ ἐᾶν ὑβρίζειν· καὶ δὴ καὶ ἐν τῷ παντελεῖ ἔδει τινὸς τοιούτου καί τινος ἄλλου πρὸς τὸ ἡδὺ ἀνημμένου· τὰ δὲ ὀφθαλμοὺς εἶναι, συμπαθῆ δὲ πάντα τῷ ἀλόγῳ αὐτῶν εἶναι. Οὕτω γὰρ ἓν καὶ μία ἁρμονία. Ταῦτ' οὖν πῶς οὐ σημεῖα ἐξ ἀναλογίας εἴη ἄν;

V. Tradunt vero, quendam ex illis frigidum etiam procul a nobis positum magis nobis bonum, in ipso videlicet frigido malum ipsius adversum nos collocantes : etsi oportebat in oppositis zodiaci signis bonum nobis exsistere. Ferunt insuper planetam frigidum oppositum calido ambos evadere graves, quanquam oportuit ex hoc temperantiam fieri. Præterea alium quidem delectari die, fierique diurno calore propitium : alium vero, utpote igneum, nocte gaudere, perinde ac si non perpetuus ibi sit dies, id est, lumen : vel alter occupetur nocte, cum tamen supra umbram terræ sit longe elatus. Quod vero aiunt, lunam lumine plenam huic congredientem fieri bonam, vacuam vero lumine, malam, si modo tale quiddam concedendum sit, contra dicendum. Cum enim versum nos plena est, tunc illi super eam incedenti vacua, altero videlicet semicirculo : cum vero nobis ex adverso minuitur, illinc impletur : quapropter contraria oportuit facere deminutam, videlicet cum lumine illud aspicientem. Itaque penes ipsam nihil interest, quomodocunque se habeat, cum semper sit ex dimidio plena : ac penes illum forsitan interest, quem inde calefieri tradunt : verum calefiet forsan, si luna erga nos sit luminis expers. Erga alterum vero exsistens bona, dum orba lumine dicitur, plena interim ad ipsum, ad nos autem vacua. *Quod vero ad nos lunæ est expers luminis, ad ea pertinet, quæ in terra sunt : superiora non lædit.* Proinde quando ille non adjuvat, propterea quod sit procul, deterius se habere videtur : quando vero plena est, sufficit ei, quod inferius, etsi ille sit procul : cum autem ad ipsum igneum orba lumine est, erga nos bona esse videtur. Per se enim sufficit potestas illius : utpote quod ferventius est, si ad alterum comparetur. Corpora vero viventium inde currentia magis minusque inter se sunt calida, nullum autem est frigidum : quod quidem locus ipse testatur. Praterea, quem vocant Jovem, bene temperatus est igne : similiter quoque Lucifer : quapropter et similitudine quadam concordes esse videntur. Quoad ipsum vero spectat, qui dicitur igneus [*i. e. Martis stella*], ad temperationem quandam conferre putandum. Quoad Saturnum denique, eo quod procul, alieno se habere dicendum. Postremo, quod aiunt Mercurium ad omnes indifferentem, intelligendum est, facile cunctis persimilem fieri : omnes autem conducunt ad universum : itaque inter se ita se habent, ut expedit toti : quemadmodum in uno vivente partes singulæ dispositæ sunt. Hujus enim gratia potissimum sunt appositæ, ceu bilis et toti et parti proximæ confert. Oportuit enim animum excitare neque permittere vel totum vel partem proximam injuriis affici : quin etiam in universo tale quiddam oportuit esse, et aliud insuper ad suaviorem temperiem adhiberi : alia vero velut oculos esse : et omnia irrationali ipsorum vita invicem compati. Sic enim unum est totum et harmonia totius una. Hæc igitur quomodo non signa quædam erunt per proportionem quandam considerata?

Errant circa planetarum actiones.

ϛʹ. Ἄρεα δὲ τόνδε ἢ Ἀφροδίτην θεμένους μοιχείας ποιεῖν, εἰ ὡδὶ εἶεν, ὥσπερ ἐκ τῆς τῶν ἀνθρώπων ἀκολασίας αὐτοὺς ἐμπιπλάντας ὧν πρὸς ἀλλήλους δέονται, πῶς οὐ πολλὴν ἀλογίαν ἔχοι; καὶ τὴν μὲν θέαν αὐτοῖς τὴν πρὸς ἀλλήλους, εἰ οὑτωσὶ θεῷντο, ἡδεῖαν εἶναι, πέρας δὲ αὐτοῖς μηδὲν εἶναι, πῶς ἄν τις παραδέξαιτο; μυριάδων δὲ ζώων ἀναριθμήτων γινομένων, καὶ οὐσῶν ἑκάστῳ τελεῖν ἀεὶ, τό τοι δόξαν αὐτοῖς διδόναι, πλουτεῖν ποιεῖν, πένητας, ἀκολάστους, καὶ τὰς ἐνεργείας ἑκάστων αὐτοὺς τελεῖν, τίς αὐτοῖς ἐστιν ὁ βίος; ἢ πῶς δυνατὸν τοσαῦτα ποιεῖν; Τὸ δὲ ἀναφορὰς ζῳδίων ἀναμένειν, καὶ τότε τελεῖν, καὶ ὅσαις μοίραις ἀνατέλλει ἕκαστον, ἐνιαυτοὺς εἶναι τοσούτους τῆς ἀναφορᾶς, καὶ οἷον ἐπὶ δακτύλων τίθεσθαι ὅτε ποιήσουσι, μὴ ἐξεῖναι δ' αὐτοῖς πρὸ τούτων τῶν χρόνων· ὅλως δὲ μηδενὶ ἑνὶ τὸ κύριον τῆς διοικήσεως διδόναι, τούτοις δὲ τὰ πάντα διδόναι, ὥσπερ οὐκ ἐπιστατοῦντος ἑνὸς ἀφ' οὗ διηρτῆσθαι τὸ πᾶν, ἑκάστῳ διδόντος κατὰ φύσιν τὰ αὐτοῦ περαίνειν καὶ ἐνεργεῖν τὰ αὐτοῦ, συντεταγμένον αὖ μετ' αὐτοῦ, λύοντός ἐστι καὶ ἀγνοοῦντος κόσμου φύσιν ἀρχὴν ἔχοντος καὶ αἰτίαν πρώτην ἐπὶ πάντα ἰοῦσαν.

VI. Præterea quod aiunt Martem aut Venerem certo modo dispositos adulteria procreare, valde a ratione dissentit: quippe cum id non aliud sit, quam illos humanæ intemperantiæ more mutuam aviditatem indigentiamque suam ardenter explere. Proinde quod dicunt, quando certa se conditione conspiciunt, gratum esse conspectum, terminum vero illis penitus esse nullum, nulla concedendum ratione videtur. Item cum innumerabilia animalium millia continue sint atque nascantur, quonam pacto unicuique semper singula perficiunt, afferunt et gloriam et divitias, faciunt pauperes atque incontinentes, singulasque singulorum efficiunt actiones? Quænam illis ejusmodi vita foret? aut quomodo tot tamque diversa conficere possunt? Persuasum de quoque dicitur, illos expectare signorum cursus ascensiones et reditus, et tunc demum institutum officium consummare, et quot partibus ascendit quodlibet, totidem esse ascensionis, sive reditus annos, et quasi digitis computare, quando facturi sint, neque licere illis ante id tempus efficere. Postremo nulli prorsus uni gubernationis auctoritatem ascribere, sed his attribuere cuncta, quasi non unus quidam præsideat princeps, a quo pendeat universum, distribuens videlicet unicuique munera propria naturaliter peragenda, [in quibus deinceps similiter coordinata sunt omnia]: id certe hominis est et solventis ordinem, in quo ipse connumeratur, et ignorantis universi naturam principium habentis causamque primam per omnia vim suam penitus propagantem.

Significationes stellarum fiunt propter mirabilem rerum in mundo connexionem.

Ζʹ. Ἀλλ' εἰ σημαίνουσιν οὗτοι τὰ ἐσόμενα, ὥσπερ φαμὲν πολλὰ καὶ ἄλλα σημαντικὰ εἶναι τῶν ἐσομένων, τί ἂν τὸ ποιοῦν εἴη; καὶ ἡ τάξις πῶς; οὐ γὰρ ἂν ἐσημαίνετο τεταγμένως μὴ ἑκάστων γινομένων. Ἔστω τοίνυν ὥσπερ γράμματα ἐν οὐρανῷ γραφόμενα ἀεὶ, ἢ γεγραμμένα καὶ κινούμενα, ποιοῦντα μέν τι ἔργον καὶ ἄλλο, ἐπακολουθείτω δὲ τῇδε ἡ παρ' αὐτῶν σημασία· ὡς ἀπὸ μιᾶς ἀρχῆς ἐν ἑνὶ ζώῳ παρ' ἄλλου μέρους ἄλλο ἄν τις μάθοι· καὶ γὰρ καὶ ἦθος ἄν τις γνοίη εἰς ὀφθαλμούς τινος ἰδὼν, ἤ τι ἄλλο μέρος τοῦ σώματος, καὶ κινδύνους καὶ σωτηρίας· καὶ οὖν μέρη μὲν ἐκεῖνα· μέρη δὲ καὶ ἡμεῖς· ἄλλα οὖν ἄλλοις. Μεστὰ δὲ πάντα σημείων, καὶ σοφός τις ὁ μαθὼν ἐξ ἄλλου ἄλλο. Πολλὰ δὲ ἤδη ἐν συνηθείᾳ γιγνόμενα γινώσκεται πᾶσι. Τίς οὖν ἡ σύνταξις ἡ μία; οὕτω γὰρ καὶ τὸ κατὰ τοὺς ὄρνεις εὔλογον, καὶ τὰ ἄλλα ζῷα ἀφ' ὧν σημαινόμεθα ἕκαστα· συνηρτῆσθαι δὴ δεῖ ἀλλήλοις τὰ πάντα· καὶ μὴ μόνον ἐν ἑνὶ τῶν καθ' ἕκαστα τοῦ εὖ εἰρημένου σύμπνοια μία, ἀλλὰ πολὺ μᾶλλον καὶ πρότερον ἐν τῷ παντὶ, καὶ μίαν ἀρχὴν ἓν πολὺ ζῷον ποιῆσαι, καὶ ἐκ πάντων ἕν. Καὶ ὡς ἐν ἑνὶ ἑκάστῳ τὰ μέρη ἕν τι ἔργον ἕκαστον εἴληφεν, οὕτω καὶ τὰ ἐν τῷ παντὶ ἕκαστα ἔργα ἕκαστον ἔχειν· καὶ μᾶλλον ἢ ταῦτα, ὅσον μὴ μόνον μέρη, ἀλλὰ καὶ ὅλα καὶ μείζω. Πρόεισι μὲν δὴ ἕκαστον ἀπὸ μιᾶς τὸ αὐτοῦ πράττον, συμβάλλει δὲ ἄλλῳ ἄλλο· οὐ γὰρ ἀπήλλακται τοῦ ὅλου, καὶ δὴ καὶ ποιεῖ καὶ πάσχει ὑπ' ἄλλων καὶ ἄλλο αὖ προσῆλθε, καὶ ἐλύπησεν ἢ ἧσε. Πρόεισι δὲ οὐκ εἰκῇ οὐδὲ κατ' ἐπιτυχίαν· καὶ γὰρ ἄλλο τι καὶ ἐκ τούτων, καὶ ἐφεξῆς κατὰ φύσιν ἄλλο.

VII. Ceterum si stellæ futura portendunt, quemadmodum et alia multa futurorum signa observare solemus: quidnam hæc omnia facit? et qua ratione ordo servatur? Nisi enim certo quodam ordine procederent singula, significari non possent. Sint igitur tanquam literæ in cælo, quæ vel scribantur assidue vel jam conscriptæ perpetuo explicentur, aliud quiddam opus efficientes: unde significatio rerum ab ipsis facta sequatur: quemadmodum in uno vivente ab uno principio ab alio membro aliud judicare quis potest. Etenim mores quoque quis potest conjicere, vel oculos vel aliam corporis partem rite considerans, pericula quinetiam devitationesque periculorum. Partes quidem hæc nostri sunt corporis, partes quoque mundi nos sumus. Aliis igitur alia serviunt. Plena vero omnia sunt signorum, et sapiens aliquis aliud argumentatur ex alio. Multa quin etiam quotidie consueta nota sunt omnibus. Quinam igitur omnium est mutuus [isque unus] ordo? sic enim consentaneum est in auguriis valere præsagium, imo et in ceteris animalibus, ex quibus singula præsagimus. Oportet igitur cuncta simul ordinata esse deincepsque pendere. Non solum enim in quolibet eorum, quæ optime sunt connexa, una conspiratio viget, verum etiam multo magis et prius in universo. Ubi necesse est ex uno principio animal ipsum multiplex unum fieri, unum, inquam, ex omnibus constitutum. Et quemadmodum in uno quoque pars quælibet proprium habet opus, sic et in universo singula opera singula sortiuntur: multoque magis propterea, quod hæc non solum partes sunt, sed tota etiam sunt atque majora. Progreditur igitur unum quodque ab uno principio munus proprium peragens, alia vero aliis ubique conducunt. Nihil enim usquam ab ipsa totius forma sejungitur: aguntque invicem atque patiuntur, et accedit ad quodlibet aliquid, quod vel offendat vel adjuvet. Procedunt autem non temere neque utcumque contingit: etenim aliud quiddam ex his efficitur, aliudque naturaliter deinceps aliudque consequitur.

Anima mundi est principium rerum naturalium. Animæ omnes rationales habent arbitrii libertatem.

Η'. Καὶ δὴ καὶ ψυχὴ τὸ αὑτῆς ἔργον ποιεῖν ὡρμημένη (ψυχὴ γὰρ πάντα ποιεῖ ἀρχῆς ἔχουσα λόγον), κἂν εὐθυποροῖ, καὶ παράγοιτο ἄν, καὶ ἕπεται τοῖς δρωμένοις ἐν τῷ παντὶ δίκη, εἴπερ μὴ λυθήσεται. Μένει δ' ἀεὶ, ὀρθουμένου τοῦ ὅλου τάξει καὶ δυνάμει τοῦ κρατοῦντος· συνεργοῦντα δὲ καὶ τὰ ἄστρα, ὡς ἂν μόρια οὐ σμικρὰ ὄντα τοῦ οὐρανοῦ πρὸς τὸ ὅλον ἀριπρεπῆ, καὶ πρὸς τὸ σημαίνειν ἐστί· σημαίνει μὲν οὖν πάντα, ὅσα ἐν αἰσθητῷ· ποιεῖ δὲ ἄλλα, ὅσα φανερῶς ποιεῖ. Ἡμεῖς δὲ ψυχῆς ἔργα κατὰ φύσιν ποιοῦμεν, ἕως μὴ ἐσφάλημεν ἐν τῷ πλήθει τοῦ παντός· σφαλέντες δὲ ἔχομεν δίκην καὶ τὸ σφάλμα αὐτὸ καὶ τὸ ἐν χείρονι μοίρᾳ εἰς ὕστερον. Πλοῦτοι μὲν οὖν καὶ πενίαι, συντυχίᾳ τῶν ἔξω· ἀρεταὶ δὲ καὶ κακίαι· ἀρεταὶ μὲν διὰ τὸ ἀρχαῖον τῆς ψυχῆς· κακίαι δὲ συντυχίᾳ πρὸς τὰ ἔξω τῆς ψυχῆς. Ἀλλὰ περὶ μὲν τούτων ἐν ἄλλοις εἴρηται.

VIII. Jam vero et anima dum munus proprium exordiens agit (anima enim cuncta facit habens principii rationem), plurimum recta procedit. Quodsi aliorsum adducta prævaricetur, judicio quodam cursum eorum sequitur, quæ efficiuntur in mundo, nisi forte solvatur. Permanet enim judicium ipsum semper: quippe cum universum ordine potentiaque dominantis regatur atque dirigatur. Serviunt huic conferuntque stellæ, ceu partes cœli non parvæ: tum ad decoram totius formam, etiam ad significationis officium: portendunt itaque omnia, quæcumque in mundo sensibili oriuntur; faciunt vero alia quæcumque faciunt manifesto. Nos autem animæ opera secundum naturam agimus, quamdiu in ipsa totius multitudine minime aberramus et labimur. Aberrantes autem damus judicio pœnam, videlicet tum ipsum erratum, tum deteriorem quandam sortem nobis in posterum proventuram. Divitiæ igitur et paupertas externorum concursu contingunt: virtutes autem et vitia quomodo? Virtutes quidem ob id, quod in anima est antiquius atque præstantius: vitia vero ex commercio quodam animæ ad externa. Sed de his alibi dictum est.

Anima, quæ in nobis dependet a cœlo, subest fato; quæ vero datur nobis a deo, libera est a fato, et nos liberare potest.

Θ'. Νῦν δὲ ἀναμνησθέντες τοῦ ἀτράκτου, ὃν τοῖς μὲν πρόπαλαι αἱ Μοῖραι ἐπικλώθουσι. Πλάτωνι δὲ ὁ ἄτρακτός ἐστι τό τε πλανώμενον καὶ τὸ ἀπλανὲς τῆς περιφορᾶς· καὶ αἱ Μοῖραι δὲ καὶ ἡ Ἀνάγκη μήτηρ οὖσα στρέφουσι καὶ ἐν τῇ γενέσει ἑκάστου ἐπικλώθουσι, καὶ δι' αὐτῆς εἴσιν εἰς γένεσιν τὰ γεννώμενα. Ἔν τε Τιμαίῳ θεὸς μὲν ὁ ποιήσας τὴν ἀρχὴν τῆς ψυχῆς δίδωσιν· οἱ δὲ φερόμενοι θεοὶ τὰ δεινὰ καὶ ἀναγκαῖα πάθη, θυμοὺς, καὶ ἐπιθυμίας, καὶ ἡδονὰς, καὶ λύπας αὖ, καὶ ψυχῆς ἄλλο εἶδος, ἀφ' οὗ τὰ παθήματα ταυτί· οὗτοι γὰρ οἱ λόγοι συνδέουσιν ἡμᾶς τοῖς ἄστροις παρ' αὐτῶν ψυχὴν κομιζομένους, καὶ ὑποτάττουσι τῇ ἀνάγκῃ, ἐνταῦθα ἰόντας· καὶ ἤθη τοίνυν παρ' αὐτῶν, καὶ κατὰ τὰ ἤθη πράξεις καὶ πάθη, ἀπὸ ἕξεως παθητικῆς οὔσης· ὥστε τί λοιπὸν ἡμεῖς, ἢ ὅπερ ἐσμὲν κατ' ἀλήθειαν ἡμεῖς, οἷς καὶ κρατεῖν τῶν παθῶν ἔδωκεν ἡ φύσις. Καὶ γὰρ ὅμως ἐν τούτοις τοῖς κακοῖς διὰ τὴν τοῦ σώματος ἀπειλημμένοις ἀδέσποτον ἀρετὴν θεὸς ἔδωκεν. Οὐ γὰρ ἐν ἡσύχῳ οὖσιν ἀρετῆς δεῖ ἡμῖν, ἀλλ' ὅταν κίνδυνος ἐν κακοῖς εἶναι ἀρετῆς οὐ παρούσης. Διὸ καὶ φεύγειν ἐντεῦθεν δεῖ καὶ χωρίζειν αὑτοὺς ἀπὸ τῶν προσγεγενημένων, καὶ μὴ τὸ σύνθετον εἶναι σῶμα ἐψυχωμένον, ἐν ᾧ κρατεῖ μᾶλλον ἡ σώματος φύσις ψυχῆς τι ἴχνος λαβοῦσα, ὡς τὴν ζωὴν τὴν κοινὴν μᾶλλον τοῦ σώματος εἶναι· πάντα γὰρ σωματικὰ, ὅσα ταύτης. Τῆς δὲ ἑτέρας τῆς ἔξω ἡ πρὸς τὸ ἄνω φορὰ, καὶ τὸ καλὸν, καὶ τὸ θεῖον, ὧν οὐδεὶς κρατεῖ, ἀλλ' ἢ προσχρῆται, ἵν' ᾖ ἐκεῖνο, καὶ κατὰ τοῦτο ζῇ ἀναχωρήσας· ἢ ἔρημος ταύτης τῆς ψυχῆς γενόμενος ζῇ ἐν εἱμαρμένῃ. Καὶ ἐνταῦθα τὰ ἄστρα αὐτῷ οὐ μόνον σημαίνει, ἀλλὰ καὶ γίγνεται αὐτὸς οἷον μέρος, καὶ τῷ ὅλῳ συνέπεται, οὗ μέρος. Διττὸς γὰρ ἕκαστος· ὁ μὲν τὸ συναμφότερόν τι, ὁ δὲ αὐτός· καὶ πᾶς ὁ κόσμος δὲ ὁ μὲν τὸ ἐκ σώματος καὶ ψυχῆς τινος δεδεμένης σώματι· ὁ δὲ, ἡ τοῦ παντὸς ψυχὴ, ἡ μὴ ἐν σώματι, ἐκλάμπουσα δὲ ἴχνη τῇ ἐν

IX. *In præsentia vero operæ pretium est, in memoriam revocare fusum illum, quem apud antiquos Parcæ contorquent*: per quem Plato significat, quod in mundi circuitu erraticum dicitur vel non erraticum. Hunc apud eum Parcæ ac Necessitas, Parcarum mater, torquent, et in cujusque *generatione convolvunt*. Atque per hunc circuitum revolutionemque in ortum [*l.* generationem] nascentis prodeunt, quæcumque gignuntur. In Timæo quoque artifex mundi deus tradit animæ ipsius principium: dii vero, qui feruntur, graves necessariasque adhibent passiones, iras, libidines, voluptates, dolores, aliamque animæ speciem, ex qua perturbationes ejusmodi oriuntur. Hæc utique Platonis verba stellis nos devincire videntur, animas videlicet ab illis accipientes, item nos huc labentes necessitati subjicere. Ab eisdem quoque mores habere dicit, atque secundum mores etiam actiones et passiones a passivo quodam habitu procedentes. Quare perquirendum est, quidnam nos præterea simus. Fortasse vero reliquum est, quod ipsi revera sumus: quibus et natura dedit, ut passionibus dominari possemus. Etenim præter id, quod ob ipsam naturam corporis his malis circumventi sumus, deus virtutem largitus est a servitute penitus liberam. Non enim virtute nobis opus est in tuto quodam statu positis, sed quando absente virtute discrimen in malis imminet. Quam ob rem fugere hinc oportet, nosque ipsos ab his, quæ in generatione adjuncta nobis sunt, segregare: dandaque opera est, ne id *ipsum forte simus, quod compositum est, corpus videlicet* animatum: in quo natura corporis magis prævalet, vestigium quoddam animæ nacta, adeo, ut vita ipsa communis corporis sit potissimum: quæcumque enim hujus sunt, corporea sunt. Ad alteram vero animam, quæ extrinsecus exstat, ascensus pertinet ad sublimia, ad pulchrum scilicet atque divinum, quibus nihil alicubi dominatur. Imo vero animus pro viribus utitur, quo id ipsum evadat, atque secundum hoc ipsum vivit, quando in se ipsum se recipit. Quicumque vero animo sic instituto fit expers, jam vivit in fato. In hoc autem vitæ habitu stellæ homini non solum significant, verum etiam ipse fit tanquam pars universi, totique, cujus ipse pars est, non injuria servit. Quilibet enim est geminus: partim quidem ambo in se comprehendens, partim vero ipse quod est existens. Totus quoque mundus partim quidem compositum quiddam est ex *corpore simul atque anima quadam corpori mancipata*, partim vero ipsa totius anima, quæ non inest corpori, sim-

σώματι. Καὶ ἥλιος δὴ καὶ τὰ ἄλλα διττὰ οὕτω· καὶ τῇ μὲν ἑτέρᾳ ψυχῇ τῇ καθαρᾷ οὐδὲν φαῦλον δίδωσιν· ἃ δὲ γίγνεται εἰς τὸ πᾶν παρ' αὐτῶν, καθ' ὃ μέρος εἰσὶ τοῦ παντὸς, σῶμα, καὶ ἐψυχωμένον τὸ σῶμα μέρος, μέρη δίδωσι προαιρέσεως τοῦ ἄστρου καὶ ψυχῆς τῆς ὄντως αὐτοῦ πρὸς τὸ ἄριστον βλεπούσης. Παρακολουθεῖ δ' αὐτῷ τὰ ἄλλα· μᾶλλον δὲ οὐκ αὐτῷ, ἀλλὰ τοῖς περὶ αὐτόν· οἷον ἐκ πυρὸς θερμότητος εἰς τὸ ὅλον ἰούσης, καὶ εἴ τι παρὰ ψυχῆς τῆς ἄλλης εἰς ψυχὴν ἄλλην συγγενῆ οὖσαν· τὰ δὲ δυσχερῆ, διὰ τὴν μίξιν· μεμιγμένη γὰρ οὖν δὴ ἡ τοῦδε τοῦ παντὸς φύσις· καὶ εἴ τις τὴν ψυχὴν τὴν χωριστὴν αὐτοῦ χωρίσειε, τὸ λοιπὸν οὐ μέγα. Θεὸς μὲν οὖν ἐκείνης συναριθμουμένης· τὸ δὲ λοιπὸν δαίμων, φησί, μέγας, καὶ τὰ πάθη τὰ ἐν αὐτῷ δαιμόνια.

primit autem vestigia quædam in eam, quæ jacet in corpore. Sol quin etiam atque cetera similiter duplicia sunt. Et alteri quidem animæ, quæ pura est, pravi aut vitii nihil afferunt: quæ vero ab illis fiunt per universum, quatenus partes sunt universi, videlicet cum quia corpus, tum quia animatum corpus sunt, tanquam partes quædam prodeunt, interim electione stellæ veraque ipsius anima ad id, quod optimum est, spectante. Consequuntur autem ad hoc ipsum cetera: imo vero non tam ad hoc ipsum, quam ad illa quæ sunt circa ipsum, quemadmodum ex igne fiunt multa calore passim inde diffuso, et si quid ab alia anima in aliam profluit ejus cognatam. Molesta vero sive difficilia atque aversa propter mixtionem quandam in mundo nascuntur: mixta enim est hujus mundi natura: ac si quis separabilem ejus animam quodammodo sejungat ab eo, residuum videbit non esse magnum. Mundus enim ita demum deus est, si modo illa separabilis anima in ejus substantia numeretur. Reliquum namque est dæmon, quem Plato magnum dæmonem appellavit: affectus quoque in eo dæmonici sunt.

Stellæ non faciunt nisi corporea, anima vero per se venit in fatum atque fortunam.

Ι'. Εἰ δ' οὕτω, τὰς σημασίας καὶ νῦν δοτέον· τὰς δὲ ποιήσεις οὐ πάντως οὐδὲ τοῖς ὅλοις αὐτῶν, ἀλλὰ καὶ ὅσα τοῦ παντὸς πάθη, καὶ ὅσον τὸ λοιπὸν αὐτῶν. Καὶ ψυχῇ μὲν, καὶ πρὶν ἐλθεῖν εἰς γένεσιν, δοτέον ἥκειν τι φερούσῃ παρ' αὐτῆς· οὐ γὰρ ἂν ἔλθοι εἰς σῶμα μὴ μέγα τι παθητικὸν ἔχουσα. Δοτέον δὲ καὶ τύχας εἰσιούσῃ τὸ κατ' αὐτὴν τὴν φορὰν εἰσιέναι. Δοτέον δὲ καὶ αὐτὴν τὴν φορὰν ποιεῖσθαι συνεργοῦσαν καὶ ἀποπληροῦσαν παρ' αὐτῆς, ἃ δεῖ τελεῖν τὸ πᾶν, ἑκάστου τῶν ἐν αὐτῇ τάξιν μερῶν λαβόντος.

X. Quodsi res ita se habet, nunc quoque concedenda significatio est. Effectiones autem neque omnino, neque totis ipsorum concedendæ videntur, sed et quatenus totius passiones sunt, et quatenus reliquum est ipsorum. Admittendum rursus, animam etiam, antequam in generationem perveniat, tale ferentem aliquid ex se ipsa; neque enim deveniret in corpus, nisi passivum aliquid, et id quidem ingens, haberet. Admittendum, fortunas ingredienti corpus accidere, hoc ipsum videlicet, quod secundum universi cursum ingreditur. Admittendum postremo, mundi cursum sic efficere, ut conducat simul in opere, et impleat ex se ipso, quæ ab universo sunt peragenda: quippe cum, quæ in ipso universi sunt cursu, partium ordinem sortiantur.

Quæ hic contingunt mala, non mittuntur e cælo mala.

ΙΑ'. Χρὴ δὲ κἀκεῖνο ἐνθυμεῖσθαι, ὡς τὸ ἀπ' ἐκείνων ἰὸν οὐ τοιοῦτόν ἐστιν εἰς τοὺς λαβόντας, οἷον παρ' ἐκείνων ἔρχεται. Οἷον εἰ πῦρ ἀμυδρὸν τοῦτο, καὶ ἡ φιλιακὴ διάθεσις ἀσθενὴς γενομένη ἐν τῷ λαβόντι, οὐ μάλα καλὴν τὴν φίλησιν εἰργάσατο· καὶ θυμὸς δὴ οὐκ ἐν μέτρῳ τυχόντος, ὡς ἀνδρεῖον γενέσθαι, ἢ ἀκροχολίαν ἢ ἀθυμίαν εἰργάσατο· καὶ τὸ τιμῆς ἐν ἔρωτι ὂν καὶ περὶ τὸ καλὸν ἔχον τῶν δοκούντων καλῶν ἔφεσιν εἰργάσατο, καὶ νοῦ ἀπόρροια πανουργίαν· καὶ γὰρ ἡ πανουργία ἐθέλει νοῦς εἶναι, τυχεῖν οὗ ἐφίεται οὐ δυνάμενος. Γίγνεται οὖν κακὰ ἕκαστα τούτων ἐν ἡμῖν, ἐκεῖ οὐ τούτων ὄντων· ἐπεὶ καὶ τὰ ἐλθόντα, καίτοι οὐκ ἐκεῖνα ὄντα, οὐ μένει οὐδὲ ταῦτα οἷα ἦλθε, σώματι μιγνύμενα καὶ ὕλῃ καὶ ἀλλήλοις.

XI. Neque vero latere nos debet, quod a cælestibus provenit, non tale prorsus evadere in his, qui suscipiunt, quale a superis projicitur. Veluti si ignis in nobis a cælesti longe degenerans et affectio propensa ad diligendum apud nos debilior facta amorem peperit non honestum: sic animositas, ubi forte præter modum accidit ad fortitudinem necessarium, excandescentiam et furorem procreat vel segnitiem. Sic honoris veri honestatisque studium appetitum eorum affert, quæ pulchra et honesta videntur: sic mentis defluxus gignit astutiam: astutia enim mentem æmulatur, quod vult assequi non potentem. Hæc itaque singula cum apud superos mala non sint, apud nos mala contingunt. Quæ enim inde proveniunt, neque eadem sunt atque illa, neque etiam permanent qualia provenerunt, corporibus videlicet mixta materiæque et invicem.

Res generantur præcipue a seminalibus naturæ rationibus; cælestis influxus materiam disponit.

ΙΒ'. Καὶ δὴ καὶ τὰ ἰόντα εἰς ἓν συμπίπτει, καὶ κομίζεται ἕκαστον τῶν γιγνομένων τι ἐκ τούτου τοῦ κράματος, ὥστε, ὅ ἐστι καὶ ποιόν τι, γενέσθαι. Οὐ γὰρ τὸν ἵππον ποιεῖ, ἀλλὰ τῷ ἵππῳ δίδωσιν· ὁ γὰρ ἵππος ἐξ ἵππου καὶ ἐξ ἀνθρώπου ἄνθρωπος· συνεργὸς δὲ ἥλιος τῇ πλάσει· ὁ δὲ ἐκ τοῦ λόγου τοῦ ἀνθρώπου γίγνεται· ἀλλ' ἔβλαψέ ποτε ἢ ὠφέλησε τὸ ἔξω· ὁμοίως γὰρ τῷ πατρί, ἀλλὰ πρὸς τὸ βέλτιον πολλάκις· ἔστι δὲ ὅτε πρὸς τὸ χεῖρον συνέπεσαν, ἀλλ' οὐκ ἐκβιβάζει τοῦ ὑποκειμένου· ὁτὲ δὲ καὶ ἡ ὕλη κρατεῖ, οὐχ ἡ φύσις, ὡς μὴ τέλεον γενέσθαι ἡττωμένου τοῦ εἴδους.

XII. Præterea, quæ inde veniunt, in unum congrediuntur, atque ex hac commixtione quodlibet genitum contrahit aliquid: unde et quod est, exsistit, et tale quiddam evadit. Non enim equum facit cælestis influxus, sed dat equo nonnihil: nam et equus ex equo, et homo ex homine generatur: sol autem ad hanc formationem ut adjutor accedit. Homo vero fit ex seminaria hominis ratione: ita tamen, ut, quod externum est, vel impediat vel conducat. Provenit enim similiter filius parenti congruens: sed et sæpe in melius, et nonnunquam accidit in deterius, nunquam tamen abducitur ab ipso subjecto. Nonnunquam materia prævalet potius, quam natura, adeo ut effectus non proveniat absolutus, quando videlicet a materia species superatur.

De communi mundi vita et actione: item quæ vivunt propria vita, actiones proprias habent.

ΙΓ'. Δεῖ τοίνυν τὸ ἐντεῦθεν, ἐπειδὴ τὰ μὲν παρὰ τῆς φορᾶς γίνεται, τὰ δὲ οὔ, διαλαβεῖν καὶ διακρῖναι καὶ εἰπεῖν, πόθεν ἕκαστα ὅλως. Ἀρχὴ δὲ ἥδε· ψυχῆς δὴ τὸ πᾶν τόδε διοικούσης κατὰ λόγον, οἷα δὴ καὶ ἐφ' ἑκάστου ζώου, ἡ ἐν αὐτῷ ἀρχή, ἀφ' ἧς ἕκαστα τὰ τοῦ ζώου μέρη καὶ πλάττεται καὶ πρὸς τὸ ὅλον συντέτακται, οὗ μέρη ἐστίν· ἐν μὲν τῷ ὅλῳ ἐστὶ τὰ πάντα, ἐν δὲ τοῖς μέρεσι τοσοῦτον μόνον, ὅσον ἐστὶν ἕκαστον. Τὰ δὲ ἔξωθεν προσιόντα, τὰ μὲν καὶ ἐναντία τῇ βουλήσει τῆς φύσεως, τὰ δὲ καὶ πρόσφορα· τῷ δὲ ὅλῳ πάντα ἅτε μέρη ὄντα αὐτοῦ τὰ πάντα συντέτακται, φύσιν μὲν λαβόντα ἣν ἔχει, καὶ συμπληροῦντα τῇ οἰκείᾳ ὅμως ὁρμῇ πρὸς τὸν ὅλον τοῦ παντὸς βίον. Τὰ μὲν οὖν ἄψυχα τῶν ἐν αὐτῷ πάντη ὄργανα, καὶ οἷον ὠθούμενα ἔξω, εἰς τὸ ποιεῖν· τὰ δὲ ἔμψυχα, τὰ μὲν τὸ κινεῖσθαι ἀορίστως ἔχει ὡς ὑφ' ἅρμασιν ἵπποι, πρὶν τὸν ἡνίοχον ἀφορίσαι αὐτοῖς τὸν δρόμον, ἅτε δὴ πληγῇ νεμόμενα. Λογικοῦ δὲ ζώου φύσις ἔχει παρ' ἑαυτῆς τὸν ἡνίοχον· καὶ ἐπιστήμονα μὲν ἔχουσα κατ' ἰθὺ φέρεται, μηδὲ ὡς ἔτυχε πολλάκις. Ἄμφω δὲ εἴσω τοῦ παντὸς καὶ συντελοῦντα πρὸς τὸ ὅλον· καὶ τὰ μὲν μείζω αὐτῶν καὶ ἐν πλείονι τῇ ἀξίᾳ πολλὰ ποιεῖ καὶ μεγάλα, καὶ πρὸς τὴν τοῦ ὅλου ζωὴν συντελεῖ, τάξιν ποιητικὴν μᾶλλον ἢ παθητικὴν ἔχοντα· τὰ δὲ πάσχοντα διατελεῖ μικρὰν δύναμιν πρὸς τὸ ποιεῖν ἔχοντα· τὰ δὲ μεταξὺ τούτων, πάσχοντα μὲν παρ' ἄλλων, ποιοῦντα δὲ πολλὰ καὶ ἐν πολλοῖς, ἀρχὴν παρ' αὐτῶν εἰς πράξεις καὶ ποιήσεις ἔχοντα. Καὶ γίγνεται τὸ πᾶν ζωὴ παντελής, τῶν μὲν ἀρίστων ἐνεργούντων τὰ ἄριστα, καθ' ὅσον τὸ ἄριστον ἐν ἑκάστῳ· ὃ δὴ καὶ τῷ ἡγεμονοῦντι συνταχτέον, ὥσπερ στρατιώτας στρατηγῷ, οἳ δὴ λέγονται καὶ ἕπεσθαι Διὶ ἐπὶ φύσιν τὴν νοητὴν ἱεμένῳ. Τὰ δὲ ἥττονι τῇ φύσει κεχρημένα δεύτερα τοῦ παντός, οἷα καὶ τὰ ἐν ἡμῖν ψυχῆς δεύτερα· τὰ δ' ἄλλα ἀνάλογον τοῖς ἐν ἡμῖν μέρεσιν· οὐδὲ γὰρ ἐφ' ἡμῶν πάντα ἴσα. Ζῶα μὲν οὖν πάντα κατὰ λόγον τὸν τοῦ παντὸς ὅλον, τά τε ἐν οὐρανῷ πάντα καὶ τὰ ἄλλα, ὅσα εἰς τὸ ὅλον μεμέρισται· καὶ οὐδὲν τῶν μερῶν, οὐδ' εἰ μέγα, δύναμιν ἔχει τοῦ ἐξαλλαγὴν ἐργάσασθαι τῶν λόγων, οὐδὲ τῶν κατὰ τοὺς λόγους γενομένων. Ἀλλοίωσιν δὲ ἐπ' ἀμφότερα, χείρονός τε καὶ βελτίονος, ἐργάσασθαι, ἀλλ' οὐκ ἐκστῆσαί γε τῆς οἰκείας φύσεως δύναται. Χεῖρον δὲ ἐργάζεται ἢ κατὰ σῶμα ἀσθένειαν διδόν, ἢ τῇ ψυχῇ τῇ συμπαθεῖ καὶ παρ' αὐτοῦ δοθείσῃ εἰς τὸ κάτω κατὰ συμβεβηκός, φαυλότητος αἴτιον γιγνόμενον, ἤ, σώματος κακῶς συντεθέντος, ἐμπόδιον τὴν εἰς αὐτὸ ἐνέργειαν δι' αὐτὸ ποιῆσαι· οἷον οὐχ οὕτως ἁρμοσθείσης λύρας, ὡς δέξασθαι τὸ ἀκριβὲς ἁρμονίας εἰς τὸ μουσικοὺς ἀποτελεῖν τοὺς φθόγγους.

XIII. Oportet deinceps, quando alia quidem a motu mundano fiunt, alia vero nequaquam, distinguere jam et dijudicare atque explicare, unde omnino res vere sint quælibet. Principium igitur erit ejusmodi. Anima totum id ratione gubernat, quemadmodum in quolibet animal ipsum vitæ principium, a quo singula viventis membra formantur et ad totum, cujus partes sunt, ordinantur: in toto quidem sunt omnia; in partibus autem duntaxat, quantum est unumquodque. Quæ vero accedunt extrinsecus, partim quidem naturali appetitui adversantur, partim vero consentanea sunt: ipsi tamen toti cuncta tanquam ipsius membra undique concinunt, naturam quidem nacta, quam possident, simulque implentia impetu proprio totam universi vitam. Quæ igitur inanimata sunt in mundo, omnino aliorum sunt instrumenta, et quasi ab extrinseco impelluntur ad actionem. Quæ vero animata sunt, si ratione carent, motum indeterminatum habent: quemadmodum equi trahentes currum, priusquam auriga præscribat eis cursum, quippe cum quasi flagello quodam agantur. Rationalis autem animantis natura ex ipsa se aurigam habet: quod si hunc peritum habeat, plurimum fertur in rectum, neque, ut fieri solet, casu vagatur. Utraque vero sunt intra mundum ad totumque conducunt: et quæ inter hæc majora sunt graduque præstantiora, multa magnaque faciunt, ad ipsamque totius vitam undique conferunt, ordinem agendi potius, quam patiendi, sortita: multa vero in patiendo versantur exiguam vim habentia ad agendum. Horum vero media patiuntur quidem ab aliis, agunt autem frequenter in alia, utpote quæ agendi et faciendi principium habeant in se ipsis. Quam ob rem totus mundus vita fit universa atque perfecta, dum, quæ optima sunt, agunt et optima, quatenus est in quolibet optimum. Quod quidem ipsi totius duci quasi collega est adhibendum, ceu commilitones exercitus duci, qui a Platone dicuntur sequi Jovem in naturam intelligibilem incedentem. At vero, quæ in inferiori naturæ gradu sunt constituta, secundum universi locum obtinent, taliaque ferme sunt, quales in nobis secundæ sunt animæ vires: cetera quoque similiter perinde se habent atque partes in nobis ultimæ: neque enim in nobis omnia æqualia sunt. Viventia igitur omnia sunt vel fiunt secundum totam universi rationem, et quæ in cœlo sunt omnia, et quæcunque per totum distribuuntur. Neque pars ulla, etiam ingens, potentiam habet vel ad rationes mundi seminarias ex suo ordine deturbandas, vel ad res, quæ secundum ejusmodi rationes proficiscuntur a sua specie, permutandas. Et quamvis mutationem quandam, cum in melius, tum in pejus, possit afferre, non tamen a natura propria extrudere potest. Facit vero deterius vel secundum corpus debilitatem inferens, vel secundum animam, quatenus videlicet ex accidenti quodam pravitatis causa fit in anima illa compatiente, et a superiori tradita inferiori: vel quando corpore male composito impedimentum affertur ad actionem animæ per corpus explendam, ceu si lyra non ita composita temperataque sit, ut queat perfectam suscipere harmoniam ad musicos tonos perficiendos.

Assignat causas rerum humanarum præter stellas, etiam ubi significantur a stellis.

ΙΔ'. Περὶ δὲ πενίας καὶ πλούτους καὶ δόξας καὶ ἀρχὰς πῶς; ἢ εἰ μὲν παρὰ πατέρων οἱ πλοῦτοι, ἐσήμηναν

XIV. De paupertate vero atque divitiis, et gloria, et imperio, quidnam dicendum? Fortasse si divitiæ a paren-

[illegible] τὸν πλοῦτον [illegible] ἢ γένος τὸ ἔνδοξον ἔχοντας ἐδήλωσαν μόνον. Εἰ δ' ἐξ ἀνδραγαθίας, εἰ σῶμα συνεργὸν γεγένηται, συμβάλλοιντο ἂν οἱ τὴν σώματος ἰσχὺν ἐργασάμενοι· γονεῖς μὲν πρῶτον· εἶτα εἴ τις ἄρα τῶν τόπων ἔσχε τὰ οὐράνια, καὶ ἡ γῆ. Εἰ δὲ ἄνευ σώματος ἡ ἀρετή, αὐτῇ μόνῃ δοτέον τὸ πλεῖστον, καὶ ὅσα θεία παρὰ τῶν ἀμειψαμένων συνεβάλλετο· οἱ δὲ δόντες εἰ μὲν ἀγαθοί, εἰς ἀρετὴν ἀνακτέον καὶ οὕτω τὴν αἰτίαν· εἰ δὲ φαῦλοι, δικαίως δὲ δόντες, τῷ ἐν αὐτοῖς βελτίστῳ ἐνεργήσαντι τοῦτο γεγονέναι· εἰ δὲ πονηρὸς ὁ πλουτήσας, τὴν μὲν πονηρίαν προηγουμένην, καί τι τὸ αἴτιον τῆς πονηρίας. Προσληπτέον δὲ καὶ τοὺς δόντας, συναιτίους ὡσαύτως γενομένους. Εἰ δ' ἐκ πόνων, οἷον ἐκ γεωργίας, ἐπὶ τὸν γεωργόν, συνεργὸν τὸ περιέχον γεγενημένον. Εἰ δὲ θησαυρὸν εὗρε, συμπεσεῖν τι τῶν ἐκ τοῦ παντός· εἰ δὲ σημαίνεται, πάντως γὰρ ἀκολουθεῖ ἀλλήλοις πάντα, διὸ καὶ πάντως. Εἰ δὲ ἀπέβαλέ τις πλοῦτον, ἢ ἀφαιρεθείς, ἐπὶ τὸν ἀφελόμενον, κἀκεῖνος ἐπὶ τὴν οἰκείαν ἀρχήν· εἰ δὲ ἐν θαλάττῃ, τὰ συμπεσόντα. Τὸ δ' ἔνδοξον ἢ δικαίως ἢ οὔ. Εἰ οὖν δικαίως, τὰ ἔργα καὶ τὸ παρὰ τοῖς δοξάζουσι βέλτιον· εἰ δ' οὐ δικαίως, ἐπὶ τὴν τῶν τιμώντων ἀδικίαν. Καὶ ἀρχῆς δὲ πέρι ὁ αὐτὸς λόγος· ἢ γὰρ προσηκόντως, ἢ οὔ· καὶ θάτερον μὲν ἐπὶ τὸ βέλτιον τῶν ἑλομένων, ἢ ἐπ' αὐτὸν διαπραξάμενον ἑτέρων συστάσει, καὶ ὁπωσοῦν ἄλλως. Περὶ δὲ γάμων, ἢ προαίρεσις, ἢ συντυχία καὶ σύμπτωσις ἐκ τῶν ὅλων. Παίδων δὲ γενέσεις ἀκόλουθοι τούτοις, καὶ ἢ πέπλασται κατὰ λόγον ἐμποδίσαντος οὐδενός, ἢ χεῖρον ἔσχε, γενομένου ἔνδον κωλύματός τινος ἢ παρ' αὐτὴν τὴν κύουσαν, ἢ τοῦ περιέχοντος οὕτω διατεθέντος, ὡς ἀσυμμέτρως πρὸς τήνδε τὴν κύησιν ἐσχηκότος.

[illegible] provenerunt, e coelo divitias futuras significarunt; quemadmodum et generositatem, qui ex genere duntaxat trahit gloriam, declaraverunt. Ubi autem divitiae virtutis prae laude comparatae sunt, si corpus ad idem vires suppeditavit, profecto, qui vires corpori praebuerunt, ad divitias conferunt cumulandas: parentes quidem primum; deinde si qua regio caelum habet propitium: accedit et salubris terrae fertilitas. Sin autem virtus absque beneficio corporis pecunias auxit, virtuti hoc in re soli plurimum tribuendum, et quodcumque divina quadam sorte ex his, quae vicissim commutantur rependunturque, contigere. Ubi vero homines dedere divitias, si quidem boni sint, ad virtutem quoque similiter harum causa referenda. Si vero pravi, sed tamen juste dederunt, existimandum est ex quodam, quod in eis agit, optimo id beneficii provenisse. At si malus sit, qui divitias congregavit, judicandum est, praecipuam esse causam pravitatem, et si qua fuit causa pravitatis. Assumendi praeterea sunt similiter in ordine causarum, si qui divitias contulerunt. Proinde si laboribus, sicut in agricultura contingit, bonorum copia provenit, in agricultorem causa referenda, nec non in soli fertilitatem caelique clementiam. At si thesaurum reperit, putandum est, aliquid ex universo ad id concurrisse: neque mirum est, si haec quibusdam significantur indiciis. Omnia enim omnino invicem consequuntur, ideoque possunt passim significari. Si quis projecerit divitias, ipsemet causa est: si subripiantur, raptor causa est: si naufragio facta est jactura, multa, quae confluunt, causam damni dederunt. Gloria vel juste habetur vel injuste: si juste, cum officiis, tum existimantium aequitate comparata est: si injuste, ex honorantium injustitia proficiscitur. Eadem est de imperio ratio. Aut enim honeste possidetur, aut contra. Et alterum quidem ex eorum, qui elegerunt, aequitate causam habet, vel ad eum pertinet, qui id aliorum concursu undecumque favore est consequutus, vel quomodocumque aliter id se habeat. Matrimonium procreat vel electio vel contingentia concursusque ex omnibus. Generatio filiorum haec sequitur, atque vel secundum seminariam rationem fetus nullo impediente formatur, vel evadit deterior aliquo intus impediente, vel concipientis vitio, vel continentis dispositione conceptui huic adversante.

Anima priusquam subeat fatum, appetit corpus. Quid fatum, quid fortuna. Anima proprium habet esse, quo etiam in fato habet propriam actionem, et potest a fato se solvere.

ΙΕ'. Ὁ δὲ Πλάτων πρὸ τῆς περιφορᾶς τοῦ ἀτράκτου δοὺς κλήρους καὶ προαιρέσεις συνεργούς, ὕστερον δίδωσι τοὺς ἐν τῷ ἀτράκτῳ, ὡς πάντως τὰ αἱρεθέντα συναποτελοῦντας, ἐπεὶ καὶ ὁ δαίμων συνεργὸς εἰς πλήρωσιν αὐτῶν. Ἀλλ' οἱ κλῆροι τίνες; ἢ τοῦ παντὸς ἔχοντος οὕτως, ὡς τότε εἶχεν, ὅτε εἰσῄεσαν εἰς τὸ σῶμα γενέσθαι, καὶ τὸ εἰσελθεῖν εἰς τόδε τὸ σῶμα, καὶ τῶνδε τῶν γονέων, καὶ ἐν τοιούτοις τόποις γίγνεσθαι, καὶ ὅλως ὡς εἴπομεν τὰ ἔξω· πάντα δὲ ὁμοῦ γινόμενα καὶ οἷον συγκλωσθέντα διὰ τῆς μιᾶς τῶν λεγομένων Μοιρῶν δεδήλωται ἐπί τε ἑκάστων, ἐπί τε τῶν ὅλων· ἡ δὲ Λάχεσις, τοὺς κλήρους· καὶ τὰ συμπεσόντα τάδε πάντως ἀναγκαῖον τὴν Ἄτροπον ἐπάγειν. Τῶν δὲ ἀνθρώπων οἱ μὲν γίγνονται τῶν ἐκ τοῦ ὅλου καὶ τῶν ἔξω ὥσπερ γοητευθέντες, καὶ ὀλίγα ἢ οὐδὲν αὐτοί· οἱ δὲ κρατοῦντες τούτων καὶ ὑπεραίροντες οἷον τῇ κεφαλῇ πρὸς τὸ ἄνω καὶ ἐκτός, ψυχῆς ἀποσώζουσι τὸ ἄριστον καὶ ἀρχαῖον τῆς ψυχικῆς οὐσίας. Οὐ γὰρ δὴ νομιστέον, τοιοῦτον εἶναι ψυχήν, οἷον ὅ τι ἂν ἔξωθεν πάθῃ, ταύτην φύσιν ἴσχειν μόνην τῶν πάντων, οἰκείαν φύσιν οὐκ ἔχουσαν. Ἀλλὰ χρὴ

XV. Plato, cum ante mundani fusi circuitum sortes quasdam electionesque simul adjuvantes in medium adduxisset, deinceps vires sortesve in ipso fuso descripsit, quibus, quae electa fuerant, consummentur: quandoquidem et daemon ad eadem implenda cooperator accedit. Sortes vero quaenam sunt? Fortasse per sortes significatur dispositio universi, qualis tunc erat, quando animae aggressae sunt ingredi corpus. Item significatur in hoc et ejusmodi corpus ingredi et sub talibus quibusdam parentibus: praeterea in tali quadam regione nasci, quaeve summatim dicebam, concursu externorum: cuncta vero simul facta, et quasi convoluta per unam Parcarum, Clotho nominatam, tam in cunctis, quam in singulis demonstratur. Lachesis autem sortes ipsas adducit in medium. Postremo Atropos efficit necessario, ut concurrentia haec omnia peragantur. Inter homines autem alii quidem ita fiunt, ut, quasi ab universo externisque fascinati, vel in paucis vel in nonnullis sint sui juris. Alii vero dominantur externis, attollentesque ad sublimia caput, nimirum id, quod optimum est in anima, antiquitatemque ipsius essentiae servant. Non enim existimandum est animam esse talem, ut ipsa duntaxat, qualemcumque ab externis acceperit passionem, talem reportet naturam, perinde ac si naturam propriam

πολὺ πρότερον. αὐτὴν, ἢ τὰ ἄλλα, ἅτε ἀρχῆς λόγον ἔχουσαν, πολλὰς οἰκείας δυνάμεις πρὸς ἐνεργείας τὰς κατὰ φύσιν ἔχειν. Οὐ γὰρ δὴ οἷόν τε οὐσίαν οὖσαν μὴ μετὰ τοῦ εἶναι καὶ ὀρέξεις καὶ πράξεις καὶ τὸ πρὸς τὸ εὖ κεκτῆσθαι. Τὸ μὲν οὖν συναμφότερον ἐκ τοῦ συναμφοτέρου τῆς φύσεως, καὶ τοιόνδε, καὶ ἔργα ἔχει τοιάδε. Ψυχὴ δὲ εἴ τις χωρίζεται, χωριστὰ καὶ ἴδια ἐνεργεῖ, τὰ τοῦ σώματος πάθη οὐχ αὑτῆς τιθεμένη· ἅτε ἤδη ὁρῶσα, ὡς τὸ μὲν ἄλλο, τὸ δὲ ἄλλο.

non possideat : sed oportet ipsam multo prius, quam alia, utpote quæ principii habeat rationem, multas merito vires proprias ad naturales actiones explendas habere. Fieri namque non potest, ut, cum essentia sit, non possideat insuper una cum esse appetitiones et actiones facultatemque ad bene vivendum. Quod igitur conjunctum est, ex ipso naturæ conjuncto pendet, taleque evadit et tales nanciscitur actiones. Anima vero si qua sejungitur, sejuncta *nimirum et propria peragit, passionesque corporis non* esse suas existimat : quippe cum jam aliud quiddam se exsistere, aliud esse vivum corpus animadvertat.

Utrum anima mundi, dum omnia seminalibus generat rationibus, interim imaginatione per singula distrahatur.

ΙϚʹ. Ἀλλὰ τί τὸ μικτὸν καὶ τί τὸ μὴ, καὶ τί τὸ χωριστὸν καὶ ἀχώριστον, ὅταν ἐν σώματι ᾖ, καὶ ὅλως τί τὸ ζῷον ἀρχὴν ἑτέραν ὕστερον λαβοῦσι ζητητέον· οὐ γὰρ ἅπαντες τὴν αὐτὴν δόξαν ἔσχον περὶ τούτου. Νῦν δὲ ἔτι λέγωμεν, τὸ πῶς κατὰ λόγον ψυχῆς διοικούσης τὸ πᾶν εἴπομεν· πότερον γὰρ ἕκαστα οἷον ἐπ' εὐθείας, ποιοῦσα ἄνθρωπον, εἶτα ἵππον καὶ ἄλλο ζῷον, καὶ δὴ καὶ θηρία; πῦρ δὲ καὶ γῆν πρότερον, εἶτα συμπεσόντα ταῦτα ἰδοῦσα καὶ φθείροντα ἄλληλα ἢ καὶ ὠφελοῦντα, τὴν συμπλοκὴν τὴν ἐκ τούτων ἰδοῦσα μόνον· καὶ τὰ ὕστερον συμβαίνοντα αὐτῇ ἀεὶ γίγνεσθαι οὐδὲν ἔτι συμβαλλομένη πρὸς τὰ ἐφεξῆς, ἀλλ' ἢ μόνον ζώων γενέσεις τῶν ἐξ ἀρχῆς πάλιν ποιοῦσα, καὶ τοῖς πάθεσι τοῖς δι' ἀλλήλων αὐτὰ συγχωροῦσα· ἢ αἰτίαν λέγοντες καὶ τῶν οὕτω γινομένων, ὅτι παρ' αὐτῆς γενόμενα τὰ ἐφεξῆς ἐργάζεται; ἢ τὸ τόδε καὶ τόδε ποιῆσαι ἢ παθεῖν ἔχει ὁ λόγος; οὐκ εἰκῇ οὐδὲ κατ' ἐπιτυχίαν οὐδὲν τῶνδε γιγνομένων, ἀλλ' ἐξ ἀνάγκης οὕτως; ἆρ' οὖν τῶν λόγων αὐτὰ ποιούντων; ἢ ὄντων μὲν τῶν λόγων, οὐχ ὡς ποιούντων δὲ, ἀλλ' ὡς εἰδότων; μᾶλλον δὲ τῆς ψυχῆς τῆς τοὺς λόγους τοὺς γεννητικοὺς ἐχούσης, εἰδυίας τὰ ἐκ τῶν ἔργων συμβαίνοντα αὐτῆς ἁπάντων; τῶν γὰρ αὐτῶν συμπιπτόντων καὶ περιεστηκότων τὰ αὐτὰ πάντως προσήκει ἀποτελεῖσθαι· ἃ δὴ παραλαβοῦσα ἢ προϊδοῦσα ἡ ψυχὴ ἐπὶ τούτοις τὰ ἐφεξῆς περαίνει καὶ συνείρει· προηγούμενα οὖν καὶ ἐπακολουθοῦντα πάντως, καὶ πάλιν ἐπὶ τούτοις τὰ ἐφεξῆς προηγούμενα, ὡς ἐκ τῶν παρόντων· ὅθεν ἴσως ἀεὶ χείρω τὰ ἐφεξῆς· οἷον ἄνδρες ἄλλοι πάλαι, νῦν δ' ἄλλοι, τῷ μεταξὺ καὶ ἀεὶ ἀναγκαίῳ τῶν λόγων εἰκόντων τοῖς τῆς ὕλης παθήμασι. Συνορῶσα οὖν ἀεὶ ἄλλα, τὰ δ' ἄλλα, καὶ παρακολουθοῦσα τοῖς τῶν αὐτῆς ἔργων παθήμασι τὸν βίον τοιοῦτον ἔχει; καὶ οὐκ ἀπήλλακται τῆς ἐπὶ τῷ ἔργῳ φροντίδος τέλος ἐπιθεῖσα τῷ ποιήματι, καὶ ὅπως ἕξει καλῶς καὶ εἰς ἀεὶ ἅπαξ μηχανησαμένη· οἷα δέ τις γεωργὸς σπείρας ἢ καὶ φυτεύσας ἀεὶ διορθοῦται, ὅσα χειμῶνες ἔβλαψαν ὑέτιοι ἢ κρυμῶν συνέχεια ἢ ζάλαι ἀνέμων; Ἀλλ' εἰ ταῦτα ἄτοπα, ἐκεῖνο δεῖ λέγειν, ὅτι ἤδη ἔγνωσται, ἢ καὶ κεῖται ἐν τοῖς λόγοις καὶ ἡ φθορὰ καὶ τὰ ἀπὸ κακίας ἔργα. Ἀλλ' εἰ τοῦτο, καὶ τὰς κακίας τοὺς λόγους ποιεῖν φήσομεν, καίτοι ἐν ταῖς τέχναις καὶ τοῖς λόγοις αὐτῶν οὐκ ἔνι ἁμαρτία, οὐδὲ παρὰ τὴν τέχνην, οὐδ' ἡ φθορὰ τοῦ κατὰ τέχνην. Ἀλλ' ἐνταῦθά τις ἐρεῖ, μὴ εἶναι μηδὲν κατὰ φύσιν μηδὲ κακὸν τῷ

XVI. Ceterum quidnam sit mistum quidve non, quid item separabile et quid inseparabile, quando sit in corpore, et omnino quid animal, quærendum est nobis deinceps exordium alterum facientibus. Non enim omnes idem hac de re senserunt. In præsentia igitur repetamus quod in superioribus quærebamus : quemadmodum videlicet, anima per seminariam rationem omnia gubernante, ordo rerum progrediatur. Numquid ergo singula quasi recta quadam *successione anima facit scilicet hominem, deinde equum* aliudque animal ferasque omnes? Prius autem ignem atque terram, deinde concurrentia hæc omnia videns, invicemque vel interimentia vel adjuvantia, complicationem ex his omnibus factam summatimque accidentia solum conspicit. Quæ vero deinceps his sigillatim contingere consueverunt, nequaquam animadvertit vel agit, sed duntaxat animalia rursus priora regenerat, et, quæ genita sunt, passionibus mutuo inter se inferendis subjecta relinquit. An dicemus, animam *effectuum etiam ita* provenientium causam esse, propterea quod, quæ ab ipsa gignuntur, agunt, et quæ sequuntur? Num forte seminalis animæ ratio in se etiam continet hoc tale quiddam sigillatim talia quædam facere, et talia pati? Atque ita neque temere neque ex contingenti horum aliquid accidit, sed ita necessario provenit. Quod si ita est, num rationes ipsæ hæc agunt? Vel potius rationes non tanquam agentes sunt, sed veluti cognoscentes? Imo vero anima ejusmodi rationes continens genitales cognoscit, quæcumque ex omnibus operibus suis proficiscuntur? Eisdem namque concidentibus atque circumstantibus eosdem omnino effectus fieri consentaneum est. Quæ quidem comprehendens aut prævidens *anima in his illa etiam, quæ sequuntur, determinat* atque connectit. Præcedentia igitur et sequentia prorsus animadvertit et curat, rursusque in illis etiam, quæ deinceps præcedentia et quæ sequentia, quasi ex præsentibus contuetur : unde forsan deteriora fiunt continue, quæ sequuntur : seu homines alii quondam, nunc autem alii, dum interea perpetua quadam distantiæ degenerationisque necessitate rationes passionibus materiæ cedunt. An igitur contuetur alia semper et alia, subsequiturque assidue *singulas suorum operum passiones, ac talem agit vitam?* Neque unquam ab instanti propter opus [singulorum operum suorum] cura fit libera, neque imponit præscriptum operi suo finem, utpote quæ non semel excogitaverit, qua ratione opificium suum semper recte progrediatur : sed similis sit agricultori, qui non solum serit et plantat, sed assidue corrigit et instaurat, quæ hiemales imbres vel frigora vel ventorum turbines devastarunt? Verum si hæc absurda sunt, fortasse dicendum erit, hæc jam esse præ*scita aut etiam in rationibus destinata, interitus videlicet* et effectus vitia procedentes. At vero si res ita se habeat, dicturi sumus, et rationibus ipsis etiam vitia provenire, etsi in artibus optimisque rationibus nullus est error, neque quicquam artis expers, neque rei artificiosæ destructio. Respondebit ad hæc aliquis, nihil universo malum ac præter naturam accidere, sed, quod videtur deterius, etiam

ὅλῳ· ἀλλ' ὅμως τὸ χεῖρον καὶ τὸ βέλτιον συγχωρήσεται. Τί οὖν, εἰ τῷ ὅλῳ καὶ τὸ χεῖρον συνεργὸν, καὶ οὐ δεῖ πάντα καλὰ εἶναι; ἐπεὶ καὶ τὰ ἐναντία συντελεῖ, καὶ οὐκ ἄνευ τούτων κόσμος· καὶ γὰρ ἐπὶ τῶν καθ' ἕκαστα ζώων οὕτω· καὶ τὰ μὲν βελτίω ἀναγκάζει καὶ πλάττει ὁ λόγος, ὅσα δὲ μὴ τοιαῦτα, δυνάμει κεῖται ἐν τοῖς λόγοις, ἐνεργείᾳ δὲ ἐν τοῖς γενομένοις, οὐδὲν ἔτι δεομένης ἐκείνης ποιεῖν, οὐδὲ ἀνακινεῖν τοὺς λόγους· ἤδη τῆς ὕλης τῷ σεισμῷ τῶν ἐκ τῶν προηγουμένων λόγων καὶ τὰ παρ' αὐτῆς ποιούσης τὰ χείρω, κρατουμένης δ' αὖ οὐδὲν ἧττον πρὸς τὰ βελτίω· ὥστε ἓν ἐκ πάντων ἄλλως ἑκατέρως γιγνομένων, καὶ ἄλλως αὖ ἐν τοῖς λόγοις.

fore melius concedendum. Quid ergo, si etiam, quod deterius est, universo conducat, neque oporteat omnia esse pulchra? Quandoquidem contraria etiam ad perficiendum conferunt universum, neque absque his mundus esse potest: siquidem et in singulis viventibus natura se similiter habet. Profecto, quæ meliora sunt, ratio ipsa necessario adducit et format: quæ vero minus bona, secundum potentiam quandam jacent in rationibus; secundum vero actum in his, quæ gignuntur. Itaque animæ nihil jam opus est ultra facere rationesve suscitare: quippe cum materia jam concussione quadam rationum a præcedentibus venientium, quæ penes ipsam sunt, reddat deteriora, rursusque nihilominus ad meliora concipienda rationibus superetur. Quapropter unus ex cunctis decor efficitur, dum singula aliter ex materia ipsa resultant, aliter in rationibus ipsis continentur et fiunt.

### Utrum seminales rationes sint intelligentiæ, vel quælibet motiones.

ΙΖ΄. Πότερα δὲ οἱ λόγοι οὗτοι οἱ ἐν ψυχῇ νοήματα; ἀλλὰ πῶς κατὰ τὰ νοήματα ποιήσει; ὁ γὰρ λόγος ἐν ὕλῃ ποιεῖ, καὶ τὸ ποιοῦν φυσικῶς, οὐ νόησις οὐδὲ ὅρασις, ἀλλὰ δύναμις τρεπτικὴ τῆς ὕλης, οὐκ εἰδυῖα, ἀλλὰ δρῶσα μόνον, οἷον τύπον καὶ σχῆμα ἐν ὕδατι, ὥσπερ κύκλος, ἄλλου ἐνδόντος εἰς τοῦτο τῆς φυσικῆς δυνάμεως καὶ γεννητικῆς λεγομένης τὸ ποιεῖν, εἰ τοῦτο ποιήσει τὸ ἡγούμενον τῆς ψυχῆς τῷ τρέφειν τὴν ἔνυλον καὶ γεννητικὴν ψυχήν. Τρέψει οὖν λογισαμένη αὐτή; ἀλλ' εἰ λογισαμένη, ἀναφορὰν ἕξει· πότερον εἰς ἄλλο, ἢ εἰς τὰ ἐν αὐτῇ; ἀλλ' εἰς τὰ ἐν αὐτῇ οὐδὲν δεῖ λογισμῶν. Οὐ γὰρ οὗτος τρέψει, ἀλλὰ τὸ ἐν αὐτῇ ἔχον τοὺς λόγους· τοῦτο γὰρ καὶ δυνατώτερον καὶ ποιεῖν ἐν ψυχῇ δυνάμενον· κατ' εἴδη ἄρα ποιεῖ. Δεῖ τοίνυν καὶ αὐτὴν παρὰ νοῦ ἔχουσαν διδόναι· νοῦς δὴ ψυχῇ δίδωσι τῇ τοῦ παντός· ψυχὴ δὲ παρ' αὐτῆς ἡ μετὰ νοῦν τῇ μετ' αὐτὴν ἐλλάμπουσα καὶ τυποῦσα· ἡ δὲ ὥσπερ ἐπιταχθεῖσα ἤδη ποιεῖ· ποιεῖ δὲ, τὰ μὲν ἀνεμποδίστως, τὰ δὲ ἐμποδισθεῖσα, χείρω. Ἅτε δὲ δύναμιν εἰς τὸ ποιεῖν λαβοῦσα καὶ λόγων οὐ τῶν πρώτων πληρωθεῖσα, οὐ μόνον, καθ' ἃ ἔλαβε, ποιήσει, ἀλλὰ γένοιτο ἄν τι καὶ παρ' αὐτῆς, καὶ τοῦτο δῆλον ὅτι χεῖρον· καὶ ζῷον μὲν, ζῷον δὲ ἀτελέστερον καὶ δυσχεραῖνον τὴν αὑτοῦ ζωὴν, ἅτε χείριστον καὶ δύσκολον δὴ καὶ ἄγριον, καὶ ἐξ ὕλης χείρονος οἷον ὑποστάθμης τῶν προηγουμένων πικρᾶς, καὶ πικρὰ ποιούσης, καὶ ταῦτα παρέξει καὶ αὐτὴ τῷ ὅλῳ.

XVII. Quærendum vero, utrum seminales hæ rationes, quæ animæ insunt, intelligentiæ sint. At enim quonam modo per intelligentias faciet? Ratio enim in materia facit: et quod naturaliter efficit, neque intellectio est neque visio, sed vis quædam materiæ agitatrix haud sane cognoscens, sed agens tantum velut formam figuramque in aqua: quemadmodum ex circulo quodam aliunde facto redundat circulus alter: quippe cum naturalis potentiæ atque genitalis officium sit efficere, si modo præcipua potestas animæ ad id conducat, quatenus materialem genitalemque animam movet et format. Sed numquid movet et format quadam rationis discursione? At si rationali discursu id egerit, jam referetur. Numquid ergo in aliud quiddam? an potius in ea, quæ sunt in ipsa? Verum si in ea, quæ insunt, nihil opus est rationis discursione. Non enim hæc movendo formabit, sed quod in ipsa continet rationes: id namque potentius est atque ad agendum in anima efficacius: quam ob rem secundum species efficit. Oportet igitur et animam ipsam ab intellectu accipientem species tradere. Intellectus enim eas animæ universi largitur: anima vero intellectui proxima ex se tradit animæ, quæ post ipsam sequitur illustrans eam atque formans. Hæc autem, tanquam jussa, species facit: facit autem alias quidem expedita, alias impedita, atque idcirco deteriores. Cum igitur potentiam susceperit ad agendum, rationibusque non primis imbuta sit solum, quatenus acceperat, agit, sed fit etiam ex ipsa non nonnihil, idque procul dubio fit deterius. Et vivens quidem, vivens autem jam imperfectius suamque vitam graviter ferens, quasi sit deterrimum et difficile et agreste; compositumque ex deteriori materia, quasi fæce quadam præcedentium subsidente: quæ quidem amara est facitque amara: et talia quædam ipsa quoque infert universo.

### Unde mala, et quæ sint causæ universi, et quomodo.

ΙΗ΄. Ἆρ' οὖν τὰ κακὰ τὰ ἐν τῷ παντὶ ἀναγκαῖα, ὅτι ἕπεται τοῖς προηγουμένοις; ἢ ὅτι, καὶ εἰ μὴ ταῦτα ἦν, ἀτελὲς ἂν ἦν τὸ πᾶν. Καὶ γὰρ χρείαν τὰ πολλὰ αὐτῶν ἢ καὶ πάντα παρέχεται τῷ ὅλῳ, οἷα τὰ τῶν ἰοβόλων· λανθάνει δὲ τὰ πλεῖστα, διὰ τί. Ἐπεὶ καὶ τὴν κακίαν αὐτὴν ἔχειν πολλὰ χρήσιμα, καὶ πολλῶν ποιητικὴν καλῶν, οἷον κάλλους τεχνητοῦ παντός· καὶ κινεῖν εἰς φρόνησιν, μὴ ἐῶσαν ἐπ' ἀδείας εὕδειν. Εἰ δὴ ταῦτα ὀρθῶς εἴρηται, δεῖ τὴν τοῦ παντὸς ψυχὴν θεωρεῖν μὲν τὰ ἄριστα ἀεὶ, ἱεμένην πρὸς τὴν νοητὴν φύσιν καὶ τὸν θεόν· πληρουμένης δὲ αὐτῆς καὶ πεπληρωμένης, οἷον ἀπομεστουμένης αὐτῆς, τὸ ἐξ αὐτῆς

XVIII. Numquid ergo mala, quæ in mundo fiunt, necessario fiunt, propterea quod præcedentia consequuntur? Fortasse etiam quia, nisi hæc essent, imperfectum foret etiam totum. Plurima namque malorum vel cuncta potius quandam toti præstant utilitatem, quemadmodum venenosa: quamvis plurimorum usus et ratio lateat. Jam vero pravitatem quoque ipsam multa constat utilia continere, multaque reddere pulchra pulchritudinis artificiosæ more. Suscitat sæpe homines ad prudentiam, neque securi licentia torpere permittit. Si hæc igitur recte dicta sunt, animam totius oportet assidue optima contemplari, ad naturam intelligibilem demumque surgentem: cumque ipsa impleatur plenaque jam sit, exundare deinceps in simu-

ἴνδαλμα καὶ τὸ ἔσχατον αὐτῆς πρὸς τὸ κάτω τὸ ποιοῦν τοῦτο εἶναι· ποιητὴς οὖν ἔσχατος οὗτος· ἐπὶ δ' αὐτῷ τῆς ψυχῆς τὸ πρώτως πληρούμενον παρὰ νοῦ· ἐπὶ πᾶσι δὲ νοῦς δημιουργὸς, ὃς καὶ τῇ ψυχῇ τῇ μετ' αὐτὸν δίδωσιν, ὧν ἴχνη ἐν τῇ τρίτῃ. Εἰκότως οὖν λέγεται οὗτος ὁ κόσμος εἰκὼν, ἀεὶ εἰκονιζόμενος· ἑστηκότων μὲν τοῦ πρώτου καὶ δευτέρου, τοῦ δὲ τρίτου ἑστηκότος μὲν καὶ αὐτοῦ, ἀλλ' ἐν τῇ ὕλῃ, καὶ κατὰ συμβεβηκὸς κινουμένου. Ἕως γὰρ ἂν ᾖ νοῦς καὶ ψυχὴ, ῥεύσονται οἱ λόγοι εἰς τοῦτο τὸ εἶδος τῆς ψυχῆς· ὥσπερ ἕως ἂν ᾖ ἥλιος, πάντα τὰ ἀπ' αὐτοῦ φῶτα.

lacrum suum, atque postremum: idque infimum quendam esse factorem. Quamobrem hic jam effector est ultimus: huic vero præsidet, quod primo in anima impleatur ab intellectu. Cunctis denique præsidet intellectus artifex universi, qui sane et animæ sibi proximæ formas infundit, quarum vestigia imprimuntur in tertia. Merito igitur mundus hic appellatur imago, quæ semper in assimilatione versatur. Consistit utique primum atque secundum: consistit quoque tertium, sed in materia: ideoque tanquam ex accidente fit mobile. Quamdiu enim intellectus est atque anima, tamdiu in hoc animæ simulacrum seminales effluunt rationes: quemadmodum, quamdiu sol ipse viget, omnia ab eo lumina profluunt.

# ΕΝΝΕΑΔΟΣ Β

## ΛΟΓΟΣ Δ.

### ΠΕΡΙ ΥΛΗΣ.

# ENNEADIS SECUNDÆ

## LIBER IV.

### DE MATERIA.

[159, 160.] [282—284.]

Movet dubia de materia, utrum sit in corporibus tantum, an etiam alibi.

Α'. Τὴν λεγομένην ὕλην ὑποκείμενόν τι καὶ ὑποδοχὴν εἰδῶν λέγοντες εἶναι κοινόν τινα τοῦτον λόγον περὶ αὐτῆς πάντες λέγουσιν, ὅσοι εἰς ἔννοιαν ἦλθον τῆς τοιαύτης φύσεως, καὶ μέχρι τούτου τὴν αὐτὴν φέρονται. Τίς δέ ἐστιν αὕτη ἡ ὑποκειμένη φύσις, καὶ πῶς δεκτικὴ καὶ τίνων, τὸ ἐντεῦθεν ἤδη ζητοῦντες διέστησαν· καὶ οἱ μὲν σώματα μόνον τὰ ὄντα εἶναι θέμενοι καὶ τὴν οὐσίαν ἐν τούτοις, μίαν τε τὴν ὕλην λέγουσι καὶ τοῖς στοιχείοις ὑποβεβλῆσθαι, καὶ αὐτὴν εἶναι τὴν οὐσίαν· τὰ δ' ἄλλα πάντα, οἷον πάθη ταύτης, καί πως ἔχουσαν αὐτὴν καὶ τὰ στοιχεῖα εἶναι. Καὶ δὴ καὶ τολμῶσι καὶ μέχρι θεῶν αὐτὴν ἄγειν· καὶ τέλος δὴ καὶ αὐτὸν αὐτῶν τὸν θεὸν ὕλην ταύτην πως ἔχουσαν εἶναι. Διδόασι δὲ καὶ σῶμα αὐτῇ, ἄποιον αὐτὸ σῶμα λέγοντες· καὶ μέγεθος δέ. Οἱ δὲ ἀσώματον λέγουσι, καὶ ταύτην οὐ μίαν τινὲς αὐτῶν, ἀλλὰ ταύτην μὲν τοῖς σώμασιν ὑποβεβλῆσθαι καὶ αὐτοί, περὶ ἧς οἱ πρότεροι λέγουσιν· ἑτέραν μέντοι προτέραν ἐν τοῖς νοητοῖς ὑποβεβλημένην τοῖς ἐκεῖ εἴδεσι καὶ ταῖς ἀσωμάτοις οὐσίαις.

I. Omnes, qui de materia disputant, eo modo in notitiam ullam hujus naturae pervenerint, communi descriptione eam subjectum quoddam et susceptaculum specierum esse nominant, atque hactenus consentire videntur. Quid autem sit haec ipsa subjecta natura, et quo pacto et quae suscipiat, inquirendo dissentiunt. Profecto, quicunque res ipsas corpora solum esse putant essentiamque in his consistere, unam in his materiam esse dicunt; quam quidem elementis subjecta sit, ipsamque sit essentia: cetera vero omnia quasi materiae passiones, esseque haec materiam ipsam, sic aut sic affectam; atque esse sic etiam elementa. Audent quin etiam ipsam ad deos usque protendere. Denique illum summum ipsorum deum materiam hanc existere certo modo sese habentem. Tribuunt praeterea ipsi corpus, dicentes eam esse corpus vacuum qualitate; tribuunt insuper magnitudinem. Qui autem incorpoream admittunt essentiam, et ipsam materiam non unam tantum ipsorum aliqui ponunt, sed alteram quidem et ipsi corporibus esse subjectam aiunt, de qua priores illi loquuntur: alteram tamen in rebus intelligibilibus prioremque esse materiam, speciebus, quae sunt illic, incorporeisque essentiis substitutam.

Rationes probantium in mundo intelligibili non esse materiam.

Β'. Διὸ πρότερον ζητητέον περὶ ταύτης, εἰ ἔστι, καὶ τίς οὖσα τυγχάνει, καὶ πῶς ἔστιν. Εἰ δὴ ἀόριστόν τι καὶ ἄμορφον δεῖ τὸ τῆς ὕλης εἶναι, ἐν δὲ τοῖς ἐκεῖ ἀρίστοις οὖσιν οὐδὲν ἀόριστον οὐδὲ ἄμορφον, οὐδ' ἂν ὕλη ἐκεῖ εἴη. Καὶ εἰ ἁπλοῦν ἕκαστον, οὐδ' ἂν δέοι ὕλης, ἵνα ἐξ αὐτῆς καὶ ἄλλου τὸ σύνθετον. Καὶ γιγνομένοις μὲν ὕλης δεῖ, καὶ ἐξ ἑτέρων ἕτερα ποιουμένοις, ἀφ' ὧν καὶ ἡ τῶν αἰσθητῶν ὕλη ἐνοήθη· μὴ γιγνομένοις δὲ, οὔ. Πόθεν δὲ ἐλήλυθε καὶ ὑπέστη; εἰ γὰρ ἐγένετο, καὶ ὑπό τινος· εἰ δὲ ἀΐδιος, καὶ ἀρχαὶ πλείους· καὶ κατὰ συντυχίαν τὰ πρῶτα· κἂν εἶδος δὲ προσέλθῃ, τὸ σύνθετον ἔσται σῶμα, ὥστε κἀκεῖ σῶμα.

II. Quam ob rem de hac ipsa prius est perquirendum, an sit, et quo pacto. Si autem materiam esse oportet indefinitum aliquid et informe, in rebus vero incorporeis atque optimis nihil indefinitum est, nihil informe, non erit illic materia. Praeterea si quodlibet illorum est simplex, nequaquam materia indiget, ex qua et alio quodam addito compositum quoddam conficiatur. Rursus in his, quae gignuntur, atque sub his quae ex aliis alia gignunt, opus est materia; illis autem quae non gignuntur, minime. Siquidem in rebus sensibilibus materia ex ipsa generationis mutuaque permutatione videtur inventa. Denique undenam materia apud illa processit et substitit? Si enim facta est, certe est ab aliquo facta: sin autem sempiterna est, plura principia sunt: atque ea, quae prima sunt omnium, secundum contingentiam sunt: ac si species illic accessit, quod ita componitur, erit corpus. Itaque corpus illic insuper erit.

Solvit argumenta probantia, non esse in intelligibili mundo materiam.

Γ'. Πρῶτον μὲν οὖν λεκτέον, ὡς οὐ πανταχοῦ τὸ ἀόριστον ἀτιμαστέον, οὐδὲ ὃ ἂν ἄμορφον ᾖ τῇ ἑαυτοῦ ἐπινοίᾳ, εἰ μέλλει παρέχειν αὑτὸ τοῖς πρὸ αὐτοῦ καὶ τοῖς ἀρίστοις· οἷόν τι καὶ ψυχὴ πρὸς νοῦν καὶ λόγον πέφυκε, μορφουμένη παρὰ τούτων καὶ εἰς εἶδος βέλτιον ἀγομένη. Ἔν τε τοῖς νοητοῖς τὸ σύνθετον ἑτέρως, οὐχ ὡς τὰ σώματα· ἐπεὶ καὶ λόγοι σύνθετοι, ἐνεργείᾳ δὲ σύνθετον ποιοῦσι, τὴν ἐνεργοῦσαν εἰς εἶδος φύσιν. Εἰ δὲ καὶ πρὸς ἄλλο, καὶ παρ' ἄλλου, καὶ μᾶλλον. Ἡ δὲ τῶν γιγνομένων ὕλη ἀεὶ ἄλλο καὶ ἄλλο εἶδος ἴσχει· τῶν

III. Principio dicendum est, non ubique, quod indefinitum est, esse penitus contemnendum, neque quod in ipsa sui notione sit informe, si modo se ipsum superioribus et optimis sit praebiturum. Quemadmodum et anima ita apte natura ad intellectum rationemque se habet: quae quidem ab his formatur, et in speciem perducitur meliorem. Accedit ad haec, quod in intelligibilibus, quod compositum dicitur, se aliter habet, neque certe sicut corpora. Quandoquidem et rationes ipsae compositae sunt, atque actu compositum quoddam faciunt, ipsam scilicet naturam, quae agit ad speciem. Si autem fertur ad aliud, atque etiam pendet ab alio, multoque magis. Item materia eorum, quae gignuntur, aliam semper et aliam habet speciem.

δὲ ἀϊδίων ἡ αὐτὴ ταὐτὸν ἀεί. Τάχα δ' ἀνάπαλιν ἢ ἐνταῦθα· ἐνταῦθα μὲν γὰρ παρὰ μέρος πάντα, καὶ ἓν ἑκάστοτε. Διὸ οὐδὲν ἐμμένει, ἄλλου ἄλλο ἐξωθοῦντος· διὸ οὐ ταὐτὸν ἀεί· ἐκεῖ δ' ἅμα πάντα, διὸ οὐκ ἔχει εἰς ὃ μεταβάλλοι· ἤδη γὰρ ἔχει πάντα. Οὐδέποτ' οὖν ἄμορφος, οὔτε ἐκεῖ ἡ ἐκεῖ· ἐπεὶ οὐδ' ἡ ἐνταῦθα, ἀλλ' ἕτερον τρόπον ἑκατέρα· τὸ δὲ εἴτε ἀΐδιος, εἴτε γενομένη, ἐπειδὰν ὅ τί ποτ' ἐστὶ λάβωμεν, δῆλον ἔσται.

Sempiternorum vero materia eadem semper possidet idem. Forma vero haec apud nos materia contra se habet, atque illa. Haec enim per partes et alterne fit omnia, in singulisque temporibus singula: ideo que nihil usquam permanet, dum alia ab aliis extruduntur. Idcirco nihil semper est idem. In superis autem materia simul est cuncta. Cumque jam cuncta possideat, non habet omnino, in quod valeat permutari. Nunquam igitur materia illic est informis: quando neque informis unquam est materia nostra. Sed et in hoc aliter haec atque illa se habet. Quod insuper dicebatur: utrum sempiterna sit, an genita, tunc demum nobis erit perspectum, postquam, quid ipsa sit, ostenderimus.

Probat esse in intelligibili mundo materiam.

Δ'. Ὁ δὴ λόγος ἡμῖν ὑποθεμένοις τὸ νῦν, εἶναι τὰ εἴδη, δέδεικται γὰρ ἐν ἄλλοις, προΐτω. Εἰ οὖν πολλὰ τὰ εἴδη, κοινὸν μέν τι ἐν αὐτοῖς ἀνάγκη εἶναι· καὶ δὴ καὶ ἴδιον, ᾧ διαφέρει ἄλλο ἄλλου. Τοῦτο δὴ τὸ ἴδιον καὶ ἡ διαφορὰ ἡ χωρίζουσα ἡ οἰκεία ἐστὶ μορφή· εἰ δὲ μορφή, ἔστι καὶ τὸ μορφούμενον, περὶ ὃ ἡ διαφορά. Ἔστιν ἄρα καὶ ὕλη ἡ τὴν μορφὴν δεχομένη, καὶ ἀεὶ τὸ ὑποκείμενον· ἔτι εἰ κόσμος νοητός ἐστιν ἐκεῖ, μίμημα δὲ οὗτος ἐκείνου, οὗτος δὲ σύνθετος καὶ ἐξ ὕλης, κἀκεῖ δεῖ ὕλην εἶναι· ἢ πῶς προσερεῖς κόσμον, μὴ ὕλην εἰς εἶδος ἰδών; πῶς δὲ εἶδος, μὴ ἐφ' ᾧ τὸ εἶδος λαβών; ἀμερὲς μὲν γὰρ παντελῶς πάντῃ αὐτό· μεριστὸν δὲ ὁπωσοῦν. Καὶ εἰ μὲν διασπασθέντα ἀπ' ἀλλήλων τὰ μέρη, ἡ τομὴ καὶ ἡ διάσπασις [ὕλης] ὕλης ἐστὶ πάθος· αὕτη γὰρ ἡ τμηθεῖσα. Εἰ δὲ πολλὰ ὂν ἀμέριστόν ἐστι, τὰ πολλὰ ἐν ἑνὶ ὄντα ἐν ὕλῃ ἐστὶν ἑνί, αὐτὰ μορφαὶ αὐτοῦ ὄντα. Τὸ γὰρ ἓν τοῦτο τὸ ποικίλον νόησον ποικίλον καὶ πολύμορφον· οὐκοῦν ἄμορφον αὐτὸ πρὸ τοῦ ποικίλου. Εἰ γὰρ τῷ νῷ ἀφέλοις τὴν ποικιλίαν καὶ τὰς μορφὰς καὶ τοὺς λόγους καὶ τὰ νοήματα, τὸ πρὸ τούτων ἄμορφον καὶ ἀόριστον· καὶ τούτων οὐδὲν τῶν ἐπ' αὐτῷ καὶ ἐν αὐτῷ.

IV. Principio cum alibi ideas esse fuerit demonstratum, admittentes in praesentia ideas esse, ad institutum progrediamur. Profecto si plures ibi sunt species, commune quiddam in ipsis esse necessarium est: rursusque proprium, quoad aliud ab alio distinguatur. Hoc utique proprium atque haec separans differentia forma certe est propria. *Quodsi illic est forma, est insuper et formatum*, circa quod differentia est. Subest itaque materia, quae illam accipiat formam, perpetuoque subjectum. Praeterea si intelligibilis illic mundus exsistit, hic vero noster illius est imitatio, atque componitur ex materia, illic quoque oportet esse materiam. Alioquin quanam ratione mundum ornatumque appellabis, nisi speciem sive species contempleris? Quo autem modo contuebere speciem, nisi id quoque, in quo species est, comprehendas? Indivisibilis quidem prorsus est ubique mundus ipse superior, et quadam rursus conditione divisus. Ac si partes ejus inter se dispersae sint, sectio ipsa atque dispersio est quaedam materiae passio: ipsa enim est proprie, quae passa dicitur sectionem. *Sin autem, quae multa illic sunt, unum ens impartibile sint*: nimirum multa illa in uno exsistentia, in uno illo sunt ceu materia, ipsaque ipsius sunt formae. Unum namque ipsum, quod est varium, considerandum in primis est varium atque multiforme. Considerandum rursus velut informe, antequam varium. Si enim cogitatione illinc abstuleris varietatem, formas, rationes, intelligentias, procul dubio, *quod haec antecedit, informe indefinitumque* occurrit: nihilque apparet eorum, quae penes ipsum in ipsoque sunt.

Solvit, quae objici possent superioribus, et dicta confirmat.

Ε'. Εἰ δ' ὅτι ἀεὶ ἔχει ταῦτα, καὶ ὁμοῦ ἓν ἄμφω, καὶ οὐχ ὕλη ἐκεῖνο, οὐδ' ἐνταῦθα ἔσται τῶν σωμάτων ὕλη. Οὐδέποτε γὰρ ἄνευ μορφῆς, ἀλλ' ἀεὶ ὅλον σῶμα· σύνθετον μὴν ὅμως· καὶ νοῦς εὑρίσκει τὸ διττόν· οὗτος γὰρ διαιρεῖ, ἕως εἰς ἁπλοῦν ἥκῃ, μηκέτι αὐτὸ ἀναλύεσθαι δυνάμενον· ἕως δὲ δύναται, χωρεῖ αὐτοῦ εἰς τὸ βάθος. Τὸ δὲ βάθος ἑκάστου ἡ ὕλη, διὸ καὶ σκοτεινὴ πᾶσα, ὅτι τὸ φῶς ὁ λόγος, καὶ ὁ νοῦς λόγος. Διὸ τὸν ἐφ' ἑκάστου λόγον ὁρῶν, τὸ κάτω, ὡς ὑπὸ τὸ φῶς, σκοτεινὸν ἡγεῖται· ὥσπερ ὀφθαλμὸς φωτοειδὴς ὤν, πρὸς τὸ φῶς βαλὼν καὶ χρόας φῶτα ὄντα, τὰ ὑπὸ τὰ χρώματα σκοτεινὰ καὶ ὑλικὰ εἶναι λέγει, κεκρυμμένα τοῖς χρώμασιν. Διάφορόν γε μὴν τὸ σκοτεινὸν τό τε ἐν τοῖς νοητοῖς, τό τε ἐν τοῖς αἰσθητοῖς ὑπάρχει· διάφορός τε ἡ ὕλη, ὅσον καὶ τὸ εἶδος τὸ ἐπικείμενον ἀμφοῖν διάφορον· ἡ μὲν γὰρ θεία, λαβοῦσα τὸ ὁρίζον αὐτήν, ζωὴν ὡρισμένην καὶ νοερὰν ἔχει· ἡ δὲ ὡρισμένον μέν τι γίγνεται, οὐ μὴν ζῶν οὐδὲ νοοῦν, ἀλλὰ νεκρὸν κεκοσμημένον. Καὶ ἡ μορφὴ δὲ εἴδωλον, ὥστε καὶ τὸ ὑποκείμενον εἴδωλον· ἐκεῖ δὲ ἡ μορφὴ ἀληθινόν, ὥστε καὶ τὸ ὑποκείμενον.

V. Si autem ex eo, quod essentia ejusmodi semper haec habet, *simulque ambo sunt unum, dicatur, non esse ibi* materiam: sequetur, ut neque etiam hic sit materia corporum. Nunquam enim materia haec est absque forma, sed semper totum corpus: nihiloque minus est compositum: atque intellectus duplicitatem invenit. Hic enim dividit, quousque ad id, quod simplex est, pervenerit: quod videlicet ulterius resolvi non valeat. Quatenus vero referri *in aliud potest, in ejus profundum penetrando progreditur*. Profundum denique uniuscujusque est materia. Quapropter materia omnis est tenebrosa, quoniam ipsa ratio lumen est, et ipse intellectus est ratio. Itaque rationem in unoquoque perspiciens, id quod inferius est, quasi sub lumine obscurum esse conjectat. Quemadmodum oculus, cum sit luminosus, in lumen aspiciens simulque in colores, qui lumina quaedam sunt, adducit, ut dicas, ea, quae sub coloribus latent, obscura materialiaque restare, coloribus adoperta. Veruntamen longe discrepat, quod tenebrosum rebus intelligibilibus, quodve rebus sensibilibus subesse conjicimus: tantoque differt ab hac materia illa, quanto species inhaerens illi a specie, quae huic inhaeret, est differens. Divina enim materia accipiens, quod eam terminat, vitam determinatam intellectualemque nanciscitur. Haec autem determinatum quidem aliquid fit: neque tamen vivens neque intellectuale quicquam, sed vita vacuum quiddam quamvis ornatum. Forma quinetiam haec imaginaria est: ideoque imaginarium est [etiam] subjectum. Illic autem et forma vera res est: et subjectum consequen-

Διὸ καὶ τοὺς λέγοντας οὐσίαν τὴν ὕλην, εἰ περὶ ἐκείνης ἔλεγον, ὀρθῶς ἔδει ὑπολαμβάνειν λέγειν. Τὸ γὰρ ὑποκείμενον ἐκεῖ οὐσία· μᾶλλον δὲ μετὰ τοῦ ἐπ' αὐτῇ νοουμένη, καὶ ὅλη οὖσα πεφωτισμένη οὐσία. Πότερα δὲ ἀΐδιος ἡ νοητή, ὁμοίως ζητητέον, ὡς ἄν τις καὶ τὰς ἰδέας ζητοῖ· γεννητὰ μὲν γὰρ τῷ ἀρχὴν ἔχειν· ἀγέννητα δέ, ὅτι μὴ χρόνῳ τὴν ἀρχὴν ἔχει, ἀλλ' ἀεὶ παρ' ἄλλου, οὐχ ὡς γιγνόμενα ἀεί, ὥσπερ ὁ κόσμος, ἀλλὰ ὄντα ἀεί, ὥσπερ ὁ ἐκεῖ κόσμος. Καὶ γὰρ ἡ ἑτερότης ἡ ἐκεῖ ἀεὶ τὴν ὕλην ποιεῖ· ἀρχὴ γὰρ ὕλης αὕτη, ἡ κίνησις ἡ πρώτη· διὸ καὶ αὕτη ἑτερότης ἐλέγετο, ὅτι ὁμοῦ ἐξέφυσαν κίνησις καὶ ἑτερότης. Ἀόριστον δὲ καὶ ἡ κίνησις καὶ ἡ ἑτερότης ἡ ἀπὸ τοῦ πρώτου, κἀκείνου πρὸς τὸ ὁρισθῆναι δεόμενα. Ὁρίζεται δέ, ὅταν πρὸς αὐτὸ ἐπιστραφῇ· πρὶν δὲ ἀόριστον καὶ ἡ ὕλη καὶ τὸ ἕτερον, καὶ οὔπω ἀγαθόν, ἀλλὰ ἀφώτιστον ἐκείνου. Εἰ γὰρ παρ' ἐκείνου τὸ φῶς, τὸ δεχόμενον τὸ φῶς, πρὶν δέξασθαι φῶς, οὐκ ἔχει ἀεί, ἀλλὰ ἄλλο ὂν ἔχει, εἴπερ τὸ φῶς παρ' ἄλλου. Καὶ περὶ μὲν τῆς ἐν τοῖς νοητοῖς ὕλης πλείω τῶν προσηκόντων παραγυμνωθέντα ταύτῃ·

ter essentia vera. Quam ob rem, qui materiam essentiam esse dicunt, si modo de illa loquuntur, existimandi sunt recte sentire. Quod enim illic est subjectum, essentia est: imo vero una cum eo, quod est in ipso, consideratum. Essentia enim re vera est id totum jam illuminatum. Quod autem quaeritur, utrum intelligibilis illa materia sempiterna sit necne: perinde se habet, ac si quis percontaretur, an ideae sint sempiternae. Genitae quidem illae sunt, quia ratione principium habent: ingenitae vero propterea, quod non tempore habent principium, sed sunt semper ab alio; non quasi quae fiant inde semper, ut hic mundus, sed existentia semper, sicut ille mundus. Etenim quae illic alteritas est, materiam semper efficit. Haec enim principium est materiae primaque motio. *Quapropter et haec dicta est alteritas: quoniam motio et alteritas inde sunt simul exortae. Indeterminata vero et motio est et alteritas, quae a primo pendent egentque illo, quo terminentur. Terminantur autem, quando convertuntur ad ipsum. Ante vero indeterminatum id est materiaque et alterum, atque nondum est bonum, sed quiddam boni lumine vacuum. Si enim a bono lumen emicat, utrumque quod capit lumen, antequam capiat, non [semper] habet lumen: et quatenus habet, ipsum quidem *velut aliud, illud habet ut aliud: siquidem lumen ipsum procedit ab alio. Hactenus de intelligibilis mundi materia fortasse ulterius, quam disputatio haec exigebat, fuerit disputatum.

Probat, in corporibus esse materiam primam.

Ϛ'. Περὶ δὲ τῆς τῶν σωμάτων ὑποδοχῆς ὧδε λεγέσθω. Ὅτι μὲν οὖν δεῖ τι τοῖς σώμασιν ὑποκείμενον εἶναι, ἄλλο ὂν παρ' αὐτά, ἥ τε εἰς ἄλληλα μεταβολὴ τῶν στοιχείων δηλοῖ. Οὐ γὰρ παντελὴς τοῦ μεταβάλλοντος ἡ φθορά· ἢ ἔσται τις οὐσία, εἰς τὸ μὴ ὂν ἀπολλυμένη· οὐδ' αὖ τὸ γενόμενον ἐκ τοῦ παντελῶς μὴ ὄντος εἰς τὸ ὂν ἐλήλυθεν, ἀλλ' ἔστιν εἴδους μεταβολὴ ἐξ εἴδους ἑτέρου. Μένει δὲ τὸ δεξάμενον τὸ εἶδος τοῦ γενομένου, καὶ ἀποβαλὸν θάτερον. Τοῦτό τε οὖν δηλοῖ καὶ ὅλως ἡ φθορά· συνθέτου γάρ· εἰ δὲ τοῦτο, ἐξ ὕλης καὶ εἴδους ἕκαστον· ἥ τε ἐπαγωγὴ μαρτυρεῖ, τὸ φθειρόμενον σύνθετον δεικνῦσα· καὶ ἡ ἀνάλυσις δέ· οἷον εἰ ἡ φιάλη εἰς τὸν χρυσόν, ὁ δὲ χρυσὸς εἰς ὕδωρ, καὶ τὸ ὕδωρ δὲ φθειρόμενον τὸ ἀνάλογον ἀπαιτεῖ. Ἀνάγκη δὲ τὰ στοιχεῖα ἢ εἶδος εἶναι, ἢ ὕλην πρώτην, ἢ ἐξ ὕλης καὶ εἴδους· ἀλλ' εἶδος μέν, οὐχ οἷόν τε· πῶς γὰρ ἄνευ ὕλης, ἐν ὄγκῳ καὶ μεγέθει; ἀλλ' οὐδ' ὕλη ἡ πρώτη· φθείρεται γάρ· ἐξ ὕλης ἄρα καὶ εἴδους. Καὶ τὸ μὲν εἶδος κατὰ τὸ ποιὸν καὶ τὴν μορφήν· ἡ δὲ [ὕλη] κατὰ τὸ ὑποκείμενον ἀόριστον, ὅτι μὴ εἶδος.

VI. De susceptaculo vero corporum deinceps ita dicatur. Principio quod oporteat corporibus aliquid esse subjectum, quod aliud quiddam sit, praeter corpora, mutua elementorum commutatio nobis ostendit. Quod enim transmutatur, non omnino corrumpitur: alioquin essentia quaedam in non ens penitus evanesceret: neque rursus, quod fit, ex eo, quod nullo modo est, efficitur. Sed commutatio quaedam ex specie altera fit in alteram. Permanet autem, quod geniti rei speciem induit, dum exuit alteram. Constat hoc insuper ex interitu: hic enim pertinet ad compositum. Quod si ita est, ex materia et forma est unumquodque caducum. Inductio quoque testatur, quod dissolvitur, esse compositum. Resolutio rursus idem nobis ostendit. Veluti si phiala resolvatur in aurum: aurum vero resolvatur in aquam: aqua denique simili ratione, cum perit, proportionale aliquid exigat. Praeterea necesse est elementa vel speciem vel materiam primam esse, vel ex materia simul specieque constare. Speciem quidem esse impossibile est. Quo enim pacto, si absque materia sint, molem magnitudinemque habebunt? Sed neque etiam prima materia sunt: quoniam dissolvuntur. Itaque ex materia simul et specie componuntur. Ac species quidem ad qualitatem spectat et formam, materia vero pertinet ad subjectum. Et id quidem, quia non sit species, non terminatum.

Confutat opiniones falsas de materia.

Ζ'. Ἐμπεδοκλῆς δὲ τὰ στοιχεῖα ἐν ὕλῃ θέμενος ἀντιμαρτυροῦσαν ἔχει τὴν φθορὰν αὐτῶν. Ἀναξαγόρας δὲ τὸ μῖγμα ὕδωρ [ὕλην] ποιῶν, οὐκ ἐπιτηδειότητα πρὸς πάντα, ἀλλὰ πάντα ἐνεργείᾳ ἔχειν λέγων, ὃν εἰσάγει νοῦν, ἀναιρεῖ, οὐκ αὐτὸν τὴν μορφὴν καὶ τὸ εἶδος διδόντα ποιῶν, οὐδὲ πρότερον τῆς ὕλης, ἀλλ' ἅμα. Ἀδύνατον δὲ τὸ ἅμα· εἰ γὰρ μετέχει τὸ μῖγμα τοῦ εἶναι, πρότερον τὸ ὄν· εἰ δὲ καὶ τοῦτο ὂν καὶ τὸ μῖγμα κἀκεῖνο, ἄλλου ἐπ' αὐτοῖς δεήσει τρίτου. Εἰ οὖν πρότερον ἀνάγκη τὸν δημιουργὸν εἶναι, τί ἔδει τὰ εἴδη κατὰ σμικρὰ ἐν τῇ ὕλῃ εἶναι; εἶτα τὸν νοῦν διὰ πραγμάτων

VII. Proinde contra Empedoclem pro materia elementa ponentem elementorum corruptio ipsa reclamat. Anaxagoras autem mixturam quandam inducens, velut aquam, dicensque hanc non aptitudinem quandam habere ad omnia, sed actu omnia continere: profecto intellectum [*mentem*], quem introduxerat, tollit e medio: quippe cum non eum dicat formam speciemque tribuere neque priorem esse materia, sed cum materia simul. Impossibile quidem est simul esse. Si enim mixtura ipsius esse est particeps, certe ens ipsum antiquius est. Quodsi et ipsum ens mixtura quaedam est, alio quodam his opus est tertio. Quam ob rem, si necesse est rerum artificem esse priorem, quidnam oportuit species secundum exigua in materia esse? deinde intellectum inextricabili negotio confuso discernere?

ἀνηνύτων διακρίνειν; ἐξὸν ἀποίῳ οὔσῃ τὴν ποιότητα καὶ τὴν μορφὴν ἐπὶ πᾶσαν ἐκτεῖναι. Τό τε πᾶν ἐν παντὶ εἶναι πῶς οὐκ ἀδύνατον; Ὁ δὲ τὸ ἄπειρον ὑποθεὶς, τί ποτε τοῦτο, λεγέτω· καὶ εἰ οὕτως ἄπειρον, ὡς ἀδιεξίτητον, ὡς οὐκ ἔστι τοιοῦτόν τι ἐν τοῖς οὖσιν, οὔτε αὐτοάπειρον οὔτε ἐπ' ἄλλῃ φύσει, ὡς συμβεβηκὸς σώματί τινι· τὸ μὲν αὐτοάπειρον, ὅτι καὶ τὸ μέρος αὐτοῦ ἐξ ἀνάγκης ἄπειρον· τὸ δὲ ὡς συμβεβηκὸς, ὅτι τὸ ᾧ συμβέβηκεν, ἐκεῖνο οὐκ ἂν καθ' ἑαυτὸ ἄπειρον εἴη, οὔτε ἁπλοῦν οὐδὲ ὕλη ἔτι δῆλον· ἀλλ' οὐδὲ αἱ ἄτομοι τάξιν ὕλης ἕξουσιν, αἱ τοπαράπαν οὐκ οὖσαι· τμητὸν γὰρ πᾶν σῶμα, κατὰ πᾶν, καὶ τὸ συνεχὲς δὲ τῶν σωμάτων καὶ τὸ ὑγρὸν, καὶ τὸ μὴ οἷόν τε ἄνευ νοῦ ἕκαστα καὶ ψυχῆς, ἣν ἀδύνατον ἐξ ἀτόμων εἶναι, ἄλλην τε φύσιν παρὰ τὰς ἀτόμους ἐκ τῶν ἀτόμων δημιουργεῖν, οὐχ οἷόν τε· ἐπεὶ καὶ οὐδεὶς δημιουργὸς ποιήσει τι ἐξ *οὐχ ὕλης συνεχοῦς*. Καὶ μυρία ἂν λέγοιτο πρὸς ταύτην τὴν ὑπόθεσιν καὶ εἴρηται, διὸ ἐνδιατρίβειν περιττὸν ἐν τούτοις.

cum liceat materiæ, siquidem sit non qualis, imprimere qualitatem, atque formam per totam extendere. Postremo qua ratione fieri possit, ut in quolibet omnia sint, profecto non video. Qui autem infinitum materiæ loco ponit, quid hoc ipsum sit, debet exponere. Ac si ita infinitum est, ut id pertransire quis nequeat, meminisse oportet, non posse ejusmodi quicquam in rebus existere, neque si ipsum per se et in se infinitum sit, neque si in alia sit natura quasi cuiquam corpori accidens. Profecto neque ipsum in se immensum, quoniam pars quoque ejus necessario foret immensa: neque infinitum accidens alteri, quoniam illud, cui accidit, suapte natura infinitum minime foret, neque simplex, et profecto neque materia: sed neque atomi etiam materiæ ordinem sortientur, quæ quidem nihil sunt omnino. Omne enim corpus est per omnia divisibile. Refellitur quoque idem ex ipsa corporum continuitate atque humore. Rursus ex eo, *quod absque mente et* anima singula esse non possint, quam ex atomis componi natura non patitur. Item quia nulla prorsus natura præter atomos adinventa potest quicquam ex atomis fabricare: quandoquidem nullus artifex ex materia non continua conficere quicquam valet. Quam plurima præterea adversus opinionem hanc dici possent dictaque sunt: quapropter supervacuum est in his diutius immorari.

Quid non sit, quidve sit materia, i. e. quod nullas habeat formas, et quomodo ad formas se habeat.

Η'. Τίς οὖν ἡ μία αὕτη καὶ συνεχὴς καὶ ἄποιος λεγομένη; καὶ ὅτι μὲν μὴ σῶμα εἴπερ ἄποιος, δῆλον· ἢ ποιότητα ἕξει. Λέγοντες δὲ πάντων αὐτὴν εἶναι τῶν αἰσθητῶν, καὶ οὐ τινῶν μὲν ὕλην, πρὸς ἄλλα δὲ εἶδος οὖσαν· οἷον τὸν πηλὸν ὕλην τῷ κεραμεύοντι, ἁπλῶς δὲ οὐχ ὕλην· οὐ δὴ οὕτως, ἀλλὰ πρὸς πάντα λέγοντες, οὐδὲν ἂν αὐτῇ προσάπτοιμεν τῇ αὐτῆς φύσει, ὅσα ἐπὶ τοῖς αἰσθητοῖς ὁρᾶται. Εἰ δὴ τοῦτο, πρὸς ταῖς ἄλλαις ποιότησιν, οἷον χρώμασι καὶ θερμότησι καὶ ψυχρότησιν, *οὐδὲ τὸ κοῦφον, οὐδὲ τὸ βάρος*, οὐ πυκνὸν, οὐχ ἀραιὸν, ἀλλ' οὐδὲ *σχῆμα*· οὐ τοίνυν οὐδὲ μέγεθος· ἄλλο γὰρ τὸ μεγέθει, ἄλλο τὸ μεμεγεθυσμένῳ εἶναι, ἄλλο τὸ σχήματι, ἄλλο τὸ ἐσχηματισμένῳ. Δεῖ δὲ αὐτὴν μὴ σύνθετον εἶναι, ἀλλὰ ἁπλοῦν καὶ ἕν τι τῇ αὐτῆς φύσει· οὕτω γὰρ πάντων ἔρημος. Καὶ ὁ μορφὴν διδοὺς δώσει καὶ μορφὴν ἄλλην οὖσαν παρ' αὐτὴν, καὶ μέγεθος, καὶ πάντα ἐκ τῶν ὄντων οἷον προσφέρων· ἢ δουλεύσει τῷ μεγέθει αὐτῆς, καὶ ποιήσει οὐχ ἡλίκον θέλει, ἀλλ' ὅσον ἡ ὕλη βούλεται. Τὸ δὲ συντροχάζειν τὴν βούλησιν τῷ *μεγέθει αὐτῆς πλασματῶδες*. Εἰ δὲ καὶ πρότερον τῆς ὕλης τὸ ποιοῦν, ταύτῃ ἔσται ἡ ὕλη, ᾗ πάντως τὸ ποιοῦν θέλει, καὶ εὐάγωγος εἰς ἅπαντα, καὶ εἰς μέγεθος τοίνυν. Μέγεθός τε εἰ ἔχοι, ἀνάγκη καὶ σχῆμα ἔχειν· ὥστε ἔτι μᾶλλον δύσεργος ἔσται. Ἔπεισι τοίνυν τὸ εἶδος αὐτῇ, πάντα ἐπ' αὐτῇ φέρον· τὸ δὲ εἶδος πᾶν καὶ μέγεθος ἔχει, καὶ ὁπόσον ἂν ᾖ, μετὰ τοῦ λόγου, καὶ ὑπὸ τούτου· διὸ καὶ ἐπὶ τῶν γενῶν ἑκάστων μετὰ τοῦ εἴδους καὶ τὸ ποσὸν ὥρισται. Ἄλλο γὰρ ἀνθρώπου, καὶ ἄλλο ὄρνιθος· καὶ ὄρνιθος *τοιουτουὶ θαυμαστότερον τὸ ποσὸν τῇ ὕλῃ ἄλλο ἐπάγειν* τοῦ ποιὸν αὐτῇ προστιθέναι. Οὐδὲ τὸ μὲν ποιὸν λόγος, τὸ δὲ ποσὸν οὐκ εἶδος, καὶ μέτρον καὶ ἀριθμὸς ὄν.

VIII. Quænam igitur est hæc, quæ una continua qualitatis expers esse dicitur? Principio hanc non esse corpus, si modo qualitatis est expers, est manifestum: alioquin *qualitatem est habitura. Cum vero dicamus hanc ipsam* omnium sensibilium esse materiam, non autem quorundam quidem materiam esse, quorundam vero speciem: ceu lutum solemus dicere penes figulum quidem materiam esse, simpliciter autem non esse materiam. Cum, inquam, non ita de ipsa mundi materia distinguamus, sed ad omnia simpliciter referamus: nihil prorsus eorum, quæ in ipso sensibilium genere percipiuntur, ipsi secundum naturam suam attribuemus. Si ita est præter alias qualitates, velut colores, calorem, frigus, neque etiam levitatem neque gravitatem, neque densitatem neque raritatem, neque figuram materiæ debemus ascribere: igitur neque etiam magnitudinem. Aliud namque est ipsa magnitudo, *aliud vero magnum. Rursus aliud figura, aliud figuratum.* Oportet vero ipsam nihil esse compositum, sed simplex et unum quiddam suapte natura. Nam ita demum omnium erit vacua. Et qui ei traditurus est formam, tradet eam velut aliud quiddam existens præter materiam. Magnitudinem quoque et omnia ex his quæ sunt, velut offerens et afferens largietur: alioquin materiæ ipsius magnitudini serviet opusque faciet, non quantum ipse decernit, sed quantum ipsa materia capit. Quod autem nonnulli ferunt, artificis voluntatem cum ipsa materiæ magnitudine congredi, videtur esse figmentum. Si autem efficiens causa materiam antecedit, sic prorsus materia se habebit, ut vult efficiens, ductuque ad omnia facilis, igitur et ad magnitudinem. *Sin autem habeat magnitudinem*, habebit quoque figuram: quapropter difficilius etiam elaborari poterit ab artifice. Ingreditur igitur materiam species omnia secum afferens: species vero omnis continet magnitudinem, et omnino quantitatis modum una cum ratione atque sub ratione. Idcirco in singulis rerum generibus *quantitas una* cum specie designatur. Alia namque præscripta est hominis magnitudo, avis alia: profecto absurdum foret aliud esse certæ avis propriam quantitatem adducere, quam ejusdem propriam imprimere qualitatem. Neque enim dicendum est, qualitatem quidem esse rationem quandam, quantitatem vero non esse speciem, cum mensura quædam numerusque existat.

Quod materia nullam habeat quantitatem.

Θ'. Πῶς οὖν τις λήψεταί τι τῶν ὄντων, ὃ μὴ μέγεθος ἔχει; ἢ πᾶν, ὅπερ μὴ ταὐτὸν τῷ ποσῷ. Οὐ γὰρ δὴ τὸ ὂν καὶ τὸ ποσὸν ταὐτόν· πολλὰ δὲ καὶ ἄλλα ἕτερα τοῦ ποσοῦ· ὅλως δὲ πᾶσαν ἀσώματον φύσιν ἄποσον θετέον· ἀσώματος δὲ καὶ ἡ ὕλη· ἐπεὶ καὶ ἡ ποσότης αὐτὴ οὐ ποσόν, ἀλλὰ τὸ μετασχὸν αὐτῆς· ὥστε καὶ ἐκ τούτου δῆλον, ὅτι εἶδος ἡ ποσότης. Ὡς οὖν ἐγένετό τι λευκὸν παρουσίᾳ λευκότητος, τὸ δὲ πεποιηκὸς τὸ λευκὸν χρῶμα ἐν ζώῳ, καὶ τὰ ἄλλα δὲ χρώματα ποικίλα, οὐκ ἦν ποικίλον χρῶμα, ἀλλὰ ποικίλος, εἰ βούλει, λόγος· οὕτω καὶ τὸ ποιοῦν τὸ τηλικόνδε οὐ τηλικόνδε, ἀλλ' αὐτό τι πηλίκον, ἡ πηλικότης, ἢ λόγος, τὸ ποιοῦν. Προσελθοῦσα οὖν ἡ πηλικότης ἐξελίττει εἰς μέγεθος τὴν ὕλην; οὐδαμῶς. Οὐδὲ γὰρ ἐν ὀλίγῳ συνεσπείρατο, ἀλλ' ἔδωκε μέγεθος τὸ οὐ πρότερον ὄν, ὥσπερ καὶ ποιότητα τὴν οὐ πρότερον οὖσαν.

IX. Verum quanam ratione rem aliquam quis apprehendet, quae nullam prorsus habeat magnitudinem? Fortasse vero quodcunque non idem est, quod quantum. Non enim idem est ens et quantum: nam et alia praeter quantum multa sunt. Omnino autem incorpoream naturam omnem ponere debemus a quantitate remotam: incorporea vero et materia est: quin etiam ipsa quantitas non est quanta. Quantum enim est, quod quantitatis est particeps: quapropter ex hoc quoque manifestum est, quantitatem speciem quandam esse. Quemadmodum igitur albedinis praesentia fit aliquid album: quod autem albedinem facit in animali coloresque varios, non est color varius, sed varia quaedam ratio: sic, quod facit quantum, non est quantum aliquid, sed quantum ipsum, vel quantitas ipsa, vel ratio quantitatis effectrix. Accedens ipsa igitur quantitas in materiam nunquid materiam in amplitudinem explicat et extendit? Nullo modo. Neque enim in angustum coacta fuerat: imo vero magnitudinem, quae prius non erat, affert, sicut et qualitatem, quae ante non erat, adducit.

Utrum, et quomodo cogitari materia possit, cum careat quantitate et omni forma.

Ι'. Τί οὖν νοήσω ἀμέγεθες ἐν ὕλῃ; τί δὲ νοήσεις ἄποιον ὁπωσοῦν; καὶ τίς ἡ νόησις καὶ τῆς διανοίας ἡ ἐπιβολή; ἢ ἀοριστία. Εἰ γὰρ τῷ ὁμοίῳ τὸ ὅμοιον, καὶ τῷ ἀορίστῳ τὸ ἀόριστον, λόγος μὲν οὖν γένοιτο ἂν περὶ τοῦ ἀορίστου ὡρισμένος· ἡ δὲ πρὸς αὐτὸ ἐπιβολὴ ἀόριστος. Εἰ δ' ἕκαστον λόγῳ καὶ νοήσει γιγνώσκεται, ἐνταῦθα δὲ ὁ μὲν λόγος λέγει, ἃ δεῖ λέγειν περὶ αὐτῆς, ἡ δὲ βουλομένη εἶναι νόησις οὐ νόησις, ἀλλ' οἷον ἄνοια, μᾶλλον νόθον ἂν εἴη τὸ φάντασμα αὐτῆς, καὶ οὐ γνήσιον, ἐκ θατέρου οὐκ ἀληθοῦς, καὶ μετὰ τοῦ ἑτέρου λόγου συγκείμενον. Καὶ τάχα εἰς τοῦτο βλέπων ὁ Πλάτων νόθῳ λογισμῷ εἶπε ληπτὴν εἶναι. Τίς οὖν ἡ ἀοριστία τῆς ψυχῆς; ἆρα παντελὴς ἄγνοια ὡς ἀπουσία; ἢ ἐν καταφάσει τινὶ τὸ ἀόριστον, καὶ οἷον ὀφθαλμῷ τὸ σκότος, ὕλη ὂν παντὸς ἀοράτου χρώματος, οὕτως οὖν καὶ ἡ ψυχὴ ἀφελοῦσα ὅσα ἐπὶ τοῖς αἰσθητοῖς οἷον φῶς, τὸ λοιπὸν οὐκέτι ἔχουσα ὁρίσαι, ὁμοιοῦται τῇ ὄψει τῇ ἐν σκότῳ, ταὐτόν πως γιγνομένη τότε τῷ, ὃ οἷον ὁρᾷ. Ἆρ' οὖν ὁρᾷ; ἢ οὕτως ὡς ἀσχημοσύνην καὶ ὡς ἄχροιαν, καὶ ὡς ἀλαμπές, καὶ προσέτι δὲ ὡς οὐκ ἔχον μέγεθος· εἰ δὲ μή, εἰδοποιήσει ἤδη. Ὅταν οὖν μηδὲν νοῇ, οὐ ταὐτὸ τοῦτο περὶ ψυχὴν πάθος; ἢ οὔ; ἀλλ' ὅταν μὲν μηδέν, λέγει μηδέν, μᾶλλον δὲ πάσχει οὐδέν· ὅταν δὲ τὴν ὕλην, οὕτω πάσχει πάθος, οἷον τύπον τοῦ ἀμόρφου· ἐπεὶ καὶ ὅταν τὰ μεμορφωμένα καὶ τὰ μεμεγεθυσμένα νοῇ, ὡς σύνθετα νοεῖ· ὡς γὰρ κεχωρισμένα, καὶ ὅλως πεποιωμένα. Τὸ ὅλον οὖν νοεῖ καὶ τὸ συνάμφω, καὶ ἐναργὴς μὲν ἡ νόησις, ἢ ἡ αἴσθησις τῶν ἐπόντων· ἀμυδρὰ δὲ ἡ τοῦ ὑποκειμένου τοῦ ἀμόρφου· οὐ γὰρ εἶδος. Ὃ οὖν ἐν τῷ ὅλῳ καὶ συνθέτῳ λαμβάνει μετὰ τῶν ἐπόντων, ἀναλύσασα ἐκεῖνα καὶ χωρίσασα, ὃ καταλείπει ὁ λόγος, τοῦτο νοεῖ ἀμυδρῶς ἀμυδρὸν καὶ σκοτεινῶς σκοτεινόν, καὶ νοεῖ οὐ νοοῦσα. Καὶ ἐπειδὴ οὐκ ἔμεινεν οὐδ' αὐτὴ ἡ ὕλη ἄμορφος, ἀλλ' ἐν τοῖς πράγμασίν ἐστι μεμορφωμένη, καὶ ἡ ψυχὴ εὐ-

X. Quid ergo intelligam ipsum expers magnitudinis in materia? Quid autem intelliges quoquo modo informe? Et quaenam intellectio quaeve cogitationis intuitus? Fortasse indefinitas ipsa. Si enim simile simili quodam attingitur, ergo et ipsa indefinitate indefinitum quoque percipitur. Ratio quidem circa indefinitum esse definita potest: intuitus autem in ipsum indefinitus evadit. At si quodlibet ratione intelligentiaque cognoscitur, hic autem ratio quidem dicit de ipsa [quaecunque dicit], quae debet dicere, quae vero intelligentia esse studet, nequaquam intelligentia est, sed velut amentia quaedam intelligentiae: profecto imaginatio circa materiam non legitima est, sed spuria, partim ex altera non vera, partim cum altera ratione composita. Ac forsan hoc Plato spectans ait, materiam adulterina percipi ratione. Quaenam igitur ipsa animae indefinitas est? Numquid inscitia integra velut absentia? Fortasse potius in [quadam negatione cum] affirmatione quadam intuitum consistit. Sicut oculo obscuritas est tenebrarum, quae quidem omnis invisibilis coloris materia est: sic igitur et anima auferens quodcunque est in genere sensibili quasi lumen, neque valens, quod residuum est, terminare, similis evadit oculo in tenebris constituto, idem quodammodo tunc effecta ei, quod quasi videt. An igitur videt? Fortasse tanquam aliquid, quod sit figurae, coloris, luminis expers: praeterea nullam magnitudinem habens, alioquin in speciem jam redigeret. Quando igitur nihil prorsus intelligit, nonne eadem illa est, atque haec, animae passio? Nequaquam fortasse. Sed quando nihil intelligit, dicit nihil, imo vero nihil patitur. Quando vero materiam cogitat, talem patitur passionem, qualem, si quandam informis rei reciperet formam. Siquidem et quando, quae formata sunt, quaeve magnitudinem habent, intelligit, tanquam compositum quiddam cogitat. Quasi enim distincta [vel coloribus distincta] et qualitatibus insignita considerat. Totum ergo quiddam intelligit ac simul ambo, atque perspicua quidem intellectio sive sensus fit inhaerentium. Umbratilis vero fit informis subjecti suspicio: neque enim species est. Quando igitur in toto atque composito subjectum una cum his quae insunt, accipit, si resolvat et separet consequentia, tunc residuum, quod relinquit ratio, velut tenue quiddam tenuiter suspicatur, obscureque obscurum, et intelligit non intelligens. Et quoniam nec ipsa materia informis permanet, sed in rebus formatur assidue,

θέως ἐπιβάλλει τὸ εἶδος τῶν πραγμάτων αὐτή, ἀλγοῦσα τῇ ἀοριστίᾳ, οἷον φόβῳ τοῦ ἔξω τῶν ὄντων εἶναι, καὶ οὐκ ἀνεχομένη ἐν τῷ μὴ ὄντι ἐπιπολὺ ἑστάναι.

Quod materia non sit quantum aliquid.

ΙΑ'. Καὶ τί δεῖ τινος ἄλλου πρὸς σύστασιν σωμάτων μετὰ μέγεθος καὶ ποιότητας ἁπάσας; ἢ τοῦ ὑποδεξομένου πάντα; οὔκουν ὁ ὄγκος· εἰ δὲ ὄγκος, μέγεθος δή που· εἰ δὲ ἀμέγεθες, οὐδ' ὅπου δέξεται ἔχει· ἀμέγεθες δὲ ὄν, τί ἂν συμβάλλοιτο, εἰ μήτε εἰς εἶδος καὶ τὸ ποιὸν, μήτε εἰς τὴν διάστασιν καὶ τὸ μέγεθος; ὃ δὴ παρὰ τῆς ὕλης δοκεῖ, ὅπου ἂν ᾖ, ἔρχεσθαι εἰς τὰ σώματα. Ὅλως δὲ, ὥσπερ πράξεις καὶ ποιήσεις, καὶ χρόνοι καὶ κινήσεις ὑποβολὴν ὕλης ἐν αὐτοῖς οὐκ ἔχοντα, ἔστιν ἐν τοῖς οὖσιν· οὕτως οὐδὲ τὰ σώματα τὰ πρῶτα ἀνάγκη ὕλην ἔχειν, ἀλλ' ὅλα ἕκαστα εἶναι, ἅ ἐστι, ποικιλώτερα ὄντα μίξει τοῖς πλειόνων εἰδῶν τὴν σύστασιν ἔχοντα· ὥστε τοῦτο τὸ ἀμέγεθες ὕλης ὄνομα κενὸν εἶναι. Πρῶτον μὲν οὖν οὐκ ἀνάγκη τὸ ὑποδεχόμενον ὁτιοῦν ὄγκον εἶναι, ἐὰν μὴ μέγεθος ἤδη αὐτῇ παρῇ· ἐπεὶ καὶ ἡ ψυχὴ πάντα δεχομένη ὁμοῦ ἔχει πάντα· εἰ δὲ μέγεθος αὐτῇ συμβεβηκὸς ἦν, ἔσχεν ἂν ἕκαστα ἐν μεγέθει. Ἡ δὲ ὕλη διὰ τοῦτο ἐν διαστήματι, ἃ δέχεται, λαμβάνει, ὅτι διαστήματός ἐστι δεκτική· ὥσπερ καὶ τὰ ζῷα καὶ τὰ φυτὰ μετὰ τοῦ μεγεθύνεσθαι, καὶ τὸ ποιὸν ἀντιπαραγόμενον ἴσχει τῷ ποσῷ, καὶ συστελλομένου, συσταλείη ἄν. Εἰ δ' ὅτι προϋπάρχει τι μέγεθος ἐν τοῖς τοιούτοις ὑποκείμενον τῷ μορφοῦντι, κἀκεῖ ἀπαιτεῖ, οὐκ ὀρθῶς. Ἐνταῦθα γὰρ ἡ ὕλη, οὐχ ἡ ἁπλῶς, ἀλλ' ἡ τούτου· τὴν δ' ἁπλῶς δεῖ καὶ τοῦτο παρ' ἄλλου ἔχειν. Οὐ τοίνυν ὄγκον δεῖ εἶναι τὸν δεξόμενον τὸ εἶδος, ἀλλ', ὁμοῦ τῷ γενέσθαι ὄγκον, καὶ τὴν ἄλλην ποιότητα δέχεσθαι· καὶ φάντασμα μὲν ἔχειν ὄγκου, ὡς ἐπιτηδειότητα τούτου, ὥσπερ πρώτην· κενὸν δὲ ὄγκον, ὅθεν τινὲς ταὐτὸν τῷ κενῷ τὴν ὕλην εἰρήκασι. Φάντασμα δὲ ὄγκου λέγω, ὅτι καὶ ἡ ψυχὴ, οὐδὲν ἔχουσα ὁρίσαι, ὅταν τῇ ὕλῃ προσομιλῇ, εἰς ἀοριστίαν χεῖ ἑαυτὴν, οὔτε περιγράφουσα, οὔτε εἰς σημεῖον ἰέναι δυναμένη· ἤδη γὰρ ὁρίζοι. Διὸ οὔτε μέγα λεκτέον χωρὶς, οὔτε σμικρὸν αὖ, ἀλλὰ μέγα καὶ σμικρόν· καὶ οὕτως ὄγκος, καὶ ἀμέγεθες οὕτως, ὅτι ὕλη ὄγκου· καὶ συστελλόμενον ἐκ τοῦ μεγάλου ἐπὶ τὸ σμικρὸν, καὶ ἐκ τοῦ σμικροῦ ἐπὶ τὸ μέγα, οἷον ὄγκον διατρέχει· καὶ ἡ ἀοριστία αὐτῆς ὁ τοιοῦτος ὄγκος, ὑποδοχὴ μεγέθους ἐν αὐτῇ· ἐν δὲ φαντασίᾳ ἐκείνως. Καὶ γὰρ τῶν μὲν ἄλλων ἀμεγέθων ὅσα εἴδη, ὥρισται ἕκαστον, ὥστε μηδαμῇ ἔννοια ὄγκου· ἡ δὲ ἀόριστος οὖσα, καὶ μή πω στᾶσα παρ' αὐτῆς, ἐπὶ πᾶν εἶδος φερομένη δεῦρο κἀκεῖσε, καὶ πάντη εὐάγωγος οὖσα, πολλή τε γίγνεται τῇ ἐπὶ πάντα ἀγωγῇ καὶ γενέσει καὶ ἔσχε τοῦτον τὸν τρόπον φύσιν ὄγκου.

Susceptio formarum non fit ratione quantitatis, sed ratione materiæ differentis a quantitate.

ΙΒ'. Συμβάλλεται οὖν τὰ μέγιστα τοῖς σώμασι· τά τε γὰρ εἴδη τῶν σωμάτων ἐν μεγέθεσι. Περὶ δὲ μέ

Ideoque et anima repente per rerum adhibet speciem, indefinitatem ægre ferens, perinde ac si metuat ne extra rerum ordinem corruat, neque toleret in eo, quod non est, diutius immorari.

1. Numquid ens est alterum, quam essentia, atque ens quidem etiam seclusis aliis dicitur? Essentia vero est ens una cum aliis simul adjunctis, videlicet motu, statu, identitate, alteritate: atque haec essentiae sunt elementa. Totum igitur est essentia. Quodlibet autem illorum aliud quidem ens, aliud vero motus, aliaque similiter. Motus igitur ens est per accidens: sed numquid etiam per accidens est essentia? an forte essentiam complens? quin potius et ipse est essentia, atque omnia, quae in divinis sunt, essentia sunt. Cur non igitur et apud nos ita se res habet? Fortasse sic est ibi, quoniam cuncta sunt unum: hic autem, cum simulacra discreta jam sint, hoc quidem aliud, illud vero est aliud: quemadmodum in semine quidem simul omnia sunt et quodlibet omnia; neque seorsum manus, caputve seorsum: in effectu vero inter se discernuntur: non enim vera sunt, sed simulacra. Qualitates igitur ibi num esse dicemus essentias? quae quidem circa essentiam vel circa ens differentiae sunt. Differentias, inquam, esse dicemus efficientes, ut essentiae inter se alterae sint, atque omnino sint essentiae? Fortasse id dictu non est absurdum: sed absurde id diceretur de his, quae apud nos sunt, qualitatibus, quarum aliae quidem essentiarum differentiae sunt, ut bipes et quadrupes, aliae vero nequaquam sunt differentiae, et ob hoc ipsum solum qualitates esse dicuntur: quanquam idem tum differentia videri potest, ubi complet essentiam, tum minime differentia in alio essentiam ibi non implens, [sed accidens]: quemadmodum albedo in cygno vel cerussa naturam complet, in homine autem duntaxat est accidens. Aut albedo quatenus in ratione est, non qualitas est, sed implens; quatenus vero in superficie, qualitas. Fortasse vero, quod quale dicitur, distinguendum est, adeo ut aliud quidem essentiale sit, existens videlicet proprietas quaedam essentiae: aliud autem sit solum quale, secundum quod essentia qualis denominatur: ubi hoc ipsum quale diversitatem permutationemque essentiae non inducat, neque dimoveat ab essentia: sed cum essentia jam sit, plenaque sit, dispositionem quandam extrinsecus afferat, atque post ipsam rei essentiam additamenti nonnihil adhibeat, sive circa animam id, sive circa corpus efficiatur. Proinde, ut dixerit aliquis, albedo visibilis, [licet in cerussa compleat ipsam,] in cygno non complet essentiam: esse namque cygnus potest minime albus. At vero in cerussa albedo complere essentiam dicitur: similiterque calor in igne. Quodsi quis praeterea dixerit igneitatem (ut ita dixerim) essentiam esse, et de cerussa similiter: veruntamen ignis hujus visibilis igneitas est caliditas essentiam complens, similiterque in cerussa est albedo. Eaedem itaque res complebunt essentiam, neque qualitates erunt; rursusque non complebunt, et qualitates erunt. Etsi absurdum est, ubi compleant quidem esse aliud dicere, ubi vero non compleant, insuper aliud, cum tamen eadem sit natura. Forsan vero dicendum est, rationes quidem ipsas, quae haec efficiunt, totas essentiales exsistere: hos autem effectus illa, quae in rationibus ipsis substantialia sunt, non jam ut substantialia, sed ut qualia reportare: atque hinc fieri, ut semper in eo, quod quid est, assignando peccemus in ipsa inquisitione substantiae praevaricantes atque labentes in qualitatem. Neque enim esse censendum

φερομένους. Οὐ γὰρ εἶναι τὸ πῦρ ὃ λέγομεν, εἰς τὸ ποιὸν ἀφορῶντες, ἀλλὰ τὸ μὲν εἶναι οὐσίαν· ἃ δὲ νῦν βλέπομεν, εἰς ἃ καὶ ἀφορῶντες λέγομεν, ἀπάγειν ἡμᾶς ἀπὸ τοῦ τί, καὶ ὁρίζεσθαι τὸ ποιόν, καὶ ἐπὶ τῶν αἰσθητῶν, εὐλόγως· οὐδὲν γὰρ αὐτῶν οὐσίαν εἶναι, ἀλλ' αὐτῆς πάθη. Ὅθεν κἀκεῖνο, πῶς οὐκ ἐξ οὐσιῶν οὐσία; ἐλέγετο μὲν οὖν, ὅτι οὐ δεῖ τὸ αὐτὸ τὸ γιγνόμενον εἶναι τοῖς ἐξ ὧν· νῦν δὲ λέγειν δεῖ, ὅτι οὐδὲ τὸ γενόμενον οὐσία. Ἀλλὰ πῶς ἐκεῖ ἣν ἐλέγομεν οὐσίαν, οὐκ ἐξ οὐσίας λέγοντες; τὴν γὰρ οὐσίαν φήσομεν ἐκεῖ κυριώτερον καὶ ἀμιγέστερον ἔχουσαν τὸ ὂν εἶναι οὐσίαν, ὡς ἐν διαφοραῖς ὄντως, μᾶλλον δὲ μετὰ προσθήκης ἐνεργειῶν, λεγομένην οὐσίαν, τελείωσιν μὲν δοκοῦσαν εἶναι ἐκείνου, τάχα δ' ἐνδεεστέραν τῇ προσθήκῃ, καὶ τῷ οὐχ ἁπλῷ ἀλλ' ἤδη ἀφισταμένην τούτου.

est ignem hoc ipsum quod appellamus ignem, quando aspicimus qualitatem, imo vero ipsum essentiam esse. Quæ autem nunc aspicimus aspicientesque pronuntiamus, nos ab eo, quod quid est, procul abducere, et quale quiddam recte in genere sensibili designari: nihil enim horum essentiam esse, sed essentiæ passiones. Unde et illud quæritur, quomodo ex non essentiis conficiatur essentia? Diximus itaque non oportere, quod fit, idem esse atque illa ex quibus conficitur: nunc autem dicendum est, neque etiam id, quod fit, essentiam esse. At quomodo illam, quam illic essentiam nominavimus, ex non essentia dicimus constitutam? Essentiam dicemus illic principalius puriusque ens habentem esse essentiam, velut in entis ipsius differentiis constitutam: potius autem cum actionum additamento, essentiam nominatam esse censebimus: quæ quidem entis perfectio videatur. Forsan vero ex adjunctione facta judicanda sit indigentior: quippe cum a simplicitate degeneret, et ab ipso jam ente declinet.

*Quid sit qualitas, et utrum ad rationem essentialem ullo modo pertineat.*

Β'. Ἀλλὰ περὶ τῆς ποιότητος σκεπτέον τί ὅλως. Τάχα γὰρ γνωσθὲν ὅ τι ἐστὶ μᾶλλον παύσει τὰς ἀπορίας. Πρῶτον οὖν ἐκεῖνο ζητητέον, εἰ τὸ αὐτὸ θετέον, ὁτὲ μὲν ποιὸν μόνον, ὁτὲ δὲ συμπληροῦν οὐσίαν, οὐ δυσχεράναντας ποιὸν συμπληρωτικὸν οὐσίας εἶναι, ἀλλὰ ποιᾶς μᾶλλον οὐσίας. Δεῖ τοίνυν ἐπὶ τῆς ποιᾶς οὐσίας, τὴν οὐσίαν πρὸ τοῦ ποιὰν εἶναι, καὶ τὸ τί ἐστι. Τί οὖν ἐπὶ τοῦ πυρὸς πρὸ τῆς ποιᾶς οὐσίας ἡ οὐσία; ἆρα τὸ σῶμα· τὸ γένος τοίνυν οὐσία ἔσται, τὸ σῶμα, τὸ δὲ πῦρ, σῶμα θερμόν· καὶ οὐκ οὐσία τὸ ὅλον, ἀλλ' οὕτω τὸ θερμὸν ἐν αὐτῷ, ὡς καὶ ἐν σοὶ τὸ σιμόν· ἀφαιρεθείσης τοίνυν τῆς θερμότητος, καὶ τοῦ λαμπροῦ καὶ τοῦ κούφου, ἃ δὴ δοκεῖ ποιὰ εἶναι, καὶ ἀντιτυπίας, τὸ τριχῇ διαστατὸν καταλείπεται, καὶ ἡ ὕλη οὐσία. Ἀλλ' οὐ δοκεῖ· τὸ γὰρ εἶδος μᾶλλον οὐσία. Ἀλλὰ τὸ εἶδος ποιότης· ἢ οὐ ποιότης, ἀλλὰ λόγος τὸ εἶδος. Τὸ οὖν ἐκ τοῦ λόγου καὶ τοῦ ὑποκειμένου, τί ἐστιν; οὐ γὰρ τὸ ὁρώμενον καὶ τὸ καῖον, τοῦτο δὲ ποιόν· εἰ μή τις λέγοι τὸ καίειν ἐνέργειαν ἐκ τοῦ λόγου, καὶ τὸ θερμαίνειν, καὶ τὸ λευκαίνειν τοίνυν καὶ τὰ ἄλλα ποιήσεις· ὥστε τὴν ποιότητα, οὐχ ἕξομεν ὅπου καταλείψομεν. Ἢ ταύτας μὲν οὐ λεκτέον ποιότητας, ὅσαι λέγονται συμπληροῦν οὐσίας, εἴπερ ἐνέργειαι αὐτῶν ἀπὸ τῶν λόγων καὶ τῶν δυνάμεων τῶν οὐσιωδῶν ἰοῦσαι· ἃ δέ ἐστιν ἔξωθεν πάσης οὐσίας, οὐ πῇ μὲν ποιότητες, ἄλλοις δὲ οὐ ποιότητες φανταζόμεναι, τὸ δὲ περιττὸν μετὰ τὴν οὐσίαν ἔχουσαι· οἷον καὶ ἀρεταὶ καὶ κακίαι, καὶ αἴσχη, καὶ κάλλη, καὶ ὑγίειαι, καὶ οὕτως ἐσχηματίσθαι. Καὶ τρίγωνον μὲν καὶ τετράγωνον, καθ' αὑτὸ οὐ ποιόν· τὸ δὲ τετριγωνίσθαι, ᾗ μεμόρφωται, ποιὸν λεκτέον, καὶ οὐ τὴν τριγωνότητα, ἀλλὰ τὴν μόρφωσιν, καὶ τὰς τέχνας δὲ καὶ τὰς ἐπιτηδειότητας· ὥστε εἶναι τὴν ποιότητα διάθεσίν τινα ἐπὶ ταῖς οὐσίαις ἤδη οὔσαις, εἴτε ἐπακτὴν εἴτε ἐξ ἀρχῆς συνοῦσαν· ἢ εἰ μὴ συνῆν, οὐδὲν ἔλαττον εἶχεν ἡ οὐσία· ταύτην δὲ καὶ εὐκίνητον καὶ δυσκίνητον εἶναι· ὡς διττὸν εἶναι εἶδος, τὸ μὲν εὐκίνητον, τὸ δὲ ἔμμονον αὐτῆς.

II. Verum de qualitate quid sit omnino considerandum est. Fortasse enim quando, quid sit, cognoverimus, dubitationes ejusmodi propellemus. Principio perquirendum est, num existimandum sit aliquid idem alias quidem esse solummodo qualitatem, alias autem essentiam quoque complere, adeo ut nequaquam durius contendamus ad id convincendum, quo qualitas simpliciter essentiam compleat, sed essentiam potius talem. Oportet igitur in tali quadam essentia essentiam esse, et quod quid est, antequam sit talis. Quid ergo? num in igne ante talem essentiam simpliciter est essentia? Fortasse hinc sequitur, ut sit corpus. Ipsum itaque genus quod est corpus, essentia erit: ignis autem corpus erit calidum, neque totum id erit essentia, sed ita calor erit in ipso, quemadmodum in te figura sima. Quamobrem, si auferatur calor et splendor et levitas, quæ videntur esse qualia, et tollatur oppositio, relinquaturque quod dicitur trina dimensione porrectum, atque materia, id ipsum quod residuum est, erit essentia. At id verisimile non videtur. Species enim magis essentia est. Sed numquid species qualitas est? Fortasse non qualitas, sed ratio, species ipsa est. Quod igitur ex ratione subjectoque constat, quidnam est? Non enim id, quod visibile occurrit atque urens; id autem quale est: nisi quis forte dicat combustionem ipsam esse actum ex ratione manantem: atque ita et calefacere et albefacere et ejusdem generis alia esse actiones affirmet. Itaque, ubi collocemus qualitatem, nequaquam inveniemus. Forsan vero eas non debemus dicere qualitates, quæcumque essentias complere dicuntur; siquidem actiones vel actus sunt earum a rationibus essentialibusque potentiis orientes: sed eas duntaxat, quæ extra totam essentiam sunt. Quæ non alicubi quidem qualitates, alicubi vero non qualitates apparent, atque supervacuum aliquid post essentiam videntur afferre: veluti virtutes et vitia, pulchritudo atque turpitudo, et valitudo dispositioque figuræ, [vel situs]. Triangulus vero atque quadrangulus secundum se ipsum non est quale, sed hoc ipsum, quod est triangulare fieri, quatenus ita formatur, est quale dicendum: neque triangulitatem, sed formationem totius, qualitatem possumus appellare: possumus et artes et aptitudines studiorum. Itaque qualitas erit dispositio quædam in essentiis, quæ jam sunt, sive adventitia hæc sit, sive ab initio comitans. Quæ quidem, si etiam non comitata fuisset, nihil minus habuisset essentia. Licet hanc dicere partim quidem facile mobilem, partim vero difficile, ut duplex ejus species videatur, altera quidem stabilis, altera vero mobilis.

Qualitatem manifestam esse passionem ab actione virtutis occultae: item, quod inest prorsus essentiae suae, esse ipsius actum et proprietatem specialem: quod ab essentia distat, esse qualitatem.

Γ'. Τὸ οὖν λευκὸν τὸ ἐπὶ σοὶ θετέον οὐ ποιότητα, ἀλλ' ἐνέργειαν δηλονότι ἐκ δυνάμεως τῆς τοῦ λευκαίνειν, κἀκεῖ πάσας τὰς λεγομένας ποιότητας, ἐνεργείας, τὸ ποιὸν λαβούσας παρὰ τῆς ἡμετέρας δόξης, τῷ ἰδιότητα εἶναι ἑκάστην, οἷον διοριζούσας τὰς οὐσίας πρὸς ἀλλήλας, καὶ πρὸς ἑαυτάς, ἴδιον χαρακτῆρα ἐχούσας. Τί οὖν διοίσει ποιότης ἡ ἐκεῖ; ἐνέργειαι γὰρ καὶ αὗται· ἢ ὅτι μὴ οἷον τί ἐστι δηλοῦσιν, οὐδὲ ἐναλλαγὴν τῶν ὑποκειμένων οὐδὲ χαρακτῆρα, ἀλλ' ὅσον μόνον τὴν λεγομένην ποιότητα, ἐκεῖ ἐνέργειαν οὖσαν· ὥστε, τὸ μὲν ὅταν ἰδιότητα οὐσίας ἔχῃ, δῆλον αὐτόθεν ὡς οὐ ποιόν· ὅταν δὲ χωρίσῃ ὁ λόγος τὸ ἐπ' αὐτοῖς ἴδιον, οὐκ ἐκεῖθεν ἀφελών, ἀλλὰ μᾶλλον λαβὼν καὶ γεννήσας ἄλλο, ἐγέννησε ποιὸν οἷον μέρος οὐσίας λαβών, τὸ ἐπιπολῆς φανὲν αὐτῷ. Εἰ δὲ τοῦτο, οὐδὲν κωλύει καὶ τὴν θερμότητα, τῷ σύμφυτον εἶναι τῷ πυρί, εἶδός τι εἶναι τοῦ πυρὸς καὶ ἐνέργειαν, καὶ οὐ ποιότητα αὐτοῦ, [καὶ αὖ ἄλλως ποιότητα]· μόνην δὲ ἐν ἄλλῳ ληφθεῖσαν, οὐκέτι μορφὴν οὐσίας οὖσαν, ἀλλὰ ἴχνος μόνον καὶ σκιὰν καὶ εἰκόνα, ἀπολιποῦσαν αὐτῆς τὴν οὐσίαν ἧς ἡ ἐνέργεια, ποιότητα εἶναι. Ὅσα οὖν συμβέβηκε καὶ μὴ ἐνέργειαι καὶ εἴδη οὐσιῶν, μορφάς τινας παρεχόμενα, ποιὰ ταῦτα· οἷον καὶ ἕξεις καὶ διαθέσεις ἄλλαι τῶν ὑποκειμένων λεκτέαι ποιότητες, τὰ δὲ ἀρχέτυπα αὐτῶν, ἐν οἷς πρώτως ἐστίν, ἐνεργείας ἐκείνων, καὶ οὐ γίγνεται αὐτὸ ποιότης καὶ οὐ ποιότης, ἀλλὰ τὸ ἀπηρημωμένον οὐσίας, ποιόν· τὸ δὲ σὺν ταύτῃ, οὐσίαν, ἢ εἶδος, ἢ ἐνέργειαν. Οὐδὲν γάρ ἐστι ταὐτὸν ἐν αὑτῷ καὶ ἐν ἄλλῳ, μόνον ἐκπεσὸν τοῦ εἶδος καὶ ἐνέργεια εἶναι· ὃ μέντοι μηδέποτε εἶδος ἄλλου, ἀλλὰ συμβεβηκὸς ἀεί, καθαρῶς ποιότης καὶ μόνον τοῦτο.

III. Album igitur in te apparens dicendum est non tam qualitas esse, quam actus quidam ex potentia albefaciendi procedens. Illic autem dicendum est, omnes, quae qualitates nominantur, esse actus. Qui tamen ab opinione nostra qualitatis nomen accipiunt, propterea quod quaelibet sint proprietates, quasi distinguentes essentias inter se, atque ad se ipsas proprium habentes characterem. Quonam igitur discrepat qualitas, quae illic est, a nostris? actus enim hae quoque sunt. Fortasse, quia non ostendunt, quale quid sit, neque discrepantiam subjectorum, neque characterem: sed duntaxat ipsam quae qualitas dicitur, quae quidem illic est actus. Quapropter quando proprietatem habet essentiae, inde proprie constat non esse qualitatem: quando vero ratio, quod in his proprium est, secernit, non inde auferens vel decerpens, sed magis accipiens generansque aliud procreat quale, quasi partem essentiae capiens sibi in superficie apparentem. Quod si ita est, nihil prohibet calorem igni innatum esse speciem aliquam actumque ignis, neque ignis qualitatem [et rursus aliter qualitatem]. At tunc demum qualitatem, quando in alio quodam accipitur, ubi non amplius sit essentiae forma, sed vestigium tantum et umbra atque imago, relinquens illam ipsius essentiam, cujus est actus. Quaecunque igitur accidunt, neque actus neque species essentiarum sunt, praebent autem formas duntaxat quasdam [*haec sunt qualia*], per quas subjecta qualia fiunt: velut habitus dispositionesque, sive affectiones aliae a subjectis dicendae sunt qualitates: in quarum principiis exemplaribusque actus sunt; quae in his subjectis qualitates cognominantur. Nec idem fit alicubi quidem qualitas, alicubi vero non qualitas: sed quod ab essentia desertum est, evadit qualitas. Quod autem cum essentia permanet, nimirum essentia, vel species, vel actus exsistit. Nulla enim natura eadem est, prout in suo fonte est, et prout in alio: ubi a sua origine jam destituta dignitatem speciei actusque non retinet. Veruntamen, quod nullius aliquando species est, sed accidens semper, pure jam qualitas est solumque qualitas.

# ΕΝΝΕΑΔΟΣ Β

## ΛΟΓΟΣ Ζ.

### ΠΕΡΙ ΤΗΣ ΔΙ' ΟΛΩΝ ΚΡΑΣΕΩΣ.

# ENNEADIS SECUNDÆ

## LIBER VII.

### DE PERMISTIONE PER TOTA.

(184, 185.) [333—335.]

Narratio opinionum trium de mistione, et rationes earum.

Α'. Περὶ τῆς δι' ὅλων λεγομένης τῶν σωμάτων κράσεως ἐπισκεπτέον. Ἆρα ἐνδέχεται ὅλον δι' ὅλου ὑγρὸν ὑγρῷ συμμιχθὲν ἑκάτερον δι' ἑκατέρου, ἢ θάτερον διὰ θατέρου χωρεῖν; διαφέρει γὰρ οὐδὲν ὁποτερωσοῦν εἰ γίγνοιτο. Οἱ μὲν γὰρ τῇ παραθέσει διδόντες ὡς μιγνύντες μᾶλλον ἢ κιρνάντες ἐατέοι, εἴπερ δεῖ τὴν κρᾶσιν ὁμοιομερὲς τὸ πᾶν ποιεῖν καὶ ἕκαστον μέρος τὸ σμικρότατον ἐκ τῶν κεκρᾶσθαι λεγομένων εἶναι. Οἱ μὲν οὖν τὰς ποιότητας μόνας κιρνάντες, τὴν δὲ ὕλην παρατιθέντες ἑκατέρου τοῦ σώματος καὶ ἐπ' αὐτῶν ἐπάγοντες τὰς παρ' ἑκατέρας ποιότητας, πιθανοὶ ἂν εἶεν τῷ διαβάλλειν τὴν δι' ὅλων κρᾶσιν· τῷ τε εἰς τομὰς τὰ μεγέθη συμβαίνειν τῶν ὄγκων ἰέναι, εἰ μηδὲν διάλειμμα μηδετέρῳ τῶν σωμάτων γίγνοιτο, εἰ συνεχὴς ἔσται ἡ διαίρεσις, τῇ κατὰ πᾶν τὴν διάδυσιν γίγνεσθαι θατέρῳ εἰς θάτερον. Καὶ δὴ ὅταν τὰ κραθέντα μείζω τόπον κατέχῃ ἢ θάτερον, καὶ τοσοῦτον ὅσον συνελθόντα τὸν ἑκατέρου τόπον· καίτοι εἰ δι' ὅλου ὅλον ἦν διεληλυθός, τὸν τοῦ ἑτέρου ἔδει φασὶ μένειν τὸν αὐτόν, εἰς ὃ θάτερον ἐνεβλήθη· οὗ δὲ μὴ μείζων ὁ τόπος γίγνεται, ἀέρος τινὰς ἐξόδους αἰτιῶνται, ἀνθ' ὧν εἰσέδυ θάτερον· καὶ τὸ σμικρὸν δὲ ἐν τῷ μείζονι πῶς ἂν ἐκταθὲν δι' ὅλου χωρήσειε; καὶ πολλὰ ἄλλα λέγουσιν. Οἱ δ' αὖ τὴν δι' ὅλων κρᾶσιν εἰσάγοντες τέμνεσθαι μὲν καὶ μὴ εἰς τομὰς ἀναλίσκεσθαι λέγειν ἂν δύναιντο, καὶ δι' ὅλου τῆς κράσεως γιγνομένης· ἐπεὶ καὶ τοὺς ἱδρῶτας οὐ τοῦ σώματος τομὰς ποιεῖν οὐδ' αὖ κατατετρῆσθαι φήσουσι. Καὶ γὰρ εἴ τις λέγοι, μηδὲν κωλύειν τὴν φύσιν οὕτω πεποιηκέναι τοῦ διιέναι τοὺς ἱδρῶτας χάριν, ἀλλὰ ἐπὶ τῶν τεχνητῶν, ὅταν λεπτὰ ᾖ καὶ συνεχῆ, ὁρᾶσθαι τὸ ὑγρὸν δι' ὅλου δεύοντα αὐτὰ καὶ διαρρεῖν ἐπὶ θάτερα τὸ ὑγρόν. Ἀλλὰ σωμάτων ὄντων πῶς οἷόν τε τοῦτο γίγνεσθαι, ὡς διιέναι μὴ τέμνοντα, ἐπινοῆσαι οὐ ῥᾴδιον· τέμνοντα δὲ κατὰ πᾶν ἀναιρήσει ἄλληλα δηλονότι. Τὰς δὲ αὔξας ὅταν λέγωσι μὴ γίγνεσθαι πολλαχοῦ, διδόασι τοῖς ἑτέροις ἀέρων ἐξόδους αἰτιᾶσθαι. Πρός τε τὴν τῶν τόπων αὔξην, χαλεπῶς μέν, ὅμως δὲ τί κωλύει λέγειν, συνεισφερομένου ἑκατέρου σώματος, καὶ τὸ μέγεθος μετὰ τῶν ἄλλων ποιοτήτων ἐξ ἀνάγκης τὴν αὔξην γίνεσθαι· μὴ γὰρ μηδὲ τοῦτο ἀπόλλυσθαι, ὥσπερ οὐδὲ τὰς ἄλλας ποιότητας· καὶ ὥσπερ ἐκεῖ ποιότητος ἄλλο εἶδος μικτὸν ἐξ ἀμφοῖν, οὕτω καὶ μέγεθος ἄλλο· οὗ δὴ τὸ μίγμα ποιεῖ τὸ ἐξ ἀμφοῖν μέγεθος. Ἀλλ' εἰ ἐνταῦθ' ἂν πρὸς αὐτοὺς οἱ ἕτεροι λέγοιεν, ὡς εἰ μὲν ἡ ὕλη τῇ ὕλῃ παράκειται,

I. Considerandum est de illa corporum permistione, quæ per tota corpora fieri dicitur, utrum fieri possit, ut alter liquor ita cum altero liquore commisceatur, ut totus perfundatur in totum: sive uterque per utrumque, sive alter tantum per alterum penetret. Nihil enim interest, utro id modo fiat. Principio, qui permistionem in quadam appositione collocant, quasi admisceant potius, quam permisceant, dimittendi videntur: siquidem oporteat permistionem reddere totum in singulis partibus quam simillimum, adeo ut vel minima quoque particula ex illis, quæ permista dicuntur, conficiatur. Quicumque vero qualitates solas *omnino commiscent, materias vero corporis utriusque* apponunt, atque per ipsas undequaque qualitates utriusque perducunt, forsan persuadere possent ex eo, quod reprobari forsan liceat permistionem illam, quæ per tota fieri dicitur. Item ex eo, quod alioquin contingeret, magnitudines molium in sectiones penitus pertransire, si nullum prorsus intervallum in alterutro corporum relinquatur: quandoquidem continua divisio fuerit ex eo, quod alterum toti penitus se insinuet alteri. Præterea ex eo quoque persuaderent, quod sæpe, quæ mista sunt, majorem simul, quam alterum e duobus, occupant locum, tantumque locum, quantum, si cohæserint, ab utrisque locus impletur. Atqui si totum per totum prorsus ingrederetur, aiunt oportere locum alterius eundem permanere atque prius, in quem alterum sit conjectum. Ubi autem locus duo comprehendens mista amplior non evadit, adducunt in causa exhalationes quasdam aeris, quarum vice alterum est ingressum. Denique pro sua opinione adducunt, quando minus corpus majori se inserit. Interrogant enim, quomodo fieri possit, ut minus hoc adeo extendatur, ut per totum majus esse effundat: alia præterea multa similiter in medium adducere solent. Qui autem permistionem per totum utrumque corpus inducunt, videntur posse dicere, distribui quidem corpora, neque in sectiones absumi, etiam ubi permistio per tota conficitur. Quandoquidem et sudores sectiones non inferant corpori, *neque rursus ibi aliquid perforatur. Jam vero et si quis* objecerit, nihil prohibere ita naturam instituisse, quo sudor facilius exundaret, attamen addent in artificiis [*arte factis*] quibusdam, quando tenuia continuaque sunt, videri ea sæpe per totum humore madentia instillantiaque, atque in alteram partem humorem inde transfluere. At vero cum hæc corpora sint, haud facile intellectu est, qua ratione fieri possit, ut alterum absque incisione pertranseat alterum. Sin autem per totum mutuo dividantur, procul dubio se mutuo destruunt. Deinde quando aiunt, sæpe ex duorum corporum congressione in mole non fieri augmentum, concessuri videntur aliis exhalationes aeris in causa assignare. Sed ad locorum augmentum difficile quidem, nihil tamen prohibet dicere, ubi utrumque corpus mutuo insinuatum est, magnitudinem quoque una cum ceteris qualitatibus necessario augeri. Neque enim hanc ipsam perdi, quemadmodum neque ceteras qualitates, et quemadmodum alia ibi species qualitatis provenit ex utrisque commista, sic et aliam magnitudinem, ubi profecto mistura ex utrisque conficit magnitudinem. Verum hic forsan adversum hos sic alii dicerent: si materia materiæ adjacet, molesque molli, quam

καὶ ὄγκος τῷ ὄγκῳ, ᾧ σύνεστι τὸ μέγεθος, τὸ ἡμέτερον ἂν λέγοιτο· εἰ δὲ δι' ὅλου καὶ ἡ ὕλη μετὰ τοῦ ἐπ' αὐτῇ πρώτως μεγέθους, οὕτως ἂν γένοιτο, οὐχ ὡς γραμμὴ γραμμῇ ἐφεξῆς ἂν κέοιτο, κατὰ τὰ πέρατα τοῖς σημείοις ἑαυτῶν συνάψαι, οὗ δὴ αὔξη ἂν γίγνοιτο, ἀλλ' ἐκείνως ὡς ἂν γραμμὴ γραμμῇ ἐφαρμοσθείη, ὥστε αὔξην μὴ γίγνεσθαι· τὸ δὲ ἔλαττον διὰ παντὸς τοῦ μείζονος, καὶ μεγίστου τὸ μικρότατον, καὶ ἐφ' ὧν φανερὸν ὅτι κίρναται. Ἐπὶ γὰρ τῶν ἀδήλων ἔξεστι λέγειν, μὴ εἰς πᾶν φθάνειν, ἀλλ' ἐφ' ὧν γε φανερῶς συμβαίνει, λέγοιτ' ἂν [λέγοιεν] ἐκτάσεις τῶν ὄγκων, οὐ σφόδρα πιθανὰ λέγοντες, εἰς τοσοῦτον τὸν σμικρότατον ὄγκον ἐκτείνοντες· οὐδὲ γὰρ μεταβάλλοντες τὸ σῶμα μέγεθος αὐτῷ πλέον διδόασιν, ὥσπερ εἰ ἐξ ὕδατος ἀὴρ γίγνοιτο.

Corpora in mistione cum per molem, tum per qualitatem corporibus penitus commisceri.

Β'. Τοῦτο δὲ αὐτὸ ἐφ' αὑτοῦ ζητητέον, τί συμβαίνει, ὅταν, ὅσπερ ἦν ὄγκος ὕδατος, ἀὴρ γίγνηται, πῶς τὸ μεῖζον ἐν τῷ γενομένῳ· νῦν δὲ τὰ μὲν εἰρήσθω πολλῶν καὶ ἄλλων παρ' ἑκατέρων λεγομένων. Ἡμεῖς δὲ ἐφ' ἑαυτῶν σκοπῶμεν, τί χρὴ λέγειν περὶ τούτου, τίς δόξα σύμφωνος τοῖς λεγομένοις, ἢ καὶ τίς ἄλλη παρὰ τὰς νῦν λεγομένας φανεῖται. Ὅταν τοίνυν διὰ τοῦ ἐρίου ῥέῃ τὸ ὕδωρ, ἢ βίβλος ἐκστάζῃ τὸ ἐν αὐτῇ ὕδωρ, πῶς οὐ τὸ πᾶν ὑδάτινον σῶμα δίεισι δι' αὐτῆς; ἢ καί, ὅταν μὴ ῥέῃ, πῶς συνάψομεν τὴν ὕλην τῇ ὕλῃ, καὶ τὸν ὄγκον τῷ ὄγκῳ; τὰς δὲ ποιότητας μόνον ἐν συγκράσει ποιησόμεθα; Οὐ γὰρ δὴ ἔξω τῆς βίβλου ἡ τοῦ ὕδατος ὕλη παρακείσεται, οὐδ' αὖ ἔν τισι διαστήμασιν αὐτῆς· πᾶσα γὰρ ὑγρά ἐστι, καὶ οὐδαμοῦ ὕλη κενὴ ποιότητος. Εἰ δὲ πανταχοῦ ἡ ὕλη μετὰ τῆς ποιότητος, πανταχοῦ τῆς βίβλου τὸ ὕδωρ, ἢ οὐ τὸ ὕδωρ, ἀλλ' ἡ τοῦ ὕδατος ποιότης· ἀλλὰ ποῦ ὄντα τοῦ ὕδατος. Πῶς οὖν οὐχ ὁ αὐτὸς ὄγκος; ἢ ἐξέτεινε τὴν βίβλον τὸ προστεθέν· ἔλαβε γὰρ μέγεθος παρὰ τοῦ εἰσελθόντος· ἀλλ' εἰ ἔλαβε, προσετέθη τις ὄγκος· εἰ δὲ προσετέθη, οὐ κατεπόθη ἐν τῷ ἑτέρῳ· δεῖ οὖν ἐν ἄλλῳ καὶ ἄλλῳ τὴν ὕλην εἶναι. Ἢ τί κωλύει, ὥσπερ δίδωσι τῆς ποιότητος καὶ λαμβάνει σῶμα θάτερον παρὰ θατέρου, οὕτω καὶ ἐπὶ τοῦ μεγέθους. Ποιότης μὲν γὰρ ποιότητι συνελθοῦσα, οὐκ ἐκείνη οὖσα, ἀλλὰ μετ' ἄλλης, ἐν τῷ μετ' ἄλλης εἶναι, οὐ καθαρὰ οὖσα, οὐκ ἔστι παντελῶς ἐκείνη, ἀλλ' ἠμαύρωται· μέγεθος δὲ συνελθὸν ἄλλῳ μεγέθει, οὐκ ἀφανίζεται· τὸ δὲ τὸ σῶμα χωροῦν διὰ σώματος πάντως τομὰς ποιεῖν πῶς λέγεται, ἐπιστήσειεν ἄν τις· ἐπεὶ καὶ αὐτοὶ τὰς ποιότητας [τὰς] διὰ τῶν σωμάτων χωρεῖν λέγομεν, καὶ οὐ τομὰς ποιεῖν, ἢ ὅτι ἀσώματοι. Ἀλλ', εἰ ἡ ὕλη καὶ αὐτὴ ἀσώματος, διὰ τί τῆς ὕλης ἀσωμάτου οὔσης καὶ τῶν ποιοτήτων, εἰ τοιαῦται εἶεν ὡς ὀλίγαι εἶναι, οὐ μετὰ τῆς ὕλης τὸν αὐτὸν τρόπον δίιασι; μὴ διιέναι δὲ τὰ στερεά, ὅτι τοιαύτας ἔχει τὰς ποιότητας, ὡς κωλυθῆναι διιέναι ἢ πολλὰς ὁμοῦ ἀδυνατεῖν μετὰ τῆς ὕλης ποιεῖν τοῦτο; Εἰ μὲν οὖν τὸ πλῆθος τῶν ποιοτήτων τὸ πυκνὸν λεγόμενον σῶμα ποιεῖ, τὸ πλῆθος ἂν εἴη αἴτιον· εἰ δὲ πυκνὸν ἰδία ποιότης ἐστίν,

conflatur et magnitudo, pro nostra opinione istud adducitis: sin autem materia una cum magnitudine, quae et prius erat in ipsa, per totam alteram molem ingrediatur, sic utique fiet, non perinde ac si linea deinceps lineae juxta terminos ipsarum punctis conjungatur, ubi potest fieri augmentum: sed illo, inquam, potius modo fiet, veluti si ita inseratur linea lineae, ut nullum proveniat incrementum. Postremo contra hos afferebatur: impossibile videri minus corpus per totum majus se porrigere, praesertim minimum quodque per maximum, ubi videlicet constet mistionem esse peractam. Profecto, ubi non satis exploratum est, talia simul omnino confundi, licet objicere, minimum per totum maximum non percurrere. Ubi vero evidenter id sit compertum, assignari poterunt quaedam molium ipsarum extensiones: quamvis non satis probabilia dicant, qui molem quam minimam in molem amplissimam protendere moliuntur, praesertim cum magnitudinem corpori tribuant ampliorem, neque tamen ipsum ita transmutent, sicut si ex aqua aer efficiatur.

II. Hoc autem ipsum inquisitionem propriam exigit: quidnam contingat, quando, quae fuerat moles aquae, fit aer: quo videlicet modo amplior in eo, quod gignitur, moles efficiatur. In praesentia vero haec hactenus pauca e multis, quae pro utraque opinione adduci solent, dicta fuerint. Nos autem [ipsi seorsum] his in rebus investigemus, quid sit potissimum asserendum, utra opinio rationi magis consentanea sit: et numquid alia quaedam sententia, praeter dictas, appareat. Principio, quando per lanam fluit aqua, aut lana vel papyrus aquam, quam ebibit, exstillat, cur non totum aquae corpus per ipsam effluendo pertransit? Aut etiam, quando non effluit, quo pacto materiam materiae conjungemus molemque moli? Num qualitates solas confundi invicem concedemus? Sane non extra bombycem aquae materia illic apponitur, neque in quibusdam duntaxat intervallis: tota enim madet, nec usquam materia est vacua qualitate. Quodsi ubique materia est una cum qualitate, nimirum per totam bombycem est aqua. Aut si non sit id aqua, sed qualitas aquae, quaerendum est, ubinam ipsa sit aqua. Quidnam igitur prohibet, quin eadem ibi sit moles? Fortasse, quod adjunctum est, extendit bombycem. Accepit enim ab eo, quod ingressum est, magnitudinem. At si accepit, moles quaedam est addita: sin autem addita est atque apposita, nequaquam in altero imbibita est: oportet itaque in alio atque alio situ materiam esse. Fortasse etiam nihil prohibet, quemadmodum ab altero corpore alterum accipit qualitatem, sic etiam accipere magnitudinem. Sane qualitas differens cum qualitate congrediens, ob id ipsum, quod cum altera jam conflata est, nequaquam permanet pura, neque, quae erat, est omnino [*l.* neque est omnino illa], sed jam deleta vel obscurata: magnitudo vero concurrens cum magnitudine non deletur vel obscuratur. Ad id autem, quod dicitur, corpus progrediens per corpus sectiones prorsus efficere, quo pacto dicatur, aliquis objicere potest: quandoquidem et nos qualitates per corpora se propagare concedimus, neque tamen facere sectiones. Sed forsan non facere dixerit quispiam, quoniam incorporeae sunt. At vero si materia ipsa quoque incorporea est, sicut incorporeae qualitates: quidnam prohibet paucas quasdam qualitates una cum materia penitus per corpus aliud penetrare? solida vero non penetrare, quoniam tales habeant qualitates, ut penetrationem ipsam impediant: vel fortasse multas simul qualitates non posse dicemus una cum materia id efficere. Verum si multitudo qualitatum densum corpus efficeret, multitudo utique causa foret: sin autem densitas propria quaedam qualitas est, sicut et corporeitas

ὥσπερ καὶ ἣν λέγουσι σωματότητα, ἰδία ποιότης· ὥστε οὐχ ᾗ ποιότητες τὴν μίξιν ποιήσονται, ἀλλ' ᾗ τοιαίδε. Οὐδ' αὖ ἡ ὕλη ᾗ ὕλη οὐ μιχθήσεται, ἀλλ' ᾗ μετὰ τοιᾶσδε ποιότητος· καὶ μάλιστα εἰ μέγεθος οἰκεῖον οὐχ ἔχει, ἀλλ' εἰ μὴ ἀποβαλοῦσα τὸ μέγεθος. Ταῦτα μὲν οὖν ἔστω καὶ οὕτω διηπορημένα.

ipsa est propria qualitas, fortasse neque qualitates, qua ratione qualitates sunt, conficient mixtionem, sed qua certae quaedam sunt qualitates. Neque rursus materia, qua materia est, recipiet mixtionem, sed qua cum tali quadam est qualitate: idque praesertim si nullam habeat magnitudinem, videlicet ut neque propriam sibi vindicet, neque venientem ullam natura rejiciat. De his itaque hactenus sic fuerit dubitatum.

### Quomodo definiatur corpus atque corporeitas.

Γ'. Ἐπεὶ δὲ ἐμνήσθημεν σωματότητος, ἐπισκεπτέον, πότερα ἡ σωματότης ἐστὶ τὸ ἐκ πάντων συγκείμενον, ἢ εἶδός τι ἡ σωματότης καὶ λόγος τις, ὃς ἐγγιγνόμενος τῇ ὕλῃ σῶμα ποιεῖ. Εἰ μὲν οὖν τοῦτό ἐστι τὸ σῶμα τὸ ἐκ πασῶν τῶν ποιοτήτων σὺν ὕλῃ, τοῦτο ἂν εἴη ἡ σωματότης· καὶ εἰ λόγος δὲ εἴη, ὃς προσελθὼν ποιεῖ τὸ σῶμα, δηλονότι ὁ λόγος ἐμπεριλαβὼν ἔχει τὰς ποιότητας ἁπάσας· δεῖ δὲ τὸν λόγον τοῦτον, εἰ μή ἐστιν ἄλλως ὥσπερ ὁρισμὸς δηλωτικὸς τοῦ τί ἐστι τὸ πρᾶγμα, ἀλλὰ λόγος ποιῶν πρᾶγμα, μὴ τὴν ὕλην συμπεριειληφέναι, ἀλλὰ περὶ ὕλην λόγον εἶναι, καὶ ἐγγιγνόμενον ἀποτελεῖν τὸ σῶμα, καὶ εἶναι μὲν τὸ σῶμα ὕλην καὶ λόγον ἐνόντα, αὐτὸν δὲ εἶδος ὄντα ἄνευ ὕλης ψιλὸν θεωρεῖσθαι, κἂν ὅτι μάλιστα ἀχώριστος αὐτὸς ᾖ. Ὁ γὰρ χωριστὸς ἄλλος ὁ ἐν νῷ· ἐν νῷ δέ, ὅτι καὶ αὐτὸς νοῦς· ἀλλὰ ταῦτα ἄλλοθι.

III. Quoniam vero de corporeitate fecimus mentionem, perscrutandum est, utrum ipsa corporeitas sit quiddam ex cunctis compositum, an potius sit species et ratio quaedam, quae infusa materiae corpus efficiat. Profecto si corpus est hoc ipsum ex cunctis qualitatibus una cum materia congregatum, id utique corporeitas erit. Atqui si ratio est, quae accedens efficit corpus, nimirum ratio complectens cunctas continet qualitates. Oportet autem ejusmodi rationem, si non est omnino qualis ratio definiens quid res quaeque sit, sed ratio rem ipsam faciens, nequaquam intus complecti materiam, sed potius circa materiam rationem esse, atque infusam facere corpus. Esse praeterea corpus materiam simul rationemque infusam; ipsam vero rationem, cum sit species, considerari posse absque materia nudam, vel si quam maxime inseparabilis sit a materia. Ipsa vero ratio separata alia est atque in mente: in *mente, inquam; quoniam et ipsa mens est. Sed de his alibi.*

# ΕΝΝΕΑΔΟΣ Β

## ΛΟΓΟΣ Η.

### ΠΕΡΙ ΟΡΑΣΕΩΣ, Η ΠΩΣ ΤΑ ΠΟΡΡΩ ΜΙΚΡΑ ΦΑΙΝΕΤΑΙ.

# ENNEADIS SECUNDÆ

## LIBER VIII.

### DE VISU, VEL QUARE REMOTA PROCUL A NOBIS PARVA VIDEANTUR.

(180,190.) [343—345.]

Rationes aliorum duæ, et Plotini duæ: cur remotiora videantur minora.

Α'. Ἆρα τὰ πόῤῥω φαίνεται ἐλάττω, καὶ τὰ πολὺ ἀφεστηκότα ὀλίγον δοκεῖ ἔχειν τὸ μεταξὺ, τὰ δὲ ἐγγύθεν, ἡλίκα ἐστὶ, φαίνεται, καὶ ὅσην ἔχει τὴν ἀπόστασιν; Ἐλάττω μὲν δοκεῖ τοῖς ὁρῶσι τὰ πόῤῥω, ὅτι συναιρεῖσθαι πρὸς τὴν ὄψιν ἐθέλει καὶ πρὸς τὸ μέγεθος τῆς κόρης τὸ φῶς· καὶ ὅσῳ ἂν πόῤῥω ἡ ὕλη ᾖ τοῦ ὁρωμένου, τόσῳ τὸ εἶδος οἷον μεμονωμένον ἀφικνεῖται, γιγνομένου καὶ τοῦ πηλίκου εἴδους καὶ αὐτοῦ καὶ ποιοῦ, ὡς τὸν λόγον αὐτοῦ ἀφικνεῖσθαι μόνον· ἢ καὶ ὅτι τὸ μὲν μέγεθος ἐν διεξόδῳ καὶ ἐπελεύσει καθ' ἕκαστον μέρος ὅσον ἐστὶν αἰσθανόμεθα. Παρεῖναι οὖν δεῖ αὐτὸ καὶ πλησίον εἶναι, ἵνα γνωσθῇ ὅσον· ἢ καὶ ὅτι κατὰ συμβεβηκὸς ὁρᾶται τὸ μέγεθος, τοῦ χρώματος πρώτως θεωρουμένου. Πλησίον μὲν οὖν, ὅσον κέχρωσται, γινώσκεται, πόῤῥω δὲ, ὅτι κέχρωσται, τὰ δὲ μέρη κατὰ ποσὸν συνδιαιρούμενα οὐκ ἀκριβῆ δίδωσι τὴν τοῦ ποσοῦ διάγνωσιν· ἐπεὶ καὶ τὰ χρώματα αὐτὰ ἀμυδρὰ προσέρχεται. Τί οὖν θαυμαστὸν, εἰ καὶ τὰ μεγέθη ὥσπερ καὶ αἱ φωναὶ ἐλάττους, ὅσῳ ἂν τὸ εἶδος αὐτῶν ἀμυδρὸν ἴῃ; εἶδος γὰρ κἀκεῖ ἡ ἀκοὴ ζητεῖ. Τὸ δὲ μέγεθος κατὰ συμβεβηκὸς αἰσθάνεται· ἀλλὰ περὶ τῆς ἀκοῆς εἰ τὸ μέγεθος κατὰ συμβεβηκὸς, τίνι γὰρ πρώτως τὸ ἐν τῇ φωνῇ μέγεθος, ὥσπερ δοκεῖ τῇ ἁφῇ τὸ ὁρώμενον, ἢ τὸ δοκοῦν μέγεθος ἡ ἀκοὴ, οὐ κατὰ τὸ ποσὸν, ἀλλὰ κατὰ τὸ μᾶλλον καὶ ἧττον, οὐ κατὰ συμβεβηκὸς, οἷον τὸ σφόδρα· ὡς καὶ ἡ γεῦσις τὸ σφόδρα τοῦ γλυκέος οὐ κατὰ συμβεβηκός. Τὸ δὲ κυρίως μέγεθος φωνῆς, τὸ ἐφ' ὅσον· τοῦτο δὲ κατὰ συμβεβηκὸς ἐκ τοῦ σφόδρα σημήνειεν ἂν, οὐκ ἀκριβῶς δέ. Τὸ μὲν γὰρ σφόδρα ἑκάστῳ τὸ αὐτὸ, τὸ δὲ εἰς πλῆθος εἰς ἅπαντα τὸν τόπον, ὃν ἐπέσχεν. Ἀλλ' οὐ σμικρὰ τὰ χρώματα, ἀλλὰ ἀμυδρὰ, τὰ δὲ μεγέθη σμικρά· ἢ ἐν ἀμφοτέροις κοινὸν τὸ ἧττον ὅ ἐστι· χρῶμα μὲν οὖν τὸ ἧττον ἀμυδρὸν, μέγεθος δὲ τὸ ἧττον σμικρὸν, καὶ ἑπόμενον τῷ χρώματι τὸ μέγεθος ἀνάλογον ἠλάττωται. Σαφέστερον δὲ ἐπὶ τῶν ποικίλων γίγνεται τὸ πάθος· οἷον ὀρῶν ἐχόντων πολλὰς οἰκήσεις καὶ δένδρων πλῆθος, καὶ ἄλλα πολλὰ, ὧν ἕκαστον, εἰ μὲν ὁρῷτο, δίδωσιν ἐκ τῶν ὁρωμένων ἑκάστων μετρεῖν τὸ ὅλον. Τοῦ δὲ εἴδους καθ' ἕκαστον οὐκ ἰόντος ἀπεστέρηται τοῦ καθ' ἕκαστον ὄψις, μετροῦσα τὸ ὑποκείμενον μέγεθος, τὸ πᾶν ὅσον ἐστὶ γινώσκειν· ἐπεὶ καὶ τὸ πλησίον ὅταν ποικίλα ᾖ, ἀθρόως δὲ γίγνηται ἡ ἐπιβολὴ πρὸς αὐτὰ, καὶ μὴ πάντα τὰ εἴδη ὁρῷτο, ἐλάττω ἂν φανείη κατὰ λόγον, ὅσον ἂν ἕκαστον κλαπῇ ἐν τῇ θέᾳ· ὅταν δὲ πάντα ὁρᾶται,

I. Quare, quæ procul a nobis sunt, minora videntur? et, quæ longo spatio separata sunt, parvo distare spatio nobis apparent? quæ vero prope nobis occurrunt, quanta sint, apparent, et quantum habeant intervallum? An minora quidem videntur aspicientibus, quæ sunt procul: quoniam lumen ad visum et ad magnitudinem pupillæ quodammodo desiderat colligi? Et quatenus rei visibilis remota materia est, catenus species quasi sub materia solaque speciei forma pervenit. Atqui et quantitas et qualitas species quædam est. Atque ita quasi ratio hujus sola pervenit. An forte etiam, quia, quanta sit magnitudo, sentimus in quadam secundum quamlibet partem gradatim facta discursione [*f.* percursione et adventu]? Adesse igitur hanc oportet; atque adesse prope, ut, quanta sit cognoscatur. Num et quia secundum accidens cernitur magnitudo, cum color primo cernatur? Cominus itaque, quantum coloratum est, discernitur, eminus autem duntaxat, coloratum esse: partes vero secundum quantitatem condistributæ non exactam quantitatis notitiam afferunt: quando et colores ipsi debiles tenuesque veniunt. Quid ergo mirum, si etiam magnitudines quemadmodum et voces apparent minores: quatenus earum species exilis ac debilis advenit? Nempe ibi quoque speciem auditus affectat. Magnitudo vero ex accidenti percipitur. Verum quantum ad auditum spectat, si magnitudo sentitur secundum accidens, cuinam potentiæ patet primum magnitudo, quæ est in voce, quemadmodum apparet tactui, quod est visibile. aut certe quod apparet magnitudo auditus, percipit, non secundum quantum, sed secundum majus ac minus: neque secundum accidens, ubi videlicet percipit tanquam vehemens: sicut et gustus dulcedinis vehementiam non per accidens percipit. Principalis autem et proprie dicta magnitudo vocis protensio quædam est in quantum: hanc vero secundum accidens ex ipsa vehementia designari contingit: veruntamen non exacte. Vehementia sane cujusque naturæ idem est [atque ipsa natura]: progressio vero in multitudinem secundum protensionem in omnem locum, qui impletur, consideratur. At enim non parvi colores, sed debiles sunt: magnitudines vero parvæ. Fortasse vero utrisque commune est, quod minus esse in eo, quod est, dici solet. Color quidem id, quod minus dicitur, habet in eo, quod debilis et caducus. Magnitudo autem, id est dimensio, ipsum, quod minus dicitur, habet in eo, quod parva. Nempe magnitudo colorem sequens consequenti quadam proportione minuitur. Manifestior autem in spectaculis, quæ varia sunt, fit ejusmodi passio: quemadmodum in spectaculo montium habitationes multas arboresque habentium aliaque permulta: quorum quodlibet, si perspicitur, efficit, ut ex inspectis singulis totum metiri possis. At ubi species ex singulis non accedit, oculus non habet, quomodo, quantum sit totum, cognoscat, metiens videlicet secundum unamquamque speciem suppositam magnitudinem. Quoniam et quæ prope sunt, quando sunt varia, intuitus autem simul in cuncta repente se vertit, adeo, ut non omnes species discernantur, solent minora videri pro rata ratione, quatenus videlicet species qualibet contuenti defraudat: sed quando species singulæ

ἀκριβῶς μετρηθέντα, ὅσα ἐστὶ, γιγνώσκεται. Ὅσα δὲ τῶν μεγεθῶν ὁμοειδῆ ὁμοιόχροα ὄντα, ψεύδεται καὶ ταῦτα, τὸ ποσὸν αὐτῆς οὐ κατὰ μέρος πάνυ τι μετρεῖν δυναμένης τῆς ὄψεως, ὅτι ἀπολισθάνει κατὰ μέρος μετροῦσα, ὅτι μὴ ἔχει ἵστασθαι καθ' ἕκαστον μέρος τῇ διαφορᾷ· ἐγγύθεν δὲ τὸ πόῤῥω, ὅτι μεταξὺ συναιρεῖται, ὅσον ἐστὶ, κατὰ τὴν αὐτὴν αἰτίαν. Τὸ μὲν γὰρ πλησίον ἐστὶν αὐτοῦ ὅσον οὐ λανθάνει, διὰ τὰ αὐτά· οὐ διεξοδεύουσα δὲ τὸ πόῤῥω τοῦ διαστήματος, οἷόν ἐστι κατ' εἶδος, οὐκ ἂν δύναιτο, οὐδ' ὅσον ἐστὶ κατὰ μέγεθος, εἰπεῖν.

perspicue discernuntur, tunc recta magnitudinis mensura censetur. Quaecumque vero magnitudines ex uno colore uniformes occurrunt, quantitatis judicium maxime fallunt: quippe cum visus non facile possit per partes discrete metiri; sed in metiendo secundum partem ultra repente labatur, non habens videlicet, qua differentiae via in singulis partibus progressum sistere possit. Prope autem situm esse videtur, quod longe remotum est, quoniam medium spatium secundum eandem causam, quantum est, colligi solet. Quod enim est propinquum, quantum sit, non latet, easdem ob causas. At ubi visus non discurrit distantiae longitudinem qualis est secundum speciem, nimirum neque, quantum sit magnitudine, metiri potest.

Quod non propter minores angulos videantur minora, quae remotiora sunt.

Β'. Τὸ δὲ κατὰ τὰς τῆς ὄψεως γωνίας ἐλάττους εἴρηται μὲν καὶ ἐν ἄλλοις, ὡς οὐκ ἔστι, καὶ νῦν δὲ ἐκεῖνο λεκτέον, ὡς ὁ λέγων ἔλαττον φαίνεσθαι ἐλάττονι γωνίᾳ καταλείπει τὴν λοιπὴν ἔξωθέν τι ὁρῶσαν, ἢ ἄλλο τι, ἢ ὄν τι ἔξωθεν ὅλως, οἷον ἀέρα. Ὅταν οὖν μηδὲν καταλείπῃ τῷ πολὺ εἶναι τὸ ὄρος, ἀλλ' ἢ ἰσάζῃ, καὶ μηκέτι ἄλλο οἷόν τε ᾖ αὐτῇ ὁρᾷν, ἅτε τοῦ διαστήματος αὐτῆς συναρμόσαντος τῷ ὁρωμένῳ, ἢ καὶ ὑπερτείνῃ τὸ ὁρώμενον ἐφ' ἑκάτερα τὴν τῆς ὄψεως προσβολὴν, τί ἂν τις ἐνταῦθα λέγοι, ἐλάττονος μὲν, ἢ ἔστι, πολλῷ φαινομένου τοῦ ὑποκειμένου, πάσῃ δὲ τῇ ὄψει ὁρωμένου; εἰ δὲ δὴ καὶ ἐπὶ τοῦ οὐρανοῦ θεωροῖ, ἀναμφισβητήτως μάθοι ἄν τις. Πᾶν μὲν γὰρ τὸ ἡμισφαίριον οὐκ ἄν τις ὁρᾷν μιᾷ προσβολῇ δύναιτο, οὐδὲ ἐπὶ τοσοῦτον χυθῆναι ἡ ὄψις, μέχρις αὐτοῦ ἐκτεινομένη. Ἀλλ' εἴ τις βούλεται, δεδόσθω. Εἰ οὖν πᾶσα μὲν περιέλαβε πᾶν, πολλαπλάσιον δὲ τὸ μέγεθος τοῦ φαινομένου ὑπάρχει ἐν τῷ οὐρανῷ, τοῦ ἔλαττον πολλῷ ἢ ἔστι φαίνεσθαι, πῶς ἂν ἐλάττωσιν γωνίας τοῦ ἐλάττω φαίνεσθαι τὰ πόῤῥω αἰτιῷτο;

II. Quod autem dicitur a nonnullis, quae procul distant, idcirco videri minora, quoniam per minores visionis angulos videantur, dictum est et alibi esse falsum, et in praesentia sic est confutandum. Profecto, qui ait, per minorem angulum objectum videri minus, relinquit reliquum visum, sive angulum aliquid extra videntem: videlicet vel aliud quiddam visibile, vel saltem nonnihil extrinsecus, velut aerem. Quando igitur nihil relinquit, ex eo, quod mons sit ingens, sed vel adaequat, neque aliud quidquam visu capi potest. Quippe cum ipsius spatium accommodetur objecto: vel etiam superexcedat objectum utrinque visionis intuitum. Quidnam hic aliquis respondebit? quandoquidem objectum ipsum multo minus, quam sit, appareat, et omni visu conspiciatur. Quodsi in caelum suspiciat, procul dubio id quivis intelliget. Nam alioquin non posset quisquam uno quodam ictu totum simul hemisphaerium contueri: neque in tantum aspectus diffundi, eousque prorsus extentus. Verumtamen, si quis id affectaverit, detur. Si igitur omnis quidem visus comprehendit totum, est autem in caelo magnitudo longissime amplior apparente, quanam ratione quis causam assignabit, ob quam adeo minus appareat, per illos minores angulos, *quos in causa esse, ut remotiora nobis minora videantur,* affirmare consueverunt?

# ΕΝΝΕΑΔΟΣ Β

## ΛΟΓΟΣ Θ.

### ΠΡΟΣ ΤΟΥΣ ΓΝΩΣΤΙΚΟΥΣ.

# ENNEADIS SECUNDÆ

## LIBER IX.

### CONTRA GNOSTICOS.





Tria tantum principia sunt : ipsum bonum, mens, anima.

Α'. Ἐπειδὴ τοίνυν ἐφάνη ἡμῖν ἡ τοῦ ἀγαθοῦ ἁπλῆ φύσις καὶ πρώτη, πᾶν γὰρ τὸ οὐ πρῶτον οὐχ ἁπλοῦν, καὶ οὐδὲν ἔχον ἐν ἑαυτῷ, ἀλλ' ἕν τι, καὶ τοῦ ἑνὸς λεγομένου ἡ φύσις, ἡ αὐτή. Καὶ γὰρ αὕτη οὐκ ἄλλο εἶτα ἕν· οὐδὲ τοῦτο ἄλλο, εἶτα ἀγαθόν, ὅταν λέγωμεν τὸ ἕν, καὶ ὅταν λέγωμεν τἀγαθὸν, ταύτην δεῖ νομίζειν τὴν φύσιν καὶ μίαν λέγειν, οὐ κατηγοροῦντας ἐκείνης οὐδὲν, δηλοῦντας δὲ ἡμῖν αὐτοῖς ὡς οἷόν τε. Καὶ τὸ πρῶτον δὲ οὕτως, ὅτι ἁπλούστατον· καὶ τὸ αὔταρκες, ὅτι οὐκ ἐκ πλειόνων· οὕτω γὰρ ἀναρτηθήσεται εἰς τὰ ἐξ ὧν· καὶ οὐκ ἐν ἄλλῳ, ὅτι πᾶν τὸ ἐν ἄλλῳ καὶ παρ' ἄλλου. Εἰ οὖν μηδὲ παρ' ἄλλου, μηδὲ ἐν ἄλλῳ, μηδὲ σύνθεσις μηδεμία, ἀνάγκη μηδὲν ὑπὲρ αὐτὸ εἶναι· οὐ τοίνυν δεῖ ἐφ' ἑτέρας ἀρχὰς ἰέναι, ἀλλὰ τοῦτο προστησαμένους, εἶτα νοῦν μετ' αὐτὸ, καὶ τὸ νοοῦν πρώτως, εἶτα ψυχὴν μετὰ νοῦν· αὕτη γὰρ τάξις κατὰ φύσιν, μήτε πλείω τούτων τίθεσθαι ἐν τῷ νοητῷ, μήτε ἐλάττω· εἴτε γὰρ ἐλάττω, ἢ ψυχὴν καὶ νοῦν ταὐτὸ φήσουσιν, ἢ νοῦν καὶ τὸ πρῶτον· ἀλλ' ὅτι ἕτερα ἀλλήλων, ἐδείχθη πολλαχῇ. Λοιπὸν δὲ ἐπισκέψασθαι ἐν τῷ παρόντι, εἰ πλείω τῶν τριῶν τούτων, τίνες ἂν οὖν εἶεν φύσεις παρ' αὐτάς. Τῆς τε γὰρ λεχθείσης οὕτως ἔχειν ἀρχῆς τῆς πάντων οὐδεὶς ἂν εὕροι ἁπλουστέραν, οὐδὲ ἐπαναβεβηκυῖαν ἡντιναοῦν· οὐ γὰρ δὴ τὴν μὲν δυνάμει, τὴν δὲ ἐνεργείᾳ φήσουσι. Γελοῖον γὰρ ἐν τοῖς ἐνεργείᾳ οὖσι καὶ ἀΰλοις τὸ δυνάμει καὶ ἐνεργείᾳ διαιρουμένους φύσεις ποιεῖσθαι πλείους· ἀλλ' οὐδ' ἐν τοῖς μετὰ ταῦτα οὐδ' ἐπινοεῖν τὸν μέν τινα νοῦν ἐν ἡσυχίᾳ τινὶ, τὸν δὲ, οἷον κινούμενον. Τίς γὰρ ἂν ἡσυχία νοῦ, καὶ τίς κίνησις καὶ προφορὰ ἂν εἴη; ἢ τίς ἀργία, καὶ τοῦ ἑτέρου τί ἔργον; Ἔστι γὰρ ὡς ἔστι, νοῦς ἀεὶ ὡσαύτως ἐνεργείᾳ κείμενος ἑστώσῃ· κίνησις δὲ πρὸς αὐτὸν καὶ περὶ αὐτὸν, ψυχῆς ἤδη ἔργον, καὶ λόγος ἀπ' αὐτοῦ εἰς ψυχὴν, ψυχὴν νοερὰν ποιῶν, οὐκ ἄλλην τινὰ μεταξὺ νοῦ καὶ ψυχῆς φύσιν. Οὐ μὴν οὐδὲ διὰ τοῦτο πλείους νοῦς ποιεῖν, εἰ ὁ μὲν νοεῖ, ὁ δὲ νοεῖ ὅτι νοεῖ· καὶ γὰρ εἰ ἄλλο τὸ ἐν τούτοις νοεῖν, ἄλλο δὲ τὸ νοεῖν ὅτι νοεῖ· ἀλλ' οὖν μία προσβολὴ οὐκ ἀναίσθητος τῶν ἐνεργημάτων ἑαυτῆς. Γελοῖον γὰρ ἐπὶ τοῦ ἀληθινοῦ νοῦ τοῦτο ὑπολαμβάνειν· ἀλλὰ πάντως γε ὁ αὐτὸς ἔσται, ὅσπερ ἐνόει, ὁ νοῶν ὅτι νοεῖ· εἰ δὲ μὴ, ὁ μὲν ἔσται νοῶν μόνον, ὁ δὲ ὅτι νοεῖ νοῶν, ἄλλου ὄντος, ἀλλ' οὐκ αὐτοῦ τοῦ νενοηκότος. Ἀλλ' εἰ ἐπινοίᾳ φήσουσι, πρῶτον μὲν τῶν πλειόνων ὑποστάσεων ἀποστήσονται· ἔπειτα δεῖ σκοπεῖν εἰ καὶ

1. Quoniam ex aliis disputationibus nobis constat, ipsius boni naturam esse simplicem atque primam : nisi enim prima esset, simplex esse non posset : constitit et in se ipsa nihil habere, sed unum esse duntaxat, atque etiam ipsius, quod dicitur unum, eandem esse naturam. Etenim hæc non prius quidem aliud quiddam est, deinde insuper unum : neque ipsum bonum aliud quiddam est, et præterea bonum. Cum, inquam, ita sit, nimirum quando dicimus unum, et quando dicimus ipsum bonum, intelligendum est, unam nos eandemque naturam significare : adeo ut nihil de illa prædicemus omnino, sed nobis ipsis potius illam, quoad possumus, designemus. Atqui et primum idcirco dicitur, quoniam simplicissimum : item se ipso sufficiens, quoniam non constat ex pluribus : alioquin in ea, ex quibus componitur, referretur. Rursus non est in alio : quoniam, quicquid est in alio, est et ab alio. Itaque si neque ab alio, neque in alio, neque ulla in eo est compositio, necesse est, eo nihil esse superius. Quam ob rem non est conandum in alia principia se conferre, sed hoc præposito, intellectum deinde, quodve primo intelligit, mox animam post intellectum collocare debemus ; hic enim naturalis ordo est, ideoque neque his plura neque pauciora in genere intelligibili decet connumerare : nempe si qui pauciora ponant, vel animam et intellectum omnino idem esse dicent, vel intellectum idem prorsus atque primum. Hæc autem inter se esse diversa, sæpe est demonstratum. Reliquum vero est in præsentia perscrutari, si plura quam hæc illa sint, quænam præter has naturæ sint. Profecto cum ipsum universi principium ita, ut modo dicebamus, se habeat : nemo principium ullum simplicius et excelsius poterit invenire. Non enim principium quidem alterum in potentia, alterum in actu audebunt ponere. Ridiculum namque est, in his, quæ in actu et absque materia sunt, per distinctionem quandam, potentia actuque distributam, naturas plures inducere : sed neque etiam in sequentibus commentari licet, intellectum quidem alterum in quiete quadam positum, alterum vero velut in motu. Quænam enim intellectus quies? quisve motus atque progressio, sive prolatio? Rursus quod hujus otium, quodve opus alterius? Est enim sicut est intellectus, eodem modo semper in actu stabili constitutus : motus autem vel ad ipsum vel circa ipsum jam animæ est officium. Atqui et ratio ab intellectu in animam usque procedens, animam reddit intellectualem, neque aliam quandam adducit naturam intellectus et animæ mediam. Proinde neque ob id intellectus decet plures inducere, quod alius quidem intelligat, alius autem intelligat alium intelligere. Etenim si in his aliud est simpliciter intelligere, aliud autem intelligere, quod intelligat : absque controversia tamen unus ibi viget intuitus, quem actiones propriæ minime latent. Absurdum namque est, aliter de vero intellectu sentire. Sed ipse idem prorsus erit, qui intelligit, et qui intelligit, quod intelligat. Alioqui hic quidem erit solum intelligens, ille vero animadvertens hunc intelligere : ubi videlicet alius quidam intelligat potius, quam qui animadvertit. Quodsi dixerint, duo hæc ex cogitatione quadam inter se differre : primo quidem non poterunt substantias ibi plures adducere : deinde operæ pretium est considerare, numquid illa exco-

αἱ ἐπίνοιαι χώραν ἔχουσι λαβεῖν νοῦν νοοῦντα μόνον μὴ παρακολουθοῦντα δὲ ἑαυτῷ ὅτι νοεῖ. Ὃ καὶ ἐφ' ἡμῶν αὐτῶν εἰ γίγνοιτο, τῶν ἀεὶ ἐπιστατούντων ταῖς ὁρμαῖς καὶ ταῖς διανοήσεσιν, εἰ καὶ μετρίως σπουδαῖοι εἶεν, αἰτίαν ἂν ἀφροσύνης ἔχοιεν. Ὅταν δὲ δὴ ὁ νοῦς ὁ ἀληθινὸς ἐν ταῖς νοήσεσιν αὑτὸν νοῇ, καὶ μὴ ἔξωθεν ᾖ τὸ νοητὸν αὐτοῦ, ἀλλ' αὐτὸς ᾖ καὶ τὸ νοητόν, ἐξ ἀνάγκης ἐν τῷ νοεῖν ἔχει ἑαυτόν, καὶ ὁρᾷ ἑαυτόν· ὁρῶν δὲ ἑαυτὸν, οὐκ ἀνοηταίνοντα ἀλλὰ νοοῦντα ὁρᾷ. Ὥστε ἐν τῷ πρώτως νοεῖν, ἔχοι ἂν καὶ τὸ νοεῖν ὅτι νοεῖ, ὡς ἓν ὄν· καὶ οὐδὲ τῇ ἐπινοίᾳ ἐκεῖ διπλοῦν. Εἰ δὲ καὶ ἀεὶ νοῶν εἴη ὅπερ ἐστὶ, τίς χώρα τῇ ἐπινοίᾳ τῇ χωριζούσῃ τὸ νοεῖν ἀπὸ τοῦ νοεῖν, ὅτι νοεῖ; Εἰ δὲ δὴ καὶ ἑτέραν ἐπίνοιάν τις τρίτην ἐπεισάγοι, τὴν ἐπὶ τῇ δευτέρᾳ τῇ λεγούσῃ νοεῖν ὅτι νοεῖ, τὴν λέγουσαν ὅτι νοεῖ, ἔτι μᾶλλον καταφανὲς τὸ ἄτοπον, καὶ διὰ τί οὐκ εἰς ἄπειρον οὕτω; Τὸν δὲ λόγον ὅντιν' ἄν τις ἀπὸ τοῦ νοῦ ποιῇ, εἶτα ἀπὸ τούτου γίγνεσθαι ἐν ψυχῇ ἄλλον, ἀπ' αὐτοῦ τοῦ λόγου, ἵνα μεταξὺ ψυχῆς καὶ νοῦ ᾖ οὗτος, ἀποστερήσει τὴν ψυχὴν τοῦ νοεῖν, εἰ μὴ παρὰ τοῦ νοῦ κομιεῖται, ἀλλὰ παρὰ ἄλλου του μεταξὺ τὸν λόγον· καὶ εἴδωλον λόγου, ἀλλ' οὐ λόγον ἕξει· καὶ ὅλως οὐκ εἰδήσει νοῦν, οὐδ' ὅλως νοήσει.

gitatio vel commentum potius admittere possit intellectum *dumtaxat intelligentem, neque tamen animadvertentem se* intelligere? quod quidem si nobis accidat, qui circa impetus et consilia semper incumbimus, etiam si moderate studiosi et probi simus, causam crimenque insipientiae nobis afferet. Jam vero quando intellectus ille verus in intelligendo intelligit semet ipsum, neque extra intelligentem intelligibile ponitur, sed intelligens ipse ipsum intelligibile est, necessario in intelligendo habet se ipsum, videtque se ipsum: se vero videns profecto intelligentiae non expertem, *sed intelligentem videt. Quapropter in ipso primo intelli*gendi actu habet et quod intelligat, et quod intelligere se intelligat, tanquam unum prorsus exsistens: neque ullo excogitationis figmento, quod unum est, ibi fit duplex. Ac si semper id ipsum, quod est, intelligit, quinam locus illic commento datur, separanti quod est simpliciter intelligere, ab eo, quod est animadvertere quod intelligat? Quod si tertium commentum insuper quis attulerit, ultra illud, quod dicebat intelligere, quod intelligat, jam ulterius fingens intelligere, quod intelligat intelligere, jam prorsus, quod in hac opinione absurdum est, clarius apparebit, neque quicquam prohibebit, quo minus in infinitum ita vagemur. Quod autem rationem quandam adducunt in medium ab intellectu manantem, a qua deinceps (alia) ab ipsa ratione diversa quaedam ratio fiat in anima, ut videlicet illa ratio inter intellectum animamque sit media, cogit animam carere intelligentia: siquidem non ab ipso intellectu, sed ab alio quodam medio accipiat rationem: idcirco non rationem ipsam habebit, sed quandam rationis imaginem: denique neque intellectum ipsum cognoscet, neque quicquam prorsus intelliget.

Confirmat superiora. Item, quod diverso modo anima mundi et anima nostra provideat.

Β'. Οὐ τοίνυν οὔτε πλείω τούτων, οὔτε ἐπινοίας περιττὰς ἐν ἐκείνοις, ἃς οὐ δέχονται, θετέον, ἀλλ' ἕνα νοῦν τὸν αὐτὸν ὡσαύτως ἔχοντα, ἀκλινῆ πανταχῆ, μιμούμενον τὸν πατέρα, καθ' ὅσον οἷόν τε αὐτῷ· ψυχῆς δὲ ἡμῶν, τὸ μὲν ἀεὶ πρὸς ἐκείνοις, τὸ δὲ πρὸς ταῦτα ἔχειν, τὸ δὲ ἐν μέσῳ τούτων. Φύσεως γὰρ οὔσης μιᾶς ἐν δυνάμεσι πλείοσιν, ὁτὲ μὲν τὴν πᾶσαν συμφέρεσθαι τῷ ἀρίστῳ αὐτῆς καὶ τοῦ ὄντος, ὁτὲ δὲ τὸ χεῖρον αὐτῆς καθελκυσθὲν, συνεφελκύσασθαι τὸ μέσον· τὸ γὰρ πᾶν αὐτῆς οὐκ ἦν θέμις καθελκύσαι, καὶ τοῦτο συμβαίνει αὐτῇ τὸ πάθος, ὅτι μὴ ἔμεινεν ἐν τῷ καλλίστῳ, ὅπου ψυχὴ μείνασα ἡ μὴ μέρος, μηδὲ ἧς ἡμεῖς ἔτι μέρος, ἔδωκε τῷ παντὶ σώματι αὐτῷ τε ἔχειν ὅσον δύναται παρ' αὐτῆς ἔχειν· μένει τε ἀπραγμόνως αὐτὴ, οὐκ ἐκ διανοίας διοικοῦσα, οὐδέ τι διορθουμένη, ἀλλὰ τῇ εἰς τὸ πρὸ αὐτῆς θέᾳ κατακοσμοῦσα δυνάμει θαυμαστῇ. Ὅσον γὰρ πρὸς αὐτῇ ἐστι, τόσον καλλίων καὶ δυνατωτέρα κἀκεῖθεν ἔχουσα, δίδωσι τῷ μετ' αὐτὴν, καὶ ὥσπερ ἐλλάμπουσα ἀεὶ ἐλλάμπεται.

II. Igitur neque iis plura in mundo intelligibili, neque excogitationes illic supervacuas, quas non admittunt, ponere decet, sed intellectum unum eodem modo se semper habentem, prorsus indeclinabilem, qui et patrem suum pro viribus imitetur: animam vero nostram parte quidem sui penes illa viventem, parte vero ad haec nostra vergentem, parte denique in medio collocatam. Cum enim una in pluribus potentiis natura sit, aliquando totam una cum optimo sui atque universi [entis] ad superiora se conferre: *aliquando vero, quod est in ipsa deterius, tractum* ad inferiora una secum medium quoque contrahere: totum vero ipsius non licere ad inferiora unquam praecipitare, atque ejusmodi passionem ob id accidere animae, quod in optimo universi non constitit: in quo quidem anima illa consistens, quae non est pars, et cujus neque nos quidem partes sumus, tradidit universo mundi corpori munera pro suscipiendi potentia: ipsaque interim procul ab omni sollicitudine vivit, nulla videlicet consultatione gubernans, neque quicquam corrigens curiose: *sed ex ipso suo intuitu* ad superna mirabili potentia totum ornans. Quo enim magis in suo se figit intuitu, eo pulchrior atque potentior, atque hinc desuper hauriens in inferiora transfundit, et tanquam divinitus semper illustrata perlustrat.

Mundum fieri non a casu animae, sed a potestate ejus in divinis penitus consistente, ideoque sempiternum esse.

Γ'. Ἀεὶ οὖν ἐλλαμπομένη καὶ διηνεκὲς ἔχουσα τὸ φῶς, δίδωσιν εἰς τὰ ἐφεξῆς, τὰ δὲ ἀεὶ συνέχεται καὶ ἄρδεται τούτῳ τῷ φωτὶ, καὶ ἀπολαύει τοῦ ζῆν, καθ' ὅσον δύναται· ὥσπερ εἰ πυρὸς ἐν μέσῳ που κειμένου, ἀλεαίνοιντο οἷς οἷόν τε, καίτοι τὸ πῦρ ἐστιν ἐν μέτρῳ. Ὅταν δὲ δυνάμεις μὴ μετρηθεῖσαι μὴ ἐκ τῶν ὄντων ὦσιν ἀνῃρημέναι, πῶς οἷόν τε εἶναι μὲν, μηδὲν δὲ αὐτῶν μεταλαμβάνειν; Ἀλλ' ἀνάγκη ἕκαστον τὸ αὑτοῦ διδόναι καὶ ἄλλῳ, ἢ τὸ ἀγαθὸν οὐκ ἀγαθὸν ἔσται,

III. Semper igitur illustrata lumenque possidens sempiternum, deinceps ad inferiora traducit: haec autem hoc lumine semper et continentur et vivunt, vitamque inde pro sua quaeque capacitate suscipiunt: perinde ac si igne quodam medio alicubi posito calefiant inde, quaecumque calefieri possint, etsi ignis in mensura quadam est coarctatus. Quando vero potentiae non coarctatae mensura universo non desint, quanam ratione fieri potest, ut exsistant quidem hae potentiae, nihil autem sit alicubi, quod earum sit particeps? Profecto necessarium est, unumquodque aliquid de suo ceteris elargiri, alioquin neque bonum ipsum erit bonum, neque intellectus ipse intellectus erit, neque anima

ἢ ὁ νοῦς οὐ νοῦς, ἢ ψυχὴ μὴ τοῦτο, εἰ μή τι μετὰ τοῦ πρώτως ζῆν ζῴη καὶ δευτέρως ἕως ἔστι τὸ πρώτως· ἀνάγκη τοίνυν ἐφεξῆς εἶναι πάντα ἀλλήλοις καὶ ἀεὶ, γεννητὰ δὲ τὰ ἕτερα τῷ παρ' ἄλλων εἶναι. Οὐ τοίνυν ἐγένετο, ἀλλ' ἐγίνετο, καὶ γενήσεται, ὅσα γεννητὰ λέγεται, οὐδὲ φθαρήσεται, ἀλλ' ἢ ὅσα ἔχει εἰς ἅ· ὃ δὲ μὴ ἔχει εἰς ὅ, οὐδὲ φθαρήσεται. Εἰ δέ τις εἰς ὕλην λέγοι, διὰ τί οὐ καὶ τὴν ὕλην; εἰ δὲ καὶ τὴν ὕλην φήσει, τίς ἦν ἀνάγκη φήσομεν γενέσθαι. Εἰ δὲ ἀναγκαῖον εἶναι φήσουσι παρακολουθεῖν, καὶ νῦν ἀνάγκη· εἰ δὲ μόνη καταλειφθήσεται, οὐ πανταχοῦ, ἀλλ' ἔν τινι τόπῳ ἀφωρισμένῳ τὰ θεῖα ἔσται, καὶ οἷον ἀποτετειχισμένα· εἰ δὲ οὐχ οἷόν τε, ἐλλαμφθήσεται.

rursus erit anima: nisi post illud, quod primo vivit, vivat et aliunde consequenter quamdiu vivit et primum: quam ob rem necesse est, omnia post primum deinceps semperque esse, et quædam in generatione versari, propterea quod aliunde dependeant. Non igitur facta sunt aliquando, sed fiebant et fient, quæcunque in generatione versari dicuntur, neque etiam corrumpentur, iis exceptis, quæ habent, in quæ dissolvantur: quod autem nihil, in quod resolvatur, habet, interire non poterit. At si quis in materiam dixerit resolvendum, respondeat, cur non similiter et materiam resolubilem esse concedat? quodsi materiam insuper fateatur, quæremus, quænam fuerit necessitas, ut fieret? At si dicant, necessarium esse, deinceps consequi, asseremus et nunc esse similiter necessarium: at si relinquatur sola, sequetur, ut divina non ubique, sed quodam in loco determinato sint, veluti quodam limite segregata. Quodsi id fieri nequeat, consequens est, ut perpetuo collustretur.

Confirmat superiora, probans mundum nec esse malum, nec a malo.

Δ'. Εἰ δὲ οἷον πτερορρυήσασαν τὴν ψυχὴν φήσουσι πεποιηκέναι, οὐχ ἡ τοῦ παντὸς τοῦτο πάσχει. Εἰ δὲ σφαλεῖσαν αὐτὴν φήσουσι, τοῦ σφάλματος λεγέτωσαν τὴν αἰτίαν. Πότε δὲ ἐσφάλη; εἰ μὲν γὰρ ἐξ ἀϊδίου, μένει κατὰ τὸν αὐτῶν λόγον ἐσφαλμένη· εἰ δὲ ἤρξατο, διὰ τί οὐ πρὸ τοῦ; ἡμεῖς δὲ οὐ νεῦσιν φαμὲν τὴν ποιοῦσαν, ἀλλὰ μᾶλλον μὴ νεῦσιν· εἰ δὲ ἔνευσε, τῷ ἐπιλελῆσθαι δηλονότι τῶν ἐκεῖ· εἰ δὲ ἐπελάθετο, πῶς δημιουργεῖ; πόθεν γὰρ ποιεῖ; ἢ ἐξ ὧν εἶδεν ἐκεῖ; εἰ δὲ ἐκείνων μεμνημένη ποιεῖ, οὐδὲ ὅλως ἔνευσεν· οὐδὲ γὰρ ἀμυδρῶς ἔχει, εἰ οὐ μᾶλλον νεύει ἐκεῖ, ἵνα μὴ ἀμυδρῶς ἴδῃ. Διὰ τί γὰρ ἂν οὐκ ἠθέλησεν ἔχουσα ἡντινοῦν μνήμην ἐπανελθεῖν; τί γὰρ ἂν ἑαυτῇ καὶ ἐλογίζετο γενέσθαι ἐκ τοῦ κοσμοποιῆσαι; γελοῖον γὰρ τὸ ἵνα τιμῷτο, καὶ μεταφερόντων ἀπὸ τῶν ἀγαλματοποιῶν τῶν ἐνταῦθα· ἐπεὶ καὶ εἰ διανοίᾳ ἐποίει, καὶ μὴ ἐν τῇ φύσει ἦν τὸ ποιεῖν, καὶ ἡ δύναμις ἡ ποιοῦσα ἦν, πῶς ἂν κόσμον τόνδε ἐποίησε; πότε δὲ καὶ φθερεῖ αὐτόν; εἰ γὰρ μετέγνω, τί ἀναμένει; εἰ δὲ οὔπω, οὐδ' ἂν μεταγνοίη ἔτι, ἤδη εἰθισμένη, καὶ τῷ χρόνῳ προσφιλεστέρα γενομένη· εἰ δὲ τὰς καθ' ἕκαστον ψυχὰς ἀναμένει, ἤδη ἔδει μηκέτι ἐλθεῖν εἰς γένεσιν πάλιν, πειραθείσας ἐν τῇ προτέρᾳ γενέσει τῶν τῇδε κακῶν· ὥστε ἤδη ἂν ἐπέλιπον ἰοῦσαι. Οὐδὲ τὸ κακῶς γεγονέναι τόνδε τὸν κόσμον δοτέον, τῷ πολλὰ εἶναι ἐν αὐτῷ δυσχερῆ· τοῦτο γὰρ ἀξίωμα μεῖζόν ἐστι περιτιθέντων αὐτῷ, εἰ ἀξιοῦσι τὸν αὐτὸν εἶναι τῷ νοητῷ, ἀλλὰ μὴ εἰκόνα ἐκείνου· ἢ τίς ἂν ἐγένετο ἄλλη καλλίων εἰκὼν ἐκείνου; τί γὰρ ἄλλο πῦρ βέλτιον τοῦ ἐκεῖ πυρὸς, παρὰ τὸ ἐνταῦθα πῦρ; ἢ τίς γῆ ἄλλη παρὰ ταύτην μετὰ τὴν ἐκεῖ γῆν; τίς δὲ σφαῖρα ἀκριβεστέρα καὶ σεμνοτέρα ἢ εὐτακτοτέρα τῇ φορᾷ μετὰ τὴν ἐκεῖ τοῦ κόσμου τοῦ νοητοῦ περιοχὴν ἐν αὐτῷ; ἄλλος δὲ ἥλιος μετ' ἐκεῖνον πρὸ τούτου τοῦ ὁρωμένου, τίς;

IV. Si autem dixerint, animam quasi jam confractis alis prolapsam fecisse mundum, objiciemus ipsam mundi animam id pati non posse. At si animam aliquando prævaricatam adducant in medium, exponere compellendi sunt prævaricationis erroris que causam. Præterea quonam tempore aberravit? Nam sive ab æterno: profecto secundum eandem [s. ipsorum] rationem adhuc permanet in errore: sive incepit aliquando, perquirendum est, cur non ante id temporis aberraverit: nos autem non inclinationem animæ effectricem mundi esse putamus; imo haud tum potius minime inclinatam: si autem inclinata est, profecto ex eo, quod eorum, qui illic sunt, jam est oblita. Quodsi oblita est, quonam facultate fabricat universum? Atqui et unde facit? an forte ex his, quæ illic inspexerat? Sin autem eorum memor facit, non omnino inde divertit: non enim tenuiter habet: si non magis inclinatur illic, ne obscure videat. Cur enim noluerit continuo regredi, quorumcunque [s. quamcunque] memoriam retinens? Præterea quidnam ex mundi effectione sibi proventurum excogitavit? Absurdum namque dictu est, ut honoraretur mundum progenuisse: eorumque hæc opinio est, qui sculptorum nostrorum affectus ad superos transferunt: quoniam et si cogitatione ferit, neque in natura ejus erat, ut faceret, ad potentiam tamen pertinebat efficere, quonam pacto mundum hunc effecit? Præterea quandonam ipsum destruet? sive enim jam pœnituit effecisse, quid differt? sive nondum pœnituit, neque pœnitentia unquam afficietur, utpote quæ jam assuefacta est, temporisque diuturnitate indulgentior operi jam effecto: sin autem exspectat animas singulorum, jamdiu oportuit haud ulterius in generationem iterum adventare animas videlicet, non ignaras malorum, quæ ipsas in priore generatione presserunt, quapropter jamdiu descendere desiverunt. Proinde quod mundum male institutum esse aiunt, ideoque multa in eo adversa molestaque accidere, non est admittendum: hæc enim sententia est majorem mundo tribuentium dignitatem: siquidem judicent eundem hunc atque intelligibilem esse, quasi hic sit illius imago. Tum vero quænam pulchrior illius imago fieri potuit? quis enim ignis alter imago melior intelligibilis ignis, quam noster hic ignis esse potest? Item quæ terra præter hanc post illam terram? et quænam sphæra perfecta magis atque veneranda, ac motibus ordinatior post illam intelligibilis mundi in se ipso complexionem? denique sol post illum alter super visibilem hunc solem, quinam possit effingi?

Neque animam esse corpoream, neque mundum falso a malo principio constitutum.

Ε'. Ἀλλ' [ἄλογον,] αὐτοὺς μὲν σῶμα ἔχοντας, οἷον ἔχουσιν ἄνθρωποι, καὶ ἐπιθυμίας καὶ λύπας, καὶ ὀργὰς, τὴν παρ' αὐτοῖς δύναμιν μὴ ἀτιμάζειν, ἀλλ' ἐφάπτεσθαι τοῦ νοητοῦ λέγειν ἐξεῖναι, μὴ εἶναι δὲ ἐν ἡλίῳ ταύτης ἀπαθεστέραν, ἐν τάξει μᾶλλον καὶ οὐχ

V. Omnino vero absurdum est, cum ipsi corpus habeant, quemadmodum habent homines, et cupiditates doloresque et iras, potentiam tamen ipsorum non parvi faciant, sed asserant licere eis intelligibile ipsum attingere: at vero in sole non esse potentiam a passione remotiorem: siquidem in majori ordine stabilitateque consistit, neque sapientiam

ἐν ἀλλοιώσει μᾶλλον οὖσαν, οὐδὲ φρόνησιν ἔχειν ἀμείνονα ἡμῶν, τῶν ἄρτι γενομένων, καὶ διὰ τοσούτων κωλυομένων τῶν ἀπαντώντων ἐπὶ τὴν ἀλήθειαν ἐλθεῖν· οὐδὲ τὴν μὲν αὐτῶν ψυχὴν ἀθάνατον καὶ θείαν λέγειν, καὶ τὴν τῶν φαυλοτάτων ἀνθρώπων, τὸν δὲ οὐρανὸν πάντα, καὶ τὰ ἐκεῖ ἄστρα, μὴ τῆς ἀθανάτου κεκοινωνηκέναι, ἐκ πολλῷ καλλιόνων καὶ καθαρωτέρων ὄντα, ὁρῶντας ἐκεῖ μὲν τὸ τεταγμένον καὶ εὔσχημον καὶ εὔτακτον; καὶ μάλιστα τὴν ἐνταῦθα περὶ γῆν ἀταξίαν αὐτοὺς αἰτιωμένους, ὥσπερ τῆς ἀθανάτου ψυχῆς τὸν χείρω τόπον ἐπίτηδες ἑλομένης, παραχωρῆσαι τοῦ βελτίονος τῇ θνητῇ ψυχῇ ἑλομένης. Ἄλογος δὲ καὶ ἡ ἀντιπαρεισαγωγὴ αὐτοῖς τῆς ἑτέρας ψυχῆς ταύτης, ἣν ἐκ τῶν στοιχείων συνιστᾶσι. Πῶς γὰρ ἂν ζωὴν ἡντιναοῦν ἔχοι ἡ ἐκ τῶν στοιχείων σύστασις; ἡ γὰρ τούτων κρᾶσις ἢ θερμὸν, ἢ ψυχρὸν, ἢ μικτὸν ποιεῖ, ἢ ξηρὸν, ἢ ὑγρὸν, ἢ μῖγμα ἐκ τούτων. Πῶς δὲ συνοχὴ τῶν τεσσάρων ὑστέρα γενομένη ἐξ αὐτῶν; ὅταν δὲ προστιθῶσι καὶ ἀντίληψιν αὐτῇ καὶ βούλευσιν καὶ ἄλλα μυρία, τί ἄν τις εἴποι; Ἀλλ' οὐ τιμῶντες ταύτην τὴν δημιουργίαν, οὐδὲ τήνδε τὴν γῆν, καινὴν αὐτοῖς φασι γῆν γεγονέναι, εἰς ἣν δὴ ἐντεῦθεν ἀπελεύσονται· τοῦτο δὲ λόγον εἶναι κόσμου. Καίτοι, τί δεῖ αὐτοῖς ἐκεῖ γενέσθαι ἐν παραδείγματι κόσμου, ὃν μισοῦσι; πόθεν δὲ τὸ παράδειγμα τοῦτο; τοῦτο γὰρ κατ' αὐτοὺς νενευκότος ἤδη πρὸς τὰ τῇδε τοῦ τὸ παράδειγμα πεποιηκότος. Εἰ μὲν οὖν ἐν αὐτῷ τῷ ποιήσαντι πολλὴ φροντὶς τοῦ κόσμου μετὰ τὸν κόσμον τὸν νοητὸν, ὃν ἔχει, ἄλλον ποιῆσαι, καὶ τί ἔδει; καὶ εἰ μὲν πρὸ τοῦ κόσμου, ἵνα τί; ἵνα φυλάξωνται αἱ ψυχαί; πῶς οὖν οὐκ ἐφυλάξαντο, ὥστε μάτην ἐγένετο· εἰ δὲ μετὰ τὸν κόσμον ἐκ τοῦ κόσμου λαβὼν ἀποσυλήσας τῆς ὕλης τὸ εἶδος, ἤρκει ἡ πεῖρα ταῖς πειραθείσαις ψυχαῖς πρὸς τὸ φυλάξασθαι· εἰ δὲ ἐν ταῖς ψυχαῖς λαβεῖν ἀξιοῦσι τοῦ κόσμου τὸ εἶδος, τί τὸ καινὸν τοῦ λόγου;

habere præstantiorem, quam nos, qui nuper nati sumus, ac tot incidentibus rebus impedimur assequi veritatem. Neque vero decet animam duntaxat nostram immortalem divinamque asserere vel ignavissimorum hominum: totum vero cœlum, stellasque vitæ immortalitate carere, cum ex rebus longe pulchrioribus purioribusque constent: præsertim cum suspiciamus, quicquid ibi est, ordinatissimum esse atque pulcherrimum, præcipue cum ipsi confusionem, quæ circa terrena versatur, criminentur, quasi anima immortalis deteriorem hunc locum eligat studiose et cedere præstantiorem mortali animæ eligat. Absurda insuper penes eosdem alterius hujus animæ introductio, quam ex elementis compositam arbitrantur. Quo enim pacto compositio ulla ex elementis vitam aliquam habere potest? Horum namque mistura vel calidum, vel frigidum, vel mistum facit, aut siccum, aut humidum, aut quandam ex his compositionem. Præterea quomodo anima est vinculus elementa connectens, si quidem ex illis conflata sit atque posterior? *Postremo quando animæ adjungunt animadver*sionem atque consilium, aliaque permulta percontari quis poterit, quanam ratione talia possint animæ assignari? Cæterum cum mundanum hoc opificium minime venerentur, neque terram hanc honorent, novam sibi terram asserunt reservari, in quam hinc denique sint ascensuri: hanc vero esse ipsam mundi rationem atque exemplar. Verum curnam operæ pretium sit, eos in exemplari mundi, quem odio habent, illic habitare? Item, undenam hoc exemplar? id enim apud illos tunc emicat, quando, qui concepit hoc exemplar, ad hæc nostra jam declinaverit. Si igitur in ipso efficiente multa est mundi cura, ad alterum videlicet eumdum efficiendum, ultra intelligibilem, quem possidet, mundum: curnam id illi expediebat? et si ante mundum id jam curabat, cujusnam id gratia decernebat? forsan, ut animæ ipsæ custodirent? qua igitur ratione non custodiverunt? unde frustra factus est mundus. Sin autem post mundum, ex mundo videlicet accipiens, quasi expilans materiæ speciem, sufficiebat peritia ad custodiam animabus expertis. Si autem mundi speciem in animabus accipiendam existimant, quænam hæc loquendi novitas est?

*Anima mundi alligat sibi corpus suum, et per hoc quasi alias animas. Item, quomodo etiam anima propria det corpori vitam.*

Ϛ΄. Τὰς δὲ ἄλλας ὑποστάσεις, τί χρὴ λέγειν, ἃς εἰσάγουσι, παροικήσεις, καὶ ἀντιτύπους, καὶ μετανοίας; εἰ μὲν γὰρ ψυχῆς ταῦτα λέγουσι πάθη, ὅταν ἐν μετανοίᾳ ᾖ, καὶ ἀντιτύπους, ὅταν οἷον εἰκόνας τῶν ὄντων, ἀλλὰ μὴ αὐτά πω τὰ ὄντα θεωρῇ, καινολογούντων ἐστὶν, εἰς σύστασιν τῆς ἰδίας αἱρέσεως. Ὡς γὰρ τῆς ἀρχαίας Ἑλληνικῆς [ σοφίας ] οὐχ ἁπτόμενοι, ταῦτα σκευωροῦνται, εἰδότων καὶ σαφῶς τῶν Ἑλλήνων ἀτύφως λεγόντων ἀναβάσεις ἐκ τοῦ σπηλαίου, καὶ κατὰ βραχὺ εἰς θέαν ἀληθεστέραν μᾶλλον καὶ μᾶλλον προϊούσας· ὅλως γὰρ αὐτοῖς τὰ μὲν παρὰ τοῦ Πλάτωνος εἴληπται, τὰ δὲ, ὅσα καινοτομοῦσιν, ἵνα ἰδίαν φιλοσοφίαν θῶνται, ταῦτα ἔξω τῆς ἀληθείας εὕρηται· ἐπεὶ καὶ αἱ δίκαι καὶ οἱ ποταμοὶ οἱ ἐν ᾅδου, καὶ αἱ μετενσωματώσεις ἐκεῖθεν, καὶ ἐπὶ τῶν νοητῶν δὲ πλῆθος ποιῆσαι, τὸ ὂν, καὶ τὸν νοῦν, καὶ τὸν δημιουργὸν ἄλλον, καὶ τὴν ψυχὴν ἐκ τῶν ἐν τῷ Τιμαίῳ λεχθέντων εἴληπται. Εἰπόντος γὰρ αὐτοῦ, ᾗπερ οὖν νοῦς ἐνούσας ἰδέας ἐν τῷ ὅ ἐστι ζῷον καθορᾷ,

VI. Quid præterea dicam de cæteris substantiis, quas inducunt, cognominantes tum transmigrationes, tum simulacra repercussa, tum pœnitentias [ *consilii mutationes* ]? Si enim talia quædam esse passiones animæ volunt, quando scilicet afficitur pœnitentia: item repercussa simulacra, quando velut imagines entium, sed nondum ipsa entia contemplatur: profecto id totum vaniloquium est confirmandæ sectæ gratia introductum. Atqui cum antiquam Græcorum sapientiam non attigerint, figmenta ejusmodi commentantur. Sane veteres Græci et recte noverunt, et sine tumiditate jactantiaque descripserunt quasdam ex spelunca quadam ascensiones, animasque inde paulatim in veriorem contemplationem progredientes. Compertum habemus, eos pleraque a Platone surripuisse, et, quæcumque innovant, quo philosophiam propriam asserant, a veritate procul errare: nempe judicia, pœnas apud inferos, flumina, transmigrationes in corpora varia, a Platone accipiuntur: item quod in mundo intelligibili multitudinem ponunt, videlicet ipsum ens, et deinde intellectum, et post hæc opificem alium, ipsam scilicet animam sibi ex Timæi verbis usurpaverunt. Sic enim in Timæo scribitur a Platone: Quatenus igitur intellectus ideas existentes

τοσαύτας καὶ ὁ τόδε ποιῶν τὸ πᾶν διενοήθη σχεῖν. Οἱ δὲ, οὐ συνέντες, τὸν μὲν ἔλαβον ἐν ἡσυχίᾳ ἔχοντα ἐν αὑτῷ πάντα τὰ ὄντα, τὸν δὲ νοῦν ἕτερον παρ' αὐτὸν θεωροῦντα, τὸν δὲ διανοούμενον. Πολλάκις δὲ αὐτοῖς ἀντὶ τοῦ διανοουμένου ψυχή ἐστιν ἡ δημιουργοῦσα, καὶ κατὰ Πλάτωνα τοῦτον οἴονται εἶναι τὸν δημιουργὸν, ἀφεστηκότες τοῦ εἰδέναι, τίς ὁ δημιουργός. Καὶ ὅλως τὸν τρόπον τῆς δημιουργίας καὶ ἄλλα πολλὰ καταψεύδονται αὐτοῦ, καὶ πρὸς τὸ χεῖρον ἕλκουσι τὰς δόξας τοῦ ἀνδρὸς, ὡς αὐτοὶ μὲν τὴν νοητὴν φύσιν κατανενοηκότες, ἐκείνου δὲ καὶ τῶν ἄλλων τῶν μακαρίων ἀνδρῶν, μή. Καὶ πλῆθος νοητῶν ὀνομάζοντες τὸ ἀκριβὲς ἐξευρηκέναι δόξειν οἴονται, αὐτῷ τῷ πλήθει τὴν νοητὴν φύσιν τῇ αἰσθητικῇ καὶ ἐλάττονι εἰς ὁμοιότητα ἄγοντες, δέον ἐκεῖ τὸ ὡς ὅτι μάλιστα ὀλίγον εἰς ἀριθμὸν διώκειν, καὶ τῷ μετὰ τὸ πρῶτον τὰ πάντα ἀποδιδόντας ἀπηλλάχθαι, ἐκείνου τῶν πάντων ὄντος, καὶ νοῦ τοῦ πρώτου καὶ οὐσίας, καὶ ὅσα ἄλλα καλὰ μετὰ τὴν πρώτην φύσιν, ψυχῆς δὲ εἶδος τρίτον· διαφορὰς δὲ ψυχῶν ἐν πάθεσιν ἢ ἐν φύσει ἰχνεύειν, μηδὲν τοὺς θείους ἄνδρας διασύροντας· ἀλλ' εὐμενῶς δεχομένους τὰ ἐκείνων ὡς παλαιοτέρων· καὶ, ἃ καλῶς λέγουσι, παρ' ἐκείνων λαβόντας, ψυχῆς ἀθανασίαν, νοητὸν κόσμον, θεὸν τὸν πρῶτον, τὸ τὴν ψυχὴν δεῖν φεύγειν τὴν πρὸς τὸ σῶμα ὁμιλίαν, τὸν χωρισμὸν τὸν ἀπ' αὐτοῦ, τὸ ἐκ γενέσεως φεύγειν εἰς οὐσίαν. Ταῦτα γὰρ κείμενα παρὰ τῷ Πλάτωνι σαφῶς οὑτωσὶ λέγοντες καλῶς ποιοῦσιν· οἷς θέλουσι διαφωνεῖν φθόνος οὐδεὶς λεγόντων, οὐδ' ἐν τῷ τοὺς Ἕλληνας διασύρειν καὶ ὑβρίζειν τὰ αὑτῶν ἐν συστάσει παρὰ τοῖς ἀκούουσι ποιεῖν, ἀλλ' αὐτὰ παρ' αὑτῶν δεικνύναι ὀρθῶς ἔχοντα, ὅσα ἴδια αὐτοῖς ἔδοξε παρὰ τὴν ἐκείνων δόξαν λέγειν, εὐμενῶς καὶ φιλοσόφως αὐτὰς τὰς δόξας τιθέντας αὑτῶν· καὶ οἷς ἐναντιοῦνται δικαίως πρὸς τὸ ἀληθὲς βλέποντας, οὐ τὴν εὐδοκίμησιν θηρωμένους ἐκ τοῦ πρὸς ἄνδρας κεκριμένους ἐκ παλαιοῦ οὐ παρὰ φαύλων ἀνδρῶν ἀγαθοὺς εἶναι ψέγειν, λέγοντας ἑαυτοὺς ἐκείνων ἀμείνους εἶναι· ἐπεὶ τά γε εἰρημένα τοῖς παλαιοῖς περὶ τῶν νοητῶν πολλῷ ἀμείνω καὶ πεπαιδευμένως εἴρηται, καὶ τοῖς μὴ ἐξαπατωμένοις τὴν ἐπιθέουσαν εἰς ἀνθρώπους ἀπάτην ῥᾳδίως γνωσθήσεται· τὰ δὲ ὕστερον τούτοις παρ' ἐκείνων ληφθέντα, προσθήκας δέ τινας οὐδὲν προσηκούσας εἰληφότα, ἔν τε οἷς ἐναντιοῦσθαι θέλουσι γενέσεις καὶ φθορὰς εἰσάγοντες παντελεῖς, καὶ μεμφόμενοι τῷδε τῷ παντὶ, καὶ τὴν πρὸς τὸ σῶμα κοινωνίαν τῇ ψυχῇ αἰτιώμενοι, καὶ τὸν διοικοῦντα τόδε τὸ πᾶν ψέγοντες, καὶ εἰς ταὐτὸν ἄγοντες τὸν δημιουργὸν τῇ ψυχῇ, καὶ τὰ αὐτὰ πάθη διδόντες ἅπερ καὶ τοῖς ἐν μέρει.

in eo, quod vivens est, intuetur, eatenus atque totidem *architectus mundi cogitavit in mundo comprehendi.* At illi, Platonem nequaquam intelligentes, numen quoddam existimaverunt in quadam quiete in se omnia continere: intellectum vero sequentem, quae sunt in illo, suspicere, *alium autem excogitare. Saepe vero apud eos id,* quod excogitare dicitur, anima est artifex universi: talemque apud Platonem mundi artificem esse putant, nulla ex parte intelligentes quis mundi sit opifex, quaeve opificii ratio. *Multa praeterea in Platone interpretando mentiri* deprehenduntur, opinionesque ejus in deterius detorquere: quasi vero ipsi tantum naturam intelligibilem fuerint consecuti, Plato autem ceterique beati viri assequi non potuerint. *Tum vero ex eo, quod intelligibilium multitudinem* nominant, videri palam confidunt, ad summum intelligibilium pervenisse, cum tamen ex ipsa multitudine naturam intelligibilem in similitudinem deducant sensibilis *deteriorisque naturae.* Decet *profecto naturam intelligibilem* in numerum, quoad fieri potest, minimum quasi colligere, atque ipsi, quod est post primum, attribuere cuncta, neque ulterius intelligibilia numerare: quippe cum *illud omnia sit, et intellectus primus et essentia prima, et* quotcumque alia pulchra post primam naturam considerantur: speciem vero animae tertiam collocare. Praeterea differentias animarum in passionibus vel natura decet investigare, nec ulla in re viros divinos cavillari: *sed antiquorum* mysteria benigne interpretari, accipientes ab illis, quae recte dicunt, immortalitatem animae, intelligibilem mundum, deum primum, item, animam oportere commercium corporis aufugere, rursus, separationem animae a corpore nihil aliud esse, quam a generatione ad essentiam se conferre. Haec utique a Platone tractata, siquidem ita perspicue dicant, recte faciunt: quibus volentibus dissentire nulla invidia dicentium, nefas esse cavillationibus conviciisque in Graecos sua dogmata audientibus confirmare: quin imo demonstrandum est sua recte se habere, quotcumque praeter illorum opinionem propria invenerunt, disserendumque benigna integritateque philosophica ipsas eorum opiniones adducere decet: et, in quibus adversantur, juste spectare verum: nec ullo modo popularem approbationem aucupari viros illos vituperando, qui a viris non mediocribus jam multis sunt seculis comprobati. Omnino vero ridiculum est profiteri, se illis esse praestantiores: nempe quae de ordine intelligibili ab antiquis tradita sunt, multo melius eruditiusque dicuntur, facileque cognoscentur ab illis, qui fallacia passim homines invadente *decepti minime fuerint.* *Profecto rebus, quas deinceps* hi ab illis acceperunt, adjunctiones quaedam nullo modo convenientes annexae deprehenduntur: sane, in quibus adversari contendunt, generationes corruptionesque multiplices afferunt. Praeterea universum hoc incusant, commerciumque animae cum corpore criminantur: ipsumque, qui totum disponit mundum, vituperant. Atque in idem omnino architectum mundi animamque reducunt: cui quidem passiones easdem, quas et particularibus animalibus, attribuunt.

Quomodo facilius anima mundi regat mundum, quam anima nostra corpus nostrum: et quam bene mundus disponatur.

Ζ'. Ὅτι μὲν οὖν οὔτε ἤρξατο, οὔτε παύσεται, ἀλλ' ἔστιν ἀεὶ καὶ ὅδε ὁ κόσμος, ἕως ἂν ἐκεῖνα ᾖ, εἴρηται. Τὴν δὲ πρὸς τὸ σῶμα τῇ ψυχῇ κοινωνίαν τῇ ἡμετέρᾳ, πρὸ αὐτῶν εἴρηται, ὡς οὐκ ἄμεινον τῇ ψυχῇ. Τὸ δὲ

VII. *Dictum est alibi, hunc mundum neque incepisse* unquam, neque desinere, sed esse tamdiu quamdiu sunt et divina. Quod praeterea commercium animae nostrae cum corpore non sit animae melius, etiam ante illos est dictum. Animam vero totius a nostra accipere atque con-

ἀπὸ τῆς ἡμετέρας καὶ τὴν τοῦ παντὸς λαμβάνειν, ὅμοιον, ὡς εἴ τις, τὸ τῶν χυτρέων ἢ χαλκέων λαβὼν γένος ἐν πόλει εὖ οἰκουμένῃ, τὴν ἅπασαν ψέγοι. Δεῖ δὲ τὰς διαφορὰς λαμβάνειν τὰς τῆς ὅλης, ὅπως διοικεῖ· ὅτι μὴ ὁ αὐτὸς τρόπος, μηδὲ ἐνδεδεμένη. Πρὸς γὰρ αὖ ταῖς ἄλλαις διαφοραῖς, αἳ μυρίαι εἴρηνται ἐν ἄλλοις, κἀκεῖνο ἐνθυμεῖσθαι ἔδει, ὅτι ἡμεῖς μὲν ὑπὸ τοῦ σώματος δεδέμεθα ἤδη δεσμοῦ γεγενημένου. Ἐν γὰρ τῇ πάσῃ ψυχῇ ἡ τοῦ σώματος φύσις δεδεμένη ἤδη συνδεῖ ὃ ἂν περιλάβῃ, αὐτὴ δὲ ἡ τοῦ παντὸς ψυχὴ οὐκ ἂν δέοιτο ὑπὸ τῶν ὑπ' αὐτῆς δεδεμένων· ἄρχει γὰρ ἐκείνη, διὸ καὶ ἀπαθὴς πρὸς αὐτῶν· ἡμεῖς δὲ τούτων οὐ κύριοι. Τὸ δ' ὅσον αὐτῆς πρὸς τὸ θεῖον τὸ ὑπεράνω ἀκέραιον μένει, καὶ οὐκ ἐμποδίζεται· ὅσον δὲ αὐτῆς δίδωσι τῷ σώματι ζωήν, οὐδὲν παρ' αὐτοῦ προσλαμβάνει· ὅλως γὰρ τὸ μὲν ἄλλου πάθημα τὸ ἐν αὐτῷ ἐξ ἀνάγκης δέχεται. Ὃ δ' αὐτῷ ἐκείνῳ οὐκέτι τὸ αὑτοῦ δίδωσιν οἰκείαν ζωὴν ἔχοντι, οἷον εἰ ἐγκεντρισθέν τι εἴη ἐν ἄλλῳ, παθόντος μὲν τοῦ ἐν ᾧ συμπέπονθεν, αὐτὸ δὲ ξηρανθὲν εἴασεν ἐκεῖνο τὴν αὑτοῦ ζωὴν ἔχειν· ἐπεὶ οὐδ' ἀποσβεννυμένου τοῦ ἐν σοὶ πυρὸς τὸ ὅλον πῦρ ἀπέσβη· ἐπεὶ οὐδ' εἰ τὸ πᾶν πῦρ ἀπόλοιτο, πάθοι ἄν τι ἡ ψυχὴ ἡ ἐκεῖ, ἀλλ' ἡ τοῦ σώματος σύστασις, καὶ εἰ οἷόν τε εἴη διὰ τῶν λοιπῶν κόσμον τινὰ εἶναι, οὐδὲν ἂν μέλοι τῇ ψυχῇ τῇ ἐκεῖ, ἐπεὶ οὐδὲ ἡ σύστασις ὁμοίως τῷ παντί, καὶ ζῴῳ ἑκάστῳ· ἀλλ' ἐκεῖ οἷον ἐπιθεῖ, κελεύσασα μένειν, ἐνταῦθα δέ, ὡς ὑπεκφεύγοντα, εἰς τὴν τάξιν τὴν ἑαυτῶν δέδεται δεσμῷ δευτέρῳ. Ἐκεῖ δὲ οὐκ ἔχει ὅπου φύγῃ· οὔτε οὖν ἐντὸς δεῖ κατέχειν, οὔτε ἔξωθεν, πιέζουσαν εἰς τὸ εἴσω ὠθεῖν, ἀλλ' ὅπου ἠθέλησεν ἐξ ἀρχῆς αὐτῆς ἡ φύσις μένει· ἐὰν δέ πού τι αὐτῶν κατὰ φύσιν κινηθῇ, οἷς οὐκ ἔστι κατὰ φύσιν, ταῦτα πάσχει, αὐτὰ δὲ καλῶς φέρεται, ὡς τοῦ ὅλου· τὰ δὲ φθείρεται, οὐ δυνάμενα τὴν τοῦ ὅλου τάξιν φέρειν· οἷον εἰ χοροῦ μεγάλου ἐν τάξει φερομένου ἐν μέσῃ τῇ πορείᾳ αὐτοῦ χελώνη ληφθεῖσα πατοῖτο, οὐ δυνηθεῖσα φυγεῖν τὴν τάξιν τοῦ χοροῦ· εἰ μέντοι μετ' ἐκείνης τάξειεν ἑαυτήν, οὐδὲν ἂν ὑπὸ τούτων οὐδὲ αὐτὴ πάθοι.

vere perinde se habet, ac si quis in civitate bene instituta accipiens figulorum vel fabrorum aerariorum genus, totam vituperet civitatem. Operae pretium vero est considerare, quam differenti ratione anima mundi gubernet: neque enim idem modus est, neque tanquam alligata gubernat. Nam praeter ceteras differentias, quae alibi enumeratae quam plurimae sunt, illud quoque considerare decebat, nos quidem ligari a corpore utpote vinculo jam effecto. In universa vero anima natura corporis jam ligata alligat, quicquid apprehenderit: ipsa vero totius anima haudquaquam ab his, quae ligat ipsa, ligatur: ipsa enim tanquam domina praebet exordium: idcirco neque ab ipsis neque cum ipsis patitur. Nos autem horum domini minime sumus. Quantum vero ipsius ad divinum, quod superius est, erigitur, integrum simplexque manet, nec impeditur: quantum autem ejusdem tradit corpori vitam, nihil ab ipso reportat. Communiter enim, quod est in alio, ejus, in quo est, necessario accipit passionem. Hoc autem haud ulterius sui aliquid tradit illi, quod vitam propriam possidet: veluti, si quid alicui sit insertum, patiente quidem eo, in quo est, compatitur; ipsum vero si quando exaruerit, permittit illud suam vitam habere. Quandoquidem neque extincto hoc, qui in te est, igne, totus ignis extinguitur: quinetiam neque si totus ignis extinguitur, anima illa quicquam patitur, sed ipsa corporis constitutio. Atqui etiam, si posset per reliqua mundus aliquis esse, nulla tamen de hoc cura illi animae foret: quoniam neque constitutio ipsa similis est mundo, atque cuilibet animali: sed ibi quidem quasi innuit, consistere jubens, hic autem elementa, quasi subterlabentia, secundo quodam vinculo in (priorem) suum, sive proprium, ordinem religantur. At vero illic non habent, quo diffugere possint. Neque igitur intus continere necesse est, neque extrinsecus coercendo ad interiora reducere: sed ubicumque ipsius natura ab initio voluit, ibi naturaliter singula permanent: si quid autem eorum naturaliter moveatur, illa interim patiuntur, quorum naturis motus ejusmodi minime congruit. Ipsa vero, quae natura moventur, rite feruntur: utpote quae universi sunt membra: nonnulla vero hinc perimuntur, quippe quae totius ordinem sustinere vel declinare non possint: ceu si chorea ingens agatur ordine, atque in medio ejus ductu testudo comprehensa alicubi pessumdetur, cum chori ordinem effugere nequeat: attamen si ordini choreae se ipsam annecteret, nec ipsa quidem ab his aliquid pateretur.

Mundus non errore, sed naturali potentia factus est: et bonus, quia divinitati similis, quamvis non aequalis.

Η'. Τὸ δέ, διὰ τί ἐποίησε κόσμον, ταὐτὸν τῷ διὰ τί ἔστι ψυχή; καὶ διὰ τί ὁ δημιουργὸς ἐποίησεν; Ὃ πρῶτον μὲν ἀρχὴν λαμβανόντων ἐστὶ τοῦ ἀεί· ἔπειτα οἴονται τραπέντα ἔκ τινος εἴς τι καὶ μεταβάλλοντα αἴτιον τῆς δημιουργίας γεγονέναι. Διδακτέον οὖν αὐτούς, εἰ εὐγνωμόνως ἂν ἔχοιντο, τίς ἡ φύσις τούτων, ὡς αὐτοὺς παύσασθαι τῆς εἰς τὰ τίμια λοιδορίας, ἣν εὐχερῶς ποιοῦνται, ἀντὶ πολλῆς, προσηκόντως ἄν, γενομένης εὐλαβείας· ἐπεὶ οὐδὲ τοῦ παντὸς τὴν διοίκησιν ὀρθῶς ἄν τις μέμψαιτο, πρῶτον μὲν ἐνδεικνυμένην τῆς νοητῆς φύσεως τὸ μέγεθος. Εἰ γὰρ οὕτως εἰς τὸ ζῆν παρελήλυθεν, ὡς μὴ ζωὴν ἀδιάρθρωτον ἔχειν, ὁποῖα τὰ σμικρότερα τῶν ἐν αὐτῷ, ἃ τῇ πολλῇ ζωῇ τῇ ἐν αὐτῷ ἀεὶ νύκτωρ καὶ μεθ' ἡμέραν γεννᾶται· ἀλλ' ἔστι συνεχὴς καὶ ἐναργής, καὶ πολλὴ

VIII. Quod autem quaeri solet, quam ob causam fecit mundum? idem est, ac si quaeratur: quare est anima? et quare ipse opifex fecit? Quod primo quidem eorum est, qui sempiternitatis ipsius principium apprehendere moliuntur: deinde putant opificem mundi conversum permutatumque ab aliquo in aliquid evasisse causam fabricandi. Docendi itaque sunt (si modo dociles se praestiterint), quae eorum natura sit, ut desinant aliquando, quae sunt veneranda, vituperare: quae quidem propensius detestantur, cum tamen magnopere deceat venerari: et quisnam dispositionem mundi jure vituperet, quae quidem in primis magnitudinem intelligibilis naturae demonstrat? Si enim ita processit in vitam, ut vitam non habeat indistinctam atque confusam, qualia sunt, quae in mundo sunt minima, quae copia mundanae vitae assidue die noctuque gignuntur, sed est continua perspicuaque et multa et ubi

καὶ πανταχοῦ ζωὴ, σοφίαν ἀμήχανον ἐνδεικνυμένη, πῶς οὐκ ἄν τις ἄγαλμα ἐναργὲς καὶ καλὸν τῶν νοητῶν θεῶν εἴποι; Εἰ δὲ μιμούμενον μή ἐστιν ἐκεῖνο, αὐτὸ τοῦτο κατὰ φύσιν ἔχει· οὐ γὰρ ἦν ἔτι μιμούμενον. Τὸ δὲ ἀνομοίως μιμεῖσθαι, ψεῦδος· οὐδὲν γὰρ παραλέλειπται, ὧν οἷόν τε ἦν καλὴν εἰκόνα φυσικὴν ἔχειν· ἀναγκαῖον μὲν γὰρ ἦν εἶναι, οὐκ ἐκ διανοίας καὶ ἐπιτεχνήσεως, τὸ μίμημα. Οὐ γὰρ οἷόν τε ἦν ἔσχατον τὸ νοητὸν εἶναι· εἶναι γὰρ αὐτοῦ ἐνέργειαν ἔδει διττὴν, τὴν μὲν ἐν ἑαυτῷ, τὴν δὲ εἰς ἄλλο. Ἔδει οὖν εἶναί τι μετ' αὐτό· ἐκείνου γὰρ μόνον οὐδέν ἐστιν ἔτι πρὸς τὸ κάτω ὃ τῶν πάντων ἀδυνατώτατόν ἐστι· δύναμις δὲ θαυμαστὴ ἐκεῖ θεῖ, ὥστε καὶ εἰργάσατο. Εἰ μὲν δὴ ἄλλος κόσμος ἐστὶ τούτου ἀμείνων, τίς οὗτος; εἰ δὲ ἀνάγκη εἶναι, ἄλλος δὲ οὐκ ἔστιν, οὗτός ἐστιν ὁ τὸ μίμημα ἀποσώζων ἐκείνου· γῆ μὲν δὴ πᾶσα ζώων ποικίλων πλήρης καὶ ἀθανάτων, καὶ μέχρις οὐρανοῦ μεστὰ πάντα. Ἄστρα δὲ τά τε ἐν ταῖς ὑποκάτω σφαίραις, τά τε ἐν τῷ ἀνωτάτω, διὰ τί οὐ θεοὶ, ἐν τάξει φερόμενα, καὶ κόσμῳ περιϊόντα; διὰ τί γὰρ οὐκ ἀρετὴν ἕξουσιν; ἢ τί κώλυμα πρὸς κτῆσιν ἀρετῆς αὐτοῖς; οὐ γὰρ δὴ ταῦτά ἐστιν ἐκεῖ, ἅπερ τοὺς ἐνταῦθα ποιεῖ κακοὺς, οὐδ' ἡ τοῦ σώματος κακία ἐνοχλουμένη καὶ ἐνοχλοῦσα. Διὰ τί δὲ οὐ συνιᾶσιν ἐπὶ σχολῆς ἀεὶ, καὶ ἐν νῷ λαμβάνουσι τὸν θεὸν, καὶ τοὺς ἄλλους τοὺς νοητοὺς θεούς; ἀλλ' ἡμῖν σοφία βελτίων ἔσται τῶν ἐκεῖ. Ταῦτα τίς ἂν μὴ ἔκφρων γεγενημένος ἀνάσχοιτο; ἐπεὶ καὶ αἱ ψυχαὶ, εἰ μὲν βιασθεῖσαι ὑπὸ τῆς τοῦ παντὸς ψυχῆς ἦλθον, πῶς βελτίους αἱ βιασθεῖσαι; ἐν γὰρ ψυχαῖς τὸ κρατῆσαν κρεῖττον· εἰ δὲ ἑκοῦσαι, τί μέμφεσθε εἰς ὃν ἑκόντες ἤλθετε; διδόντος καὶ ἀπαλλάττεσθαι, εἴ τις μὴ ἀρέσκοιτο. Εἰ δὲ δὴ καὶ τοιοῦτόν ἐστι τόδε τὸ πᾶν ὡς ἐξεῖναι ἐν αὐτῷ καὶ σοφίαν ἔχειν, καὶ ἐνταῦθα ὄντας βιοῦν κατ' ἐκεῖνα, πῶς οὐ μαρτυρεῖ ἐξηρτῆσθαι τῶν ἐκεῖ;

quæ vita sapientiam inæstimabilem præ se ferens: quidnam prohibet statuam manifestam deorum intelligibilium et pulcherrimam affirmare? Quodsi mundana hæc statua, dum supernum imitatur exemplar, non est idem, profecto hoc ipsum naturaliter habet: alioquin imitatio illius nimio foret. Quod autem objiciunt dissimiliter imitari, falsum est. Nihil enim prætermissum est eorum, quæ pulchra naturalisque imago posset habere: siquidem necessarium erat, imitationem hanc exstare, neque tamen ex quadam cogitatione artificiosaque cura. Neque enim fieri poterat, ut ipsum intelligibile esset in universo postremum: quippe cum actum ejus esse geminum oportuerit: alterum quidem in se ipso manentem, alterum in aliud prodeuntem. Oportuit igitur post ipsum aliud insuper esse. Solum namque, quod omnium infirmissimum est, ita se habet, ut nihil ipsius ad inferiora descendat, potestas vero mirabilis ibi viget. Quapropter et opus inde [ semper ] emicuit. Ac si mundus alter est hoc melior, quisnam ille? Quodsi necesse est mundum esse, neque tamen est alter, solus hic est, qui superioris imaginem imitando conservat. Terra quidem tota variorum animalium plena est, atque etiam immortalium, et usque ad cœlum horum plena sunt omnia. Stellæ vero et quæ inferioribus insunt sphæris, et quæ in supremis micant, cur dii non sint, cogitari non potest: quippe cum mirabili ordine perferantur ornatuque præcipuo circumcurrant. Quid enim in causa esse possit, ut virtutem non habeant, quidve illis impedimenti ad virtutem consequendam? Non enim ibi hæc sunt, quæ terrenos efficiunt malos: neque in corporibus illis vitium est, quale hic, quod perturbatur atque conturbat: præterea quidnam vetat superos, qui in perpetuo vivunt otio, intelligere, atque mente deum ceterosque intelligibiles deos accipere? Forsan sapientia nobis præstantior, quam illis, adest. At hoc nemo unquam, nisi insanus, admiserit: quandoquidem animæ, si huc compulsæ a mundi anima descenderunt, quomodo præstantiores sunt, cum vim patiantur? Sane in animabus, quod superat, præstantius est et melius. Sin autem huc sponte venerunt, cur nam huic regioni detrahitis, in quam sponte venistis? præsertim cum et abire permittat, si cui non placeat habitare. Jam vero si tale est hoc universum, ut liceat in eo et sapientiam comparare, et hic habitantes ad supernorum similitudinem vivere, procul dubio id ipsum testatur mundum desuper dependere.

Omnia juste dispensantur in mundo: bonaque in eo sunt mundna: et ipse bonus est, ac deus curam habet.

Θ'. Πλούτους δὲ καὶ πενίας εἴ τις μέμφοιτο, καὶ τὸ οὐκ ἴσον ἐν τοῖς τοιούτοις ἅπασι, πρῶτον μὲν ἀγνοεῖ, ὡς ὁ σπουδαῖος ἐν τούτοις τὸ ἴσον οὐ ζητεῖ, οὐδέ τι νομίζει τοὺς πολλὰ κεκτημένους πλέον ἔχειν, οὐδὲ τοὺς δυναστεύοντας τῶν ἰδιωτῶν, ἀλλὰ τὴν τοιαύτην σπουδὴν ἄλλους ἐᾷ ἔχειν. Καὶ καταμεμάθηκεν, ὡς διττὸς ὁ ἐνθάδε βίος, ὁ μὲν τοῖς σπουδαίοις, ὁ δὲ τοῖς πολλοῖς τῶν ἀνθρώπων· τοῖς μὲν σπουδαίοις πρὸς τὸ ἀκρότατον καὶ τὸ ἄνω, τοῖς δὲ ἀνθρωπικωτέροις, διττὸς αὖ ὤν, ὁ μὲν μεμνημένος ἀρετῆς μετίσχει ἀγαθοῦ τινος, ὁ δὲ φαῦλος ὄχλος οἷον χειροτέχνης τῶν πρὸς ἀνάγκην τοῖς ἐπιεικεστέροις· εἰ δὲ φονεύει τις ἢ ἐλαττοῦται τῶν ἡδονῶν ὑπὸ ἀδυναμίας, τί θαυμαστὸν καὶ ἁμαρτίας εἶναι, οὐ νῷ, ἀλλὰ ψυχαῖς, ὥσπερ παισὶν ἀνήβοις; εἰ δὲ γυμνάσιον εἴη νικώντων καὶ ἡττωμένων, πῶς οὐ καὶ ταύτῃ καλῶς ἔχει; εἰ δ' ἀδικεῖ, τί δεινὸν τῷ ἀθανάτῳ; Καὶ εἰ φονεύει, ἔχεις ὃ θέλεις· εἰ δὲ ἤδη μέμφῃ, πολιτεύεσθαι ἀνάγκην οὐκ ἔχεις. Ὁμολογεῖται δὲ καὶ

IX. Si quis autem de mundi sorte queratur, divitiarum paupertatisque gratia culpans videlicet, quod æqualis in his distributio non contingat, hic prorsus ignorat, probum virum æqualitatem in his rebus nequaquam exigere: neque arbitrari, homines plus habentes pecuniarum habere plus boni: neque judicare, dominantes plus, quam privati habeant, possidere: sed harum rerum studium aliis consulto concedere. Novit profecto vir probus, geminam hic esse vitam: alteram quidem proborum, alteram vero multorum: proborumque vitam ad summum gradum supremamque naturam erigi, eorum vero vitam, qui humiliores sunt, similiter esse duplicem? ut altera quidem virtutis memor merito alicujus boni sit particeps, altera vero sit velut turba vilis atque mechanica, honestioribus viris necessaria subministrans. Si autem vel committitur homicidium, vel ob infirmitatem animus a voluptatibus superatur, nihil mirum videri debet, hic esse peccata non quidem in mente, sed in animabus tanquam in pueris atque quibusdam citra pubertatem adolescentulis. Quodsi ejusmodi sors exercitatio quædam sit vincentium atque victorum, hac quoque ratione recte se habet: sin autem patiaris injuriam, nil inde immortali est grave futurum. Rursus si occidaris, quod et optabas, habebis. Si vero adhuc talia damnas, nihil te in hac urbe moras trahere

δίκας εἶναι ἐνθάδε καὶ κολάσεις. Πῶς οὖν ὀρθῶς ἔχει μέμφεσθαι πόλει διδούσῃ ἑκάστῳ τὴν ἀξίαν, οὗ καὶ ἀρετὴ τετίμηται, καὶ κακία τὴν προσήκουσαν ἀτιμίαν ἔχει. Καὶ θεῶν οὐ μόνον ἀγάλματα, ἀλλὰ καὶ αὐτοὶ ἄνωθεν ἐφορῶντες, οἳ ῥᾳδίως αἰτίας, φησὶν, ἀποφεύξονται πρὸς ἀνθρώπων, πάντα ἄγοντες τάξει ἐξ ἀρχῆς εἰς τέλος, μοῖραν ἑκάστῳ τὴν προσήκουσαν διδόντες, κατὰ ἀμοιβὰς βίων τοῖς προϋπηργμένοις ἀκόλουθον, ἣν ὁ ἀγνοῶν προπετέστερος ἀνθρώπων, περὶ πραγμάτων θείων ἀγροικιζόμενος. Ἀλλὰ χρὴ ὡς ἄριστον μὲν αὐτὸν πειρᾶσθαι γίγνεσθαι, μὴ μόνον δὲ αὐτὸν νομίζειν ἄριστον δύνασθαι γενέσθαι, οὕτω γὰρ οὔπω ἄριστος, ἀλλὰ καὶ ἀνθρώπους ἄλλους ἀρίστους, ἔτι καὶ δαίμονας ἀγαθοὺς εἶναι, πολὺ δὲ μᾶλλον θεοὺς τούς τε ἐν τῷδε ὄντας, κἀκεῖ βλέποντας· πάντων δὲ μάλιστα, τὸν ἡγεμόνα τοῦδε τοῦ παντὸς, ψυχὴν μακαριωτάτην, ἐντεῦθεν δὲ ἤδη καὶ τοὺς νοητοὺς ὑμνεῖν θεοὺς, ἐφ' ἅπασι δὲ ἤδη τὸν μέγαν τὸν ἐκεῖ βασιλέα, καὶ ἐν τῷ πλήθει μάλιστα τῶν θεῶν τὸ μέγα αὐτοῦ ἐνδεικνυμένους. Οὐ γὰρ τὸ συστεῖλαι εἰς ἕν, ἀλλὰ τὸ δεῖξαι πολὺ τὸ θεῖον ὅσον ἔδειξεν αὐτὸς, τοῦτ' ἐστι δύναμιν θεοῦ εἰδότων, ὅταν, μένων ὅς ἐστι, πολλοὺς ποιῇ πάντας εἰς αὐτὸν ἀνηρτημένους, καὶ δι' ἐκεῖνον καὶ παρ' ἐκείνου ὄντας· καὶ ὁ κόσμος ὅδε δι' ἐκεῖνόν ἐστι, κἀκεῖ βλέπει καὶ πᾶς, καὶ θεῶν ἕκαστος, καὶ τὰ ἐκείνου προφητεύει ἀνθρώποις, καὶ χρῶσιν, ἃ ἐκείνοις φίλα. Εἰ δὲ μὴ τοῦτό εἰσιν, ὃ ἐκεῖνός ἐστιν, αὐτὸ τοῦτο κατὰ φύσιν ἔχει. Εἰ δ' ὑπερορᾷν θέλεις, καὶ σεμνύνεις σαυτὸν ὡς οὐ χείρων, πρῶτον μὲν ὅσῳ τις ἄριστος, πρὸς πάντας εὐμενῶς ἔχει καὶ πρὸς ἀνθρώπους· ἔπειτα σεμνὸν δεῖ εἰς μέτρον, μετὰ οὐκ ἀγροικίας, ἐπὶ τοσοῦτον ἰόντα, ἐφ' ὅσον ἡ φύσις δύναται ἡμῶν ἀνιέναι· τοῖς δ' ἄλλοις νομίζειν εἶναι χώραν παρὰ τῷ θεῷ, καὶ μὴ αὐτὸν μόνον μετ' ἐκεῖνον τάξαντα, ὥσπερ ὀνείρασι πέτεσθαι, ἀποστεροῦντα ἑαυτὸν, καὶ ὅσον ἐστὶ δυνατὸν ψυχῇ ἀνθρώπου θεῷ γενέσθαι. Δύναται δὲ, εἰς ὅσον νοῦς ἄγει· τὸ δὲ ὑπὲρ νοῦν ἤδη ἐστὶν ἔξω νοῦ πεσεῖν. Πείθονται δὲ ἄνθρωποι ἀνόητοι τοῖς τοιούτοις τῶν λόγων ἐξαίφνης ἀκούοντες, ὡς Σὺ ἔσῃ βελτίων ἁπάντων οὐ μόνον ἀνθρώπων, ἀλλὰ καὶ θεῶν· πολλὴ γὰρ ἐν ἀνθρώποις ἡ αὐθάδεια, καὶ ὁ πρότερον ταπεινὸς καὶ μέτριος καὶ ἰδιώτης ἀνὴρ εἰ ἀκούσειε· Σὺ εἶ θεοῦ παῖς, οἱ δ' ἄλλοι, οὓς ἐθαύμαζες, οὐ παῖδες, οὐδὲ ἃ τιμῶσιν ἐκ πατέρων λαβόντες· Σὺ δὲ κρείττων καὶ τοῦ οὐρανοῦ, οὐδὲν πονήσας. Εἶτα καὶ συνεπηχοῦσιν ἄλλοι, οἷον εἴ [τις] ἐν πλείστοις ἀριθμεῖν οὐκ εἰδόσιν, ἀριθμεῖν οὐκ εἰδὼς, πηχέων χιλίων εἶναι ἀκούοι, τί ἂν εἰ χιλιόπηχυς εἶναι νομίζοι, τοὺς ἄλλους πενταπήχεις εἶναι ἀκούοι, μόνον δὲ φαντάζοιτο, ὡς τὰ χίλια ἀριθμὸς μέγας. Εἶτ' ἐπὶ τούτοις ἡμῶν προνοεῖ ὁ θεός· τοῦ δὲ κόσμου παντὸς, ἐν ᾧ καὶ αὐτοὶ, διὰ τί ἀμελεῖ; Εἰ μὲν γὰρ, ὅτι οὐ σχολὴ αὐτῷ πρὸς αὐτὸν βλέπειν, οὐδὲ θέμις αὐτῷ πρὸς τὸ κάτω· καὶ πρὸς αὐτοὺς βλέπων, διὰ τί οὐκ ἔξω βλέπει, καὶ πρὸς τὸν

cogit. Constat praeterea judicia poenasque hic esse: quo fit, ut injustum sit civitatem hanc criminari, unicuique pro dignitate distribuentem: in qua honoratur virtus, pravitas meritum reportat dedecus. Neque solum statuae hic sunt deorum, sed ipsi quoque dii ab alto prospicientes: qui facile apud homines (ut fertur) culpas evadunt atque devitant: omnia a principio ad finem ordine perducentes, sortemque unicuique congruam secundum vitarum vicissitudines distribuentes: sortem, inquam, operibus praecedentibus consequentem: quam quidem sortem quisquis ignorat, maxime omnium temerarius rudisque in rebus divinis evadit. Oportet autem viribus cunctis contendere, ut optimus tandem efficiaris, neque putare, te solum fieri posse optimum, alioquin nondum optimus esses, verum cum alios quoque homines optimos esse, tum etiam daemones esse bonos, multoque magis deos, qui mundum hunc habitantes, superiorem suspiciunt mundum; horum vero omnium maxime totius mundi ducem, animam beatissimam: hinc et deos intelligibiles colere, praeter cunctos denique, et in cunctis magnum ibi regem omnium venerari: quem quidem in multitudine deorum potissimum excellentiam suam demonstrare procul dubio censeamus. Non enim in unicum duntaxat rem omnem repente contrahere, sed explicare tantam divinitatis amplitudinem, quantam explicavit ipse, eorum munus est, qui dei ipsius potentiam cognoverunt, quatenus videlicet manens ipse, qui est permanens, efficit multos, qui ab ipso cuncti dependeant: quippe cum per ipsum ab ipsoque sint. Atqui et hic mundus per illum est, et illuc suspicit totus. Suspicit et totus et quisque deorum, qui hominibus dei decreta praenunciant: et, quae ipsi placent, oraculis responsisque docuerunt. Quodsi sequentes hi dii non idem sunt, quod et primus deus, profecto hoc ipsum naturae consentaneum est. Sin autem superiora despicere libet, teque ipsum, quasi non sis deterior, magni facere: memento primum quidem, quanto quis melior est, tanto erga ceteros, cum homines, tum superos, benigniorem esse atque mansuetiorem: deinde, oportere dignitatem suam moderate servare, procul ab omni acerba rusticitate remotum, eatenus se attollentem, quatenus natura nostra progredi potest, atque existimantem, ceteris quoque aditum ad deum patere, neque velut in somnis pervolantem, solum se deo proximum subdere. In primisque cavere decet, ne se ipsum ea etiam facultate privet, quaecunque animo nostro ad hoc data est, ut deus efficiatur. Potest autem quatenus mens ipsa ducit. Mentem vero transcendere nihil aliud est, quam ab ipsa mente jam cadere. Credunt autem homines stulti verbis ejusmodi, cum primum audiunt: Eris tu quidem omnibus non tantum hominibus, sed diis quoque praestantior. Multa enim regnat in hominibus arrogantia: et qui antea modestus erat humilisque et simplex, confidentior jam efficitur, quando audit: Tu quidem es dei filius, ceteri autem, quos hactenus admirabaris, non sunt dei filii: sed neque alii, quae ipsi etiam a majoribus colunt, dei filii sunt: tu vero, absque controversia vel labore, es ipso caelo praestantior. Accedit ad haec, quod idem alii quoque conclamant: ceu si quis numerare nesciens in multorum turba numerare nescientium audiat alicunde magnitudinem suam cubitos mille prorsus implere. Quidnam? si mille cubitorum se existimet, ceteros autem quinque cubitos non excedere, nesciat quidem, qui quotve sint ii numeri, hunc tamen imaginetur numerum, quo ipse superat, esse quam plurimum. Contendunt praeterea deum humanarum quidem rerum curam habere, totius autem mundi, in quo sunt homines, nullam: vel cur eum mundum negligit? Si enim ideo negligit, quoniam non tantum habet otii, ut prospiciat universum, nimirum neque fas est ipsum inferiora curare. Item dum prospicit homines, cur non et quae cir-

κόσμον δὲ βλέπει, ἐν ᾧ εἰσιν· εἰ δὲ μὴ ἔξω, ἵνα μὴ τὸν κόσμον ἐφορᾷ, οὐδ' αὐτοὺς βλέπει. Ἀλλ' οὐδὲν δέονται αὐτοῦ· ἀλλ' ὁ κόσμος δεῖται, καὶ οἶδε τὴν τάξιν αὐτοῦ, καὶ οἱ ἐν αὐτῷ, ὅπως ἐν αὐτῷ, καὶ ὅπως ἐκεῖ. Καὶ ἀνδρῶν, οἳ ἂν θεῷ ὦσι φίλοι, πράως μὲν τὰ παρὰ τοῦ κόσμου φέροντες, εἴ τι ἐκ τῆς τῶν πάντων φορᾶς ἀναγκαῖον αὐτοῖς συμβαίνει. Οὐ γὰρ πρὸς τὸ ἑκάστῳ καταθύμιον, ἀλλὰ πρὸς τὸ πᾶν δεῖ βλέπειν· τιμῶν δὲ ἑκάστους κατ' ἀξίαν, σπεύδων δ' ἀεὶ οὗ πάντα σπεύδει τὰ δυνάμενα, πολλὰ δὲ εἶναι τὰ σπεύδοντα ἐκεῖ πάντα, καὶ τὰ μὲν τυγχάνοντα, μακάρια, τὰ δέ, ὡς δυνατόν, ἔχει τὴν προσήκουσαν αὐτοῖς μοῖραν, οὐχ αὑτῷ μόνῳ διδοὺς τὸ δύνασθαι. Οὐ γὰρ ᾗ ἐπαγγέλλει τὸ ἔχειν, ὃ λέγει τις ἔχειν, ἀλλὰ πολλὰ καὶ εἰδότες, ὅτι μὴ ἔχουσι, λέγουσιν ἔχειν, καὶ οἴονται ἔχειν, οὐκ ἔχοντες, καὶ μόνοι ἔχειν, ἃ αὐτοὶ μόνοι οὐκ ἔχουσιν.

constant interea conspicit : atque ita mundum, in quo sunt homines : sin autem non aspicit extra, ne mundum videat, neque etiam videt homines. At dicent, illo homines non egere ; attamen mundus indiget. Quin etiam novit ejus ordinem, et qui sint in ipso, qua conditione in eo sint, et quo pacto sint illi. Proinde quicumque inter homines deo sunt amici, quæ a mundo contingunt, æquo animo tolerantes, quicquid ex ipso omnium motu necessario provenit, recte ferunt. Neque id quidem injuria : non enim ad suum cujusque votum, sed ad totum ipsum spectare decet, honorantem singulos pro dignitate : eoque pro viribus contendentem, quo omnia, quæcumque possunt, natura contendunt, existimantem cursus multa esse : imo vero omnia, quæ illuc annituntur, et quæ consequuntur, esse beata : nonnulla vero, quoad sua fert natura, convenientem sibi sortem assequi. Profecto vir probus non sibi soli arrogat felicitatis consequendæ potentiam. Non enim ex eo, quod profitetur aliquid possidere, jam possidet : quin et multa plerique non habere se cognoscentes, habere se jactant, atque etiam non habentes opinantur habere, soloque possidere, cum tamen ipsi [soli] sint, qui non possideant.

Quantum errent, qui dicunt, mundi fabrum errore quodam fecisse mundum atque malum.

Ι'. Πολλὰ μὲν οὖν καὶ ἄλλα, μᾶλλον δὲ πάντα ἄν τις ἐξετάζων ἀφθονίαν ἔχοι ἄν, καθ' ἕκαστον λόγον δεικνὺς ὡς ἔχει. Αἰδὼς γάρ τις ἡμᾶς ἔχει πρός τινας τῶν φίλων, οἳ τούτῳ τῷ λόγῳ ἐντυχόντες πρότερον ἢ ἡμῖν φίλοι γενέσθαι, οὐκ οἶδ' ὅπως ἐπ' αὐτοῦ μένουσι, καίτοι αὐτοὶ οὐκ ὀκνοῦσι τὰ αὑτῶν ἐθέλοντες δοκεῖν εἶναι ἀληθῆ ἀξιοπίστως, ἢ καὶ οἰόμενοι τὰ αὑτῶν οὕτως ἔχειν, λέγειν δὴ ἃ λέγουσιν· ἀλλ' ἡμεῖς πρὸς τοὺς γνωρίμους οὐ πρὸς αὐτοὺς λέγοντες, πλέον γὰρ οὐδὲν ἂν γίγνοιτο πρὸς τὸ πείθειν αὐτούς, ἵνα μὴ πρὸς αὐτῶν ἐνοχλοῖντο, οὐκ ἀποδείξεις κομιζόντων, πῶς γάρ; ἀλλ' ἀπαυθαδιζομένων, ταῦτα εἰρήκαμεν· ἄλλου ὄντος τρόπου, καθ' ὃν ἄν τις γράφων ἠμύνατο τοὺς διασύρειν τὰ τῶν παλαιῶν καὶ θείων ἀνδρῶν καλῶς καὶ τῆς ἀληθείας ἐχομένως εἰρημένα τολμῶντας. Ἐκείνως μὲν οὖν ἐατέον ἐξετάζειν· καὶ γὰρ τοῖς ταῦτα ἀκριβῶς λαβοῦσι τὰ νῦν εἰρημένα ἔσται καὶ περὶ τῶν ἄλλων ἁπάντων, ὅπως ἔχει, εἰδέναι· ἐκεῖνα δὲ εἰπόντα ἐατέον τὸν λόγον, ὃ δὴ καὶ πάντα ὑπερβέβληκεν ἀτοπίᾳ, εἰ δεῖ ἀτοπίαν τοῦτο λέγειν· ψυχὴν γὰρ εἰπόντες νεῦσαι κάτω, καὶ σοφίαν τινά, εἴτε τῆς ψυχῆς ἀρξάσης, εἴτε τῆς τοιαύτης αἰτίας γενομένης σοφίας, εἴτε ἄμφω ταὐτὸν ἐθέλουσιν εἶναι, τὰς μὲν ἄλλας ψυχὰς συγκατεληλυθέναι λέγοντες, καὶ μέλη τῆς σοφίας, ταύτας μὲν ἐνδῦναι λέγουσι σώματα, οἷον τὰ τῶν ἀνθρώπων. Ἧς δὲ χάριν καὶ αὗται κατῆλθον, ἐκείνην λέγουσι πάλιν αὖ μὴ κατελθεῖν, οἷον μὴ νεῦσαι, ἀλλ' ἐλλάμψαι μόνον τῷ σκότῳ· εἶτ' ἐκεῖθεν εἴδωλον ἐν τῇ ὕλῃ γεγονέναι· εἶτα τοῦ εἰδώλου εἴδωλον πλάσαντες, ἐνταῦθά που δι' ὕλης ἢ ὑλότητος, ἢ ὅ τι ὀνομάζειν θέλουσι, τὸ μὲν ἄλλο, τὸ δὲ ἄλλο λέγοντες, καὶ πολλὰ ἄλλα ὀνόματα εἰπόντες, οὗ λέγουσιν εἰς ἐπισκότησιν, τὸν λεγόμενον παρ' αὐτοῖς δημιουργὸν γεννῶσι· καὶ ἀποστάντα τῆς μητρὸς ποιήσαντες τὸν κόσμον παρ' αὐτοῦ λέγουσιν, ἐπ' ἔσχατα εἰδώλων, ἵνα σφόδρα λοιδορήσεται ὁ τοῦτο γράψας.

X. Alia præterea multa, imo vero omnia aliquis discutiens, abunde facileque inveniet, qua ratione sigillatim, qualis sit illorum sermo, demonstret. Non possum equidem pudore non affici amicorum quorundam gratia, qui, antequam familiaritatem nobiscum inirent, in sermones ejusmodi inciderunt : in quibus adhuc nescio quomodo perseverant : quamvis non pudeat eos, sed impensius studeant, ut opiniones suæ veræ procul dubio videantur : vel etiam ipsi rem ita se habere existimant : nos autem ad notos tantum verba facimus, ad multos autem, qui illos audiunt, minime : nihil enim suadendo proficeremus, persuadere conantes, ne ab illis se perverti permittant, demonstrationes quidem nullas in medium afferentibus ; qua enim ratione valeant? sed pertinacius se jactantibus. Cum alter quidam sit modus, quo quis scribens eos refellat, qui non verentur circa præclarissima verissimaque priscorum divinorumque virorum mysteria cavillari. Quam ob rem illum discussionis modum missum in præsentia faciamus. Qui enim, quo modo dicta sunt, perfecte comprehenderint, plane, qualia sint et reliqua, poterunt judicare. Mitto et in præsentia dictum illud absurditate omnia superans, si modo absurditatem convenit hanc appellare : aiunt enim, animam atque sapientiam quandam ad id, quod inferius, annuisse [declinasse], sive nutum hunc inchoaverit anima, sive sapientia nutandi causa fuerit, sive ambo idem esse velint, alias utique animas condescendisse ferunt, et sapientiæ membra, easque ingredi corpora velut humana. Cujus autem gratia animæ delapsæ sunt, illam rursus tradunt minime labi, quasi non annuerit quidem, sed tantum tenebras illustraverit. Deinde hinc simulacrum in materia resultasse : deinceps simulacri simulacrum hic formantes per materiam, sive per materialitatem, sive quomodocumque nominare velint, aliud quidem hoc dicentes, aliud vero illud, aliaque multa nomina obscuritatis gratia confingentes, eum sic, qui apud eos mundi opifex nominatur, efficiunt. Atque desciscentem a matre ingentes mundum ab ipso deducunt ad extrema simulacrorum : ut, qui hæc scripsit, mordacius etiam convicietur.

Refellit, quod dicebant, illustrationem ab anima in materiam fecisse aliam animam, et illam fabricavisse singula.

ΙΑ'. Πρῶτον μὲν οὖν εἰ μὴ κατῆλθεν, ἀλλ' ἐνέλαμψε τὸ σκότος, πῶς ἂν ὀρθῶς λέγοιτο νενευκέναι; οὐ γάρ, εἴ τι παρ' αὐτῆς ἔῤῥευσεν οἷον φῶς, ἤδη νενευκέναι αὐτὴν λέγειν προσήκει· εἰ μή που τὸ μὲν ἔκειτό που ἐν τῷ κάτω, ἡ δὲ ἦλθε τοπικῶς πρὸς αὐτὸ, καὶ ἐγγὺς γενομένη ἐνέλαμψεν· εἰ δ' ἀφ' ἑαυτῆς μένουσα ἐνέλαμψε, μηδὲν εἰς τοῦτο ἐργασαμένη, διὰ τί μόνη αὐτὴ ἐνέλαμψεν, ἀλλ' οὐ τὰ δυνατώτερα αὐτῆς ἐν τοῖς οὖσιν; Εἰ δὲ τῷ λογισμὸν λαβεῖν αὐτὴ κόσμου ἠδυνήθη ἐλλάμψαι ἐκ τοῦ λογισμοῦ, διὰ τί οὐχ ἅμα ἐλλάμψασα καὶ κόσμον ἐποίησεν, ἀλλ' ἔμεινε τὴν τῶν εἰδώλων γένεσιν; Ἔπειτα καὶ ὁ λογισμὸς ὁ τοῦ κόσμου, ἡ γῆ αὐτοῖς ἡ ξένη λεγομένη, γενομένη ὑπὸ τῶν μειζόνων, ὡς λέγουσιν αὐτοὶ, οὐ κατήγαγεν εἰς νεῦσιν τοὺς ποιήσαντας. Ἔπειτα πῶς ἡ ὕλη φωτισθεῖσα εἴδωλα ψυχικὰ ποιεῖ, ἀλλ' οὐ σωμάτων φύσιν; Ψυχῆς δὲ εἴδωλον οὐδὲν ἂν δέοιτο σκότους ἢ ὕλης· ἀλλὰ γενόμενον, εἰ γίγνεται, παρακολουθοῖ ἂν τῷ ποιήσαντι, καὶ συνηρτημένον ἔσται. Ἔπειτα πότερον οὐσία τοῦτο, ἢ, ὥς φασιν, ἐννόημα; Εἰ μὲν γὰρ οὐσία, τίς ἡ διαφορὰ πρὸς τὸ ἀφ' οὗ; εἰ δ' ἄλλο εἶδος ψυχῆς, εἰ ἐκείνη λογικὴ, τάχα ἂν φυτικὴ καὶ γεννητικὴ αὕτη· εἰ δὲ τοῦτο, πῶς ἂν ἔτι ἵνα τιμῷτο, καὶ πῶς δι' ἀλαζονείαν καὶ τόλμαν ποιεῖ, καὶ ὅλως, τὸ διὰ φαντασίας; καὶ ἔτι μᾶλλον τοῦ λογίζεσθαι ἀνῄρηται· τί δ' ἔτι ἔδει ἐμποιεῖν ἐξ ὕλης καὶ εἰδώλου τὸν ποιήσαντα; εἰ δ' ἐννόημα, πρῶτον τὸ ὄνομα ἐπισημαντέον ὅθεν· ἔπειτα πῶς ἔστιν, εἰ μὴ τῷ ἐννοήματι δώσει τὸ ποιεῖν; ἀλλὰ πρὸς τῷ πλάσματι πῶς ἡ ποίησις; τουτὶ μὲν πρῶτον, ἄλλο δὲ μετ' ἐκεῖνο, ἀλλ' ὡς ἐπ' ἐξουσίας λέγοντες· διὰ τί δὲ πρῶτον πῦρ;

XI. At vero, si anima illa non decidit [*i. e. deorsum cecidit*], sed tenebras illustravit, quomodo recte dicetur inferius annuisse? *Non enim ex eo, quod aliquid quasi lumen* effluxit ab ipsa, jam dicenda est annuisse: nisi aliud quidem aliquo modo inferius positum sit; hæc autem ad id, quasi de loco ad locum translata descenderit, factaque propinquior illustraverit: si autem in se ipsa permanens *lumen effudit, nihil in hoc familiarius operata*, curnam sola anima illustravit, non autem illa etiam, quæ in ipso rerum ordine potentiora sunt, quam anima? Quodsi dicant, animam ex eo, quod rationalem mundi notionem in se comprehenderit, potuisse ex ipso rationali discursu illuminare: quidnam prohibet, quo minus, cum primum illuminavit, simul quoque mundum effecerit: cur simula*crorum genituram ulterius exspectavit? Deinde rationalis* ipsa mundi notio, quæ ab illis terra peregrina hospitalisque dicitur, facta a majoribus, ut ipsi ferunt, haudquaquam effectores deorsum coegit annuere. Præterea, quænam ratio est, per quam materia illustrata non corporum naturam, sed simulacra faciat animarum? Jam vero animæ simulacrum nihil vel tenebris vel materia indigere videtur: sed si quid fiat, mox *factum comitabitur effectorem*, eique [*corr.* eique] manebit annexum. Item, quod primum infunditur in materiam, utrum essentia est, an potius (ut *eorum verbis utar*) excogitamen? Si enim est essentia, quænam differentia erit inter hoc et illud, a quo manavit? Sin autem altera est animæ species, siquidem superior rationalis sit, fortasse hæc vegetalis est atque genitalis: quod si ita sit, quomodo verum erit, ut honoraretur *effecisse mundum? Et quo pacto per audaciam superbiam*que fecit, atque omnino, quod dicitur, per imaginationem quandam? multoque magis, quod per ratiocinationem fecisse dicitur, sic est confutatum. Quidve rursus oportuit effectorem ex materia simulacroque intus efficere? sin *autem dicatur, quod primum infunditur, esse excogitamen*: primo quidem interpretandum erit, unde nomen ejusmodi sit deductum; deinde qua ratione id est, nisi excogitamini huic dederit efficiendi virtutem? At vero quonam pacto penes figmentum hoc vigebit effectio? Dicent utique, hoc quidem prius fieri, aliud vero deinceps. Verum id sua quadam licentia dicent. Cur autem primo quidem ignis, [deinde cetera]?

Refellit eadem, et probat mundum factum esse simul totum.

ΙΒ'. Καὶ ἄρτι γενόμενον πῶς ἐπιχειρεῖ μνήμῃ ὧν εἶδεν; Ἀλλ' ὅλως οὐκ ἦν, ἵνα ἂν καὶ εἶδεν, οὔτε αὐτὸς, οὔτε ἡ μήτηρ, ἣν διδόασιν αὐτῷ· εἶτα πῶς οὐ θαυμαστὸν αὐτοὺς μὲν οὐκ εἴδωλα ψυχῶν ἐνθάδε ἐλθόντας εἰς τὸν κόσμον τόνδε, ἀλλ' ἀληθινὰς ψυχὰς, μόλις καὶ ἀγαπητῶς ἕνα ἢ δύο αὐτῶν ἐκ τοῦ κόσμου κινηθῆναι, ἐλθόντας εἰς ἀνάμνησιν, μόλις ἀναπόλησιν λαβεῖν ὧν ποτε εἶδον. Τὸ δὲ εἴδωλον τοῦτο, εἰ καὶ ἀμυδρῶς, ὥς λέγουσιν, ἀλλ' οὖν ἄρτι γενόμενον, ἐνθυμηθῆναι ἐκεῖνα, ἢ καὶ τὴν μητέρα αὐτοῦ, εἴδωλον ὑλικὸν, καὶ μὴ μόνον ἐνθυμηθῆναι ἐκεῖνα, καὶ κόσμου λαβεῖν ἔννοιαν κόσμου ἐκείνου, ἀλλὰ καὶ μαθεῖν ἐξ ὧν ἂν γένοιτο, πόθεν δὴ καὶ πρῶτον πῦρ ποιῆσαι, οἰηθέντα δεῖν τοῦτο πρῶτον. Διὰ τί γὰρ οὐκ ἄλλο; ἀλλ' εἰ ἐδύνατο ποιεῖν, ἐνθυμηθεὶς πῦρ, διὰ τί ἐνθυμηθεὶς κόσμον (πρῶτον γὰρ ἔδει ἐνθυμηθῆναι τὸν ὅλον) οὐ κόσμον ἀθρόως ἐποίει; ἐμπεριείχετο γὰρ κἀκεῖνα ἐν τῇ ἐνθυμήσει· φυσικώτερον γὰρ πάντως, ἀλλ' οὐχ ὡς αἱ τέχναι ἐποίει· ὕστεραι γὰρ τῆς φύσεως καὶ τοῦ κόσμου αἱ τέχναι, ἐπεὶ καὶ νῦν καὶ τὰ κατὰ μέρος γιγνόμενα

XII. Similiter quærendum est, qua ratione simulacrum illud nuper genitum aggrediatur effectionem recordatione *quadam eorum, quæ antea noverat? Non enim erat om*nino, quo posset cognoscere: neque etiam erat illa, quam illi suam matrem esse dicunt. Accedit ad hæc, quod illi hunc in mundum non tanquam animarum simulacra quædam, sed tanquam veræ animæ descenderunt, et tamen vix et ægre inter illos unus et ad summum duo ex mundo commoti, seque in memoriam revocantes, vix tandem *nonnihil eorum, quæ viderant*, animadversione resumunt. Nonne igitur supra modum mirabile est, vel simulacrum hoc, etiamsi (ut aiunt) tenuiter, attamen statim genitum excogitare superna: vel etiam ejus matrem eadem suspicari, quæ simulacrum est prorsus materiale? Neque solum illa considerare, et *mundi hujus illiusque accipere* notionem, sed etiam comprehendere, ex quibus efficiatur: Undenam primo ignem fieri cogitavit, existimans oportere id fieri primum? Cur non similiter aliud? Sed si potuit facere ex eo, quod notio ejus insignita est igne? cur non insignita mundo (prius enim oportuit insigniri toto) mundum simul totum effecit? In ipso namque excogitato totius *signaculo illa quoque sunt consignata.* Ita certe naturalius judicabitur effecisse. Neque putandum est artificum more fabricavisse: quippe cum artes sint et natura et mundo posteriores. Quandoquidem, quæ in singulis quotidie speciebus naturaliter generantur, non

ὑπὸ τῶν φύσεων, οὐ πρῶτον πῦρ, εἶθ' ἕκαστον, εἶτα φύρασις τούτων, ἀλλὰ περιβολὴ καὶ περιγραφή, τυποῦσα ἐπὶ τοῖς καταμηνίοις παντὸς τοῦ ζῴου. Διὰ τί οὖν οὐ κἀκεῖ ἡ ὕλη περιεγράφετο τύπῳ κόσμου, ἐν ᾧ τύπῳ καὶ γῆ, καὶ πῦρ, καὶ τὰ ἄλλα; Ἀλλ' ἴσως αὐτοὶ οὕτω κόσμον ἐποίησαν, ὡς ἂν ἀληθεστέρᾳ ψυχῇ χρώμενοι· ἐκεῖνος δὲ οὕτως ἠγνόει ποιῆσαι· καίτοι προϊδεῖν καὶ μέγεθος οὐρανοῦ, μᾶλλον δὲ τοσοῦτον εἶναι, καὶ τὴν λόξωσιν τῶν ζῳδίων, καὶ τῶν ὑπ' αὐτῶν τὴν φοράν, καὶ τὴν γῆν οὕτως, ὡς ἔχειν εἰπεῖν αἰτίας, δι' ἃς οὕτως, οὐκ εἰδώλου ἦν, ἀλλὰ πάντως ἀπὸ τῶν ἀρίστων τῆς δυνάμεως ἐλθούσης, ὃ καὶ αὐτοὶ ἄκοντες ὁμολογοῦσιν. Ἡ γὰρ ἔλλαμψις ἡ εἰς τὸ σκότος ἐξετασθεῖσα ποιήσει ὁμολογεῖν τὰς ἀληθεῖς τοῦ κόσμου αἰτίας. Τί γὰρ ἐλλάμπειν ἔδει, εἰ μὴ πάντως ἔδει; ἢ γὰρ κατὰ φύσιν ἢ παρὰ φύσιν, ἀνάγκη. Ἀλλ' εἰ μὲν κατὰ φύσιν, ἀεὶ οὕτως· εἰ δὲ παρὰ φύσιν, καὶ ἐν τοῖς ἐκεῖ ἔσται τὸ παρὰ φύσιν, καὶ τὰ κακὰ πρὸ τοῦ κόσμου τοῦδε. Καὶ οὐχ ὁ κόσμος αἴτιος τῶν κακῶν, ἀλλὰ τἀκεῖ τούτῳ· καὶ τῇ ψυχῇ οὐκ ἐντεῦθεν, ἀλλὰ παρ' αὐτῆς ἐνταῦθα· καὶ ἥξει ὁ λόγος ἀναφέρων τὸν κόσμον ἐπὶ τὰ πρῶτα. Εἰ δὲ δὴ καὶ ἡ ὕλη, ὅθεν φανείη· ἡ γὰρ ψυχὴ ἡ νεύσασα, ἤδη ὂν τὸ σκότος, φασίν, εἶδε καὶ κατέλαμψε. Πόθεν οὖν τοῦτο; εἰ δ' αὐτὴν φήσουσι ποιῆσαι νεύσασαν, οὐκ ἦν δηλονότι, ὅπου ἂν ἔνευσεν, οὐδ' αὐτὸ τὸ σκότος αἴτιον τῆς νεύσεως, ἀλλ' αὐτὴ ἡ ψυχῆς φύσις. Τοῦτο δὲ ταὐτὸν ταῖς προηγησαμέναις ἀνάγκαις· ὥστε ἐπὶ τὰ πρῶτα ἡ αἰτία.

ita fiunt, ut primo quidem fiat ignis, deinde reliqua singillatim, denique mixtura cunctorum, imo vero totius simul viventis configuratio necessariam membrorum ad totum complectens connexionem, in menstruis coalescit. Quidnam igitur obstat, quin in ipso rerum ordine materia simul insignita sit totius mundi figura? in qua quidem figura et terra, et ignis, et cetera connexa necessario fuerint. Forsan illi ita mundum procreavissent: utpote qui meliorem nacti sint animam. Faber vero mundi ita mundum facere nesciebat, quanquam praevidere magnitudinem caeli, certamque mensuram, et orbis signiferi obliquitatem, et motus sub illis astros, et terram, atque ita haec omnia praevidere, ut singulorum ratio, per quam ita se habeant, teneatur, non simulacri ullius est munus, sed alicujus potius potestatis, quae proficiscatur ab optimis. Quod quidem ipsi quoque vel inviti confitebuntur. Illustratio enim illa diffusa per tenebras diligenter examinata faciet, ut veras mundi causas fateantur. Quid enim oportebat illuminare, si non oportebat omnino? Vel enim secundum naturam, vel praeter naturam erat illa necessitas. Verum si secundum naturam, certe ita esset et semper: sin autem praeter naturam, et superioribus illis praeter naturam aliquid accidit, procul dubio ante hunc mundum mala fuerunt. Neque hic mundus malorum causa est, sed superiora sunt huic causa mali; neque malum animae ex hoc accidit mundo: sed potius mundo huic ab anima, atque ita ratio rite discurrens mundum hunc rediget in suprema. Verum si materiam quoque esse mali causam dixerint, undenam materia prodiit? anima namque ad inferiora vergens, tenebras (ut aiunt) quae jam erant, vidit atque illustravit. Unde nam igitur dicemus tenebras prodiisse? Si dicent, animam ad inferiora vergentem eas in medium attulisse, sequetur, antequam inclinaretur anima, tenebras non fuisse: atque ita inclinationis causa non in tenebris, sed in ipsa natura animae constat. Id autem nihil aliud est, quam causam ex praecedentibus necessitatibus assignare: quapropter in ipsa rerum principia ejusmodi causa referetur.

Non fieri a caelo mala: et omnia mundana naturaliter esse bona, quamvis non aeque inter se bona, nec aequalia divinis.

ΙΓʹ. Ὁ ἄρα μεμφόμενος τῇ τοῦ κόσμου φύσει, οὐκ οἶδεν ὅ τι ποιεῖ, οὐδ' ὅπου τὸ θράσος αὐτοῦ τοῦτο χωρεῖ. Τοῦτο δέ, ὅτι οὐκ ἴσασι τάξιν τῶν ἐφεξῆς, πρώτων καὶ δευτέρων καὶ τρίτων, καὶ ἀεὶ μέχρι τῶν ἐσχάτων, καὶ ὡς οὐ λοιδορητέον τοῖς χείροσι τῶν πρώτων, ἀλλὰ πράως συγχωρητέον τῇ πάντων φύσει αὐτὸν θέοντα πρὸς τὰ πρῶτα, παυσάμενον τῆς τραγῳδίας τῶν φοβερῶν, ὡς οἴονται ἐν ταῖς τοῦ κόσμου σφαίραις, αἳ δὴ πάντα μείλιχα τεύχουσιν αὐτοῖς. Τί γὰρ φοβερὸν ἔχουσιν αὗται, ὡς φοβοῦσι τοὺς ἀπείρους λόγων, καὶ πεπαιδευμένης ἀνηκόους καὶ ἐμμελοῦς γνώσεως; οὐ γάρ, εἰ πύρινα τὰ σώματα αὐτῶν, φοβεῖσθαι δεῖ, συμμέτρως πρὸς τὸ πᾶν καὶ πρὸς τὴν γῆν ἔχοντα, εἰς δὲ τὰς ψυχὰς αὐτῶν βλέπειν, αἷς καὶ αὐτοὶ δήπουθεν ἀξιοῦσι τίμιοι εἶναι· καίτοι καὶ τὰ σώματα αὐτῶν μεγέθει καὶ κάλλει διαφέροντα, συμπράττοντα καὶ συνεργοῦντα τοῖς κατὰ φύσιν γιγνομένοις· ἃ οὐκ ἂν οὐ γένοιτό ποτε, ἕως τ' ἂν ᾖ τὰ πρῶτα, συμπληροῦντα δὲ τὸ πᾶν καὶ μεγάλα μέρη ὄντα τοῦ παντός. Εἰ δὲ ἄνθρωποι τίμιόν τι παρ' ἄλλα ζῷα, πολλῷ μᾶλλον ταῦτα οὐ τυραννίδος ἕνεκα ἐν τῷ παντὶ ὄντα, ἀλλὰ κόσμον καὶ τάξιν παρέχοντα. Ἃ δὲ λέγεται γίγνεσθαι παρ' αὐτῶν, σημεῖα [δεῖ] νομίζειν τῶν ἐσομένων εἶναι· γίγνεσθαι δὲ τὰ γιγνόμενα διάφορα καὶ τύχαις.

XIII. Qui ergo naturam mundi vituperat, quid agat, prorsus ignorat, neque quo eum temeraria arrogantia sua deducat, intelligit. In hoc autem errant plerique, quia nesciunt perpetuum ordinem a primis per media ad tertia, atque ita semper usque ad extrema necessario descendentem: neque considerant, non decere (vel inferiores incusare suprema vel) supremorum subsequentia improbare: sed oportere universi naturae aequo animo semper obtemperare, seque ad ipsos superiora conferre: spernentes omnino tragicos terrores, quos nonnulli mortalibus ex mundi sphaeris incutiunt. Quae tamen salutaria omnia hominibus struunt. Quid enim haec in se continent metuendum, quo plerique perterrere debeant homines, rationum imperitos et doctrinarum rectaeque cognitionis expertes? Quamvis enim ignea sphaerarum corpora sint, non tamen timenda sunt: quippe cum ad universi terraeque habitum accommodatissima sint. Decet autem animas illarum considerare, penes quas et ipsi magni pretii censeri se putant. Etsi illarum corpora magnitudine pulchritudineque nostra haec mirifice antecedunt, atque ad illa, quae naturae gignuntur, efficienda conferunt, et servanda contribuunt. Alioquin, quamdiu prima sunt, sequentia haec non fierent. Complent utique universum, membraque sunt totius ingentia. Quodsi homines prae ceteris animantibus honorandi sunt, multo magis illa, quae quidem non tyrannidis exercendae gratia sunt in mundo, sed ornamentum ordinemque efficiunt. Quae vero fieri dicuntur ab illis, significari ab eis potius, quam fieri, est judicandum: provenire autem quae fiunt differentia etiam fortuiti. Non enim fieri potest, ut eadem pro-

Οὐ γὰρ οἷόν τε ἦν ταῦτα περὶ ἑκάστους συμβαίνειν, καὶ καιροῖς γενέσεων, καὶ τόποις πλεῖστον ἀφεστηκόσι, καὶ διαθέσεσι ψυχῶν. Καὶ οὐκ ἀπαιτητέον πάλιν ἀγαθοὺς πάντας, οὐδ', ὅτι μὴ τοῦτο δυνατόν, μέμφεσθαι προχείρως, πάλιν ἀξιοῦσι μηδὲν διαφέρειν ταῦτα ἐκείνων, τό τε κακὸν μὴ νομίζειν ἄλλο τι ἢ τὸ ἐνδεέστερον εἰς φρόνησιν, καὶ ἔλαττον ἀγαθόν, καὶ ἀεὶ πρὸς τὸ σμικρότερον. Οἷον εἴ τις τὴν φύσιν κακὸν λέγοι, ὅτι μὴ αἴσθησίς ἐστι· καὶ τὸ αἰσθητικόν, ὅτι μὴ λόγος· εἰ δὲ μή, κἀκεῖ τὰ κακὰ ἀναγκασθήσονται λέγειν εἶναι· καὶ γὰρ ἐκεῖ ψυχὴ χεῖρον νοῦ, καὶ οὗτος ἄλλου ἔλαττον.

veniant circa singulos, cum generationis temporibus, tum diversitate locorum, tum affectionibus animorum inter se longe distantes. Nec rursus exigendum est, ut omnes in mundo sint boni: neque, si id fieri nequeat, repente mundi ordinem incusare decet: neque requirere rursus, ut inferiora haec nihilo a superioribus differant: neque censere, aliud esse malum, quam quod ad prudentiam est ineptius, minusque bonum, deincepsque procedendo semper in minus. Perinde ac si quis naturam asserat esse malam, propterea quod ipsa non sit sensus: similiterque sensuale malum esse, quoniam non sit ratio: alioquin apud superos quoque mala esse fateri cogentur. Etenim illic anima est inferior mente, atque mens est inferior alio.

Refellit, quod dicunt certo verborum sono supera flecti, et morbos esse dæmonia, et hæc expelli quibusdam verbis et ritibus absque virtute.

ΙΔ'. Μάλιστα δὲ αὐτοὶ καὶ ἄλλως ποιοῦσιν οὐκ ἀκήρατα τὰ ἐκεῖ. Ὅταν γὰρ ἐπαοιδὰς γράφωσιν, ὡς πρὸς ἐκεῖνα λέγοντες, οὐ μόνον πρὸς τὴν ψυχήν, ἀλλὰ καὶ τὰ ἐπάνω τί ποιοῦσιν; ἢ γοητείας καὶ θέλξεις, καὶ πείσεις λέγουσι; καὶ λόγῳ ὑπακούειν, καὶ ἄγεσθαι, εἴ τις ἡμῶν τεχνικώτερος εἰπεῖν ταδὶ καὶ οὑτωσὶ μέλη καὶ ἤχους, καὶ προσπνεύσεις καὶ σιγμοὺς τῆς φωνῆς, καὶ τὰ ἄλλα, ὅσα ἐκεῖ μαγεύειν γέγραπται; Εἰ δὲ μὴ βούλονται τοῦτο λέγειν, ἀλλὰ πῶς φωναῖς τὰ ἀσώματα, ὥστε οἷ οἷς σεμνοτέρους αὐτῶν τοὺς λόγους ποιοῦσι φαίνεσθαι, τούτοις λελήθασιν αὐτοὺς τὸ σεμνὸν ἐκείνων ἀφαιρούμενοι· καθαίρεσθαι δὲ νόσων λέγοντες αὐτούς, λέγοντες μὲν ἂν σωφροσύνῃ καὶ κοσμίᾳ διαίτῃ, ἔλεγον ἂν ὀρθῶς, καθάπερ οἱ φιλόσοφοι λέγουσι. Νῦν δὲ ὑποστησάμενοι τὰς νόσους δαιμόνια εἶναι, καὶ ταῦτα ἐξαιρεῖν λόγῳ φάσκοντες δύνασθαι καὶ ἐπαγγελλόμενοι, σεμνότεροι μὲν ἂν εἶναι δόξαιεν παρὰ τοῖς πολλοῖς, οἳ τὰς παρὰ τοῖς μάγοις δυνάμεις θαυμάζουσι, τοὺς μέντοι εὖ φρονοῦντας οὐκ ἂν πείθοιεν, ὡς οὐχ αἱ νόσοι τὰς αἰτίας ἔχουσιν, ἢ καμάτοις, ἢ πλησμοναῖς, ἢ ἐνδείαις, ἢ σήψεσι, καὶ ὅλως μεταβολαῖς ἢ ἔξωθεν τὴν ἀρχήν, ἢ ἔνδοθεν λαβούσαις. Δηλοῦσι δὲ καὶ αἱ θεραπεῖαι αὐτῶν· γαστρὸς γὰρ ῥυείσης ἢ φαρμάκου δοθέντος, διεχώρησε κάτω εἰς τὸ ἔξω τὸ νόσημα· καὶ αἵματος ἀφῃρημένου, καὶ ἔνδεια δὲ ἰάσατο, ἢ πεινήσαντος τοῦ δαιμονίου, καὶ τοῦ φαρμάκου ποιήσαντος τήκεσθαι, ποτὲ δὲ ἀθρόως ἐξελθόντος ἢ μένοντος ἔνδον. Ἀλλ' εἰ μὲν ἔτι μένοντος, πῶς ἔνδον οὐ νοσεῖ ἔτι; εἰ δὲ ἐξελήλυθε, διὰ τί; τί γὰρ αὐτὸ πέπονθεν, ἢ ὅτι ἐστρέφετο ὑπὸ τῆς νόσου; ἦν ἄρα ἡ νόσος ἑτέρα οὖσα τοῦ δαίμονος. Ἔπειτα εἰ οὐδενὸς ὄντος αἰτίου εἴσεισι, διὰ τί οὐκ ἀεὶ νοσεῖ; εἰ δὲ γενομένου αἰτίου, τί δεῖ τοῦ δαίμονος πρὸς τὸ νοσεῖν; τὸ γὰρ αἴτιον τὸν πυρετὸν αὔταρκές ἐστιν ἐργάσασθαι. Γελοῖον δὲ τὸ ἅμα τὸ αἴτιον γενέσθαι, καὶ εὐθέως ὥσπερ παρυποστῆναι τῷ αἰτίῳ τὸ δαιμόνιον ἕτοιμον ὄν. Ἀλλὰ γὰρ ὅπως καὶ ταῦτα εἴρηται αὐτοῖς, καὶ ὅτου χάριν, δῆλον· τούτου γὰρ ἕνεκα οὐχ ἧττον, καὶ τούτων τῶν δαιμονίων ἐμνήσθημεν· τὰ δ' ἄλλα ὑμῖν καταλείπω ἀναγινώσκουσιν ἐπισκο-

XIV. Maxime vero hinc rursus efficiunt, ut superna inviolata non videantur, quod cantilenas quasdam componunt, ad illa pro arbitrio commovenda, non [corpora] solum [et] animas, sed etiam his superiora flectenda. Verum per hæc quidnam in his efficiunt? Respondebunt, se fascinationes et delinimenta persuasionesque componere: adeo ut et verba exaudiant atque trahantur. Si quis videlicet nostrum artificiose admodum noverit talia quædam pronunciare, et certa quadam ratione cantus sonosque edere, atque aspiramenta vocis, et sibila, et quæcunque alia apud eos scripta sunt virtutem magicam continere. Quodsi id dicere nolint, imo vocibus incorporea quædam significare, sequetur ut, dum suam artem reddere volunt honestiorem, interim etsi minus advertant, gloriam suam e medio tollant. Gloriantur præterea se morbos expellere. Quodsi per temperantiam rectamque vitæ regulam facturos id se pollicerentur, recte utique et philosophorum more loquerentur. Nunc autem cum morbos dicant esse dæmones, eosque verbis expellere, idque professi, divulgent, vulgo præstantiores habentur. Consuevit enim vulgus magorum vires nimium admirari: prudentibus tamen viris nequaquam persuaderent, morbos humanos causas non habere: videlicet ex laboribus, vel saturitate, vel indigentia, vel putrefactione quadam provenientes, et summatim a mutationibus quibusdam vel intrinsecus vel extrinsecus orientibus. Declarant hoc nobis curationes ipsæ morborum: siquidem ex fluxu ventris et pharmacis morbus per inferiora solet educi: quia etiam misso sanguine atque jejunio sæpe curatur, forsan esuriente tunc dæmone, atque illa afficiente pharmaco, ut dæmon liquescat atque tabescat. Si quando vero quis subito convalescat, aut prodeunte aut intus manente dæmone id efficitur. Quodsi etiam permanente, cur regnante adhuc intus non ægrotat? Sin autem foras abiit, quidnam in causa fuit? Nam quid ipse passus est? numquid, quoniam a morbo torquebatur (*vexabatur*)? Erat igitur morbus aliud quiddam, quam ipse dæmon. Præterea si nulla etiam causa existente dæmon ingreditur, quare non semper ægrotat? Sin autem præsente causa solum: quidnam ad ægrotandum opus est dæmone? Ipsa enim causa febrem sufficienter potest accendere. Ridiculum vero est, cum primum accidit causa, repente adesse dæmonem, quasi sedulo ad id paratum. Cæterum quo pacto et cujus gratia talia jactantur ab illis, compertum satis habemus. Hujus enim non minus, quam alterius gratia de his dæmonibus modo fecimus mentionem: cætera legentibus vobis consideranda relin-

πεῖσθαι, καὶ θεωρεῖν ἐκεῖνο πανταχοῦ, ὡς τὸ μὲν παρ' ἡμῶν εἶδος φιλοσοφίας μεταδιωκόμενον, πρὸς τοῖς ἄλλοις ἅπασιν ἀγαθοῖς, καὶ τὴν ἁπλότητα τοῦ ἤθους μετὰ τοῦ φρονεῖν καθαρῶς ἐνδείκνυται τὸ σεμνὸν, οὐ τὸ αὔθαδες μεταδιώκουσα, τὸ θαῤῥαλέον μετὰ λόγου καὶ μετὰ ἀσφαλείας πολλῆς καὶ εὐλαβείας καὶ πλείστης περιωπῆς ἔχουσα, τὰ δ' ἄλλα τῷ τοιούτῳ παραβάλλειν· τὸ δὲ παρὰ τῶν ἄλλων ἐναντιώτατα κατεσκεύασται διὰ πάντων· οὐδὲν γὰρ ἂν πλέον· οὕτω γὰρ περὶ αὐτῶν λέγειν ἡμῖν ἂν πρέποι.

quo: illudque in primis ubique animadvertendum, nostrae philosophiae genus rite perceptum praeter omnia reliqua bona morum simplicitatem una cum intelligentiae puritate complecti: neque inanem jactantiam sequi, sed elegantiae dignitatem; animositatem praeterea cum ratione tutaque cautione et circumspecta providentia conciliare, reliqua vero ad id comparata, idque vicissim ad reliqua contraria prorsus ex partibus singulis apparere. Nihil enim ultra dici potest. Nos vero ita de illis loqui decere videtur.

Quam noxia sit moribus opinio, vituperans totam mundi naturam atque vitam, et quicquid in mundo gignitur aut etiam ab hominibus agitur.

ΙΕ'. Ἐκεῖνο δὲ μάλιστα δεῖ μὴ λανθάνειν ἡμᾶς, τί ποτε ποιοῦσιν οἱ λόγοι οὗτοι εἰς τὰς ψυχὰς τῶν ἀκουόντων, καὶ τοῦ κόσμου καὶ τῶν ἐν αὐτῷ καταφρονεῖν πεισθέντων. Δυοῖν γὰρ οὐσῶν αἱρέσεων τοῦ τυχεῖν τοῦ τέλους, μιᾶς μὲν, τῆς ἡδονὴν τὴν τοῦ σώματος τέλος τιθεμένης, ἑτέρας δὲ, τῆς τὸ καλὸν καὶ τὴν ἀρετὴν αἱρουμένης, ἧς καὶ ἐκ θεοῦ καὶ εἰς θεὸν ἀνήρτηται ἡ ὄρεξις· ὡς δὲ ἐν ἄλλοις θεωρητέον. Ὁ μὲν Ἐπίκουρος τὴν πρόνοιαν ἀνελὼν, τὴν ἡδονὴν καὶ τὸ ἥδεσθαι, ὅπερ ἦν λοιπὸν, τοῦτο διώκειν παρακελεύεται· ὁ δὲ λόγος οὗτος, ἔτι νεανικώτερον, τὸν τῆς προνοίας κύριον καὶ αὐτὴν τὴν πρόνοιαν μεμψάμενος, καὶ πάντας νόμους τοὺς ἐνταῦθα ἀτιμάσας, καὶ τὴν ἀρετὴν τὴν ἐκ παντὸς τοῦ χρόνου ἀνευρημένην, τό τε σωφρονεῖν τοῦτο ἐν γέλωτι θέμενος, ἵνα μηδὲν καλὸν ἐνταῦθα δὴ ὀφθείη ὑπάρχον, ἀνεῖλε τό τε σωφρονεῖν καὶ τὴν ἐν τοῖς ἤθεσι σύμφυτον δικαιοσύνην, τὴν τελουμένην ἐκ λόγου καὶ ἀσκήσεως, καὶ ὅλως, καθ' ἃ σπουδαῖος ἄνθρωπος ἂν γένοιτο· ὥστε αὐτοῖς καταλείπεσθαι τὴν ἡδονὴν καὶ τὸ περὶ αὐτοὺς, καὶ τὸ οὐ κοινὸν πρὸς ἄλλους ἀνθρώπους, καὶ τὸ τῆς χρείας μόνον, εἰ μή τις τῇ φύσει τῇ αὐτοῦ κρείττων εἴη τῶν λόγων τούτων. Τούτων γὰρ οὐδὲν αὐτοῖς καλὸν, ἀλλὰ ἄλλο τι, ὅ ποτε μεταδιώξουσι. Καίτοι ἐχρῆν τοὺς ἤδη ἐγνωκότας ἐντεῦθεν διώκειν, διώκοντας δὲ πρῶτα κατορθοῦν ταῦτα ἐκ θείας φύσεως ἥκοντας. Ἐκείνης γὰρ τῆς φύσεως καλοῦ ἐπαΐειν, τὴν ἡδονὴν τοῦ σώματος ἀτιμαζούσης· οἷς δὲ ἀρετῆς μὴ μέτεστιν, οὐκ ἂν εἶεν τὸ παράπαν κινηθέντες πρὸς ἐκεῖνα· μαρτυρεῖ δὲ αὐτοῖς καὶ τόδε, τὸ μηδένα λόγον περὶ ἀρετῆς πεποιῆσθαι, ἐκλελοιπέναι δὲ παντάπασι τὸν περὶ τούτων λόγον, καὶ μήτε τί ἐστιν εἰπεῖν, μήτε πόσα, μήτε ὅσα τεθεώρηται πολλὰ καὶ καλὰ τοῖς τῶν παλαιῶν λόγοις, μήτε ἐξ ὧν περιέσται καὶ κτήσεται, μήτε ὡς θεραπεύεται ψυχὴ, μήτε ὡς καθαίρεται. Οὐ γὰρ δὴ τὸ εἰπεῖν, βλέπε πρὸς θεὸν, προὔργου τι ἐργάζεται, ἐὰν μὴ, πῶς καὶ βλέψῃ, διδάξῃ. Τί γὰρ κωλύει, εἴποι τις ἂν, βλέπειν, καὶ μηδεμιᾶς ἀπέχεσθαι ἡδονῆς, ἢ ἀκρατῆ θυμοῦ εἶναι, μεμνημένον μὲν ὀνόματος τοῦ θεοῦ, συνεχόμενον δὲ ἅπασι πάθεσι, μηδὲν δὲ αὐτῶν πειρώμενον ἐξαιρεῖν; Ἀρετὴ μὲν οὖν εἰς τέλος προϊοῦσα, καὶ ἐν ψυχῇ ἐγγενομένη μετὰ φρονήσεως, θεὸν δείκνυσιν· ἄνευ δὲ ἀρετῆς ἀληθινῆς θεὸς λεγόμενος ὄνομά ἐστιν.

XV. In primis autem nos latere non debet, quid pariant in audientium animis sermones eorum, qui mundum, et quae in ipso sunt, despicere persuadent. Duplex profecto est electio sectaque de fine: una quidem in voluptate corporis finem collocat, altera vero honestatem virtutemque anteponit: cujus quidem appetitio ex deo pendet, in deumque refertur. Idque qua ratione fiat, alibi contemplandum. Epicurus quidem, cum providentiam sustulisset, quod reliquum est, voluptatem oblectamentaque sequi praecepit. Gnosticorum vero sermo insolentius etiam dominationem auctoritatemque providentiae propriam ipsamque providentiam culpans, et quae hic sunt leges omnes, atque virtutem multis seculis comprobatam [l. repertam] honore privans et ridiculam existimans temperantiam, ne quid boni apud nos esse appareat, exstirpat temperantiam, et justitiam moribus insitam ratione exercitationeque comparandam, atque omnem prorsus viam, qua quis virtutem consequi possit: adeo ut nihil aliud illis reliquum sit, quam voluptatem sequi, propriisque rebus duntaxat incumbere, desertaque generis humani communione proprio solum utilitati studere: nisi forte quis suapte natura sermonibus ejusmodi sit praestantior. Nam eorum, quae apud nos bona honestaque censentur, nihil apud illos bonum existimatur, sed aliud quiddam, quodcumque illi aliquando prosequantur. Quamquam decebat eos, qui jam noverint, hinc jam prosequi, sequentes autem prima haec nostra corrigere ex divina natura ad haec accedentes. Illius namque naturae duntaxat, quae voluptatem corporis negligit, est, quid bonum honestumque sit, intelligere. Qui autem virtutis expertes sunt omnino, nullo modo ad superna accedere poterunt. Testimonium id quoque his adhibet, quod nullum faciant de virtute verbum, sermonemque omnem de his, quae ad virtutem pertinent, omnino dimittunt, neque definire student, quid virtus et bonum, quotve sint, et omnino quaecumque tam praeclara quam multa priscorum disputationibus continentur, neque rursus ex quibus acquirantur bona atque possideantur: neque quo pacto animus excolatur atque purgetur. Quod enim solent dicere, *ad deum aspice*, nihil prodest omnino: nisi, quo pacto inspecturus sis, perspicue doceant. Nam nihil prohibere quis dixerit, quin aliquis aspiciat quidem, nulla tamen abstineat voluptate, neque cohibeat iram: atque commemorans duntaxat ipsum dei nomen succumbat interim perturbationibus omnibus, neque eas propulsare contendat. Virtus profecto per prudentiam acquisita, ad summumque progressa, deum nobis ostendit: si quis autem absque vera virtute pronunciat deum, nihil habet aliud praeter nomen.

Qui dicunt nullum in corporibus mundi numen esse bonum, pervertunt ordinem universi, et sibi adimunt media, quibus ad superiora possent commodius pervenire.

ΙϚʹ. Οὐδ' αὖ τὸ καταφρονῆσαι κόσμου καὶ θεῶν τῶν ἐν αὐτῷ καὶ τῶν ἄλλων καλῶν ἀγαθόν ἐστι γενέσθαι. Καὶ γὰρ πᾶς κακὸς καὶ πρὸ τοῦ καταφρονήσειεν ἂν θεῶν, καὶ μὴ πρότερον πᾶς κακὸς [ἢ] καταφρονῆσαι· καὶ εἰ τἄλλα μὴ πάντα κακὸς εἴη, αὐτῷ τούτῳ ἂν γεγονὼς εἴη. Καὶ γὰρ ἂν καὶ ἡ πρὸς τοὺς νοητοὺς θεοὺς λεγομένη αὐτοῖς τιμὴ ἀσυμπαθὴς ἂν γένοιτο. Ὁ γὰρ τὸ φιλεῖν πρὸς ὁτιοῦν ἔχων καὶ τὸ συγγενὲς πᾶν, οὗ φιλεῖ, ἀσπάζεται, καὶ τοὺς παῖδας, ὧν τὸν πατέρα ἀγαπᾷ· ψυχὴ δὲ πᾶσα πατρὸς ἐκείνου. Ψυχαὶ δὲ καὶ ἐν τούτοις, καὶ νοεραὶ, καὶ ἀγαθαὶ, καὶ συναφεῖς τοῖς ἐκεῖ πολὺ μᾶλλον, ἢ αἱ ἡμῶν. Πῶς γὰρ ἂν ἀποτμηθεὶς ὅδε ὁ κόσμος ἐκείνου ἦν; πῶς δὲ οἱ ἐν αὐτῷ θεοί; ἀλλὰ ταῦτα μὲν καὶ πρότερον· νῦν δὲ, ὅτι καὶ τῶν συγγενῶν ἐκείνοις καταφρονοῦντες, ὅτι μηδὲ ἐκεῖνα ἴσασιν, ἀλλ' ἢ λόγῳ. Ἐπεὶ καὶ τὸ πρόνοιαν μὴ διϊκνεῖσθαι εἰς τὰ τῇδε, ἢ εἰς ὁτιοῦν, πῶς εὐσεβές; πῶς δὲ καὶ σύμφωνον ἑαυτοῖς; λέγουσι γὰρ αὐτῶν προνοεῖν αὖ μόνον· πότερα δὲ ἐκεῖ γενομένων, ἢ καὶ ἐνθάδε ὄντων; Εἰ μὲν γὰρ ἐκεῖ, πῶς ἦλθον; εἰ δὲ ἐνθάδε, πῶς ἔτι εἰσὶν ἐνθάδε; πῶς δὲ οὐ καὶ αὐτός ἐστιν ἐνθάδε; πόθεν γὰρ γνώσεται, ὅτι εἰσὶν ἐνθάδε; πῶς δὲ, ὅτι ἐνθάδε ὄντες, οὐκ ἐπελάθοντο αὐτοῦ, καὶ ἐγένοντο κακοί; εἰ δὲ γίγνωσκει τοὺς μὴ γενομένους κακοὺς, καὶ τοὺς γενομένους γιγνώσκει, ἵνα διακρίνῃ ἀπ' ἐκείνων αὐτούς· πᾶσιν οὖν παρέσται, καὶ ἔσται ἐν τῷ κόσμῳ τῷδε, ὅστις ὁ τρόπος· ὥστε καὶ μεθέξει αὐτοῦ ὁ κόσμος. Εἰ δὲ ἄπεστι τοῦ κόσμου, καὶ ὑμῶν ἀπέσται· καὶ οὐδ' ἂν ἔχοιτέ τι λέγειν περὶ αὐτοῦ, οὐδὲ τῶν μετ' αὐτόν. Ἀλλ' εἴτε ὑμῖν πρόνοιά τις ἔρχεται ἐκεῖθεν, εἴτε ὅ τι βούλεσθε, ἀλλ' ὅ γε κόσμος ἐκεῖθεν ἔχει, καὶ οὐκ ἀπολέλειπται οὐδ' ἀπολειφθήσεται· πολὺ γὰρ μᾶλλον τῶν ὅλων ἢ τῶν μερῶν ἡ πρόνοια καὶ ἡ μέθεξις, κἀκείνης τῆς ψυχῆς πολὺ μᾶλλον· δηλοῖ δὲ καὶ τὸ εἶναι, καὶ τὸ ἐμφρόνως εἶναι. Τίς γὰρ οὕτω τεταγμένος ἢ ἔμφρων τῶν ὑπερφρονούντων ἀφρόνως ὡς τὸ πᾶν; ἢ παραβάλλειν καὶ γελοῖον, καὶ πολλὴν τὴν ἀτοπίαν ἔχει· καὶ ὅ γε μὴ τοῦ λόγου ἕνεκα παραβάλλων οὐκ ἔξω ἂν τοῦ ἀσεβεῖν γένοιτο, καὶ οὐδὲ τὸ ζητεῖν περὶ τούτων ἔμφρονος, ἀλλὰ τυφλοῦ τινος καὶ παντάπασιν οὔτε αἴσθησιν οὔτε νοῦν ἔχοντος, καὶ πόῤῥω τοῦ νοητὸν κόσμον ἰδεῖν ὄντος, ὃς τοῦτον οὐ βλέπει. Τίς γὰρ ἂν μουσικὸς ἀνὴρ εἴη, ὃς τὴν ἐν νοητῷ ἁρμονίαν ἰδὼν οὐ κινήσεται τῆς ἐν φθόγγοις αἰσθητοῖς ἀκούων; ἢ τίς γεωμετρίας καὶ ἀριθμῶν ἔμπειρος, ὃς τὸ σύμμετρον καὶ ἀνάλογον καὶ τεταγμένον ἰδὼν δι' ὀμμάτων οὐχ ἡσθήσεται; εἴπερ οὐχ ὁμοίως τὰ αὐτὰ βλέπουσιν, οὐδὲ ἐν ταῖς γραφαῖς, οἱ δι' ὀμμάτων τῶν τῆς τέχνης βλέποντες, ἀλλ' ἐπιγιγνώσκοντες μίμημα ἐν τῷ αἰσθητῷ τοῦ ἐν νοήσει κειμένου, οἷον θορυβοῦνται καὶ εἰς ἀνάμνησιν ἔρχονται τοῦ ἀληθοῦς· ἐξ οὗ δὴ πάθους καὶ κινοῦνται οἱ ἔρωτες. Ἀλλ' ὁ μὲν ἰδὼν κάλλος ἐν προσ

XVI. Nemo putet, ex hoc ipso bonum se evasurum, quod despiciat mundum deosque, qui in mundo regnant, ceteraque mundi bona atque preclara. Etenim malus omnis in primis id habet, ut despiciat deos: neque prius aliquis totus est malus, quam despiciat superos. Ac si nondum in aliis omnibus malus sit, ex hoc tamen uno in cunctis malus evadit. Proinde quod aiunt, se deos intelligibiles colere, consentaneum sive cognatum nihil habet. Qui enim aliquid amat, quicquid ejus, quod amat, cognatum est, dilectione prosequitur. Nam et filios diligit, quorum patrem amat. Anima vero omnis patris illius est filia. Atque animæ in mundi sphæris sunt intellectuales atque bonæ, cognatæque supernis multo magis, quam nostræ. Quo enim pacto hic mundus ab illo segregatus esset, quove modo et dii, qui sunt in mundo? Sed de his quidem in superioribus quoque diximus. Nunc autem affirmandum est, eos, qui superiorum numinum cognata despiciunt, neque numina quidem illa cognoscere, sed verbis duntaxat apprehendere. Quin etiam, quod aiunt, providentiam ad hæc omnia, vel etiam ad aliquid, quodcumque sit, non pervenire, quomodo potest esse pium? Item quomodo ipsis omnino consentiens? Ferunt enim hominum duntaxat *curam esse deo. Utrum vero hominum, dum illic sunt,* solummodo, vel etiam in terra viventium? Si enim illic, quomodo descenderunt? Si autem et hic, quomodo sunt adhuc in terra? Rursum cur non si et hic deus? Unde enim cognoscet, hic eos esse? Et quomodo compertum habet, quod, hic viventes neque deficientes ab ipso, facti sunt mali? Quodsi cognoscit animos nondum malos, utrumque et malos jam factos animadvertit, ut hos ab illis discernere valeat. Itaque omnibus aderit, eritque hoc in mundo, quacumque ratione adsit: quapropter ejus particeps erit mundus. Sin autem abest a mundo, a vobis quoque aberit: nihilque vel de ipso, vel de his, quæ sunt post ipsum, loqui valebitis. At sive quædam vobis illinc providentia favet, sive quodcumque vultis, certe et hic mundus illinc similiter habet, neque destitutus est a deo, neque unquam destituetur. Multo enim magis universorum, quam partium, curam deus habet: magisque totum, quam pars mundi divinitatis est particeps. Atqui *et universi anima a deo curatur magis atque exornatur.* Declarat hoc ipsum esse mundi, esseque sapienter. Et quisnam eorum, qui stulte superbiunt, tam ordinatus est atque sapiens, quam universum? Imo vero ridiculum est prorsusque absurdum in comparationem hæc adducere. Et quisquis aliter, quam disputandi gratia, comparat, ab impietate alienus esse non potest. Nempe de his ambigere nequaquam prudentis est, imo cæci cujusdam potius, et omnino neque sensum habentis neque mentem, proculque ab ipsa intelligibilis mundi cognitione semoti, quippe cum hunc mundum minime videat. Quis enim vir musicus erit, qui, *cum intelligibilem comprehenderit harmoniam,* non deinde commoveatur, cum harmoniam sentit in vocibus resonantem? Aut quis geometriæ numerorumque peritus, qui, ubi conspiciat spectaculum congrua proportione compositum, non admodum delectetur? Siquidem haudquaquam similiter conspiciunt eadem, vel in [descriptionibus] ipsis [atque] picturis, qui per artificiosos *oculos contuentur.* Sed animadvertunt imitationem quandam in eo, quod sentitur, illius, quod est in intelligentia positum. Itaque quasi stupent, in veramque memoriam revocantur. Ex qua quidem affectione amores insuper oriuntur. At vero, qui pulchritudinem in vultu cernit

ὥσπερ εὖ μεμιμημένον φέρεται ἐκεῖ. Ἀργὸς δὲ τίς οὕτως ἔσται τὴν γνώμην, καὶ εἰς οὐδὲν ἄλλο κινήσεται, ὥστε ὁρῶν σύμπαντα μὲν τὰ ἐν αἰσθητῷ κάλλη, σύμπασαν δὲ συμμετρίαν, καὶ τὴν μεγάλην εὐταξίαν ταύτην, καὶ τὸ ἐμφαινόμενον ἐν τοῖς ἄστροις εἶδος καὶ πόῤῥωθεν οὖσιν, οὐκ ἐντεῦθεν ἐνθυμηθήσεται, καὶ σέβας αὐτῶν λαμβάνει, οἷα ἀφ' οἵων. Οὐκ ἄρα οὔτε ταῦτα κατενόησεν, οὔτε ἐκεῖνα εἶδε.

aptius refulgentem, ad intelligibilem elevatur. Ille igitur animo erit prorsus ignavo, neque ad aliquid unquam aliud incitabitur, quisquis videns cuncta in hoc mundo pulchra spectacula, absolutumque ordinem ex perfecta mensurarum proportione compositum, ac speciem in stellis quamvis longe remotis mirifice resplendentem, hinc non admiratione intentissima contemplatur, et colat, qualia videlicet a qualibus proficiscantur admirans. Alioquin neque haec consideravit, neque illa cognovit.

Super mundum corporeum est mundus animalis mobilis quodammodo, et dimensiones corporum suae virtutis magnitudine possidens, et producens mundum hunc ipsa suae virtutis stabilitate, et pulcherrimus hic pulcherrimum.

ΙΖ'. Καίτοι εἰ καὶ μισεῖν αὐτοῖς ἐπῄει τὴν τοῦ σώματος φύσιν, διότι ἀκηκόασι Πλάτωνος πολλὰ μεμψαμένου τῷ σώματι, οἷα ἐμπόδια παρέχει τῇ ψυχῇ, καὶ πᾶσαν τὴν σωματικὴν φύσιν εἶπε χείρονα, ἐχρῆν ταύτην περιελόντας τῇ διανοίᾳ ἰδεῖν τὸ λοιπόν, σφαῖραν νοητήν, τὸ ἐπὶ τῷ κόσμῳ εἶδος ἐμπεριέχουσαν, ψυχὰς ἐν τάξει ἄνευ τῶν σωμάτων μέγεθος δούσας, κατὰ τὸ νοητὸν εἰς διάστασιν προαγαγούσας· ὡς τῷ μεγέθει τοῦ γενομένου, τῷ ἀμερεῖ τῷ τοῦ παραδείγματος εἰς δύναμιν ἐξισωθῆσαι· τὸ γὰρ ἐκεῖ μέγα ἐν δυνάμει, ἐνταῦθα ἐν ὄγκῳ. Καὶ εἴτε κινουμένην ταύτην τὴν σφαῖραν ἐβούλοντο νοεῖν, περιαγομένην ὑπὸ θεοῦ δυνάμεως, ἀρχὴν καὶ μέσα καὶ τέλος τῆς πάσης ἔχοντος, εἴτε ἑστῶσαν, ὡς οὔπω καὶ ἄλλο τι διοικούσης, καλῶς ἂν εἶχεν εἰς ἔννοιαν τῆς τόδε τὸ πᾶν ψυχῆς διοικούσης· ἐνθέντας δὲ ἤδη καὶ τὸ σῶμα αὐτῇ, ὡς οὐδὲν ἂν παθούσης, δούσης δὲ ἑτέρῳ, ὅτι μὴ θέμις φθόνον ἐν τοῖς θεοῖς εἶναι, ἔχειν, εἴ τι δύναται λαμβάνειν ἕκαστα, οὕτως αὐτοὺς διανοεῖσθαι κατὰ κόσμον, τοσούτῳ διδόντας τῇ τοῦ κόσμου ψυχῇ δυνάμεως, ὅσῳ τὴν σώματος φύσιν οὐ καλὴν οὖσαν ἐποίησεν, ὅσον ἦν αὐτῇ καλλύνεσθαι, μετέχειν κάλλους· ὃ καὶ αὐτὸ τὰς ψυχὰς θείας οὔσας κινεῖ· εἰ μὴ ἄρα αὐτοὶ φαῖεν μὴ κινεῖσθαι, μηδὲ διαφόρως αἰσχρὰ καὶ καλὰ ὁρᾷν σώματα. Ἀλλ' οὕτως οὐδὲ διαφόρως αἰσχρὰ καὶ καλὰ ἐπιτηδεύματα, οὐδὲ καλὰ μαθήματα· οὐδὲ θεωρίας τοίνυν, οὐδὲ θεὸν τοίνυν· καὶ γὰρ διὰ τὰ πρῶτα ταῦτα. Εἰ οὖν μὴ ταῦτα, οὐδὲ ἐκεῖνα· μετ' ἐκεῖνα τοίνυν ταῦτα καλά. Ἀλλ' ὅταν λέγωσι καταφρονεῖν τοῦ τῇδε κάλλους, καλῶς ἂν ποιοῖεν τοῦ ἐν παισὶ καὶ γυναιξὶ καταφρονοῦντες, ὡς μὴ εἰς ἀκολασίαν ἡττᾶσθαι. Ἀλλ' εἰδέναι δεῖ, ὅτι οὐκ ἂν σεμνύνοιντο, εἰ αἰσχροῦ καταφρονοῖεν, ἀλλ' ὅτι καταφρονοῦσι πρότερον εἰπόντες καλόν, καὶ πῶς διατιθέντες· ἔπειτα ὅτι οὐ ταὐτὸν κάλλος ἐπὶ μέρει καὶ ὅλῳ καὶ πᾶσι καὶ παντί· εἶθ' ὅτι ἐστὶ τοιαῦτα κάλλη καὶ ἐν αἰσθητοῖς, καὶ τοῖς ἐν μέρει, οἷα δαιμόνων, ὡς θαυμάσαι τὸν πεποιηκότα καὶ πιστεῦσαι, ὡς ἐκεῖθεν· καὶ ἐντεῦθεν ἀμήχανον τὸ ἐκεῖ κάλλος εἰπεῖν, οὐκ ἐχόμενον τούτων, ἀλλ' ἀπὸ τούτων ἐπ' ἐκεῖνα ἰόντα, μὴ λοιδορούμενον δὲ τούτοις· καὶ εἰ μὲν καὶ τἄνδον καλὰ σύμφωνα ἀλλήλοις εἶναι, λέγειν, εἰ δὲ τἄνδον φαῦλα, τοῖς βελτίοσιν ἠλαττῶσθαι· μηδέποτε δὲ οὐδὲ ἔστιν ὄντως τι καλὸν ὂν τὰ ἔξω αἰσχρὸν εἶναι τἄνδον. Καὶ γὰρ τὸ ἔξω πᾶν καλὸν κρατήσαντός ἐστι τοῦ ἔν-

XVII. Et si forte ad odium corporis provocati sunt a Platone, ubi de corpore queritur, quod impediat animam, et ubi totam corpoream naturam longe inferiorem anima judicat, oportebat tamen naturam corporis intelligentia segregantes inspicere reliquum, intelligibilem videlicet sphaeram in se mundanam speciem complectentem, animas in ordine absque corporibus magnitudinem sub ratione intelligibili dantes, atque in distantiam producentes: adeo ut ejus, quod gignitur, magnitudine ad rationem impartibilem exemplaris pro viribus adaequatio fiat. Quod enim illic est virtute magnum, hic mole magnum evadit. Ac sive agitatam hanc ipsam sphaeram considerare voluerint a divina potentia, continente totius sphaerae principium mediaque et finem, circumductam; sive consistentem, quasi nondum quicquam aliud gubernantem; profecto sic ad excogitandam animam, quae mundum gubernat, accedent. Ac si deinceps animae corpus annectant, non ita videlicet, ut haec aliquid patiatur, sed aliquid potius alteri largiatur: propterea quod nefas sit, esse penes deos invidiam: quo minus singula inde pro facultate percipiant, recte admodum de mundo sentire judicabuntur. Ingentem ex eo potentiam in mundi anima cogitantes, quod naturam corporis, per se minime pulchram, pro ipsius capacitate participem pulchritudinis efficit. Quae quidem pulchritudo animas ad se rapit quasi divinas. Nisi forsan illi dixerint suas animas ab hac minime incitari, neque differenti ratione corpora turpia formosaque spectare. Quod si id admittatur, sequetur etiam, ut neque erga turpia atque honesta studia differenter afficiantur, neque doctrinas pulchras ceteris anteponant, neque ergo contemplationem ipsam [contemplationes ipsas], neque igitur ipsum deum. Etenim haec propter prima sunt bona vel pulchra. Si igitur haec bona pulchrave non sunt, conjicimus, neque illa quidem esse bona, vel pulchra: itaque post illa jam haec bona pulchrave censentur. Proinde quoties aiunt, hanc se pulchritudinem nihili pendere, si formam in pueris mulieribusque contemnant, ne libidini pareant, recte utique faciunt. Veruntamen nos latere non decet, eos nequaquam gloriaturos, si turpe aliquid nihili penderent: sed hoc ipso jam gloriari, quod spernant quod prius concesserant esse pulchrum, ipsique affecti quodammodo fuerint: praeterea non eandem esse pulchritudinem in parte atque toto et omnibus atque universo: denique multa esse adeo pulchra in rebus etiam, quae sentiuntur particularesque sunt, velut in ordine daemonum, ut horum auctorem saepe hinc admodum admiremur, facileque haec ab eo facta credamus: atque hinc auctoris inaestimabilem pulchritudinem laudare possimus: si modo his quidem nequaquam irretiamur; sed ab his ad illa volemus, neque opera haec illius vituperemus. Profecto si interiora quoque, sicut exteriora, pulchra sunt, consentire inter se affirmare debemus: sin autem interna mala sunt, in melioribus diminuta fateri. Sed certe fieri nequit, ut, quod est extrinsecus re vera pulchrum, intrinsecus sit deforme. Etenim quod extrinsecus pulchrum est, omnino eo, quod est internum, superante fit tale. Qui vero dicun-

δον. Οἱ δὲ λεγόμενοι καλοὶ, τἄνδον αἰσχροὶ, ψεῦδος καὶ τὸ ἔξω κάλλος ἔχουσιν. Εἰ δέ τις φήσει ἑωρακέναι καλοὺς ὄντως ὄντας, αἰσχροὺς δὲ τἄνδον, οἶμαι μὲν αὐτὸν μὴ ἑωρακέναι, ἀλλ' ἄλλους εἶναι νομίζειν τοὺς καλούς· εἰ δ' ἄρα, τὸ αἰσχρὸν αὐτοῖς ἐπίκτητον εἶναι, καλοῖς τὴν φύσιν οὖσι. Πολλὰ γὰρ ἐνθάδε τὰ κωλύματα εἶναι ἐλθεῖν εἰς τέλος. Τῷ δὲ παντὶ καλῷ ὄντι, τί ἐμπόδιον ἦν, εἶναι καλῷ καὶ τἄνδον; καὶ μὴν οἷς μὴ τὸ τέλειον ἀπέδωκεν ἐξ ἀρχῆς ἡ φύσις, τούτοις τάχα ἂν οὐκ ἐλθεῖν εἰς τέλος γένοιτο· ὥστε καὶ φαύλοις ἐνδέχεσθαι γενέσθαι. Τῷ δὲ παντὶ οὐκ ἦν ποτε παιδὶ ὡς ἀτελεῖ εἶναι, οὐδὲ προσεγένετο αὐτῷ προϊόντι, καὶ προσετίθετο εἰς σῶμα· πόθεν γάρ; πάντα γὰρ εἶχεν· ἀλλ' οὐδὲ εἰς ψυχὴν πλάσειεν ἄν τις. Εἰ δ' ἄρα τοῦτό τις αὐτοῖς χαρίσαιτο, ἀλλ' οὐ κακόν τι.

tui aspectu quidem pulchri, intus vero turpes, falsam quoque habent extrinsecam pulchritudinem. Quodsi quis objiciat, se vidisse formosos quidem corpore, animo tamen turpes, arbitror equidem non vidisse, sed alios quosdam pulchros existimare : ac si forte viderit, assero, turpitudinem adventitiam illis esse natura pulchris. Multa enim apud nos sunt ad finem consequendum impedimenta. Toti autem mundo aspectu pulcherrimo quid impedimenti esse potuit, quo minus intrinsecus quoque sit pulcher? Tum vero, quibus perfectionem ab initio natura non dedit, iis forte accidit ad finem minime pervenire, ideoque prava fieri possunt. At vero mundo non contigit, ut aliquando quasi puer esset, atque nondum perfectus : neque tanquam ulterius progredienti mundo novi quicquam contulit, corporique ejus est appositum. Unde enim id fieri potuisset? Quippe cum omnia jam habuerit. Sed neque ejus animo subjunctum quicquam licet fingere. Ac si forsan id Gnosticis quis concesserit, non tamen mali quicquam licebit admittere.

Non decet vituperare opificium mundanum et ejus opificem, neque vi hinc abire. Licet tamen et ferre fatalia, et insuper moderari. Datur quoque ad vitam mundanæ animæ et illius beatitudinem pervenire.

ΙΗ'. Ἀλλ' ἴσως φήσουσιν, ἐκείνους μὲν τοὺς λόγους φεύγειν τὸ σῶμα ποιεῖν πόρρωθεν μισοῦντας, τοὺς δὲ ἡμετέρους κατέχειν τὴν ψυχὴν πρὸς αὐτῷ. Τοῦτο δὲ ὅμοιον ἂν εἴη, ὥσπερ ἂν εἰ δύο οἶκον καλὸν τὸν αὐτὸν οἰκούντων, τοῦ μὲν ψέγοντος τὴν κατασκευὴν καὶ τὸν ποιήσαντα, καὶ μένοντος οὐχ ἧττον ἐν αὐτῷ, τοῦ δὲ μὴ ψέγοντος, ἀλλὰ τὸν ποιήσαντα τεχνικώτατα πεποιηκέναι λέγοντος, τὸν δὲ χρόνον ἀναμένοντος, ἕως ἂν ἥκῃ ἐν ᾧ ἀπαλλάξεται, οὗ μηκέτι οἴκου δεήσοιτο· ὁ δὲ σοφώτερος εἶναι οἴοιτο, καὶ ἑτοιμότερος ἐξελθεῖν, ὅτι οἶδε λέγειν ἐκ λίθων ἀψύχων τοὺς τοίχους καὶ ξύλων συνεστάναι, καὶ πολλοῦ δεῖν τῆς ἀληθινῆς οἰκήσεως, ἀγνοῶν, ὅτι τῷ μὴ φέρειν τὰ ἀναγκαῖα διαφέρει, εἴπερ καὶ μὴ ποιεῖται δυσχεραίνειν, ἀγαπῶν ἡσυχῇ τὸ κάλλος τῶν λίθων. Δεῖ δὲ μένειν μὲν ἐν οἴκοις σῶμα ἔχοντας, κατασκευασθεῖσιν ὑπὸ ψυχῆς ἀδελφῆς ἀγαθῆς, πολλὴν δύναμιν εἰς τὸ δημιουργεῖν ἀπόνως ἐχούσης· ἢ ἀδελφοὺς μὲν καὶ τοὺς φαυλοτάτους ἀξιοῦσι προσενέπειν, ἥλιον δὲ καὶ τοὺς ἐν τῷ οὐρανῷ ἀπαξιοῦσιν ἀδελφοὺς λέγειν, οὐδὲ τὴν κόσμου ψυχὴν στόματι μαινομένῳ· φαύλους μὲν οὖν ὄντας, οὐ θεμιτὸν εἰς συγγένειαν συνάπτειν· ἀγαθοὺς δὲ γενομένους, καὶ μὴ σώματα ὄντας, ἀλλὰ ψυχὰς ἐν σώμασι, καὶ οὕτως οἰκεῖν δυναμένους ἐν αὐτοῖς, ὡς ἐγγυτάτω εἶναι οἰκήσεως ψυχῆς τοῦ παντὸς ἐν σώματι τῷ ὅλῳ. Ἔστι δὲ τοῦτο, τὸ μὴ κρούειν μηδὲ ὑπακούειν τοῖς ἔξωθεν προσπίπτουσιν ἡδέσιν ἢ ὁρωμένοις, μηδ', εἴ τι σκληρὸν, ταράττεσθαι. Ἐκείνη μὲν οὖν οὐ πλήττεται, οὐ γὰρ ἔχει ὑπό του· ἡμεῖς δὲ ἐνθάδε ὄντες, ἀρετῇ τὰς πληγὰς ἀπωθοίμεθ' ἂν ἤδη ὑπὸ μεγέθους γνώμης, τὰς μὲν ἐλάττους, τὰς δὲ οὐδὲ πληττούσας, ὑπὸ ἰσχύος γενομένας. Ἐγγὺς δὲ γενόμενοι τοῦ ἀπλήκτου, μιμοίμεθ' ἂν τὴν τοῦ σύμπαντος ψυχὴν, καὶ τὴν τῶν ἄστρων, εἰς ἐγγύτητα δὲ ὁμοιότητος ἐλθόντες σπεύδοιμεν ἂν πρὸς τὸ αὐτό. Καὶ τὰ αὐτὰ ἂν ἐν θέᾳ καὶ ἡμῖν εἴη, ὅτε καλῶς καὶ αὐτοῖς παρεσκευασμένοις φύσεσι καὶ ἐπιμελείαις·

XVIII. Dicent forte sermonibus quidem suis effici, ut corporis commercium fugiatur, atque odio admodum habeatur : nostros vero sermones animam in corpore detinere. Id autem persimile est, ac si duo quidam domum eandem habitent pulchram : et alter quidem, constitutionem et apparatum domus auctoremque vituperet, nihilominus tamen ibi permaneat : alter vero nequaquam vituperet, sed domicilii fabrum artificiosissime construxisse dicat : exspectet vero tempus, quamdiu habitat, quo inde sit abiturus : utpote qui tunc habitaculo ulterius non indigeat : ille vero sapientior et ad exitum paratior ob hoc [sibi] videatur, quod novit dicere ædificium ex lapidibus inanimatis lignisque esse constructum, et ab ædificio vero procul abesse : ignorans plurimum interesse necessaria tolerare, vel minime ferre : siquidem ab ædificio, quod pulchrum existimat, non moleste discedat, si pulchritudinem lapidum diligat moderate. Manendum est sane, dum corpus habemus, in domiciliis, quæ ab anima bona nostraque sorore sunt fabricata, potestatem habente quam plurimam, per quam fabricet absque labore. An vero illi homines etiam pessimos quotidie fratres appellare dignantur, solem vero cæteraque cælestia appellare fratres penitus dedignantur? quin etiam mundi totius animam ore prorsus insano a fraterno consortio segregant, et profecto, quamdiu pravi sumus, nefas est, nos cum superis affinitatem conjungere : sed tunc demum, cum boni sumus, neque simus corpora, sed animæ in corporibus, atque ita in ipsis habitare potentes, ut quam proxime ad illam habitandi rationem accedamus, qua mundi anima totum habitat corpus. Id autem est e suo gradu non dejici, neque externis illecebris aut spectaculis indulgere, neque duris frangi. Illa quidem anima non pulsatur; neque enim est, unde pulsetur. Nos autem hic habitantes virtute ictus possumus propulsare, adeo ut animi magnitudine atque robore alii quidem ictus leviores fiant, alii vero minime tangant. Cum vero ad id, quod pulsari nequit, proxime accesserimus, tunc demum mundi stellarumque animam imitabimur. Item cum similitudinem proximam adepti fuerimus, in idem denique conspirabimus. Tum vero eadem nobis spectacula offerentur, quæ et superis ab initio adsunt, et nobis non desunt, videlicet cum natura bene

τοῖς δὲ ἐξ ἀρχῆς ὑπάρχει αὐτό, εἰ μόνοι λέγοιεν θεωρεῖν δύνασθαι, πλέον ἂν θεωρεῖν αὐτοῖς γίγνοιτο· οὐδ' ὅτι αὐτοῖς φασιν εἶναι ἐξελθεῖν ἀποθανοῦσι· τοῖς δὲ μή, ἀεὶ τὸν οὐρανὸν κοσμοῦσιν· ἀπειρίᾳ γὰρ ἂν τοῦ ἔξω ὅ τί ποτέ ἐστι, τοῦτο ἂν λέγοιεν, καὶ τοῦ ὃν τρόπον ψυχὴ παντὸς ἐπιμελεῖται ἡ ὅλη τοῦ ἀψύχου. Ἔξεστιν οὖν καὶ μὴ φιλοσωματεῖν καὶ καθαροῖς γίνεσθαι, καὶ τοῦ θανάτου καταφρονεῖν, καὶ τὰ ἀμείνω εἰδέναι, κἀκεῖνα διώκειν, καὶ τοῖς ἄλλοις τοῖς δυναμένοις διώκειν καὶ διώκουσιν ἀεὶ μὴ φθονεῖν ὡς οὐ διώκουσι· μηδὲ ταὐτὸ πάσχειν τοῖς οἰομένοις τὰ ἄστρα μὴ θεῖν, ὅτι αὐτοῖς ἡ αἴσθησις ἑστάναι αὐτὰ λέγει· διὰ τοῦτο γὰρ καὶ αὐτοὶ οὐκ οἴονται τὰ ἔξω βλέπειν τὴν τῶν ἄστρων φύσιν, ὅτι οὐχ ὁρῶσι τὴν ψυχὴν αὐτῶν ἔξωθεν οὖσαν.

institutis, tum studio praeparatis. Si qui vero se jactent, quod soli divina valeant contemplari, nihil ob hoc plus habent facultatis ad contemplandum. Sed neque etiam ob hoc ipsum, quod gloriantur, se quidem per obitum e corporibus abituros; animalem autem mundum semper gubernaturis numquam id licere: id namque id aiunt imperitia quadam, quid sit, quod extra dicitur, ignorantes, quin etiam nescientes, qua ratione totius anima tota gubernet inanimatum. Data est ergo facultas per quam non indulgeamus corpori, sed puri quandoque efficiamur, contemnamus mortem, superiora intelligamus, intellecta sequamur; ceteris, qui consequi possunt, semperque sequuntur, nequaquam invideamus, et, quasi nequeant, detrahamus, neque unquam patiamur idem, quod et plerique putantes astra non currere, propterea quod sensus eis innuit illa quiescere. Ob id enim et ipsi non putant astrorum naturam ea, quae sunt extra, suspicere, quoniam ipsi non videant ipsorum animam extrinsecus existentem

# ΕΝΝΕΑΔΟΣ Γ′

## ΛΟΓΟΣ Α′.

### ΠΕΡΙ ΕΙΜΑΡΜΕΝΗΣ.

# ENNEADIS III

## LIBER I.

### DE FATO.

(228,229.) [411—413]

*Alia sunt, alia fiunt. Quæ fiunt, a causa fiunt: ac, præter causas propinquas, sæpe remotiores investigare compellimur.*

Α′. Ἅπαντα τὰ γιγνόμενα καὶ τὰ ὄντα ἤτοι κατ' αἰτίας γίγνεται τὰ γιγνόμενα καὶ ἔστι τὰ ὄντα, ἢ ἄνευ αἰτίας ἄμφω· ἢ τὰ μὲν ἄνευ αἰτίας, τὰ δὲ μετ' αἰτίας ἐν ἀμφοτέροις· ἢ τὰ μὲν γιγνόμενα μετ' αἰτίας πάντα, τὰ δὲ ὄντα τὰ μέν ἐστιν αὐτῶν μετ' αἰτίας, τὰ δὲ ἄνευ αἰτίας· ἢ οὐδὲν μετ' αἰτίας ἢ ἀνάπαλιν, τὰ μὲν ὄντα μετ' αἰτίας πάντα, τὰ δὲ γιγνόμενα τὰ μὲν οὕτω, τὰ δὲ ἐκείνως· ἢ οὐδὲν αὐτῶν μετ' αἰτίας. Ἐπὶ μὲν οὖν τῶν ἀϊδίων τὰ μὲν πρῶτα εἰς ἄλλα αἴτια ἀνάγειν οὐχ οἷόν τε πρῶτα ὄντα· ὅσα δὲ ἐκ τῶν πρώτων ἤρτηται, ἐξ ἐκείνων τὸ εἶναι ἐχέτω. Τάς τε ἐνεργείας ἑκάστων ἀποδιδούς τις ἐπὶ τὰς οὐσίας ἀναγέτω. Τοῦτο γάρ ἐστι τὸ εἶναι αὐτῶν, τὸ τοιάνδε ἐνέργειαν ἀποδιδόναι. Περὶ δὲ τῶν γιγνομένων ἢ ὄντων μὲν ἀεὶ, οὐ τὴν αὐτὴν δὲ ἐνέργειαν ποιουμένων ἀεὶ, κατ' αἰτίας ἅπαντα λεκτέον γίγνεσθαι· τὸ δὲ ἀναίτιον οὐ παραδεκτέον, οὔτε παρεγκλίσεσι κεναῖς χώραν διδόντα, οὔτε κινήσει σωμάτων τῇ ἐξαίφνης ἣ οὐδενὸς προηγησαμένου ὑπέστη, οὔτε ψυχῆς ὁρμῇ ἐμπλήκτῳ, μηδενὸς κινήσαντος αὐτὴν εἰς τό τι πρᾶξαι, ὧν πρότερον οὐκ ἐποίει. Ἢ αὐτῷ γε τούτῳ μεῖζον ἄν τις ἔχοι αὐτὴν ἀνάγκη τῷ μὴ αὐτῆς εἶναι· φέρεσθαι δὲ τὰς τοιαύτας φορὰς, ἀβουλήτους τε καὶ ἀναιτίους οὔσας. Ἢ γὰρ τὸ βουλητὸν, τοῦτο δὲ ἢ ἔξω, ἢ εἴσω, ἢ τὸ ἐπιθυμητὸν ἐκίνησεν· ἢ εἰ μηδὲν ὀρεκτὸν ἐκίνησεν, οὐδ' ἂν ὅλως ἐκινήθη. Γιγνομένων δὲ πάντων κατ' αἰτίας τὰς μὲν προσεχεῖς ἑκάστῳ ῥᾴδιον λαβεῖν καὶ εἰς ταύτας ἀνάγειν· οἷον τοῦ βαδίσαι εἰς ἀγορὰν τὸ οἰηθῆναι δεῖν τινα ἰδεῖν ἢ χρέος ἀπολαβεῖν, καὶ ὅλως τοῦ τάδε ἢ τάδε ἑλέσθαι καὶ ὁρμῆσαι. Ἔπειτα δὲ τὸ φανῆναι ἑκάστῳ ταδὶ ποιεῖν, καὶ τὰ μὲν ἐπὶ τὰς τέχνας ἀνάγειν· τοῦ ὑγιάσαι ἡ ἰατρικὴ καὶ ὁ ἰατρὸς, καὶ τοῦ πλουτῆσαι θησαυρὸς εὑρεθεὶς, ἢ δόσις παρά του, ἢ ἐκ πόνων ἢ τέχνης χρηματίσασθαι· καὶ τοῦ τέκνου ὁ πατὴρ, καὶ εἴ τι συνεργὸν ἔξωθεν εἰς παιδοποιίαν, ἄλλο παρ' ἄλλου ἧκον· οἷον σιτία τοιάδε, ἢ καὶ ὀλίγῳ προσωτέρω εὔρους εἰς παιδοποιίαν ἡ γυνὴ, ἐπιτήδειος εἰς τόκους, καὶ ὅλως εἰς φύσιν.

I. Ordo eorum, quæ sunt et quæ fiunt, ejusmodi esse debet, ut vel tam, quæ sunt, sint per causam, quam quæ fiunt, fiant quoque per causam, vel utraque sine causa, vel in utrisque partim quidem absque causa, partim vero ex causa: vel, quæ fiunt quidem omnia, ex causa veniant; quæ vero existunt, partim causam habeant, partim vero non habeant: vel existentium nullum in causam referatur, aut vicissim existentia quidem omnia sint ex causa; quæ vero fiunt, partim quidem hoc modo, partim illo: vel eorum nullum a causa veniat. *Principio in ordine* rerum sempiternarum, quæcumque primæ sunt, ob id ipsum, quod primæ sunt, in alias causas referri non possunt: quæcumque vero pendent ex primis, esse ab illis accipiant. Actiones quoque singulis rite distribues, si referas in essentias. Id enim est illorum esse, actum videlicet ejusmodi edere. In eorum vero genere quæ fiunt, vel quæ semper quidem sunt, non eundem tamen semper producunt actum, omnia prorsus fieri secundum causas affirmandum. Fieri vero aliquid sine causa nullo modo debemus admittere: patefacientes videlicet aditum vel inclinationibus incursionibusque vanis, vel repentinæ corporum motioni nullo præcedente duceque prodeunti, vel impetui animæ temerario atque subito, nullo videlicet animam incitante ad aliquid agendum eorum, quæ antea non agebat. Fortasse vero ex hoc ipso major animam adstringet *necessitas, quod sui ipsius minime sit: feratur autem* ejusmodi motionibus præter voluntatem atque causam propriam incidentibus. Aut enim ad volendum aliquid animam incitavit, sive id extra sit, sive sit intus: aut concupiscendum aliquid provocavit: alioquin si nihil prosequendum *movisset, nullo prorsus modo usquam mota* fuisset. Cum vero secundum causas fiant omnia, propinquas quidem singulis causas facile possumus invenire, effectusque in eas reducere: velut eundi in forum causa propinqua est existimatio, per quam decernimus quendam inveniendum vel debitum exigendum: atque omnino eligere hæc aut illa et prosequi. Denique similium causa est opinio, in qua cuique videatur talia quædam esse efficienda. Et nonnulla quidem in artes referimus velut causas, ceu convalescentiam in medicinam atque medicum: et divitiarum nuper accumulatarum causam in thesaurum forte repertum, vel largitionem ab aliquo factam, vel labores, vel quæstuariam artem. Similiter pater est filii causa, et si quid præterea conducit extrinsecus ad liberos procreandos: dum videlicet aliud procedit ab alio: velut tales quidam cibi, vel aliquanto prioria remotioraque ad generandos filios conferentia, ceu femina ad fetum partumque aptior: et omnino referimus in naturam.

Quia causæ sæpe e propinquo sufficientes non sunt, ideo superiores causæ indagantur. Unde nascitur opinio de fato in quatuor sententias distributa.

Β′. Μέχρι μὲν οὖν τούτων ἐλθόντα ἀναπαύσασθαι καὶ πρὸς τὸ ἄνω μὴ ἐθελῆσαι χωρεῖν ῥαθύμου ἴσως καὶ οὐ κατακούοντος τῶν ἐπὶ τὰ πρῶτα καὶ ἐπὶ τὰ ἐπέκεινα αἴτια ἀνιόντων. Διὰ τί γὰρ τῶν αὐτῶν γενομένων, οἷον τῆς σελήνης φανείσης, ὁ μὲν ἥρπασεν, ὁ δὲ οὔ; καὶ τῶν ὁμοίων ἐκ τοῦ περιέχοντος ἡκόντων ὁ μὲν

II. Hucusque vero progressum subito conquiescere, neque velle ad superiora procedere, pigri forsan hominis videatur, ejusque, qui viris ad sublimes causas ascendentibus aures non præstiterit. Quid enim in causa est, ut iisdem provenientibus, velut apparente luna, alter quidem rapuerit, alter vero minime? atque, similibus venientibus a continente cœlo vel aere, alter quidem ægrotet, alter vero ne-

ἐνόσησεν, ὁ δὲ οὔ; καὶ πλούσιος, ὁ δὲ πένης ἐκ τῶν αὐτῶν ἔργων; Καὶ τρόποι δὴ καὶ ἤθη διάφορα, καὶ τύχαι ἐπὶ τὰ πόῤῥω ἀξιοῦσιν ἰέναι. Καὶ οὕτω δὴ ἀεὶ οὐχ ἱστάμενοι, οἱ μὲν ἀρχὰς σωματικὰς θέμενοι, οἷον ἀτόμους, τῇ τούτων φορᾷ, καὶ πληγαῖς καὶ συμπλοκαῖς πρὸς ἄλληλα ἕκαστα ποιοῦντες, καὶ οὕτως ἔχειν καὶ γίγνεσθαι ᾗ ἐκεῖνα συνέστη, ποιεῖ τε καὶ πάσχει· καὶ τὰς ἡμετέρας ὁρμὰς καὶ διαθέσεις ταύτῃ ἔχειν, ὡς ἂν ἐκεῖναι ποιῶσιν, ἀνάγκην ταύτην καὶ τὴν παρὰ τούτων εἰς τὰ ὄντα εἰσάγουσι. Κἂν ἄλλα δέ τις σώματα ἀρχὰς διδῷ, καὶ ἐκ τούτων τὰ πάντα γίγνεσθαι, τῇ παρὰ τούτων ἀνάγκῃ δουλεύειν ποιεῖ τὰ ὄντα. Οἱ δὲ ἐπὶ τὴν τοῦ παντὸς ἀρχὴν ἐλθόντες ἀπ' αὐτῆς κατάγουσι πάντα, διὰ πάντων φοιτήσασαν αἰτίαν, καὶ ταύτην οὐ μόνον κινοῦσαν, ἀλλὰ καὶ ποιοῦσαν ἕκαστα λέγοντες, εἱμαρμένην ταύτην καὶ κυριωτάτην αἰτίαν θέμενοι, αὐτὴν οὖσαν τὰ πάντα, οὐ μόνον τὰ ἄλλα ὅσα γίγνεται, ἀλλὰ καὶ τὰς ἡμετέρας διανοήσεις ἐκ τῶν ἐκείνης ἰέναι κινημάτων· οἷον ζώου μορίων κινουμένων ἑκάστων οὐκ ἐξ αὐτῶν, ἐκ δὲ τοῦ ἡγεμονοῦντος ἐν ἑκάστῳ τῶν ζώων· ἄλλοι δὲ τὴν τοῦ παντὸς φορὰν περιέχουσαν καὶ πάντα ποιοῦσαν τῇ κινήσει, καὶ ταῖς τῶν ἄστρων πλανωμένων τε καὶ ἀπλανῶν σχέσεσι καὶ σχηματισμοῖς πρὸς ἄλληλα, ἀπὸ τῆς ἐκ τούτων προῤῥήσεως πιστούμενοι, ἕκαστα ἐντεῦθεν γίγνεσθαι ἀξιοῦσι. Καὶ μὴν καὶ τὴν τῶν αἰτίων ἐπιπλοκὴν πρὸς ἄλληλα, καὶ τὸν ἄνωθεν εἱρμὸν, καὶ τὸ ἕπεσθαι τοῖς προτέροις ἀεὶ τὰ ὕστερα, καὶ ταῦτα ἐπ' ἐκεῖνα ἀνιέναι δι' αὐτῶν γενόμενα, καὶ ἄνευ ἐκείνων οὐκ ἂν γενόμενα, δουλεύειν τε τοῖς πρὸ αὐτῶν τὰ ὕστερα, ταῦτα εἴ τις λέγοι εἱμαρμένην, ἕτερον τρόπον εἰσάγων φανεῖται. Διττοὺς δὲ ἄν τις θέμενος καὶ τούτους, οὐκ ἂν τοῦ ἀληθοῦς ἀποτυγχάνοι. Οἱ μὲν γὰρ ἀφ' ἑνός τινος τὰ πάντα ἀναρτῶσιν, οἱ δὲ, οὐχ οὕτω. Λεχθήσεται δὲ περὶ τούτων· νῦν δὲ ἐπὶ τοὺς πρώτους ἰτέον τῷ λόγῳ· εἶτ' ἐφεξῆς τὰ τῶν ἄλλων ἐπισκεπτέον.

quanquam? quin etiam ex eisdem operibus hic dives evadat, at ille pauper? Praeterea varii ingeniorum modi, moresque differentes et fortunae diversae nos admonent, ut remotiores causas perscrutemur. Itaque cum philosophi nunquam in propinquis causis conquiescere vellent, quicunque principia corporea posuerunt, velut atomos, earum motu impulsibusque et complicationibus mutuis singula facientes, dicunt ea conditione fieri atque se habere singula, qua illa principia coeunt faciuntque atque patiuntur, nostros quoque impetus affectionesque tales esse, quales illa faciunt. Hi ergo necessitatem hanc in principiis et in iis, quae fiunt ab illis, passim rebus inducunt; et quicunque alia quaedam corpora esse principia dicit, ab eisque omnia fieri, is similiter cum necessitati eidem in his fundatae servire omnia velit. Alii vero, ad ipsum universi principium ascendentes, ab ipso cuncta deducunt, atque causam hanc primam per omnia se diffundere, neque movere solum, verum etiam singula facere arbitrantur. Quam quidem et fatum vocant, fatum existimantes causam potentissimam cuncta moventem, non modo cetera quaecunque fiunt, sed cogitationes quoque nostras ex ipsius motionibus proficisci; non aliter quam in animali partes singulae moveantur, non quidem a se ipsis, sed ab eo, quod in quolibet animali obtinet principatum. Alii praeterea totius mundi circuitum omnia complectentem motuque singula facientem, atque habitibus configurationibusque stellarum, tam errantium quam non errantium, mutuis peragentem fatum judicant; et praedictionibus per coelestia factis freti, singula inde fieri arbitrantur. Posset insuper aliquis alia quadam ratione describere fatum, dicens, id esse complexionem mutuam causarum, seriemque connexam desuper emanantem, per quam posteriora semper prioribus obsecundent: atque haec ipsa posteriora in praecedentia reflectantur, utpote quae per ipsa fiant, et absque ipsis effici nequeant: quo efficiatur, ut antecedentibus semper sequentia serviant. Si quis autem bifariam hos distinxerit, a veritate forsan non aberrabit. Nempe alii quidem cuncta ab uno principio dependere putabant: alii vero nequaquam. De quibus in sequentibus disputabitur. In praesentia vero primum quidem cum primis disputare debemus: deinde et aliorum dicta deinceps considerare.

Neque cogi neque fieri a corporibus omnia; neque fatum neque praesagium fore aliquid, si principia rerum fuerint contingentia.

Γ'. Σώμασι μὲν οὖν ἐπιτρέψαι τὰ πάντα, εἴτε ἀτόμοις εἴτε τοῖς στοιχείοις καλουμένοις, καὶ τῇ ἐκ τούτων ἀτάκτῳ φορᾷ, τάξιν καὶ λόγον καὶ ψυχὴν τὴν ἡγουμένην γεννᾷν, ἀμφοτέρως μὲν ἄτοπον καὶ ἀδύνατον. Ἀδυνατώτερον δὲ, εἰ οἷόν τε λέγειν, τὸ ἐξ ἀτόμων. Καὶ περὶ τούτων πολλοὶ εἴρηνται λόγοι ἀληθεῖς. Εἰ δὲ δὴ καὶ θεῖτό τις τοιαύτας ἀρχὰς, οὐδ' οὕτως ἀναγκαῖον οὔτε τὴν κατὰ πάντων ἀνάγκην οὔτε τὴν ἄλλως εἱμαρμένην ἕπεσθαι. Φέρε γὰρ πρῶτον τὰς ἀτόμους εἶναι· αὗται τοίνυν κινήσονται, τὴν μὲν εἰς τὸ κάτω· ἔστω γάρ τι κάτω· τὴν δ' ἐκ πλαγίων, ὅπῃ ἔτυχεν, ἄλλαι κατ' ἄλλα. Οὐδὲν δὴ πάντως, τάξεώς γε οὐκ οὔσης· τὸ δὲ γενόμενον τοῦτο, ὅτε γέγονε, πάντως· ὥστε οὔτε πρόῤῥησις, οὔτε μαντικὴ τοπαράπαν ἂν εἴη, οὔτε εἴ τις ἐκ τέχνης· πῶς γὰρ ἐπὶ τοῖς ἀτάκτοις τέχνη; οὔτε ἥτις ἐξ ἐνθουσιασμοῦ καὶ ἐπιπνοίας. Δεῖ γὰρ καὶ ἐνταῦθα ὡρισμένον τὸ μέλλον εἶναι· καὶ σώμασι

III. Impossibile certe est et absurdum, corporeis causis cuncta committere, sive atomis, sive elementis motuique corporum inordinato ordinem et rationem et animam ducem subdere. Maxime vero impossibile est subjicere atomis, et de his quidem refellendis rationes multae veraeque traditae sunt. Si quis autem principia posuerit talia, neque sic tamen necessarium est, vel necessitatem quandam per omnia, vel alio quodam pacto inde fatum sequi. Pono primum atomos esse: hae igitur movebuntur partim quidem deorsum, si modo quicquam sit deorsum: partim vero e transverso, utcunque contigerit, alio videlicet aliae: nihil utique omnino, ordine scilicet non existente: id ipsum vero factum, quando factum est, omnino. Quam ob rem neque praedictio, neque vaticinium prorsus erit, neque praesagium ullum ex arte. Quo enim pacto in rebus inordinatis ars ulla esse potest? Neque ex oraculo inspiratione, neque divina vel mentis instinctu. Nam in his quoque oportet futurum jam esse determinatum: et corporibus

μὲν ἔσται παρὰ τῶν ἀτόμων πάσχειν πληττομένοις, ἅπερ ἂν ἐκεῖναι φέρωσιν ἐξ ἀνάγκης. Τὰ δὲ δὴ ψυχῆς ἔργα καὶ πάθη τίσι κινήσεσι τῶν ἀτόμων ἀναθήσει τις; ποίᾳ γὰρ πληγῇ ἢ κάτω φερομένης ἢ ὁπουοῦν προσκρουούσης ἐν λογισμοῖς τοιοῖσδε ἢ ὁρμαῖς τοιαῖσδε, ἢ ὅλως ἐν λογισμοῖς ἢ ὁρμαῖς ἢ κινήσεσι ποιήσει ἀναγκαίαις εἶναι, ἢ ὅλως εἶναι; Ὅταν δὲ δὴ ἐναντιῶται ψυχὴ τοῖς τοῦ σώματος παθήμασι; κατὰ ποίας δὲ φορὰς ἀτόμων ὁ μὲν γεωμετρικὸς ἀναγκασθήσεται εἶναι, ὁ δὲ ἀριθμητικὴν καὶ ἀστρονομίαν ἐπισκέψεται, ὁ δὲ σοφὸς ἔσται; ὅλως γὰρ τὸ ἡμέτερον ἔργον καὶ τὸ ζώοις εἶναι ἀπολεῖται, φερομένων ᾗ τὰ σώματα ἄγει, ὠθοῦντα ἡμᾶς ὥσπερ ἄψυχα σώματα. Τὰ αὐτὰ δὲ ταῦτα καὶ πρὸς τοὺς ἕτερα σώματα αἴτια τῶν πάντων τιθεμένους, καὶ ὅτι θερμαίνειν μὲν καὶ ψύχειν ἡμᾶς καὶ φθείρειν δὲ τὰ ἀσθενέστερα δύναται ταῦτα. Ἔργον δὲ οὐδὲν τῶν ὅσα ψυχὴ ἐργάζεται παρὰ τούτων ἂν γίγνοιτο· ἀλλ' ἀφ' ἑτέρας δεῖ ταῦτα ἀρχῆς ἰέναι.

quidem accidet ab atomis pulsantibus pati, quæcumque atomi ferant ex necessitate. Animæ vero actiones et passiones quibusnam motibus atomorum ascribere poteris? Quinam impulsus sive per descensum, sive per qualemcumque incidentiam atomorum, faciet in anima tales quosdam rationis discursus vel tales impetus, aut omnino *discursiones vel impetus vel motus necessario provenire*, vel quomodocumque etiam provenire? Præterea quando animus perturbationibus corporis adversatur, quidnam atomi ad id conducunt? Dic rursus, per quas differentias atomorum homines compellantur, ut alii quidem geometræ sint, alii arithmetici atque astronomi, alii sapientes? Omnino vero libertas arbitrii opusque nostrum tolletur e medio, atque id insuper quod est animal esse. Feremur enim quocumque corpora trahant: ita, ut inanimata corpora nos impellentia. Eadem similiter illis objici possunt, qui alia corpora esse omnium causas arbitrantur: quodve præterea calefacere, frigefacere, dissolvere nos, et quæcumque illis infirmiora sunt, possunt. Actiones vero quales parit anima ab his fieri nequeunt: sed has oportet ab alio quodam principio fieri.

Non esse in universo tantum unum agens.

Δ'. Ἀλλ' ἆρα μία τις ψυχὴ διὰ παντὸς διήκουσα περαίνει τὰ πάντα, ἑκάστου ταύτῃ κινουμένου ὡς μέρους ᾗ τὸ ὅλον ἄγει; φερομένων δὲ ἐκεῖθεν τῶν αἰτίων ἀκολούθων ἀνάγκη τὴν τούτων ἐφεξῆς συνέχειαν καὶ συμπλοκὴν εἱμαρμένην, οἷον εἰ φυτοῦ ἐκ ῥίζης τὴν ἀρχὴν ἔχοντος τὴν ἐντεῦθεν ἐπὶ πάντα διοίκησιν αὐτοῦ τὰ μέρη καὶ πρὸς ἄλληλα συμπλοκήν, ποίησίν τε καὶ πεῖσιν, διοίκησιν μίαν, καὶ οἷον εἱμαρμένην τοῦ φυτοῦ τις εἶναι λέγοι. Ἀλλὰ πρῶτον μὲν τοῦτο τὸ σφοδρὸν τῆς ἀνάγκης καὶ τῆς τοιαύτης εἱμαρμένης αὐτὸ τοῦτο τὴν εἱμαρμένην καὶ τῶν αἰτίων τὸν εἱρμὸν καὶ τὴν συμπλοκὴν ἀναιρεῖ. Ὡς γὰρ ἐν τοῖς ἡμετέροις μέρεσι κατὰ τὸ ἡγεμονοῦν κινουμένοις ἄλογον τὸ καθ' εἱμαρμένην λέγειν κινεῖσθαι· οὐ γὰρ ἄλλο μὲν τὸ ἐνδεδωκὸς τὴν κίνησιν, ἄλλο δὲ τὸ παραδεξάμενον, καὶ παρ' αὐτοῦ τῇ ὁρμῇ κεχρημένον· ἀλλ' ἐκεῖνό ἐστι πρῶτον τὸ κινῆσαν τὸ σκέλος· τὸν αὐτὸν τρόπον εἰ καὶ ἐπὶ τοῦ παντὸς ἓν ἔσται τὸ πᾶν ποιοῦν καὶ πάσχον, καὶ οὐκ ἄλλο παρ' ἄλλου, κατ' αἰτίας τὴν ἀναγωγὴν ἀεὶ ἐφ' ἕτερον ἐχούσας, οὐ δὴ ἀληθὲς κατ' αἰτίας τὰ πάντα γίγνεσθαι, ἀλλ' ἓν ἔσται τὰ πάντα. Ὥστε οὔτε ἡμεῖς ἡμεῖς, οὔτε τι ἡμέτερον ἔργον· οὐδὲ λογιζόμεθα αὐτοί· ἀλλ' ἑτέρου λογισμὸς τὰ ἡμέτερα βουλεύματα, οὐδὲ πράττομεν ἡμεῖς, ὥσπερ οὐδὲ οἱ πόδες λακτίζουσιν, ἀλλ' ἡμεῖς διὰ μερῶν τῶν ἑαυτῶν. Ἀλλὰ γὰρ δεῖ καὶ ἕκαστον ἕκαστον εἶναι, καὶ πράξεις ἡμετέρας, καὶ διανοίας ὑπάρχειν, καὶ τὰς ἑκάστου καλάς τε καὶ αἰσχρὰς πράξεις παρ' ἑαυτοῦ ἑκάστου, ἀλλὰ μὴ τῷ παντὶ τὴν γοῦν τῶν αἰσχρῶν ποίησιν ἀνατιθέναι.

IV. Sed numquid una quædam anima per cuncta discurrens singula peragit, adeo ut quodlibet ceu pars perferatur *illuc, quo ducit totum? ferantur autem inde causæ consequentes* necessitate, atque continuam horum omnium connexionem fatum appellare debemus? Perinde ac si in planta habente principium a radice aliquis plantæ fatum dicat dispositionem ab ipsa radice per omnes plantæ partes quasi gubernando diffusam conspirationemque mutuam et actionem et passionem una dispensatione contentam. At vero nimius hic necessitatis excessus fatique ejusmodi constitutio ipsum fatum seriemque causarum et earum com*plexionem funditus aufert. Sicut enim in partibus nostris* a nostro principali motis absurdum est dicere secundum fatalem seriem agitari: non enim aliud quidem est, quod tradit motum, aliud vero, quod accipit, ipsum quoque proprium quendam habens [*corr.* accipit et ab illo mutuatur] impetum; sed primum illud est, quod crus etiam movet: eodem modo si et in universo unum erit omne faciens atque patiens, neque aliud prorsus ab alio secundum causas continue reductas in aliud; certo non erit verum, omnia secundum causas fieri, sed erunt omnia unum. Quapropter neque nos ipsi nos erimus, neque nostrum opus ullum: neque ipsi ratiocinabimur, sed alterius cujusdam ratiocinatio erit nostrum consilium: neque agemus ipsi, quemadmodum nunc neque pedes calcitrant, sed nos per pedes tanquam partes nostras dicimur calcitrare. Oportet tamen quemlibet nostrum id proprie, quod est, existere, actionesque et cogitationes esse nostras: et uniuscujusque vel honestas vel turpes *actiones ab ipso unoquoque procedere: neque decet universo* actiones turpes ascribere.

Neque nos a cælo regi, neque cetera a cælo tantum, et necessario fieri.

Ε'. Ἀλλ' ἴσως μὲν οὐχ οὕτως ἕκαστα περαίνεται, ἡ δὲ φορὰ διοικοῦσα πάντα καὶ ἡ τῶν ἄστρων κίνησις οὕτως ἕκαστα τίθησιν, ὡς ἂν πρὸς ἄλληλα στάσεως ἔχῃ μεσουρανήσεσι καὶ ἀνατολαῖς, δύσεσί τε καὶ πα-

V. Fortasse vero non ita singula peraguntur, verum circuitus cœlestium cuncta gubernans, astrorumque motus singula ita disponunt, prout se mutuo inter se habent, secundum meridianum tempus, atque situm et ortus et occa-

ραβολαῖς. Ἀπὸ τούτων γοῦν μαντευόμενοι προλέγουσι περί τε τῶν ἐν τῷ παντὶ ἐσομένων, περί τε ἑκάστου, ὅπως τε τύχης καὶ διανοίας οὐχ ἥκιστα ἕξει· ὁρᾶν δὲ καὶ τὰ ἄλλα ζῶά τε καὶ φυτὰ ἀπὸ τῆς τούτων συμπαθείας αὐξόμενά τε καὶ μειούμενα καὶ τὰ ἄλλα παρ' αὐτῶν πάσχοντα, τούς τε τόπους τοὺς ἐπὶ γῆς διαφέροντας ἀλλήλων εἶναι, κατά τε τὴν πρὸς τὸ πᾶν σχέσιν, καὶ πρὸς ἥλιον μάλιστα· ἀκολουθεῖν δὲ τοῖς τόποις οὐ μόνον τὰ ἄλλα φυτά τε καὶ ζῶα, ἀλλὰ καὶ ἀνθρώπων εἴδη τε καὶ μεγέθη καὶ χρόας καὶ θυμοὺς καὶ ἐπιθυμίας, ἐπιτηδεύματά τε καὶ ἤθη. Κυρία ἄρα ἡ τοῦ παντὸς πάντων φορά. Πρὸς δὴ ταῦτα πρῶτον μὲν ἐκεῖνο ῥητέον, ὅτι καὶ οὗτος ἕτερον τρόπον ἐκείνοις ἀνατίθησι τὰ ἡμέτερα, βουλὰς καὶ πάθη, κακίας τε καὶ ὁρμάς· ἡμῖν δὲ οὐδὲν διδοὺς, λίθοις φερομένοις καταλείπει εἶναι, ἀλλ' οὐκ ἀνθρώποις ἔχουσι παρ' αὐτῶν καὶ ἐκ τῆς αὐτῶν φύσεως ἔργον. Ἀλλὰ χρὴ διδόναι μὲν τὸ ἡμέτερον ἡμῖν, ἥκειν δὲ εἰς τὰ ἡμέτερα, ἤδη τινὰ ὄντα καὶ οἰκεῖα ἡμῶν, ἀπὸ τοῦ παντὸς, ἄττα καὶ διαιρούμενον, τίνα μὲν ἡμεῖς ἐργαζόμεθα, τίνα δὲ πάσχομεν ἐξ ἀνάγκης, μὴ πάντα ἐκείνοις ἀνατιθέναι· καὶ ἰέναι μὲν παρὰ τῶν τόπων καὶ τῆς διαφορᾶς τοῦ περιέχοντος εἰς ἡμᾶς οἷον θερμότητας ἢ ψύξεις ἐν τῇ κράσει, ἰέναι δὲ καὶ παρὰ τῶν γιγνομένων, τοῖς γοῦν γονεῦσιν ὅμοιοι καὶ τὰ εἴδη ὡς τὰ πολλὰ, καί τινα τῶν ἀλόγων τῆς ψυχῆς παθῶν· οὐ μὴν ἀλλὰ καὶ ὁμοίων ὄντων τοῖς εἴδεσι παρὰ τοὺς τόπους, ἔν γε τοῖς ἤθεσι πλείστη παραλλαγὴ καὶ ἐν ταῖς διανοίαις ὁρᾶται, ὡς ἂν ἀπ' ἄλλης ἀρχῆς τῶν τοιούτων ἰόντων, αἵ τε πρὸς τὰς κράσεις τῶν σωμάτων καὶ πρὸς τὰς ἐπιθυμίας ἐναντιώσεις καὶ ἐνταῦθα πρεπόντως λέγοιντο ἄν. Εἰ δ', ὅτι εἰς τὴν τῶν ἄστρων σχέσιν ὁρῶντες περὶ ἑκάστων λέγουσι τὰ γιγνόμενα, παρ' ἐκείνων ποιεῖσθαι τεκμαίρονται, ὁμοίως ἂν καὶ οἱ ὄρνεις ποιητικοὶ ὧν σημαίνουσιν εἶεν, καὶ πάντα, εἰς ἃ βλέποντες οἱ μάντεις προλέγουσιν. Ἔτι δὲ καὶ ἐκ τῶνδε ἀκριβέστερον ἄν τις ἐπισκέψαιτο περὶ τούτων· ἅ τις ἂν ἰδὼν εἰς τὴν τῶν ἄστρων σχέσιν, ἣν εἶχον, ὅτε ἕκαστος ἐγίγνετο, προείποι, ταῦτά φασι καὶ γίγνεσθαι παρ' αὐτῶν, οὐ σημαινόντων μόνον, ἀλλὰ καὶ ποιούντων. Ὅταν τοίνυν περὶ εὐγενείας λέγωσιν, ὡς ἐξ ἐνδόξων τῶν πατέρων καὶ μητέρων, πῶς ἔνι ποιεῖσθαι λέγειν ταῦτα, ἃ προϋπάρχει περὶ τοὺς γονεῖς, πρὶν σχέσιν γενέσθαι ταύτην τῶν ἄστρων, ἀφ' ἧς προλέγουσι; Καὶ μὴν καὶ γονέων τύχας ἀπὸ τῶν παίδων τῆς γενέσεως, καὶ παίδων διαθέσεις οἷαι ἔσονται, καὶ ὁποίαις συνέσονται τύχαις, ἀπὸ τῶν πατέρων περὶ τῶν οὔπω γεγονότων λέγουσι· καὶ ἐξ ἀδελφῶν ἀδελφῶν θανάτους· καὶ ἐκ γυναικῶν τὰ περὶ τοὺς ἄνδρας ἀνάπαλίν τε ἐκ τούτων ἐκεῖνα. Πῶς ἂν οὖν ἡ ἑκάστου σχέσις ἐπὶ τῶν ἄστρων ποιεῖ, ἃ ἤδη ἐκ πατέρων οὕτως ἕξειν λέγεται; Ἢ γὰρ ἐκεῖνα τὰ πρότερα ἔσται τὰ ποιοῦντα, ἢ εἰ μὴ ἐκεῖνα ποιεῖ, οὐδὲ ταῦτα. Καὶ μὴν καὶ ἡ ὁμοιότης ἐν τοῖς εἴδεσι πρὸς τοὺς γονέας οἴκοθεν φησὶ καὶ κάλλος καὶ αἶσχος ἰέναι

sua atque congressu. Ab his utique praesagientes praedicunt *de iis quae circa universum et* quae circa quemlibet futura sunt. Neque solum qualis fortuna, sed etiam qualis fere cogitatio sit futura. Videre licet alia quoque animalia plantasque ab ipsa illorum consensione tum augeri, tum minui, tum cetera ab illis omnia perpeti. Regiones quin etiam in terra inter se differre secundum habitum quemdam ad universum, praecipue vero per aspectum ad solem. Sequi autem loci naturam apparet non solum plantas et bruta, verum etiam hominum species et magnitudines et colores, iras, cupiditates, studia, mores. Itaque omnium auctoritas penes ipsum consistere videtur universi circuitum. Ad haec igitur primo dicendum est, hunc quoque sermonem, quamvis alio quodam pacto, superioribus omnia nostra subjicere, voluntates, passiones, vitia, impetus: nobis autem nihil assignare nostrum, sed nos existimare tanquam lapides agitari potius, quam, tanquam homines, quoddam ex nobis nostraque natura proprium munus habentes. Veruntamen concedere decet nostrum nobis opus; atque praeterea, pervenire quaedam ab universo usque ad nostra, quae jam per se aliquid sint, nobisque propria. Sane distinguendum est, quae nam ipsi nos agamus, quaeve necessario patiamur, neque ea coelitus omnia concedenda. Evidenter enim a regionibus aerisque circumfusi diversitate multa nobis accidere: velut in corporis complexione frigus atque calorem; accidere quoque ab eorum, qui gignuntur, conditione. Nonne parentibus ut plurimum nati similes oriuntur, tum forma atque figura, tum quibusdam animae irrationalis affectibus? Quinimo saepe similes forma sunt ob communem loci naturam: quam plurimam tamen habent in moribus et cogitationibus differentiam, quasi haec ab alio quodam principio oriantur. Praeterea repugnantia rationis adversus complexionem corporis atque libidines ad haec similiter refellenda conducit. Sin autem ex eo, quod habitudinem stellarum suspicientes singulis futura pronuntiant, ab illis quoque fieri opinentur: pari modo id se habebit, ac si aves eorum, quae significant, causae forent: similiterque et omnia, quorum inspectione vates praesagiunt, *facere etiam, quae significant, dicerentur.* Item ex his eadem perfectius considerare licet, quae unicuique praedicit astrologus, suspiciens stellarum dispositionem, quando nascitur, constitutam: quae quidem si dixerint non significari tantum a praesenti dispositione, sed fieri, amplius mentientur. Nempe quando de generosa stirpe judicant dicentes, natum ex nobilibus patribus, vel matribus ortum: quonam pacto licet dicere hinc illa fieri, quae parentibus insunt prius, quam talis stellarum veniat dispositio, cujus contemplatione praedicunt? Etenim parentum quoque fortunas a filiorum generatione declarant. Rursus futuras filiorum conditiones atque fortunas ab ipsis parentibus circa illos, qui nondum sunt nati, portendunt. A fratrum quoque genituris saepe fratrum mortes, item ex mulieribus virorum sortes, vicissimque ex his illa dijudicant. Quanam igitur ratione stellarum dispositio cujusque propria facit ea, quae jam ex patribus certa quadam conditione futura dicuntur? Aut enim priora illa sunt efficientes causae; aut, si illa causae non sunt, neque haec etiam causae erunt. Quin etiam filiorum forma parentibus similis testatur pulchritudinem deformitatemque ab ipsa stirpe, non ab astro-

ἀλλ' οὐ παρὰ φορᾶς ἄστρων. Εὔλογόν τε κατὰ τοὺς αὐτοὺς χρόνους καὶ ἄλλα ζῶά τε παντοδαπὰ, καὶ ἀνθρώπους ἅμα γίγνεσθαι, οἷς ἅπασιν ἔχρῆν τὰ αὐτὰ εἶναι, οἷς ἡ αὐτὴ σχέσις. Πῶς οὖν ἅμα μὲν ἀνθρώπους, ἅμα δὲ καὶ τὰ ἄλλα διὰ τῶν σχημάτων;

rum motibus proficisci. Probabile est insuper, eodem in tempore animalia omnigena hominesque simul oriri : in quibus eadem omnino oporteret accidere, quibuscumque stellarum eadem dispositio imminet. Quo igitur modo homines simul et cetera per easdem cœli figuras exoriuntur?

Singula hic a naturis propriis magis, quam cœlo, propriam in generatione accipiunt qualitatem, quamvis a cœlo significentur.

Ϛ'. Ἀλλὰ γὰρ γίγνεται μὲν ἕκαστα κατὰ τὰς αὐτῶν φύσεις· ἵππος μὲν, ὅτι ἐξ ἵππου, καὶ ἄνθρωπος, ὅτι ἐξ ἀνθρώπου· καὶ τοιόσδε, ὅτι ἐκ τοιοῦδε. Ἔστω δὲ συνεργὸς καὶ ἡ τοῦ παντὸς φορὰ, συγχωροῦσα τὸ πολὺ τοῖς γιγνομένοις· ἔστωσαν δὲ πρὸς τὰ τοῦ σώματος πολλὰ σωματικῶς διδόντες, θερμότητας καὶ ψύξεις, καὶ σωμάτων κράσεις ἐπακολουθούσας· πῶς οὖν τὰ ἤθη καὶ τὰ ἐπιτηδεύματα καὶ μάλιστα οὐχ ὅσα δοκεῖ κράσει σωμάτων δουλεύειν· οἷον γραμματικός τις καὶ γεωμετρικὸς, καὶ κυβευτικὸς, καὶ τῶνδέ τις εὑρετής; πονηρία δὲ ἤθους παρὰ θεῶν ὄντων πῶς ἂν δοθείη; καὶ ὅλως ὅσα λέγονται διδόναι κακὰ κακούμενοι ὅτι δύνουσι, καὶ ὅτι ὑπὸ γῆν φέρονται, ὥσπερ διάφορόν τι πασχόντων, εἰ πρὸς ἡμᾶς δύνοιεν, ἀλλ' οὐκ ἀεὶ ἐπὶ σφαίρας οὐρανίας φερομένων, καὶ πρὸς τὴν γῆν τὴν αὐτὴν ἐχόντων σχέσιν. Οὐδὲ λεκτέον, ὡς ἄλλος ἄλλον ἰδὼν τῶν θεῶν κατ' ἄλλην καὶ ἄλλην στάσιν χείρων ἢ κρείττων γίγνεται· ὥστε εὐπαθοῦντας μὲν ἡμᾶς εὐποιεῖν, κακοῦν δὲ, εἰ τἀναντία. Ἀλλὰ μᾶλλον ὡς φέρεται μὲν ταῦτα ἐπὶ σωτηρίᾳ τῶν ὅλων, παρέχεται δὲ καὶ ἄλλην χρείαν τὴν τοῦ εἰς αὐτὰ ὥσπερ γράμματα βλέποντας τοὺς τὴν τοιαύτην γραμματικὴν εἰδότας ἀναγιγνώσκειν τὰ μέλλοντα ἐκ τῶν σχημάτων κατὰ τὸ ἀνάλογον, μεθοδεύοντας τὸ σημαινόμενον· ὥσπερ εἴ τις λέγοι, ἐπειδὴ ὑψηλὸς ὁ ὄρνις, σημαίνει ὑψηλάς τινας πράξεις.

VI. Sed profecto singula secundum naturas suas fiunt : equus quidem, quoniam ex equo; homo autem, quoniam ex homine nascitur : quin etiam talis vel equus vel homo, quoniam fit ex tali. Conducat ad idem quoque cœli motus, concedens tamen genitoribus genitisque quam plurimum. Tradant vero cœlestia quantum ad corpus spectat multa, et hæc quidem conditione corporea, calores, frigora, complexiones corporum consequentes : at quonam pacto mores et studia, *præsertim quæcumque non videntur corporum* complexionibus obsequi : ceu quod aliquis sit grammaticus, vel geometra, vel alcator, talisque rei aut talis inventor? Jam vero pravitas morum quomodo a cœlestibus, qui dii sunt, hominibus dari potest? et omnino, quotcumque dare dicuntur mala, ipsi videlicet facti mali, propterea quod occidant, vel sub terram ferantur, quasi diversum aliquid patiantur, si nobis occiderint, non autem semper per cœlestem sphæram circumferantur, et quantum in se est, terram eadem ratione respiciant. Neque etiam dicendum est, deorum alium dum alio atque alio situ aspicit alium, meliorem deterioremve evadere : adeo ut affecti bene nobis etiam benefaciant, male vero affecti noceant. Præstat vero dicere, cœlestia pro universi salute percurrere, sed interim ad alium quendam usum conducere : quo scilicet, qui illa suspiciunt quasi literas, qui videlicet literaturam ejusmodi noverint, futura legant, ex ipsis figuris comparatione *quadam analogica indagantes significatum : quemad*modum si quis dixerit, avem per sublimia pervolantem actiones quasdam sublimes significare.

Qui necessariam rerum seriem introducunt inevitabiliter singula peragentem, auferunt cum infinia contingentiam, tum consilio libertatem.

Ζ'. Λοιπὸν δὲ ἰδεῖν τὴν ἐπιπλέκουσαν καὶ οἷον συνείρουσαν ἀλλήλοις πάντα, καὶ τὸ πῶς ἐφ' ἑκάστου ἐπιφέρουσαν, ἀρχὴν τιθεμένην μίαν, ἀφ' ἧς πάντα κατὰ λόγους σπερματικοὺς περαίνεται. Ἔστι μὲν οὖν καὶ αὕτη ἡ δόξα ἐγγὺς ἐκείνης τῆς πᾶσαν καὶ σχέσιν καὶ κίνησιν ἡμετέραν τε καὶ πᾶσαν ἐκ τῆς τῶν ὅλων ψυχῆς ἥκειν λεγούσης, εἰ καὶ βούλεταί τι ἡμῖν καὶ ἑκάστοις χαρίζεσθαι, εἰς τὸ παρ' ἡμῶν ποιεῖν τι, ἔχει μὲν οὖν τὴν πάντως πάντων ἀνάγκην· καὶ πάντων εἰλημμένων τῶν αἰτίων οὐκ ἔστιν ἕκαστον μὴ οὐ γίγνεσθαι· οὐδὲν γὰρ ἔτι τὸ κωλῦσον ἢ ἄλλως γενέσθαι ποιῆσον, εἰ πάντα εἴληπται ἐν τῇ εἱμαρμένῃ. Τοιαῦτα δὲ ὄντα, ὡς ἀπὸ μιᾶς ἀρχῆς ὡρμημένα, ἡμῖν οὐδὲν καταλείψει, ἢ φέρεσθαι, ὅπῃ ἂν ἐκεῖνα ὠθῇ· αἵ τε γὰρ φαντασίαι τοῖς προηγησαμένοις, αἵ τε ὁρμαὶ κατὰ ταύτας ἔσονται· ὄνομά τε μόνον τὸ ἐφ' ἡμῖν ἔσται. Οὐ γὰρ, ὅτι ὁρμῶμεν ἡμεῖς, ταύτῃ τι πλέον ἔσται, τῆς ὁρμῆς κατ' ἐκεῖνα γεννωμένης· τοιοῦτόν τε τὸ ἡμέτερον ἔσται, οἷον καὶ τὸ τῶν ἄλλων ζῴων καὶ τὸ τῶν νηπίων, καθ' ὁρμὰς

VII. Reliquum est considerare opinionem dicentem cuncta simul implicari atque connecti, unde singulis conditio assignatur : ponentem quoque principium unum, a quo per rationes seminales singula generentur. Est autem hæc opinio illi persimilis, cum dicit, omnem habitum atque motum, cum nostrum tum universum, ab anima universi procedere. Et si quis velit nobis et singulis condonare, ut nonnihil a nobis ipsis efficiamus, habet tamen omnino omnium necessitatem. Sane omnibus una causis comprehensis impossibile est, unumquodque non effici. Nihil enim præterea reliquum est, quod vel prohibere queat, vel aliter fieri fortasse compellat : siquidem cuncta comprehendantur in fato. Cum vero talia sint, ut ab uno principio profluant, nihil jam nobis aliud restat, nisi ut feramur quocumque nos illa compulerint. Nam et imaginationes causas sequentur antecedentes, et impetus imaginationes comitabuntur : arbitriique libertas nomen erit inane. Non enim ex eo, quod ipsi nos aliquid impetu quodam aggredimur, arbitrii plus habebimus : quippe cum impetus omnis ab antecedentibus incitetur : jusque nostrum erit tale, quale animalium reliquorum infantiumque atque

τυφλὰς ἰόντων, καὶ τὸ τῶν μαινομένων· ὁρμῶσι γὰρ καὶ οὗτοι, καὶ νὴ Δία αἱ πυρὸς ὁρμαί, καὶ πάντων ὅσα δουλεύοντα τῇ αὐτῶν κατασκευῇ φέρεται κατὰ ταύτην. Τοῦτο δὲ καὶ πάντες ὁρῶντες οὐκ ἀμφισβητοῦσιν, ἀλλὰ τῆς ὁρμῆς ταύτης ἄλλας αἰτίας ζητοῦντες οὐχ ἵστανται ὡς ἐπ' ἀρχῆς ταύτης.

irruentium caecis quibusdam stimulis discurrentium: nam et in his sunt impetus. Et, per Jovem, similis ferme impetus est in igne, atque in omnibus, quaecumque conditionis propriae servientia ipsius instinctu praecipitantur. Id autem omnes perspicue cernentes non ambigunt: verum alias quasdam hujus impetus causas indagantes in hoc quasi principio minime conquiescunt.

Quomodo anima sit super fatum, in fato, sub fato.

Η'. Τίς οὖν ἄλλη αἰτία παρὰ ταύτας ἐπελθοῦσα ἀναίτιόν τε οὐδὲν καταλείψει, ἀκολουθίαν τε τηρήσει καὶ τάξιν, ἡμᾶς τέ τι εἶναι συγχωρήσει, προρρήσεις τε καὶ μαντείας οὐκ ἀναιρήσει; Ψυχὴν δὴ δεῖ ἀρχὴν οὖσαν ἄλλην, ἐπεισφέροντας εἰς τὰ ὄντα, οὐ μόνον τὴν τοῦ παντός, ἀλλὰ καὶ τὴν ἑκάστου μετὰ ταύτης, ὡς ἀρχῆς οὐ σμικρᾶς οὔσης, πλέκειν τὰ πάντα, οὐ γιγνομένης καὶ αὐτῆς ὥσπερ τὰ ἄλλα ἐκ σπερμάτων, ἀλλὰ πρωτουργοῦ αἰτίας οὔσης. Ἄνευ μὲν οὖν σώματος οὖσα κυριωτάτη τε αὑτῆς καὶ ἐλευθέρα, καὶ κοσμικῆς αἰτίας ἔξω· ἐνεχθεῖσα δὲ εἰς σῶμα οὐκ ἔτι πάντα κυρία, ὡς ἂν μεθ' ἑτέρων ταχθεῖσα. Τύχαι δὲ τὰ κύκλῳ πάντα, οἷς συνέπεσεν ἐλθοῦσα εἰς μέσον, τὰ πολλὰ ἤγαγον, ὥστε τὰ μὲν ποιεῖν διὰ ταῦτα, τὰ δὲ κρατοῦσαν αὐτὴν ταῦτα, ὅπη ἐθέλει, ἄγειν. Πλείω δὲ κρατεῖ ἡ ἀμείνων, ἐλάττω δὲ ἡ χείρων· ἢ γὰρ κράσει σώματός τι ἐνδιδοῦσα ἐπιθυμεῖν ἢ ὀργίζεσθαι ἠνάγκασται, ἢ πενίαις ταπεινή, ἢ πλούτοις χαῦνος, ἢ δυνάμεσι τύραννος· ἡ δὲ καὶ ἐν τοῖς αὐτοῖς τούτοις ἀντέσχεν, ἡ ἀγαθὴ τὴν φύσιν· καὶ ἠλλοίωσεν αὐτὴ μᾶλλον, ἢ ἠλλοιώθη, ὥστε τὰ μὲν ἑτεροιῶσαι, τοῖς δὲ συγχωρῆσαι, μὴ μετὰ κάκης.

VIII. Quaenam igitur alia, praeter has, restat causa, quae accedens nihil relinquat extra causam, consequentiam rerum ordinemque conservet, nos aliquid esse permittat, praedictiones vaticiniaque non tollat? Animam itaque oportet, quae aliud principium sit, rerum ordinibus inserentes, neque universi tantum, sed etiam cujuslibet animam una cum totius anima, utpote quae principium sit non parvum, cuncta contexere: cum videlicet anima non sicut cetera ex seminibus oriatur, sed in causarum generationem praecedentium ordine collocetur. Quam ob rem, quando a corpore semota vivit, maxime sui ipsius domina est atque libera et extra mundanae causae potestatem: at infusa corpori haud amplius in omnibus dominandi auctoritatem habet vel libertatem, utpote quae una cum aliis jam fuerit ordinata. Fortunae vero, scilicet ea, quae circumstant, quibuscum concidit profecta in medium, possunt quam plurimum, usque adeo, ut anima propter circumstantiam faciat multa, quaedam vero quodam imperio, quocumque decreverit, agat. In pluribus sane dominatur anima, si melior sit: in paucioribus vero, si pejor. Aut enim complexioni corporis obsequens concupiscere vel irasci compellitur, aut paupertati succumbens evadit humilior, aut adulata divitiis jam tumescit, aut exsultans imperio tyrannidem jam exercet: anima vero bonitate naturae freta, si in eadem inciderit, his repugnat atque dominatur: potiusque permutat ipsa, quam permutetur: et partim quidem mutat, partim absque culpa permittit.

Quomodo anima in fato sit ut agens. Item, de contingentia rerum.

Θ'. Ἀναγκαῖα μὲν οὖν ταῦτα, ὅσα προαιρέσει καὶ τύχαις κραθέντα γίγνεται· τί γὰρ ἂν ἔτι καὶ ἄλλο εἴη; πάντων δὲ ληφθέντων τῶν αἰτίων πάντα πάντως γίγνεται ἐν τοῖς ἔξωθεν, καὶ εἴ τι ἐκ τῆς φορᾶς συντελεῖται. Ὅταν μὲν οὖν ἀλλοιωθεῖσα παρὰ τῶν ἔξω ψυχὴ πράττῃ τι καὶ ὁρμᾷ, οἷον τυφλῇ τῇ φορᾷ χρωμένη, οὐχὶ ἑκούσιον τὴν πρᾶξιν οὐδὲ τὴν διάθεσιν λεκτέον· καὶ ὅταν αὐτὴ παρ' αὐτῆς χείρων οὖσα περιττὸν οὐκ ὀρθαῖς πανταχοῦ οὐδὲ ἡγεμονούσαις ταῖς ὁρμαῖς ᾖ χρωμένη· λόγον δὲ ὅταν ἡγεμόνα καθαρὸν καὶ ἀπαθῆ τὸν οἰκεῖον ἔχουσα ὁρμᾷ, ταύτην μόνον τὴν ὁρμὴν φατέον εἶναι ἐφ' ἡμῖν καὶ ἑκούσιον, καὶ τοῦτο εἶναι τὸ ἡμέτερον ἔργον, ὃ μὴ ἄλλοθεν ἦλθεν, ἀλλ' ἔνδοθεν ἀπὸ καθαρᾶς τῆς ψυχῆς, ἀπ' ἀρχῆς πρώτης ἡγουμένης καὶ κυρίας, ἀλλ' οὐ πλάνην ἐξ ἀγνοίας παθούσης, ἢ ἧτταν ἐκ βίας ἐπιθυμιῶν, αἳ προσελθοῦσαι ἄγουσι καὶ ἕλκουσι καὶ οὐκ ἔτι ἔργα ἐῶσιν εἶναι, ἀλλὰ παθήματα παρ' ἡμῶν.

IX. Necessaria itaque sunt, quaecumque proposito simul atque fortunis comprehensa conficiuntur. Quid enim praeter haec esse queat? Cunctis autem una causis comprehensis omnino omnia fiunt. Inter illa, quae sunt extrinsecus, connumeratur et si quid ex universi motu una cum sequentibus causis conducit ad opus. Quoties igitur anima ab externis jam mutata agit aliquid et aggreditur, quasi caeca utens motu, neque actionem neque affectionem ejusmodi voluntariam liberamque appellare debemus: similiter, quando ipsa ex se ipsa pejor existens non rectis ubique nec principalibus motionum exordiis utitur. At quoties rationem puram et passionis expertem tanquam propriam ducem habens aggreditur, hanc solam aggressionem judicare debemus in nostro arbitrio sitam esse vereque liberam: idque opus nostrum existere. Quod quidem non aliunde ducitur, sed intrinsecus ab anima pura: anima, inquam, a primo praecipuoque et proprio progressa principio, neque propter ignorantiam aberrante, vel a violentia libidinum superata. Concupiscentiae namque vehementius animam occupantes ducunt atque trahunt, neque permittunt ulterius penes nos actiones esse, sed passiones.

Natura intellectualis agit libere, sed ejus effectus aliquando impeditur in ratione

Ι'. Τέλος δὴ φησὶν ὁ λόγος, πάντα μὲν σημαίνεσθαι καὶ γίγνεσθαι κατ' αἰτίας μὲν πάντα, διττὰς δὲ ταύτας· καὶ τὰ μὲν ὑπὸ ψυχῆς, τὰ δὲ διὰ ἄλλας αἰτίας, τὰς κύκλῳ· πραττούσας δὲ ψυχάς, ὅσα πράττουσι, κατὰ

X. Ratio tandem summatim jam concludit, omnia quidem secundum causas significari atque fieri, causas vero geminas esse: partim videlicet ad animam, partim ad circumstantia pertinentes: item animas inter agendum, si

μὲν λόγον ποιούσας ὀρθὸν, παρ' αὐτῶν πράττειν, ὅσα πράττουσι, τὰ δὲ ἄλλα ἐμποδιζομένας τὰ αὐτῶν πράττειν πάσχειν τε μᾶλλον ἢ πράττειν, ὥστε τοῦ μὲν μὴ φρονεῖν ἄλλα αἴτια εἶναι· καὶ ταῦτα ἴσως ὀρθὸν καθ' εἱμαρμένην λέγειν πράττειν, οἷς γε καὶ δοκεῖ ἔξωθεν τὴν εἱμαρμένην αἴτιον εἶναι, τὰ δὲ ἄριστα παρ' ἡμῶν. Ταύτης γὰρ καὶ τῆς φύσεως ἐσμὲν, ὅταν μόνοι ὦμεν, καὶ τούς γε σπουδαίους πράττειν, καὶ ἐπ' αὐτοῖς τὰ καλὰ πράττειν, τοὺς δ' ἄλλους καθ' ὅσον ἂν ἀναπνεύσωσι συγχωρηθέντες, τὰ καλὰ πράττειν, οὐκ ἄλλοθεν λαβόντας τὸ φρονεῖν, ὅταν φρονῶσι, μόνον δὲ οὐ κωλυθέντας.

secundum rationem rectam agant, a se ipsis omnia facere, cetera vero facere velut impeditas opus proprium exsequi, ideoque pati magis, quam facere. Quapropter, quod anima prudentia careat, alias esse causas est putandum, taliaque agere secundum fatum recte forsitan diceretur, praecipue penes illos, qui putant fatum causam externam esse. Optima vero quaeque a nobis ipsis agi censendum est. Optimae namque naturae sumus, quando soli sumus. *Denique judicare decet, probos quidem agere,* atque ex se ipsis libere honesta facere: alios autem, quatenus respiraverint expeditique jam fuerint, eatenus libere honesta similiter agere: nec aliunde nancisci sapientiam, quoties sapiunt, sed, cum primum non impediuntur uti sapientia, sapere.

# ΕΝΝΕΑΔΟΣ Γ'

## ΛΟΓΟΣ Β.

### ΠΕΡΙ ΠΡΟΝΟΙΑΣ ΠΡΩΤΟΣ.

# ENNEADIS SECUNDÆ

## LIBER II.

### DE PROVIDENTIA PRIMUS.

(254, 255.). [158—160.]

Dispositio mundi fit a providentia divinæ mentis, non præcedente per tempus vel consultante, sed antecedente per ordinem causæ et exprimente mundum modo sigilli naturalis et firmi.

Α'. Τὸ μὲν τῷ αὐτομάτῳ καὶ τῇ τύχῃ διδόναι τοῦδε τοῦ παντὸς τὴν οὐσίαν καὶ σύστασιν, ὡς ἄλογον καὶ ἀνδρὸς οὔτε νοῦν οὔτε αἴσθησιν κεκτημένου, δῆλόν που καὶ πρὸ λόγου, καὶ πολλοὶ καὶ ἱκανοὶ καταβέβληνται δεικνύντες τοῦτο λόγοι. Τὸ δὲ τίς ὁ τρόπος τοῦ ταῦτα γίγνεσθαι ἕκαστα καὶ πεποιῆσθαι, ἐξ ὧν καὶ ἐνίων ὡς οὐκ ὀρθῶς γιγνομένων ἀπορεῖν περὶ τῆς τοῦ παντὸς προνοίας συμβαίνει, καὶ τοῖς μὲν ἐπῆλθε μηδὲ εἶναι εἰπεῖν, τοῖς δὲ, ὡς ὑπὸ κακοῦ δημιουργοῦ ἐστι γεγενημένος, ἐπισκέψασθαι προσήκει, ἄνωθεν καὶ ἐξ ἀρχῆς τὸν λόγον λαβόντας. Πρόνοιαν τοίνυν τὴν μὲν ἐφ' ἑκάστῳ, ἥ ἐστι λογισμὸς πρὸ ἔργου, ὅπως δεῖ γενέσθαι ἢ μὴ γενέσθαι τι τῶν οὐ δεόντων πραχθῆναι, ἢ ὅπως τι εἴη, ἢ μὴ εἴη ἡμῖν, ἀφείσθω· ἣν δὲ τοῦ παντὸς λέγομεν πρόνοιαν εἶναι, ταύτην ὑποθέμενοι τὰ ἐφεξῆς συνάπτωμεν. Εἰ μὲν οὖν ἀπό τινος χρόνου πρότερον οὐκ ὄντα τὸν κόσμον ἐλέγομεν γεγονέναι, τὴν αὐτὴν ἂν τῷ λόγῳ ἐτιθέμεθα, οἵαν καὶ ἐπὶ τοῖς κατὰ μέρος ἐλέγομεν εἶναι, προόρασίν τινα καὶ λογισμὸν θεοῦ, ὡς ἂν γένοιτο τόδε τὸ πᾶν, καὶ ὡς ἂν ἄριστα κατὰ τὸ δυνατὸν εἴη. Ἐπεὶ δὲ τὸ ἀεὶ καὶ τὸ οὔποτε μὴ τῷ κόσμῳ τῷδε φαμὲν παρεῖναι, τὴν πρόνοιαν ὀρθῶς ἂν καὶ ἀκολούθως λέγοιμεν τῷ παντὶ εἶναι, τὸ κατὰ νοῦν αὐτὸν εἶναι, καὶ νοῦν πρὸ αὐτοῦ εἶναι, οὐχ ὡς χρόνῳ πρότερον ὄντα, ἀλλ' ὅτι παρὰ νοῦ ἐστι καὶ φύσει πρότερος ἐκεῖνος, καὶ αἴτιος τούτου, ἀρχέτυπον οἷον καὶ παράδειγμα εἰκόνος τούτου ὄντος, καὶ δι' ἐκεῖνον ὄντος, καὶ ὑποστάντος ἀεὶ τόνδε τὸν τρόπον. Ἡ τοῦ νοῦ καὶ τοῦ ὄντος φύσις κόσμος ἐστὶν ὁ ἀληθινὸς καὶ πρῶτος, οὐ διαστὰς ἀφ' ἑαυτοῦ, οὐδὲ ἀσθενὴς τῷ μερισμῷ, οὐδὲ ἐλλιπὴς, οὐδὲ τοῖς μέρεσι γενόμενος, ἅτε ἑκάστου μὴ ἀποσπασθέντος τοῦ ὅλου, ἀλλ' ἡ πᾶσα ζωὴ αὐτοῦ καὶ πᾶς νοῦς, ἐν ἑνὶ ζῶσα καὶ νοοῦσα ὁμοῦ, καὶ τὸ μέρος παρέχεται ὅλον, καὶ πᾶν αὐτῷ φίλον, οὐ χωρισθὲν ἄλλο ἀπ' ἄλλου, οὐδὲ ἕτερον γεγενημένον μόνον, καὶ τῶν ἄλλων ἀπεξενωμένον· ὅθεν οὐδὲ ἀδικεῖ ἄλλο ἄλλο, οὐδ' ἂν ᾖ ἐναντίον. Πανταχοῦ δὲ ὂν ἓν, καὶ τέλειον ὁπουοῦν, ἕστηκέ τε καὶ ἀλλοίωσιν οὐκ ἔχει· οὐδὲ γὰρ ποιεῖ ἄλλο εἰς ἄλλο. Τίνος γὰρ ἂν ἕνεκα ποιοῖ, ἐλλεῖπον οὐδενί; τί δ' ἂν λόγος λόγον ἐργάσαιτο, ἢ νοῦς νοῦν ἄλλον, ἀλλὰ τὸ δι' αὐτοῦ δύνασθαί τι ποιεῖν; Ἦν ἄρα οὐκ εὖ ἔχοντος πάντη, ἀλλὰ ταύτῃ ποιοῦντος καὶ κινουμένου, καθ' ὅ τι καὶ χεῖρόν ἐστι· τοῖς δὲ πάντη μακαρίοις ἐν αὐτοῖς ἑστάναι καὶ τοῦτο

I. Quod essentiam compositionemque universi committere casui atque fortunæ irrationale sit, propriumque hominis neque intellectum neque sensum habentis, perspicuum est etiam ante quamlibet rationem : quanquam et de hoc ipso multæ sufficientesque adductæ sunt rationes. Oportet autem a principio disputationem assumentes considerare modum ipsum, quo hæc omnia fiant factaque fuerint : præsertim cum in quibusdam, quasi non recte fiant, accidat de totius providentia dubitare, unde nonnullis contigit providentiam omnino negare, nonnullis autem affirmare, mundum fuisse a malo artifice constitutum. Missam in præsentia faciamus providentiam illam, quæ in singulis faciendis est ratio quædam ante opus, describens, quo pacto oporteat fieri, et quo non fieri quicquam eorum, quæ facere non expediat : item quomodo nobis adsit aliquid, vel non adsit : quam vero universi providentiam appellamus, hanc in præsentia supponentes, quæ deinceps sequuntur congrue connectamus. Si igitur mundum ex quodam tempore, cum prius non fuisset, factum arbitraremur, eandem providentiam poneremus, quam et in singulorum effectione posuimus, prævisionem videlicet quandam ratiocinationemque dei deliberantis, qua conditione potissimum fieret universum, et qua ratione quam optime, quoad fieri posset, construeretur. Quoniam vero mundum hunc arbitramur esse quidem semper, nunquam vero non esse, merito providentiam consequenter mundo assignare debemus : hoc ipsum, quod secundum mentem sit, mensque sit ante ipsum non quasi præcedens tempore, sed quoniam hic est a mente, priorque natura mens est, quam mundus, causaque mens existit mundi, ac velut principalis forma atque exemplar : mundi, inquam, hujus velut imaginis per exemplar illud existentis, eodemque modo inde perpetuo subsistentis. Est autem modus ejusmodi : Ipsa mentis entisque natura mundus est et verus et primus, a se ipso non distans, neque conditione ulla dividua debilis, neque ob defectum ullum etiam in partibus indigens, quippe cum nulla pars sit a toto secreta, sed tota ipsius vita, totaque mens in uno vivens simulque intelligens, etiam partem reddat ut totum, et omne sibimet amicum, ubi aliud non est ab alio segregatum, neque aliquid solitarium, vel a cæteris destitutum : quo fit, ut alterum non noceat alteri, neque etiam si sit contrarium. Cum vero ubique sit [unum] perfectumque, ubique nimirum permanet, nec mutationem ullam prorsus admittit : neque enim aliud illic agit in aliud. Nam cujus gratia in aliud agat, cum nihil desit omnino? Cur enim ratio illic faciat rationem, vel intellectus alium intellectum, nunquid ex eo, quod per se possit aliquid facere? At vero ita non omnino se bene prius haberet : sed eatenus tentaret facere, movereturque, quatenus in se nonnihil deterius esset. Omnino vero beatis satis est consistere in se ipsis,

εἶναι, ὅπερ εἰσὶ, μόνον ἀρκεῖ. Τὸ δὲ πολυπραγμονεῖν οὐκ ἀσφαλὲς ἑαυτοὺς ἐξ αὑτῶν παρακινοῦσιν· ἀλλὰ γὰρ οὕτω μακάριον κἀκεῖνο, ὡς ἐν τῷ μὴ ποιεῖν μεγάλα αὖ ἐργάζεσθαι, καὶ ἐν τῷ ἐφ' ἑαυτοῦ μένειν οὐ σμικρὰ ποιεῖν.

Mundus hic ex intelligibili nascitur, ex multo dispersus, ut animal ex semine : dum materia ab intellectu primo simul et animali rationem accipit seminalem.

Β'. Ὑφίσταται γοῦν ἐκ τοῦ κόσμου τοῦ ἀληθινοῦ καὶ ἑνὸς κόσμος οὗτος, οὐχ εἷς ἀληθῶς· πολὺς γοῦν καὶ εἰς πλῆθος μεμερισμένος, καὶ ἄλλο ἀπ' ἄλλου ἀφεστηκὸς καὶ ἀλλότριον γεγενημένον. Καὶ οὐκέτι φιλία μόνον, ἀλλὰ καὶ ἔχθρα τῇ διαστάσει, καὶ ἐν τῇ ἐλλείψει ἐξ ἀνάγκης πολέμιον ἄλλο ἄλλῳ. Οὐ γὰρ ἀρκεῖ αὐτῷ τὸ μέρος, ἀλλὰ σωζόμενον τῷ ἄλλῳ πολέμιόν ἐστιν, ὑφ' οὗ σώζεται. Γέγονε δὲ οὐ λογισμῷ τοῦ δεῖν γενέσθαι, ἀλλὰ φύσεως δευτέρας ἀνάγκῃ· οὐ γὰρ ἦν τοιοῦτον ἐκεῖνο, οἷον ἔσχατον εἶναι τῶν ὄντων. Πρῶτον γὰρ ἦν, καὶ πολλὴν δύναμιν ἔχον καὶ πᾶσαν, καὶ ταύτην τοίνυν τὴν τοῦ ποιεῖν ἄλλο, ἄνευ τοῦ ζητεῖν ποιῆσαι· ἤδη γὰρ ἂν αὐτόθεν οὐκ εἶχεν, εἰ ἐζήτει. Οὐδ' ἂν ἦν ἐκ τῆς αὑτοῦ οὐσίας, ἀλλ' ἦν οἷον τεχνίτης, ἀφ' αὑτοῦ τὸ ποιεῖν οὐκ ἔχων, ἀλλ' ἐπακτὸν, ἐκ τοῦ μαθεῖν λαβὼν τοῦτο. Νοῦς τοίνυν δούς τι ἑαυτοῦ εἰς ὕλην ἀτρεμὴς καὶ ἥσυχος τὰ πάντα εἰργάζετο· οὗτος δὲ ὁ λόγος ἐκ νοῦ ῥυείς. Τὸ γὰρ ἀπορρέον ἐκ νοῦ, λόγος· καὶ ἀεὶ ἀπορρεῖ, ἕως ἂν ᾖ παρὼν ἐν τοῖς οὖσι νοῦς. Ὥσπερ δὲ ἐν λόγῳ τῷ ἐν τῷ σπέρματι ὁμοῦ πάντων καὶ ἐν τῷ αὐτῷ ὄντων, καὶ οὐδενὸς οὐδενὶ μαχομένου οὐδὲ διαφερομένου οὐδὲ ἐμποδίου ὄντος γίγνεταί τι ἤδη ἐν ὄγκῳ, καὶ ἄλλο μέρος ἀλλαχοῦ· καὶ δὴ καὶ ἐμποδίσειεν ἂν ἕτερον ἑτέρῳ, καὶ ἀπαναλώσειεν ἄλλο ἄλλο· οὕτω δὴ καὶ ἐξ ἑνὸς νοῦ καὶ τοῦ ἀπ' αὐτοῦ λόγου ἀνέστη τόδε τὸ πᾶν, καὶ διέστη, καὶ ἐξ ἀνάγκης τὰ μὲν ἐγένετο φίλα καὶ προσηνῆ, τὰ δὲ ἐχθρὰ καὶ πολέμια, καὶ τὰ μὲν ἑκόντα, τὰ δὲ καὶ ἄκοντα ἀλλήλοις ἐλυμήνατο, καὶ φθειρόμενα θάτερα γένεσιν ἀλλήλοις εἰργάσατο· καὶ μίαν ἐπ' αὐτοῖς τοιαῦτα ποιοῦσι καὶ πάσχουσιν ὅμως ἁρμονίαν ἐνεστήσατο, φθεγγομένων μὲν ἑκάστων τὰ αὑτῶν, τοῦ δὲ λόγου ἐπ' αὐτοῖς τὴν ἁρμονίαν καὶ μίαν τὴν σύνταξιν εἰς τὰ ὅλα ποιουμένου. Ἔστι γὰρ τὸ πᾶν τόδε, οὐχ ὥσπερ ἐκεῖ νοῦς καὶ λόγος, ἀλλὰ μετέχον νοῦ καὶ λόγου. Διὸ καὶ ἐδεήθη ἁρμονίας συνελθόντος νοῦ καὶ ἀνάγκης, τῆς μὲν πρὸς τὸ χεῖρον ἑλκούσης καὶ εἰς ἀλογίαν φερούσης, ἅτε οὔσης ἀλόγου, ἄρχοντος δὲ νοῦ ὅμως ἀνάγκης. Ὁ μὲν γὰρ νοητὸς μόνον λόγος, καὶ οὐκ ἂν γένοιτο ἄλλος μόνον λόγος. Εἰ δέ τι ἐγένετο ἄλλο, ἔδει ἔλαττον ἐκείνου, καὶ μὴ λόγον, μηδ' αὖ ὕλην τινά, ἄκοσμον γάρ· μικτὸν ἄρα. Καὶ εἰς ἃ μὲν λήγει, ὕλη καὶ λόγος, ὅθεν δὲ ἄρχεται, ψυχὴ ἐφεστῶσα τῷ μεμιγμένῳ· ἣν οὐ κακοπαθεῖν δεῖ νομίζειν ῥᾷστα διοικοῦσαν τόδε τὸ πᾶν τῇ οἷον παρουσίᾳ.

Idque, quod sunt, duntaxat existere. At negotiari non satis est tutum, sed negotiantes cogit digredi a se ipsis. Usque adeo vero beatum est illud mundi hujus exemplar, *ut non faciendo maxima faciat, penesque se ipsum permanendo* non parva perficiat.

II. Ab illo itaque mundo vero prorsus et uno mundus hic dependet jam non vero unus : multiplex ergo in multitudinemque divisus, in quo aliud ab alio distans alienumque provenit. Neque amplius hic viget amicitia solum, sed propter distantiam discordia nascitur, atque in ipso defectu alia jam necessario aliis adversantur. Non enim pars ulla sibi ipsi sufficit : sed, dum salutem sibi quaeritat aliunde, bellum illi infert, ex quo servatur. Factus est autem non ratiocinatione quadam concludente faciendum esse, sed necessitate quadam faciente, ut secunda natura primam comitaretur : non enim intelligibilis mundus talis erat, ut rerum esse posset extremum. Primum namque erat, potestatemque habebat quam plurimam, imo vero totam, et hanc quidem ad aliud faciendum, procul ab ea cura, quae agere quaerat : alioquin id suapte natura minime habuisset, si forte quaesiverit. Neque ex sua esset essentia, sed foret velut artifex non habens a se ipso, quod faciat, sed tanquam adventitium comparans perdiscendo. Intellectus igitur, infundens sui aliquid in materiam, immobilis ipse quietusque consistens omnia fabricavit : id autem est ratio ab intellectu profluens. Sane, quod ab intellectu defluit, ratio est; effluitque semper, quamdiu intellectus ipse in rerum ordine permanet. Quemadmodum vero in ratione inserta semini simul omnia in eodemque sunt, nihilque cum alio pugnat aut dissidet aut impedit, atque interea aliquid fit in mole, in qua quidem alibi est *pars alia, et aliud impeditur laediturque ab alio : sic utique* ex uno intellectu rationeque ab ipso manante pullulavit *hoc universum a se ipso jam distans : atque necessario alia* quidem nata sunt amica inter se atque salutaria, alia vero *inimica atque perniciosa*; et partim quidem volentia, partim nolentia invicem se disperdunt, ipsoque interitu generationem mutuam operantur. Atque simul harmoniam unam in his talia patientibus agentibusque faber instituit, dum singula proprium quiddam sonant : ratio vero in ipsis consonantiam contemperantiamque ordinis unam per universa constituit. Est enim id universum, non quemadmodum illic intellectus et ratio, sed intellectus ipsius rationisque particeps. Quapropter indiguit consonantia, intellectu videlicet simul necessitateque concurrente, et hac quidem ad id, quod deterius est, trahente, in privationemque rationis deflectente, quippe cum ipsa careat ratione; intellectu autem necessitati interim dominante. Intelligibilis enim mundus solum ratio est, neque fieri potest alter talis, ut sit ratio solum. Quodsi quid aliud post ipsum factum est, *oportuit minus illo evadere*, neque amplius rationem, neque rursus quandam duntaxat materiam, alioquin ordine *caruisset : prodiit itaque mixtum.* Et *profecto illa, in* quam mundus desinit, materia est et ratio : illud vero unde *exorditur et regitur, anima est mixto praefecta* quam quidem laborare non est putandum, quippe cum ipsa velut *praesentia gubernet facillime totum.*

Mundus corporeus procedit ab intelligentia divina modo naturae, et quam optimus fieri potest, si totus ipse consideretur.

Γ'. Καὶ οὐκ ἄν τις εἰκότως οὐδὲ τούτῳ μέμψαιτο ὡς οὐ καλῷ, οὐδὲ τῶν μετὰ σώματος οὐκ ἀρίστῳ, οὐδ' αὖ τὸν αἴτιον τοῦ εἶναι αὐτῷ αἰτιάσαιτο. Πρῶτον μὲν ἐξ ἀνάγκης ὄντος αὐτοῦ, καὶ οὐκ ἐκ λογισμοῦ γενομένου, ἀλλὰ φύσεως ἀμείνονος γεννώσης κατὰ φύσιν ὅμοιον ἑαυτῇ. Ἔπειτα οὐδ', εἰ λογισμὸς εἴη ὁ ποιήσας, αἰσχυνεῖται τῷ ποιηθέντι· ὅλον γάρ τι ἐποίησε πάγκαλον καὶ αὔταρκες καὶ φίλον αὑτῷ καὶ τοῖς μέρεσι τοῖς αὑτοῦ τοῖς τε κυριωτέροις καὶ τοῖς ἐλάττοσιν ὡσαύτως πρόσφορον. Ὁ τοίνυν ἐκ τῶν μερῶν τὸ ὅλον αἰτιώμενος ἄτοπος ἂν εἴη τῆς αἰτίας· τά τε γὰρ μέρη πρὸς αὐτὸ τὸ ὅλον δεῖ σκοπεῖν, εἰ σύμφωνα καὶ ἁρμόττοντα ἐκείνῳ· τό τε ὅλον σκοπούμενον μὴ πρὸς μέρη ἄττα μικρὰ βλέπειν. Τοῦτο γὰρ οὐ τὸν κόσμον αἰτιωμένου, ἀλλά τινα τῶν αὐτοῦ χωρὶς λαμβάνοντος, οἷον εἰ παντὸς ζῴου τρίχα, ἢ τῶν χαμαὶ δακτύλων, ἀμελήσας τὸν πάντα ἄνθρωπον δαιμονίαν τινὰ ὄψιν βλέπειν· ἤ, νὴ Δία, τὰ ἄλλα ζῷα ἀφεὶς τὸ εὐτελέστατον λαμβάνοι, ἢ ὅλον τὸ γένος παρείς, οἷον τὸ ἀνθρώπου, Θερσίτην εἰς μέσον ἄγοι. Ἐπεὶ οὖν τὸ γενόμενον ὁ κόσμος ἐστὶν ὁ σύμπας, τοῦτον θεωρῶν τάχ' ἂν ἀκούσαις παρ' αὐτοῦ, ὡς Ἐμὲ πεποίηκε θεός, κἀγὼ ἐκεῖθεν ἐγενόμην τέλειος ἐκ πάντων ζῴων, καὶ ἱκανὸς ἐμαυτῷ καὶ αὐτάρκης, οὐδενὸς δεόμενος, ὅτι πάντα ἐν ἐμοί, καὶ φυτὰ καὶ ζῷα, καὶ συμπάντων τῶν γεννητῶν φύσις, καὶ θεοὶ πολλοί, καὶ δαιμόνων δῆμοι, καὶ ψυχαὶ ἀγαθαί, καὶ ἄνθρωποι ἀρετῇ εὐδαίμονες. Οὐ γὰρ δὴ γῆ μὲν κεκόσμηται φυτοῖς τε πᾶσι καὶ ζῴοις παντοδαποῖς, καὶ μέχρι θαλάσσης ψυχῆς ἦλθε δύναμις· ἀὴρ δὲ πᾶς καὶ αἰθήρ, καὶ οὐρανὸς σύμπας, ψυχῆς ἄμοιρος· ἀλλ' ἐκεῖ ψυχαὶ ἀγαθαὶ πᾶσαι ἄστροις ζῆν διδοῦσαι, καὶ τῇ εὐτάκτῳ οὐρανοῦ καὶ ἀϊδίῳ περιφορᾷ, νοῦ μιμήσει κύκλῳ φερομένῃ, ἐμφρόνως περὶ ταὐτὸν ἀεί· οὐδὲν γὰρ ἔξω ζητεῖ. Πάντα δὲ τὰ ἐν ἐμοὶ ἐφίεται μὲν τοῦ ἀγαθοῦ, τυγχάνει δὲ κατὰ δύναμιν τὴν ἑαυτῶν ἕκαστα· ἐξήρτηται γὰρ πᾶς μὲν οὐρανὸς ἐκείνου, πᾶσα δὲ ἐμὴ ψυχή, καὶ οἱ ἐν μέρεσιν ἐμοῖς θεοί, καὶ τὰ ζῷα δὲ πάντα, καὶ τὰ φυτά, καὶ εἴ τι ἄψυχον δοκεῖ εἶναι ἐν ἐμοί· καὶ τὰ μὲν τοῦ εἶναι μετέχειν δοκεῖ μόνον, τὰ δὲ τοῦ ζῆν, τὰ δὲ μᾶλλον ἐν τῷ αἰσθάνεσθαι, τὰ δὲ ἤδη λόγον ἔχει, τὰ δὲ πᾶσαν ζωήν. Οὐ γὰρ τὰ ἴσα ἀπαιτεῖν δεῖ τοῖς μὴ ἴσοις, οὐδὲ γὰρ δακτύλῳ τὸ βλέπειν, ἀλλὰ ὀφθαλμῷ τοῦτο, δακτύλῳ δὲ ἄλλο· τὸ εἶναι, οἶμαι, δακτύλῳ, καὶ τὸ αὑτοῦ ἔχειν.

III. Neque potest quispiam huic mundo quasi non pulchro jure detrahere, vel quasi non optimus sit omnium, quae esse cum corpore possint: neque ejus causam, per quam mundus est, incusare. Primo quidem, cum ex necessitate sit mundus, neque rationis consilio sit constructus, sed a natura praestantiore, secundum naturam opus sibi simile generante: deinde neque, etiamsi consilium in causa fuerit, mundus dedecori est auctori. Ille namque totum quiddam fecit pulchrum prorsus atque sufficiens, sibique met amicum, praeterea partibus suis tum majoribus tum minoribus aeque conveniens. Quisquis igitur in partibus vituperat totum, stulte vituperat: siquidem cum partes ad ipsum totum comparando decet considerare, num consonent accommodenturque toti; tum ipsum totum considerando ad minimas quasque particulas nequaquam decet aspicere: alioquin id non foret hominis mundum vituperantis, sed quasdam mundi partes ab aliis seorsum accipientis: quemadmodum si quis totius animalis pilum solum vel digitulum pedis intueatur, negligens interim totius hominis spectaculum contemplari, et, per Jovem, perinde ac si quis, omissis omnino ceteris animantibus, accipiat abjectissimum, vel genere quodam toto dimisso velut humano Thersiten adducat in medium. Quoniam vero, quod factum est mundus simul est totus, si mentis aures ad hunc convertere libeat, forsan audies ita clamantem: Me procul dubio fecit deus, atque ego inde factus sum perfectus ex cunctis animalibus constitutus, mihi ipsi sufficiens, mihi penitus satisfaciens, nullius indigus: quoniam omnia sunt in me animalia simul atque plantae, cunctorum naturae generalium, dii quam plurimi, daemonum populi, bonorum exercitus animorum, homines virtute felices. Neque enim terra sola ornata quidem est plantis omnibus et omnigenis animantibus, neque tantum usque ad mare potestas animae se diffudit; aer autem totus et aether totumque caelum anima vitaque caret: verum animae illic quae sunt omnes bonae, vitam stellis suppeditantes, revolutionique caelesti ordinatissimae simul atque sempiternae, adeo et ad imitationem mentis in circuitum agitatae sapienter circa idem semper: nihil enim quaerit extrinsecus. Praeterea, quaecumque in me sunt, appetunt quidem omnia bonum, singula vero pro facultate propria consequuntur. Dependet enim totum ab illo caelum, tota quin etiam anima; praeterea dii, qui in partibus meis regnant, item animalia omnia simul et plantae, denique si quid etiam esse in me videtur inanimum. Tum vero alia quidem essendi tantum participia esse videntur, alia vero vivendi, alia magis sentiendi, alia jam rationem habent, alia totam denique vitam. Non enim aequalia passim in rebus non aequalibus requirere decet: neque, ut digitus videat, exigendum, sed oculo id est assignandum: digito vero aliud quiddam desiderandum. Id autem esse arbitror, ut sit digitus, propriumque officium peragat.

Nusquam est purum malum: nam et circa corpora et circa animas miscetur bono.

Δ'. Πῦρ δὲ εἰ ὑπὸ ὕδατος σβέννυται, καὶ ἕτερον ὑπὸ πυρὸς φθείρεται, μὴ θαυμάσῃς· καὶ γὰρ εἰς τὸ εἶναι ἄλλο αὐτὸ ἤγαγεν, οὐκ ἀχθὲν ὑφ' αὑτοῦ ὑπ' ἄλλου ἐφθάρη, καὶ ἦλθε δὲ εἰς τὸ εἶναι ὑπ' ἄλλου φθορᾶς, καὶ ἡ φθορὰ δὲ αὐτῷ οὐδὲν ἄν, εἰ οὕτω, δεινὸν φέροι, καὶ ἀντὶ τοῦ φθαρέντος πυρὸς πῦρ ἄλλο· τῷ μὲν γὰρ ἀσωμάτῳ οὐρανῷ ἕκαστον μένει, ἐν δὲ τῷδε τῷ οὐρανῷ

IV. Nemo mirari debet, quod ignis ab aqua exstinguatur, et ipse alia saepe consumat: etenim aliud quiddam hunc ad suum esse perduxit, nec injuria a se ipso non productus ab alio quoque corrumpitur: quin etiam in esse suum ex alterius corruptione processit, atque interitus ipsi sic se habenti nihil infert iniquum. Item pro exstincto igne alius aliquando viget ignis: profecto in caelo incorporeo unumquodque permanet. In hoc autem caelo totum quidem

πᾶν μὲν ἀεὶ ζῇ, καὶ ὅσα τίμια καὶ κύρια μέρη. Αἱ δὲ ἀμείβουσαι ψυχαὶ σώματα [καὶ] ἄλλο τε ἐν ἄλλῳ εἴδει γίγνονται· καὶ ὅταν δὲ δύνηται, ἔξω γενέσεως στᾶσα ψυχὴ μετὰ τῆς πάσης ἐστὶ ψυχῆς· σώματα δὲ ζῇ κατ' εἶδος καὶ καθ' ὅλα ἕκαστα, εἴπερ ἐξ αὐτῶν καὶ ζῷα ἔσται καὶ τραφήσεται· ζωὴ γὰρ ἐνταῦθα κινουμένη, ἐκεῖ δὲ ἀκίνητος. Ἔδει δὲ κίνησιν ἐξ ἀκινησίας εἶναι, καὶ ἐκ τῆς ἐν αὐτῇ ζωῆς τὴν ἐξ αὐτῆς γεγονέναι ἄλλην, οἷον ἐμπνέουσαν καὶ οὐκ ἀτρεμοῦσαν ζωὴν ἀναπνοὴν τῆς ἠρεμούσης οὖσαν· ζῴων δὲ εἰς ἄλληλα ἀναγκαῖαι αἱ ἐπιθέσεις καὶ φθοραί, οὐδὲ γὰρ ἀΐδια ἐγένετο. Ἐγένετο δέ, ὅτι λόγος πᾶσαν ὕλην κατελάμβανε, καὶ εἶχεν ἐν αὐτῷ πάντα, ὄντων αὐτῶν ἐκεῖ ἐν τῷ ἄνω οὐρανῷ· πόθεν γὰρ ἂν ἦλθε μὴ ὄντων ἐκεῖ; Ἀνθρώπων δὲ εἰς ἀλλήλους ἀδικίαι ἔχοιεν μὲν ἂν αἰτίαν ἔφεσιν τοῦ ἀγαθοῦ· ἀδυναμίᾳ δὲ τοῦ τυχεῖν σφαλλόμενοι ἐπ' ἄλλους τρέπονται. Ἴσχουσι δὲ ἀδικοῦντες δίκας κακυνόμενοί τε ταῖς ψυχαῖς ἐνεργείαις κακίας, τάττονταί τε εἰς τόπον χείρονα· οὐ γὰρ μήποτε ἐκφύγῃ μηδὲν τὸ ταχθὲν ἐν τῷ τοῦ παντὸς νόμῳ. Ἔστι δὲ οὐ διὰ τὴν ἀταξίαν τάξις, οὐδὲ διὰ τὴν ἀνομίαν νόμος, ὥς τις οἴεται, ἵνα γένοιτο ἐκεῖνα διὰ τὰ χείρω καὶ ἵνα φαίνοιτο, ἀλλὰ διὰ τὴν τάξιν ἐπακτὸν οὖσαν· καὶ ὅτι τάξις ἀταξία καὶ διὰ τὸν νόμον καὶ τὸν λόγον, καὶ ὅτι λόγος, παρανομία καὶ ἄνοια· οὐ τῶν βελτιόνων τὰ χείρω πεποιηκότων, ἀλλὰ τῶν δέχεσθαι δεομένων τὰ ἀμείνω φύσει τῇ ἑαυτῶν, ἢ συντυχίᾳ, καὶ κωλύσει ἄλλων δέξασθαι οὐ δεδυνημένων. Τὸ γὰρ ἐπακτῷ χρώμενον τάξει, τοῦτο ἂν οὐ τύχοι, ἢ δι' αὐτὸ παρ' αὐτοῦ, ἢ δι' ἄλλο παρ' ἄλλου· πολλὰ δ' ὑπ' ἄλλων πάσχει, καὶ ἀκόντων τῶν ποιούντων καὶ πρὸς ἄλλο ἱεμένων. Τὰ δὲ δι' αὑτὰ ἔχοντα κίνησιν αὐτεξούσιον ζῷα ῥέποι ἄν, ὁτὲ μὲν πρὸς τὰ βελτίω, ὁτὲ δὲ πρὸς τὰ χείρω. Τὴν δὲ πρὸς τὰ χείρω ῥοπὴν παραυτίκα ζητεῖν ἴσως οὐκ ἄξιον· ὀλίγη γὰρ τροπὴ κατὰ ἀρχὰς γενομένη, προϊοῦσα ταύτῃ, πλέον καὶ μεῖζον τὸ ἁμαρτανόμενον ἀεὶ ποιεῖ. Καὶ σῶμα δὲ σύνεστι καὶ ἐξ ἀνάγκης ἐπιθυμία. Καὶ παροφθὲν τὸ πρῶτον καὶ τὸ ἐξαίφνης, καὶ μὴ ἀναληφθὲν αὐτίκα, καὶ αἵρεσιν εἰς ὅ τις ἐξέπεσεν εἰργάσατο· ἕπεταί γε μὴν δίκη, καὶ οὐκ ἄδικον τοιόνδε γενόμενον ἀκόλουθα πάσχειν τῇ διαθέσει· οὐδ' ἀπαιτητέον τούτοις τὸ εὐδαιμονεῖν ὑπάρχειν, οἷς μὴ εἴργασται εὐδαιμονίας ἄξια· οἱ δ' ἀγαθοὶ μόνοι εὐδαίμονες· διὰ τοῦτο γὰρ καὶ θεοὶ εὐδαίμονες.

vivit semper, et, quæcumque honoranda sunt et præcipua, permanent. Animæ vero vicissim corpora permutantes, aliud quidem in alia fiunt specie: et, quotiens anima potest, extra generationem posita una cum universa anima vivit: corpora vero secundum speciem atque singula secundum tota, siquidem ex ipsis et animalia erunt et nutrientur: vita enim hic est mobilis, illic autem immobilis. Oportebat sane motum ex immobili natura prodire, atque ex vita in se ipsa vigente alteram manare, quasi spirantem quoddam vitale quodammodo, jam instabile, quod quidem exspiratio quædam sit vitæ quietæ. Animalium præterea mutui inter se impetus atque cædes necessario accidunt: non enim nata sunt sempiterna. Nata vero sunt, quoniam ratio totam materiam occupavit, in se ipsa omnia possidens, quæ quidem in superno illic cælo consistunt: alioquin undenam venissent, nisi illic existerent? Proinde mutuæ hominum inter se injuriæ ab ipso forsan boni appetitu proficiscuntur: quando videlicet bonum consequi non valentes aberrant aliosque invadunt. At vero, qui egerunt injuste, pœnas luunt, cum quia ex actionibus pravis reportant animam depravatam, tum quia certo quodam ordine in locum transmittuntur deteriorem: nihil enim potest unquam, quod in universi lege ordinatum est, effugere. Non est autem, ut quidam putat, ordo propter prævaricationem ordinis institutus, neque lex propter legis transgressionem, quo videlicet propter deteriora fiant illa ut eaque appareant: imo vero propterea, quod ordo hic est adventitius: et quoniam ordo est, transgressio ordinis habet locum, atque propter legem et rationem, et quia existit ratio, accidit legis rationisque transgressio: non ita tamen, ut, quæ meliora sunt, deteriora fecerint: sed quia, quæ indigent, debentque meliora suscipere, sæpe vel suapte natura vel fortuna vel impedimento aliunde illato accipere nequeant. Quod enim ordine utitur adventitio, id forsitan non assequitur vel interiori vitio vel propter aliud quiddam ab alio accidens: multa quoque ab aliis patitur, aliis quidem nolentibus alioque tendentibus. Animalia vero, quæ per se ipsa spontaneum habent motum, tum quidem tendunt ad meliora, tum vero ad deteriora labuntur. Quærere autem statim inclinationem ipsamve ad deteriora forte non decet: exiguum namque ad labendum momentum ab initio datum eademque via procedens erratum et plus et majus assidue reddit. Adest quin etiam corpus, atque ex necessitate concupiscentia inest. Præterea quod primo subitoque occurrit, neque statim animadvertitur atque deprehenditur, electionem quoque ad illud efficit, in quod quis primo fuerit inclinatus. Sequitur tamen sub divino judicio pœna: neque injustum est, animum, qui talis est factus, affectioni suæ consentanea pati: neque requirendum est eos fore felices, qui nihil dignum felicitate fecerunt. Boni autem soli felices sunt: nam ob id ipsum sunt et dii beati.

Confirmat eadem, docens nullum posse de providentia conqueri: et unde sit malum

Ε'. Εἰ τοίνυν καὶ ψυχαῖς ἐν τῷδε τῷ παντὶ ἔξεστιν εὐδαίμοσιν εἶναι, εἴ τινες μὴ εὐδαίμονες, οὐκ αἰτιατέον τὸ πᾶν, ἀλλὰ τὰς ἐκείνων ἀδυναμίας μὴ δυνηθείσας καλῶς ἐναγωνίσασθαι, οὗ δὴ ἆθλα ἀρετῆς πρόκειται. Καὶ μὴ θείους δὲ γενομένους θεῖον βίον μὴ ἔχειν τί δεινόν; Πενίαι δὲ καὶ νόσοι τοῖς μὲν ἀγαθοῖς οὐδέν, τοῖς δὲ κακοῖς, σύμφορα· καὶ ἀνάγκη νοσεῖν σώματα ἔχουσι· καὶ οὐκ ἄχρεια δὲ οὐδὲ ταῦτα παντάπασιν εἰς σύνταξιν καὶ συμπλήρωσιν τοῦ ὅλου. Ὡς γὰρ φθαρέντων

V. Si igitur animis quoque hoc in mundo datur facultas ad beatitudinem consequendam, non est hoc universum accusandum, quod aliqui non sint felices, sed eorum imbecillitas potius criminanda, quod strenue certare non valeant, ubi virtutis præmia proposita sunt. Quis enim juste conqueratur, eos, qui nondum facti sint divini, vitam non habere divinam? Proinde paupertas et morbus bonis quidem nihil momenti habent, malis vero utilia sunt. Quin etiam necesse interdum est ægrotare, cum corpora habeamus. Nec inutilia hæc sunt omnino ad ordinem ipsam communem ac plenitudinem universi: nempe quem

τινῶν ὁ λόγος ὁ τοῦ παντὸς κατεχρήσατο τοῖς φθαρεῖσιν εἰς γένεσιν ἄλλων (οὐδὲν γὰρ οὐδαμῇ ἐκφεύγει τὸ ὑπὸ τούτου καταλαμβάνεσθαι), οὕτω καὶ κακωθέντος σώματος καὶ μαλακισθείσης δὲ ψυχῆς τῆς τὰ τοιαῦτα πασχούσης τὰ καὶ νόσοις καὶ κακίᾳ καταληφθέντα ὑπεβλήθη ἄλλῳ εἱρμῷ καὶ ἄλλῃ τάξει· καὶ τὰ μὲν αὐτοῖς συνήνεγκε τοῖς παθοῦσιν, οἷον πενία καὶ νόσος· ἡ δὲ κακία εἰργάσατό τι χρήσιμον εἰς τὸ ὅλον, παράδειγμα δίκης γενομένη καὶ πολλὰ ἐξ αὐτῆς χρήσιμα παρασχομένη· καὶ γὰρ ἐγρηγορότας ἐποίησε, καὶ νοῦν καὶ σύνεσιν ἐγείρει, πονηρίας ὁδοῖς ἀντιταττομένους. Καὶ μανθάνειν δὲ ποιεῖ, οἷον ἀγαθὸν ἀρετή, παραθέσει κακῶν, ὧν οἱ πονηροὶ ἔχουσι. Καὶ οὐ γέγονε τὰ κακὰ διὰ ταῦτα, ἀλλὰ ὅτι χρῆται καὶ αὐτοῖς εἰς δέον, ἐπείπερ ἐγένετο, εἴρηται· τοῦτο δὲ δυνάμεως μεγίστης καλῶς καὶ τοῖς κακοῖς χρῆσθαι δύνασθαι· καὶ τοῖς ἀμόρφοις γενομένοις εἰς ἑτέρας μορφὰς χρῆσθαι ἱκανὴν εἶναι. Ὅλως δὲ κακὸν ἔλλειψιν τοῦ ἀγαθοῦ θετέον· ἀνάγκη δὲ ἔλλειψιν εἶναι ἐνταῦθα ἀγαθοῦ, ὅτι ἐν ἄλλῳ. Τὸ οὖν ἄλλο ἐν ᾧ ἐστι τὸ ἀγαθόν, ἕτερον ἀγαθοῦ ὄν, ποιεῖ τὴν ἔλλειψιν· τοῦτο γὰρ οὐκ ἀγαθὸν ἦν. Διὸ οὔτε ἀπολέσθαι τὰ κακά, ὅτι τε ἄλλα ἄλλων ἐλάττω πρὸς ἀγαθοῦ φύσιν, ἕτερά τε ἄλλα τοῦ ἀγαθοῦ τὴν αἰτίαν τῆς ὑποστάσεως ἐκεῖθεν λαβόντα, τοιαῦτα δὴ γενόμενα τῷ πόρρω.

admodum corruptis quibusdam ratio ipsa mundi rerum artifex ad aliorum utitur genituram (nihil enim usquam effugere potest, quin ab hac ipsa comprehendatur), sic et depravato corpore et anima passionibus ejusmodi languida, quæ morbis pravitateque occupata fuerunt, mox sub alia serie et ordine comprehenduntur; et alia quidem ipsis conferunt patientibus, sicut paupertas atque morbus: pravitas autem utile quiddam affert ad universum, facta videlicet juris ipsius exemplum, multaque ex se utilia pariens: reddit enim animos vigilantes, efficitque, ut diligenter excogitent, qua via potissimum a præcipitio pravitatis valeant declinare [corr. excitatque mentem et intelligentiam pravitatis viis oppositas]. Facit rursus, ut quantum bonum virtus sit, comparatione malorum vitiosos animos affligentium cognoscamus; neque propter hæc facta sunt mala, sed dictum est, ipsam mundi artificem rationem malis, postquam facta sunt, opportune admodum uti solere; id autem maximæ potestatis est, malis etiam bene uti valere: posse quin etiam rebus, quæ informes jam factæ sunt, uti ad formas alias generandas. Omnino vero malum existimare debemus boni defectum. Necesse autem est hic boni defectum accidere, quoniam est in alio. Ipsum itaque aliud, in quo bonum est, cum diversum sit a bono, infert boni defectum: id namque non erat bonum. Quapropter [ut Plato inquit] impossibile est mala penitus exstirpari, quoniam et alia aliis inferiora sunt ad ipsam boni naturam, et alia diversa sunt a bono, subsistentiæ suæ causam inde sortita, taliaque evaserunt, propterea quod a bono remotissime provenere.

Confirmat eadem, et movet dubia.

Ϛʹ. Τὸ δὲ παρ' ἀξίαν, ὅταν ἀγαθοὶ κακὰ ἔχωσι, φαῦλοι δὲ τὰ ἐναντία, τὸ μὲν λέγειν ὡς οὐδὲν κακὸν τῷ ἀγαθῷ, οὐδ' αὖ τῷ φαύλῳ ἀγαθόν, ὀρθῶς μὲν λέγεται. Ἀλλὰ διὰ τί τὰ μὲν παρὰ φύσιν τούτῳ, τὰ δὲ κατὰ φύσιν τῷ πονηρῷ; πῶς γὰρ καλῶς νέμειν οὕτως; Ἀλλὰ εἰ τὸ κατὰ φύσιν οὐ ποιεῖ προσθήκην πρὸς τὸ εὐδαιμονεῖν, οὐδ' αὖ τὸ παρὰ φύσιν ἀφαιρεῖ τοῦ κακοῦ τοῦ ἐν φαύλοις, τί διαφέρει, τὸ οὕτως, ἢ οὕτως; ὥσπερ οὐδὲ εἰ ὁ μὲν κακὸς καλὸς τὸ σῶμα, ὁ δὲ αἰσχρὸς ὁ ἀγαθός, ἀλλὰ τὸ πρέπον καὶ ἀνάλογον καὶ τὸ κατ' ἀξίαν ἐκείνως ἂν ἦν, ὃ νῦν οὐκ ἔστι, προνοίας δὲ ἀρίστης ἐκεῖνο ἦν. Καὶ μὴν καὶ τὸ δεσπότας εἶναι καὶ ἄρχοντας τῶν πόλεων τοὺς κακούς, τοὺς δὲ ἐπιεικεῖς δούλους εἶναι, οὐ πρέποντα ἦν, οὐδ' εἰ προσθήκην ταῦτα μὴ φέρει εἰς ἀγαθοῦ καὶ κακοῦ κτῆσιν· καίτοι καὶ τὰ ἀνομώτατα ἂν πράξειεν ἄρχων πονηρός. Καὶ κρατοῦσι δὲ ἐν πολέμοις οἱ κακοί; καὶ οἷα αἰσχρὰ δρῶσιν αἰχμαλώτους λαβόντες; πάντα γὰρ ταῦτα ἀπορεῖν ποιεῖ, ὅπως προνοίας οὔσης γίγνεται· καὶ γὰρ εἰ πρὸς τὸ ὅλον βλέπειν δεῖ τὸν ὁτιοῦν μέλλοντα ποιεῖν, ἀλλὰ καὶ τὰ μέρη ὀρθῶς ἔχει τάττειν ἐν δέοντι αὐτῶν καὶ μάλιστα ὅταν ἔμψυχα ᾖ, καὶ ζωὴν ἔχῃ, ἢ καὶ λογικὰ ᾖ, καὶ τὴν πρόνοιαν δὲ ἐπὶ πάντα φθάνειν, καὶ τὸ ἔργον αὐτῆς τοῦτο εἶναι τὸ μηδενὸς ἠμεληκέναι. Εἰ οὖν φαμὲν ἐκ νοῦ τόδε τὸ πᾶν ἠρτῆσθαι, καὶ εἰς ἅπαντα ἐληλυθέναι τὴν δύναμιν αὐτοῦ, πειρᾶσθαι δεῖ δεικνύναι, ὅπῃ ἕκαστα τούτων καλῶς ἔχει.

VI. Ad id vero quod videtur præter dignitatem sæpe contingere, quando vel boni mala, vel mali bona reportant, recte utique respondebitur, nihil vel bono malum accidere, vel malo contingere bonum. Ceterum quæri potest, curnam multa præter naturam bono homini accidant, multa vero naturæ consentanea pravo contingant? Qua enim ratione recta distributio hæc esse potest? Verum si, quod secundum naturam est, neque felicitatis quicquam addit bonis, neque mali quicquam demit pravis, atque quod præter naturam non demit quicquam bonis: quidnam interest, sicne, aut sic potius se habere? Quemadmodum neque si malus quidem pulchro sit corpore, bonus vero deformis, veruntamen decorum atque consentaneum, et quod pro dignitate dici potest, modo illo potissimo fieret, quo nunc minime fit: optimæ vero providentiæ erat ita instituisse. Præterea malos quidem esse dominos principesque civitatum, probos autem servos minime decuit: neque etiam, si hæc vel bono vel malo nihil addant, profecto princeps iniquus (vel) injustissima patrat facinora. Quid vero? quod scelesti in prælio superant, adversusque captivos turpissima quæque committunt? Hæc omnia dubitare compellunt, qua ratione regnante providentia fiant: et si ad ipsum totum spectare debet, quisquis est aliquid effecturus: veruntamen partes quoque, quod eis expediat, assequi debent, præsertim ubi animatæ sunt vitamque habent, præcipue si rationem. Denique [probabile est] providentiam se per cuncta porrigere, idque ejus officium esse, ut nihil prorsus alicubi negligat. Quam ob rem, si totum hunc mundum ab intellectu pendere concedimus, virtutemque mentis se per omnia fundere, conandum est omnino, quo pacto singula hæc bene se habeant, demonstrare.

Dat principia respondendi. Tractat etiam de conditione hujus mundi a primo degenerante : et de libero animarum arbitrio.

Ζ'. Πρῶτον τοίνυν ληπτέον, ὡς τὸ καλῶς ἐν τῷ μικτῷ ζητοῦντας χρὴ μὴ πάντη ἀπαιτεῖν, ὅσον τὸ καλῶς ἐν τῷ ἀμίκτῳ ἔχει, μηδ' ἐν δευτέροις ζητεῖν τὰ πρῶτα· ἀλλ' ἐπειδὴ καὶ σῶμα ἔχει, συγχωρεῖν καὶ παρὰ τούτου ἰέναι εἰς τὸ πᾶν, ἀπαιτεῖν δὲ παρὰ τοῦ λόγου, ὅσον ἠδύνατο δέξασθαι τὸ μίγμα, εἰ μηδὲν τούτου ἐλλείπει. Οἷον εἴ τις ἐσκόπει τὸν ἄνθρωπον τὸν αἰσθητὸν ὅστις κάλλιστος, οὐκ ἂν δήπου τῷ ἐν νῷ ἀνθρώπῳ ἠξίωσε τὸν αὐτὸν εἶναι, ἀλλ' ἐκεῖνο ἀποδέχεσθαι τοῦ ποιητοῦ, εἰ ὅμως ἐν σαρξὶ καὶ νεύροις καὶ ὀστέοις ὄντα κατέλαβε τῷ λόγῳ, ὥστε καὶ ταῦτα καλλῦναι καὶ τὸν λόγον δυνηθῆναι ἐπανελθεῖν τῇ ὕλῃ. Ταῦτα τοίνυν ὑποθέμενον χρὴ προϊέναι τὸ ἐντεῦθεν ἐπὶ τὰ ἐπιζητούμενα· τάχα γὰρ ἂν ἐν τούτοις τὸ θαυμαστὸν εὕροιμεν τῆς προνοίας καὶ τῆς δυνάμεως, παρ' οὗ ὑπέστη τὸ πᾶν τόδε. Ὅσα μὲν οὖν ἔργα ψυχῶν, ἃ δὴ ἐν αὐταῖς ἵσταται ταῖς ἐργαζομέναις τὰ χείρω, οἷον ὅτι κακαὶ ψυχαὶ ἄλλας ἔβλαψαν, καὶ ὅσα ἀλλήλας αἱ κακαί· εἰ μὴ καὶ τοῦ κακὰς ὅλως αὐτὰς εἶναι τὸ προνοοῦν αἰτιῷτο, ἀπαιτεῖν λόγον οὐδὲ εὐθύνας προσήκει, αἰτίαν ἑλομένη διδόντας. Εἴρηται γὰρ ὅτι ἔδει καὶ ψυχὰς κινήσεις οἰκείας ἔχειν, καὶ ὅτι οὐ ψυχαὶ μόνον, ἀλλὰ ζῷα ἤδη· καὶ δὴ καὶ οὐδὲν θαυμαστὸν, οὔσας ὅ εἰσιν, ἀκόλουθον βίον ἔχειν· οὐδὲ γὰρ ὅτι κόσμος ἦν ἐληλύθασιν, ἀλλὰ πρὸ κόσμου τὸ κόσμου εἶναι εἶχον, καὶ ἐπιμελεῖσθαι καὶ ὑφιστάναι καὶ διοικεῖν καὶ ποιεῖν ὅστις τρόπος εἴτε ἐφεστῶσαι καὶ διδοῦσαί τι παρ' αὐτῶν, εἴτε κατιοῦσαι, εἴτε αἱ μὲν οὕτως, αἱ δ' οὕτως. Οὐ γὰρ ἂν τὰ νῦν περὶ τούτων, ἀλλ' ὅτι, ὅπως ποτ' ἂν ᾖ, τήν γε πρόνοιαν ἐπὶ τούτοις οὐ μεμπτέον. Ἀλλ' ὅταν πρὸς τοὺς ὑπεναντίους τὴν παράθεσιν τῶν κακῶν τις θεωρῇ, πένητας ἀγαθοὺς, καὶ πονηροὺς πλουσίους, καὶ πλεονεκτοῦντας ἐν οἷς ἔχειν δεῖ ἀνθρώπους ὄντας τοὺς χείρους, καὶ κρατοῦντας καὶ ἐφ' ἑαυτοῖς καὶ τὰ ἔθνη καὶ τὰς πόλεις. Ἆρ' οὖν, ὅτι μὴ μέχρι γῆς φθάνει; ἀλλὰ τῶν ἄλλων γιγνομένων λόγῳ μαρτύριον τοῦτο καὶ μέχρι γῆς ἰέναι· καὶ γὰρ ζῷα καὶ φυτὰ καὶ λόγου καὶ ψυχῆς καὶ ζωῆς μεταλαμβάνει. Ἀλλὰ φθάνουσα οὐ κρατεῖ. Ἀλλὰ ζῴου ἑνὸς ὄντος τοῦ παντὸς, ὅμοιον ἂν γένοιτο, εἴ τις κεφαλὴν μὲν ἀνθρώπου καὶ πρόσωπον ὑπὸ φύσεως καὶ λόγου γίγνεσθαι λέγοι κρατοῦντος, τὸ δὲ λοιπὸν ἄλλαις ἀναθείη αἰτίαις, τύχαις ἢ ἀνάγκαις, καὶ φαῦλα διὰ τοῦτο, ἢ δι' ἀδυναμίαν φύσεως γεγονέναι· ἀλλ' οὐδὲ ὅσιον οὐδὲ εὐσεβὲς ἐνδόντας τὸ μὴ καλῶς ταῦτα ἔχειν, καταμέμφεσθαι τῷ ποιήματι.

VII. Principio nos latere non debet, quando pulchritudinem in mixto quaerimus, non esse omnia exigenda, quae pulchritudo continet in natura non mixta, neque in rebus secundariis primarias esse quaerendas : *sed quandoquidem* mundus habet corpus, concedendum ab ipsa natura corporis universo nonnihil accidere : item ab ipsa ratione eatenus expetendum, *quatenus mixtum suscipere potest*, quasi satis fuerit factum, si nihil ex his, quae potest capere, desit. Quemadmodum si quis in terris hominem *pulcherrimum contempletur : non tamen oportere existimet*, hunc ipsi, qui in mente est, homini eundem fore, sed satis ab auctore factum patet, si hominem hunc, *quamvis in carnibus, nervis, ossibus sit, tamen ratione* complexus est, usque adeo, ut haec quoque pulchra reddiderit effeceritque, ut ratio super materiam se diffunderet. *His itaque concessis* deinceps ad quaesita progrediendum. Fortasse enim in his admirandum providentiae munus mirabilemque potentiam mundi hujus artificem invenire poterimus. Profecto circa illas animarum actiones, quae in ipsis animalibus collocantur, quando agunt deteriora, velut quando iniquae animae alias laedunt, vel quando iniquum iniquas, nisi forte quispiam providentiam pravitatis earum causam esse velit, non decet ab ipsa providentia rationem facti retractationemque exigere, quin potius causam referre in eligentem. Dictum namque est, animas quoque oportere proprias motiones habere : item non animas solum nunc esse, sed jam animalia : *praeterea* non esse mirandum, quando tales quaedam sunt, vitam quoque talem habere congrue consequentem. Non enim *ex eo, quod mundus erat, huc venerunt, sed ante mundum* habuerunt, ut mundi quandoque forent, mundana curarent, sistendi causa forent, gubernarent, efficerent, *quocunque id modo facerent, sive praesidendo ex se* nonnihil attribuentes, sive immergendo se dederent, sive aliae quidem sic, aliae vero aliter id efficerent. Non enim id agitur in praesentia, sed, quomodocunque se res habent, providentiam non esse culpandam. At quando quis consideret malorum comparationem ad contrarios, videlicet bonos quidem esse pauperes, malos autem divites, ac plerumque deteriores plus admodum in his possidere, quae humanae naturae necessaria sunt : item dominari, et civitates gentesque occupare, quidnam dicet? An forte providentiam usque ad terras minime pervenire? Veruntamen cum caetera ratione fiant omnia, testimonio id ipsum est ad terram usque descendere : etenim animalia et plantae rationem et animam vitamque participant. Forsan huc usque pervenit quidem, sed non dominatur. Verum cum universum hoc unum animal sit, perinde id se haberet, ac si quis dicat, caput quidem faciemque hominis a natura *fieri, ratione videlicet seminaria superante : reliquum vero* aliis quibusdam attribuat causis sive fortuitis, sive etiam necessariis, ideoque esse deteriora : vel etiam ob naturae *imbecillitatem talia provenire*. At *vero neque sanctum* est, neque pium concedere, haec non pulchre disponi, unde opificium [sicuti atque opificem] calumniari cogaris.

Respondet dubitationibus.

Η'. Λοιπὸν δὴ ζητεῖν, ὅπῃ καλῶς ταῦτα καὶ ὡς τάξεως μετέχει, ἢ ὅπῃ μή, ἢ οὐ κακῶς. Παντὸς δὴ ζῴου τὰ μὲν ἄνω, πρόσωπα καὶ κεφαλή, καλλίω· τὰ δὲ μέσα καὶ κάτω, οὐκ ἴσα· ἄνθρωποι δὲ, ἐν μέσῳ καὶ κάτω· ἄνω δὲ οὐρανὸς, καὶ οἱ ἐν αὐτῷ θεοί· καὶ τὸ πλεῖστον τοῦ κόσμου, θεοὶ, καὶ οὐρανὸς πᾶς κύκλῳ· γῆ

VIII. Reliquum est, ut quaeramus, quomodo haec recte se habeant ordinemque teneant, vel si quo pacto nequaquam, *vel potius haud male. Omnis autem animalis* superna quidem, scilicet caput et facies, pulchriora sunt, media vero et infima minus. Homines autem in medio inferioque sunt. At in sublimi caelum diique *caelestes*, et mundi plurimum dii tenent omneque in circuitu caelum.

δέ, οἷα κέντρον καὶ πρὸς ἕν τι τῶν ἄστρων. Θαυμάζεται δὲ ἐν ἀνθρώποις ἀδικία, ὅτι ἄνθρωπον ἀξιοῦσιν ἐν τῷ παντὶ τὸ τίμιον εἶναι, ὡς οὐδενὸς ὄντος σοφωτέρου. Κεῖται δὲ ὁ ἄνθρωπος ἐν μέσῳ θεῶν καὶ θηρίων, καὶ ῥέπει ἐπ' ἄμφω, καὶ ὁμοιοῦνται οἱ μὲν τῷ ἑτέρῳ, οἱ δὲ τῷ ἑτέρῳ, οἱ δὲ μεταξύ εἰσιν οἱ πολλοί. Οἱ δὴ κακυνθέντες εἰς τὸ ἐγγὺς ζώων ἀλόγων καὶ θηρίων ἰέναι ἕλκουσι τοὺς μέσους καὶ βιάζονται· οἱ δὲ βελτίους μέν εἰσι τῶν βιαζομένων, κρατοῦνταί γε μὴν ὑπὸ τῶν χειρόνων, ᾗ εἰσι χείρους καὶ αὐτοί, καὶ οὐκ εἰσὶν ἀγαθοὶ οὐδὲ παρεσκεύασαν αὑτοὺς μὴ παθεῖν. Εἰ οὖν παῖδες ἀσκήσαντες μὲν τὰ σώματα, τὰς δὲ ψυχὰς ὑπ' ἀπαιδευσίας τούτων χείρους γιγνόμενοι ἐν πάλῃ κρατοῖεν τῶν μήτε τὰ σώματα, μήτε τὰς ψυχὰς πεπαιδευμένων, καὶ τὰ σιτία αὐτῶν ἁρπάζοιεν, καὶ τὰ ἱμάτια αὐτῶν τὰ ἁβρὰ λαμβάνοιεν, τί ἂν τὸ πρᾶγμα, ἢ γέλως, εἴη; ἢ πῶς οὐκ ὀρθὸν καὶ τὸν νομοθέτην συγχωρεῖν, ταῦτα μὲν πάσχειν ἐκείνους δίκην ἀργίας καὶ τρυφῆς διδόντας, εἰ ἀποδεδειγμένων γυμνασίων αὐτοῖς, οἱ δ' ὑπ' ἀργίας καὶ τοῦ ζῆν μαλακῶς καὶ ἀνειμένως περιεῖδον ἑαυτοὺς ἄρνας καταπιανθέντας λύκων ἁρπαγὰς εἶναι. Τοῖς δὲ ταῦτα ποιοῦσι πρώτη μὲν δίκη τὸ λύκοις εἶναι καὶ κακοδαίμοσιν ἀνθρώποις· εἶτα αὐτοῖς καὶ κεῖται ἃ παθεῖν χρεὼν τοὺς τοιούτους. Οὐδὲ γάρ ἐστιν ἐνταῦθα τοιούτοις κακοῖς γενομένοις ἀποθανεῖν, ἀλλὰ τοῖς ἀεὶ προτέροις ἕπεται, ὅσα κατὰ λόγον καὶ φύσιν, χείρω τοῖς χείροσι, τοῖς δὲ ἀμείνοσι τὰ ἀμείνω· ἀλλ' οὐ τὰ τοιαῦτα παλαῖστραι· παιδιὰ γὰρ ἐκεῖ. Ἔδει γὰρ μειζόνων τῶν παίδων μετὰ ἀνοίας ἀμφοτέρων γιγνομένων, ἀμφοτέρους μὲν ζώννυσθαι ἤδη καὶ ὅπλα ἔχειν, καὶ ἤθεα καλλίω, ἢ κατὰ πάλας γυμνάζοντι. Νῦν δὲ οἱ μὲν ἄοπλοι, οἱ δὲ ὁπλισθέντες κρατοῦσιν· ἔνθα οὐ θεὸν ἔδει ὑπὲρ τῶν ἀπολέμων αὐτὸν μάχεσθαι. Σώζεσθαι γὰρ ἐκ πολέμων φησὶ δεῖν ὁ νόμος ἀνδριζομένους, ἀλλ' οὐκ εὐχομένους. Οὐδὲ γὰρ κομίζεσθαι καρποὺς εὐχομένους, ἀλλὰ γῆς ἐπιμελουμένους, οὐδέ γε ὑγιαίνειν μὴ ὑγείας ἐπιμελουμένους, οὐδ' ἀγανακτεῖν δέ, εἰ τοῖς φαύλοις πλείους γίγνοιντο καρποί, ἢ ὅλως αὐτοῖς γεωργοῦσιν εἴη ἄμεινον. Ἔπειτα γελοῖον, τὰ μὲν ἄλλα πάντα τὰ κατὰ τὸν βίον γνώμῃ τῇ ἑαυτῶν πράττειν, κἂν μὴ ταύτῃ πράττωσιν, ᾗ θεοῖς φίλα, σώζεσθαι δὲ μόνον ζητεῖν παρὰ θεῶν, οὐδὲ ταῦτα ποιήσαντας, δι' ὧν κελεύουσιν αὐτοὺς οἱ θεοὶ σώζεσθαι. Καὶ τοίνυν οἱ θάνατοι αὐτοῖς βελτίους, ἢ τὸ οὕτω ζῶντας εἶναι, ὅπως ζῆν αὐτοὺς οὐκ ἐθέλουσιν οἱ ἐν τῷ παντὶ νόμοι· ὥστε τῶν ἐναντίων γιγνομένων, εἰρήνης ἐν ἀνοίαις καὶ κακίαις πάσαις φυλαττομένης, ἀμελῶς ἂν ἔσχε τὰ τῆς προνοίας, ἐώσης κρατεῖν ὄντως τὰ χείρω. Ἄρχουσι δὲ κακοὶ ἀρχομένων ἀνανδρίᾳ· τοῦτο γὰρ δίκαιον, οὐκ ἐκεῖνο.

terra vero quasi centrum et velut una quaedam ex stellarum numero. Mirantur profecto plerique hominem injuste vivere: propterea quod hominem in universo existimant apprime venerandum, quasi nihil omnino sit sapientius. Sed re vera homo deorum brutorumque est medius, et ad utraque vergit: itaque alii quidem diis, alii vero brutis similiores evadunt: plurimi autem inter haec obtinent medium. Qui ergo depravati brutis qualitate propinquant, rapiunt medios vimque illis inferunt: hi vero cogentibus sunt meliores; ab ipsis tamen deterioribus superantur, quatenus ipsi quoque deteriores sunt, neque sunt boni, neque se ita compararunt, ut pati non possint. Si ergo pueri quidam exercitaverint quidem corpora, animas autem ob imperitiam deteriores his habeant, ideoque in palaestra vincant eos, qui neque corporibus neque animis exercitati fuerint, rapiant eorum cibos, mollibusque vestibus eos exspolient: quidnam aliud quam ridiculum negotium sit? Cur enim non rectum sit, ut ipse quoque legum conditor talia illos pati permittat, meritas poenas ignaviae deliciosaeque vitae luentes? Quippe cum gymnasia illis demonstrata jam fuerint, ipsi vero per ignaviam et mollitiem et incuriam adeo suum neglexerint cultum, ut se ipsos reddiderint, velut pingues agnos, praedam luporum. His ergo, qui ejusmodi scelera perpetrarunt, prima imminet poena, ut lupi sint, et homines infelices: deinde praescriptum est, quae tales pati conveniat. Neque enim datur hic factos jam malos mori, sed ad priora semper sequuntur, quaecunque secundum rationem sunt atque naturam. Deteriora scilicet sequuntur deteriores, meliora vero similiter meliores. Nec talia quaedam palaestra sunt: ludus namque habetur ibi. Oportuit enim, postquam adoleverint pueri et utrique cum insania, utrosque jam accingi armaque habere moresque praestantiores, quam esse soleant in palaestra luctantium: nunc autem hi quidem inermes sunt, armati autem superant: ubi profecto non oportet deum ipsum pro his, qui sunt imbelles, pugnare. Lex enim ait, salutem non votis, sed fortitudine in bello quaerendam. Neque decet eos, qui vovent, sed eos, qui colunt terram, colligere fructus; neque sanos esse eos, qui curam valetudinis negligunt; neque graviter ferendum est, si mali quidam fructus plures accumulent, si modo in agricultura valuerint. Praeterea ridiculum est, cetera quidem ad vitam pertinentia omnia propria sententia facere, quamvis non ita, ut placet diis, efficiant: salutem vero solum a diis exigere, praesertim cum neque illa fecerint, per quae dii homines servari jubent: quin etiam mors illis est melior, quam ejusmodi vita, qualem ipsae universi leges agere nolunt. Contrariis itaque factis, si perseverante stultitia pravitateque pax divinitus custodiatur, negligentiae accusari poterit providentia, quasi permittat superare deteriora. Dominantur vero mali ignavia subditorum: hoc enim justius est, quam illud.

Praeter actionem dei cetera etiam agunt, praesertim homines, qui interim omnibus modis a providentia provocantur ad deum.

Θ'. Οὐ γὰρ δὴ οὕτω τὴν πρόνοιαν εἶναι δεῖ, ὥστε μηδὲν ἡμᾶς εἶναι· πάντα δὲ οὔσης προνοίας καὶ μόνης αὐτῆς, οὐδ' ἂν εἴη. Τίνος γὰρ ἂν ἔτι εἴη; ἀλλὰ μόνον

IX. Non oportet autem ita providentiam esse, ut nos omnino nihil simus: alioquin si providentia ipsa sit omnia, ipsaque sola, non erit amplius providentia. Cujus enim

ἂν εἴη τὸ θεῖον. Τοῦτο δὲ καὶ νῦν ἐστι, καὶ πρὸς ἄλλο δὲ ἐλήλυθεν, οὐχ ἵνα ἀνέλῃ τὸ ἄλλο, ἀλλ' ἐπιόν τῳ, οἷον ἀνθρώπῳ, ἦν ἐπ' αὐτῷ, τηροῦσα τὸν ἄνθρωπον ὄντα· τοῦτο δέ ἐστι νόμῳ προνοίας ζῶντα· ὃ δή ἐστι πράττοντα ὅσα ὁ νόμος αὐτῆς λέγει. Λέγει δὲ τοῖς μὲν ἀγαθοῖς γενομένοις ἀγαθὸν βίον ἔσεσθαι κἀκεῖθεν καὶ εἰσύστερον, τοῖς δὲ κακοῖς τὰ ἐναντία· κακοὺς δὲ γενομένους ἀξιοῦν ἄλλους αὐτῶν σωτῆρας εἶναι, ἑαυτοὺς προεμένους, οὐ θεμιτὸν εὐχὴν ποιουμένων· οὐ τοίνυν οὐδὲ θεοὺς αὐτῶν ἄρχειν τὰ καθέκαστα, ἀφέντας τὸν ἑαυτῶν βίον, οὐδέ τε τοὺς ἄνδρας τοὺς ἀγαθοὺς ἄλλον βίον ζῶντας, τὸν ἀρχῆς ἀνθρωπίνης ἀμείνω, τούτους αὐτῶν ἄρχοντας εἶναι· ἐπεὶ οὐδ' αὐτοὶ ἐπεμελήθησάν ποτε ὅπως ἄρχοντες ἀγαθοὶ γένοιντο τῶν ἄλλων, ὅπως αὐτοῖς εἶεν ἐπιμελούμενοι, ἀλλὰ φθονοῦσιν, ἐάν τις ἀγαθὸς παρ' αὐτοῦ φύηται· ἐπεὶ καὶ πλείους ἂν ἐγένοντο ἀγαθοί, εἰ τούτους ἐποιοῦντο προστάτας. Γενόμενον τοίνυν ζῷον οὐκ ἄριστον, ἀλλὰ μέσην τάξιν ἔχον καὶ ἑλόμενον, ὅμως, ἐν ᾧ κεῖται τόπῳ, ὑπὸ προνοίας οὐκ ἐώμενον ἀπολέσθαι, ἀλλὰ ἀναφερόμενον ἀεὶ πρὸς τὰ ἄνω παντοίαις μηχαναῖς, αἷς τὸ θεῖον χρῆται, ἐπικρατεστέραν ἀρετὴν ποιοῦν, οὐκ ἀπώλεσε τὸ λογικὸν εἶναι τὸ ἀνθρώπινον γένος, ἀλλὰ μετέχον, εἰ καὶ μὴ ἄκρως, ἐστὶ καὶ σοφίας, καὶ νοῦ, καὶ τέχνης, καὶ δικαιοσύνης, τῆς γοῦν πρὸς ἀλλήλους ἕκαστοι· καὶ οὓς ἀδικοῦσι δέ, οἴονται δικαίως ταῦτα ποιεῖν, εἶναι γὰρ ἀξίους. Οὕτω καλόν ἐστιν ἄνθρωπος ποίημα, ὅσον δύναται καλὸν εἶναι, καὶ συνυφανθὲν εἰς τὸ πᾶν, μοῖραν ἔχει τῶν ἄλλων ζώων, ὅσα ἐπὶ γῆς, βελτίονα· ἐπεὶ καὶ τοῖς ἄλλοις ὅσα ἐλάττω ζῷα αὐτοῦ κόσμον πῃ φέροντα μέμφεται οὐδεὶς νοῦν ἔχων· γελοῖον γάρ, εἴ τις μέμφοιτο, ὅτι τοὺς ἀνθρώπους δάκνοι, ὡς δέον αὐτοὺς ζῆν κοιμωμένους. Ἀνάγκη δὲ καὶ ταῦτα εἶναι· καὶ αἱ μὲν πρόδηλοι παρ' αὐτῶν ὠφέλειαι· τὰς δέ, οὐ φανεράς, ἀνεῦρε πολλὰς ὁ χρόνος, ὥστε μηδὲν αὐτοῖς μάτην μηδὲ ἀνθρώποις εἶναι. Γελοῖον δὲ καὶ ὅτι ἄγρια πολλὰ αὐτῶν μέμφεσθαι, γιγνομένων καὶ ἀνθρώπων ἀγρίων· εἰ δὲ μὴ πεπίστευκεν ἀνθρώποις, ἀλλὰ ἀπιστοῦντα ἀμύνεται, τί θαυμαστόν ἐστιν;

ulterius providentia foret? profecto sola divinitas esset. Nunc vero divinitas quidem est, atque confert ad aliud, non tamen ut ipsum aliud auferat, sed accedens exempli gratia ad hominem, servat in eo, quod est esse hominem. Id autem est servare providentiae lege viventem: quod quidem est agentem quaecunque lex (et) ejus praescribit. Praescribit autem hominibus, qui boni facti sint, manere deinceps vitam bonam etiam post obitum constitutam, malis autem contrariam. Nefas autem est existimare eos, qui evasere mali, servatoribus aliis custodiri, dum ipsi desides votis duntaxat confidunt: quam ob rem neque fas est, deos vita propria intermissa malis negotia singula *dispensare*: neque etiam decet probos viros, aliam agentes vitam humano principio meliorem, deterioribus gubernandis incumbere: quandoquidem neque hi aliquando curaverunt, qua via boni aliorum principes fierent, meditantes qua ratione ipsis id adsit, sed invident etiam, si quis sponte bonus exoriatur: quoniam plures facti jam essent boni, si hos praesides statuissent. Humanum itaque genus factum animal quidem, non tamen rerum omnium praestantissimum, *sed medium obtinens eligensque ordinem*, simul tamen, quo in loco positum est, providentiae beneficio perdi nequaquam permittitur, sed ad superna revocatur assidue omnibus ubique machinis, quibus divinitas utitur, virtutem continue reddens potentia praevalentem: quo quidem factum est, ut genus humanum rationalem nunquam amiserit facultatem: imo particeps, etsi non summopere, sapientiae sit, mentisque et artis atque justitiae, quam singuli inter se exercent; atque ubi injuria nonnullos afficiunt, se juste id agere opinantur: esse namque eos judicant dignos, qui ab ipsis afficiantur injuria. Homo profecto tam pulchrum opificium est, quam pulchrum esse potest, atque ita in mundo constitutus est, ut sortem habeat potiorem quam cetera, quae in terra sunt, animalia: quandoquidem animalia etiam inferiora homine quoquam afferentia ornamentum prudens nemo vituperat. Ridiculum namque foret, si quis animalium naturae detraheret, quod homines mordeant, quasi deceat homines secura prorsus ignavia vivere. Necessarium est autem haec etiam esse; atque utilitates, quae ab illis provenire possunt, partim per se evidentissimae sunt, partim vero, si minus manifestae sunt, temporis longitudo demonstrat, adeo ut nihil in eis vel quoad ipsos, vel etiam quoad homines, frustra sit. Risu vero dignum est, si quis propterea improbet, quod pleraque animalium fera sunt: quippe cum homines etiam sint feri. Quodsi multa non parent homini, sed diffidentia reluctantur, nihil mirum videri debet.

Quamvis habitus mali non sint voluntarii, actiones tamen voluntariae sunt.

Ι'. Ἀλλ' εἰ ἄνθρωποι ἄκοντές εἰσι κακοὶ καὶ τοιοῦτοι οὐχ ἑκόντες, οὔτ' ἄν τις τοὺς ἀδικοῦντας αἰτιάσαιτο, οὔτε τοὺς πάσχοντας, ὡς δι' αὐτοὺς ταῦτα πάσχοντας. Εἰ δὲ δὴ καὶ ἀνάγκη οὕτω κακοὺς γίγνεσθαι, εἴτε ὑπὸ τῆς φορᾶς, εἴτε τῆς ἀρχῆς διδούσης τὸ ἀκόλουθον ἐντεῦθεν, φυσικῶς οὕτως· εἰ δὲ δὴ καὶ ὁ λόγος αὐτός ἐστιν ὁ ποιῶν, πῶς οὐκ ἄδικα οὕτως; ἀλλὰ τὸ μὲν ἄκοντες, ὅτι ἁμαρτία ἀκούσιον· τοῦτο δὲ οὐκ ἀναιρεῖ τὸ αὐτοὺς τοὺς πράττοντας παρ' αὐτῶν εἶναι· ἀλλ' ὅτι αὐτοὶ ποιοῦσι, διὰ τοῦτο καὶ αὐτοὶ ἁμαρτάνουσιν· ἢ οὐδ' ἂν ὅλως ἥμαρτον, μὴ αὐτοὶ οἱ ποιοῦντες ὄντες. Τὸ δὲ τῆς ἀνάγκης οὐκ ἔξωθεν, ἀλλ' ὅτι πάντως. Τὸ δὲ τῆς φορᾶς οὐχ ὥστε μηδὲν ἐφ' ἡμῖν εἶναι· καὶ γὰρ εἰ ἔξωθεν τὸ πᾶν, οὕτως ἂν ἦν, ὡς αὐτοὶ οἱ ποιοῦντες ἐβού-

X. At vero si homines inviti sunt mali, talesque sunt nolentes, nullus vel inferentes injuriam criminabitur, vel eos qui patiuntur, quasi per se ipsos talia patiantur. Sane, si necesse est, *ita fieri malos, sive motu caelesti*, sive principio quodam deinceps afferente quae consequuntur, naturaliter id ita se habet: atqui si et ratio ipsa haec efficit, quonam pacto sic non facit injusta? Forsan vero dicuntur non sponte peccare, quoniam peccatum ipsum non sit voluntarium. Id autem non prohibet, quin ipsi ex se ipsis agant: sed quoniam ipsi faciunt, idcirco et ipsi peccant: alioquin nec ipsi quidem peccavissent, si ipsi non essent *actionum talium auctores*. Quod autem dicitur, eos necessitate malos fieri, non ab extrinseco accipiendum est duntaxat, sed quoniam communi quadam conditione peccant. Quod item de motu caelesti dicitur, non sic accipiendum est, quasi nihil in nostra potestate sit positum: etenim si ab extrinseco duntaxat cuncta fierent, recte ita

λοντο· ὥστε οὐκ ἂν αὐτοῖς ἐναντία ἐτίθεντο ἄνθρωποι· οὐδ' ἂν ἀσεβεῖς, εἰ θεοὶ ἐποίουν· νῦν δὲ παρ' αὐτῶν τοῦτο· ἀρχῆς δὲ δοθείσης τὸ ἐφεξῆς περαίνεται, συμπαραλαμβανομένων εἰς τὴν ἀκολουθίαν καὶ τῶν, ὅσαι εἰσὶν ἀρχαί. Ἀρχαὶ δὲ καὶ ἄνθρωποι· κινοῦνται γοῦν πρὸς τὰ καλὰ οἰκείᾳ φύσει, καὶ ἀρχὴ αὕτη αὐτεξούσιος.

fierent, sicut auctores ipsi volebant: quapropter homines contraria ipsis minime patravissent: atqui nec homines forent impii, si dii haec omnia perpetrassent. Nunc autem id ab ipsis procedit hominibus: dato vero principio, quod consequitur inde, peragitur, comprehensis videlicet ad consequentiam cunctis quoque illis, quae principia sunt. Principia vero sunt et homines: moventur igitur ad honesta suapte natura, quae quidem spontaneum est principium.

Ratio mundi artifex dispares in mundo voluit gradus ad mundi perfectionem.

ΙΑ'. Πότερα δὲ φυσικαῖς ἀνάγκαις οὕτως ἕκαστα καὶ ἀκολουθίαις, καὶ ὅπη δυνατὸν καλῶς, ἢ οὔ; Ἀλλ' ὁ λόγος ταῦτα πάντα ποιεῖ ἄρχων, καὶ οὕτω βούλεται, καὶ τὰ λεγόμενα κακὰ αὐτὸς κατὰ λόγον ποιεῖ, οὐ βουλόμενος πάντα ἀγαθὰ εἶναι· ὥσπερ ἂν εἴ τις τεχνίτης οὐ πάντα τὰ ἐν τῷ ζώῳ ὀφθαλμοὺς ποιεῖ· οὕτως οὐδ' ὁ λόγος πάντα θεοὺς εἰργάζετο· ἀλλὰ τὰ μὲν θεούς, τὰ δὲ δαίμονας δευτέραν φύσιν, εἶτα ἀνθρώπους καὶ ζῷα ἐφεξῆς, οὐ φθόνῳ, ἀλλὰ λόγῳ ποικιλίαν νοερὰν ἔχοντι. Ἡμεῖς δέ, ὥσπερ οἱ ἄπειροι γραφικῆς τέχνης αἰτιῶνται, ὡς οὐ καλὰ τὰ χρώματα πανταχοῦ· ὁ δὲ ἄρα τὰ προσήκοντα ἀπέδωκεν ἑκάστῳ τόπῳ· καὶ αἱ πόλεις δὲ οὐκ ἐξ ἴσων ταῖς εὐνομίαις χρῶνται· ἢ εἴ τις δρᾶμα μέμφοιτο, ὅτι μὴ πάντες ἥρωες ἐν αὐτῷ, ἀλλὰ καὶ οἰκέτης, καί τις ἄγροικος καὶ φαύλως φθεγγόμενος· τὸ δὲ οὐ καλόν ἐστιν, εἴ τις τοὺς χείρους ἐξέλοι, καὶ τὸ ἐκ τούτων συμπληρούμενον.

XI. Utrum autem naturalibus quibusdam necessitatibus consequentiisque ita singula fiunt? et utcumque fieri potest, recte fiunt? Forsan vero non ita, sed ipsa ratio dominans haec omnia facit, atque ita vult: et quae mala dicuntur, ipsa rationaliter agit, nolens aeque bona omnia esse. Quemadmodum enim artifex non omnia, quae in animali sunt, efficit oculos, ita neque ratio fecit omnia deos; verum alia quidem esse deos statuit, alia vero daemones sequenti natura: post haec autem homines, animaliaque deinceps: neque id quidem invidia, sed ratione intellectualem habente varietatem. Nos autem sic affecti sumus, sicut imperiti picturae, qui pictorem damnant, quod non ubique pulchros aeque colores posuerit: pictor autem unicuique parti, quod eam decebat, attribuit. Civitates quoque bene institutae non aequaliter in omnibus disponuntur. Praeterea quisnam comoediam tragoediamque vituperet, quod omnes in ea non sint heroes, sed intersit et servus, et rusticus aliquis rudiori voce pronuntians? Poema tamen non erit pulchrum, si quis inde tollat deteriores, quodve ex his quoque impletur.

Ratio seminaria mundi omniformis emicat ab omniformi natura intellectuali, neque cogit animas se immergere mundo.

ΙΒ'. Εἰ μὲν οὖν αὐτὸς ὁ λόγος ἐναρμόσας ἑαυτὸν εἰς ὕλην ταῦτα εἰργάσατο, τοῦτο ὢν οἷός ἐστιν ἀνόμοιος τοῖς μέρεσιν, ἐκ τοῦ πρὸ αὐτοῦ τοῦτο ὤν, καὶ τοῦτο τὸ γενόμενον οὕτω γενόμενον μὴ ἂν ἔσχε κάλλιον ἑαυτοῦ ἄλλο. Ὁ δὲ λόγος ἐκ πάντων ὁμοίων καὶ παραπλησίων οὐκ ἂν ἐγένετο, καὶ οὗτος ὁ τρόπος οὐ μεμπτός, πάντα ὢν ὡς κατὰ μέρος ἕκαστον ἄλλος. Εἰ δὲ ἔξω ἑαυτοῦ ἄλλα εἰσήγαγεν οἷον ψυχάς, καὶ ἐβιάσατο παρὰ τὴν αὐτῶν φύσιν ἐναρμόσας τῷ ποιήματι πρὸς τὸ χεῖρον πολλάς, πῶς ὀρθῶς; ἀλλὰ φατέον καὶ τὰς ψυχὰς οἷον μέρη αὐτοῦ εἶναι, καὶ μὴ χείρους ποιοῦντα ἐναρμόττειν, ἀλλά, ὅπου προσῆκον αὐταῖς καταχωρίζειν, κατ' ἀξίαν.

XII. Si igitur ipsa ratio se ipsam materiae prorsus accommodans haec omnia fecit, id ipsum existens quale est quiddam, scilicet dissimilibus constans partibus, tale quidem existens ex eo, quod est ante ipsum, certe id, quod factum est, ita factum nihil aliud potest habere se pulchrius. Ratio vero ex omnibus similibus penitusque conformibus atque proximis fieri minime debuit: atque hoc quidem modo non est culpandus auctor, cum ejusmodi ratio rerum artifex sit quidem omnia, sed in parte qualibet differens. Sin autem extra se ipsam in mundum alia introduxisset, velut animas, compulissetque praeter earum naturam cum opificio mundano congruere, ac plurimas in deterius: quanam ratione id recte factum fuisset? Sed profecto putandum est, animas quoque quasi partes ipsius existere, rationemque non faciendo deteriores accommodare mundo: sed, ubi convenit expeditque ipsis, pro dignitate disponere.

Omnium rerum vicissitudo est.

ΙΓ'. Ἐπεὶ οὐδ' ἐκεῖνον ἀποβλητέον τὸν λόγον, ὃς οὐ πρὸς τὸ παρὸν ἑκάστοτέ φησι βλέπειν [δεῖν], ἀλλὰ πρὸς τὰς πρόσθεν περιόδους, καὶ αὖ τὸ μέλλον, ὥστε ἐκεῖθεν τάττειν τὴν ἀξίαν, καὶ μετατιθέναι ἐκ δεσποτῶν τῶν πρόσθεν δούλους ποιοῦντα, εἰ ἐγένοντο κακοὶ δεσπόται, καὶ ὅτι σύμφορον αὐτοῖς οὕτω, καὶ εἰ κακῶς ἐχρήσαντο πλούτῳ, πένητας, καὶ ἀγαθοῖς οὐκ ἀσύμφορον πένησιν εἶναι, καὶ φονεύσαντας ἀδίκως, φονευθῆναι (ἀδίκως μὲν τῷ ποιήσαντι, αὐτῷ δὲ δικαίως τῷ παθόντι), καὶ τὸν πεισόμενον συναγαγεῖν εἰς τὸ αὐτὸ τῷ ἐπιτηδείῳ ποιῆσαι, ἃ παθεῖν ἐχρῆν ἐκεῖνον· μὴ γὰρ δὴ κατὰ συντυχίαν δοῦλον, μηδὲ αἰχμάλωτον ὡς ἔτυχε, μηδὲ ὑβρισθῆναι εἰς σῶμα εἰκῇ· ἀλλ' ἦν ποτε

XIII. Spernendum praeterea non est, quod dici solet, non decere semper spectare praesentia, sed praeteritos quoque circuitus atque futuros. Inde namque justa pro dignitate rependitur, dum commutatio fit ex dominis in priori vita, in servos in vita sequenti, si modo improbi fuere domini: et profecto ita mutari his hominibus expedit. Praeterea si divitiis abusi sunt, in pauperes transferuntur: ubi bonis quidem esse pauperes non est inutile. Item, qui injuste quempiam occiderunt, injuste similiter occiduntur: injuste quidem, quod ad eum spectat, qui interficit; juste vero, quod ad eum pertinet, qui necatur. Sane, qui patitur ita, in idem conducit una cum illo, qui ad haec perpetranda fit promptus, quae illum pati decebat. Nemo putet, quempiam temeraria sorte fieri servum, neque casu quodam fore captivum, neque absque ratione violari corpus: sed quondam ille perpetravit ali-

ταῦτα ποιήσας, ἃ νῦν ἐστι πάσχων. Καὶ μητέρα τις ἀνελὼν ὑπὸ παιδὸς ἀναιρεθήσεται, γενόμενος γυνή, καὶ βιασάμενος γυναῖκα, ἔσται ἵνα βιασθῇ. Ὅθεν καὶ θεία φήμη, Ἀδράστεια, αὕτη γὰρ ἡ διάταξις, Ἀδράστεια ὄντως· καὶ ὄντως Δίκη, καὶ Σοφία θαυμαστή. Τεκμαίρεσθαι δὲ δεῖ τοιαύτην τινὰ εἶναι τὴν τάξιν ἀεὶ τῶν ὅλων, ἐκ τῶν ὁρωμένων ἐν τῷ παντὶ, ὡς εἰς ἅπαν χωρεῖ, καὶ ὅ τι μικρότατον, καὶ ἡ τέχνη θαυμαστὴ, οὐ μόνον ἐν τοῖς θείοις, ἀλλὰ καὶ ὧν ἄν τις ὑπενόησε καταφρονῆσαι, ὡς μικρῶν, τὴν πρόνοιαν. Οἷα καὶ ἐν τοῖς τυχοῦσι ζῴοις ἡ ποικίλη θαυματουργία· καὶ τὸ μέχρι τῶν ἐμφύτων, καρποῖς, καὶ ἔτι φύλλοις τὸ εὐειδὲς, καὶ τὸ ῥᾷστα εὐανθὲς, καὶ ῥαδινὸν, καὶ ποικίλον, καὶ ὅτι οὐ πεποίηται ἅπαξ καὶ ἐπαύσατο, ἀλλὰ ἀεὶ ποιεῖται, τῶν ὑπεράνω φερομένων κατὰ ταὐτὰ οὐχ ὡσαύτως. Μετατίθεται τοίνυν τὰ μετατιθέμενα, οὐκ εἰκῇ μετατιθέμενα, οὐδ' ἄλλα σχήματα μεταλαμβάνοντα· ἀλλ' ὡς καλὸν, καὶ ὡς πρέποι ἂν δυνάμεσι θείαις ποιεῖν. Ποιεῖ γὰρ πᾶν τὸ θεῖον ὡς πέφυκε· πέφυκε δὲ κατὰ τὴν αὐτοῦ οὐσίαν· οὐσία δὲ αὐτῷ, ἣ τὸ καλὸν ἐν ταῖς ἐνεργείαις αὐτοῦ καὶ τὸ δίκαιον συνεκφέρει. Εἰ γὰρ μὴ ἐκεῖ ταῦτα, ποῦ ἂν εἴη;

quandoque, quæ in præsentia patitur. Et qui olim extinxit matrem, in posterum extinguetur a filio, aliquando natus *femina. Et qui violaverat mulierem, ortus deinde mulier* violabitur. Hinc oraculum illud de Adrastia, id est, divinarum legum inevitabili potestate. Ejusmodi namque ordinis institutio procul dubio Adrastia est: ac re vera judicium et justitia sapientiaque miranda. Conjectare licet, talem in universo semper ordinem esse, ex his, quæ quotidie videntur in mundo: ubi certe ordo quidam talis per omnia, vel minima quoque, percurrit: atque apparet ubique mirandus, non in divinis solum, sed in his etiam, quæ facile quis ob exiguitatem spernenda providentia judicarit. Qualis utique est in abjectissimis quibusque bestiolis artificiosa stupendaque varietas: quin etiam usque ad plantarum fructus et folia ars ejusmodi se propagat. Ubi mirari licet, quam pulchræ sint formæ, quam facile opportuneque florescant, quam sine labore naturæ varia speciosaque pullulent, neque semel ita facta sunt, statimque fieri desivere: imo vero semper ita fiunt, dum superiora secundum hæc non omnino similiter feruntur. Quæcumque igitur per vices alias atque alias traducuntur, non temere permutantur, non casu figuras alias induunt: imo vero sicut et mundi decor expetit, et divinas potentias agere decet. Agit namque divinitas omnis, ut propria fert natura: fert autem divina natura secundum suam duntaxat essentiam: essentia vero ejus pulchrum justumque una in suis actionibus explicat: nisi enim ibi hæc essent, nusquam esse possent.

Quanto naturalia opera rationabilius disposita sunt moventurque, quam nostra, tanto præstantior ratio ducit illa, quam nostra. Item, non est in partibus ipsa totius perfectio requirenda, nec in parte altera alterius proprietas exigenda.

ΙΔ'. Ἔχει τοίνυν ἡ διάταξις οὕτω κατὰ νοῦν, ὡς ἄνευ λογισμοῦ εἶναι· οὕτω δὲ εἶναι, ὡς εἴ τις ἄριστα δύναιτο λογισμῷ χρῆσθαι, θαυμάσαι, ὅτι μὴ ἂν ἄλλως εὗρε λογισμὸς ποιῆσαι, ὁποῖόν τι γιγνώσκεται καὶ ἐν ταῖς καθ' ἕκαστα φύσεσι γιγνόμενον, εἰς ἀεὶ νοερώτερον, ἢ κατὰ λογισμοῦ διάταξιν. Ἐφ' ἑκάστου μὲν οὖν τῶν γινομένων ἀεὶ γενῶν οὐκ ἔστιν αἰτιᾶσθαι τὸν ποιοῦντα λόγον, εἴ τις μὴ ἀξιοῖ ἕκαστον οὕτω γεγονέναι χρῆναι, ὡς τὰ μὴ γεγονότα, ἀΐδια δὲ, ἔν τε νοητοῖς, ἔν τε αἰσθητοῖς, ἀεὶ καὶ αὐτὰ ὄντα, προσθήκην αἰτῶν ἀγαθοῦ πλείονα, ἀλλ' οὐ τὸ δοθὲν ἑκάστῳ εἶδος αὔταρκες ἡγούμενος· οἷον τῷδε ὅτι μὴ καὶ κέρατα, οὐ σκοπούμενος ὅτι ἀδύνατον ἦν λόγον μὴ οὐκ ἐπὶ πάντα ἐλθεῖν, ἀλλ' ὅτι ἔδει ἐν τῷ μείζονι τὰ ἐλάττω, καὶ ἐν τῷ ὅλῳ τὰ μέρη, καὶ οὐχ ἴσα δυνατὸν εἶναι, ἢ οὐκ ἂν ἦν μέρη. Τὸ μὲν γὰρ ἄνω πᾶν πάντα· τὰ δὲ κάτω οὐ πάντα ἕκαστον. Καὶ ἄνθρωπος δὴ, καθ' ὅσον μέρος ἕκαστος, οὐ πᾶς· εἰ δέ που ἐν μέρεσί τισι καὶ ἄλλο τι ὃ οὐ μέρος, τούτῳ κἀκεῖνο πᾶν· ὁ δὲ καθ' ἕκαστα, ᾗ τοῦτο, οὐχ ἀπαιτητέος τέλεος εἶναι εἰς ἀρετῆς ἄκρον· ἤδη γὰρ οὐκέτ' ἂν μέρος· οὐ μὴν οὐδὲ τῷ ὅλῳ τὸ μέρος κοσμηθὲν εἰς μείζονα ἀξίαν ἐφθόνηται· καὶ γὰρ κάλλιον τὸ ὅλον ποιεῖ, κοσμηθὲν ἀξίᾳ μείζονι. Καὶ γὰρ γίγνεται τοιοῦτον, ἀφομοιωθὲν τῷ ὅλῳ, καὶ οἷον συγχωρηθὲν τοιοῦτον εἶναι, καὶ συνταχθὲν οὕτως, ἵνα καὶ κατὰ τὸν ἀνθρώπου τόπον ἐκλάμπῃ τι ἐν αὐτῷ, οἷον καὶ κατὰ τὸν θεῖον οὐρανὸν τὰ ἄστρα, καὶ ἡ ἐντεῦθεν ἀντίληψις, οἷον ἀγάλματος μεγάλου καὶ καλοῦ, εἴτε ἐμψύχου, εἴτε καὶ τέχνῃ Ἡφαίστου γενομένου, ὧσι μὲν καὶ κατὰ τὸ πρόσωπον ἐπιστίλβοντες

XIV. Habet igitur ordo sic institui secundum mentem, ut absque rationis discursione consistat, atque ita consistat, ut, si quis perfectissime discurrere valeat ratione, supra modum stupeat totum sic esse dispositum, ut non aliter ratio inventura fuerit atque factura, quale semper animadvertitur in singulis quoque naturis effici: semper, inquam, intellectualis formæ plus habens, quam vel concipiat rationis ordo, vel pariat. In quolibet igitur eorum, quæ fiunt, genere, non licet rationem effectricem incusare, nisi quis existimet, unumquodque oportere ita esse factum, ut ea, quæ non sunt facta, sed sempiterna sunt, tum in genere intelligibili, tum sensibili, in quo nonnulla etiam sunt sempiterna, requirens videlicet cumulum boni quam plurimum, neque putans speciem unicuique attributam per se sufficere: veluti si naturam culparet in homine, quod cornua quoque ei non dederit, neque considerans, fieri non potuisse, quin ratio per omnia se diffuderit, oportuisse tamen in majori minora etiam contineri, partesque in toto, neque posse æqualia esse, alioquin partes minime fore. Supernum quidem omne est omnia: inferiora vero non singula omnia sunt. Atque homo, quatenus unusquisque pars quædam est, non est omnis. Quod si alibi in partibus quibusdam aliquid quoque aliud sit, quod quidem non sit pars, per hoc et illud est omne. *Nec exigendum est,* ut quilibet singulatim, quatenus id proprie est, summum sit virtutis adeptus, alioquin non ultra pars foret. Non tamen pars dignitate excellentius exornata quasi per invidiam toti detrahit: totum namque efficit pulchrius, quatenus dignitate magis excellit. Talis enim fit, quatenus toti fit similis, et quasi concessa sit esse talis, atque ita simul ordinata, *ut et secundum hominis locum in eo nonnihil effulgeat,* non aliter, quam per divinum cœlum stellæ coruscent. Hinc vero talis quædam oritur excogitatio, velut si statua quædam ingens atque pulchra, sive animata sive arte Vulcani facta, habeat quidem micantes in facie stellas,

ἀστέρες, καὶ ἐν τοῖς στήθεσι δὲ ἄλλοι· καὶ εἰ ἔμελλεν ἐπιπρέπειν ἄστρων θέσις κειμένων.

alias insuper et in pectore, atque ita dispositas, ut decorem illo conficiant.

In naturæ universalis intentione sunt mala necessaria totius bono, ideoque tota bona. Item, in hoc mundo vanitas vanitatum et omnia vanitas

ΙΕ'. Τὰ μὲν οὖν ἕκαστα αὐτὰ ἐφ' ἑαυτῶν θεωρούμενα οὕτως· ἡ συμπλοκὴ δὲ ἡ τούτων γεννηθέντων, καὶ ἀεὶ γεννωμένων, ἔχοι ἂν τὴν ἐπίστασιν καὶ ἀπορίαν κατά τε τὴν ἀλληλοφαγίαν τῶν ἄλλων ζώων, καὶ τὰς ἀνθρώπων εἰς ἀλλήλους ἐπιθέσεις· καὶ ὅτι πόλεμος ἀεὶ, καὶ οὐ μήποτε παῦλαν οὐδ' ἂν ἀνοχὴν λάβοι· καὶ μάλιστα εἰ λόγος πεποίηκεν οὕτως ἔχειν, καὶ οὕτω λέγεται καλῶς ἔχειν. Οὐ γὰρ ἔτι τοῖς οὕτω λέγουσιν ἐκεῖνος ὁ λόγος βοηθεῖ, ὡς καλῶς κατὰ τὸ δυνατὸν ἔχειν· αἰτία ὕλη οὕτως ἐχόντων, ὡς ἐλαττόνως ἔχειν, καὶ ὡς οὐ δυνατὸν τὰ κακὰ ἀπολέσθαι, εἴπερ οὕτως ἐχρῆν ἔχειν, καὶ καλῶς οὕτω, καὶ οὐχ ἡ ὕλη παρελθοῦσα κρατεῖ, ἀλλὰ παρήχθη, ἵνα οὕτω· μᾶλλον δὲ ἦν καὶ αὐτὴ [αἰτία] λόγου οὕτως. Ἀρχὴ οὖν λόγος, καὶ πάντα λόγος· καὶ τὰ γιγνόμενα κατ' αὐτὸν καὶ συντаττόμενα ἐπὶ τῇ γενέσει πάντως οὕτως. Τίς οὖν ἡ τοῦ πολέμου τοῦ ἀκηρύκτου ἐν ζώοις καὶ ἐν ἀνθρώποις ἀνάγκη; ἢ ἀλληλοφαγίαι μὲν ἀναγκαῖαι, ἀμοιβαὶ ζώων οὖσαι, οὐ δυναμένων, οὐδ' εἴ τις μὴ κτιννύοι αὐτὰ, οὕτω μένειν εἰς ἀεί. Εἰ δὲ, ἐν ᾧ χρόνῳ δεῖ ἀπελθεῖν, οὕτως ἀπελθεῖν ἔδει, ὡς ἄλλοις γενέσθαι χρείαν παρ' αὐτῶν, τί φθονεῖν ἔδει; τί δ' εἰ βρωθέντα ἄλλα ἐφύετο; οἷον εἰ ἐπὶ σκηνῆς τῶν ὑποκριτῶν ὁ πεφονευμένος ἀλλαξάμενος τὸ σχῆμα, ἀναλαβὼν πάλιν εἰσίοι ἄλλου πρόσωπον. Ἀλλ' οὐ τέθνηκεν ἀληθῶς οὗτος. Εἰ οὖν καὶ τὸ ἀποθανεῖν ἀλλαγή ἐστι σώματος ὥσπερ ἐσθῆτος ἐκεῖ, ἢ καί τινες ἀποθέσεις σώματος, ὥσπερ ἐκεῖ ἔξοδος ἐκ τῆς σκηνῆς παντελὴς τότε εἰς ὕστερον πάλιν ἥξοντος ἐναγωνίσασθαι, τί ἂν δεινὸν εἴη ἡ τοιαύτη τῶν ζώων εἰς ἄλληλα μεταβολὴ, πολὺ βελτίων οὖσα τοῦ μηδὲ τὴν ἀρχὴν αὐτὰ γενέσθαι; Ἐκείνως μὲν γὰρ ἐρημία ζωῆς, καὶ τῆς ἐν ἄλλῳ οὔσης ἀδυναμία· νῦν δὲ πολλὴ οὖσα ἐν τῷ παντὶ ζωὴ πάντα ποιεῖ καὶ ποικίλλει ἐν τῷ ζῆν· καὶ οὐκ ἀνέχεται μὴ ποιοῦσα ἀεὶ καλὰ καὶ εὐειδῆ ζῶντα παίγνια. Ἀνθρώπων δὲ ἐπ' ἀλλήλους ὅπλα θνητῶν ὄντων ἐν τάξει εὐσχήμονι μαχομένων, οἷα ἐν πυῤῥίχαις παίζοντες ἐργάζονται, δηλοῦσι τάς τε ἀνθρωπίνας σπουδὰς ἁπάσας παιδιὰς οὔσας, τούς τε θανάτους μηνύουσιν οὐδὲν δεινὸν εἶναι· ἀποθνήσκειν δὲ ἐν πολέμοις καὶ ἐν μάχαις, ὀλίγον προλαβόντας τοῦ γιγνομένου ἐν γήρᾳ, θᾶττον ἀπιόντας, καὶ πάλιν ἀνιόντας. Εἰ δ' ἀφαιροῖντο ζῶντες χρημάτων, γιγνώσκοιεν ἂν, μηδὲ πρότερον αὐτῶν εἶναι, καὶ τοῖς ἁρπάζουσιν αὐτοῖς γελοίαν εἶναι τὴν κτῆσιν, ἀφαιρουμένων αὐτοὺς ἄλλων, ἐπεὶ καὶ τοῖς μὴ ἀφαιρεθεῖσι χεῖρον γίγνεσθαι τῆς ἀφαιρέσεως τὴν κτῆσιν. Ὥσπερ δὲ ἐπὶ τῶν θεάτρων ταῖς σκηναῖς, οὕτω χρὴ καὶ τοὺς φόνους θεᾶσθαι, καὶ πάντας θανάτους, καὶ πόλεων ἁλώσεις, καὶ ἁρπαγὰς, μεταθέσεις πάντα καὶ μετασχηματ-

XV. Singula igitur in se ipsis considerata ita se habere videntur. Horum vero complexio cum quæ facta sunt, tum quæ perpetuo fiunt, instantiam dubitationemque patitur: tum circa mutuam animalium brutorum voracitatem, tum circa hominum impetus adversus homines: item propter perpetuum bellum, quod quidem neque sedari potest, neque facile tolerari, præcipue si ipsa mundi ratio, ut hæc ita se haberent, effecerit, atque ita bene se habere dicantur. Non enim ulterius ita dicentibus illa ratio suffragatur dicens, quoad fieri potest, hæc habere se bene, causamque esse materiam, ut quæ sic habent, inferiori habeant conditione, neque posse mala funditus exstirpari: siquidem sic oportuit se habere, atque ita bene; neque accedens materia superat, sed invecta est, ut ita floret; imo vero et ipsius materiæ causa ratio erat hoc pacto. Principium itaque ratio est, et omnia ratio: et, quæ fiunt, per ipsam fiunt: et, quæ in generatione simul inter se ordinantur, ita penitus se habent. Quænam igitur perpetui naturalisque belli in animalibus et hominibus necessitas est? Forsan devorationes animalium mutuæ ideo necessariæ sunt, quia sunt quædam vicissitudines animalium, quæ quidem, etiam si nullus interimat, ita semper manere non possunt. Quodsi, quo in tempore oportet obire, tunc obire sic oportebat, ut aliis quoque ex ipsis proveniret utilitas, curnam decuit invidere? Quid vero, si, quæ devorata sunt, quandoque alia renascuntur? velut si in scena persona, quæ fingitur interfecta, mox figuram mutet, alteriusque personam induens regrediatur in scenam. At dixerit forte quispiam, non vere hunc esse mortuum. Verum si mori est permutare corpus, non aliter quam permutare vestem in scena: aut si mors est corpus omnino deponere, quemadmodum in comœdia exitus ex ludo postremus; ubi tamen quis in posterum quandoque sit rediturus ad ludum: quidnam mali secum affert ejusmodi animalium invicem commutatio? quæ profecto multo melior est, quam si vel nata ab initio non fuissent. Tunc enim vitæ orbitas esset et impotentia quædam vitæ in alio existentis: nunc autem cum multa in universo sit vita, omnia facit variatque in vita, neque continere se potest, quin pulchra semper efficiat animalia, quasi ludicra valde grata conspectu. Hominum vero arma vicissim illata, cum et mortales sint, et decenti quodam ordine pugnent eorum more, qui in pyrrhichiis armatorum tripudiis ludunt, plane declarant et omnia hominum studia ludos esse, et obitum non esse durum existimandum: occumbentes autem in prœlio breviusculo quodam tempore anticipare mortem in senectute futuram, abeundo quidem velocius, sed vicissim alias redituros. Proinde si viventes fortunis exspolientur, facile animadvertere poterunt, eas neque antea quidem fuisse suas, ipsisque raptoribus deridendam fore possessionem, quandoque ab alio vicissim exspoliandis: quia, etiam si nullus abstulerit, deteriorem fore possessionem, quam exspoliatis jactura fuisset. Quemadmodum vero in theatri scenis, similiter et in vita contemplari debemus cædes, obitus, expugnationes urbium, rapinas, et prædas, tanquam omnia

τίσεις, καὶ θρήνων καὶ οἰμωγῶν ὑποκρίσεις· καὶ γὰρ ἐνταῦθα ἐπὶ τῶν ἐν τῷ βίῳ ἑκάστων οὐχ ἡ ἔνδον ψυχή, ἀλλ' ἡ ἔξω ἀνθρώπου σκιὰ καὶ οἰμώζει καὶ ὀδύρεται, καὶ πάντα ποιεῖ ἐν σκηνῇ, τῇ ὅλῃ γῇ, [ἐν ᾗ σκιαὶ ἀΐσσουσι πολλῶν] πολλαχοῦ σκηνὰς ποιησαμένων. Τοιαῦτα γὰρ ἔργα ἀνθρώπου, τὰ κάτω καὶ τὰ ἔξω μόνα ζῆν εἰδότος, καὶ ἐν δακρύοις καὶ σπουδαίοις, ὅτι παίζων ἐστίν, ἠγνοηκότος. Μόνῳ γὰρ τῷ σπουδαίῳ σπουδαστέον ἐν σπουδαίοις τοῖς ἔργοις· ὁ δ' ἄλλος ἄνθρωπος παίγνιον. Σπουδάζεται δὲ καὶ τὰ παίγνια τοῖς σπουδάζειν οὐκ εἰδόσι καὶ τοῖς αὐτοῖς οὖσι παιγνίοις. Εἰ δέ τις συμπαίζων αὐτοῖς τὰ τοιαῦτα πάθοι, ἴστω παραπεσὼν παίδων παιδιᾷ, τὸ περὶ αὐτὸν ἀποθέμενος παίγνιον· εἰ δὲ δὴ καὶ παίζει Σωκράτης, παίζει τῷ ἔξω Σωκράτει. Δεῖ δὲ κἀκεῖνο ἐνθυμεῖσθαι, ὡς οὐ δεῖ τεκμήρια τοῦ κακὰ εἶναι τὸ δακρύειν καὶ τὸ θρηνεῖν τίθεσθαι, ὅτι δὴ καὶ παῖδες ἐπὶ οὐ κακοῖς καὶ δακρύουσι καὶ ὀδύρονται.

transmutationes quaedam sint, figurarumque vices alternae, ficti quoque fletus passim atque ululatus. Etenim in singulis vitae humanae actibus, non ipsa, quae intus est, anima homoque verus, sed exterior hominis umbra lamentatur et ejulat, et omnia facit in terra, velut amplissima quadam scena, in qua quidem [multae animarum umbrae resultant] multa[que] scenarum aedificantur umbracula. Talia itaque sunt hominis opera, qui sola inferiora externaque vivere novit, neque animadvertit in seriis quoque fletibus quasi se ludere. Soli namque probo serio studendum est officiis studio dignis: alius autem homo nihil aliud est quam ludus. Illi vero in rebus quoque ludicris studiose serioque agunt, qui res studio dignas, et quomodo studendum sit, ignorant, ipsique ridiculi sunt. Si quis autem una cum illis ludens talia patiatur, agnoscat, se in puerorum ludos incidisse, deponens, qua indutus est, personam: ac si Socrates quoque ludat, ludat certe Socrates duntaxat externus. Reputare insuper oportet, non esse faciendum argumentum, quod haec mala sint, ex eo, quod in eis lugeatur et ejuletur: quoniam pueri quoque in rebus non malis deflent atque lamentantur.

Quid sit ratio seminaria mundi: quomodo agat. Item de quatuor gradibus plenitudinis. Item, quomodo rationes rerum in communi ratione contrariae sint.

ΙϚʹ. Ἀλλ' εἰ καλῶς ταῦτα λέγεται, πῶς ἂν ἔτι πονηρία; ποῦ δ' ἀδικία; ἁμαρτία δὲ ποῦ; πῶς γάρ ἐστι καλῶς γιγνομένων ἁπάντων ἀδικεῖν, ἢ ἁμαρτάνειν τοὺς ποιοῦντας; κακοδαίμονες δὲ πῶς, εἰ μὴ ἁμαρτάνοιεν μηδ' ἀδικοῖεν; Πῶς δὲ τὰ μὲν κατὰ φύσιν, τὰ δὲ παρὰ φύσιν φήσομεν εἶναι, τῶν γιγνομένων ἁπάντων καὶ δρωμένων κατὰ φύσιν ὄντων; πῶς δ' ἂν καὶ πρὸς τὸ θεῖον ἀσέβειά τις εἴη, τοιούτου ὄντος τοῦ [ποιοῦντος καὶ τοῦ] ποιουμένου; οἷον εἴ τις ἐν δράμασι λοιδορούμενον ποιητὴς ὑποκριτὴν ποιήσαιτο καὶ κατατρέχοντα τοῦ ποιητοῦ τοῦ δράματος. Πάλιν οὖν σαφέστερον λέγωμεν, τίς ὁ λόγος, καὶ ὡς εἰκότως τοιοῦτός ἐστιν. Ἔστι τοίνυν οὗτος ὁ λόγος· τετολμήσθω γάρ, τάχα δ' ἂν καὶ τύχοιμεν. Ἔστι τοίνυν οὗτος οὐκ ἄκρατος νοῦς, οὐδ' αὐτονοῦς, οὐδέ γε ψυχῆς καθαρᾶς τὸ γένος, ἠρτημένος δὲ ἐκείνης, καὶ οἷον ἔκλαμψις ἐξ ἀμφοῖν, νοῦ καὶ ψυχῆς, καὶ ψυχῆς κατὰ νοῦν διακειμένης, γεννησάντων τὸν λόγον τοῦτον, ζωὴν λόγον τινὰ ἡσυχῇ ἔχουσαν. Πᾶσα δὲ ζωὴ ἐνέργεια, καὶ ἡ φαύλη. Ἐνέργεια δέ, οὐχ ὡς τὸ πῦρ ἐνεργεῖ, ἀλλ' ἡ ἐνέργεια αὐτῆς, κἂν μὴ αἴσθησίς τις παρῇ, κίνησίς τις οὐκ εἰκῇ. Οἷς γοῦν ἐὰν παρῇ καὶ μετάσχῃ ὁπωσοῦν ὁτιοῦν, εὐθὺς λελόγωται, τοῦτο δέ ἐστι μεμόρφωται, ὡς τῆς ἐνεργείας, τῆς κατὰ τὴν ζωήν, μορφοῦν δυναμένης καὶ κινούσης οὕτως, ὡς μορφοῦν. Ἡ τοίνυν ἐνέργεια αὐτῆς τεχνική, ὥσπερ ἂν ὁ ὀρχούμενος κινούμενος εἴη· ὁ γὰρ ὀρχηστὴς τῇ οὕτω τεχνικῇ ζωῇ ἔοικεν αὐτός, καὶ ἡ τέχνη αὐτὸν κινεῖ, καὶ οὕτω κινεῖ, ὡς τῆς ζωῆς αὐτῆς τοιαύτης πως οὔσης. Ταῦτα μὲν οὖν εἰρήσθω, τοῦ οἵαν δεῖ καὶ τὴν ἡντινοῦν ζωὴν ἡγεῖσθαι ἕνεκα. Ἥκων τοίνυν οὗτος ὁ λόγος ἐκ νοῦ ἑνὸς καὶ ζωῆς μιᾶς πλήρους ὄντος ἑκατέρου οὐκ ἔστιν οὔτε ζωὴ μία, οὔτε νοῦς τις εἷς, οὔτε ἑκασταχοῦ πλήρης, οὐδὲ διδοὺς ἑαυτὸν οἷς δίδωσιν ὅλον τε καὶ πάντα.

XVI. Ceterum si haec recte dicuntur, quonam pacto pravitas ulterius erit? ubinam injustitia? ubi erratum? Qua enim ratione, si omnia rite decenterque fiunt, fieri potest, ut, qui agunt, injuste faciant et aberrent? Et quo pacto infelices erunt, si non agunt injuste, si non aberrant? Item, quomodo alia quidem secundum naturam, alia vero praeter naturam esse dicemus? siquidem quaecunque fiunt aguntur que, naturali quodam ordine transiguntur. Et numquid impietas contra deum ulla esse poterit? quippe cum talis sit qui facit, taleque, quod fit: velut si quis poeta mimum insereret fabulis, poetam ipsum mordentem atque reprobantem. Rursus ergo quidnam ratio sit, planius explicemus, probemusque eam merito esse talem. Est igitur haec ipsa ratio: audeamus id eloqui: fortasse enim sic assequemur. Est, inquam, ratio haec non sincera mens, non mens ipsa, non animae purae genus: pendens vero ab hac et quasi fulgor ex ambabus, mente videlicet atque anima: ab anima, inquam, affecta secundum mentem: his utique generantibus rationem hanc velut vitam, quae quietam quandam in se habeat rationem. Omnis vero vita est actus, vel vita vilissima. Actus, inquam, non quemadmodum agit ignis, sed ipsius actus, etiam si nullus adsit sensus, motio quaedam est minime temeraria. Quodcunque vero est, quod praesentem participat rationem, subito rationabiliter evadit affectum, id est, formatur: quasi actus, qui est secundum vitam, formare queat, atque ita movere, tanquam formet. Quam ob rem actus ejus artificiosus est: ceu si quis tripudio moveatur. Tripudiator enim vitae sic artificiosae persimilis est, atque ars movet ipsum, et ita movet, propterea quod ipsa vita talis quodammodo sit. Talia itaque dicta sint, ut planius cognoscatur, qualis sit etiam qualiscunque vita. Procedens igitur haec ratio ex una mente unaque vita, ex ambabus scilicet plenis, non est vel vita una, vel mens quaedam una: neque est ubique plena, neque tradit se ipsam quibus impertit totam atque

Ἀντιθεὶς δὲ ἀλλήλοις τὰ μέρη καὶ ποιήσας ἐνδεᾶ, πολέμου καὶ μάχης σύστασιν καὶ γένεσιν εἰργάσατο· καὶ οὕτως ἐστὶν εἷς πᾶς, εἰ μὴ ἓν εἴη. Γενόμενον γὰρ ἑαυτῷ τοῖς μέρεσι πολέμιον, οὕτως ἕν ἐστι καὶ φίλον, ὥσπερ ἂν εἰ δράματος λόγος εἷς ὁ τοῦ δράματος ἔχων ἐν αὐτῷ πολλὰς μάχας. Τὸ μὲν οὖν δρᾶμα τὰ μεμαχημένα οἷον εἰς μίαν ἁρμονίαν ἄγει σύμφωνον, οἷον διήγησιν τὴν πᾶσαν τῶν μαχομένων ποιούμενον· ἐκεῖ δὲ ἐξ ἑνὸς λόγου ἡ τῶν διεστώτων μάχη· ὥστε μᾶλλον ἄν τις τῇ ἁρμονίᾳ τῇ ἐκ μαχομένων εἰκάσειε καὶ ζητήσειε, διὰ τί τὰ μαχόμενα ἐν τοῖς λόγοις. Εἰ οὖν καὶ ἐνταῦθα ὀξὺ καὶ βαρὺ ποιοῦσι λόγοι, καὶ συνίασιν εἰς ἕν, ὄντες ἁρμονίας λόγοι, εἰς αὐτὴν τὴν ἁρμονίαν ἄλλον λόγον μείζονα, ὄντος ἐλάττους αὐτοὶ καὶ μέρη· ὁρῶμεν δὲ καὶ ἐν τῷ παντὶ τὰ ἐναντία, οἷον λευκόν, μέλαν, θερμόν, ψυχρόν, καὶ δὴ πτερωτόν, ἄπτερον, ἄπουν, ὑπόπουν, λογικόν, ἄλογον. Πάντα δὲ ζῴου ἑνὸς τοῦ σύμπαντος μέρη· καὶ τὸ πᾶν ὁμολογεῖ ἑαυτῷ, τῶν μερῶν πολλαχοῦ μαχομένων, κατὰ λόγον δὲ τὸ πᾶν. Ἀνάγκη καὶ τὸν ἕνα τοῦτον λόγον ἐξ ἐναντίων λόγων εἶναι ἕνα, τὴν σύστασιν αὐτῷ καὶ οἷον οὐσίαν τῆς τοιαύτης ἐναντιώσεως φερούσης. Καὶ γὰρ εἰ μὴ πολὺς ἦν, οὐδ' ἂν ἦν πᾶς, οὐδ' ἂν λόγος· λόγος δὲ ὢν διάφορός τε πρὸς αὐτόν ἐστι, καὶ ἡ μάλιστα διαφορὰ ἐναντίωσίς ἐστιν· ὥστε εἰ ἕτερον ὅλως, τὸ δὲ ἕτερον ποιεῖ, καὶ μάλιστα ἕτερον, ἀλλ' οὐχ ἧττον ἕτερον ποιήσει· ὥστε ἄκρως ἕτερον ποιῶν καὶ τὰ ἐναντία ποιήσει ἐξ ἀνάγκης, καὶ τέλεος ἔσται, οὐκ εἰ διάφορα μόνον, ἀλλ' εἰ καὶ ἐναντία ποιεῖ εἶναι ἑαυτόν.

omnem. Cum vero partes in se oppositas inter se habeat, ideoque indigas, certe belli seditionisque profert originem, atque ita est una omnis, si non sit unum. Facta enim sibimet per partes hostis, sic unum quiddam est et amicum, perinde ac si fabulae (tragicae sive comicae) ratio una sit totius, multa in se prœlia continens. Fabula quidem ipsa cuncta, quae dissident, in unam concordem redigit temperantiam, ceu pugnantium dispositionem omnem conficiens : ibi autem ex una ratione distantium dissidentiumque pugna deducitur. Quapropter quispiam harmoniae ex pugnantibus resultanti magis assimilabit, perquiretque, curnam in rationibus ipsis repugnantia comprehendantur. Si igitur et hic acutum et grave faciunt ipsae rationes, conspirantque in unum, cum harmoniae rationes sint, in ipsam videlicet harmoniam, quae alia est ratio major, cum ipsae minores sint et partes : profecto videmus similiter in universo contraria : album, nigrum, calidum, frigidum : item alatum, non alatum, pedatum, non pedatum, rationale, irrationale. Singula vero animalis unius universi sunt partes. Jam vero totum secum ipso consentit, partibus passim inter se pugnantibus, secundum rationem vero totum. Itaque necesse est, hanc quoque rationem unam, ex rationibus contrariis unam esse : adeo ut oppositio talis constitutionem ipsi et quasi essentiam afferat. Etenim, nisi esset multiplex, non esset et omnis, non esset et ratio. Ratio vero existens, differens est etiam ad se ipsam, maximaque differentia contrarietas esse videtur. Quapropter, si alterum quiddam omnino est, ipsum vero alterum agit aliquid, non tamen alterum minus, sed magis alterum efficiet : sequitur, ut alterum quiddam ad extremum efficiens necessario contraria faciat. Perfectaque erit ratio, si modo non solum differentia quaedam, verum etiam contraria multa efficiat semetipsam

In divina providentia praescripta sunt et quae nos agimus, et quae subinde patimur.

ΙΖ'. Ὢν δὴ τοιοῦτος, οἷον καὶ πάντως ποιεῖ, πολὺ μᾶλλον τὰ ποιούμενα ποιήσει ἐναντία, ὅσῳ καὶ διέστηκε μᾶλλον· καὶ ἧττον ὁ κόσμος ἓν ὁ αἰσθητός, ἢ ὁ λόγος αὐτοῦ, ὥστε καὶ πολὺς μᾶλλον, καὶ ἡ ἐναντιότης μᾶλλον· καὶ ἡ τοῦ ζῆν ἔφεσις, μᾶλλον ἑκάστῳ, καὶ ὁ ἔρως τοῦ εἰς ἓν μᾶλλον, φθείρει δὲ καὶ τὰ ἐρῶντα τὰ ἐρώμενα πολλάκις, εἰς τὸ αὐτῶν ἀγαθὸν σπεύδοντα, ὅταν φθαρτὰ ᾖ. Καὶ ἡ ἔφεσις δὲ τοῦ μέρους πρὸς τὸ ὅλον ἕλκει εἰς αὐτό, ὃ δύναται. Οὕτως οὖν καὶ οἱ ἀγαθοὶ καὶ οἱ κακοὶ ὥσπερ παρὰ τῆς αὐτῆς τέχνης ὀρχουμένου [ἐς] τἀναντία [ἕλκονται], καὶ αὐτοῦ τὸ μὲν τι μέρος ἀγαθόν, τὸ δὲ κακὸν φήσομεν· καὶ οὕτω καλῶς ἔχει. Καίτοι οὐδὲ κακοὶ ἔτι· ἢ τὸ μὲν κακοὺς εἶναι οὐκ ἀναιρεῖται, ἀλλ' ἢ μόνον ὅτι μὴ παρ' αὐτῶν τοιοῦτοι. Ἀλλ' ἴσως συγγνώμη τοῖς κακοῖς, εἰ μὴ καὶ τὸ τῆς συγγνώμης καὶ μὴ ὁ λόγος ποιεῖ. Ποιεῖ δὲ ὁ λόγος μηδὲ συγγνώμονας ἐπὶ τοῖς τοιούτοις εἶναι· ἀλλ' εἰ τὸ μὲν μέρος αὐτοῦ ἀγαθὸς ἀνήρ, τὸ δὲ ἄλλο πονηρός, καὶ πλείω μέρη ὁ πονηρός, ὥσπερ ἐν δράμασι, τὰ μὲν τάττει αὐτοῖς ὁ ποιητής, τοῖς δὲ χρῆται οὖσιν ἤδη. Οὐ γὰρ αὐτὸς πρωταγωνιστήν, οὐδὲ δεύτερον, οὐδὲ τρίτον ποιεῖ· ἀλλὰ διδοὺς ἑκάστῳ τοὺς προσήκοντας λόγους, ἤδη ἀπέδωκεν ἑκάστῳ, εἰς ὃ τε-

XVII. Cum igitur talis sit, qualem ipsa omnino [in se] per universa se reddit, multo magis, quae fiunt, contraria facit, quo magis jam distare coguntur. Sane minus unum est sensibilis mundus, quam ratio ipsius : ideoque magis est multiplex contrariisque refertus. Praeterea vivendi appetitus est in singulis vehementior, amorque in unum rapiens est ardentior : quae vero amant, saepe amata corrumpunt proprii boni aviditate, quando videlicet corruptioni obnoxia sunt. Amor quinetiam partis erga totum trahit ad ipsum quicquid potest. Sic itaque et boni et mali quasi ab eadem arte cujusdam saltantis tripudio per contraria perducuntur : cujus quidem alteram partem bonam, alteram dicemus esse malam : atque ita pulchre se habet. Sed enim nulli videbuntur amplius esse mali : fortasse vero nihil hinc prohibet aliquos esse malos : sed forsan sequetur ex se ipsis non fieri malos. Fortassis etiam malis hinc venia dabitur, nisi quibus danda sit venia, et quibus non ipsa ratio faciat. Faciat vero ratio, ut talibus quibusdam non ignoscatur : ceterum si pars quidem ejus alia vir bonus est, alia vero malus, plures in eo partes obtinet malus. Sed certe ita fit, quemadmodum in fabula, ubi alia quidem histrionibus poeta constituit, aliis autem pro eorum natura utitur. Non enim ipse facit, ut alius virtute primus sit in ludo, alius vero secundus, alius denique tertius : sed concedens suas cuique rationes deinceps assignat ordinem unicuique prorsus accommodatum.

τάχθαι δέον. Οὕτω τοι καὶ ὅπου τόπος ἑκάστῳ· ὁ μὲν τῷ ἀγαθῷ, ὁ δὲ τῷ κακῷ πρέπων· ἑκάτερος οὖν κατὰ φύσιν καὶ κατὰ λόγον, εἰς ἑκάτερον καὶ τὸν πρέποντα χωρεῖ, τὸν τόπον ἔχων, ὃν εἵλετο· εἶτα φθέγγεται καὶ ποιεῖ, ὁ μὲν ἀσεβεῖς λόγους καὶ ἔργα πονῶν, ὁ δὲ τὰ ἐναντία. Ἦσαν γὰρ καὶ πρὸ τοῦ δράματος τοιοῦτοι οἱ ὑποκριταὶ διδόντες ἑαυτοὺς τῷ δράματι. Ἐν μὲν οὖν τοῖς ἀνθρωπίνοις δράμασιν, ὁ μὲν ποιητὴς ἔδωκε τοὺς λόγους· οἱ δὲ ἔχουσι παρ' αὐτῶν καὶ ἐξ αὐτῶν τό τε καλῶς καὶ τὸ κακῶς ἕκαστος. Ἔστι γὰρ καὶ ἔργον αὐτοῖς μετὰ τὰς ῥήσεις τοῦ ποιητοῦ· ἐν δὲ τῷ ἀληθεστέρῳ ποιήματι ὅ τι μιμοῦνται κατὰ μέρος ἄνθρωποι ποιητικὴν ἔχοντες φύσιν, ψυχὴ μὲν ὑποκρίνεται, ἃ δ' ὑποκρίνεται, λαβοῦσα παρὰ τοῦ ποιητοῦ, ὥσπερ οἱ τῇδε ὑποκριταὶ τὰ προσωπεῖα, τὴν ἐσθῆτα, τοὺς κροκωτούς, καὶ τὰ ῥάκη, οὕτω καὶ ψυχὴ αὐτὴ τὰς τύχας οὐ λαβοῦσα εἰκῇ. Κατὰ λόγον δὲ καὶ αὗται, καὶ ἐναρμοσαμένη ταύτας, σύμφωνος γίγνεται, καὶ συνέταξεν ἑαυτὴν τῷ δράματι καὶ τῷ λόγῳ παντί· εἶτα οἷον φθέγγεται τὰς πράξεις καὶ τὰ ἄλλα, ὅσα ἂν ψυχὴ κατὰ τρόπον τὸν ἑαυτῆς ποιήσειεν, ὥσπερ τινὰ ᾠδήν. Καὶ ὡς ὁ φθόγγος καὶ τὸ σχῆμα παρ' αὐτοῦ καλὸν ἢ αἰσχρόν, καὶ ἢ κόσμον προσέθηκεν, ὡς δόξειεν ἄν, εἰς τὸ ποίημα, ἢ προσθεὶς τὴν αὐτοῦ τῆς φωνῆς κάκην οὐκ ἐποίησε μὲν τὸ δρᾶμα ἕτερον, ἢ οἷον ἦν, αὐτὸς δὲ ἀσχήμων ἐφάνη, ὁ δὲ ποιητὴς τοῦ δράματος ἀπέπεμψε κατ' ἀξίαν ἀτιμάσας, καὶ τοῦτο ἔργον ποιῶν ἀγαθοῦ κριτοῦ· τὸν δὲ ἤγαγεν εἰς μείζους τιμάς, καί, εἰ ἔχοι, ἐπὶ τὰ καλλίω δράματα, τὸν δὲ ἕτερον εἴ που εἶχε χείρονα· τοῦτον τὸν τρόπον εἰσελθοῦσα εἰς τόδε τὸ πᾶν ποίημα, καὶ μέρος ἑαυτὴν ποιησαμένη τοῦ δράματος, εἰς ὑπόκρισιν τὸ εὖ ἢ τὸ κακῶς εἰσενεγκαμένη παρ' αὐτῆς· καὶ ἐν τῇ εἰσόδῳ συνταχθεῖσα, καὶ τὰ ἄλλα πάντα χωρὶς ἑαυτῆς καὶ τῶν ἔργων αὐτῆς λαβοῦσα, δίκας τε καὶ τιμὰς αὖ ἔχει. Πρόσεστι δὲ τοῖς ὑποκριταῖς, ἅτε ἐν μείζονι τόπῳ, ἢ κατὰ σκηνῆς μέτρον ὑποκρινομένοις καὶ τοῦ ποιητοῦ τοῦ παντὸς τούτους ποιοῦντος κυρίους, καὶ δυνάμεως οὔσης μείζονος, ἐπὶ πολλὰ ἰέναι τρόπων [l. τόπων] εἴδη. Τιμὰς καὶ ἀτιμίας ὁρίζουσι, καὶ τῷ συνεπιλαμβάνειν καὶ αὐτοὺς ταῖς τιμαῖς καὶ ἀτιμίαις, ἁρμόζοντος ἑκάστου τόπου τοῖς ἤθεσιν, ὡς συμφωνεῖν τῷ τοῦ παντὸς λόγῳ, ἐναρμοζόμενον κατὰ δίκην ἕκαστον τοῖς μέρεσι τοῖς δεξομένοις, ὥσπερ χορδῆς ἑκάστης εἰς τὸν οἰκεῖον καὶ προσήκοντα τόπον ταττομένης, κατὰ λόγον τὸν τοῦ φθέγγεσθαι, ὁποῖόν ἐστιν αὐτῇ τὸ τῆς δυνάμεως εἰς τοῦτο. Καὶ γὰρ ἐν τῷ ὅλῳ τὸ πρέπον καὶ τὸ καλόν, εἰ ἕκαστος, οὗ δεῖ, τετάξεται, φθεγγόμενος κακὰ ἐν τῷ σκότῳ καὶ τῷ ταρτάρῳ· ἐνταῦθα γὰρ καλὸν τὸ οὕτω φθέγγεσθαι. Καὶ τὸ ὅλον τοῦτο καλόν, οὐκ εἰ λίθος εἴη ἕκαστος, ἀλλ' εἰ τὸν φθόγγον τὸν αὐτοῦ εἰσφερόμενος συντελοῖ εἰς μίαν ἁρμονίαν, ζωὴν καὶ αὐτὸς φωνῶν, ἐλάττω δὲ καὶ χείρω καὶ ἀτελεστέραν. Ὥσπερ οὐδ' ἐν σύριγγι φωνὴ μία, ἀλλὰ καὶ ἐλάττων τις οὖσα καὶ ἀμυδρὰ πρὸς ἁρμονίαν

Sic itaque utrique destinatur locus cum bonum tum malum maxime decens. Itaque uterque secundum naturam atque rationem ad utrumque progreditur, prout decet, locum, quem elegerat obtinens, deinde pronuntiat atque agit alius quidem verba operaque profana, alius vero contraria. Erant enim histriones sic aut sic affecti etiam ante ludos, inde mores suos fabulis inserentes. In scenicis quidem humanorum actibus poeta singulis distribuit rationes: illi vero partes suas et ex se ipsis habent, quod recte quodve non recte agant. Est enim munus illis ultra verba poetae. Sed in veriori poemate, quod referunt homines secundum partem naturam habentes effingentem, anima subornatur. Et quemadmodum histriones a poeta subornantur, accipientes personas, vestes, croceos amictus, lacerosve pannos: sic sub mundano poeta personatus animus fortunas haud temere subit. Hae namque secundum rationem sunt, easque opportune subiens fit mundanae tragoediae vel comoediae concors, seque infert actibus rationique universae convenientem, deinde quasi pronuntiat actiones et cetera quae cunque anima ingenio etiam proprio faceret, quasi aliquam cantilenam. Et quemadmodum vox atque figura ex se quoque pulchra est aut turpis, atque vel decus poemati videtur adjungere, vel vitium vocis immiscens, non facit ut fabula sit diversa jam, atque fuerat, ipsa vero incomposita videtur. Poeta vero fabulae auctor ejicit hunc pro dignitate vituperans optimi judicis officio functus, alium autem ad majores promovet dignitates, atque si habeat, ad acta quaedam praestantiora, et alterum ad deteriora, si possit. Eadem profecto ratione anima ingrediens in hoc universum mundi poema, seque ipsam scenicorum ludorum efficiens partem, secumque afferens, ut gestus bene transigat aut male. Item in ipso introitu annexa ordini reliquorum, ceteraque omnia seorsum a se suisque officiis nacta, pro dignitate poenas honoresque reportat. Adest praeterea aliquid talibus histrionibus, utpote in ampliori loco quam sub mensura scenae saltantibus, praesertim cum auctor universi hos auctoritate donaverit, majorque sit potentia ad multas morum, gestuum [vel locorum] species comparandas. Definiunt igitur honoris et ignominiae modum ex eo quoque, quod ipsi in honore dedecoreque agendo communicant: ubi videlicet habitationes singulae singulis accommodatae sunt moribus, adeo ut rationi ipsius universi consentiant, accommodato videlicet unoquoque secundum justitiae judicium suis ubique partibus: sicut chorda in cithara quaelibet proprio convenientique loco et ordine tenditur pro ipsa ratione sonandi, qualis videlicet ad hoc ipsum facultas unicuique suppetit. Etenim in toto decorum pulchrumque viget, si quidlibet, ubi decet, disponitur, sonans quidem mala in tenebris atque tartaro: ibi enim pulchrum est ita sonare. Praeterea id totum ita demum pulchrum est, non si quodlibet sit ut lapis, imo si unusquisque sonum conferens proprium ad unam prorsus harmoniam ille conducat, vitam ipse quoque resonans, minorem tamen deterioremque et a perfectione remotiorem. Quemadmodum neque in fistula vox unica satisfacit, sed minor praeterea debiliorque reliquis ad totam fistulae consonantiam proprius conducit

τῆς πάσης σύριγγος συντελεῖ, ὅτι μεμέρισται ἡ ἁρμονία εἰς οὐκ ἴσα μέρη, καὶ ἄνισοι μὲν οἱ φθόγγοι πάντες· ὁ δὲ τέλεος, εἷς ἐκ πάντων. Καὶ δὴ καὶ ὁ λόγος ὁ πᾶς εἷς· μεμέρισται δὲ οὐκ εἰς ἴσα· ὅθεν καὶ τοῦ παντὸς διάφοροι τόποι βελτίους καὶ χείρους, καὶ ψυχαὶ οὐκ ἴσαι ἐναρμόττουσιν οὕτω τοῖς οὐκ ἴσοις. Καὶ οὕτω καὶ ἐνταῦθα συμβαίνει, καὶ τοὺς τόπους ἀνομοίους, καὶ τὰς ψυχὰς οὐ τὰς αὐτάς· ἀλλ' ἀνίσους οὔσας καὶ ἀνομοίους τοὺς τόπους ἐχούσας· οἷον κατὰ σύριγγος ἢ τινος ἄλλου ὀργάνου ἀνομοιότητας ἐν τόποις τε πρὸς ἄλληλα διαφέρουσιν εἶναι καθ' ἕκαστον τόπον, τὰ αὐτῶν συμφώνως καὶ τοῖς τόποις καὶ τῷ ὅλῳ φθεγγομένας, καὶ τὸ κακῶς αὐταῖς ἐν καλῷ κατὰ τὸ πᾶν κείσεται· καὶ τὸ παρὰ φύσιν τῷ παντὶ κατὰ φύσιν· καὶ οὐδὲν ἧττον φθόγγος ἐλάττων, ἀλλ' οὐ χεῖρον πεποίηκε τὸ ὅλον οὕτω φθεγγομένη. Ὥσπερ οὐδὲ ὁ δήμιος πονηρὸς ὤν, χείρω πεποίηκε τὴν εὐνομουμένην πόλιν, εἰ δεῖ καὶ ἄλλῃ χρῆσθαι εἰκόνι. Δεῖ γὰρ καὶ τούτου ἐν πόλει, δεῖ δὲ καὶ ἀνθρώπου τοιούτου πολλάκις, καὶ καλῶς καὶ οὗτος κεῖται.

dam : quoniam in partes inæquales divisus est concentus, et inæquales quidem singuli inter se sunt toni : perfectus autem ex cunctis concentus unus efficitur. Etenim universa ratio una est : distribuitur autem in ea, quæ non sunt æqualia : unde diversa sunt totius loca, partim meliora, partim deteriora : tum animæ non æquales inæqualibus locis ita congruunt. Ex quo hic efficitur, ut loca dissimilia sint, animæque inæquales, atque dissimiles loca dissimilia nanciscantur : quasi secundum quasdam fistulæ vel alterius instrumenti dissimilitudines, habitent quoque loca pro animarum varietate inter se differentia, concinentes quolibet in loco proprios quidem cantus, sed cum locis singulis, tum universo concordes : verum quod a quavis anima male sibi ipsi canitur, bene toti concinitur. Item quod ipsis præter naturam accidit, secundum naturam universo contingit. Neque tonus minor concinit minus toti quam major, neque canens sibimet ineptius totum ob hoc reddit ineptius : sicut neque plebeius quidam [*corr.* carnifex] pravus civitatem justis legibus institutam reddit deteriorem, si modo alio hoc exemplo uti nunc expedit. Necessarius enim est etiam hic in civitate rebus aliquando ita poscentibus, talisque homo recte locatur.

Differentiæ animarum, et confirmatio superiorum.

ΙΗ'. Χείρους δὲ καὶ βελτίους ψυχαί, αἱ μὲν καὶ δι' ἄλλας αἰτίας, αἱ δὲ, οἷον ἐξ ἀρχῆς οὐ πᾶσαι ἴσαι. Ἀνάλογον γὰρ καὶ αὗται τῷ λόγῳ μέρη οὐκ ἴσα, ἐπείπερ διέστησαν. Χρὴ δὲ ἐνθυμεῖσθαι καὶ τὰ δεύτερα, καὶ τὰ τρίτα, καὶ τὸ μὴ τοῖς αὐτοῖς ἐνεργεῖν ἀεὶ μέρεσι ψυχήν, ἀλλὰ πάλιν αὖ καὶ ὧδε λεκτέον· πολλὰ γὰρ ἐπιποθεῖ εἰς σαφήνειαν ὁ λόγος. Μὴ γὰρ οὐδὲν δεῖ ἐπεισάγειν τοιούτους ὑποκριτάς, οἳ ἄλλο τι φθέγγονται, ἢ τὰ τοῦ ποιητοῦ, ὥσπερ ἀτελοῦς παρ' αὐτοῦ τοῦ δράματος ὄντος, αὐτοὶ ἀποπληροῦντες τὸ ἐλλεῖπον, καὶ τοῦ ποιήσαντος διὰ μέσου κενοὺς ποιήσαντος τοὺς τρόπους, ὡς τῶν ὑποκριτῶν οὐχ ὑποκριτῶν ἐσομένων, ἀλλὰ μέρους τοῦ ποιητοῦ καὶ προειδότος ἃ φθέγξονται, ἵν' οὕτω τὰ λοιπὰ συνείρειν καὶ τὰ ἐφεξῆς οἷός τε ᾖ. Καὶ γὰρ τὰ ἐφεξῆς ἐν τῷ παντὶ καὶ ἑπόμενα τοῖς κακοῖς τῶν ἔργων, οἱ λόγοι, καὶ κατὰ λόγον, οἷον ἐκ μοιχείας καὶ αἰχμαλώτου ἀγωγῆς παῖδες κατὰ φύσιν καὶ βελτίους ἄνδρες εἰ τύχοι, καὶ πόλεις ἄλλαι ἀμείνους τῶν πεπορθημένων ὑπὸ ἀνδρῶν πονηρῶν. Εἰ οὖν ἄτοπος ἡ εἰσαγωγὴ τῶν ψυχῶν, αἱ μὲν τὰ πονηρά, αἱ δὲ τὰ χρηστὰ ἐργάσονται (ἀποστερήσομεν γὰρ τὸν λόγον καὶ τῶν χρηστῶν, ἀφαιροῦντες αὐτοῦ τὰ πονηρά), τί κωλύει; καὶ τὰ τῶν ὑποκριτῶν ἔργα μέρη ποιεῖν, ὥσπερ τοῦ δράματος ἐκεῖ, οὕτω καὶ τοῦ ἐν τῷ παντὶ λόγου καὶ ἐνταῦθα καὶ τὸ καλῶς καὶ τὸ ἐναντίον· ὥστε εἰς ἕκαστον τῶν ὑποκριτῶν, οὕτω παρ' αὐτοῦ τοῦ λόγου, ὅσῳ τελειότερον τοῦτο τὸ δρᾶμα, καὶ πάντα παρ' αὐτοῦ. Ἀλλὰ καὶ τὸ κακὸν ποιῆσαι, ἵνα τί; Καὶ αἱ ψυχαὶ δὲ οὐδὲν ἔτι ἐν τῷ παντὶ αἱ θειότεραι, ἀλλὰ μέρη λόγου πᾶσαι· καὶ ἢ οἱ λόγοι πάντες ψυχαί, ἢ διὰ τί οἱ μέν, ψυχαί, οἱ δέ, λόγοι μόνον, παντὸς ψυχῆς τινος ὄντος;

XVIII. Animæ autem meliores vel deteriores partim quidem ob alias causas, partim vero velut ab initio non omnes æquales. Hæ namque competenti proportione universæ congruunt rationi, siquidem et in ratione et in animarum genere in partes inæquales facta est distributio. Reputare oportet animo secundos ac tertios ordines animarum, rursus eandem animam non secundum easdem sui partes semper agere : sed et iterum hoc modo dicendum, multa enim explicationis gratia præsens disputatio postulat. Considerandum ergo, numquid forsitan non oporteat eos introducere histriones, qui aliud quiddam pronuntient præter illa, quæ poeta conscripserat, quasi conscriptio poetæ ex se ipsa imperfecta sit : illi vero, quod reliquum erat, suppleant, implentes ipsi mores (characteres) quos forte vacuos poeta reliquerat, quasi mimi futuri sint non mimi : sed enim auctoris poetæ potius partes sint, qui præviderit, quæ mimi pronuntiaturi sint, ut ita reliqua et quæ deinceps sequuntur rite connectere valeat? Cuncta enim, quæ deinceps in universo sequuntur, et quæ ad mala opera consequuntur, rationibus rite constant, secundum rationem dispensantur ubique, velut quando ex adulterio atque stupro per rapinam commisso, illi naturali ordine generantur, et interdum forte viri præstantiores : et quando urbibus opera malorum subversis civitates aliæ excellentiores constituuntur. Si ergo absurda est illa introductio supplentium animarum, hæ vero et mala et bona faciunt (detrahemus enim rationi bonorum auctoritatem efficiendorum, adimentes illi omnem prorsus malorum communionem), quidnam prohibet? Histrionum quoque gesta partes asserere, sicut fabulæ in comœdia, sic et ipsius, quæ in universo est, rationis : atque hic cum quod honeste, tum quod turpiter fit includi, adeo ut in singulos histriones sic ab ipsa ratione progressio fiat, quo perfectius est mundanum hoc artificium, omniaque ab ipso ipsiusque ratione comprehenduntur. At vero malorum hinc effectus cujusnam gratia concederetur? Atqui et animæ diviniores nihil amplius esse videbuntur in universo, sed partes erunt rationis omnes : atque vel ipsæ rationes omnes erunt animæ : vel curnam aliæ quidem rationes erunt animæ, aliæ vero rationes tantum, cum tamen universa ratio sit anima quædam?

# ΕΝΝΕΑΔΟΣ Γ'

## ΛΟΓΟΣ Γ'.

### ΠΕΡΙ ΠΡΟΝΟΙΑΣ ΔΕΥΤΕΡΟΣ.

# ENNEADIS TERTIÆ

## LIBER III.

### QUI EST DE PROVIDENTIA SECUNDUS.

(271, 272.) [400 – 402.]

*Qualis sit universalis natura, et quam facilis providentia, ubi multa rediguntur in unum.*

Α'. Τί τοίνυν δοκεῖ περὶ τούτων; ἢ καὶ τὰ πονηρὰ καὶ τὰ χρηστὰ λόγος περιείληφεν ὁ πᾶς, οὗ μέρη καὶ ταῦτα; οὐ γὰρ ὁ πᾶς λόγος γεννᾷ ταῦτα, ἀλλ' ὁ πᾶς ἐστι μετὰ τούτων. Ψυχῆς γάρ τινος πάσης ἐνέργεια οἱ λόγοι, τῶν δὲ μερῶν τὰ μέρη; μιᾶς δὲ διάφορα ἐχούσης μέρη· ἀνάλογον καὶ οἱ λόγοι, ὥστε καὶ τὰ ἔργα ἔσχατα ὄντα γεννήματα· σύμφωνοι δὲ αἵ τε ψυχαὶ πρὸς ἀλλήλας τά τε ἔργα· σύμφωνα δὲ οὕτως, ὡς ἓν ἐξ αὐτῶν, καὶ εἰ ἐξ ἐναντίων. Ἐκ γὰρ ἑνός τινος ὁρμηθέντα πάντα εἰς ἓν συνέρχεται φύσεως ἀνάγκῃ. Ὥστε καὶ διάφορα ἐκφύντα καὶ ἐναντία γενόμενα τῷ ἐξ ἑνὸς εἶναι συνέλκεται ὅμως εἰς σύνταξιν μίαν. Ὥσπερ γὰρ ἐφ' ἑκάστων ζώων καὶ ἐν ἵππων γένει, κἂν μάχωνται, κἂν δάκνωσιν ἀλλήλους, κἂν φιλονεικῶσι, κἂν ζήλῳ θυμῶνται, καὶ τὰ ἄλλα καθ' ἓν γένη ὡσαύτως· καὶ δὴ οὕτω καὶ ἀνθρώπους θετέον· συναπτέον τοίνυν αὖ πάλιν πάντα τὰ εἴδη ταῦτα εἰς ἓν τὸ ζῷον γένος· εἶτα καὶ τὰ μὴ ζῷα κατ' εἴδη αὖ· εἶτα εἰς ἓν τὸ μὴ ζῷον· εἶτα ὁμοῦ, εἰ βούλει, εἰς τὸ εἶναι· εἶτα εἰς τὸ παρέχον τὸ εἶναι. Καὶ πάλιν ἐπὶ τούτῳ ἐκδήσας κατάβαινε διαιρῶν, καὶ σκιδνάμενον τὸ ἓν ὁρῶν τῷ ἐπὶ πάντα φθάνειν καὶ ὁμοῦ περιλαμβάνειν συντάξει μιᾷ, ὡς διακεκριμένον ἓν εἶναι, ζῷον πολύ, ἑκάστου πράττοντος τῶν ἐν αὐτῷ τὸ κατὰ φύσιν τὴν ἑαυτοῦ, ἐν αὐτῷ τῷ ὅλῳ ὅμως ὄντος, οἷον πυρὸς μὲν καίοντος, ἵππου τὰ ἵππου ἔργα· ἄνθρωποι δὲ τὰ αὐτῶν ἕκαστοι ᾗ πεφύκασι, καὶ διάφορα οἱ διάφοροι. Καὶ ἕπεται κατὰ τὰς φύσεις καὶ τὰ ἔργα καὶ τὸ ζῆν τὸ εὖ καὶ τὸ κακῶς.

I. Quid ergo de his dicendum existimamus? Forlasse et mala simul et bona ratio universa complectitur, cujus hæc quoque sunt partes. Non enim universa ratio hæc gignit: sed una cum his existit tota. Ipsius namque animæ universæ actus sunt rationes, partium vero partes. Cum vero una differentes habeat partes, simili quadam proportione rationes distribuuntur: quapropter et opera, quæ ultimæ genituræ sunt, similiter disponuntur. Concordes vero inter se sunt animæ, consona quoque sunt opera: consona, inquam, ita, ut unum quiddam ex ipsis vel contrariis construatur. Cuncta enim ex uno quodam fonte manantia, in unum quoque confluunt necessitate naturæ. Quam ob rem varia germina vel contraria denique facta ex eo, quod ex uno pullulant, in unum nihilo minus ordinem contrahuntur. Sicut enim in singulis animalibus, ceu in equorum genere, quamvis pugnent invicem, quamvis inter se mordeant, quamvis certatim agant, æmulationeque irascantur, reliquaque sigillatim genera pariter, similiterque homines agant: cuncta tamen hæc species in unum congreganda sunt animalium genus: deinde et inanimata secundum species iterum: deinde in unum non animal: post hæc simul, si placet, ad ipsum esse: postremo ad ipsum, quod esse unicuique tribuit. At rursus hinc explicans dividendo descende, atque contemplare unum ipsum quasi discerptum: propterea quod per omnia currat, simulque cuncta uno quodam ordine complectatur, adeo ut velut unum animal sit multiplex atque distinctum: unoquoque eorum, quæ in ipso sunt, agente, quod naturæ ipsius est proprium, existente tamen in universo, velut igne quidem comburente, equo autem equi opera peragente. Homines vero ita, ut natura instituti sunt, singuli munera propria exsequuntur, differentesque differentia. Sequuntur autem secundum naturas opera, ususque vivere tam bene quam male.

*Providentia divinæ mentis præsens omnibus nihil relinquit in mundo fortuitum*

Β'. Αἱ δὲ συντυχίαι οὐ κύριαι τοῦ εὖ· ἀκολουθοῦσι δὲ καὶ αὗται συμφώνως τοῖς πρὸ αὐτῶν, καὶ ἴασιν ἀκολουθίαι ἐμπλακεῖσαι. Συμπλέκει δὲ πάντα τὸ ἡγούμενον, συμφερομένων τῶν ἐφ' ἑκάτερα κατὰ φύσιν· οἷον ἐν στρατηγίαις, ἡγουμένου μὲν τοῦ στρατηγοῦ, συμπνεόντων δὲ τῶν συντεταγμένων, ἐτάχθη δὲ τὸ πᾶν προνοίᾳ στρατηγικῇ, ὁρώσῃ καὶ τὰς πράξεις καὶ τὰ πάθη, καὶ ἃ δεῖ παρεῖναι σιτία καὶ ποτά, καὶ δὴ καὶ ὅπλα πάντα καὶ μηχανήματα, καὶ ὅσα ἐξ αὐτῶν συμπλεκομένων προεώραται, ἵνα τὸ ἐκ τούτων συμβαῖνον ἔχῃ χώραν τοῦ τεθῆναι εὖ. Καὶ ἐλήλυθε πάντα τρόπον τινὰ εὐμήχανον παρὰ τοῦ στρατηγοῦ, καίτοι ἔξωθεν ἦν, ὅσα ἔμελλον δράσειν οἱ ἐναντίοι. Εἰ δὲ οἷόν τε ἦν κἀκείνου ἄρχειν τοῦ στρατοπέδου, εἰ δὲ δὴ ὁ

II. Casus igitur atque fortunæ auctoritatem bonæ vitæ non habent; consequuntur autem hæ quoque, quatenus præcedentibus est consentaneum, tum vero annexæ rerum consequentiæ ordinatæ procedunt. Connectit vero cuncta ipsum principale, quod omnia ducit, conferentibus ad idem his, quæ utrinque vergunt secundum naturam: quemadmodum in exercitu fit ducente quidem imperatore, conspirantibus autem, qui ordine certo commilitant. Totus namque mundus providentia quadam imperatoria est institutus cernente actiones et passiones, et quæ adesse oporteat alimenta, arma, machinas: et profecto quæcunque ex his inter se connexis conspirantibusve consequuntur, sunt prævisa: ut, quodcunque ex his eventi, locum, ubi bene situm sit, nanciscatur. Procedunt quidem omnia ab exercitus duce sagaci quadam solertique ratione, quamvis etiam externa sint ab eoque aliena, quæ hostes sunt illaturi. Quod si tam illi quam huic exercitui similiter imperare valeret, imo vero si maximus imperator ex-

μέγας ἡγεμὼν εἴη ὑφ' ᾧ πάντα, τί ἂν εἴη ἀσύντακτον; τί δὲ οὐκ ἂν συνηρμοσμένον εἴη;

set, cui subjecta sunt omnia, quonam alterius ordine carere posset? quidve connexione vacaret?

Quamvis singula sint in providentia dei mente signata, tamen animus agit libere. Item, universum oportuit dispares gradus habere.

Γ'. Καὶ γὰρ εἰ ἐγὼ κύριος τοῦ τάδε ἑλέσθαι ἢ τάδε, ἀλλὰ αἱρέσει συντέτακται ὅτι μὴ ἐπεισόδιον τὸ σὸν τῷ παντί, ἀλλ' ἠρίθμησαι ὁ τοιόσδε. Ἀλλὰ πόθεν ὁ τοιόσδε; ἔστι δὲ δύο, ἃ ὁ λόγος ζητεῖ. Τὸ μὲν εἰ ἐπὶ τὸν ποιήσαντα, εἴ τις ἐστὶν, ἀνενεγκεῖν δεῖ τοῦ ποιοῦ τοῦ ἐν τοῖς ἤθεσιν ἑκάστου τὴν αἰτίαν, ἢ ἐπὶ τὸ γενόμενον αὐτὸ, ἢ ὅλως οὐκ αἰτιατέον· ὥσπερ οὐδὲ ἐπὶ φυτῶν γενέσεως, ὅτι μὴ αἰσθάνεται, ἢ ἐπὶ ζώων τῶν ἄλλων, ὅτι μὴ ὡς ἄνθρωποι ἔχουσι. Ταὐτὸν γὰρ τοῦτο, διὰ τί ἄνθρωποι οὐχ ὅπερ θεοί· διὰ τί γὰρ ἐνταῦθα οὔτε αὐτὰ οὔτε τὸν ποιήσαντα εὐλόγως αἰτιώμεθα· ἐπὶ δὲ ἀνθρώπων, ὅτι μὴ κρεῖττον, ἢ τοῦτο; εἰ μὲν γὰρ, ὅτι ἐδύνατο τοῦτο κάλλιον εἶναι, εἰ μὲν παρ' αὐτοῦ προστιθέντος τι εἰς τὸ κρεῖττον, αὐτὸς αἴτιος ἑαυτῷ ὁ μὴ ποιήσας· εἰ δὲ μὴ παρ' αὐτοῦ, ἀλλ' ἔδει ἔξωθεν προσεῖναι παρὰ τοῦ γεννητοῦ, ἄτοπος ὁ τὸ πλέον ἀπαιτῶν τοῦ δοθέντος, ὥσπερ εἰ καὶ ἐπὶ τῶν ἄλλων ζώων ἀπαιτοῖ καὶ τῶν φυτῶν· δεῖ γὰρ οὐ ζητεῖν, εἰ ἔλαττον ἄλλου, ἀλλ' εἰ ὡς αὐτὸ αὐτάρκως· οὐ γὰρ πάντα ἴσα ἔδει. Ἆρ' οὖν μετρήσαντος αὐτοῦ προαιρέσει τοῦ μὴ δεῖν πάντα ἴσα; οὐδαμῶς· ἀλλ' οὕτω κατὰ φύσιν εἶχε γενέσθαι. Ἀκόλουθος γὰρ οὗτος ὁ λόγος ψυχῇ ἄλλῃ· ἀκόλουθος δὲ ψυχὴ αὕτη νῷ· νοῦς δὲ, οὐ τούτων τι ἓν, ἀλλὰ πάντα· τὰ δὲ πάντα, πολλά· πολλὰ δὲ ὄντα, καὶ οὐ ταὐτὰ, τὰ μὲν πρῶτα, τὰ δὲ δεύτερα, τὰ δὲ ἐφεξῆς τῇ ἀξίᾳ ἔμελλεν εἶναι. Καὶ τοίνυν καὶ τὰ γενόμενα ζῷα, οὐ ψυχαὶ μόνον, ἀλλὰ ψυχῶν ἐλαττώσεις, οἷον ἐξίτηλον ἤδη προϊόντων. Ὁ γὰρ τοῦ ζῴου λόγος, κἂν ἔμψυχος ᾖ, ἑτέρα ψυχὴ οὐκ ἐκείνη, ἀφ' ἧς ὁ λόγος. Καὶ ὁ σύμπας οὗτος ἐλάττων δὴ γίγνεται σπεύδων εἰς ὕλην· καὶ τὸ γενόμενον ἐξ αὐτοῦ ἐνδεέστερον. Σκόπει δὴ ὅσον ἀφέστηκε τὸ γενόμενον, καὶ ὅμως ἐστὶ θαῦμα. Οὐ τοίνυν, εἰ τοιοῦτον τὸ γενόμενον, καὶ τὸ πρὸ αὐτοῦ τοιοῦτον· ἔστι γὰρ παντὸς κρεῖττον τοῦ γενομένου, καὶ ἔξω αἰτίας, καὶ μᾶλλον θαυμάσαι, ὅτι ἔδωκέ τι μετ' αὐτὸ, καὶ τὰ ἴχνη αὐτοῦ τοιαῦτα. Εἰ δὲ δὴ καὶ πλέον ἔδωκεν, ἢ ὅσον ἔχουσι κτήσασθαι, ἔτι μᾶλλον ἀποδεκτέον· ὥστε κινδυνεύειν τὴν αἰτίαν ἐπὶ τοὺς γενομένους ἰέναι, τὸ δὲ τῆς προνοίας μειζόνως ἔχειν.

III. Et si ego dominus sum ad haec vel illa potius eligenda, in ipsa tamen electione cum universo nostra ordinantur, quoniam natura tua non est adventitia universo, sed in ejus ordine tu numeratus es talis quidam aut talis. At undenam talis? Duo utique sunt, quae in praesentia requiruntur, quorum alterum quidem est: utrum in effectorem, si qui est, referre oporteat causam, per quam unusquisque talibus affectus sit moribus, an in ipsum genitum: an forte causa nulla sit assignanda: quemadmodum neque in generatione plantarum causam, per quam non sentiant, desideramus, neque in ceteris animalibus, cur non ita ut homines se habeant. Idem namque id foret, ac, si quaeramus, homines dii non sint, quaerimus. Nempe cum in his neque ipsa neque effectorem jure calumniemur, cur nam in hominibus reprehendamus, quod nihil majus humana species habeat? Fortasse naturam culpabit quispiam, quod homo poterat excellentius quiddam esse. Quod si a se ipso aliquid insuper comparante id consequi posse judicet, accusare debet hominem, non auctorem: sin autem non a se ipso, sed extrinsecus ab effectore aliquid insuper additum iussse desideret, stultus erit, qui plus quam sit datum, efflagitaverit: perinde ac si in ceteris animalibus plantisque supra modum naturae desideret. Non enim oportet inquirere, num hoc minus, quam illud habeat: sed numquid hoc satis, quod naturaliter habere expedit, habeat: non enim aequalia esse oportuit omnia. Numquid igitur inaequalis rerum distributio facta est dimetiente ratione per electionem quandam decernentem, non omnia aequalia esse debere? Nequaquam: verum sic fieri naturaliter habuit. Pedissequa enim est ratio haec alterius animae, pedissequa et anima ipsa mentis. Mens autem non unum aliquid horum est, sed cuncta: cuncta vero sunt multa: multa rursus cum sint nec eadem, nimirum alia quidem prima, alia vero secunda, alia denique tertia dignitate oportuit esse. Quin etiam, quae fiunt animalia, non animae solum sunt, sed animarum decrementa quaedam quasi in exitu quiddam jam procedentium. Nam ratio animalis quamvis sit animata, alia tamen anima est, non illa, a qua ratio manat. Quin et universa haec ratio jam quasi decrescit, dum in materiam inclinatur, et quod ex ipsa gignitur, provenit imperfectius. Considera, precor, quanto jam intervallo distet ab origine, quod est factum, et tamen quantum adhuc sit admirandum. Neque tamen, si tale quiddam est, quod gignitur, etiam, quod ante ipsum est, omnino tale putandum. Nempe omni effecto omnino praestantius est, extraque causam exstat, magisque mirandum, quod aliquid edidit post se ipsum, taliaque ipsius vestigia sunt. Quod si plus tradidit, quam res capere possent, magis etiam id approbandum: unde apparet, culpam omnem in effectos rejiciendam: providentiae vero munus abundantius esse.

De intellectu, et ratione, et imaginatione. Cur homines non dura semper utantur ratione. Cur anima fiat deterior, quod non transit in bestias.

Δ'. Ἁπλοῦ μὲν γὰρ ὄντος τοῦ ἀνθρώπου (λέγω δὲ ἁπλοῦ, ὡς τοῦτο ὃ πεποίηται μόνον ὄντος, καὶ κατὰ ταῦτα ποιοῦντος καὶ πάσχοντος), ἀπῆν αἰτία ἡ κατὰ τὴν ἐπιτίμησιν, ὥσπερ ἐπὶ τῶν ζώων τῶν ἄλλων. Νῦν δὲ ἄνθρωπος μόνον ἐν ψόγῳ ὁ κακὸς, καὶ τοῦτο ἴσως εὐλόγως. Οὐ γὰρ μόνον, ὃ πεποίηται, ἔστιν, ἀλλ' ἔχει ἀρχὴν ἄλλην ἐλευθέραν, οὐκ ἔξω τῆς προ-

IV. Si homo esset simplex (simplex, inquam, si id solum esset, quod factus ab initio, atque secundum id ipsum ageret pateretorque), procul dubio querelae omnis occasio procul abesset, quemadmodum in ceteris animalibus comperitum habemus. Nunc autem vituperatio locum habet tantum in homine malo, idque forsan non absque ratione. Non enim solum id est, quod est factus, sed principium aliud habet liberum, neque tamen extra h

νοίας οὖσαν, οὐδὲ τοῦ λόγου τοῦ ὅλου. Οὐ γὰρ ἀπήρτηται ἐκεῖνα τούτων, ἀλλ' ἐπιλάμπει τὰ κρείττω τοῖς χείροσι, καὶ ἡ τελεία πρόνοια τοῦτο· καὶ λόγος ὁ μὲν ποιητικός, ὁ δὲ συνάπτων τὰ κρείττω τοῖς γενομένοις· κἀκεῖνα πρόνοια ἡ ἄνωθεν, ἡ δὲ ἀπὸ τῆς ἄνω, ὁ ἕτερος λόγος συνημμένος ἐκείνῳ, καὶ γίγνεται ἐξ ἀμφοῖν πᾶν πλέγμα, καὶ πρόνοια ἡ πᾶσα. Ἀρχὴν μὲν οὖν ἔχουσιν ἄλλην ἄνθρωποι, οὐ πάντες δὲ πᾶσιν, οἷς ἔχουσι, χρῶνται· ἀλλ' οἱ μὲν τῇ ἑτέρᾳ, οἱ δὲ τῇ ἑτέρᾳ, ἢ ταῖς ἑτέραις ταῖς χείροσι χρῶνται. Πάρεισι δὲ κἀκεῖναι οὐκ ἐνεργοῦσαι εἰς αὐτούς, οὔτε γε αὐταὶ ἀργοῦσαι· πράττει γὰρ ἕκαστον τὸ ἑαυτοῦ, ἀλλ' εἰς τούτους οὐκ ἐνεργοῦσιν. Αἰτία τίνος, εἴποι τις ἄν, παροῦσαι; ἢ οὐ πάρεισι; καίτοι πάντῃ φαμὲν παρεῖναι, καὶ οὐδὲν ἔρημον· ἢ οὐ τούτοις, ἐν οἷς μὴ εἰς αὐτοὺς ἐνεργεῖ. Διὰ τί οὖν οὐκ ἐνεργεῖ εἰς πάντας; εἴπερ μέρη καὶ ταῦτα αὐτῶν· λέγω δὲ τὴν ἀρχὴν τὴν τοιαύτην. Ἐπὶ μὲν γὰρ τῶν ἄλλων ζώων οὐκ αὐτῶν ἡ ἀρχὴ αὕτη· ἐπὶ δὲ ἀνθρώπων, οὐκ ἐπὶ πάντων. Ἆρ' οὖν οὐκ ἐπὶ πάντων, οὐ μόνον ἥδε; ἀλλὰ διὰ τί οὐ μόνη; ἐφ' ὧν δὲ μόνη καὶ κατὰ ταύτην τὸ ζῆν, τὰ δ' ἄλλα ὅσον ἀνάγκη. Εἴτε γὰρ ἡ σύστασις τοιαύτη, ὡς οἷον εἰς θολερὸν ἐμβάλλειν, εἴτε ἐπιθυμίαι κρατοῦσιν, ὅμως ἀνάγκη λέγειν ἐν τῷ ὑποκειμένῳ τὸ αἴτιον εἶναι. Ἀλλὰ πρῶτον μὲν δόξει οὐκέτι ἐν τῷ λόγῳ, ἀλλὰ μᾶλλον ἐν τῇ ὕλῃ, καὶ ἡ ὕλη οὐχ ὁ λόγος κρατήσει, εἶτα τὸ ὑποκείμενον ὡς πέπλασται, ἢ τὸ ὑποκείμενον τῇ ἀρχῇ ὁ λόγος ἐστί, καὶ τὸ ἐκ τοῦ λόγου γενόμενον, καὶ ὂν κατὰ τὸν λόγον· ὥστε οὐχ ἡ ὕλη κρατήσει, εἶτα ἡ πλάσις. Καὶ τὸ τοιόνδε εἶναι ἐπὶ τὴν προτέραν βιοτὴν ἂν ἀνάγοι τις, οἷον γιγνομένου ἐκ τῶν προτέρων ἀμυδροῦ, ὡς πρὸς τὸν πρὸ αὐτοῦ, τοῦ λόγου, οἷον ψυχῆς ἀσθενεστέρας γενομένης, ὕστερον δὲ καὶ ἐκλάμψει, καὶ ὁ λόγος δὲ λεγέσθω ἔχειν καὶ τὸν λόγον τὸν ἐν αὐτῷ τῆς ὕλης, ἣν αὐτῷ ἐργάσεται, ποιώσας καθ' αὑτὸν τὴν ὕλην, ἢ σύμφωνον εὑρών. Οὐ γὰρ ὁ τοῦ βοὸς λόγος ἐπ' ἄλλης, ἢ βοὸς ὕλης· ὅθεν καὶ εἰς τὰ ἄλλα ζῷά φησιν εἰσκρίνεσθαι, οἷον ἄλλης τῆς ψυχῆς γενομένης, καὶ ἑτεροιωθέντος τοῦ λόγου, ἵνα γένηται ψυχὴ βοός, ἣ πρότερον ἦν ἄνθρωπος· ὥστε κατὰ δίκην ὁ χείρων. Ἀλλ' ἐξ ἀρχῆς διὰ τί ὁ χείρων ἐγίγνετο, καὶ πῶς ἐσφάλη, πολλάκις εἴρηται, ὡς οὐ πρῶτα πάντα, ἀλλ' ὅσα δεύτερα καὶ τρίτα ἐλάττω τὴν φύσιν τῶν πρὸ αὐτῶν ἔχει, καὶ σμικρὰ ῥοπὴ ἀρκεῖ εἰς ἔκβασιν τοῦ ὀρθοῦ. Καὶ ἡ συμπλοκὴ δὲ ἡ πρὸς ἄλλο ἄλλου ὥσπερ τις σύγκρασις, ἐστιν ἑτέρου ἐξ ἀμφοῖν γιγνομένου· καὶ οὐκ ὄντως ἠλάττωσαν, ἀλλὰ ἐγένετο ἐξ ἀρχῆς ἔλαττον τὸ ἔλαττον, καὶ ἔστιν, ὃ ἐγένετο, κατὰ φύσιν τὴν αὐτοῦ ἔλαττον· καὶ εἰ τὸ ἀκόλουθον πάσχει, πάσχει τὸ κατ' ἀξίαν. Καὶ εἰς τὰ προβεβιωμένα δὲ ἀναπέμπειν δεῖ τὸν λογισμόν, ὡς κἀκεῖθεν ἠρτημένων τῶν ἐφεξῆς.

mitas providentiae et rationis universae pervagans. Non enim ab his nostris superiora illa pendent, sed micant meliora pejoribus, idque perfecta providentia est. Atqui et ratio altera quidem est efficiens, altera vero his, quae fiunt, meliora conjungens: et illarum quidem ordo providentia est desuper agens: haec autem a superiori providentia est, altera certe ratio illi rationi connexa, totusque ex ambabus contextus efficitur omnisque providentia. Homines igitur principium aliud possident, non omnes tamen omnibus, quae habent, utuntur, sed alii quidem alio utuntur principio, alii vero alio, vel aliis atque pejoribus. Adsunt autem illa quoque principia etiam in eos non operantia: neque tamen ipsa in se prorsus ab actu torpentia: agit enim quodlibet suum opus, sed [interdum] in hos minime operantur. Interrogabit forte quispiam, quare, cum adsint, non operentur? an forte non adsint? quanquam ubique adesse fatemur, nihilque esse ab his destitutum. Forsan vero his non adesse dicendum, in quos non agunt. Cur igitur non in omnes agunt? siquidem et haec eorum partes exsistunt, dico autem tale principium. In aliis quidem animalibus non ipsorum est hoc principium, in hominibus autem nequaquam in omnibus. Numquid igitur non in omnibus, non tantum id principium? Sed cur non solum? in quibus autem solum, et secundum hoc vivere convenit, secundum vero alia quatenus cogit necessitas. Sive enim compositio talis est, ut quasi in turbulentum praecipitetur, sive concupiscentiae superent, similiter causam in subjectum ipsum rejicere necessarium est. Verum primum quidem videbitur non amplius in ratione esse causam, sed potius in materia: atque ita non ratio, sed materia dominabitur: deinde subjectum, ut formatum est, vel potius subjectum principio ratio est, et quod ex ratione factum exsistensque secundum rationem. Quapropter non materia dominabitur, deinde formatio sequetur. Quinetiam quod talis sit, poterit quis causam in praecedentem vitam referre, quasi ratio ex antecedentibus facta sit debilis, si cum ratione conferatur superiore. Quippe cum anima facta sit infirmior, deinde illustret, tum ratio ipsa dici debet in se ipsa habere etiam materiae rationem, quam quidem materiam sibi operabitur secundum se ipsam materiam fingens, vel nacta concordem. Ratio enim seminaria bovis non in alia, quam bovis, materia est. unde et in alia etiam animalia, inquit, animam destinari, quippe cum anima facta sit alia, ratioque evaserit jam diversa, ut bovis anima fiat, quae homo ante fuerat; quapropter justitiae ipsius judicio fit deterior. Sed a principio cur deterior anima facta est, et quomodo aberravit? saepe dictum est non omnia esse prima, sed quae secunda tertiave sunt, deteriorem, quam superiora, habere naturam. Item exiguum inclinationis momentum satis efficit, ut rectum transgrediamur. Praeterea complexio alterius cum altera quasi quaedam commixtio est ad tertium quiddam ex utrisque conficiendum. Neque, quod erat tale, imminuitur, sed, quod minus est, factum est ab initio minus, atque est quod factum fuit secundum naturam suam minus: ac si quid inde consequens est patitur, pro dignitate patitur. Accedit ad haec, quod ad praecedentem vitam referenda comparatio est, nam ex illis, quae in illa facta sunt atque concepta, sequentia deducuntur

Quod oporteat esse diversos rerum gradus: quod providentia dispenset singula secundum proportionis aequalitatem: quod fatum serviat providentiae: de libero arbitrio.

Ε'. Γίγνεται τοίνυν ἡ πρόνοια, ἐξ ἀρχῆς εἰς τέλος κατιοῦσα ἄνωθεν, οὐκ ἴση οἷον κατ' ἀριθμὸν, ἀλλὰ κατὰ ἀναλογίαν, ἄλλη ἐν ἄλλῳ τόπῳ, ὥσπερ ἐπὶ ζώου ἑνὸς εἰς ἔσχατον ἐξ ἀρχῆς ἠρτημένου, ἑκάστου τὸ οἰκεῖον ἔχοντος, τοῦ μὲν βελτίονος τὸ βέλτιον τῆς ἐνεργείας, τοῦ δὲ πρὸς τὸ κάτω, ἤδη ἐνεργοῦντος τοῦ αὐτοῦ καὶ πάσχοντος τὰ, ὅσα αὐτῷ οἰκεῖα, παθήματα πρὸς αὐτό τε καὶ πρὸς τὴν σύνταξιν τὴν πρὸς ἄλλο. Καὶ δὴ καὶ οὑτωσὶ πληγέντα οὕτως ἐφθέγξατο τὰ φωνήεντα, τὰ δὲ σιωπῇ πάσχει, καὶ κινεῖται τὰ ἀκόλουθα· καὶ ἐκ τῶν φθόγγων ἁπάντων, καὶ ἐκ τῶν παθημάτων, καὶ ἐνεργημάτων, μία τοῦ ζώου οἷον φωνὴ, καὶ ζωὴ, καὶ βίος· καὶ γὰρ καὶ τὰ μόρια διάφορα ὄντα, καὶ διάφορον τὴν ἐνέργειαν ἔχοντα. Ἄλλο γὰρ ποιοῦσι πόδες, ὀφθαλμοὶ δ' ἄλλο· διάνοια δὲ ἄλλο, καὶ νοῦς ἄλλο. Ἓν δὲ ἐκ πάντων, καὶ πρόνοια μία, εἱμαρμένη δὲ ἀπὸ τοῦ χείρονος ἀρξαμένη, τὸ δὲ ὑπεράνω πρόνοια μόνον. Τὰ μὲν γὰρ ἐν τῷ κόσμῳ τῷ νοητῷ πάντα λόγος καὶ ὑπὲρ λόγον· νοῦς γὰρ καὶ ψυχὴ καθαρά· τὸ δὲ ἐντεῦθεν ἤδη, ὅσον μὲν ἔρχεται ἐκεῖθεν, πρόνοια, καὶ ὅσον ἐν ψυχῇ καθαρᾷ, καὶ ὅσον ἐντεῦθεν εἰς τὰ ζῶα. Ἔρχεται δὲ μεριζόμενος ὁ λόγος οὐκ ἴσα, ὅθεν οὐδὲ ἴσα ποιεῖ, ὥσπερ καὶ ἐν ζώῳ ἑκάστῳ. Τὸ δὲ ἐντεῦθεν ἤδη, ἀκόλουθα μὲν τὰ δρώμενα καὶ προνοίᾳ ἑπόμενα, εἴ τις δρῴη θεοῖς φίλα· ἦν γὰρ θεοφιλὴς ὁ λόγος ὁ προνοίας. Συνείρεται μὲν οὖν καὶ τὰ τοιαῦτα τῶν ἔργων· πεποίηται δὲ οὐ προνοίᾳ, ἀλλὰ γενόμενα ἢ παρὰ ἀνθρώπων τὰ γενόμενα, ἢ παρὰ ὁτουοῦν, ἢ ζώου ἢ ἀψύχου, εἴ τι ἐφεξῆς τούτοις χρηστὸν, πάλιν κατείληπται προνοίᾳ, ὡς πανταχοῦ ἀρετὴν κρατεῖν, καὶ μετατιθεμένων καὶ διορθώσεως τυγχανόντων τῶν ἡμαρτημένων, οἷον ἐν ἑνὶ σώματι ὑγιείας δοθείσης κατὰ πρόνοιαν τοῦ ζώου. Γενομένης δὲ τομῆς καὶ ὅλως τραύματος, πάλιν ἐφεξῆς ὁ λόγος ὁ διοικῶν συνάπτοι καὶ συνάγοι, καὶ ἰῷτο καὶ διορθοῖτο τὸ πονῆσαν, ὥστε τὰ κακὰ ἑπόμενα εἶναι, ἐξ ἀνάγκης δὲ, καὶ γὰρ παρ' ἡμῶν κατ' αἰτίας οὐχ ὑπὸ τῆς προνοίας ἠναγκασμένων, ἀλλ' ἐξ αὐτῶν συναψάντων μὲν τοῖς τῆς προνοίας καὶ ἀπὸ προνοίας ἔργοις, τὸ δὲ ἐφεξῆς συνεῖραι κατὰ βούλησιν ἐκείνης οὐ δυνηθέντων, ἀλλὰ κατὰ τὴν τῶν πραξάντων, ἢ κατὰ ἄλλο τι τῶν ἐν τῷ παντὶ, μηδ' αὐτοῦ κατὰ πρόνοιαν πεπραχότος, ἢ πεποιηκότος τι ἐν ἡμῖν πάθος. Οὐ γὰρ τὸ αὐτὸ ποιεῖ πᾶν προσελθὸν παντί· ἀλλὰ τὸ αὐτὸ πρὸς ἄλλο, καὶ ἄλλο πρὸς ἄλλο. Οἷον καὶ τὸ τῆς Ἑλένης κάλλος πρὸς μὲν τὸν Πάριν ἄλλο εἰργάζετο, Ἰδομενεὺς δὲ ἔπαθεν οὐ τὸ αὐτό· καὶ ἀκόλαστος ἀκολάστῳ, καλὸς καλῷ συμπεσὼν ἄλλο· ὁ δὲ σώφρων καλὸς, ἄλλο πρὸς σώφρονα τοιοῦτον, ἢ πρὸς ἀκόλαστον ἄλλο ὁ αὐτὸς, ὁ δ' ἀκόλαστος πρὸς αὐτὸν ἄλλο· καὶ παρὰ μὲν τοῦ ἀκολάστου τὸ πραχθὲν οὔτε ὑπὸ προνοίας οὔτε κατὰ πρόνοιαν. Τὸ δὲ ὑπὸ τοῦ σώφρονος ἔργον, οὐχ ὑπὸ προνοίας μὲν, ὅτι ὑπ' αὐτοῦ· κατὰ πρόνοιαν δὲ, σύμφωνον

V. Procedit igitur providentia ab initio ad finem desuper se diffundens, nec aequali secundum numerum portione, sed secundum comparationem quandam proportionis aliter distribuit aliud: quemadmodum in uno quodam animali a principio ad extremum illo connexo, membrum quodlibet munus proprium possidet, et melius quidem actionem habet praestantiorem, deterius autem inferiorem sibi convenientem. Patitur quoque proprias passiones tum sibimet, tum ordini ad aliud directo convenientes. Jam vero sua quadam conditione pulsata, sic quae sunt vocalia resonant: alia vero silentio patiuntur, moventurque consequentia. Prodeunt ex cunctis tonis, passionibus, actionibus, una animalis quasi vox vitaque et actus efficitur. Etenim partes inter se diversae, diversas habent et actiones. Aliud namque pedes agunt, aliud oculi, aliud cogitatio, aliud intellectus. Unum vero ex cunctis, et providentia una. At fatum a deteriori quodam sumit exordium: quod autem est superius, solum providentia est. Omnia enim, quae in mundo intelligibili sunt, ratio sunt superque rationem: nempe intellectus et anima pura: quod vero deinceps, quatenus inde provenit, providentia est, et quatenus est in anima pura, et quantum inde in animalia propagatur. Ratio utique in partes inaequales distributa progreditur, idcirco neque facit aequalia, sicut et in quolibet animali. Quod vero deinceps ita se habet, consequentia quidem comitantiaque providentiam sunt, quae fiunt si quis diis accepta facit; amica enim deo est providentiae ratio. Colliguntur itaque ejusmodi quoque opera: fiunt vero non providentia, sed facta jam vel ab hominibus vel a quovis alio, sive animali sive inanimato: si quid deinceps optimum est, ab ipsa providentia comprehenduntur, ut virtus ubique superet: dum videlicet, qui erraverant, permutantur errataque corriguntur, non aliter, quam in corpore uno per providentiam animalis custodem sanitas adhibeatur. Deinde sectione vulnereque accidente ratio rursus dispensans singula deinceps coaptet atque conglutinet, morboque sublato restituat sanitatem. Hinc fit, ut mala sequentia sint, et quadam necessitate sequentia: et secundum causas apud nos, non providentia quidem compulsos, sed ex nobis, dum coaptamus quidem nostra operibus providentiae, a providentiaque profectis, sed non possumus, quod deinceps sequitur, connectere secundum providentiae voluntatem: imo annectimus secundum voluntatem eorum, qui agunt, vel secundum aliud quiddam eorum, quae in universo sunt, nec ipso quidem secundum providentiam agente vel faciente in nobis aliquam passionem. Non enim idem facit quodlibet accedens ad quodlibet: sed quod idem est, aliud facit ad aliud. Sicut pulchritudo Helenae erga Paridem quidem aliud egit: Idomeneus autem aliter est affectus: atque intemperatus intemperato, pulcher pulchro propinquans aliud efficit: temperatus autem pulcher, temperato pulchro aliud: ipseque idem aliud adversus intemperatum, intemperatusque vicissim aliud adversus ipsum. Jam vero quod ab intemperato fit, neque a providentia, neque secundum providentiam proficiscitur. Quod vero a temperato fit, non a providentia quidem agitur, quoniam fit ab ipso: secundum providentiam tamen agitur, rationi namque providentiae

γὰρ τῷ λόγῳ· ὥσπερ καί, ὃ ὑγιεινῶς, πράξειεν ἄν τις, αὐτὸς πράξας κατὰ λόγον τὸν τοῦ ἰατροῦ· τοῦτο γὰρ καὶ ὁ ἰατρὸς παρὰ τῆς τέχνης ἐδίδου, εἴς τε τὸ ὑγιαῖνον, εἴς τε τὸ κάμνον. Ὃ δ' ἄν τις μὴ ὑγιαῖνον ποιοῖ, αὐτός τε ποιεῖ, καὶ παρὰ τὴν πρόνοιαν τοῦ ἰατροῦ εἰργάσατο.

consentaneum est: quemadmodum, quod quis sanitati conferens agit, ipse quidem agit, secundum tamen medici rationem: id namque et medicus ex arte tradidisset, quantum vel ad salubria vel ad insalubria pertinet. Quod autem quis sanitati facit adversum, ipse quidem facit, ac praeter medici providentiam egit.

Quo consequentiae ordine ex bonis praevideri mala posse videantur. Quomodo in praesentibus sint futurorum signa.

Ϛ'. Πόθεν οὖν καὶ τὰ χείρω μάντεις προλέγουσι, καὶ εἰς τὴν τοῦ παντὸς φορὰν ὁρῶντες, πρὸς ταῖς ἄλλαις μαντείαις, προλέγουσι ταῦτα; ἢ δῆλον ὅτι τῷ συμπεπλέχθαι πάντα τὰ ἐναντία, οἷον τὴν μορφὴν καὶ τὴν ὕλην, οἷον ἐπὶ ζώου συνθέτου ὄντος, ὅτι ὁ τὴν μορφὴν καὶ τὸν λόγον θεωρῶν καὶ τὸ μεμορφωμένον θεωρεῖ. οὐ γὰρ ὡσαύτως ζῷον νοητὸν καὶ ζῷον σύνθετον θεωρεῖ· ἀλλὰ λόγον ζώου, ἐν τῷ συνθέτῳ μορφοῦντα τὰ χείρω. Ζώου δὴ ὄντος τοῦ παντός, ὁ τὰ ἐν αὐτῷ γιγνόμενα θεωρῶν θεωρεῖ ἅμα καὶ ἐξ ὧν ἐστι, καὶ τὴν πρόνοιαν τὴν ἐπ' αὐτῷ· τέτακται δὴ ἐπὶ πάντα [τὰ ὄντα] καὶ τὰ γιγνόμενα. Τάδε ἐστὶ καὶ ζῷα καὶ πράξεις αὐτῶν, καὶ διαθέσεις κρατηθεῖσαι λόγῳ, καὶ ἀνάγκῃ μεμιγμέναι· μεμιγμένα οὖν θεωρεῖ, καὶ διηνεκῶς μιγνύμενα, καὶ διακρίνειν μὲν αὐτὸς οὐ δύναται πρόνοιαν, καὶ τὸ κατὰ πρόνοιαν χωρίς, καὶ αὖ τὸ ὑποκείμενον, ὅσα δίδωσιν εἰς τὸ ὑποκείμενον παρ' αὐτοῦ. Ἀλλ' οὐδ' ἀνδρὸς τοῦτο ποιεῖν, ἢ σοφοῦ τινος καὶ θείου· ἢ θεὸς ἂν ἔχοι, φαίη τις ἄν, τοῦτο τὸ γέρας. Καὶ γὰρ οὐ τοῦ μάντεως τὸ διότι, ἀλλὰ τὸ ὅτι μόνον εἰπεῖν, καὶ ἡ τέχνη ἀνάγνωσις φυσικῶν γραμμάτων καὶ τάξιν δηλούντων, καὶ οὐδαμοῦ πρὸς τὸ ἄτακτον ἀποκλινόντων, μᾶλλον δὲ καταμαρτυρούσης τῆς φορᾶς, καὶ εἰς φῶς ἀγούσης καὶ πρὶν παρ' αὐτῶν φανῆναι, οἷος ἕκαστος, καὶ ὅσα. Συμφέρεται γὰρ καὶ ταῦτα ἐκείνοις, κἀκεῖνα τούτοις, συντελοῦντα ἅμα πρὸς σύστασιν καὶ ἀϊδιότητα κόσμου· ἀναλογίᾳ δὲ σημαίνοντα τὰ ἄλλα τῷ τετηρηκότι, ἐπεὶ καὶ αἱ ἄλλαι μαντικαὶ τῷ ἀναλόγῳ. Οὐ γὰρ ἔδει ἀπηρτῆσθαι ἀλλήλων τὰ πάντα, ὡμοιῶσθαι δὲ πρὸς ἄλληλα ἁμηγέπη. Καὶ τοῦτ' ἂν ἴσως εἴη τὸ λεγόμενον, ὡς συνέχει τὰ πάντα ἀναλογία· ἔστι δὲ τοιοῦτον ἡ ἀναλογία, ὥστε καὶ τὸ χεῖρον πρὸς τὸ χεῖρον, ὡς τὸ βέλτιον πρὸς τὸ βέλτιον· οἷον ὡς ὄμμα πρὸς ὄμμα, καὶ πούς πρὸς πόδα, θάτερον πρὸς θάτερον, καί, εἰ βούλει, ὡς ἀρετὴ πρὸς δικαιοσύνην, καὶ κακία πρὸς ἀδικίαν. Εἰ τοίνυν ἀναλογία ἐν τῷ παντί, καὶ προειπεῖν ἔνι, καὶ εἰ ποιεῖ δὲ ἐκεῖνα εἰς ταῦτα, οὕτω ποιεῖ, ὡς καὶ τὰ ἐν παντὶ ζῴῳ εἰς ἄλληλα· οὐχ ὡς θάτερον γεννᾷ θάτερον, ἅμα γὰρ γεννᾶται· ἀλλ' ὡς, ᾗ πέφυκεν ἕκαστον, οὕτω καὶ πάσχει τὸ πρόσφορον εἰς τὴν αὐτοῦ φύσιν· καὶ ὅτι τοῦτο τοιοῦτον, καὶ τὸ τοιοῦτον, τοῦτο· οὕτω γὰρ καὶ λόγος εἷς.

VI. Undenam igitur vates etiam deteriora praedicunt? et [astrologi] praeter cetera vaticinia haec quoque pronuntiant? Profecto ex eo, quod contraria omnia simul contexta sunt, ceu forma atque materia, velut in animali composito [quale est et mundus]. Itaque, qui formam rationemque contemplatur, formatum etiam contemplatur. Non enim intelligibile animal similiter atque compositum animal intuetur; sed rationem animalis in composito deteriora formantem. Cum igitur universum hoc sit animal, qui ea, quae fiunt in ipso, videt, videt etiam, ex quibus fiunt, providentiamque in ipso regnantem, quae quidem ordine per cuncta procedit, et quae sunt et quae fiunt. *Haec autem et viventia sunt, quorum actiones af*fectionesque et ratione superatae sunt, et necessitati permistae: mista igitur contemplatur, et quae continuo permiscentur. Atque ipse quidem providentiam seorsum ab eo, quod secundum providentiam est, discernere nequit, vel rursus, quod subjectum tradit ex se, ei, quod fit in ipso. Sed enim non hominis est id agere, vel sapientis cujusdam atque divini: at potius solius dei munus hoc esse quis dixerit. Non enim vatis officium est, quam ob causam aliquid fiat, cognoscere, sed sic fore tantum pronuntiare: atque praesagiendi lectio quaedam est naturalium litterarum ordinem indicantium, nec usquam ad inordinatum aliquid declinantium: sed praecipue motu mundano id testificante in lucemque producente, etiam priusquam in rebus ipsis appareat, quales sint, quantave [quaeve] patiantur. Concurrunt namque in idem cum haec una cum illis, tum vicissim cum his illa, simul ad constitutionem perpetuitatemque mundi interim conferentia. Atque secundum quandam analogiam, id est proportionis comparationem, significantia cetera his, qui talia diligenter observant: quandoquidem alia insuper vaticinia analogia quadam efficiuntur. Non enim oportuit omnia vicissim ab omnibus pendere: assimilari autem inter se quodammodo debuerunt. Idque forsan est, quod dici solet, analogia omnia contineri. Est autem tale quiddam analogia: Quemadmodum se habet melius ad id, quod melius, sic vicissim deterius ad deterius: ceu sicut oculus ad oculum, sic et pes comparatur ad pedem, tanquam alterum adversus alterum: item si placet, quod est virtus ad justitiam, id vitium ad injustitiam. Si igitur in universo regnat analogia, nimirum licet vaticinari: ac si illa in haec agunt, sic utique agunt, ut, quae in omni sunt animali, invicem operantur, non quia alterum generet alterum (simul namque gignuntur); sed quia, quali natura praeditum est unumquodque, tali quadam ratione patitur, quod est naturae propriae consentaneum. Et quia hoc quidem tale quiddam, et tale quiddam hoc similiter: sic enim et ratio una est.

*Quod in providentia dei actio artificiosa et naturalis est eadem, quae gubernat mundum sicut vita plantam.*

Ζ'. Καὶ ὅτι δὲ τὰ βελτίω, καὶ τὰ χείρω· ἐπεὶ πῶς ἂν εἴη τι χεῖρον ἐν πολυειδεῖ, μὴ ὄντος βελτίονος; ἢ πῶς τὸ βέλτιον, μὴ χείρονος; ὥστε οὐκ αἰτιατέον τὸ

VII. Praeterea, quoniam meliora sunt in mundo, ibi necessario sunt quoque deteriora. Quo enim pacto deterius aliquid in opere multiformi esse potest, nisi sit et melius? vel vicissim quomodo melius, nisi sit et pejus? Quam ob rem

χεῖρον ἐν τῷ βελτίονι, ἀλλὰ ἀποδεκτέον τὸ βέλτιον, ὅτι ἔδωκεν ἑαυτοῦ τῷ χείρονι. Ὅλως δὲ οἱ ἀναιρεῖν ἀξιοῦντες τὸ χεῖρον ἐν τῷ παντὶ ἀναιροῦσι πρόνοιαν αὐτήν. Τίνος γὰρ ἔσται; οὐ γὰρ δὴ αὐτῆς, οὐδὲ τοῦ βελτίονος· ἐπεὶ καὶ τὴν ἄνω πρόνοιαν ὀνομάζοντες πρὸς τὸ κάτω λέγομεν. Τὸ μὲν γὰρ εἰς ὃ πάντα ἀρχή, ἐν ᾗ ὁμοῦ πάντα καὶ ὅλον πάντα. Πρόεισι δὲ ἤδη ἐκ ταύτης ἕκαστα, μενούσης ἐκείνης ἔνδον, οἷον ἐκ ῥίζης μιᾶς ἑστώσης αὐτῆς ἐν αὐτῇ· τὰ δὲ ἐξήνθησεν εἰς πλῆθος μεμερισμένον, εἴδωλον ἕκαστον ἐκείνου φέρον, ἄλλο δ' ἐν ἄλλῳ ἐνταῦθα ἤδη ἐγίγνετο. Καὶ ἦν τὰ μὲν πλησίον τῆς ῥίζης, τὰ δὲ προϊόντα εἰς τὸ πόρρω ἐσχίζετο, καὶ μέχρις οἷον κλάδων καὶ ἄκρων καὶ καρπῶν καὶ φύλλων· καὶ τὰ μὲν ἔμενεν ἀεί, τὰ δὲ ἐγίγνετο ἀεὶ οἱ καρποὶ καὶ τὰ φύλλα. Καὶ τὰ γιγνόμενα ἀεὶ εἶχε τοὺς τῶν ἐπάνω λόγους ἐν αὐτοῖς, οἷον μικρὰ δένδρα βουληθέντα εἶναι. Καὶ εἰ ἐγέννησε πρὶν φθαρῆναι, τὸ ἐγγὺς ἐγέννα μόνον· τὰ δὲ διάκενα, οἷον τῶν κλάδων, ἐπληροῦτο αὖ ἐκ τῆς ῥίζης, καὶ αὐτῶν ἄλλον τρόπον πεφυκότων, ἐξ ὧν καὶ ἔπασχε τὰ ἄκρα τῶν κλάδων, ὡς ἐκ τοῦ πλησίον οἴεσθαι τὸ πάθος ἰέναι μόνον· τὸ δὲ κατὰ τὴν ἀρχὴν αὖ τὸ μὲν ἔπασχε, τὸ δὲ ἐποίει. Ἡ δ' ἀρχὴ ἀνήρτητο καὶ αὐτή· πόρρωθεν μὲν γὰρ ἐλθόντα, ἄλλα τὰ ποιοῦντα εἰς ἄλληλα, ἐξ ἀρχῆς δὲ τὸ ἀπὸ τοῦ αὐτοῦ, οἷον εἰ ἀδελφοὶ δρῷέν τι ἀλλήλους ὅμοιοι γενόμενοι, ἐκ τῶν αὐτῶν ὁρμηθέντες τῶν πεποιηκότων.

non debemus in meliori deterius accusare, sed potius, quod est melius, approbare, quoniam deteriori sui nonnihil impertiat. Omnino autem, quicunque deterius e mundo tollendum censent, tollunt ipsam etiam providentiam. Cujusnam amplius providentia erit? Non enim sui ipsius, neque etiam melioris; quandoquidem dum supernam providentiam nominamus, ad id eam, quod inferius est, referimus. Ipsum namque, in quod omnia redigantur, principium est, in quo sunt omnia simul, et omnia totum. Procedunt autem ex hoc jam omnia, intus ipso manente, ceu ex una radice in se ipsa conquiescente in multitudinem jam divisam plurimae pullulant singula illius similitudinem praeferentia: aliud autem in alio hic jam est factum. Suntque alia quidem propinqua radici, alia vero longius procedentia dividuntur, ac velut usque ad ramos atque ramusculos fructusque et folia: et alia quidem semper manent, alia vero fiunt semper fructus et folia. Et quae semper fiunt, superiorum rationes possident in se ipsis, quasi exiguae quaedam arbusculae esse velint. Ac si generarent, antequam putrescerent, propinquum solummodo generarent: ipsa vero, quasi vacua ramorum spatia, rursus ab ipsa radice replentur, aliterque natura se habent: ex quibus patiuntur extrema ramorum, adeo ut ex ipso propinquo passio solum contingere videatur. Quod autem secundum principium est, hoc quidem patitur, hoc vero facit. Principium vero est ipsum quoque connexum: procul enim progredientia alia jam in alia inter se agunt: ex principio autem ab eodem: ceu si fratres invicem aliquid agant facti similes, utpote qui ex genitoribus eisdem orti fuerint.

# ΕΝΝΕΑΔΟΣ Γ'

## ΛΟΓΟΣ Δ.

### ΠΕΡΙ ΤΟΥ ΕΙΛΗΧΟΤΟΣ ΗΜΑΣ ΔΑΙΜΟΝΟΣ.

# ENNEADIS TERTIÆ

## LIBER IV.

### DE PROPRIO CUJUSQUE DÆMONE.



Mens sine alteratione sui generat: anima quodammodo mota gignit.

Α'. Τῶν μὲν αἱ ὑποστάσεις γίγνονται μενόντων ἐκείνων· ἡ δὲ ψυχὴ κινουμένη ἐλέγετο γεννᾶν καὶ αἴσθησιν τὴν ἐν ὑποστάσει καὶ φύσιν καὶ μέχρι φυτῶν. Καὶ γὰρ ἔχει αὐτὴν καὶ ἐν ἡμῖν οὖσα· κρατεῖ δὲ μέρος οὖσα. Ὅταν δὲ ἐν φυτοῖς γένηται [l. γεννᾶται], αὕτη κρατεῖ, οἷον μόνη γενομένη· αὕτη μὲν οὖν οὐδὲν γεννᾷ, γεννᾷ πάντη ἕτερον αὐτῆς. Οὐκέτι γὰρ ζωὴ μετὰ ταύτην, ἀλλὰ τὸ γενόμενον ἄζωον. Τί οὖν; ἢ [εἰκός ἐστιν] ὥσπερ πᾶν, ὅσον πρὸ τούτου ἐγεννᾶτο, ἀμόρφωτον ἐγεννᾶτο, εἰδοποιεῖτο δὲ τῷ ἐπιστρέφεσθαι πρὸς τὸ γεννῆσαν, οἷον ἐκτρεφόμενον· οὕτω δὴ καὶ ἐνταῦθα τὸ γεννηθὲν, οὐ ψυχῆς δεῖ εἶδος, οὐ γὰρ ἔτι ζῇ, ἀλλ' ἀοριστίαν εἶναι [l. ἔχει] παντελῆ· ἡ μὲν γὰρ κἂν τοῖς *προτέροις ἡ ἀοριστία*, ἀλλ' ἐν εἴδει. Οὐ γὰρ πάντη ἀόριστον, ἀλλ' ὡς πρὸς τὴν τελείωσιν αὐτοῦ. Τὸ δὲ νῦν, πάντη, τελειούμενον δὲ γίγνεται σῶμα, μορφὴν λαβὸν τὴν τῇ τοῦ δυνάμει πρόσφορον, ὑποδοχὴν τοῦ γεννήσαντος καὶ ἐκθρέψαντος, καὶ μόνον τοῦτο ἐν σώματι ἔσχατον τῶν ἄνω, ἐν ἐσχάτῳ τοῦ κάτω.

1. Sunt quæ subsistentem actum suum manendo producunt: anima vero mota dicitur generare sensum in actu subsistente, atque naturam, et ad plantas usque procedere. Naturam enim subsistentem habet etiam, dum est in nobis, sed tanquam pars dominatur. Quando vero plantis inseritur, ipsa prævalet tanquam sola relicta: ipsa igitur nihil generat, imo generat, sed prorsus ab ea diversum. Non enim ulterius post hanc viget vita, sed, quod factum est, jam vita caret. Quid ergo? Forsan sicut, quicquid ante hoc est genitum, informe genitum est, formatum vero est conversione quadam ad genitorem, quasi *sic inde nutritum*: similiter et hic quod gignitur, non amplius est animæ species. Non enim vivit ulterius: sed est quiddam prorsus indefinitum, sive indefinitas quædam. In superioribus quidem est interminata natura, sed in specie quadam consistit. *Non enim est prorsus indefinita*, sed quatenus ad suam refertur perfectionem. Quod autem hic indeterminatum dicitur, indefinitum est omnino et indefinitas ipsa: quæ quidem, dum perficitur, corpus evadit, accipiens formam potentiæ suæ accommodatam, participationem videlicet generantis et nutrientis, idque in corpore solum superiorum est extremum, in ipso inferioris extremo.

Transmigratio animarum.

Β'. Καὶ τὸ « ψυχὴ πᾶσα ἐπιμελεῖται τοῦ ἀψύχου », ἐπὶ ταύτης μάλιστα· αἱ δ' ἄλλαι ἄλλως. Πάντα δὲ οὐρανὸν περιπολεῖ, ἄλλοτε ἐν ἄλλοις εἴδεσιν, ἢ ἐν αἰσθητικῷ εἴδει, ἢ ἐν λογικῷ, ἢ ἐν αὐτῷ τῷ φυτικῷ. Τὸ γὰρ κρατοῦν αὐτῆς μόριον τὸ ἑαυτῷ πρόσφορον ποιεῖ, τὰ δ' ἄλλα ἀργεῖ· ἔξω γάρ· ἐν δὲ ἀνθρώπῳ οὐ κρατεῖ τὰ χείρω, ἀλλὰ σύνεστιν. Οὐδὲ γε τὸ κρεῖττον ἀεί· ἔστι γὰρ καὶ ταῦτα χώραν τινὰ ἔχοντα· διὸ καὶ ὡς αἰσθητικοί· ἔστι γὰρ καὶ ὄργανα αἰσθήσεως· καὶ πολλὰ ὡς φυτά· ἔστι γὰρ σῶμα αὐξόμενον καὶ γεννῶν· ὥστε πάντα συνεργεῖ. Κατὰ δὲ τὸ κρεῖττον τὸ ὅλον εἶδος ἄνθρωπος. Ἐξελθοῦσα δὲ, ὅ τι περ ἐπλεόνασε, τοῦτο γίγνεται. Διὸ φεύγειν δεῖ πρὸς τὸ ἄνω, ἵνα μὴ εἰς τὴν αἰσθητικὴν, ἐπακολουθοῦντες τοῖς αἰσθητοῖς εἰδώλοις, μηδὲ εἰς τὴν φυτικὴν, ἐπακολουθοῦντες τῇ ἐφέσει τοῦ γεννᾶν καὶ ἐδωδῶν λιχνείαι, ἀλλ' εἰς τὸ νοερὸν καὶ νοῦν καὶ θεόν. Ὅσοι μὲν οὖν τὸν ἄνθρωπον ἐτήρησαν, πάλιν ἄνθρωποι· ὅσοι δὲ αἰσθήσει μόνον ἔζησαν, ζῷα· ἀλλ' εἰ μὲν αἰσθήσεσι μετὰ θυμοῦ, τὰ ἄγρια· καὶ ἡ διαφορὰ ἡ ἐν τούτοις τὸ διάφορον τῶν τοιούτων ποιεῖ· ὅσοι δὲ μετ' ἐπιθυμίας καὶ τῆς ἡδονῆς τοῦ ἐπιθυμοῦντος, τὰ ἀκόλαστα τῶν ζῴων καὶ γαστρίμαργα· εἰ δὲ μηδὲ αἰσθήσει μετὰ τούτων, ἀλλὰ νωθείᾳ αἰσθήσεως μετ' αὐτῶν, καὶ φυτά.

II. Proinde quod dicitur a Platone, « anima omnis totius inanimati curam habet », in hac anima potissimum habet locum: aliæ vero se aliter habent. Per totum itaque cælum revolvitur, alias in aliis speciebus, sive in sen*suali specie, sive rationali, sive etiam vegetali. Pars enim* ejus dominans consentaneum sibi peragit munus, cetera vero torpent: extra namque relicta videntur: in homine autem non superant, quæ deteriora sunt, sed simul existunt. Neque tamen, quod melius est, superat semper: nam hæc quoque locum in eo suum habent. Quamobrem et tanquam sensuales vivunt: adsunt enim et instrumenta sensus. Multa quoque ab hominibus fiunt quasi plantis: corpus siquidem ceu planta ab intrinseco augetur *et gignitur: quapropter omnia in agendo communicant.* Secundum vero id quod melius est, tota species homo censetur. Anima tandem e corpore migrans id ipsum, quo abundavit, evadit. Itaque ad superiora confugiendum, ne in sensualem speciem delabamur, simulacra sensibilia sectati: *neve in vegetalem vitam* præcipitemur, mancipati libidini generandi et illecti suavitate saporum, sed ad intellectuale, ad intellectum, ad deum totis viribus assurgendum. Quicunque igitur proprietatem servaverunt humanam, homines iterum renascuntur: quicunque vero solo usi sunt sensu, bruta animalia redeunt: ita tamen, ut, qui sensu præcipue una cum ira, animalia fera evadant, atque in his differentia differentiam quoque talium afferat. Qui vero sensu per concupiscentiam voluptatemque usi sunt, salacia et ingluviosa animalia revertuntur. Verum si non tam sensu una cum his, quam cum hebetudine sensus vixerint, una cum ipsis

Μόνον γὰρ τοῦτο ἢ μάλιστα ἐνήργει τὸ φυτικὸν, καὶ ἦν αὐτοῖς μελέτη δενδρωθῆναι· τοὺς δὲ φιλομούσους μὲν, καθαρίους δὲ τὰ ἄλλα, εἰς τὰ ᾠδικά· τοὺς δὲ ἀλόγως βασιλέας, ἀετοὺς, εἰ μὴ ἄλλη κακία παρείη· μετεωρολόγους δὲ ἄνευ φρονήσεως, εἰς τὸν οὐρανὸν ἀεὶ αἰρομένους, εἰς ὄρνεις μετεώρους ταῖς πτήσεσιν· ὁ δὲ τὴν πολιτικὴν ἀρετὴν, ἄνθρωπος· ὁ δὲ ἧττον ἀρετῆς πολιτικῆς μετέχων, πολιτικὸν ζῶον, ἢ μέλιττα [ἢ] τὰ τοιαῦτα.

plantæ repullulant. Solum namque vel maxime in his viguit vegetale, omnisque illis cura fuit, ut in plantas commutarentur. Proinde qui musicis modulis nimium deliniti vixerunt, in ceteris non depravati, animalia musica renascuntur. Et qui sine ratione regnarunt, fiunt aquilæ, nisi pravitate alia sint infecti. Qui absque sapientia confidentius sublimia tractarunt, in cœlum sæpe suspicientes, mutantur in aves altiora semper volatu potentes. Qui civilem virtutem consequutus est, homo revertitur: sed qui civilem virtutem haud satis est assecutus, in civile animal, in apem vel similia se transformat.

Dæmones nostri sunt aliquid, ipsius animæ præsidens videlicet, potestas potestati animæ, qua vivimus: itaque secundum vitæ differentias sunt in nobis dæmones differentes.

Γ'. Τίς οὖν δαίμων, ὁ καὶ ἐνταῦθα; τίς δὲ θεὸς, ἢ ὁ ἐνταῦθα; Τὸ γὰρ ἐνεργῆσαν τοῦτο ἕκαστον ἄγει, ἅτε καὶ ἐνταῦθα ἡγούμενον. Ἆρ' οὖν τοῦτό ἐστιν ὁ δαίμων, ὅσπερ ζῶντα εἰλήχει, ἢ οὔ; ἀλλὰ τὸ πρὸ αὐτοῦ· τοῦτο γὰρ ἐφέστηκεν ἀργοῦν· ἐνεργεῖ δὲ τὸ μετ' αὐτό. Καὶ ἐσμὲν τὸ ἐνεργοῦν, ἢ αἰσθητικοὶ, καὶ ὁ δαίμων τὸ λογικόν· εἰ δὲ κατὰ τὸ λογικὸν ζῶμεν, ὁ δαίμων τὸ ὑπὲρ τοῦτο, ἐφεστὼς ἀργὸς, συγχωρῶν τῷ ἐργαζομένῳ. Ὀρθῶς οὖν λέγεται ἡμᾶς αἱρήσεσθαι· τὸν γὰρ ὑπερκείμενον κατὰ τὴν ζωὴν αἱρούμεθα. Διὰ τί οὖν αὐτὸς ἄγει; ἢ τὸν βιοτεύσαντα οὐκ ἔστιν ἄγειν, ἀλλὰ πρὸ τοῦ μὲν ἄγειν, ὅτε ἔζη· παυσάμενον δὲ τοῦ ζῆν ἄλλῳ παραχωρεῖν τὴν ἐνέργειαν, τεθνηκότα τὴν αὐτοῦ κατ' ἐνέργειαν ζωήν. Ὁ μὲν οὖν ἐθέλει ἄγειν, καὶ κρατήσας ζῇ αὐτὸς, ἄλλον καὶ αὐτὸς ἔχων δαίμονα· εἰ δὲ βαρύνοιτο τῇ ῥώσει τοῦ χείρονος ἤθους, ἔχει ἐκεῖνο τὴν δίκην. Ταύτῃ καὶ ὁ κακὸς ἐπὶ τὸ χεῖρον, βρίσαντος πρὸς τὴν ὁμοιότητα τοῦ ἐνεργήσαντος ἐν τῇ ζωῇ, εἰς βίον θήρειον· εἰ δὲ ἕπεσθαι δύναιτο τῷ δαίμονι τῷ ἄνω αὐτοῦ, ἄνω γίγνεται ἐκεῖνον ζῶν· καὶ ἐφ' ὃ [l. ὑφ' οὗ] ἄγεται κρεῖττον μέρος αὐτοῦ, ἐν προστασίᾳ θέμενος, καὶ μετ' ἐκεῖνον ἄλλον ἕως ἄνω. Ἔστι γὰρ καὶ πολλὰ ἡ ψυχὴ, καὶ πάντα, καὶ τὰ ἄνω, καὶ τὰ κάτω αὖ, μέχρι πάσης ζωῆς. Καὶ ἐσμὲν ἕκαστος κόσμος νοητὸς, τοῖς μὲν κάτω συνάπτοντες τῷδε, τοῖς δὲ ἄνω καὶ τοῖς κόσμου τῷ νοητῷ, καὶ μένομεν τῷ μὲν ἄλλῳ παντὶ νοητῷ ἄνω· τῷ δὲ ἐσχάτῳ αὐτοῦ, πεπεδήμεθα τῷ κάτω, οἷον ἀπόρροιαν ἀπ' ἐκείνου διδόντες εἰς τὸ κάτω, μᾶλλον δὲ ἐνέργειαν, ἐκείνου οὐκ ἐλαττωμένου.

III. Quisnam igitur in his dæmon esse dicetur? quis item deus? Num, qui in his præcipue operatur? Quod enim operatur, unumquemque ducit tanquam ibi sit principale. Numquid igitur id dæmon est, qui sortitus est viventem? Non forte. Imo vero quod est super ipsum; quod quidem præsidet quasi quietum: quod vero est post ipsum, agit; nosque sumus potissimum id, quod agit. Ac si tanquam sensuales agimus atque vivimus, ipsa ratio noster est dæmon: sin autem ratione vivamus, dæmon est, quod ratione superius, dæmon, inquam, præsidens, negotiosum alteri concedens officium. Recte itaque dicitur apud Platonem: Vos dæmonem eligetis. Præfectum namque nobis secundum vitæ genus eligimus. Curnam igitur ipse ducit? Forsan non datur ducere vita perfunctum: sed antea quidem poterat, quando vivebat. Vita vero perfunctum alteri oportet concedere actionem: utpote qui actualem sui vitam jam deposuerit. Ille igitur vult jam ducere, et quod superavit, vivit ipse, alium et ipse dæmonem habens: si autem ingravescat, more videlicet deteriore præponderante, dat pœnas. Hac quoque ratione pravus labitur in deterius, declinante scilicet eo, quod in homine agit, per vitæ similitudinem in ferinam vitam: sin autem obtemperare posset superiori ipsius dæmoni, superior fieret, illius vita vivens, atque præscribens sibi ipsi præsidem, ipsam præstantiorem sui partem, qua ducitur: atque ultra illum insuper alium, quousque ad supremum progrediatur. Est enim anima multa, imo omnia, tum superiora, tum rursus inferiora, usque ad omnem vitæ gradum. Nempe unusquisque nostrûm intelligibilis mundus est, ac per inferiora nostra huic mundo conjungimur, per superiora vero, quæ ad intelligibilem mundum pertinent, intelligibilem mundum attingimus, permanemusque in sublimi per id, quod in nobis est prorsus intelligibile: per id autem, quod ejus est ultimum, alligamur inferiori; quasi defluxum quendam ab ipso ad inferius demittentes, imo potius actum illius, ipso minime deminuto.

Natura vegetalis sempiterna est. Anima mundi sine attentione regit corpus et sentit

Δ'. Ἆρ' οὖν ἀεὶ ἐν σώματι τοῦτο, ἢ οὔ; ἐὰν γὰρ στραφῶμεν, συνεπιστρέφεται καὶ τοῦτο. Τί οὖν ἡ τοῦ παντὸς ἀποστήσεται καὶ τὸ αὐτῆς μέρος στραφείσης, ἢ οὐδὲ συνένευσε τῷ μέρει αὐτῆς τῷ ἐσχάτῳ; οὐδὲ γὰρ ἦλθεν, οὐδὲ κατῆλθεν, ἀλλὰ μενούσης προσάπτεται τὸ σῶμα τοῦ κόσμου, καὶ οἷον καταλάμπεται, οὐκ ἐνοχλουμένου δὲ παρέχον μερίμνας, ἐν ἀσφαλεῖ τοῦ κόσμου κειμένου. Τί οὖν, οὐκ αἰσθάνεται τινα αἴσθησιν; ὅρασιν οὐκ ἔχει, φησὶν, ὅτι μηδὲ ὀφθαλμοὺς, οὐδὲ ὦτα, οὐδὲ ῥῖνας δηλονότι, οὐδὲ γλῶτταν. Τί οὖν, συναίσθησιν ὥσπερ ἡμεῖς τῶν ἐντὸς ἡμῶν, ἢ ὁμοίως κατὰ φύσιν ἐχόντων, ἠρέμησις, οὐδὲ

IV. Sed numquid actus animæ ad inferiora demissus semper est in corpore? Nequaquam. Si enim ad superna convertimur, simul ille convertitur. Quid ergo de actu ejusmodi sive parte animæ mundi dicemus? numquid ea ad superiora conversa hæc quoque hinc avertitur? Profecto non consensit omnino hæc anima parti ipsius infimæ, neque processit, neque descendit: sed illa manente mundi corpus annectitur, ac velut accenditur lumineque perfunditur: cumque mundus in tuto sit collocatus, ideoque minime perturbetur, merito animam non perturbat. Quid ergo? nihilne sentit omnino? visum quidem non habet mundus, Timæus inquit: quoniam neque oculos: non habet auditum, ideoque nec aures, neque nares [videlicet] neque linguam. Habetne igitur consensionem quandam, quodammodo, quæ in ipso sunt, percipientem, qualem in nobis nos experimur? At forsan, cum semper secundum naturam in eo cuncta se similiter habeant, quies in eo est,

ἡδονή; πάρεστιν οὖν καὶ τὸ φυτικόν, οὐ παρόν, καὶ τὸ αἰσθητικὸν ὡσαύτως. Ἀλλὰ περὶ μὲν τοῦ κόσμου ἐν ἄλλοις· νῦν δέ, ὅσον ἐφήπτετο ἡ ἀπορία αὐτοῦ, εἴρηται.

quantum spectat ad sentiendum, neque voluptas inest. Adest igitur et vegetale, quasi non adsit, et sensuale similiter. Verum de mundo quidem alibi: in præsentia vero, quantum attigit dubitatio, dictum fuerit.

Anima secundum mutationes suas mutat dæmonem, quem præcipuum habet intimum, id est, potestatem animæ proximo præsidentem negotiosæ potentiæ.

Ε΄. Ἀλλ' εἰ ἐκεῖ αἱρεῖται τὸν δαίμονα καὶ εἰ τὸν βίον, πῶς ἔτι τινὸς κύριοι; ἢ καὶ ἡ αἵρεσις ἐκεῖ ἡ λεγομένη τὴν τῆς ψυχῆς προαίρεσιν καὶ διάθεσιν καθόλου καὶ πανταχοῦ αἰνίττεται. Ἀλλ' εἰ ἡ προαίρεσις τῆς ψυχῆς κυρία, καὶ τοῦτο κρατεῖ, ὃ ἂν πρόχειρον ἔχῃ μέρος ἐκ τῶν προβεβιωμένων, οὐκέτι τὸ σῶμα αἴτιον οὐδενὸς κακοῦ αὐτῇ. Εἰ γὰρ προτερεῖ τὸ τῆς ψυχῆς ἦθος τοῦ σώματος, καὶ τοῦτο ἔχει, ὃ εἵλετο, καὶ τὸν δαίμονα, φησίν, οὐκ ἀλλάττεται, οὐδὲ ὁ σπουδαῖος ἐνταῦθα γίγνεται, οὐδὲ ὁ φαῦλος. Ἆρ' οὖν δυνάμει ἐστὶν ἑκάτερος, ἐνεργείᾳ δὲ γίγνεται; τί οὖν εἰ φαύλου σώματος ὁ τὸ ἦθος σπουδαῖος τύχοι; ὁ δὲ τἀναντία; ἢ δύναται μᾶλλον καὶ ἧττον τὰ τῆς ψυχῆς ἑκατέρας ἑκάτερα τὰ σώματα παρέχεσθαι· ἐπεὶ καὶ αἱ ἄλλαι ἔξωθεν τύχαι τὴν ὅλην προαίρεσιν οὐκ ἐκβιβάζουσιν. Ὅταν δὲ λέγηται, ὡς πρῶτον οἱ κλῆροι, εἶτα τὰ τῶν βίων παραδείγματα, ἔπειτα τὰ ἐν ταῖς τύχαις, καὶ ὡς ἐκ τῶν παρόντων τοὺς βίους, κατὰ τὰ ἤθη, τὸ κύριον μᾶλλον δίδωσι ταῖς ψυχαῖς, διατιθείσαις τὰ δοθέντα πρὸς τὰ αὐτῶν ἤθη. Ὅτι γὰρ ὁ δαίμων οὗτος οὐ παντάπασιν ἔξω, ἀλλ' οὕτως ὡς μὴ συνδεδεμένος, οὐδ' ἐνεργῶν, ἡμέτερος δέ, ὡς ψυχῆς πέρι εἰπεῖν, οὐχ ὁ ἡμέτερος δέ, εἰ ὡς ἄνθρωποι τοιοίδε τὴν ὑπ' αὐτὸν ζωὴν ἔχοντες, μαρτυρεῖ τὰ ἐν τῷ Τιμαίῳ, ἃ εἰ μὲν οὕτω ληφθείη, οὐδεμίαν ἕξει μάχην, σχόντα ἄν τινα ἀσυμφωνίαν, εἰ ἄλλως ὁ δαίμων ληφθείη. Τὸ δὲ ἀποπληρωτὴν ὧν τις εἵλετο, καὶ αὐτὸ σύμφωνον· οὔτε γὰρ πολὺ κατωτέρω ἐᾷ ἐλθεῖν εἰς τὸ χεῖρον ὑπερκαθήμενος· ἀλλ' ἐκεῖνο ἐνεργεῖ μόνον τὸ ὑπ' αὐτὸν οὔτε ὑπεράνω αὐτοῦ, οὔτε εἰς ἴσον· οὐ γὰρ δύναται ἄλλο γενέσθαι, ἢ ἧ ἐστι.

V. Proinde si anima illic eligit dæmonem atque vitam, quomodo ulterius actionis alicujus domini sumus? Forsan, quæ illic electio dicitur, subobscure indicat propositum affectionemque animæ communiter et ubique. At si electio animæ domina est, eaque pars superat, quam ex superioris vitæ actis promptiorem habet, non ulterius corpus mali alicujus causa animæ est dicendum. Si enim ipse mos animæ prærogativa quadam antecedit *corpus, idque, quod elegit, habet, et dæmonem (ut Plato inquit) non commutat, nimirum neque bonus hic fit, neque malus. Fortasse potentia quidem est uterque, actu vero fit. Quid ergo dicendum, si quando, qui probos habet mores, in corpus incidat malum? atque vicissim malis imbutus moribus, bonum corpus aliquando nanciscatur? Forsan possunt magis minusve, quæ ad animam utramque pertinent, utraque corpora sic aut sic afficere: quandoquidem et aliæ externæ fortunæ totam prorsus electionem nequaquam expellunt. Quando vero dicitur primo quidem sortes exstare, deinde vitarum exempla proponi, post hæc fortunas sequi: rursus ex præsentibus propositisque vitas eligi secundum mores: hæc, inquam, omnia auctoritatem potius tribuunt animabus ad mores suos, quæ data sunt, componentibus. Quod igitur hic dæmon non omnino extrinsecus sit, sed ita se habeat, quasi neque colligatus, neque rursus proprie operans: sit autem noster, quoniam de anima [et aliquid animæ] dici possit, neque tamen noster, qua ratione nos tales quidam homines sumus vitam talem sub ipso habentes, testimonio nobis esse possunt, quæ in Timæo tractantur: quæ quidem si hac ratione accipiantur, nulla sequetur dissonantia: si autem aliter dæmon accipiatur, dissonantia quædam sequitur. Rursus quod sit dæmonem esse eorum, quæ quis elegerit, expletorem, id quoque consonat: nobis namque præsidens non sinit longe inferius ad id, quod est deterius, prolabi: sed illud agit solum, quod sub ipso est, neque superius ipso, neque æqualiter: non enim potest aliud fieri, quam qua ratione exsistit.

Anima vivens intelligentia pro dæmone habet deum: dæmon non cogit animam. Item, mutari potest pro mutatione animæ. Item de judicio animarum. Item, quomodo repetunt sidera, ac vicissim relabuntur in fatum, in quo non patiuntur tantum sed etiam aliquid agunt.

Ϛ΄. Τίς οὖν ὁ σπουδαῖος; ἢ ὁ τῷ βελτίονι ἐνεργῶν· ἢ οὐκ ἂν ἦν σπουδαῖος συνεργοῦντα ἑαυτῷ τὸν δαίμονα ἔχων. Νοῦς γὰρ ἐνεργεῖ ἐν τούτῳ· ἢ οὖν δαίμων αὐτός, ἢ κατὰ δαίμονα, καὶ δαίμων τούτῳ θεός. Ἆρ' οὖν καὶ ὑπὲρ νοῦν; εἰ τὸ ὑπὲρ νοῦν δαίμων αὐτῷ. Διὰ τί οὖν οὐκ ἐξ ἀρχῆς; ἢ διὰ τὸν θόρυβον τὸν ἐκ τῆς γενέσεως· ὑπάρχει δὲ ὅμως καὶ πρὸ λόγου ἡ κίνησις ἡ ἔνδοθεν ὀρεγομένη τῶν αὑτῆς. Πάντως οὖν κατορθοῖ, ἢ οὐ πάντως; εἴπερ οὕτως ἡ ψυχὴ διαθέσεως ἔχει ὡς ἐν τούτοις τοῖς τοιοῖσδε τοιάδε οὖσα, τοῦτον ἔχειν βίον, καὶ ταύτην προαίρεσιν. Ὁ μέντοι δαίμων οὗτος, ὃν λέγομεν, ἀγαγὼν λέγεται εἰς ᾅδου, οὐκέτι ὁ αὐτὸς μένειν, ἐὰν μὴ τὰ αὐτὰ ἕληται πάλιν. Πρὸ δὲ τοῦ πῶς; τὸ δὴ ἀγαγεῖν εἰς τὴν κρίσιν, τὸ εἰς τὸ αὐτὸ

VI. Quisnam igitur probus est, quidve agit? Fortasse probus est, in quo id, quod est, melius operatur: alioquin non esset probus, si dæmonem haberet secum cooperantem. Intellectus enim in hoc agit; aut igitur dæmon ipse est, aut secundum dæmonem: atque dæmon huic est deus. Numquid igitur etiam super intellectum? siquidem id, quod super intellectum est, ipsi dæmon exsistit. Sed cur non ab initio statim hoc munere quis fruitur? Forsan ob perturbationem ab ipsa generatione vehementer illatam. Adest tamen etiam ante rationis discursum intimus quidam motus, ea, quæ sibi consentanea sunt, appetens. Numquid omnino corrigit dirigitque prorsus ad optimum? Forsan haud omnino: siquidem anima sic est affecta, ut in his utique talibus ipsa quoque talia quædam exsistens, hanc habeat vitam, et hanc electionem atque propositum. Præterea hic dæmon, de quo verba facimus, deducere animam ad inferos dicitur: neque idem omnino manere, nisi forte anima rursus eadem eligat. Ante id vero quomodo se habet? dicitur utique adducere ad judicium,

σχῆμα ἐλθεῖν μετὰ τὴν ἀπογένεσιν, ὃ εἶχε πρὸ τῆς γενέσεως· εἶτα, ὥσπερ ἀπ' ἀρχῆς ἄλλης, τὸν μεταξὺ τῆς ὕστερον γενέσεως χρόνον ταῖς κολαζομέναις πάρεστιν· ἢ οὐδὲ βίος αὐταῖς, ἀλλὰ δίκη. Τί δὲ ταῖς εἰς θήρεια σώματα εἰσιούσαις ἔλαττον ἢ δαίμων; ἢ πονηρός γε, ἢ εὐήθης; ταῖς δὲ ἄνω, ἢ τῶν ἄνω, αἱ μὲν ἐν αἰσθητῷ, αἱ δὲ ἔξω. Αἱ μὲν οὖν ἐν αἰσθητῷ, ἢ ἐν ἡλίῳ ἢ ἐν ἄλλῳ τῶν πλανωμένων, αἱ δ' ἐν τῇ ἀπλανεῖ ἑκάστη, καθὸ λογικῶς ἐνήργησεν ἐνταῦθα· χρὴ γὰρ οἴεσθαι καὶ κόσμον εἶναι ἐν ψυχῇ ἡμῶν μὴ μόνον νοητόν, ἀλλὰ καὶ ψυχῆς τῆς κόσμου ὁμοειδῆ διάθεσιν. Νενεμημένης οὖν κἀκείνης εἴς τε τὴν ἀπλανῆ καὶ τὰς πλανωμένας κατὰ δυνάμεις διαφόρους, ὁμοειδεῖς ταύταις ταῖς δυνάμεσι καὶ τὰς παρ' ἡμῖν εἶναι, καὶ ἐνέργειαν εἶναι παρ' ἑκάστης· καὶ ἀπαλλαγείσας ἐκεῖ γίγνεσθαι πρὸς ἄστρον τὸ σύμφωνον τῷ ἐνεργήσαντι καὶ ζήσαντι ἤθει καὶ δυνάμει· καὶ τοιούτῳ θεῷ καὶ δαίμονί γε, ἢ αὐτῷ τούτῳ χρήσεται, ἢ τῷ ὑπὲρ ταύτην τὴν δύναμιν. Σκεπτέον δὲ τοῦτο [τί] τὸ βέλτιον· τὰς δὲ ἔξω γενομένας τὴν δαιμονίαν φύσιν ὑπερβεβηκέναι, καὶ πᾶσαν εἱμαρμένην γενέσεως, καὶ ὅλως ἐν τῷδε τῷ ὁρατῷ, ἕως ἐστὶν ἐκεῖ· συνανενεχθείσης καὶ τῆς ἐν αὐτῇ φιλογενέσεως οὐσίας, ἣν εἴ τις λέγοι ταύτην εἶναι τὴν περὶ τὰ σώματα γιγνομένην μεριστήν, συμπληθύνουσαν ἑαυτὴν καὶ συμμερίζουσαν τοῖς σώμασιν, ὀρθῶς λέξει. Μερίζεται δὲ οὐ μεγέθει· τὸ γὰρ αὐτὴ ἐν πᾶσιν ὅλον, καὶ πάλιν ἕν, καὶ ἐξ ἑνὸς ζῴου ἀεὶ πολλὰ γεννᾶται, ταύτης μεριζομένης οὕτως ὥσπερ καὶ ἐκ τῶν φυτῶν· περὶ τὰ σώματα γὰρ καὶ αὐτὴ μεριστή· καὶ ὅτε μὲν μένουσα ἐπὶ τοῦ αὐτοῦ, δίδωσιν, οἷον ἡ ἐν τοῖς φυτοῖς· ὅπου δὲ ἀπελθοῦσα, πρὶν ἀπελθεῖν ἔδωκεν, οἷον καὶ ἐν τοῖς ἀνῃρημένοις φυτοῖς, ἢ ἐν ζῴοις ἀποθανοῦσιν, ἐκ σήψεως πολλῶν ἐξ ἑνὸς γεννηθέντων· συνεργεῖν δὲ καὶ τὴν ἐκ τοῦ παντὸς τὴν τοιαύτην δύναμιν, ἐνταῦθα τὴν αὐτὴν οὖσαν. Πάλιν δὲ ἐὰν ἴῃ ἡ ψυχὴ ἐνταῦθα, ἢ τὸν αὐτόν, ἢ ἄλλον ἔχει δαίμονα, κατὰ τὴν ζωήν, ἣν ποιήσεται. Ἐπιβαίνει οὖν μετὰ τούτου τοῦ δαίμονος, ὥσπερ σκάφους, τοῦδε τοῦ παντὸς πρῶτον· εἶτα παραλαβοῦσα ἡ τοῦ ἀτράκτου λεγομένη φύσις κατέταξεν ὥσπερ ἐν νηΐ, εἰς τινα ἕδραν τύχης· περιαγούσης δὲ τῆς περιφορᾶς, ὥσπερ πνεύματος τὸν ἐπὶ τῆς νεὼς καθήμενον ἢ καὶ φερόμενον, πολλαὶ καὶ ποικίλαι γίγνονται καὶ θέαι, καὶ μεταθέσεις, καὶ συμπτώματα, καὶ ὥσπερ ἐν αὐτῇ τῇ νηΐ, ἢ παρὰ τοῦ σάλου τῆς νεώς, ἢ παρ' αὐτοῦ κινηθέντος ὁρμῇ οἰκείᾳ, ἣν ἂν σχοίη τῷ ἐπὶ νεὼς εἶναι παρὰ τὸν ἑαυτοῦ τρόπον. Οὐ γὰρ ὁμοίως ἐν τοῖς αὐτοῖς πᾶς κινεῖται, ἢ βούλεται, ἢ ἐνεργεῖ. Γίγνεται οὖν διάφορα διαφόροις, ἢ ἐκ τῶν αὐτῶν, ἢ διαφόρων προσπεσόντων, ἢ τὰ αὐτὰ ἄλλοις, κἂν διάφορα τὰ προσπεσόντα· τοιοῦτον γὰρ ἡ εἱμαρμένη.

in eandem figuram pervenire post quendam generationis exitum, quam ante generationem quandoque habuerat: deinde tanquam ab alio quodam principio medium id temporis spatium, quod inter praecedentem et sequentem generationem fluit, daemon animabus poenam luentibus imminet; an forsan non tam vita tunc illis est, quam judicium atque poena. Quid vero? animabus bruta ingredientibus corpora minusne aliquid, quam daemon, adest? Forsan malus daemon vel fatuus et ignavus. Sed animabus ad superiora progressis quidnam numinis adest? Profecto ex earum numero aliae quidem in mundo sensibili adhuc vitam agunt, aliae vero jam extra mundum: et quae in mundo sensibili, aliae penes solem vel alium quemlibet planetarum, aliae vero in firmamento: singulae videlicet, quatenus hic actiones suas ratione direxerant. Putandum enim est, in anima nostra mundum esse non tantum intelligibilem, sed etiam dispositionem quandam ipsi animae mundi conformem. Cum igitur illa in sphaeram inerraticam atque etiam erraticas secundum vires differentes distributa sit, similiter et nobis vires inesse viribus illius conformes, et a singulis viribus actiones proprias emanare: tum vero animas, quae hinc illuc abierunt, ad stellam accedere convenientem potissimum mori atque potentiae, quibus in operando ac vivendo maxime usi sumus, talique deo et daemoni congruentem: ubi anima vel hoc ipso eodem utetur, vel quodam huic potentiae praesidente. Considerandum vero est, quidnam id melius sit. At animas extra sensibilem mundum profectas existimandum est naturam daemonicam transcendisse, omneque generationis fatum, omnemque hujus mundi necessitatem, quamdiu in mundo intelligibili habitat: praeterea retraxisse secum essentiam quoque illam, quae in ipsa est cupida generandi: quam si quis dixerit esse essentiam illam, quam Timaeus ait circa corpora partibilem fieri, commultiplicantem videlicet se ipsam condividentemque corporibus, recte utique dicet. Dividitur autem non magnitudine quidem, idem namque in omnibus totum eriusque unum, atque ex uno animali semper multa gignuntur: hac scilicet natura ita divisa quemadmodum et ex plantis: nam et haec natura est circa corpora divisibilis, et quando manens in eodem continuat vitam, sicut in plantis. Ubi vero discedit, priusquam discedat, jam dedit vitam, sicut in truncatis arboribus, vel animalibus mortuis, ubi ex putrefactione ex uno multa nascuntur. Arbitrandum quoque est, conferre ad idem virtutem quoque ejusmodi influentem ab universo eandemque hic existentem. Rursus autem, si revertatur huc anima, vel eundem, vel alium assumit daemonem secundum vitam, quam actura sit. Ingreditur igitur primum una cum hoc daemone quasi cymba id universum, deinde natura hujus, qui a Platone fusus dicitur mundanus atque fatalis, comprehendens animam velut in navi, certo quodam ordine collocat in quadam sede fortunae. Circumducente vero mundana revolutione, quasi vento [animam] in navi sedentem, vel etiam deambulantem, multa variaque contingunt spectacula, item transmutationes et casus, quemadmodum in ipsa navi, vel jactatione navis, vel ab ipso, qui movetur impetu proprio, quem quidem habet ex eo, quod in navi modo quodam suo se habet. Non enim similiter in eisdem quilibet agitatur aut vult aut agit. Fiunt ergo aut differentia differentibus, vel ab eisdem vel a differentibus incidentibus, aut eadem fiunt aliis, quamvis differentia sint quae incidunt. Tale enim quiddam est agitque fatum.

# ΕΝΝΕΑΔΟΣ Γ

## ΛΟΓΟΣ Ε.

### ΠΕΡΙ ΕΡΩΤΟΣ.

# ENNEADIS TERTIÆ

## LIBER V.

### DE AMORE.

(201, 202.) [527—529]

De amore illo, qui passio quædam est, quid sit, unde sit, quot habeat species.

Α'. Περὶ ἔρωτος, πότερα θεός τις ἢ δαίμων, ἢ πάθος τι τῆς ψυχῆς; ἢ ὁ μὲν θεός τις ἢ δαίμων, τὸ δέ τι καὶ πάθος, καὶ ποῖόν τι ἕκαστον, ἐπισκέψασθαι ἄξιον τάς τε τῶν ἄλλων ἀνθρώπων ἐπινοίας ἐπιόντας, καὶ ὅσαι ἐν φιλοσοφίᾳ ἐγένοντο περὶ τούτων· καὶ μάλιστα ὅσα ὁ θεῖος Πλάτων ὑπολαμβάνει, ὃς δὴ καὶ πολλὰ πολλαχῆ τῶν ἑαυτοῦ περὶ ἔρωτος ἔγραψεν· ὃς δὴ οὐ μόνον ἐν ταῖς ψυχαῖς ἐγγιγνόμενόν τι πάθος εἴρηκεν εἶναι, ἀλλὰ καὶ δαίμονα φησὶν αὐτόν, καὶ περὶ γενέσεως αὐτοῦ διεξῆλθεν, ὅπως καὶ ὅθεν ἐστὶ γεγενημένος. Περὶ μὲν οὖν τοῦ πάθους, οὗ τὸν ἔρωτα αἰτιώμεθα, ὅτι ἐγγίγνεται ἐν ψυχαῖς ἐφιεμέναις καλῷ τινι συμπλακῆναι, καὶ ὡς ἡ ἔφεσις αὕτη, ἡ μέν ἐστι παρὰ σωφρόνων αὐτῷ τῷ κάλλει οἰκειωθέντων, ἡ δὲ καὶ τελευτὴν ἐθέλει εἰς αἰσχροῦ τινος πρᾶξιν, οὐδεὶς ἀγνοεῖ δήπου. Ὅθεν δὲ τὴν ἀρχὴν ἔχει ἑκάτερος, τὸ ἐντεῦθεν ἐπισκοπεῖν διὰ φιλοσοφίας προσήκει· ἀρχὴν δὲ εἴ τις θεῖτο τὴν αὐτοῦ κάλλους πρότερον ἐν ταῖς ψυχαῖς ὄρεξιν καὶ ἐπίγνωσιν καὶ συγγένειαν καὶ οἰκειότητος ἄλογον σύνεσιν, τυγχάνοι ἄν, οἶμαι, τοῦ ἀληθοῦς τῆς αἰτίας. Τὸ μὲν γὰρ αἰσχρὸν ἐναντίον καὶ τῇ φύσει καὶ τῷ θεῷ. Καὶ γὰρ ἡ φύσις πρὸς τὸ καλὸν βλέπουσα ποιεῖ, καὶ πρὸς τὸ ὡρισμένον βλέπει, ὅ ἐστιν ἐν τῇ τοῦ ἀγαθοῦ συστοιχίᾳ· τὸ δὲ ἀόριστον αἰσχρὸν καὶ τῆς ἑτέρας συστοιχίας· τῇ δὲ φύσει γένεσις ἐκεῖθεν ἐκ τοῦ ἀγαθοῦ, καὶ δῆλον ὅτι τοῦ καλοῦ· ὅτῳ δέ τις ἄγεται καὶ ἔστι συγγενής, τούτου οἰκείωται καὶ πρὸς τὰς εἰκόνας· εἰ δέ τις ταύτην τὴν αἰτίαν ἀνέλοι, ὅπῃ τὸ πάθος γίγνεται, καὶ δι' ἃς αἰτίας, οὐχ ἕξει λέγειν, οὐδ' ἐπ' αὐτῶν τῶν διὰ μίξιν ἐρώντων. Καὶ γὰρ οὗτοι τίκτειν βούλονται ἐν τῷ καλῷ· ἐπείπερ ἄτοπον βουλομένην τὴν φύσιν καλὰ ποιεῖν ἐν αἰσχρῷ γεννᾶν βούλεσθαι. Ἀλλὰ τοῖς μὲν τῇδε γεννᾶν κινουμένοις ἀρκεῖ τὸ τῇδε καλὸν ἔχειν. Ὅπερ πάρεστιν ἐν εἰκόσι καὶ σώμασιν, ἐπεὶ μὴ τὸ ἀρχέτυπον αὐτοῖς πάρεστιν, ὅ ἐστιν αἴτιον αὐτοῖς τοῦ καὶ τοῦδε ἐρᾶν. Καὶ εἰς ἀνάμνησιν μὲν ἐκείνου ἀπὸ τοῦδε ἐλθοῦσιν ἀγαπᾶται τοῦτο ὡς εἰκών· μὴ ἀναμνησθεῖσι δὲ ὑπ' ἀγνοίας τοῦ πάθους, ἀληθὲς τοῦτο φαντάζεται, καὶ σώφροσι μὲν οὖσιν ἀναμάρτητος ἡ πρὸς τὸ τῇδε καλὸν οἰκείωσις· ἡ δὲ πρὸς μίξιν ἔκπτωσις, ἁμαρτία. Καὶ ὅτῳ μὲν καθαρὸς ὁ τοῦ καλοῦ ἔρως, ἀγαπητὸν τὸ κάλλος μόνον, εἴτε ἀναμνησθέντι, εἴτε καὶ μή. Ὅτῳ δὲ μέμικται καὶ ἄλλη τοῦ ἀθάνατον εἶναι, ὡς ἐν θνητῷ, ἐπιθυμία, οὗτος ἐν τῷ ἀειγενεῖ καὶ ἀιδίῳ τὸ καλὸν ζητεῖ, καὶ

I. Operæ pretium est de amore considerare, utrum deus quidam sit, vel dæmon, vel passio quædam animæ: an potius partim quidem deus quidam sive dæmon, partim vero sit passio quædam. Præterea quale potissimum, quidve horum quodlibet sit dicendum. Percurrere quoque expedit cum aliorum hominum hac de re opiniones, præcipue philosophicas, tum vel maxime Platonis divini sententiam, qui multis in locis multa de amore conscripsit: neque solum passionem quandam animis influentem esse dixit, verum etiam dæmonem appellavit amorem, deque hujus generatione disseruit, quo pacto et unde sit genitus. Principio fere nullus ignorat amatoriam passionem influere animabus concupiscentibus pulchro se alicui commiscere, appetitumque ejusmodi partim esse penes temperatos, jam factos ipsius pulchri familiare, partim vero in turpem quandam desinere cupere actionem. At unde alter1us uterque proveniat, deinceps philosophice contemplari debemus. Si quis igitur principium ejus ponat antiquam ipsius pulchri insitam animabus appetitionem, notionem, cognationem, et quandam sine rationis actu cognationis perceptionem, is a veritate causæ (ut arbitror) minime aberrabit: nempe, quod turpe est, id naturæ est deoque contrarium. Natura enim pulchrum spectans agit: spectat autem determinatum, quod quidem in boni ordine collocatur, indeterminatum vero turpe est ordinisque contrarii: sed origo naturæ inde pendet a bono atque pulchro. Quisquis autem aliquo delectatur quasi cognato, ad imagines quoque ejus quasi affines afficitur: at si quis hanc sustulerit causam, deinde, qua ratione quasve ob causas passiones amatoriæ oriantur, explicare non poterit, neque etiam in amoribus veneream poscentibus mixtionem. Nam et hi in pulchro quodam procreare percupiunt, quandoquidem dictu perabsurdum est, naturam, pulchra volentem facere, velle in turpi aliquo generare. At enim illis, qui, ut hic generent, incitantur, sufficit, quod hic pulchrum est, assequi. Quod quidem in imaginibus adest atque corporibus: siquidem principale exemplar iis minime adest, quod quidem causa ipsis est pulchri etiam hujus amandi. Proinde penes illos, qui ab hoc pulchro in superni pulchri reminiscentiam revocantur, pulchrum hoc velut imago diligitur: at penes illos, qui minime recordantur ob ignorantiam passionis, nostra hæc vera pulchritudo censetur: ac si temperati sint, nulla cum hoc pulchro familiaritas vitio caret; lapsus vero intemperantium in veneream mixtionem est peccatum. Proinde, qui puro pulchri amore afficitur, sola pulchritudine est contentus, sive recordetur, sive non recordetur. Qui autem admixtam insuper habet aliam quoque concupiscentiam immortalitatis in re ipsa mortali pro viribus comparandæ, hic in generatione perpetua perseverantiaque sempiterna pulchrum quæritat: ac dum secundum naturam procre-

κατὰ φύσιν μὲν ἰὼν σπείρει καὶ γεννᾷ ἐν καλῷ· σπείρων μὲν εἰς τὸ ἀεὶ, ἐν καλῷ δὲ διὰ συγγένειαν τοῦ καλοῦ. Καὶ γὰρ καὶ τὸ ἀΐδιον συγγενὲς τῷ καλῷ· καὶ ἡ ἀΐδιος φύσις τὸ πρώτως τοιοῦτον, καὶ τὰ ἀπ' αὐτῆς τοιαῦτα πάντα. Τὸ μὲν οὖν μὴ γεννᾷν ἐθέλον μᾶλλον αὐταρκέστερον τῷ καλῷ· τὸ δὲ ἐφιέμενον ποιῆσαι, καλόν τε ἐθέλει ποιεῖν ὑπ' ἐνδείας, καὶ οὐκ αὔταρκες· καὶ εἴπερ τοιοῦτον ποιήσει, οἴεται, εἰ ἐν καλῷ γεννήσεται, οἱ δ' ἂν ἐν παρανόμῳ καὶ παρὰ τὴν φύσιν ἐθέλωσι γεννᾷν, ἐκ τῆς κατὰ φύσιν πορείας ποιησάμενοι τὰς ἀρχὰς, γενόμενοι παράφοροι, ἐκ ταύτης οἷον ὁδοῦ ὀλισθήσαντες κεῖνται πεσόντες, οὔτε ἔρωτα γνόντες ἐφ' ὃ ἦγεν αὐτοὺς, οὔτε ἔφεσιν γεννήσεως, οὔτε χρῆσιν κάλλους εἰκόνος· οὔτε ὅ τι ἐστὶ κάλλος αὐτό. Ἀλλ' οὖν, οἵ τε σωμάτων καλῶν καὶ διὰ μίξιν ἐρῶντες, ὅτι καλά ἐστιν, ἐρῶσιν, εἴτε τὸν λεγόμενον μικτὸν ἔρωτα, γυναικῶν μὲν, ἵνα καὶ τὸ ἀεὶ, μὴ τοιούτων δὲ σφαλλόμενοι· οἱ δὲ ἀμείνους, σωφρονοῦσι μὲν ἄμφω· ἀλλ' οἱ μὲν καὶ τὸ τῇδε κάλλος σέβουσιν ἀρκούμενοι· οἱ δὲ κἀκεῖνο, ὅσοι ἀνεμνήσθησαν καὶ οὐκ ἀτιμάζουσιν οὐδὲ τοῦτο, ὡς ἂν καὶ ἀποτέλεσμά τι ὂν ἐκείνου καὶ παίγνιον. Οὗτοι μὲν οὖν περὶ τὸ καλὸν αἰσχροῦ ἄνευ· οἱ δὲ καὶ διὰ τὸ καλὸν εἰς αἰσχρὸν πεσόντες· καὶ γὰρ ἡ ἀγαθοῦ ἔφεσις ἔχει εἰς κακὸν τὴν ἔκπτωσιν πολλάκις. Καὶ ταῦτα μὲν τῆς ψυχῆς τὰ παθήματα.

ditur, serit generatque in pulchro, serens quidem in sempiternum, in pulchro autem, propter quandam ipsius pulchri cognationem. Etenim ipsum quoque sempiternum est pulchro cognatum, naturaque sempiterna primum pulchrum est, et quæ ab ipsa fiunt, pulchra omnia fiunt. Quod igitur generationem non optat, sufficiens et contentum ipso pulchro magis esse videtur: quod autem appetit generare, pulchrum quidem nititur gignere ob indigentiam quandam: unde apparet nequaquam sibi ipsi sufficere: existimat autem in faciendo, tunc demum pulchrum aliquid se facturum, si in pulchro genuerit: at vero, qui præter legem præterque naturam generare contendunt, a naturali quodam impetu cursum exordiuntur, sed naturalem transgressi viam per lubrica delabuntur, prolapsique jacent, ignorantes, quo amor ducebat eos, et quorsum generationis appetitio tendat: item qua ratione imagine pulchri sit utendum; ignorantes denique ipsum pulchrum. Profecto, qui pulchra corpora non [*corr.* etiam] commixtionis gratia diligunt, ob id ipsum, quod pulchra sunt, amant. Rursus, qui amorem sequuntur mixtum, erga mulieres, inquam, quo perpetuitas generatione servetur, neque ab hoc usquam aberrant, hi pulchritudinem perpetuitatemque simul exoptant atque temperati sunt ambo, quamvis aliis præstantiores alii: et qui præstantiores, partim quidem pulchritudinem hanc nostram quasi eis sufficientem colunt, partim vero pulchritudinem quoque ipsam, qui scilicet recordantur, neque tamen pulchritudinem hanc aspernantur, utpote qui existiment hanc esse effectum quendam ludumque illius. Hi ergo absque turpitudine versantur in pulchro: alii vero per pulchrum in turpe labuntur: appetitus enim boni sæpe labitur et in malum. Atque hæ quidem sunt animæ passiones.

De duplici Venere: de amoribus geminis, qui velut aliquid subsistens generantur in Venere.

Β'. Περὶ δὲ τοῦ [ἔρωτος], ὃν θεὸν τίθενται, οὐ μόνον οἱ ἄλλοι ἄνθρωποι, ἀλλὰ καὶ θεολόγοι, καὶ Πλάτων πολλαχοῦ, Ἀφροδίτης Ἔρωτα λέγων, καὶ ἔργον αὐτῷ εἶναι καλῶν τε ἔφορον παίδων καὶ κινητικὸν τῶν ψυχῶν πρὸς τὸ ἐκεῖ κάλλος, ἢ καὶ ἐπαύξειν τὴν ἤδη γενομένην πρὸς τὸ ἐκεῖ ὁρμὴν, περὶ τούτου μάλιστα φιλοσοφητέον, καὶ δὴ καὶ ὅσα ἐν Συμποσίῳ εἴρηται παραληπτέον, ἐν οἷς οὐκ Ἀφροδίτης γενεθλίοις, [ἀλλ'] ἐκ τῆς Πενίας καὶ τοῦ Πόρου. Ἔοικε δὲ ὁ λόγος καὶ περὶ τῆς Ἀφροδίτης ἀπαιτήσειν τι εἰπεῖν, εἴτ' οὖν ἐξ ἐκείνης, εἴτε μετ' ἐκείνης, γεγονέναι λέγεται ὁ Ἔρως. Πρῶτον οὖν, τίς ἡ Ἀφροδίτη· εἶτα πῶς, ἢ ἐξ αὐτῆς, ἢ σὺν αὐτῇ, ἢ τίνα τρόπον ἔχει τὸν αὐτὸν, τὸ ἐξ αὐτῆς τε ἅμα καὶ σὺν αὐτῇ. Λέγομεν δὴ τὴν Ἀφροδίτην εἶναι διττὴν, τὴν μὲν Οὐρανίαν, Οὐρανοῦ λέγοντες εἶναι· τὴν δὲ ἐκ Διὸς καὶ Διώνης, τὴν τῶν τῇδε ἐφαπτομένην ἔφορον γάμων· ἀμήτορα δὲ ἐκείνην, καὶ ἐπέκεινα γάμων, ὅτι μηδὲ ἐν οὐρανῷ γάμοι. Τὴν δὲ Οὐρανίαν λεγομένην, ἐκ Κρόνου, νοῦ ὄντος ἐκείνου, ἀνάγκη ψυχὴν θειοτάτην εἶναι, εὐθὺς ἐξ αὐτοῦ ἀκήρατον ἀκηράτου μείνασαν ἄνω, ὡς μηδὲ εἰς τὰ τῇδε ἐλθεῖν, μήτε ἐθελήσασαν, μήτε δυναμένην, ὅτι ἦν φύσεως, μὴ κατὰ τὰ κάτω φῦσαν βαίνειν, χωριστὴν οὖσαν τινὰ ὑπόστασιν, καὶ ἀμέτοχον ὕλης οὐσίαν. Ὅθεν αὐτὴν τούτῳ ᾐνίττοντο τῷ ἀμήτορα εἶναι, ἣν δὴ καὶ θεὸν ἄν τις δικαίως, οὐ δαίμονα, εἴποι, ἄμικτον οὖσαν καὶ καθαρὰν ἐφ' ἑαυτῆς μένουσαν· τὸ γὰρ εὐθὺς ἐκ νοῦ πεφυκὸς καθαρὸν καὶ αὐτὸ, ἅτε ἰσχῦον καθ' ἑαυτὸ

II. Circa vero amorem illum in primis videtur philosophandum, quem deum affirmant, non solum ceteri, verum etiam theologi atque Plato, frequenter Amorem Veneris dicens, officiumque illi attribuens, ut dux pulchrorum sit puerorum, instigatorque animarum ad supernam pulchritudinem attingendam, aut saltem instinctum ad illam jam natum exaugeat. Huc adducenda sunt, quæcunque in Platonis Convivio pertractantur, ubi scribitur [non] in Veneris natalibus Amorem [sed] ex indigentia Copiaque progenitum. Videtur præterea disputatio præsens de Venere nonnihil exigere: utrum videlicet ex Venere, an potius una cum Venere Amor natus esse dicatur: et primo quidem quænam sit Venus, deinde quomodo se habeat, an ex ipsa, an simul cum ipsa, an potius quodammodo Amorem habeat ex se ipsa simul unaque cum ipsa progenitum. Dicimus itaque duplicem esse Venerem, alteram quidem cælestem, cæli stirpem asseverantes: alteram vero ex Jove et Dione natam, humanorum conjugiorum ducem, hæc ipsa cominus attingentem: at illam sine matre et ante conjugia, quoniam nuptiæ in cælo non fiunt. Illam sane cælestem, quam ex Saturno, id est intellectu, genitam dicunt, necesse est, esse animam divinissimam, proxime ab ipso intellectu inviolabili inviolabilem natam, superneque permanentem, utpote quæ ad hæc mundana descendere neque velit, neque etiam valeat, propterea, quod ea prorsus natura prædita est, quæ ad inferiora non inclinatur: necesse, inquam, est, eam esse substantiam quandam separatam et essentiam materiæ nullo modo participem. Qua de causa subobscure dixerunt sine materia esse, ubi sine matre esse dixerunt. Quam quidem deum potius, quam dæmonem merito nominare debemus: quippe cum sincera puraque sit, et in se ipsa consistens. Quod enim ex mente proxime nascitur, ipsum quoque est purum, utpote quod validissi-

τῷ ἐγγύθεν ἅτε καὶ τῆς ἐπιθυμίας οὔσης αὐτῇ, καὶ τῆς ἱδρύσεως πρὸς τὸ γεννῆσαν, ἱκανὸν ὂν κατέχειν ἄνω· ὅθεν οὐδ' ἂν ἐκπέσοι ψυχὴ νοῦ ἐξηρτημένη, πολὺ μᾶλλον, ἢ ἥλιος ἂν ἔχοι ἐξ αὐτοῦ ὅσον αὐτὸν περιλάμπει φῶς τὸ ἐξ αὐτοῦ, εἰς αὐτὸν συνηρτημένον· ἑπομένη δὴ τῷ Κρόνῳ, ἤ, εἰ βούλει, τῷ πατρὶ τοῦ Κρόνου, Οὐρανῷ, ἐνήργησέ τε πρὸς αὐτὸν καὶ ᾠκειώθη, καὶ ἐρασθεῖσα Ἔρωτα ἐγέννησε, καὶ μετὰ τούτου πρὸς αὐτὸν βλέπει, καὶ ἡ ἐνέργεια αὐτῆς ὑπόστασιν καὶ οὐσίαν εἰργάσατο· καὶ ἄμφω ἐκεῖ βλέπει, καὶ ἡ γειναμένη, καὶ ὁ καλὸς Ἔρως ὁ γεγεννημένος, ὑπόστασις πρὸς ἄλλο καλὸν ἀεὶ τεταγμένη, καὶ τὸ εἶναι ἐν τούτῳ ἔχουσα μεταξύ, ὥσπερ ποθοῦντος καὶ ποθουμένου, ὀφθαλμὸς ὁ τοῦ ποθοῦντος, παρέχων μὲν τῷ ἐρῶντι δι' αὐτοῦ τὸ ὁρᾷν τὸ ποθούμενον· προτρέχων δὲ αὐτὸς καί, πρὶν ἐκείνῳ παρασχεῖν τὴν τοῦ ὁρᾷν δι' ὀργάνου δύναμιν, αὐτὸς πιμπλάμενος τοῦ θεάματος· πρότερος μέν, οὐ μὴν ὁμοίως ὁρῶν, τῷ ἐν τῷ στηρίζειν μὲν ἐκείνῳ τὸ ὅραμα, αὐτὸν δὲ καρποῦσθαι τὴν θέαν τοῦ καλοῦ αὐτὸν παραθέουσαν.

num est secundum se ipsum intellectus ipsius propinquitate, ingenitumque habeat appetitum ad se ipsum in genitore stabiliendum, genitore, inquam, potente ipsum sufficienter apud superos detinere: quo fit, ut nunquam anima illa decidat, quae a vestigio pendet ex mente, idque munus habet multo magis, quam lumen soli circumfusum, perpetuo ex ipso prodeat et referatur in ipsum. Sequens igitur continuo Saturnum, aut si velis patrem etiam Saturni, Caelum, actum suum reflexit ad ipsum, seque illi conciliavit, et Amorem amando progenuit, cumque hoc ipso amore suspicit ipsum, atque hujus animae actus substantiam essentiamque produxit. Tum vero utrumque illuc intuetur cum ipsa genitrix, tum genitus pulcher Amor, substantia quidem ad aliud pulchrum semper intenta, habensque esse hoc ipso in medio, scilicet inter desiderantem atque desideratum. Et profecto desiderantis est oculus, praebens quidem amanti, ut per ipsum cernat amatum, praecurrens autem ipse, et antequam illi praebeat facultatem videndi per instrumentum, ipse jam spectaculo sive spectamine plenus: prior quidem, inquam, non tamen similiter contemplatus, ex eo, quod sistit quidem illi spectamen, ipse vero velut fructu vescitur visione pulchri ipsi mirifice circumfusa.

Confirmatio superiorum.

Γ'. Ὑπόστασιν δὲ εἶναι καὶ οὐσίαν ἐξ οὐσίας, ἐλάττω μὲν τῆς ποιησαμένης, οὖσαν δὲ ὅμως, ἀπιστεῖν οὐ προσήκει. Καὶ γὰρ ἡ ψυχὴ ἐκείνη οὐσία ἦν γενομένη ἐξ ἐνεργείας τῆς πρὸ αὐτῆς, καὶ ζῶσα, καὶ τῆς τῶν ὄντων οὐσίας, καὶ πρὸς ἐκεῖνο ὁρώσης, ὃ πρώτη ἦν οὐσία, καὶ σφόδρα ὁρώσης. Καὶ πρῶτον ἦν ὅραμα αὐτῇ τοῦτο, καὶ ἑώρα ὡς πρὸς ἀγαθὸν αὑτῆς, καὶ ἔχαιρεν ὁρῶσα· καὶ τὸ ὅραμα τοιοῦτον ἦν, ὡς μὴ πάρεργον ποιεῖσθαι τὴν θέαν τὸ ὁρῶν, ὡς τῇ οἷον ἡδονῇ καὶ τάσει τῇ πρὸς αὐτὸ καὶ σφοδρότητι τῆς θέας, γεννῆσαί τι παρ' αὐτῆς, ἄξιον αὐτῆς καὶ τοῦ ὁράματος, ἐξ οὖν τοῦ ἐνεργοῦντος συντόνως περὶ τὸ ὁρώμενον, καὶ ἐκ τοῦ οἷον ἀπορρέοντος ἀπὸ τοῦ ὁρωμένου, ὄμμα πληρωθέν, οἷον μετ' εἰδώλου ὅρασις, Ἔρως ἐγένετο· τάχα που καὶ τῆς προσηγορίας ἐντεῦθεν μᾶλλον αὐτῷ γεγενημένης, ὅτι ἐξ ὁράσεως τὴν ὑπόστασιν ἔχει· ἐπεὶ τό γε πάθος ἀπὸ τούτου ἔχοι ἂν τὴν ἐπωνυμίαν, εἴπερ πρότερον οὐσία μὴ οὐσίας· καίτοι τό γε πάθος ἐρᾷν λέγεται, καὶ εἴπερ ἔρως αὐτὸν ἔχει τοῦδε, ἁπλῶς δὲ οὐκ ἂν λέγοιτο ἔρως. Ὁ μὲν δὴ τῆς ἄνω ψυχῆς ἔρως τοιοῦτος ἂν εἴη· ὁρῶν καὶ αὐτὸς ἄνω, ἅτε ὀπαδὸς ὢν ἐκείνης καὶ ἐξ ἐκείνης καὶ παρ' ἐκείνης γεγενημένος, καὶ θεῶν ἀρκούμενος θέᾳ· χωριστὴν δὲ ἐκείνην τὴν ψυχὴν λέγοντες τὴν πρώτως ἐλλάμπουσαν τῷ οὐρανῷ, χωριστὸν καὶ τὸν ἔρωτα τοῦτον θησόμεθα, εἰ καὶ ὅτι μάλιστα οὐρανίαν τὴν ψυχὴν εἴπομεν· ἐπεὶ καὶ ἐν ἡμῖν λέγοντες τὸ ἐν ἡμῖν ἄριστον εἶναι, χωριστὸν ὅμως τιθέμεθα αὐτὸ εἶναι· μόνον ἐκεῖ ἔστω, οὗ ἡ ψυχὴ ἡ ἀκήρατος. Ἐπεὶ δὲ καὶ τοῦδε τοῦ παντὸς ψυχὴν εἶναι ἔδει, ὑπέστη μετὰ ταύτης ἤδη καὶ ὁ ἄλλος ἔρως, ὄμμα καὶ ταύτης, ἐξ ὀρέξεως καὶ αὐτῆς γεγενημένος· τοῦ δὲ κόσμου οὖσα ἡ Ἀφροδίτη αὐτή, καὶ οὐ μόνον ψυχή, οὐδὲ ἁπλῶς ψυχή, καὶ τὸν ἐν τῷδε τῷ κόσμῳ ἔρωτα ἐγέννησατο

III. Esse vero substantiam essentiamque ab essentia emanantem minorem quidem generante, existentem vero simul, negare non licet. Etenim anima illa essentia est nata ex actu, qui super ipsam est, essentia, inquam, vivens, et ab ipsa entium essentia pendens, illudque suspiciens, quod prima essentia est, vehementerque suspiciens. Atqui et primum ipsius spectaculum vel spectamen id ipsum est. Quod quidem tanquam suum bonum spectat gaudetque videns; atque ipsum visum tale est, ut, quod intuetur, non negligenter intueatur, adeo, ut ipsa velut voluptate intentioneque ad ipsum visionisque vehementia aliquid generetur ab ipsa cum ea, tum spectaculo dignum: quam ob rem cum ex eo, quod intentissime agit circa spectaculum, tum ex eo, quod quasi ab ipso spectaculo defluit, imbutus oculus velut visio quaedam cum simulacro natus est Amor: qui fortasse ob hoc dictus est *Eros*, quoniam ab *horaseos*, id est visione, substantiam habet. Quando et amor, qui passio est, ab hoc habet initium: siquidem amor, qui essentia est, antecedit amorem, qui non est essentia: atqui et passio *eran*, id est amare, dicitur, siquidem amor ipsum hujus habet, simpliciter autem amor non appellatur. Amor itaque supernae animae talis exstitit, suspiciens ipse quoque sublimia, tanquam animae illius pedisequus, atque ex illa penesque illam genitus, deorumque contemplatione contentus. Cum vero animam illam separatam esse dicamus: animam, inquam, primo caelum illuminantem, non injuria hunc etiam amorem separatum esse tenebimus: etsi animam ipsam maxime caelestem esse diximus; quemadmodum optimum nostrum esse in nobis asserimus, attamen separatum etiam affirmamus. Illic ergo tantum sit ille amor, ubi est inviolabilis anima. At quoniam oportuit animam etiam mundi hujus esse, ideo comitatur hanc jam alter amor, qui est et hujus oculus ex appetitu simul atque ipsa natus. Quum autem hujus mundi sit haec Venus, neque solum anima, neque simpliciter anima, merito amorem

ἐφαπτόμενον ἤδη καὶ αὐτὸν γάμων· καὶ καθ' ὅσον ἐφάπτεται καὶ αὐτὸς τῆς ὀρέξεως τῆς ἄνω, κατὰ τοσοῦτον κινοῦντα καὶ τὰς τῶν νέων ψυχάς, καὶ τὴν ψυχήν, ᾗ συντέτακται, ἀναστρέφοντα καθ' ὅσον καὶ αὐτὴ εἰς μνήμην ἐκείνου πέφυκεν ἰέναι. Πᾶσα γὰρ ἐφίεται τοῦ ἀγαθοῦ, καὶ ἡ μεμιγμένη καὶ ἡ τινὸς γενομένη· ἐπεὶ καὶ αὕτη ἐφεξῆς ἐκείνῃ καὶ ἐξ ἐκείνης.

rursus genuit hunc in mundo regnantem, qui jam una cum Venere conjugia nuptiasque attingit. Tum vero quatenus et ipse desiderium attingit supernum, eatenus juvenum sursum provocat animas, atque animam ipsam, cujus est collega, ad superna convertit, quantum et illa in eorum memoriam potest naturaliter provocari. Omnis namque anima bonum appetit, etiam quæ mixta est alicujusque facta : quippe cum hæc anima deinceps illam sequatur emanetque ab illa.

Duo amores cuilibet animæ naturaliter insiti quasi duo sunt dæmones.

Δ'. Ἆρ' οὖν καὶ ἑκάστη ψυχὴ ἔχει ἔρωτα τοιοῦτον ἐν οὐσίᾳ καὶ ὑποστάσει; ἢ διὰ τί ἡ μὲν ὅλη ἕξει, καὶ ἡ τοῦ παντὸς ὑποστᾶ τὸν ἔρωτα, ἡ δὲ ἑκάστου ἡμῶν, οὔ; πρὸς δὲ καὶ ἡ ἐν τοῖς ἄλλοις ζώοις ἅπασι. Καὶ ἆρα ὁ Ἔρως οὗτός ἐστιν ὁ δαίμων, ὅν φασιν ἑκάστῳ συνέπεσθαι, ὁ αὐτοῦ ἑκάστου ἔρως. Οὗτος γὰρ ἂν εἴη καὶ ὁ ἐμποιῶν τὰς ἐπιθυμίας, κατὰ φύσιν ἑκάστης τῆς ψυχῆς ὀριγνωμένης, ἀνάλογον ἑκάστης πρὸς τὴν αὐτῆς φύσιν καὶ τὸν ἔρωτα γεννώσης εἴς τε ἀξίαν καὶ πρὸς οὐσίαν. Ἐχέτω δὴ ἡ μὲν ὅλη ὅλον· αἱ δὲ ἐν μέρει τὸν αὐτῆς ἑκάστη· καθ' ὅσον δὲ ἑκάστη πρὸς τὴν ὅλην ἔχει, οὐκ ἀποτετμημένη, ἐμπεριεχομένη δέ, ὡς εἶναι πάσας μίαν· καὶ ὁ ἔρως ἕκαστος πρὸς τὸν πάντα ἂν ἔχοι· συνεῖναι δ' αὖ καὶ τὸν ἐν μέρει τῇ ἐν μέρει, καὶ τῇ ὅλῃ τὸν μέγαν ἐκεῖνον, καὶ τὸν ἐν τῷ παντὶ τῷ παντὶ πανταχοῦ αὐτοῦ· καὶ πολλοὺς αὖ τὸν ἕνα τοῦτον γίγνεσθαι καὶ εἶναι φαινόμενον πανταχοῦ τοῦ παντός, οὗ ἂν θέλῃ, σχηματιζόμενον μέρεσιν ἑαυτοῦ, καὶ φανταζόμενον, εἰ θέλοι. Οἴεσθαι δὲ χρὴ καὶ Ἀφροδίτας ἐν τῷ ὅλῳ πολλάς, δαίμονας ἐν αὐτῷ γενομένας μετ' Ἔρωτος, ῥυείσας ἐξ Ἀφροδίτης τινὸς ὅλης, ἐν μέρει πολλὰς ἐκείνης ἐξηρτημένας μετὰ ἰδίων Ἐρώτων· εἴπερ ψυχὴ μήτηρ Ἔρωτος, Ἀφροδίτη δὲ ψυχή, ἔρως δὲ ἐνέργεια ψυχῆς ἀγαθοῦ ὀριγνωμένης. Ἄγων τοίνυν ἑκάστην οὗτος ὁ Ἔρως πρὸς τὴν ἀγαθοῦ φύσιν, ὁ μὲν τῆς ἄνω θεὸς ἂν εἴη, ὃς ἀεὶ ψυχὴν ἐκείνῳ συνάπτει, δαίμων δ' ὁ τῆς μεμιγμένης.

IV. Quæri potest, numquid anima quælibet amorem talem in essentia substantiaque possideat. Fortasse vero, cum anima totius habeat amorem hunc et constituat, nihil prohibet, hominum animas habere similiter atque constituere, et insuper ceterorum omnium animalium animas. Forsan hic amor est dæmon, quem tradunt quemlibet comitari, scilicet essentialis uniuscujusque amor. Hic utique facile erit, qui cupiditates inserat naturales, quatenus quælibet anima naturaliter appetit, dum quælibet pro natura sua consentaneum sibi gignit amorem, quod ad dignitatem essentiamque pertinet. Universa igitur anima amorem habeat universum, particulares autem unaquæque suum : quatenus autem quælibet se habet ad universam, ab ea videlicet minime segregata, sed in ipsa comprehensa, adeo ut una sint omnes, eatenus et unusquisque amor ad universum se habet amorem : comitatur rursus particularis amor particularem animam, et magnus ille amor animam universam, et qui in toto est, ubique viget totus per universum : rursusque unus hic evadit in multos, et pro arbitrio apparet ubique : figuratus partibus suis, seque ipsum in imagine quadam, si placet[1], ostendens. Putandum vero est, Veneres quoque in mundo esse permultas, quasi dæmones una cum amore nascentes, ex universa quadam Venere profluentes, quæ quidem sigillatim una cum amoribus propriis ab illa pendeant : siquidem anima est mater amoris, Venus autem est anima, amor vero est actus animæ bonum desiderantis. Cum igitur amor ejusmodi unamquamque ducat ad ipsam boni naturam, amor quidem sublimioris animæ deus est, qui animam semper cum illo conjungit : amor autem animæ jam permixtæ dicendus est dæmon.

Confutat eos, qui dicebant, amorem ipsum, qui a Platone appellatur magnus dæmon, esse mundum.

Ε'. Ἀλλὰ τίς ἡ δαίμονος καὶ ὅλως ἡ δαιμόνων φύσις, περὶ ἧς καὶ ἐν Συμποσίῳ λέγεται, ἥ τε τῶν ἄλλων, καὶ ἡ αὐτοῦ τοῦ Ἔρωτος, ὡς ἐκ Πενίας καὶ Πόρου Μήτιδός ἐστι γεγεννημένος ἐν τοῖς Ἀφροδίτης γενεθλίοις. Τὸ μὲν οὖν τὸν κόσμον ὑπονοεῖν λέγεσθαι τόνδε τῷ Πλάτωνι τὸν ἔρωτα, ἀλλὰ μὴ τοῦ κόσμου τὸν ἐν αὐτῷ ἐκφύντα ἔρωτα, πολλὰ τὰ ἐναντιούμενα τῇ δόξῃ ἔχει, τοῦ μὲν κόσμου, λεγομένου εὐδαίμονος θεοῦ, καὶ αὐτάρκους εἶναι, τοῦ δὲ Ἔρωτος τούτου ὁμολογουμένου τῷ ἀνδρὶ οὔτε θεοῦ, οὔτε αὐτάρκους, ἀεὶ δὲ ἐνδεοῦς εἶναι. Εἶτα ἀνάγκη, εἴπερ ὁ κόσμος ἐστὶν ἐκ ψυχῆς καὶ σώματος, ἡ δὲ ψυχὴ τοῦ κόσμου ἡ Ἀφροδίτη ἐστὶν αὐτῷ, μέρος τὸ κύριον τοῦ Ἔρωτος τὴν Ἀφροδίτην εἶναι· ἢ εἰ κόσμος ἡ ψυχή ἐστιν αὐτοῦ, ὥσπερ καὶ ἄνθρωπος ἡ ἀνθρώπου ψυχή, τὸν Ἔρωτα τὴν Ἀφροδίτην εἶναι. Εἶτα διὰ τί οὗτος μὲν δαίμων ὢν ὁ κόσμος ἔσται, οἱ δ' ἄλλοι δαίμονες (δῆλον γὰρ ὅτι ἐκ τῆς αὐτῆς

V. Ceterum quænam dæmonis et communiter dæmonum natura est? de qua in Convivio scribitur a Platone : natura, inquam, et aliorum dæmonum, et ipsius Amoris, quemadmodum videlicet ex Indigentia simul atque Copia ex Consilio nata in Veneris natalibus ortus est Amor. Quisquis opinatur, mundum hunc a Platone esse amorem nominatum, non autem amorem esse aliquid mundi natumque in mundo, argumentis pluribus convincetur. Primo quidem Plato mundum appellat beatum deum seque ipso sufficientem, Amorem vero hunc neque deum neque sufficientem dicit, sed semper egenum. Deinde necessarium est, siquidem mundus est ex anima corporeque compositus, anima vero mundi ipsius Venus est, principalem Amoris partem esse Venerem. Aut si mundus est ipsa mundi anima, sicut et homo est hominis anima, necesse est Amorem esse Venerem. Præterea cur nam amor quidem existens dæmon est et mundus, ceteri vero dæmones, qui ex eadem essentia sunt, non sunt et ipsi

οὐσίας εἰσίν) οὐ καὶ αὐτοὶ ἔσονται; καὶ ὁ κόσμος ἔσται σύστασις αὐτὸ τοῦτο ἐκ δαιμόνων. Ὁ δὲ ἔφορος καλῶν παίδων λεχθεὶς εἶναι, πῶς ἂν ὁ κόσμος εἴη; Τὸ δὲ ἄστρωτον καὶ ἀνυπόδητον καὶ ἄοικον πῶς ἂν ἐφαρμόσειε, μὴ οὐ γλίσχρως καὶ ἀπᾳδόντως;

mundus? atque mundus erit hæc ipsa ex dæmonibus constitutio. Item, ubi Amor dicitur pulchrorum dux puerorum, quonam modo id mundo conveniet? Denique Amorem sit sine stramentis et tegmine, sine calceis, absque domicilio vagari: quæ quidem mundo nullo modo possunt, nisi aride nimium ineptèque, attribui.

De amoris origine atque dæmonibus.

ϛʹ. Ἀλλὰ τί δὴ χρὴ λέγειν περὶ τοῦ Ἔρωτος καὶ τῆς λεγομένης γενέσεως αὐτοῦ; δῆλον δή, ὅτι δεῖ λαβεῖν, τίς ἡ Πενία καὶ τίς ὁ Πόρος, καὶ πῶς ἁρμόσουσιν οὗτοι γονεῖς εἶναι αὐτῷ. Δῆλον δέ, ὅτι δεῖ καὶ τοῖς ἄλλοις δαίμοσι τούτους ἁρμόσαι, εἴπερ δεῖ φύσιν εἶναι καὶ οὐσίαν μίαν, καθὸ δαίμονες, δαιμόνων, εἰ μὴ κοινὸν ὄνομα ἕξουσι μόνον. Λάβωμεν τοίνυν, πῇ ποτε διορίζομεν θεοὺς δαιμόνων· καὶ εἰ πολλάκις καὶ δαίμονας θεοὺς λέγομεν εἶναι, ἀλλ' ὅταν γε τὸ μὲν ἕτερον, τὸ δὲ ἕτερον λέγωμεν αὐτῶν εἶναι γένος. Τὸ μὲν δὴ θεῶν ἀπαθὲς λέγομεν καὶ νομίζομεν γένος· δαίμοσι δὲ προστίθεμεν πάθη, ἀϊδίους λέγοντες ἐφεξῆς τοῖς θεοῖς, ἤδη πρὸς ἡμᾶς, μεταξὺ θεῶν τε καὶ τοῦ ἡμετέρου γένους. Πῇ δὴ οὖν οὐκ ἔμειναν ἀπαθεῖς ὄντες οὗτοι, πῇ δὲ κατέβησαν τῇ φύσει πρὸς τὸ χεῖρον· καὶ δὴ καὶ τοῦτο σκεπτέον, πότερα δαίμων ἐν τῷ νοητῷ οὐδὲ εἷς, καὶ αὖ ἐν τῷ κόσμῳ τῷδε δαίμονες μόνον, θεὸς δὲ ἐν τῷ νοητῷ ἀφορίζεται, ἢ εἰσὶ καὶ ἐνταῦθα θεοί, καὶ ὁ κόσμος θεός, ὥσπερ σύνηθες λέγειν, τρίτος καὶ οἱ μέχρι σελήνης ἕκαστος θεός. Βέλτιον δὲ μηδένα ἐν τῷ νοητῷ δαίμονα λέγειν, ἀλλά, καὶ εἰ αὐτοδαίμων, θεὸν καὶ τοῦτον εἶναι· καὶ αὖ ἐν τῷ αἰσθητῷ, τοὺς μέχρι σελήνης, θεοὺς τοὺς ὁρατούς, θεοὺς δευτέρους, μετ' ἐκείνους, καὶ κατ' ἐκείνους τοὺς νοητούς, ἐξηρτημένους ἐκείνων, ὥσπερ αἴγλην περὶ ἕκαστον ἄστρον· τοὺς δὲ δαίμονας τί; Ἆρά γε ψυχῆς ἐν κόσμῳ γενομένης τὸ ἀφ' ἑκάστης ἴχνος; διὰ τί δὲ τῆς ἐν κόσμῳ; ὅτι ἡ καθαρὰ θεὸν γεννᾷ, καὶ θεὸν ἔφαμεν τὸν ταύτης ἔρωτα. Πρῶτον δή, διὰ τί οὐ πάντες οἱ δαίμονες ἔρωτες; εἶτα, πῶς οὐ καθαροὶ καὶ οὗτοι ὕλης; ἢ ἔρωτες μέν, οἳ γεννῶνται ψυχῆς ἐφιεμένης τοῦ ἀγαθοῦ καὶ καλοῦ, καὶ γεννῶσι πᾶσαι τοῦτον τὸν δαίμονα αἱ ἐν τῷδε· οἱ δὲ ἄλλοι δαίμονες ἀπὸ ψυχῆς μὲν καὶ οὗτοι τῆς τοῦ παντός, δυνάμεσι δὲ ἑτέραις γεννώμενοι, κατὰ χρείαν τοῦ ὅλου συμπληροῦσαν καὶ συνδιοικοῦσαν τῷ παντὶ ἕκαστα. Ἔδει γὰρ ἀρκεῖν τὴν ψυχὴν τοῦ παντὸς τῷ παντί, γεννήσασαν δυνάμεις δαιμόνων, καὶ προσφόρους τῷ ἑαυτῆς ὅλῳ. Ἀλλὰ πῶς καὶ τίνος ὕλης μετέχουσιν; οὐ γὰρ δὴ τῆς σωματικῆς, ἢ ζῷα αἰσθητὰ ἔσται. Καὶ γὰρ εἰ *σώματα προσλαμβάνουσιν ἀέρια* ἢ πύρινα, ἀλλὰ δεῖ γε πρότερον διάφορον αὐτῶν τὴν φύσιν εἶναι, ἵνα καὶ μετάσχωσι σώματος· οὐ γὰρ εὐθὺς τὸ καθαρὸν πάντη σώματι μίγνυται, καίτοι πολλοῖς δοκεῖ ἡ οὐσία τοῦ δαίμονος, καθ' ὅσον δαίμων, μετά τινος σώματος, ἢ ἀέρος ἢ πυρὸς εἶναι. Ἀλλὰ διὰ τί ἡ μὲν σώματι μίγνυται, ἡ δὲ οὔ, εἰ μή τις εἴη τῇ μιγνυμένῃ αἰτία; Τίς οὖν ἡ αἰτία; ὕλην δεῖ νοητὴν

VI. Verum quidnam de Amore, deque ipsius generatione dicendum est? Profecto exponendum est, quid sit Amoris mater, Penia, id est indigentia: quidve pater, Porus, id est affluentia, et qua ratione parentes ejusmodi amori conveniant. Constat autem oportere parentes ejusmodi ceteris quoque dæmonibus convenire: siquidem oportet naturam essentiamque dæmonum omnium, qua ratione *dæmones sunt, unam esse, nisi forte solum nomen* commune dicantur habere. Consideremus igitur, quomodo deos a dæmonibus distinguamus: quamvis enim sæpe dæmones etiam deos esse dicamus, in præsentia tamen sic accipiamus, sicut quando dæmonum genus genusque deorum tanquam aliud aliudque inter se discernimus. Deorum itaque genus esse passionis expers dicimus et putamus: dæmonibus autem passiones adjungimus, dicentes etiam sempiternos esse, sequenti post deos gradu, jamque generi humano propinquos, medios inter deorum hominumque genus. Consideratione igitur dignum est, qua ratione dæmones extra passionem non permanserint, sed ad deterius natura descenderint. Quærendum etiam est, an nullus in mundo intelligibili dæmon sit, ac rursus, *num in hoc mundo dæmones tantum sint*, deus autem in mundo intelligibili solum. Forsan potius hic quoque dii sunt, et mundus (ut dici solet) deus est tertius: et usque ad lunam unusquisque est deus. Præstat sane nullum in mundo intelligibili dæmonem appellare, quin etiam, si ibi ponatur ipse dæmon, esse deum existimare; et qui in mundo sensibili sunt usque ad lunam dii visibiles, deos appellare secundos: post atque secundum deos intelligibiles, sic pendentes ab illis, ut splendores a stellis. Dæmones *autem quidnam esse dicemus? Fortasse, cum anima infusa* sit mundo, dæmonem cujusque animæ nuncupabimus uniuscujusque vestigium: dico autem animæ infusæ mundo, quoniam purior anima gignit deum, ejusque amorem deum esse jam diximus. At quærendum est, primo quidem cur non omnes dæmones sint amores: deinde quo pacto hi quoque non sint a materia liberi. Fortasse dæmones quidem illi sunt amores, qui gignuntur ex anima bonum pulchrumque desiderante: nempe omnes, quæ hoc in mundo sunt, animæ, hunc gignunt amorem, reliqui vero dæmones ab anima quidem generantur et ipsi, ab ipsa, inquam, mundi totius anima, sed aliis quibusdam ejus viribus generantur ad usum videlicet universi, implentem dispensantemque singula toti. Oportebat enim ipsam totius animam sufficienter toti mundo *præesse atque suppetere*, generantem vires dæmonum ipsius toti congruas atque conferentes. Verum quonam pacto et cujus materiæ dæmones participes sunt? Non enim corporeæ; alioquin animalia sensibilia forent. Nam et si corpora aerea igneave accipiant, oportet tamen naturam ipsorum prius etiam differentem esse, ut particeps quoque corporis fiat. Quod enim omnino purum est, non repente corpori commiscetur, quamvis opinentur multi essentiam dæmonis, quatenus dæmon est, *una cum quodam vel aere vel igne* corpore esse. Verum cur nam essentia quidem dæmonum commercium habet cum corpore, deorum vero essentia nullum, nisi quædam sit causa in ea, quæ miscetur, commixtionis? Quænam igitur causa? Intelligibilem

in.

ποθέσθαι, ἵνα τὸ κοινωνῆσαν ἐκείνης ἥκῃ καὶ εἰς ταύτην τὴν τῶν σωμάτων δι' αὐτῆς.

oportet materiam ponere, ut, quod illius est particeps, per illam in hanc quoque corporum materiam veniat.

De compositione amoris atque distinctione et de intellectu.

Ζ΄. Διὸ καὶ ἐν τῇ γενέσει τοῦ Ἔρωτος ὁ Πλάτων φησὶ τὸν Πόρον τὴν μέθην ἔχειν τοῦ νέκταρος, οἴνου οὔπω ὄντος, ὡς πρὸ τοῦ αἰσθητοῦ τοῦ ἔρωτος γενομένου, καὶ τῆς Πενίας μετεχούσης φύσεως νοητοῦ, ἀλλ' οὐκ εἰδώλου νοητοῦ, οὐδ' ἐκεῖθεν ἐμφαντασθέντος, ἀλλ' ἐκεῖ γενομένης καὶ συμμιχθείσης, ὡς ἐξ εἴδους καὶ ἀοριστίας, ἣν ἔχουσα ἡ ψυχὴ πρὶν τυχεῖν τοῦ ἀγαθοῦ, μαντευομένη δέ τι εἶναι, κατὰ ἀόριστον καὶ ἄπειρον φάντασμα, τὴν ὑπόστασιν τοῦ ἔρωτος τεκούσης. Λόγος οὖν γενόμενος ἐν οὐ λόγῳ, ἀορίστῳ δὲ ἐφέσει, καὶ ὑποστάσει ἀμυδρᾷ, ἐποίησε τὸ γενόμενον οὐ τέλεον οὐδὲ ἱκανόν, ἐλλειπὲς δέ, ἅτε ἐξ ἐφέσεως ἀορίστου καὶ λόγου ἱκανοῦ γεγενημένον. Καὶ ἔστι λόγος οὗτος οὐ καθαρός, ἅτε ἔχων ἐν αὐτῷ ἔφεσιν ἀόριστον καὶ ἄλογον καὶ ἄπειρον· οὐ γὰρ μήποτε πληρώσεται, ἕως ἂν ἔχῃ ἐν αὐτῷ τὴν τοῦ ἀορίστου φύσιν. Ἐξήρτηται δὲ ψυχῆς, ὡς ἐξ ἐκείνης μὲν γενόμενος ὡς ἀρχῆς. Μίγμα δὲ ὢν ἐκ λόγου οὐ μείναντος ἐν αὐτῷ, ἀλλὰ μιχθέντος ἀοριστίᾳ· οὐκ αὐτοῦ ἀνακραθέντος ἐκείνῃ, ἀλλὰ τοῦ ἐξ αὐτοῦ ἐκείνῃ. Καὶ ἔστιν ὁ ἔρως οἷον οἶστρος ἄπορος τῇ ἑαυτοῦ φύσει, διὸ καὶ τυγχάνων ἄπορος πάλιν. Οὐ γὰρ ἔχει πληροῦσθαι διὰ τὸ μὴ ἔχειν τὸ μίγμα· μόνον γὰρ πληροῦται ἀληθῶς, ὅτι περ καὶ πεπλήρωται τῇ ἑαυτοῦ φύσει· ὁ δὲ διὰ τὴν συνοῦσαν ἔνδειαν ἐφίεται, κἂν παραχρῆμα πληρωθῇ, οὐ στέγει· ἐπεὶ καὶ τὸ εὐμήχανον αὐτῷ διὰ τὴν ἔνδειαν· τὸ δὲ ποριστικὸν διὰ τὴν τοῦ λόγου φύσιν. Δεῖ δὲ καὶ πᾶν τὸ δαιμόνιον τοιοῦτον νομίζειν καὶ ἐκ τοιούτων· καὶ γὰρ ἕκαστον, ἐφ' ᾧ τέτακται, ποριστικὸν ἐκείνου, καὶ ἐφιέμενον ἐκείνου, καὶ συγγενὲς καὶ ταύτῃ τῷ ἔρωτι· καὶ οὐ πλῆρες οὐδ' αὐτό, ἐφιέμενον δέ τινος τῶν ἐν μέρει ὡς ἀγαθῶν· ὅθεν καὶ τοὺς ἐνταῦθα ἀγαθούς, ὃν ἔχουσιν ἔρωτα, τοῦ ἁπλῶς ἀγαθοῦ καὶ τοῦ ὄντως ἔχειν, οὐκ ἔρωτά τινα ἔχοντας· τοὺς δὲ κατ' ἄλλους δαίμονας τεταγμένους κατ' ἄλλον καὶ ἄλλον δαίμονα τετάχθαι, ὃν ἁπλῶς εἶχον, ἀργὸν ἀφέντας· ἐνεργοῦντας δὲ κατ' ἄλλον δαίμονα, ὃν εἵλοντο κατὰ τὸ σύμφωνον μέρος τοῦ ἐνεργοῦντος ἐν αὐτοῖς, ψυχῆς· οἱ δὲ κακῶν ἐφιέμενοι ταῖς κακαῖς ἐγγενομέναις ἐπιθυμίαις ἐπέδησαν πάντας τοὺς ἐν αὐτοῖς ἔρωτας, ὥσπερ καὶ λόγον τὸν ὀρθόν, ὅστις σύμφυτος, κακαῖς ταῖς ἐπιγενομέναις δόξαις. Οἱ μὲν οὖν φύσει ἔρωτες, καὶ κατὰ τὴν φύσιν, καλοί· καὶ οἱ μὲν ἐλάττονος ψυχῆς ἐλάττους εἰς ἀξίαν καὶ δύναμιν· οἱ δὲ κρείττους, πάντες ἐν οὐσίᾳ· οἱ δὲ παρὰ φύσιν, σφαλέντων πάθη ταῦτα, καὶ οὐδαμῇ οὐσία, οὐδὲ ὑποστάσεις οὐσιώδεις, οὐ παρὰ ψυχῆς ἔτι γεννώμενα, ἀλλὰ συνυφιστάμενα κακίᾳ ψυχῆς, ὅμοια γεννώσης ἐν διαθέσεσι καὶ ἕξεσιν ἤδη. Καὶ γὰρ ὅλως κινδυνεύει τὰ μὲν ἀγαθὰ τὰ ἀληθῆ, κατὰ φύσιν ψυχῆς ἐνεργούσης ἐν ὡρισμένοις, οὐσία εἶναι· τὰ δ' ἄλλα οὐκ ἐξ αὐτῆς

VII. Plato igitur in Amoris generatione Porum inquit fuisse nectare ebrium, quando nondum esset vinum, quasi amor ante mundum sensibilem sit progenitus, et Penia mater ejus participaverit naturam ipsam intelligibilem: non autem naturæ intelligibilis simulacrum inde velut apparens, sed illic interfuerit commistaque sit, velut ex specie et indefinitate quadam, quam quidem habens anima antequam consequatur bonum, vaticinans autem, aliquid esse bonum, secundum indefinitum interminatumque simulacrum seu visum amoris substantiam peperit. Ratio igitur non in ratione, sed in appetitu indefinito et subsistentia debili jam facta, reddidit, quod inde genitum est, neque perfectum, neque sufficiens, imo indigum, utpote quod ex appetitu quodam indefinito et ratione sufficienti genitum est. Est autem ratio hæc nequaquam pura: quippe cum in se habeat appetitum interminatum, irrationalem, indefinitum: nunquam enim implebitur, quamdiu in se habebit rei interminatæ naturam. Pendet autem ab anima, cum ab illa velut principio prodeat. Mistura vero quædam est ex ratione non quidem in se ipsa manente, sed infinitati permista: siquidem non ipsa ratio, sed quod micat ex ipsa, infinitati miscetur. Est itaque amor velut œstrus quidam indigus suapte natura, ideoque etiam potitus iterum est egenus. Non enim naturam habet, quæ possit impleri: quippe cum mistura quædam sit; mistura vero talis, propterea quod non possidet, non impletur; solum enim re vera impletur, quod suapte natura jam est plenum. Quod autem ob insitam indigentiam concupiscit, etiam si subito impleatur, minime retinet: quandoquidem ingeniosa amoris industria ab indigentia proficiscitur; facultas autem comparandi sive suppeditandi ob ipsam rationis naturam inesse videtur. Oportet etiam omne dæmonum genus tale quiddam ex talibusque consistere. Horum namque quodlibet, ad quod ordinatum est, ejusdem comparandi, suppeditandi, appetendi naturam habet, atque hac ratione est amori cognatum, ipsumque non plenum, sed alicujus boni particularis avidum: quo efficitur, ut, et qui hic boni sunt, quem habent amorem, ipsius simpliciter veri boni habeant, neque quendam duntaxat amorem. Qui vero secundum alios dæmones ordinati sunt, secundum alium aliumve dæmonem disponantur, quem simpliciter habuerant, otiosum jam dimittentes; operantes autem secundum alium dæmonem, quem elegerunt secundum partem animæ cum illa concordem, quæ operatur in ipsis. Qui vero mala cupiunt pravis jam conceptis cupiditatibus, omnes in se amores impedisse atque ligasse videntur: quemadmodum rectam quoque rationem, si qua innata est, malis aliquando contractis opinionibus occupare consueverunt. Quam ob rem amores, qui natura insunt atque secundum naturam, boni sunt, et inferioris quidem animæ amores dignitate potentiaque inferiores sunt, superioris autem, superiores: omnes denique in essentia collocati. Qui autem præter naturam accidunt, passiones quædam sunt aberrantium, neque essentia ullo modo, neque substantiæ ullæ essentiales: quippe cum non ab ipsa anima facti sint, sed vitium animæ comitentur, generantis videlicet similia quædam pro affectu habituque contracto. Probabile vero est, omnino vera quidem bona, quæ agit anima, quoties secundum naturam agit in rebus ratione determinatis, essentiam esse: alia vero animam ex se ipsa non agere, ideoque nec aliud quicquam esse, quam passiones. Sicut

ἐνεργεῖν, οὐδὲν δ' ἄλλο ἢ πάθη εἶναι. Ὥσπερ ψευδῆ νοήματα, οὐκ ἔχοντα τὰς ὑπ' αὐτὰ οὐσίας, καθάπερ τὰ ἀληθῆ ὄντως, καὶ ἀΐδια καὶ ὡρισμένα, ὁμοῦ τὸ νοεῖν καὶ τὸ νοητὸν καὶ τὸ εἶναι ἔχοντα οὐ μόνον ἐν τῷ ἁπλῶς, ἀλλὰ καὶ ἐν ἑκάστῳ περὶ τὸ νοητὸν ὄντως καὶ νοῦν τὸν ἐν ἑκάστῳ εἴδει, καὶ ἐν ἑκάστῳ ἡμῶν τίθεσθαι καθαρῶς νόησιν, καὶ νοητὸν, καὶ μὴ ὁμοῦ, καὶ ἡμῶν τοῦτο καὶ ἁπλῶς, ὅθεν καὶ τῶν ἁπλῶν ἡμῖν ὁ ἔρως· καὶ γὰρ αἱ νοήσεις· καὶ εἴ τινος τῶν ἐν μέρει, κατὰ συμβεβηκὸς, ὥσπερ εἰ τόδε τὸ τρίγωνον δύο ὀρθὰς θεωρεῖ, καθόσον ἁπλῶς τρίγωνον.

et intelligentiæ falsæ se habent, non habentes sub se ipsis essentias, quales habent re vera intelligentiæ veræ, sempiternæ, determinatæ: habentes simul intelligere, intelligibileque et esse non solum in eo, quod simpliciter se habet, sed etiam in unoquoque circa ipsum re vera intelligibile, et intellectum in unaquaque specie: quia etiam in unoquoque nostrûm constat pura inesse intelligentia atque intelligibile, nec simul quidem, et nostrum id atque simpliciter, unde amor nobis inest ad simplicia quoque et universalia tendens: quippe cum tales etiam intelligentiæ insint. Ac si cujusdam particularis adsit intelligentia, secundum accidens adesse videtur: quemadmodum de proprio hoc triangulo intelligit quis rectos angulos duos habere, quatenus triangulum ipsum simpliciter habere duos rectos intelligit.

De Jove et hortis ejus, et Venere, et Poro, et Penia, et Amore.

Η'. Ἀλλὰ τίς ὁ Ζεὺς, οὗ τὸν κῆπον λέγει, εἰς ὃν εἰσῆλθεν ὁ Πόρος; καὶ τίς ὁ κῆπος οὗτος; ἡ μὲν γὰρ Ἀφροδίτη ψυχὴ ἦν ἡμῖν· λόγος δὲ ἐλέγετο τῶν πάντων ὁ Πόρος. Ταῦτα δὲ τί δεῖ τίθεσθαι τὸν Δία καὶ τὸν κῆπον αὐτοῦ; Οὐδὲ γὰρ ψυχὴν τίθεσθαι δεῖ τὸν Δία, τὴν Ἀφροδίτην τοῦτο θέντας. Δεῖ δὴ λαβεῖν καὶ ἐνταῦθα παρὰ Πλάτωνος τὸν Δία, ἐκ μὲν Φαίδρου, ἡγεμόνα μέγαν λέγοντος αὐτοῦ τοῦτον τὸν θεόν· ἐν ἄλλοις δὲ τρίτον, οἶμαι, τοῦτον· σαφέστερον δὲ ἐν τῷ Φιλήβῳ, ἡνίκ' ἂν φῇ ἐν τῷ Διὶ εἶναι βασιλικὴν μὲν ψυχὴν, βασιλικὸν δὲ νοῦν. Εἰ οὖν ὁ Ζεὺς νοῦς ἐστι μέγας καὶ ψυχὴ, καὶ ἐν τοῖς αἰτίοις τάττεται, κατὰ δὲ τὸ κρεῖττον δεῖ τάττειν διά τε τὰ ἄλλα, καὶ ὅτι αἴτιον, καὶ τὸ βασιλικὸν δὲ καὶ τὸ ἡγούμενον, ὁ μὲν ἔσται κατὰ τὸν νοῦν· ἡ δὲ Ἀφροδίτη αὐτοῦ οὖσα, καὶ ἐξ αὐτοῦ καὶ σὺν αὐτῷ, κατὰ τὴν ψυχὴν τετάξεται, κατὰ τὸ καλὸν καὶ ἀγλαὸν καὶ τὸ τῆς ψυχῆς ἄκακον καὶ ἁβρὸν Ἀφροδίτη λεχθεῖσα. Καὶ γὰρ εἰ κατὰ μὲν τὸν νοῦν τοὺς ἄῤῥενας τάττομεν τῶν θεῶν, κατὰ δὲ τὰς ψυχὰς αὐτῶν τὰς θηλείας λέγομεν, ὡς νῷ ἑκάστῳ ψυχῆς συνούσης, εἴη ἂν καὶ ταύτῃ ἡ ψυχὴ τοῦ Διὸς ἡ Ἀφροδίτη, πάλιν μαρτυρούντων τούτῳ τῷ λόγῳ ἱερέων τε καὶ θεολόγων, οἳ εἰς ταὐτὸν Ἥραν καὶ Ἀφροδίτην ἄγουσι, καὶ τὸν τῆς Ἀφροδίτης ἀστέρα ἐν οὐρανῷ Ἥρας λέγουσιν.

VIII. Ceterum quisnam hic est Jupiter, in cujus hortos Plato Porum dicit ingressum? quive hi horti sunt? Venus quidem, ut jam convenimus, anima est: Porus autem omnium ratio. Reliquum est, quid Jovem, quidve Jovis hortos significare velit, aperiamus. Jovem profecto esse animam nullo modo dicendum, cum jam animam esse Venerem concesserimus: imo vero Jovem a Platone hic nominatum debemus accipere ex Phædro quidem magnum illum ducem, quem scilicet describit in Phædro, alibi vero, quem tertium ponit deum: sed planius in Philebo, quando dicit, in Jove esse regiam quidem animam, regium insuper intellectum. Si ergo Jupiter magnus est intellectus et anima, atque in numero disponitur causarum, disponi vero secundum id, quod excellentius est, oportet, et ob alia multa, et quia causa est, causaque regia atque ducens: si, inquam, ita est, Jupiter quidem secundum intellectum erit. Venus autem, quæ ipsius est, et ex ipso, atque cum ipso, secundum animam collocabitur, scilicet secundum speciosum splendidumque, et secundum id, quod in anima est, sincerum, innocuum, delicatum: [ex quibus omnibus anima Venus cognominatur] ex *habro* quasi Abrodite dicta. Etenim si secundum intellectum quidem in deorum numero masculos judicamus, secundum vero eorundem animas solemus feminas nominare: quippe cum cuilibet intellectui cohæreat anima, merito hac insuper ratione anima Jovis erit Venus: præsertim cum huic rationi sacerdotum quoque theologorumque testimonia suffragentur. Hi nempe pro eodem accipiunt numine Venerem atque Junonem: ac stellam in cælo Veneris, stellam Junonis appellant.

Confirmatio superiorum.

Θ'. Ὁ οὖν Πόρος λόγος ὢν τῶν ἐν τῷ νοητῷ καὶ νῷ, καὶ μᾶλλον κεχυμένος καὶ οἷον ἁπλωθεὶς, περὶ ψυχὴν ἂν γένοιτο καὶ ἐν ψυχῇ. Τὸ γὰρ ἐν νῷ συνεσπειραμένον, καὶ οὐ παρὰ ἄλλου εἰς αὐτὸν, τούτῳ δὲ μεθύοντι ἐπακτὸν τὸ τῆς πληρώσεως. Τὸ δ' ἐκεῖ πληροῦν τοῦ νέκταρος τί ἂν εἴη, ἢ λόγος ἀπὸ κρείττονος ἀρχῆς πεσὼν εἰς ἐλάττονα; Ἐν οὖν τῇ ψυχῇ ἀπὸ τοῦ νοῦ ὁ λόγος οὗτος, ὅτε ἡ Ἀφροδίτη λέγεται γεγονέναι, εἰσρυεὶς εἰς τὸν κῆπον αὐτοῦ. Κῆπος δὲ πᾶς ἀγλάϊσμα, καὶ πλούτου ἐγκαλλώπισμα. Ἀγλαΐζεται δὲ τῷ τοῦ Διὸς λόγῳ, καὶ τὰ καλλωπίσματα αὐτοῦ, τὰ παρὰ τοῦ νοῦ αὐτοῦ εἰς τὴν ψυχὴν ἐλθόντα ἀγλαΐσματα. Ἢ τί ἂν εἴη ὁ κῆπος τοῦ Διὸς, ἢ τὰ ἀγάλματα αὐτοῦ, καὶ τὰ ἀγλαΐσματα; τί δ' ἂν εἴη τὰ ἀγλαΐσματα αὐτοῦ, καὶ τὰ κοσμήματα, ἢ οἱ λόγοι οἱ παρ' αὐτοῦ ῥυέντες;

IX. Porus igitur cum sit ratio quædam eorum, quæ in mundo intelligibili intellectuque sunt, ratio, inquam, jam latius explicata, nimirum circa animam fit atque in anima. Quod enim in intellectu collectum est, neque ab alio manat in ipsum, id jam in Poro inde ebrio significat adventitiam plenitudinem: quod autem illic est, implens nectare Porum, quidnam est? Profecto est ratio a superiori principio defluens ad inferius: quam ob rem ab intellectu in animam ratio hæc confluit, quando Venus nata dicitur, ac, dum confluit, in Jovis hortos fluere judicatur. Hortus vero omnis est splendor et copiæ decus. Refulgent vero Jovis horti ratione, ornamentaque Jovis sunt splendores ab ipsius intellectu in animam emicantes. Quid enim aliud Jovis horti significare possunt, quam imagines splendoresque ipsius? Quid rursus splendores ornamentaque Jovis sunt, nisi rationes ab ipso fluentes?

ὁμοῦ δὲ οἱ λόγοι ὁ Πόρος, ἡ εὐπορία, καὶ ὁ πλοῦτος τῶν καλῶν ἐν ἐκφάνσει ἤδη· καὶ τοῦτό ἐστι τὸ μεθύειν τῷ νέκταρι. Τί γὰρ θεοῖς νέκταρ, ἢ ὃ τὸ θεῖον κομίζεται; κομίζεται δὲ τὸ ὑποβεβηκὸς νοῦ, λόγον· νοῦς δὲ ἑαυτὸν ἔχει ἐν κόρῳ, καὶ οὐ μεθύει ἔχων· οὐ γὰρ ἐπακτόν τι ἔχει· ὁ δὲ λόγος νοῦ γέννημα, καὶ ὑπόστασις μετὰ νοῦν, καὶ οὐκέτι αὐτοῦ ὤν, ἀλλ' ἐν ἄλλῳ, ἐν τῷ τοῦ Διὸς κήπῳ λέγεται κεῖσθαι, τότε κείμενος, ὅτε ἡ Ἀφροδίτη ἐν τοῖς οὖσιν ὑποστῆναι λέγεται. Δεῖ δὲ τοὺς μύθους, εἴπερ τοῦτο ἔσονται, καὶ μερίζειν χρόνοις, ἃ λέγουσι, καὶ διαιρεῖν ἀπ' ἀλλήλων πολλὰ τῶν ὄντων, ὁμοῦ μὲν ὄντα, τάξει δὲ ἢ δυνάμεσι διεστῶτα, ὅπου καὶ οἱ λόγοι καὶ γενέσεις τῶν ἀγεννήτων ποιοῦσι, καὶ τὰ ὁμοῦ ὄντα καὶ αὐτοὶ διαιροῦσι· καὶ διδάξαντες, ὡς δύνανται, τῷ νοήσαντι ἤδη συγχωροῦσι συναιρεῖν. Ἡ δὲ συναίρεσις ψυχὴ νῷ συνοῦσα καὶ παρὰ νοῦ ὑποστᾶσα, καὶ αὖ λόγων πληρωθεῖσα, καὶ καλὴ καλοῖς κοσμηθεῖσα, καὶ εὐπορίας πληρωθεῖσα, ὡς εἶναι ἐν αὐτῇ ὁρᾷν πολλὰ ἀγλαΐσματα, καὶ τῶν καλῶν ἁπάντων εἰκόνας, Ἀφροδίτη μέν ἐστι τὸ πᾶν. Οἱ δὲ ἐν αὐτῇ λόγοι πάντες, εὐπορία καὶ Πόρος, ἀπὸ τῶν ἄνω ῥυέντες τοῦ ἐκεῖ νέκταρος· τὰ δὲ ἐν αὐτῇ ἀγλαΐσματα, ὡς ἂν ἐν ζωῇ κείμενα, κῆπος Διὸς λέγεται, καὶ εὕδειν ἐκεῖ ὁ Πόρος, οἷς ἐπληρώθη βεβαρημένος· ζωῆς δὲ φανείσης, καὶ οὔσης ἀεὶ ἐν τοῖς οὖσιν, ἑστιᾶσθαι οἱ θεοὶ λέγονται, ὡς ἂν ἐν τοιαύτῃ μακαριότητι ὄντες. Ἀεὶ δὲ οὕτως ὑπέστη ὅδε ἐξ ἀνάγκης, ἐκ τῆς ψυχῆς ἐφέσεως πρὸς τὸ κρεῖττον καὶ τὸ ἀγαθὸν, καὶ ἦν ἀεὶ, ἐξ οὗπερ καὶ ψυχὴ, ἔρως. Ἔστι δ' οὗτος μικτόν τι χρῆμα, μετέχον μὲν ἐνδείας, ᾗ πληροῦσθαι θέλει, οὐκ ἄμοιρον δὲ εὐπορίας, ᾗ, οὗ ἔχει, τὸ ἐλλεῖπον ζητεῖ· οὐ γὰρ δὴ τὸ πάμπαν ἄμοιρον τοῦ ἀγαθοῦ, τὸ ἀγαθὸν ἄν ποτε ζητήσειεν· ἐκ Πόρου οὖν καὶ Πενίας λέγεται εἶναι, ᾗ ἡ ἔλλειψις καὶ ἡ ἔφεσις, καὶ τῶν λόγων ἡ μνήμη, ὁμοῦ συνελθόντα ἐν ψυχῇ, ἐγέννησε τὴν ἐνέργειαν τὴν πρὸς τὸ ἀγαθὸν, ἔρωτα τοῦτον ὄντα. Ἡ δὲ μήτηρ αὐτῷ Πενία, ὅτι ἀεὶ ἡ ἔφεσις ἐνδεοῦς· ὕλη δὲ ἡ Πενία, ὅτι καὶ ἡ ὕλη ἐνδεὴς τὰ πάντα· καὶ τὸ ἀόριστον τῆς τοῦ ἀγαθοῦ ἐπιθυμίας (οὐ γὰρ μορφή τις, οὐδὲ λόγος ἐν τῷ ἐφιεμένῳ τούτου) ὑλικώτερον τὸ ἐφιέμενον, καθ' ὅσον ἐφίεται ποιεῖ· τὸ δὲ πρὸς αὐτὸ εἶδός ἐστι μόνον ἐν αὐτῷ μένον· καὶ δέξασθαι δὲ ἐφιέμενον ὕλην τῷ ἐπιόντι τὸ δεξόμενον παρασκευάζει. Οὕτω τοι ὁ ἔρως ὑλικός τίς ἐστι, καὶ δαίμων οὗτός ἐστιν ἐκ ψυχῆς καθ' ὅσον ἐλλείπει τῷ ἀγαθῷ, ἐφίεται δὲ γεγεννημένος.

simul autem rationes dicuntur Porus, id est, affluentia felix thesaurusque divitiarum pulcherrimarum jam palam et perspicue refulgentium. Jam vero id ipsum est ebrium nectare fieri. „Quid enim aliud apud deos est nectar, quam quod deus aliquis haurit: quod autem menti subest, mentis haurit rationem. Mens autem ipsa jam satura conquiescit: cumque jam possideat, merito ebria non evadit, quippe cum nihil habeat peregrinum: ratio vero proles est mentis post mentem subsistens, nec amplius sui ipsius existens, sed in alio jacens, in horto Jovis (ut fertur) et tunc quidem, quando Veneris natalia celebrantur, id est, nascente Venere. Oportet autem fabulas, si modo futuræ sint fabulæ, [nec procul a vero,] temporibus, quæ narrant, dividere, multaque a se invicem segregare, quæ simul quidem sint tempore, ordine vero et potentia discrepent: quandoquidem et rationes atque sermones inducere generationes ingenitorum consueverunt, et quæ simul existunt, discernere: atque, postquam pro viribus docuerunt, intellecturis connectere, quæ diviserant, jam concedere solent. Connexio vero summaque nostra in præsentia est ejusmodi: Anima cum mente simul existens et ab ipsa mente subsistens, rursus rationibus hinc imbuta, ipsaque pulchra pulchris admodum exornata, affluentiaque luxurians, adeo ut in ea jam splendores varios liceat contueri pulchrorumque omnium simulacra: id, inquam, totum Venus ipsa censetur. Rationes autem omnes in ea appellantur Porus, id est, affluentia felix, a superno nectare profluens: at vero splendores in ea quatenus in ipsa vita micant, Jovis horti dicuntur. Ubi et Porus jacere traditur, his jam gravatus, quibus fertur imbutus. Cum vero vita in ordine rerum micat, imo vero semper ea nitente dii convivio discumbere judicantur: utpote qui ejusmodi quadam felicitate fruantur. Amor autem necessario ita semper exstitit, quamdiu et anima, ex appetitu animæ ad præstantius bonumque profectus. Est autem res quædam mixta, particeps quidem indigentiæ, quatenus affectat impleri, neque tamen expers copiæ, quatenus residuum ejus, quod habet, exposcit. Si enim expers boni foret omninò, nunquam bonum appeteret: quam ob rem ex affluentia simul atque penuria narratur exortus. Quin etiam defectus appetitusque simul atque memoria rationum conspirantes in anima, actum erga bonum, qui amor dicitur, genuerunt. Mater autem ejus est penuria, quoniam appetitio semper est indigentis. Materia vero est ipsa penuria, quoniam materia omnium est egena. Quin etiam indeterminata natura appetitionis vergentis ad bonum declarat id ipsum, quod appetit, quatenus appetit, magis vicem habere materiæ: neque enim forma, neque ratio adhuc in eo, quod bonum appetit, qua ratione appetit, esse videtur. Quantum tamen ad se ipsum spectat, species tantum est permanens in se ipsa, simulque affectans accipere, naturam suam, bonum adhuc accepturam, comparat ad occurrens bonum jam quasi materiam. Amor denique sic est materiæ particeps, talisque dæmon ex anima, quatenus bono quidem quodammodo caret, sed appetit procreatus.

# ΕΝΝΕΑΔΟΣ Γ

## ΛΟΓΟΣ Ϛ.

### ΠΕΡΙ ΤΗΣ ΑΠΑΘΕΙΑΣ ΤΩΝ ΑΣΩΜΑΤΩΝ.

# ENNEADIS TERTIÆ

## LIBER VI.

### DE IMPASSIBILITATE INCORPOREORUM.

(303, 304.) [551—553.]

Anima sentiendo et vivificando passiones corporis ipsa non patitur.

Α'. Τὰς αἰσθήσεις οὐ πάθη λέγοντες εἶναι, ἐνεργείας δὲ περὶ παθήματα καὶ κρίσεις (τῶν μὲν παθῶν περὶ ἄλλο γιγνομένων, οἷον τὸ σῶμα φέρε τὸ τοιόνδε, τῆς δὲ κρίσεως περὶ τὴν ψυχήν· οὐ τῆς κρίσεως πάθους οὔσης, ἄλλην γὰρ αὖ ἔδει κρίσιν γίγνεσθαι, καὶ ἐπαναβαίνειν ἀεὶ εἰς ἄπειρον), εἴχομεν οὐδὲν ἧττον καὶ ἐνταῦθα ἀπορίαν, εἰ ἡ κρίσις, ᾗ κρίσις, οὐδὲν ἔχει τοῦ κρινομένου, ἤ, εἰ τύπον ἔχοι, πέπονθεν. Ἦν δ' ὅμως λέγειν καὶ περὶ τῶν καλουμένων τυπώσεων, ὡς ὁ τρόπος ὅλως ἕτερος, ἢ ὡς ὑπείληπται· ὁποῖος καὶ ἐπὶ τῶν νοήσεων, ἐνεργειῶν καὶ τούτων οὐσῶν, γιγνώσκειν ἄνευ τοῦ παθεῖν τι δυναμένων· καὶ ὅλως ὁ λόγος ἡμῖν καὶ τὸ βούλημα, μὴ ὑπολαβεῖν τροπαῖς καὶ ἀλλοιώσεσι τὴν ψυχὴν τοιαύταις, ὁποῖαι αἱ θερμάνσεις καὶ ψύξεις σωμάτων. Καὶ τὸ παθητικὸν δὲ λεγόμενον αὐτῆς ἔδει ἰδεῖν καὶ ἐπισκέψασθαι, πότερα καὶ τοῦτο ἄτρεπτον δώσομεν, ἢ τούτῳ μόνῳ τὸ πάσχειν συγχωρήσομεν· ἀλλὰ τοῦτο μὲν ὕστερον, περὶ δὲ τῶν προτέρων τὰς ἀπορίας ἐπισκεπτέον. Πῶς γὰρ ἄτρεπτον καὶ τὸ πρὸ τοῦ παθητικοῦ καὶ τὸ πρὸ αἰσθήσεως, καὶ ὅλως ψυχῆς ὁτιοῦν, κακίας περὶ αὐτὴν ἐγγιγνομένης, καὶ δοξῶν ψευδῶν καὶ ἀγνοίας· οἰκειώσεις δὲ καὶ ἀλλοτριώσεις ἡδομένης καὶ λυπουμένης, ὀργιζομένης, φθονούσης, ζηλούσης, ἐπιθυμούσης, ὅλως οὐδαμῇ ἡσυχίαν ἀγούσης, ἀλλ' ἐφ' ἑκάστῳ τῶν προσπιπτόντων κινουμένης καὶ μεταβαλλούσης. Ἀλλ' εἰ μὲν σῶμά ἐστιν ἡ ψυχὴ καὶ μέγεθος ἔχει, οὐ ῥᾴδιον, μᾶλλον δὲ ὅλως ἀδύνατον, ἀπαθῆ αὐτὴν καὶ ἄτρεπτον δεικνύναι ἐν ὁτῳοῦν τῶν λεγομένων γίγνεσθαι περὶ αὐτήν. Εἰ δέ ἐστιν οὐσία ἀμεγέθης, καὶ δεῖ καὶ τὸ ἄφθαρτον αὐτῇ παρεῖναι, εὐλαβητέον αὐτῇ πάθη διδόναι τοιαῦτα, μὴ καὶ λάθωμεν αὐτὴν φθαρτὴν εἶναι διδόντες. Καὶ δὴ εἴτε ἀριθμός, εἴτε λόγος, ὥς φαμεν, ἡ οὐσία αὐτῆς, πῶς ἂν πάθος ἐγγένοιτο ἐν ἀριθμῷ ἢ λόγῳ; ἀλλὰ μᾶλλον λόγους ἀλόγους καὶ ἀπαθῆ πάθη δεῖ ἐπιγίγνεσθαι αὐτῇ οἴεσθαι, καὶ ταῦτα τὰ ἀπὸ τῶν σωμάτων μετενηνεγμένα ἀντικειμένως ληπτέον ἕκαστα, καὶ κατ' ἀναλογίαν μετενηνεγμένα, καὶ ἔχουσαν οὐκ ἔχειν καὶ πάσχουσαν οὐ πάσχειν, καὶ, ὅστις ὁ τρόπος τῶν τοιούτων, ἐπισκεπτέον.

I. Si sensus dicamus non esse passiones, sed actiones, judiciaque circa passiones, quæ quidem passiones circa aliud quiddam fiant, velut forsan circa corpus tale, judicium vero fit in anima: neque ipsum passio sit; alioquin oporteat aliud quoque judicium esse, atque per infinitum progredi: si, inquam, ita dicamus, nihilominus et hic dubitare contingit, utrum judicium ipsum, qua ratione judicium est, nihil habeat illius in se, de quo judicatur, an formam ejus quandam, quam si habeat, jam passum fuisse videbitur. Licet tamen dicere de iis, quæ formationes sensuum vel ipsius intelligentiæ nuncupantur, longe aliter fieri, quam a plerisque existimetur: quod præcipue in intelligentiis ipsis apparet, quæ quidem ipsæ quoque sunt actiones, potentes [*i. e. siquidem possunt*] aliquid absque passione cognoscere. Omnino vero nostra cum ratio tum voluntas optat, ne anima talibus conversionibus mutationibusque subdatur, quales sunt calefactiones frigefactionesque corporum. Oportet quinetiam de parte animæ, quæ passiva dicitur, diligenter considerare, utrum hanc quoque immutabilem fateamur, an soli huic passionem aliquam concedamus. Sed de hoc in sequentibus: nunc vero priorum dubitationes discutiamus. Ambigitur sane, quonam pacto immutabile possit esse etiam quod est ante passivum atque sensum, et omnino quodcunque sit animæ, quandoquidem pravitas in ea fiat, et falsa sæpe opinio ignorantiaque contingat. Rursus conformitas et difformitas dum gaudet, mœret, irascitur, invidet, æmulatur, affectat, quiescit nusquam, sed quolibet incidente movetur et permutatur. Verum, si anima corpus est, habetque magnitudinem, *difficile est, imo etiam impossibile, eam impassibilem* immutabilemque ostendere in quovis eorum, quæ circa ipsam dicuntur accidere. Sin autem est essentia magnitudinis expers, oporteteque dotem illi incorruptibilem non deesse, cavendum est tales illi concedere passiones, ne forsan incidit eam esse corruptibilem concedamus. Tum vero sive numerus sive ratio (ut solemus dicere) ejus essentia est, quonam pacto passio ulla numero vel rationi contingeret? sed potius rationes irrationales et impassibiles passiones in ea fieri est putandum, atque hæc a corporibus in eam translata, per oppositionem accipienda sunt singula, et secundum analogiam proportionem quasi traducta, adeo ut anima habens hæc non habeat et patiens non patiatur, et, quis talium modus sit, cogitandum.

Quid virtus, quid pravitas, et quod non sint velut qualitates in anima, sed ut actus.

Β'. Πρῶτον δὲ περὶ κακίας καὶ ἀρετῆς λεκτέον, τί γίγνεται τότε, ὅταν κακία λέγηται παρεῖναι· καὶ γὰρ ἀφαιρεῖν δεῖν φαμεν, ὡς ὄντος τινὸς ἐν αὐτῇ κακοῦ,

II. Principio de virtute vitioque dicendum, quidnam fiat, quando vitium inesse animæ dicitur: etenim sæpe solemus dicere, oportere a vitioso auferre nonnihil, quasi

καὶ ἐνθεῖναι ἀρετὴν καὶ κοσμῆσαι, καὶ κάλλος ἐμποιῆσαι ἀντὶ αἴσχους τοῦ πρόσθεν. Ἆρ' οὖν λέγοντες ἀρετὴν ἁρμονίαν εἶναι, ἀναρμοστίαν δὲ τὴν κακίαν, λέγοιμεν ἂν δόξαν δοκοῦσαν τοῖς παλαιοῖς; καίτοι πρὸς τὸ ζητούμενον οὐ μικρὸν ὁ λόγος ἀνύσειεν. Εἰ γὰρ συναρμοσθέντα μὲν κατὰ φύσιν τὰ μέρη τῆς ψυχῆς πρὸς ἄλληλα ἀρετή ἐστι, μὴ συναρμοσθέντα δέ, κακία, ἐπακτὸν οὐδὲν ἂν οὐδ' ἑτέρωθεν γίγνοιτο, ἀλλ' ἕκαστον ἥκοι ἄν, οἷόν ἐστι, πρὸς τὴν ἁρμογήν· καὶ οὐκ ἂν ἥκοι ἐν τῇ ἀναρμοστίᾳ τοιοῦτον ὄν, οἷον καὶ χορευταὶ χορεύοντες καὶ συνᾴδοντες ἀλλήλοις, εἰ καὶ μὴ οἱ αὐτοί εἰσι, καὶ μόνος τις ᾄδων, τῶν ἄλλων μὴ ᾀδόντων, καὶ ἑκάστου καθ' ἑαυτὸν ᾄδοντος. Οὐ γὰρ μόνον δεῖ συνᾴδειν, ἀλλὰ καὶ ἕκαστον καλῶς τὸ αὑτοῦ ᾄδοντα οἰκείᾳ μουσικῇ, ὥστε κἀκεῖ ἐπὶ τῆς ψυχῆς ἁρμονίαν εἶναι, ἑκάστου μέρους τὸ αὐτῷ προσῆκον ποιοῦντος. Δεῖ δὴ πρὸ τῆς ἁρμονίας αὐτῆς ἄλλην ἑκάστου εἶναι ἀρετήν, καὶ κακίαν δὲ ἑκάστου πρὸ τῆς πρὸς ἄλληλα ἀναρμοστίας. Τίνος οὖν παρόντος ἕκαστον μέρος κακόν; ἢ κακίας· καὶ ἀγαθὸν αὖ; ἢ ἀρετῆς. Τῷ μὲν οὖν λογιστικῷ τάχ' ἄν τις λέγων ἄνοιαν εἶναι τὴν κακίαν, καὶ ἄνοιαν τὴν κατὰ ἀπόφασιν, οὐ παρουσίαν τινὸς ἂν λέγοι. Ἀλλ' ὅταν καὶ ψευδεῖς δόξαι ἐνῶσιν, ὃ δὴ μάλιστα τὴν κακίαν ποιεῖ, πῶς οὐκ ἐγγίγνεσθαι φήσει, καὶ ἀλλοῖον ταύτῃ τοῦτο τὸ μόριον γίγνεσθαι; Τὸ δὲ θυμοειδὲς οὐκ ἄλλως μὲν ἔχει δειλαῖνον· ἀνδρεῖον δὲ ὄν, ἄλλως; Τὸ δὲ ἐπιθυμοῦν, ἀκόλαστον μὲν ὄν, οὐκ ἄλλως, σωφρονοῦν δὲ ἄλλως, ἢ πέπονθεν; ἢ ὅταν μὲν ἐν ἀρετῇ ἕκαστον ᾖ, ἐνεργεῖν κατὰ τὴν οὐσίαν, ἥν ἐστιν ἕκαστον, ἐπαΐειν λόγου φήσομεν· καὶ τὸ μὲν λογιζόμενον παρὰ τοῦ νοῦ· τὰ δ' ἄλλα παρὰ τούτου· ἢ τὸ ἐπαΐειν λόγου ὥσπερ ὁρᾷν ἐστιν, οὐ σχηματιζόμενον, ἀλλ' ὁρῶν, καὶ ἐνεργείᾳ ὄν, ὅτε ὁρᾷ. Ὥσπερ γὰρ ἡ ὄψις, καὶ δυνάμει οὖσα καὶ ἐνεργείᾳ, ἡ αὐτὴ τῇ οὐσίᾳ, ἡ δὲ ἐνέργειά ἐστιν οὐκ ἀλλοίωσις, ἀλλ' ἅμα προσῆλθε πρὸς ὃ ἔχει τὴν οὐσίαν, καὶ ἔστιν εἰδυῖα, καὶ ἔγνω ἀπαθῶς, καὶ τὸ λογιζόμενον οὕτω πρὸς τὸν νοῦν ἔχει, καὶ ὁρᾷ, καὶ ἡ δύναμις τοῦ νοεῖν τοῦτο, οὐ σφραγῖδος ἔνδον γενομένης, ἀλλ' ἔχει ὃ εἶδε, καὶ αὖ οὐκ ἔχει· ἔχει μέν, τῷ γιγνώσκειν· οὐκ ἔχει δὲ τῷ μὴ ἀποκεῖσθαί τι ἐκ τοῦ ὁράματος, ὥσπερ ἐν κηρῷ μορφήν. Μεμνῆσθαι δὲ δεῖ, ὅτι καὶ τὰς μνήμας οὐκ ἐναποκειμένων τινῶν ἐλέγετο εἶναι, ἀλλὰ τῆς ψυχῆς οὕτω τὴν δύναμιν ἐγειράσης, ὥστε καί, ὃ μὴ ἔχει, ἔχειν. Τί οὖν, οὐκ ἄλλη ἦν πρὶν οὕτω μνημονεύειν, καὶ ὕστερον ἢ ὅτε μνημονεύει; εἰ βούλει, ἄλλην· οὐκοῦν ἀλλοιωθεῖσά γε, πλὴν εἰ μή τις τὸ ἐκ δυνάμεως εἰς ἐνέργειαν ἐλθεῖν ἀλλοίωσιν λέγοιτο. Ἀλλ' ἔστιν οὐδὲν προσγενόμενον, ἀλλ' ὅπερ ἦν πεφυκυῖα, τοῦτο ποιοῦσα. Ὅλως γὰρ αἱ ἐνέργειαι τῶν ἀΰλων οὐ συναλλοιουμένων γίγνονται, ἢ φθαρεῖεν ἄν, ἀλλὰ πολὺ μᾶλλον μενόντων. Τὸ δὲ πάσχειν τὸ ἐνεργοῦν, τοῦτο τῶν μεθ' ὕλης· εἰ δὲ ἄϋλον ἂν πείσεται, οὐκ ἔχει, ᾧ μένει, ὥσπερ ἐπὶ τῆς ὄψεως, τῆς ὁράσεως ἐνεργούσης, τὸ πάσχον ὁ ὀφθαλμός ἐστιν· αἱ δὲ δόξαι

aliquid sit in ipso mali : item adhibere virtutem atque ornare, et honestatem pro turpitudine praecedenti inducere. Numquid igitur, si dicamus virtutem esse consonantiam quandam, vitium vero dissonantiam, opinionem antiquis consonam in medium adducemus? ac praeterea ad id, quod quaerimus, admodum conducemus. Si enim virtus est hoc ipsum, scilicet partes animae esse secundum naturam inter se concordes, vitium vero, esse discordes : nihil utique adventitium, nihil aliunde nobis adveniet, sed pars quaelibet, qualis in se est, concentum ingredietur : neque ingredietur in dissonantiam sic se habens, quemadmodum tripudiatores saltantes, et invicem concinentes, etsi non iidem sint, et solus quis canens ceteris non canentibus, et quolibet secundum se cantante. Non enim oportet concinere solum, verum etiam quemlibet, quantum ad se pertinet, musica propria rite cantare, adeo ut et illic in anima consonantia sit, quando pars quaelibet, quod sibi est consentaneum, peragit. Oportet sane ante consonantiam ipsam aliam uniuscujusque partis virtutem esse, vel aliam pravitatem ante mutuam dissonantiam. Quonam igitur praesente quaelibet pars est mala? Forsan pravitate praesente. Quae rursus bona? Praesente virtute. In parte quidem rationali si quis inscitiam esse pravitatem ejus confiteatur, inscitiam, inquam, per negationem scientiae, nullius ob hoc praesentiam afferet. At quando falsae quoque opiniones insunt, quae quidem potissimum faciunt pravitatem, quidnam prohibebit, aliquid illic intus fieri, atque ita ipsam animae partem fuisse jam in qualitatem aliquam permutatam? Praeterea irascendi natura nonne aliter affecta est, quando meticulosa est; aliter autem, quando est fortis? Item vis concupiscendi, quando intemperata est, aliter est disposita, quam quando est temperata. Fortasse vero, ubi quaelibet virtute praeditum judicatur, agit tunc secundum eam essentiam, qua, quod est, exsistit : idque esse dicimus rationi obtemperare : et facultas quidem rationalis ab intellectu regitur, reliquae vero a ratione. Fortasse etiam rationi obtemperare est quasi videre, dum videlicet, quod obtemperat videtque, non figuratur quidem, sed intuetur, actuque exsistit, quando videt. Sicut visus, et potentia et actu exsistens, una eademque essentia est, actus autem non est alteratio, sed simul ad id se adhibet, ad quod essentiam habet accommodatam, atque cernit et procul a passione cognoscit. Quin etiam ratiocinandi facultas ita se habet ad intellectum atque videt, et potentia intelligendi tale quiddam est, non quod intus impressiones velut a sigillo suscipiat, sed habet, quod videt, rursusque non habet. Habet enim ex eo, quod cognoscit; non habet autem propterea, quod nihil a spectaculo illatum illic imprimitur, ut forma fieri solet in cera. Meminisse vero oportet, memoriam quoque non esse quandam formarum impressarum custodiam, sed facultatem quandam animae ita se ipsam excitantis, ut et, quod non habet, habeat. Quid ergo? nonne alia erat, antequam ita recordaretur, et alia rursus, quando jam recordatur? Si tibi placet aliam dicere, ne tamen dicas alteratam, nisi forte quis alterationem nominet quandam ex potentia in actum progressionem. Attamen nihil est ibi adjunctum; sed, quod naturaliter facere potest, id efficit. Omnino vero rerum immaterialium actiones non ita fiunt, ut vires ipsae, quae agunt, interim alterentur, alioquin et interirent, sed potius efficiant permanendo. Quod autem agens patiatur agendo, rerum, quae cum materia sunt, conditio esse solet : sin autem, quod immateriale est, patiatur, non habet, quo maneat, quemadmodum in aspectu, visione quidem agente, oculus est qui patitur : opiniones autem

ὥσπερ ὁράματα. Τὸ δὲ θυμοειδὲς πῶς δειλόν; πῶς δὲ καὶ ἀνδρεῖον; ἢ δειλὸν μὲν τῷ ἢ μὴ ὁρᾷν πρὸς τὸν λόγον, ἢ πρὸς φαῦλον ὄντα τὸν λόγον ὁρᾷν, ἢ ὀργάνων ἐλλείψει, οἷον ἀπορίᾳ ἢ σαθρότητι ὅπλων σωματικῶν· ἢ ἐνεργεῖν κωλυόμενον, ἢ μὴ κινηθὲν οἷον ἐρεθισθέν· ἀνδρεῖον δὲ, εἰ τὰ ἐναντία, ἐν οἷς οὐδεμία ἀλλοίωσις οὐδὲ πάθος· τὸ δὲ ἐπιθυμοῦν, ἐνεργοῦν μὲν μόνον, τὴν λεγομένην ἀκολασίαν παρέχεσθαι. Πάντα γὰρ μόνον πράττει, καὶ οὐ πάρεστι τὰ ἄλλα, οἷς ἂν ᾖ ἐν μέρει τὸ κρατεῖν παροῦσι καὶ δεικνύναι αὐτῷ· τὸ δ᾽ ὁρῶν ἦν ἂν ἄλλο πρᾶττον, οὐ πάντα, ἀλλά που καὶ σχολάζον, τῷ ὁρᾷν ὡς οἷόν τε τὰ ἄλλα. Τάχα δὲ τὸ πολὺ καὶ σώματος καχεξία ἡ τούτου λεγομένη κακία· ἀρετὴ δὲ, τἀναντία, ὥστ᾽ οὐδεμία ἐφ᾽ ἑκάτερα προσθήκη τῇ ψυχῇ.

quasi visiones quaedam sunt. At irascendi natura quonam modo timida? et quo pacto fortis? Forte timida quidem est propterea, quod vel non aspicit rationem, vel rationem aspicit jam malam, vel instrumentorum vitio, velut defectu vel labefactatione armorum corporeorum, vel agere prohibetur, vel non incitatur. Fortis autem est, si contra fiat: in quibus nulla alteratio est, nulla est passio: rursus vis ipsa concupiscendi, quotiens agit sola, affert intemperantiam. Omnia enim interdum agit sola, neque tunc adsunt reliqua, quibus licet quandoque praesentibus vicissim exsuperare ipsique mandare. Ipsum vero, quod in videndo versatur, interim aliud agit: neque enim agit omnia, sed vacat alicubi, propterea, quod alia quaedam, quoad potest, contuetur. Forsan vero plurimum mala corporis habitudo hujus est pravitas, virtus autem habitudo contraria: quapropter nulla utrinque animae facta est adjunctio.

Anima non est subjectum corporalium passionum, sed principium.

III. Τὰς δ᾽ οἰκειώσεις καὶ ἀλλοτριώσεις, πῶς; καὶ λῦπαι, καὶ ὀργαὶ, καὶ ἡδοναὶ, ἐπιθυμίαι τε καὶ φόβοι, πῶς οὐ τροπαὶ καὶ πάθη ἐνόντα καὶ κινούμενα; Δεῖ δὴ καὶ περὶ τούτων ὧδε διαλαβεῖν· ὅτι γὰρ ἐγγίγνονται ἀλλοιώσεις καὶ σφοδραὶ τούτων αἰσθήσεις, μὴ οὐ λέγειν ἐναντία λέγοντός ἐστι τοῖς ἐναργέσιν· ἀλλὰ χρὴ συγχωροῦντας ζητεῖν, ὅ τι ἐστὶ τὸ τρεπόμενον. Κινδυνεύομεν γὰρ περὶ ψυχὴν ταῦτα λέγοντες, ὅμοιόν τι ὑπολαμβάνειν, ὡς εἰ τὴν ψυχὴν λέγοιμεν ἐρυθριᾷν, ἢ αὖ ἐν ὠχριάσει γίγνεσθαι, μὴ λογιζόμενοι, ὡς διὰ ψυχὴν μὲν ταῦτα τὰ πάθη, περὶ δὲ τὴν ἄλλην σύστασίν ἐστι γιγνόμενα· ἀλλ᾽ ἡ μὲν αἰσχύνη ἐν ψυχῇ δόξης αἰσχροῦ γενομένης, τὸ δὲ σῶμα ἐκείνης τοῦτο οἷον σχούσης, ἵνα μὴ τοῖς ὀνόμασι πλανώμεθα, ὑπὸ τῇ ψυχῇ ὄν, καὶ οὐ ταὐτὸν ἀψύχῳ, ἐτράπη κατὰ τὸ αἷμα, εὐκίνητον ὄν· τά τε τοῦ λεγομένου φόβου ἐν μὲν τῇ ψυχῇ ἡ ἀρχή· τὸ δ᾽ ὠχρὸν ἀναχωρήσαντος τοῦ αἵματος εἴσω· καὶ τῆς ἡδονῆς δὲ τὸ τῆς διαχύσεως, τοῦτο καὶ εἰς αἴσθησιν ἧκον περὶ τὸ σῶμα· τὸ δὲ περὶ τὴν ψυχὴν οὐκ ἔτι πάθος· καὶ τὸ τῆς λύπης ὡσαύτως, ἐπεὶ καὶ τὸ τῆς ἐπιθυμίας, ἐπὶ μὲν τῆς ψυχῆς τῆς ἀρχῆς οὔσης τοῦ ἐπιθυμεῖν, λανθάνον ἐστίν· ἐκεῖθεν δὲ τὸ προελθὸν ἡ αἴσθησις ἔγνω. Καὶ γὰρ ὅταν λέγωμεν κινεῖσθαι αὐτὴν ἐν ἐπιθυμίαις, ἐν λογισμοῖς, ἐν δόξαις· οὐ σαλευομένην αὐτὴν λέγομεν ταῦτα ποιεῖν, ἀλλ᾽ ἐξ αὐτῆς γίγνεσθαι τὰς κινήσεις, ἐπεὶ καὶ τὸ ζῆν κίνησιν λέγοντες οὐκ ἀλλοιοῦμεν· ἑκάστου δὲ μορίου ἡ ἐνέργεια ἡ κατὰ φύσιν ζωὴ οὐκ ἐξιστᾶσα. Κεφάλαιον δὲ ἱκανὸν, εἰ τὰς ἐνεργείας καὶ τὰς ζωὰς, καὶ τὰς ὀρέξεις, οὐκ ἀλλοιώσεις συγχωροῦμεν, καὶ μνήμας οὐ τύπους ἐναποσφραγιζομένους, οὐδὲ τὰς φαντασίας ὡς ἐν κηρῷ τυπώσεις, συγχωρητέον πανταχοῦ, ἐν πᾶσι τοῖς λεγομένοις πάθεσι καὶ κινήσεσι τὴν ψυχὴν ὡσαύτως ἔχειν τῷ ὑποκειμένῳ καὶ τῇ οὐσίᾳ· καὶ τὴν ἀρετὴν καὶ τὴν κακίαν μὴ ὡς τὸ μέλαν καὶ τὸ λευκὸν περὶ τὸ σῶμα γίγνεσθαι, ἢ τὸ θερμὸν καὶ τὸ ψυχρὸν, ἀλλ᾽, ὃν εἴρηται τρόπον, ἐπὶ ἄμφω περὶ πάνθ᾽ ὅλως τὰ ἐναντία γίγνεσθαι.

III. Quaerebatur autem, quomodo conformitates, difformitates, dolores, irae, voluptates, concupiscentiae, metus, non sint permutationes passionesque interiora moventes? Oportet sane de his quoque ita distinguere: negare quidem, alterationes earumque vehementes sensus nobis accidere, est omnibus manifesta negare: oportet igitur id concedentes, quidnam sit, quod transmutatur, inquirere. Profecto, si talia quaedam de anima concedamus, videbimur simile quiddam admittere, perinde ac si animam esse rubeam vel pallidam concesserimus, minime advertentes, propter animam quidem ejusmodi passiones accidere, sed circa aliud quiddam, quod compositum sit, versari. Jam vero ipsa verecundia in anima in quadam turpitudinis opinione consistit: quoniam vero ipsa corpus continet, quod quidem, ne in verbis erremus, dicendum est esse in ipsa anima continente: neque idem esse cum inanimato corpore, hoc, inquam, ex ipsa animae verecundia in sanguine permutatur, praesertim si facile mobile fuerit. Praeterea timoris principium est in anima, pallor autem in corpore, dum sanguis ad interiora relabitur: item in voluptate sensibilis ipsa manifestaque diffusio atque dilatatio fit in corpore. Quod vero tunc fit in anima, non est passio. Similiter etiam de maerore dicendum, quandoquidem et in affectu concupiscendi principium quidem appetendi in anima existens velut initio latet: quod autem inde procedit, sensus ipse jam percipit. Jam vero quando dicimus, animam libidinibus et discursionibus rationis opinionibusque moveri, nequaquam intelligimus, eam in his jactari, sed ex ipsa fieri motiones: quandoquidem et vivere motum esse dicentes non intelligimus, alterationem esse, neque uniuscujusque partis actio naturalis vita est a se ipsa minime distans. Summa denique horum sufficiens erit ejusmodi: si neque actiones, vitas, appetitus esse alterationes aliquas admiserimus, neque memorias esse formulas quasdam impressas animo, neque phantasias esse configurationes velut in cera descriptas concesserimus: consequens erit absque controversia conciliari, animam in omnibus, quae actiones motionesque nominantur, eodem modo se, quo ipsam subjectum essentiamque, habere: tum virtutem et pravitatem non sic in anima fieri, ut vel album et nigrum, vel calidum et frigidum circa corpus: sed eo, quo diximus, modo animam ad utramque per omnia simpliciter opposita se habere.

Confirmatio superiorum, atque de duplici phantasia.

Δ'. Περὶ δὲ τοῦ λεγομένου παθητικοῦ τῆς ψυχῆς ἐπισκεπτέον. Ἤδη μὲν οὖν εἴρηται τρόπον τινὰ καὶ περὶ τούτου, ἐν οἷς περὶ τῶν παθῶν ἁπάντων ἐλέγετο, τῶν περὶ τὸ θυμοειδὲς καὶ τὸ ἐπιθυμοῦν γιγνομένων, ὅπως ἕκαστα· οὐ μὴν ἀλλ' ἔτι λεκτέον περὶ αὐτοῦ· πρῶτον λαβόντας, ὅ τι ποτὲ τὸ παθητικὸν τῆς ψυχῆς λέγεται εἶναι. Λέγεται δὴ πάντως, περὶ ὃ τὰ πάθη δοκεῖ συνίστασθαι· ταῦτα δέ ἐστιν, οἷς ἕπεται ἡδονὴ καὶ λύπη. Τῶν δὲ παθῶν τὰ μὲν ἐπὶ δόξαις συνίσταται, ὡς ὅταν δοξάσας τις μέλλειν τελευτᾶν, ἴσχει φόβον, ἢ οἰηθεὶς ἀγαθὸν αὐτῷ τι ἔσεσθαι ἥσθῃ, τῆς μὲν δόξης ἐν ἄλλῳ, τοῦ δὲ πάθους κινηθέντος ἐν ἄλλῳ. Τὰ δέ ἐστιν ὡς ἡγησάμενα αὐτὰ ἀπροαιρέτως, ἐμποιεῖν ἐν τῷ πεφυκότι δοξάζειν τὴν δόξαν· ἡ μὲν δὴ δόξα ὅτι ἄτρεπτον ἐᾷ ἐπὶ τὸ δοξάζειν, εἴρηται. Ὁ δὲ ἐκτὸς τῆς δόξης φόβος ἐλθὼν ἄνωθεν αὖ ἀπὸ τῆς δόξης, οἷον σύνεσίν τινα παρασχὼν τῷ λεγομένῳ τῆς ψυχῆς φοβεῖσθαι. Τί ποτε ποιεῖ τοῦτο τὸ φοβεῖσθαι; ταραχὴν καὶ ἔκπληξιν, φασὶν, ἐπὶ προσδοκωμένῳ κακῷ. Ὅτι μὲν οὖν ἡ φαντασία ἐν ψυχῇ, ἥ τε πρώτη, ἣν δὲ καλοῦμεν δόξαν, ἥ τε ἀπὸ ταύτης οὐκέτι δόξα, ἀλλὰ περὶ τὸ κάτω, ἀμυδρὰ οἷον δόξα καὶ ἀνεπίκριτος φαντασία, οἵα τῇ λεγομένῃ φύσει ἐνυπάρχει ἐνέργεια, καθ' ἃ ποιεῖ ἕκαστον, ὥς φασιν, ἀφαντάστως, δῆλον ἄν τῳ γένοιτο. Τὸ δ' ἀπὸ τούτων ἤδη, αἰσθητὴ ἡ ταραχὴ περὶ τὸ σῶμα γιγνομένη, ὅ τε τρόμος καὶ ὁ σεισμὸς τοῦ σώματος, καὶ τὸ ὠχρὸν, καὶ ἡ ἀδυναμία τοῦ λέγειν. Οὐ γὰρ δὴ ἐν τῷ ψυχικῷ μέρει ταῦτα· ἢ σωματικὸν φήσομεν αὐτὸ εἶναι αὐτό τε, εἴπερ ἦν παθόντα ταῦτα, οὐδ' ἂν ἔτι εἰς τὸ σῶμα ταῦτα ἀφίκετο, τοῦ πέμποντος οὐκέτι ἐνεργοῦντος τὸ πέμπειν, διὰ τὸ κατέχεσθαι τῷ πάθει καὶ ἐξίστασθαι ἑαυτοῦ. Ἀλλ' ἔστι μὲν οὖν τοῦτο τὸ τῆς ψυχῆς μέρος τὸ παθητικὸν οὐ σῶμα μὲν, εἶδος δέ τι· ἐν ὕλῃ μέντοι καὶ τὸ ἐπιθυμοῦν, καὶ τό γε θρεπτικόν τε καὶ αὐξητικὸν καὶ γεννητικὸν, ὅ ἐστι ῥίζα καὶ ἀρχὴ τοῦ ἐπιθυμοῦντος καὶ παθητικοῦ εἴδους. Εἴδει δὲ οὐδενὶ δεῖ παρεῖναι ταραχὴν ἢ ὅλως πάθος, ἀλλ' ἑστηκέναι μὲν αὐτὸ, τὴν δὲ ὕλην αὐτοῦ ἐν τῷ πάθει γίγνεσθαι, ὅταν γίγνηται ἐκείνου τῇ παρουσίᾳ τοῦ κινοῦντος. Οὐ γὰρ δὴ τὸ φυτικὸν, ὅταν φύῃ, φύεται· οὐδ' ὅταν αὔξῃ, αὔξεται· οὐδ' ὅλως ὅταν κινῇ, κινεῖται ἐκείνην τὴν κίνησιν, ἣν κινεῖ· ἀλλ' ἢ οὐδ' ὅλως, ἢ ἄλλος τρόπος κινήσεως ἢ ἐνεργείας. Αὐτὴν μὲν οὖν δεῖ τὴν τοῦ εἴδους φύσιν ἐνέργειαν εἶναι, καὶ τῇ παρουσίᾳ ποιεῖν, οἷον εἰ ἡ ἁρμονία ἐξ αὐτῆς τὰς χορδὰς ἐκίνει. Ἔσται τοίνυν τὸ παθητικὸν πάθους μὲν αἴτιον, ἢ παρ' αὐτοῦ γενομένου τοῦ κινήματος ἐκ τῆς φαντασίας τῆς αἰσθητικῆς, ἢ καὶ ἄνευ φαντασίας. Ἐπισκεπτέον δὲ τοῦτο, εἰ, τῆς δόξης ἄνωθεν ἀρξάσης, αὐτὸ δὲ μένοι ἐν ἁρμονίας εἴδει· τὰ δὲ αἴτια τοῦ κινῆσαι ἀνάλογον τῷ μουσικῷ, τὰ δὲ πληγέντα διὰ πάθους πρὸς τὰς χορδὰς ἂν τὸν λόγον ἔχοι· καὶ γὰρ κἀκεῖ οὐχ ἡ ἁρμονία πέπονθεν, ἀλλ' ἡ χορδή· οὐ μὴν ἐκινήθη ἂν ἡ χορδὴ, εἰ

IV. Considerandum vero de ea parte animæ, quæ passiva dici solet: tametsi de hac quoque nonnihil est dictum, ubi de passionibus omnibus, quæ vel in ipsa irascendi vel concupiscendi natura nascuntur, qua ratione fierent, pertractavimus: verumtamen aliquid insuper de hoc ipso dicendum. Primo quidem definiendo, quidnam hoc ipsum sit, quod passivum in anima nominatur. Dicitur itaque id patibile, circa quod passiones versari videntur: hæ vero sunt, quas voluptas dolorve sequitur. Passionum vero aliæ quidem ex opinionibus oriuntur: ceu cum quis opinatus se jam moriturum, metuit, aut, bonum sibi mox affuturum, gaudet: ubi certe opinio quidem est in alio, perturbatio vero incitatur in alio. Aliæ autem passiones quodammodo tales sunt, ut improviso exorientes, in eo, quod naturaliter opinari potest, gignant opinionem: opinionem quidem permittere opinantem interim immobilem permanere, jam diximus. Inopinatus autem metus accedens, si repetatur altius, ab opinione rursus trahit exordium, velut perceptionem quandam præbens parti animæ metuenti. Quid enim facit hic ipse metus? perturbationem, aiunt, concitationemque in existimatione exspectationeque mali. Phantasiam profecto esse constat in anima, cum primam, quam appellamus opinionem, tum eam, quæ ab hac nascitur: neque ulterius est opinio, sed circa id, quod est inferius, quasi opinio quædam exilis et obscura, et indiscreta quædam imaginatio, qualis inest naturæ, velut actio quædam, quatenus unumquodque facit, ut dici solet, absque officio phantasiæ. Sensibilem vero perturbationem inde sequentem patet in corpore fieri, ceu tremorem, concussionem, pallorem, vocis impedimentum. Non enim in parte animæ ulla talia fiunt, alioquin corpoream nominabimus: nam si qua pars animæ talia pateretur, non etiam in corpus talia pervenirent: quippe cum id ipsum, cujus officium est hæc mittere, non amplius peragat missionem, propterea quod a passionibus jam oppressum sit et ab se ipso distractum. Proinde patibilis pars hæc animæ non corpus quidem est, sed species aliqua, in materia tamen cum concupiscendi facultas, tum vis nutriendi, augendi, generandi, quæ quidem concupiscibilis patibilisque speciei radix est atque principium. Nulli vero speciei perturbatio vel passio debet accidere, sed permanere quidem ipsa; materia vero ejus passionem subire, quotiens moventis illius præsentia passio surrepit. Non enim, quod vegetale est, quando vegetat, vegetatur: neque, quando auget, augetur: neque omnino, cum movet, movetur ea motione, qua movet, sed vel nullo modo, vel alia quadam ratione motionis vel actionis moveri dicitur. Oportet itaque ipsam speciei naturam esse actum, et præsentia facere, ceu si harmonia chordas ex se ipsa moveret. Erit igitur, quod patibile in anima nuncupatur, passionis quidem causa, sive ab ipso fiat motio passionis, ex sensuali videlicet phantasia, sive etiam seorsum a phantasia. Considerandum id præterea, numquid, opinione desuper ordiente, ipsum quidem in harmoniæ specie maneat, causæ vero movendi musico comparentur, deinde, quæ per passionem impulsa sunt, chordas referant: nam et ibi non har

καὶ ὁ μουσικὸς ἐβούλετο, μὴ τῆς ἁρμονίας τοῦτο λεγούσης.

monia quidem patitur, sed chorda, neque illa chorda movetur, vel si musicus velit, nisi id harmonia dictaverit.

Purgare animam non est qualitatem aliquam auferre, sed affectum actumque dirigere.

Ε'. Τί οὖν χρὴ ζητεῖν ἀπαθῆ τὴν ψυχὴν ἐκ φιλοσοφίας ποιεῖν, μηδὲ τὴν ἀρχὴν πάσχουσαν; ἢ ἐπειδὴ καὶ τὸ εἰς αὐτὴν ἐπὶ τοῦ λεγομένου παθητικοῦ οἷον φάντασμα τὸ ἐφεξῆς πάθημα ποιεῖ, τὴν ταραχήν, καὶ συνέζευκται τῇ ταραχῇ ἡ τοῦ προσδοκωμένου κακοῦ εἰκών, πάθος τὸ τοιοῦτο λεγόμενον ἠξίου ὁ λόγος ὅλως ἀφαιρεῖν, καὶ μὴ ἐᾷν ἐγγίγνεσθαι, ὡς γιγνομένου μὲν οὔπω τῆς ψυχῆς ἐχούσης εὖ· μὴ γιγνομένου δέ, ἀπαθοῦς ἰσχούσης, τοῦ αἰτίου τοῦ πάθους τοῦ περὶ αὐτὴν ὁράματος οὐκ ἔτι ἐγγιγνομένου· οἷον εἴ τις τὰς ὀνειράτων φαντασίας ἀναιρεῖν ἐθέλων ἐν ἐγρηγόρσει τὴν ψυχὴν τὴν φανταζομένην ποιοῖ· ἢ εἰ τὰ πάθη λέγοι πεποιηκέναι, τὰ ἔξωθεν οἷον ὁράματα παθήματα λέγων τῆς ψυχῆς εἶναι. Ἀλλὰ τίς ἡ κάθαρσις ἂν τῆς ψυχῆς εἴη μηδαμῇ μεμολυσμένης; ἢ τί τὸ χωρίζον αὐτὴν ἀπὸ τοῦ σώματος; ἢ ἡμῖν κάθαρσις ἂν εἴη καταλιπεῖν μόνην, καὶ μὴ μετ' ἄλλων ἢ μὴ πρὸς ἄλλο βλέπουσαν, μηδ' αὖ δόξας ἀλλοτρίας ἔχουσαν, ὅστις ὁ τρόπος τῶν δοξῶν ἢ τῶν παθῶν, ὡς εἴρηται, μήτε ὁρᾷν τὰ εἴδωλα, μήτε ἐξ αὐτῶν ἐργάζεσθαι πάθη. Εἰ δὲ ἐπὶ θάτερα τὰ ἄνω ἀπὸ τῶν κάτω, πῶς οὐ κάθαρσις καὶ χωρισμός γε πρὸς μὲν τῆς ψυχῆς τῆς μηκέτι ἐν σώματι γιγνομένης, ὡς ἐκείνου εἶναι, καὶ τὸ ὥσπερ φῶς μὴ ἐν θολερῷ· καίτοι ἀπαθὲς ὅμως, ὃ καὶ ἐν θολερῷ· τοῦ δὲ παθητικοῦ ἡ μὲν κάθαρσις, ἡ ἔγερσις ἐκ τῶν ἀτόπων εἰδώλων, καὶ μὴ ὅρασις· τὸ δὲ χωρίζεσθαι, τῇ μὴ πολλῇ νεύσει καὶ τῇ περὶ τὰ κάτω μὴ φαντασίᾳ. Εἴη δ' ἂν καὶ τὸ χωρίζειν αὐτὸ τὸ ἐκεῖνα ἀφαιρεῖν, ὧν τοῦτο χωρίζεται, ὅταν μὴ ἐπὶ πνεύματος θολεροῦ ἐκ γαστριμαργίας καὶ πλήθους οὐ καθαρῶν ἢ σαρκῶν, ἀλλ' ἰσχνὸν τὸ ἐν ᾧ, ὡς ἐπ' αὐτοῦ ὀχεῖσθαι ἡσυχῇ.

V. Quidnam igitur contendendum nobis est, animam philosophiae studio reddere passionis expertem, siquidem nec ab initio quidem patitur? Fortasse quoniam ab eo, quod patibile dicitur, velut imaginatio quaedam in eam incidens, quae deinceps sequitur, passionem perturbationemque infert, ipsique perturbationi conjugatur opinabilis imago mali. Ejusmodi passionem ratio philosophica praecipit exstirpare, neque permittere ullo modo alicubi pullulare, quasi, ubicumque nascatur, anima nondum prospere valeat, ubi vero non germinet, sana sit: quippe cum imaginatio, quae passionis causa est, nondum inciderit: velut si quis molesta somniorum visa excutere cupiens *animam revocet ad vigiliam: aut si passiones accidisse* dicat ab his, quae extrinsecus sentiuntur, passiones eas animae esse dicens. Sed quaenam animae purgatio erit, cum nullo modo inquinata sit anima? Aut quidnam erit eam a corpore separans? Forsan purgatio quidem erit animam relinquere solam, neque permittere, ut una cum aliis commercium habeat, aut respiciat aliud, aut rursus opiniones habeat alienas, quaecumque sit opinionum (ut dictum est) passionumque conditio, aut simulacra inspicere, vel ex ipsis parere passiones. Si autem ad superiora ab inferioribus convertatur, quidnam prohibet hanc esse purgationem atque etiam separationem animae quandam, anima videlicet nondum adeo corpori mancipata, ut facta sit corporis, quae quidem quasi lumen est turbido non immersum, quamvis etiam impatibile sit, quod turbido est infusum. Ejus autem, quod patibile dicitur, purgatio quidem est suscitatio quaedam ab intuitu absurdorum passim simulacrorum: separatio vero est haudquaquam praecipitari, vel imaginationem ad infima detorquere. Est iterum separare ipsum, illa e medio tollere, quibus sublatis quodammodo id segregatur, quando videlicet non permittitur jacere in spiritu ob voraginem turbulento, ne forte sit carnibus suffocatum, sed id, in quo est, rite extenuatur, ne ipsi forte recalcitret.

Formae separatae vel separabiles a materia dicuntur entia vera, conjunctae vero materiae necessario dicuntur entia non vera: materia denique dicitur verum non ens.

ϛ'. Τὴν μὲν δὴ οὐσίαν τὴν νοητήν, τὴν κατὰ τὸ εἶδος ἅπασαν τεταγμένην, ὡς ἀπαθῆ δεῖ εἶναι δοκεῖν, εἴρηται. Ἐπεὶ δὲ καὶ ἡ ὕλη ἕν τι τῶν ἀσωμάτων, εἰ καὶ ἄλλον τρόπον, ἐπισκεπτέον καὶ περὶ ταύτης, τίνα τρόπον ἔχει· πότερον παθητική, ὡς λέγεται, καὶ κατὰ πάντα τρεπτή, ἢ καὶ ταύτην δεῖ ἀπαθῆ εἶναι οἴεσθαι, καὶ τίς ὁ τρόπος τῆς ἀπαθείας. Πρῶτον δὲ ληπτέον ἐπὶ τοῦτο στελλομένοις καὶ περὶ τῆς φύσεως αὐτῆς λέγουσιν, ὁποία τις, ὡς ἡ τοῦ ὄντος φύσις καὶ ἡ οὐσία καὶ τὸ εἶναι οὐ ταύτην ἔχει, ὡς οἱ πολλοὶ νομίζουσιν. Ἔστι γὰρ τὸ ὄν, ὃ καὶ κατὰ ἀλήθειαν ἄν τις εἴποι ὄν, ὄντως ὄν. Τοῦτο δέ ἐστιν, ὃ πάντη ἐστὶν ὄν· τοῦτο δέ, μηδὲν ἀποστατεῖ τοῦ εἶναι· τελέως δὲ ὂν οὐδενὸς δεῖται, ἵνα σώζηται καὶ ᾖ, ἀλλὰ καὶ τοῖς ἄλλοις αἴτιον τοῖς δοκοῦσιν εἶναι τοῦ δοκεῖν εἶναι. Εἰ δὴ ταῦτα ὀρθῶς λέγεται, ἀνάγκη αὐτὸ ἐν ζωῇ, καὶ ἐν τελείᾳ ζωῇ εἶναι· ἢ ἐλλεῖπον οὐ μᾶλλον ὄν, ἢ μὴ ὂν ἔσται. Τοῦτο δὲ

VI. Dictum jam satis arbitror, quemadmodum existimandum sit passionum omnium expertem esse essentiam ipsam intelligibilem, quae quidem omnis in speciei ordine colliguntur. Quoniam vero materia quoque aliquid incor*poreum est, quamvis alia ratione, investigandum est de hac* iterum, quonam pacto se habeat, utrum passiva (ut fertur) commutabilisque per omnia; an potius hanc quoque esse oporteat a passione remotam, et quomodo dicatur a passione sejuncta. Principio ad id perducti, deque natura materiae, qualisnam sit, tractaturi, asseverare debemus: entis naturam essentiamque et esse non ita se, ut multi opinantur, habere. Est enim ens, quod re vera ens quis possit dicere, (ut ita dixerim) valde ens. Hoc autem est, quod omnino ens est: id vero, cui esse ipsius deest nihil. Cum vero perfecte sit ens, nihilo indiget, quo sit atque servetur, sed ipsum aliis, quae videntur esse, ut esse videantur, est causa. Si haec vera sunt, necessarium est, ipsum in vita esse, atque vita perfecta; alioquin, si in hoc ipso deficeret, nequaquam ens magis foret, quam non

νοῦς καὶ πάντη φρόνησις, καὶ ὡρισμένον ἄρα καὶ πεπερασμένον, καὶ τῇ δυνάμει οὐδὲν ὅ τι μὴ, οὐδὲ τοσήνδε· ἐπιλείποι γὰρ ἄν. Διὸ καὶ τὸ ἀεὶ καὶ τὸ ὡσαύτως, καὶ τὸ ἄδεκτον παντὸς, καὶ οὐδὲν εἰς αὐτό· εἰ γάρ τι δέχοιτο, παρ' αὐτὸ ἄν τι δέχοιτο· τοῦτο δὲ μὴ ὄν· δεῖ δ' αὐτὸ πάντη ὂν εἶναι· ἥκειν οὖν δεῖ παρ' αὐτοῦ πάντα ἔχον εἰς τὸ εἶναι, καὶ ὁμοῦ πάντα, καὶ ἓν πάντα, εἰ δὴ τούτοις ὁρίζομεν τὸ ὄν· δεῖ δὲ, ἢ οὐκ ἂν ἐκ τοῦ ὄντος ἥκοι νοῦς καὶ ζωὴ, ἀλλὰ τῷ ὄντι ἐπακτὰ ταῦτα, καὶ οὐκ ἐξ οὐκ ὄντος ἔσται· καὶ τὸ μὲν ὂν ἄζων καὶ ἄνουν ἔσται· ὃ δὲ μὴ ὄν ἐστιν ἀληθῶς, ταῦτα ἕξει, ὡς ἐν τοῖς χείροσι δέον ταῦτα εἶναι καὶ τοῖς ὑστέροις τοῦ ὄντος. Τὸ γὰρ πρὸ τοῦ ὄντος χορηγὸν μὲν τοῦτο εἰς τὸ ὂν, οὐ δεόμενον δὲ αὐτὸ τούτων. Εἰ οὖν τοιοῦτον τὸ ὂν, ἀνάγκη μήτε τι σῶμα αὐτὸ μήτε τὸ ὑποκείμενον τοῖς σώμασιν εἶναι· ἀλλ' εἶναι τούτοις τὸ εἶναι τὸ μὴ οὖσιν εἶναι. Καὶ πῶς ἡ τῶν σωμάτων φύσις μὴ οὖσα, πῶς δὲ ἡ ὕλη, ἐφ' οἷς ταῦτα ὄρη καὶ πέτραι, καὶ πᾶσα γῆ στερεὰ, καὶ πάντα ἀντίτυπα, καὶ ταῖς πληγαῖς βιαζόμενα τὰ πληττόμενα, ὁμολογεῖν αὐτῶν τὴν οὐσίαν; Εἰ οὖν τις λέγοι, πῶς δὲ τὰ μὴ θλίβοντα καὶ μὴ βιαζόμενα μηδὲ ἀντίτυπα μηδ' ὅλως ὁρώμενα, ψυχὴ καὶ νοῦς ὄντα, καὶ ὄντως ὄντα; καὶ δὴ καὶ ἐπὶ τῶν σωμάτων μᾶλλον γῆς ἑστώσης, τὸ μᾶλλον κινούμενον καὶ ἐμβριθὲς ἧττον· καὶ τούτου τὸ ἄνω. Καὶ δὴ καὶ τὸ πῦρ φεῦγον ἤδη τὴν τοῦ σώματος φύσιν· ἀλλ' οἶμαι τὰ μὲν αὐταρκέστερα αὐτοῖς ἧττον ἐνοχλεῖ τὰ ἄλλα, καὶ ἀλυπότερα τοῖς ἄλλοις· τὰ δὲ βαρύτερα καὶ γεωδέστερα, ὅσῳ ἐλλειπῆ καὶ πίπτοντα, καὶ αἴρειν αὐτὰ οὐ δυνάμενα, ταῦτα πίπτοντα ὑπὸ ἀσθενείας τῇ καταφορᾷ καὶ νωθείᾳ πληγὰς ἔχει, ἐπεὶ καὶ τὰ νεκρὰ τῶν σωμάτων ἀηδέστερα προσπεσεῖν, καὶ τὸ σφόδρα τῆς πληγῆς καὶ τὸ βλάπτειν ἔχει· τὰ δὲ ἔμψυχα μετέχοντα τοῦ ὄντος, ὅσῳ τούτου μέτεστιν αὐτοῖς, εὐχαριστότερα τοῖς πέλας. Ἡ δὲ κίνησις ὥσπερ τις ζωὴ οὖσα, ἐν τοῖς σώμασιν ἦν, καὶ μίμησιν ἔχουσα ταύτης μᾶλλον ἐστὶ τοῖς ἧττον σώματος ἔχουσιν, ὡς τῆς ἀπολείψεως τοῦ ὄντος, ὃ καταλείπει, μᾶλλον τοῦτο σῶμα ποιούσης. Καὶ ἐκ τῶνδε λεγομένων παθημάτων μᾶλλον ἄν τις ἴδοι τὸ μᾶλλον σῶμα μᾶλλον παθητὸν ὂν, γῆν ἢ τὰ ἄλλα, καὶ τὰ ἄλλα κατὰ τὸν αὐτὸν λόγον. Τὰ μὲν γὰρ ἄλλα σύνεισι διαιρούμενα μὴ κωλύοντος μηδενὸς εἰς ἓν πάλιν· τμηθὲν δὲ γεηρὸν ἅπαν χωρὶς ἑκάτερον ἀεί· ὥσπερ τὰ ἀπαγορεύοντα τῇ φύσει, ἃ δὴ μικρᾶς πληγῆς γενομένης οὕτως ἔχει, ὥσπερ πέπληκται καὶ ἐφθάρη, οὕτω καὶ τὸ μάλιστα σῶμα γενόμενον, ὡς μάλιστα εἰς τὸ μὴ ὂν ἧκον, ἀναλαβεῖν αὐτὸ εἰς τὸ ἓν ἀσθενεῖ. Πτῶμα οὖν αἱ βαρεῖαι καὶ σφοδραὶ πληγαὶ, ἀλλὰ ποιεῖν εἰς ἄλληλα. Ἀσθενὲς δὲ ἀσθενεῖ προσπῖπτον ἰσχυρόν ἐστι πρὸς ἐκεῖνο, καὶ μὴ ὂν, μὴ ὄντι. Πάντα μὲν οὖν εἴρηται πρὸς τοὺς ἐν τοῖς σώμασι τιθεμένους τὰ ὄντα τῇ τῶν ὠθισμῶν μαρτυρίᾳ, καὶ τοῖς διὰ τῆς αἰσθήσεως φαντάσμασι πίστιν τῆς ἀληθείας λαμβάνοντας, οἳ παραπλήσιον τοῖς ὀνειρώττουσι ποιοῦσι, ταῦτα ἐνεργῆ νομίζουσιν, ἃ ὁρῶσιν εἶναι ἐνύ-

ens; id autem intellectus est sapientiaque perfecta. Itaque determinatum est atque definitum ac penitus absolutum; neque quicquam illic in potentia est, quod non jam in tanta quadam potentia sit; alioquin defectum aliquem pateretur: quamobrem sempiternum est, eodem modo se habet semper, nihil aliquando suscipit, nihil in ipsum infertur aliquando: si quid enim susciperet, praeter se ipsum acciperet aliquid, id vero non ens. Oportet autem omnino ens existere. Venire igitur ipsum in esse oportet penes se omnia possidens, et simul omnia unumque omnia, si modo per haec definimus ens: oportet autem ita, alioquin ex ipso ente intellectus et vita non emanarent, sed haec enti adventitia forent; neque tamen ex non ente esse poterunt, atque ipsum quidem ens vitae mentisque erit expers. Quod autem non vero ens est, haec habebit, sicut oportet haec esse in deterioribus, ipsoque ente posterioribus. Quod enim exsistit super ens, enti quidem haec largitur, neque tamen his ipsum indiget. Si igitur ens tale est, necesse est, ipsum neque corpus esse, neque quod corporibus est subjectum; sed corporum subjectique esse oportet in non esse versari. Atqui quonam pacto natura corporum et quomodo materia non est ens: in quibus hi montes lapidesque sunt totaque terra solida et quaecumque aliis resistere possunt? Profecto, quae percutiuntur, coacta impulsibus esse ipsorum essentiam confitentur. Si quis ergo dixerit, Quonam igitur pacto, quae neque collidunt, neque vim inferunt aut sufferunt, neque resistunt, neque videntur omnino, scilicet anima et intellectus, entia sunt, et entia vera? nos contra dicemus: inter ea, quae sunt corpulenta magis, terra quiescit, sed magis mobile est, quod minus est ponderosum, atque hujus ipsius quod sublimius est, id quoque mobilius. Jam vero ignis mobilissimus est, jamque naturam fugit corpoream. Verum (ut arbitror) quae magis sibi ipsis sufficiunt, minus alia turbant, minoremque molestiam afferunt. Quae vero magis ponderosa terrenaque sunt, quo magis deficiunt caduntque, neque se ipsa possunt attollere, haec utique ob debilitatem cadentia ipsa ruina et quasi inertia collisionem coloris videntur inferre: quandoquidem corpora, quae vita carent, in proximum quemque molestius incidunt, vehementiusque percutiunt atque laedunt: animata vero, utpote quae magis ens participant, quo magis esse possident, eo magis innoxia proximis obtingere solent. Proinde motio, quae quasi vita quaedam est in corporibus vel imitatio vitae, magis adest, quibus corpulentiae minus inest; quasi defectus entis id, cui accidit magis, corpus magis efficiat. Rursus ex his, quae dicuntur passiones, manifestius cognosci potest, quod magis corpulentum est, magis esse passibile, scilicet terram magis, quam caetera, et reliqua simili ratione. Alia namque, cum dividuntur, in unum subito redeunt nihilo prohibente: quando vero, quod terrenum est, scinditur, divisae inter se portiones semper separatae manent: tanquam quibus naturalis deest valor, quae ex parvo impulsu sic manent, sicut impulsa sunt, atque periere: sic et quod maxime corpus factum est, tanquam maxime in non ens prolapsum, revocare se ipsum in unum minime valet. Ponderosae igitur vehementesque concussiones ruinae quaedam sunt, quibus alia ruendo vicissim agunt in alia. Quum vero debile incurrit in debile, validum est adversus illud, atque non ens in non ens incurrens. Haec itaque dicta sunt adversus illos, qui tantum genere corporum entia collocant, adducti videlicet impulsionum concussionumque testimonio: item imaginationibus per sensum factis veritatis fidem testificantes, qui similiter atque somniantes affecti sunt, dum, quae vident, re vera esse putant, cum sint insomnia. Sensus enim

πνια ὄντα. Καὶ γὰρ τὸ τῆς αἰσθήσεως ψυχῆς ἐστιν εὐδούσης· ὅσον γὰρ ἐν σώματι ψυχῆς, τοῦτο εὕδει. Ἡ δ' ἀληθινὴ ἐγρήγορσις ἀληθινὴ ἀπὸ σώματος, οὐ μετὰ σώματος ἀνάστασις. Ἡ μὲν γὰρ μετὰ σώματος μετάστασίς ἐστιν ἐξ ἄλλου εἰς ἄλλον ὕπνον, οἷον ἐξ ἑτέρων δεμνίων· ἡ δ' ἀληθὴς ὅλως ἀπὸ τῶν σωμάτων, ἃ τῆς φύσεως ὄντα τῆς ἐναντίας ψυχῇ, τὸ ἐναντίον εἰς οὐσίαν ἔχει· μαρτυρεῖ δὲ καὶ ἡ γένεσις αὐτῶν καὶ ἡ ῥοὴ καὶ ἡ φθορὰ, οὐ τῆς τοῦ ὄντος φύσεως οὖσα.

munus est animæ dormientis : quantum namque animæ est in corpore, tantum profecto dormit : vera autem experrectio atque vigilia est vera a corpore, non una cum corpore, resurrectio. Quæ enim fit cum corpore, transmigratio quædam est a somno in somnum, quasi a lecto transeatur in lectum : sed vera omnino est, quæ a corporibus surgit omnino. Quæ quidem, cum naturam habeant animæ repugnantem, pro essentia quoque habent oppositum. Testatur id præterea generatio ipsorum et fluxus atque interitus, quæ quidem ab ipsa natura entis alienissima sunt.

Conditiones materiæ mirabiles, quas reperi etiam apud Porphyrium : et de vanitate materiæ, formarumque apparentium in materia.

Ζ'. Ἀλλ' ἐπανιτέον ἐπὶ τὴν ὕλην τὴν ὑποκειμένην, εἶτα τὰ ἐπὶ τῇ ὕλῃ εἶναι λεγόμενα, ἐξ ὧν τό τε μὴ εἶναι αὐτὴν, καὶ τὸ τῆς ὕλης ἀπαθὲς γνωσθήσεται. Ἔστι μὲν οὖν ἀσώματος, ἐπείπερ τὸ σῶμα ὕστερον καὶ σύνθετον, καὶ αὐτὴ μετ' ἄλλου ποιεῖ σῶμα. Οὕτω γὰρ τοῦ ὀνόματος τετύχηκε τοῦ αὐτοῦ κατὰ τὸ ἀσώματον, ὅτι ἑκάτερον, τό τε ὂν ἥ τε ὕλη, ἕτερα τῶν σωμάτων, οὔτε δὲ ψυχὴ οὖσα, οὔτε νοῦς, οὔτε ζωὴ, οὔτε εἶδος, οὔτε λόγος, οὔτε πέρας· ἀπειρία γὰρ οὔτε δύναμις. Τί γὰρ καὶ ποιεῖ; ἀλλὰ ταῦτα ὑπερεκπεσοῦσα πάντα, οὐδὲ τὴν τοῦ ὄντος προσηγορίαν ὀρθῶς ἂν δέχοιτο, μὴ ὂν δ' ἂν εἰκότως λέγοιτο, καὶ οὐχ ὥσπερ κίνησις μὴ ὂν, ἢ στάσις μὴ ὂν, ἀλλὰ ἀληθινῶς μὴ ὂν, εἴδωλον καὶ φάντασμα ὄγκου καὶ ὑποστάσεως ἔφεσις, καὶ ἑστηκὸς οὐκ ἐν στάσει, καὶ ἀόρατον καθ' αὑτὸ, καὶ φεῦγον τὸ βουλόμενον ἰδεῖν· καὶ ὅταν τις μὴ ἴδῃ γιγνόμενον, ἀτενίσαντι δὲ οὐχ ὁρώμενον, καὶ τὰ ἐναντία ἀεὶ ἐφ' ἑαυτοῦ φανταζόμενον· μικρὸν καὶ μέγα, καὶ ἧττον καὶ μᾶλλον, ἐλλεῖπόν τε καὶ ὑπερέχον, εἴδωλον, οὐ μένειν, οὐδ' αὖ φεύγειν δυνάμενον· οὐδὲ γὰρ οὐδὲ τοῦτο ἰσχύει, ἅτε μὴ ἰσχὺν παρὰ νοῦ λαβὸν, ἀλλ' ἐν ἐλλείψει τοῦ ὄντος παντὸς γενόμενον. Διὸ πᾶν, ὅ τι ἂν ἐπαγγέλληται, ψεύδεται· κἂν μέγα φαντασθῇ, μικρόν ἐστι, κἂν μᾶλλον, ἧττόν ἐστι, καὶ τὸ ὂν αὐτοῦ ἐν φαντάσει, οὐκ ὂν ἔστιν, οἷον παίγνιον φεῦγον, ὅθεν καὶ τὰ ἐν αὐτῷ ἐγγίγνεσθαι δοκοῦντα, παίγνια, εἴδωλα ἐν εἰδώλῳ, ἀτεχνῶς ὡς ἐν κατόπτρῳ τὸ ἀλλαχοῦ ἱδρυμένον, ἀλλαχοῦ φανταζόμενον, καὶ πιμπλάμενον, ὡς δοκεῖ, καὶ ἔχον οὐδὲν, καὶ δοκοῦν τὰ πάντα. Τὰ δὲ εἰσιόντα καὶ ἐξιόντα τῶν ὄντων μιμήματα καὶ εἴδωλα εἰς εἴδωλον ἄμορφον· καὶ διὰ τὸ ἄμορφον αὐτῆς ἐνορώμενα, ποιεῖν μὲν δοκεῖ εἰς αὐτὴν, ποιεῖ δὲ οὐδέν· ἀμενηνὰ γὰρ καὶ ἀσθενῆ, καὶ ἀντερεῖδον οὐκ ἔχοντα· ἀλλ' οὐδὲ ἐκείνης ἐχούσης, διεισιν οὐ τέμνοντα, οἷον δι' ὕδατος, ἢ εἴ τις ἐν τῷ λεγομένῳ κενῷ μορφὰς οἷον εἰσπέμποι. Καὶ γὰρ αὖ, εἰ μὲν τοιαῦτα ἦν τὰ ἐνορώμενα, οἷα τὰ ἀφ' ὧν ἦλθεν εἰς αὐτὴν, τάχ' ἄν τις, διδοὺς αὐτοῖς δύναμίν τινα τῶν πεμψάντων τὴν εἰς αὐτὴν γενομένην, πάσχειν ὑπ' αὐτῶν ἂν ὑπέλαβε. Νῦν δὲ ἄλλων μὲν ὄντων τῶν ἐμφανταζομένων, ἄλλων δὲ τῶν ἐνορωμένων, κἀκ τούτων μαθεῖν ἐστι τὸ τῆς πείσεως ψεῦδος, ψευδοῦς ὄντος τοῦ ἐνορωμένου, καὶ οὐδαμῇ ἔχοντος ὁμοιότητα πρὸς τὸ ποιῆσαν, ἀσθενὲς δὴ

VII. Sed iterum revertendum est primo quidem ad subjectam materiam : deinde vero ad illa, quæ in materia esse dicuntur, ex quibus perspicue cognoscatur, tum materiam esse passionis expertem, tum neque materiam, neque illa re vera existere. Est igitur incorporea, quoniam corpus posterius est atque compositum, et ipsa una cum alio complet corpus. Sic enim eandem appellationem secundum incorporeum genus sortita est, quoniam utrumque, scilicet ens atque materia, a corporibus diversa sunt. Cum vero materia neque anima sit, neque mens, neque vita, neque species, neque ratio, neque etiam terminus : est enim indefinitas quædam : rursus neque potestas. Quid enim faciat? Sed hæc omnia subterfugiat, nimirum neque entis appellationem sortiri debet, sed merito non ens nominantur, neque tamen ita non ens dicitur, ut motus vel status non ens dici solet, sed re vera non ens, simulacrum et imaginatio molis appetitioque substantiæ sive subsistentiæ, stans quidem non in statu : secundum se invisibile, et videre volentem effugiens : et quando quis non videt, tunc quodammodo præsens; quando vero quis intentius inspicit, non perspectum. Rursus in se ipso contraria semper apparens, parvum, magnum, minus, magis, deficiens, superexcedens, simulacrum, neque manens, neque rursus aufugere valens : neque enim vel hoc unum valebit, quippe cum valorem ab intellectu nullum acceperit, sed in defectu totius entis factum fuerit. Quapropter in qualibet sui denominatione mentitur et fallit, nempe si magnum excogitetur, interim parvum est, ac si magis, est et minus : atque ens, quod in ejus imaginatione occurrit, non ens est, velut ludicrum quiddam fugiens, adeo ut, quæ in ipso fieri videntur, ludicra sint, simulacra in simulacro, profecto sicut in speculo, ubi alibi quidem situm est aliquid, alibi vero apparens : et quod videtur impletum, nihil habens, apparens vero omnia. Quæ vero ingrediuntur et exeunt imitamina entium atque simulacra circa simulacrum informe : et quia informe, ideo ibi visa. Videntur quidem in subjectam materiam nonnihil efficere : faciunt vero nihil, utpote quæ debilia fluxaque sunt neque soliditatem ullam habent, sive ullam repercutiendi virtutem; atque cum materia nullam quoque soliditatem habeat, penetrant in eam non dividentia, ut imagines in aquam : vel fortasse perinde, ac si quis in id, quod vacuum dicitur, quasi formas immittat. Jam vero si talia forent, quæ inspiciuntur, qualia illa, a quibus veniunt in materiam, forsan quisquis attribuerit his vim quandam eorum, quæ mittunt in materiam vere pervenientem, non injuria pati ab illis materiam suspicabitur. Cum vero alia quidem sint, quæ repræsentantur, alia vero, quæ videntur intus, ex his quoque intelligere licet, falsam esse materiæ passionem : quippe cum falsum sit, quod intus videtur occurrere, nec ullam ad effectorem similitudinem habeat.

καὶ ψεῦδος ὄν, καὶ εἰς ψεῦδος ἐμπῖπτον· οἷα ἐν ὀνείρῳ, ἢ ὕδατι, ἢ κατόπτρῳ, ἀπαθῆ αὐτὴν εἴασεν ἐξ ἀνάγκης εἶναι· καίτοι ἔν γε τοῖς προειρημένοις, ὁμοίωσις τοῖς ἐνορωμένοις ἐστὶ πρὸς τὰ ἐνορῶντα.

invalidum itaque atque falsum, et in falsum similiter incidens, velut in quodam insomnio, vel aqua, vel speculo, procul dubio materiam impatibilem restare permittit, quamvis in his, quæ modo dicebamus, similitudo quædam sit his, quæ apparent, ad illa, quæ referuntur.

Quale sit illud, ad quod passio pertinet, et quod non pertinet ad materiam.

Η'. Ὅλως δὲ τὸ πάσχον δεῖ τοιοῦτον εἶναι, οἷον ἐν ταῖς ἐναντίαις εἶναι δυνάμεσι καὶ ποιότησι τῶν ἐπεισιόντων καὶ τὸ πάσχειν ἐμποιούντων. Τῷ γὰρ ἐνόντι θερμῷ ἡ ἀλλοίωσις ἡ παρὰ τοῦ ψύχοντος, καὶ τῷ ἐνόντι ὑγρῷ, ἡ ἀλλοίωσις ἡ παρὰ τοῦ ξηραίνοντος· καὶ ἠλλοιῶσθαι λέγομεν τὸ ὑποκείμενον, ὅταν ἐκ ψυχροῦ θερμὸν, ἢ ἐκ ξηροῦ ὑγρὸν γίνηται. Μαρτυρεῖ δὲ καὶ ἡ λεγομένη πυρὸς φθορὰ, μεταβολῆς γενομένης εἰς στοιχεῖον ἄλλο. Τὸ γὰρ πῦρ ἐφθάρη φαμὲν, οὐχ ἡ ὕλη· ὥστε καὶ τὰ πάθη περὶ τοῦτο, περὶ ὃ καὶ ἡ φθορά. Ὁδὸς γὰρ εἰς φθορὰν ἡ παραδοχὴ τοῦ πάθους· καὶ τούτῳ τὸ φθείρεσθαι, ᾧ καὶ τὸ πάσχειν. Τὴν δὲ ὕλην φθείρεσθαι οὐχ οἷόν τε· εἰς τί γὰρ καὶ πῶς;

Πῶς οὖν λαβοῦσα ἐν αὐτῇ θερμότητας, ψυχρότητας μυρίας, καὶ ἀπείρους ὅλως ποιότητας, καὶ ταύταις διαληφθεῖσα, καὶ οἷον συμφύτους αὐτὰς ἔχουσα καὶ συγκεκραμένας ἀλλήλαις (οὐ γὰρ ἕκαστα χωρὶς, αὐτὴ δὲ ἐν μέσῳ ἀποληφθεῖσα πασχουσῶν τῶν ποιοτήτων ἐν τῇ πρὸς ἀλλήλας ἀπ' ἀλλήλων μίξει), οὐχὶ συμπάσχει καὶ αὐτή; εἰ μὴ ἄρα ἔξω τις αὐτὴν θήσεται αὐτῶν παντάπασιν· ἐν ὑποκειμένῳ δὲ πᾶν οὕτω πάρεστι τῷ ὑποκειμένῳ, ὡς αὐτῷ τι παρ' αὐτοῦ διδόναι.

VIII. Omnino vero, quod patitur, esse oportet tale, ut in contrariis sit potentiis qualitatibusque eorum, quæ accedunt et inferunt passionem : et namque, quod inest calido, alteratio fit ab eo, quod frigefacit. Rursus præsenti humido alteratio a siccante contingit, atque alterari subjectum dicimus, quando ex calido frigidum fit, vel ex arido humidum. Testatur id et illa, quæ ignis corruptio dicitur, mutatione in elementum aliud accidente. Non enim dicimus materiam corruptam esse, sed ignem : quapropter et passiones circa idem sunt, circa quod et interitus. Via enim ad interitum est susceptio passionum, atque hujus perire est, cujus et pati. Materiam vero corrumpi est impossibile : in quid enim et quomodo resolvatur, cogitare non possumus.

*Dubitatio.* At vero, cum materia in se ipsa suscipiat caliditates frigiditatesque quam plurimas et qualitates prorsus innumerabiles, per easque distincta sit, et quasi cognatas habeat invicemque commixtas : non enim singula sunt seorsum; ipsa vero relicta velut media : quonam pacto, qualitatibus in commixtione mutua invicem patientibus, non et ipsa quoque compatitur? nisi forte quis eam extra illas omnino posuerit. Attamen, quicquid in subjecto est, ita subjecto adest, ut ex se tradat subjecto nonnihil.

Responsio : Quod materia neque vere neque vera suscipit neque patitur : quidve sit id, quod patitur.

Θ'. Ληπτέον δὴ τὸ παρεῖναι ἕτερον ἑτέρῳ, καὶ τὸ εἶναι ἄλλο ἐν ἄλλῳ πρῶτον, ὡς οὐ καθ' ἕνα τρόπον ὑπάρχει· ἀλλὰ τὸ μέν ἐστιν, οἷον μετὰ τοῦ παρεῖναι ἢ χεῖρον ἢ βέλτιον ποιεῖν ἐκεῖνο, μετὰ τοῦ τρέπειν, οἷον ἐπὶ τῶν σωμάτων ὁρᾶται, ἐπί γε τῶν ζώων. Τὸ δ' οἷον ποιεῖν βέλτιον ἢ χεῖρον, ἄνευ τοῦ πάσχειν ἐκεῖνο, ὥσπερ ἐπὶ τῆς ψυχῆς ἐλέγετο· τὸ δὲ οἷον ὅταν τις σχῆμα κηρῷ προσαγάγῃ, ἔνθα οὔτε τι πάθος, ὡς ἄλλο τι ποιῆσαι τὸν κηρὸν εἶναι, ὅταν παρῇ τὸ σχῆμα, οὔτε ἔλλειψιν εἰς ἐκεῖνο, ἀπεληλυθότος ἐκείνου. Τὸ δὲ δὴ φῶς οὐδὲ σχήματος ἀλλοίωσιν περὶ τὸ φωτιζόμενον ποιεῖ· ὁ δὲ δὴ ψυχρὸς γενόμενος τί παρὰ τῆς ψυχρότητος μένων λίθος λίθος ἔχει; Τί δ' ἂν γραμμὴ πάθοι ὑπὸ χρώματος; οὐδὲ δὴ τὸ ἐπίπεδον οἶμαι, ἀλλὰ τὸ ὑποκείμενον ἴσως σῶμα; καὶ τὸ ὑπὸ χρώματος τί ἂν πάθοι; οὐ γὰρ δεῖ τὸ παθεῖν λέγειν τὸ παρεῖναι οὐδὲ τὸ μορφὴν περιθεῖναι. Εἰ δέ τις καὶ τὰ κάτοπτρα λέγοι καὶ ὅλως τὰ διαφανῆ ὑπὸ τῶν ἐνορωμένων εἰδώλων μηδὲν πάσχειν, οὐκ ἀνόμοιον ἂν τὸ παράδειγμα φέροι· εἴδωλα γὰρ καὶ τὰ ἐν τῇ ὕλῃ, καὶ αὐτὴ ἔτι μᾶλλον ἀπαθέστερον, ἢ τὰ κάτοπτρα. Ἐγγίγνονται μὲν δὴ ἐν αὐτῇ θερμότητες καὶ ψυχρότητες, ἀλλ' οὐκ αὐτὴν θερμαίνουσαι· τὸ γὰρ θερμαίνεσθαι ἐστὶ καὶ τὸ ψύχεσθαι ποιότητος ἐξ ἄλλης εἰς ἄλλην τὸ ὑποκείμενον ἀγούσης. Ἐπισκεπτέον δὲ περὶ τῆς ψυχρότητος, μή ποτε ἀπουσία καὶ στέρησις· συνελθοῦσαι δὲ εἰς αὐτὴν αἱ ποιότητες, εἰς ἀλλήλας

IX. Animadvertendum est, quod dicitur adesse alterum alteri, atque in alio aliud esse, non uno duntaxat modo nobis accipiendum, sed aliquando ita se habere, ac si quid una cum præsentia sua melius vel deterius illud permutatione quadam afficiat : quod quidem in corporibus, præsertim viventibus, est manifestum. Aliquando vero aliquid alicujus præsentia sine susceptione melius fit aut deterius : seorsum a passione, quemadmodum de anima dicebatur : aliquando etiam id tale est, velut si quis ceræ figuram adhibeat, ubi neque ulla passio est, per quam aliud quiddam cera fiat, quando adest ei figura : neque rursum defectus aliquis ceræ accidit deleta figura, lum vero tamen neque figuram quidem illuminato permutat. Lapis quinetiam frigefactus nonnihil a frigefaciente habet, lapis nihilo minus interea permanens, nihil tamen nactus præter frigiditatem. Proinde quidnam linea patitur sub colore? quidve planum? forsan vero subjectum corpus pati dicetur, quamvis a colore quidnam pati potissimum designabitur? non enim dicendum est pati esse aliquid adesse, vel ornari forma. Si quis autem dixerit, specula omniaque perspicua ab his, quæ ibi apparent, imaginibus nihil perpeti, exemplum certe afferet opportunum : nam et, quæ in materia sunt, imagines sunt, et ipsa materia magis etiam, quam specula, est a passionibus aliena. Fiunt ergo in ipsa caliditates et frigora, neque tamen calores materiam calefaciunt : caleferi enim et frigefieri in eo consistit, quod qualitas subjectum ex alia qualitate traducit in aliam. Inter hæc autem consideratione dignum foret, num forte frigus nihil aliud sit, quam absentia quædam privatioque caloris : concurrentes autem in materia qualitates, plurimæ quidem earum in se invicem aliquid

μὲν αἱ πολλαὶ αὐτῶν ποιήσουσι, μᾶλλον δὲ αἱ ἐναντίως ἔχουσαι. Τί γὰρ ἂν εὐωδία γλυκύτητα ἐργάσαιτο; ἢ χρῶμα σχῆμα; ἢ τὸ ἐξ ἄλλου γένους ἄλλο; ὅθεν ἄν τις καὶ μάλιστα πιστεύσειεν, ὡς ἔστιν ἐν τῷ αὐτῷ εἶναι ἄλλο, ἢ ἕτερον ἐν ἑτέρῳ, ἄλυπον ὄν, τῇ αὐτοῦ παρουσίᾳ, ᾧ ἢ ἐν ᾧ πάρεστιν. Ὥσπερ οὖν καὶ τὸ βλαπτόμενον οὐχ ὑπὸ τοῦ τυχόντος, οὕτως οὐδὲ τὸ τρεπόμενον καὶ πάσχον ὑφ' ὁτουοῦν ἂν πάθοι· ἀλλὰ τοῖς ἐναντίοις ὑπὸ τῶν ἐναντίων ἡ πεῖσις, τὰ δ' ἄλλα ὑπ' ἄλλων ἄτρεπτα· οἷς δὴ μηδαμία ἐναντιότης ὑπάρχει, ταῦτα ὑπ' οὐδενὸς ἂν ἐναντίου πάθοι. Ἀνάγκη τοίνυν εἴ τι πάσχει, μὴ ὕλην, ἀλλά τι συναμφότερον, ἢ ὅλως πολλὰ ὁμοῦ εἶναι. Τὸ δὲ μόνον καὶ ἔρημον τῶν ἄλλων, καὶ παντάπασιν ἁπλοῦν, ἀπαθὲς ἂν εἴη πάντων, καὶ ἐν μέσοις ἅπασιν ἀπειλημμένον, ἢ τοῖς εἰς ἄλληλα ποιοῦσιν· οἷον ἐν οἴκῳ τῷ αὐτῷ ἀλλήλους παιόντων, ὁ οἶκος ἀπαθὴς καὶ ὁ ἐν αὐτῷ ἀήρ. Συνιόντα δὲ τὰ ἐπὶ τῆς ὕλης ἄλληλα ποιείτω, ὅσα ποιεῖν πέφυκεν· αὐτὴ δὲ ἀπαθὴς ἔστω πολὺ μᾶλλον, ἢ ὅσαι ποιότητες ἐν αὐτῇ τῷ μὴ ἐναντίαι εἶναι ἀπαθεῖς ὑπ' ἀλλήλων εἰσίν.

agent, quae videlicet inter se contraria sunt. Quid enim odor aliquis in dulcedinem agat? aut color in figuram? aut quod in alio genere est, in genus aliud agat? unde quis potissimum credat posse in eodem esse aliud atque aliud, vel aliud in alio, ipsa videlicet sui praesentia nihil nocente, cui vel in quo adest aut inest. Quemadmodum igitur, quod laeditur, non a quolibet laeditur: ita neque permutatur et * patitur a quocunque mutatur et patitur. Sed enim contraria tantum a contrariis patiuntur, cetera vero a ceteris non mutantur, nempe, quibus nulla contrarietas est, haec a nullo contrario patiuntur. Quam ob rem necesse est, si quid patitur, id non esse materiam, sed compositum aliquid, vel omnino multa simul exsistere. Quod autem solum est ab aliisque natura secretum, simplexque omnino, a nullo pati potest, sed omnibus inter se agentibus velut medium potest subesse: sicut in eodem habitaculo nonnullis se invicem percutientibus habitaculum ipsum nihil patitur, et fortasse neque etiam, qui in eo est, aer. Congredientia igitur inter se, quae in materia sunt, agant quaecunque in se invicem naturaliter agere possunt: ipsa vero materia multo sit a passione remotior, quam quaelibet qualitates in ea, quae ex eo, quod non sint contrariae, a se invicem minime patiuntur.

Confirmatio superiorum, quod materia de statu suo minime moveatur.

Ι΄. Ἔπειτα εἰ πάσχοι ἡ ὕλη, δεῖ τι ἔχειν αὐτὴν ἐκ τοῦ πάθους, ἢ αὐτὸ τὸ πάθος, ἢ ἑτέρως διακεῖσθαι, ἢ πρὶν εἰσελθεῖν εἰς αὐτὴν τὸ πάθος. Ἐπιούσης τοίνυν ἄλλης μετ' ἐκείνην ποιότητος οὐκέτι ὕλη ἔσται τὸ δεχόμενον, ἀλλὰ ποιὰ ὕλη. Εἰ δὲ καὶ αὕτη ἡ ποιότης ἀποσταίη καταλιποῦσά τι αὐτῆς τῷ ποιῆσαι, ἄλλο ἂν ἔτι μᾶλλον γίνοιτο τὸ ὑποκείμενον· καὶ προϊοῦσα τοῦτον τὸν τρόπον ἄλλο τι ἢ ὕλη ἔσται τὸ ὑποκείμενον, πολύτροπον δὲ καὶ πολυειδές· ὥστε οὐδ' ἂν ἔτι πανδεχὲς γένοιτο, ἐμπόδιον πολλοῖς τοῖς ἐπιοῦσι γιγνόμενον, ἥ τε ὕλη οὐκέτι μένει, οὐδὲ ἄφθαρτος τοίνυν· ὥστε, εἰ δεῖ ὕλην εἶναι ὥσπερ ἐξ ἀρχῆς ἦν, οὕτως ἀεὶ δεῖ αὐτὴν εἶναι τὴν αὐτὴν ὡς τό γε ἀλλοιοῦσθαι λέγειν, οὐκ ἔστιν αὐτὴν ὕλην τηρούντων. Ἔπειτα δέ, εἰ ὅλως τὸ ἀλλοιούμενον πᾶν δεῖ μένον ἐπὶ τοῦ αὐτοῦ εἴδους ἀλλοιοῦσθαι, καὶ κατὰ συμβεβηκότα, ἀλλ' οὐ καθ' αὑτά· εἰ δὲ δεῖ μένειν τὸ ἀλλοιούμενον, καὶ οὐ τὸ μένον ἐστὶν αὐτοῦ τὸ πάσχον, δυοῖν θάτερον ἀνάγκη· ἢ ἀλλοιουμένην τὴν ὕλην αὑτῆς ἐξίστασθαι, ἢ μὴ ἐξισταμένην αὑτῆς μὴ ἀλλοιοῦσθαι. Εἰ δέ τις λέγοι μὴ καθ' ὅσον ὕλην ἀλλοιοῦσθαι, πρῶτον μέν, κατὰ τί ἀλλοιώσεται, οὐχ ἕξει λέγειν, ἔπειτα ὁμολογήσει καὶ οὕτω τὴν ὕλην αὐτὴν μὴ ἀλλοιοῦσθαι. Ὥσπερ γὰρ τοῖς ἄλλοις εἴδεσιν οὖσιν οὐκ ἔστιν ἀλλοιοῦσθαι κατὰ τὴν οὐσίαν, τῆς οὐσίας αὐτοῖς ἐν τούτῳ οὔσης, οὕτως, ἐπειδὴ τὸ εἶναι τῇ ὕλῃ ἐστὶ τὸ εἶναι ᾗ ὕλη, οὐκ ἔστιν αὐτὴν ἀλλοιοῦσθαι, καθ' ὅ τι ὕλη ἐστίν, ἀλλὰ μένειν· καὶ ὥσπερ ἐκεῖ, ἀναλλοίωτον αὐτὸ τὸ εἶδος, οὕτω καὶ ἐνταῦθα ἀναλλοίωτον αὐτὴν τὴν ὕλην.

X. Accedit ad haec, quod, si materia patitur, oportet eam ex passione aliquid reportare, vel passionem ipsam, vel aliter affectam esse, quam antequam in ea passio fieret. Ingrediente igitur alia post illam qualitate haud ulterius materia erit, quod suscipiet eam, sed materia qualis. Sin autem et ipsa qualitas desinat, relinquens sui aliquid propterea, quod materiam jam affecerat, adhuc multo magis aliud subjectum fiet, atque hac conditione procedens aliud quiddam, quam mera materia, subjectum erit, scilicet varium quiddam et multiforme: quapropter non amplius erit commune omnium susceptaculum, quippe cum jam impedimentum ad multa quandoque ventura in se ipsa conceperit: neque ipsa materia amplius permanebit, neque igitur incorruptibilis erit. Quam ob rem, si oportet esse materiam quemadmodum ab initio fuerat, ita semper oportet eandem esse, nempe, hanc permutatam falso dicere, non est eam servare materiam. Praeterea si omnino, quod alteratur, oportet permanens in eadem specie in accidentibus alterari, neque tamen permutari substantia: si, inquam, manere oportet, quod alteratur, et quod in eo patitur, non est id, quod permanet, necesse est alterum e duobus accidere, vel alteratam materiam a se ipsa discedere, vel non discedentem minime alterari. Si quis autem dixerit alterari quidem eam, sed non, qua ratione materia est, alterari: primo quidem, secundum quid alteretur, explicare non poterit; deinde confiteri cogetur sic quoque ipsam materiam non alterari. Quemadmodum enim in ceteris, quae species sunt, fieri non potest, ut secundum essentiam alterentur, quippe cum illorum essentia in hoc ipso consistat: sic, quoniam esse materiae est esse, qua ratione materia est, non licet eam, quatenus materia est, alterari, sed est necessarium permanere. Et sicut illic species ipsa immutabilis est, ita et hic necesse est immutabilem esse materiam.

Quomodo formae vadant in materiam secundum Timaeum per modum imaginum in speculum.

ΙΑ΄. Ὅθεν δὴ καὶ τὸν Πλάτωνα οὕτω διανοούμενον ὀρθῶς εἰρηκέναι νομίζω, τὰ δὲ εἰσιόντα καὶ ἐξιόντα τῶν

XI. Hinc Platonem ita excogitantem recte dixisse arbitror, ubi ait intrantia vero exeuntia [esse] ingredientia

ὄντων μιμήματα μὴ μάτην εἰσιέναι καὶ ἐξιέναι εἰρηκέναι, ἀλλὰ βουλόμενον ἡμᾶς συνεῖναι ἐπιστήσαντας τῷ τρόπῳ τῆς μεταλήψεως. Καὶ κινδυνεύει τὸ ἄπορον ἐκεῖνο, τὸ ὅπως ἡ ὕλη τῶν εἰδῶν μεταλαμβάνει, μὴ ἐκεῖνο εἶναι, ὃ οἱ πολλοὶ ᾠήθησαν τῶν πρὸ ἡμῶν, τὸ πῶς ἔρχεται εἰς αὐτήν, ἀλλὰ μᾶλλον πῶς ἐστιν ἐν αὐτῇ. Ὄντως γὰρ θαυμαστὸν εἶναι δοκεῖ, πῶς τούτων τῶν εἰδῶν παρόντων αὐτῇ μένει ἡ αὐτὴ ἀπαθὴς αὐτῶν οὖσα· καὶ προσέτι αὐτῶν τῶν εἰσιόντων πασχόντων ὑπ' ἀλλήλων. Ἀλλὰ καὶ αὐτὰ τὰ εἰσιόντα ἐξωθεῖν τὰ πρότερα ἕκαστα, καὶ εἶναι τὸ παθεῖν ἐν τῷ συνθέτῳ· καὶ οὐδὲ ἐν παντὶ συνθέτῳ, ἀλλ' ᾧ χρεία τοῦ προσελθόντος ἢ ἀπελθόντος, καὶ ὃ ἐλλειπὲς μὲν τῇ συστάσει ἀπουσίᾳ τινός, τέλειον δὲ τῇ παρουσίᾳ. Τῇ δὲ ὕλῃ οὔτε τι πλέον εἰς τὴν αὐτῆς σύστασιν προσελθόντος ὁτουοῦν· οὐ γὰρ γίγνεται τότε ὅ ἐστι προσελθόντος, οὔτε ἔλαττον ἀπελθόντος· μένει γάρ, ὃ ἐξ ἀρχῆς ἦν. Τοῦ δὲ κεκοσμῆσθαι τοῖς μὲν κόσμου καὶ τάξεως δεομένοις εἴη ἂν χρεία, καὶ ὁ κόσμος δὲ γένοιτο ἂν ἄνευ μεταλλοιώσεως, οἷον οἷς περιτίθεμεν. Εἰ δὲ οὕτω τις κοσμηθείη, ὡς σύμφυτον εἶναι, δεήσει ἀλλοιωθὲν ὃ πρότερον αἰσχρὸν ἦν, καί, ἕτερον γενόμενον ἐκεῖνο τὸ κεκοσμημένον, οὕτω καλὸν ἐξ αἰσχροῦ εἶναι. Εἰ τοίνυν αἰσχρὰ οὖσα ἡ ὕλη καλὴ ἐγένετο, ὃ ἦν πρότερον τὸ αἰσχρὰ εἶναι οὐκέτ' ἐστίν, ὥστε ἐν τῷ οὕτω κεκοσμῆσθαι ἀπολεῖ τὸ ὕλην εἶναι, καὶ μάλιστα, εἰ μὴ κατὰ συμβεβηκὸς αἰσχρά. Εἰ δ' οὕτως αἰσχρὰ ὡς αἶσχος εἶναι, οὐδ' ἂν μεταλάβοι κόσμου· καὶ εἰ οὕτω κακὴ ὡς κακὸν εἶναι, οὐδ' ἂν μεταλάβοι ἀγαθοῦ· ὥστε οὐχ οὕτως ἡ μετάληψις ὡς οἴονται παθούσης, ἀλλ' ἕτερος τρόπος οἷον δοκεῖν. Ἴσως δὲ καὶ τοῦτον τὸν τρόπον λύοιτο ἂν τὸ ἄπορον· πῶς οὖσα κακὴ ἐφίοιτο ἂν τοῦ ἀγαθοῦ, ὡς μὴ μεταλήψει ἀπολλυμένης ὃ ἦν. Εἰ γὰρ τοῦτον τὸν τρόπον ἡ λεγομένη μετάληψις, ὡς τὴν αὐτὴν μένειν μὴ ἀλλοιουμένην, ὡς λέγομεν, ἀλλ' εἶναι ἀεὶ ὅ ἐστιν, οὐκέτι θαυμαστὸν γίγνεται τὸ πῶς οὖσα κακὴ μεταλαμβάνει, οὐ γὰρ ἐξίσταται ἑαυτῆς· ἀλλ' ὅτι μὲν ἀναγκαῖόν ἐστι μεταλαμβάνειν, ἁμηγέπη μεταλαμβάνει ἕως ἂν ᾖ. Τῷ δ' εἶναι ὅ ἐστι, τρόπῳ μεταλήψεως τηροῦντι αὐτήν, οὐ βλάπτεται εἰς τὸ εἶναι παρὰ τοῦ οὕτω διδόντος, καὶ κινδυνεύει διὰ τοῦτο οὐχ ἧττον εἶναι κακή, ὅτι ἀεὶ μένει τοῦτο ὅ ἐστι. Μεταλαμβάνουσα γὰρ ὄντως καὶ ἀλλοιουμένη ὄντως ὑπὸ τοῦ ἀγαθοῦ, οὐκ ἂν ἦν τὴν φύσιν κακή· ὥστε εἴ τις τὴν ὕλην λέγοι κακήν, οὕτως ἂν ἀληθεύοι, εἰ τοῦ ἀγαθοῦ ἀπαθῆ λέγοι, τοῦτο δὲ ταὐτόν ἐστι τῷ ὅλως ἀπαθῆ εἶναι.

egredientiaque materiam: neque enim ab eo ingredi et egredi expressisse putandum, sed nos in exponendo cautos reddere voluisse, quo videlicet pacto species participare materia possit. Hinc et apparet Platonicam illam dubitationem, qua quaeritur, quonam pacto materia fiat particeps specierum, non illuc tendere, quo multi priores existimarunt, scilicet quomodo species veniant in materiam, sed potius quomodo sint in ipsa. Ita vero enim mirabile videtur esse, quomodo praesentibus his materiae speciebus permaneat ipsa eadem nullam ab his accipiens passionem, praesertim cum, quae ingrediuntur in eam, a se invicem patiantur. Sed enim ex Platonica sententia putandum est, ea, quae materiam ingrediuntur, priora inde expellere, esseque in composito passionem: neque in omni composito, sed in eo, cui opus est antecedente forma vel recedente, et quod per alicujus quidem absentiam defectum in constitutione propria patitur, per praesentiam vero perficitur. Materia vero neque plus habet quicquam in natura sua quolibet accedente; neque enim tunc accedente illo id, quod est, efficitur: neque rursus ullo recedente minus habet quicquam: perseverat enim, quod ab initio fuerat. Illis profecto utilis necessariaque est exornatio, quae ornamento et ordine indigent, atque potest ornatus absque transmutatione fieri, velut quando ornamentum aliqui circumdamus. Sin autem sic aliquid exornetur, ut insitum habeat ornamentum, oportebit, quod exornatur, permutari ex eo, quod prius erat turpe, diversumque fieri atque ita ex turpi evadere pulchrum. Si igitur materia existens turpis facta est pulchra, non est ulterius id ipsum turpe, quod antea fuerat: quapropter, dum sic exornatur, amittit esse materiam, praesertim si non secundum accidens turpis esse censetur. Quodsi ita sit turpis, ut ipsa sit turpitudo, ornamenti particeps fieri non possit: rursus, si ita sit mala, ut malum ipsum sit, nullam unquam boni partem acciperet: quapropter non ita participatio fit, ut plerique putant, quasi patiente materia, sed alia quaedam ratio est, videlicet apparendi. Fortasse vero et hoc modo dubitatio illa solvetur, qua perquiritur, quonam pacto, si mala sit, appetat bonum, quippe cum ipsa participatione non desinat esse quod erat. Si enim hac conditione participatio fiat, ut maneat eadem minime alterata, sicut dicimus, sed quod est, sit et semper, non amplius mirabile videri debet, etiam si mala sit, participare bonum: non enim a se ipsa discedit. At quoniam necessarium est participare, idcirco quodammodo, quamdiu est, participat: ex eo autem, quod permanet id ipsum, quod est, participationis modo ipsam servante, non laeditur in essentia ab eo, quod ita tradit. Videtur profecto non minus ob hoc esse mala, quoniam semper id, quod est, permanet. Si enim re vera fieret particeps, et vere permutetur a bono, non esset per naturam mala. Quam ob rem, si quis materiam dicat esse malam, sic utique vera loquetur, si pati eam a bono negaverit. Id autem idem est, ac si omnino impassibilis affirmetur.

Confirmatio superiorum, et quod materia neque afficiatur aliquo modo in natura sua per formas, neque patiatur, neque dividatur.

ΙΒ'. Ὁ δέ γε Πλάτων τοῦτο νοῶν περὶ αὐτῆς, καὶ τὴν μετάληψιν οὐχ ὡς ἐν ὑποκειμένῳ εἴδους γενομένου καὶ μορφὴν διδόντος, ὥστε ἓν σύνθετον γενέσθαι, συντραπέντων καὶ οἷον συγκραθέντων καὶ συμπαθόντων τιθέμενος, ὅτι μὴ οὕτω λέγει παραστῆσαι βουλόμενος,

XII. Plato autem idem de materia cogitans participationemque in ea non ita fieri judicans, quasi in subjecto fiat species formaque inseratur, ita ut unum fiat compositum, simul videlicet transmutatis et commixtis atque compatientibus, et profecto non ita se dicere studens asseverare, cupiens quin etiam declarare, quomodo ipsa impassibilis

καὶ πῶς ἂν αὐτὴ ἀπαθὴς μένουσα ἔχοι τὰ εἴδη, ἀπαθοῦς μεταλήψεως ζητοῦσα παράδειγμα ἄλλον τρόπον, οὐ ῥᾴδιον διδάξαι, ἃ μάλιστα παρόντα σώζει τὸ ὑποκείμενον ταὐτὸν εἶναι, ὑπέστη πολλὰς ἀπορίας, σπεύδων ἐφ᾽ ὃ βούλεται, καὶ προσέτι παραστῆσαι θέλων τὸ ἐν τοῖς αἰσθητοῖς κενὸν τῆς ὑποστάσεως, καὶ τὴν χώραν τοῦ εἰκότος οὖσαν πολλήν. Τὴν οὖν ὕλην σχήμασιν ὑποθέμενος τὰ πάθη ποιεῖν τοῖς ἐμψύχοις σώμασιν, οὐδὲν αὐτὴν ἔχουσαν τούτων τῶν παθημάτων, τὸ μένον ταύτης ταύτῃ ἐνδείκνυται, διδοὺς συλλογίζεσθαι, ὡς οὐδὲ παρὰ τῶν σχημάτων ἔχει τὸ πάσχειν αὐτὴ καὶ ἀλλοιοῦσθαι. Τοῖς μὲν γὰρ σώμασι τούτοις ἐξ ἑτέρου σχήματος ἕτερον σχῆμα δεχομένοις τάχα ἄν τις ἀλλοίωσιν λέγοι γίγνεσθαι τὴν τοῦ σχήματος μεταβολήν, ὁμώνυμον τὴν ἀλλοίωσιν εἶναι λέγων. Τῆς δὲ ὕλης οὐδὲν σχῆμα ἐχούσης οὐδὲ μέγεθος πῶς ἄν τις τὴν τοῦ σχήματος ὁπωσοῦν παρουσίαν ἀλλοίωσιν εἶναι κἂν ὁμωνύμως λέγοι; εἴ τις οὖν ἐνταῦθα τῷ νόμῳ χρῴη, καὶ τὰ ἄλλα νόμῳ λέγοι, τῷ τὴν φύσιν τὴν ὑποκειμένην μηδὲν οὕτως ἔχειν, ὡς νομίζεται, οὐκ ἂν ἄτοπος εἴη τοῦ λόγου· ἀλλὰ πῶς ἔχει; εἰ μηδὲ τὸ ὡς σχήματα ἀρέσκει, ἀλλ᾽ ἔχει ἔνδειξιν ἡ ὑπόθεσις, ὡς οἷόν τε, τῆς ἀπαθείας, καὶ τῆς οἷον εἰδώλων οὐ παρόντων δοκούσης παρουσίας· ἢ πρότερον ἔτι περὶ τῆς ἀπαθείας αὐτῆς λεκτέον, διδάσκοντας ὡς χρὴ ταῖς συνηθείαις τῶν ὀνομάτων ἐπὶ τὸ πάσχειν αὐτὴν φέρεσθαι· οἷον ὅταν ξηραινομένην τὴν αὐτὴν πυρουμένην καὶ ὑγραινομένην ἐνθυμουμένους καὶ τὰ ἑξῆς, καὶ τὰς ἀέρος καὶ ὕδατος μορφὰς δεχομένην. Τὸ γὰρ καὶ τὰς ἀέρος καὶ ὕδατος μορφὰς δεχομένην ἀπαμβλύνει μὲν τὸ πυρουμένην καὶ ὑγραινομένην, δηλοῖ τε, ἐν τῷ μορφὰς δεχομένην οὐ τὸ μεμορφῶσθαι αὐτήν, ἀλλ᾽ εἶναι τὰς μορφὰς ὡς εἰσῆλθον, τό τε πυρουμένην οὐ κυρίως εἰρῆσθαι, ἀλλὰ μᾶλλον πῦρ γιγνομένην. Οὐ γὰρ τὸ αὐτὸ πῦρ γίγνεσθαι καὶ πυροῦσθαι· ὑπ᾽ ἄλλου μὲν γὰρ τὸ πυροῦσθαι, ἐν ᾧ καὶ τὸ πάσχειν· ὃ δ᾽ αὐτὸ μέρος ἐστὶ πυρός, πῶς ἂν πυροῖτο; τοιοῦτον γὰρ ἂν εἴη, οἷον εἴ τις διὰ τοῦ χαλκοῦ τὸν ἀνδριάντα λέγειν πεφοιτηκέναι, ἢ τὸ πῦρ διὰ τῆς ὕλης λέγοι κεχωρηκέναι καὶ προσέτι πυρῶσαι. Ἔτι εἰ λόγος ὁ προσιών, πῶς ἂν πυρώσειεν; ἢ εἰς σχῆμα; ἀλλὰ τὸ πυρούμενον ὑπ᾽ ἀμφοῖν ἤδη. Πῶς οὖν ὑπ᾽ ἀμφοῖν, μὴ ἑνὸς ἐξ ἀμφοῖν γενομένου; ἢ κἂν ἓν ᾖ γενόμενον, οὐκ ἐν ἀλλήλοις τὰ πάθη ἐχόντων, ἀλλὰ πρὸς ἄλλα ποιούντων. Ἆρα οὖν ἀμφοτέρων ποιούντων, ἢ θατέρου θάτερον παρέχοντος μὴ φυγεῖν. Ἀλλ᾽ ὅταν διαιρεθῇ τι σῶμα, πῶς οὐ καὶ αὐτὴ διῄρηται; καὶ πεπονθότος ἐκείνου τῷ διῃρῆσθαι, πῶς οὐ καὶ αὐτὴ τῷ αὐτῷ τούτῳ παθήματι πέπονθεν; ἢ τί κωλύει τῷ αὐτῷ λόγῳ τούτῳ καὶ φθεῖραι λέγοντας, πῶς, φθαρέντος τοῦ σώματος, οὐκ ἔφθαρται; ἔτι λεκτέον; τοσόνδε γὰρ εἶναι, καὶ μέγεθος εἶναι· τῷ δὲ μὴ μεγέθει οὐδὲ τὰ μεγέθους πάθη ἐγγίγνεσθαι, καὶ ὅλως δὴ τῷ μὴ σώματι μηδὲ τὰ σώματος πάθη γίγνεσθαι· ὥστε, ὅσοι παθητὴν ποιοῦσι, καὶ σῶμα συγχωρείτωσαν αὐτὴν εἶναι.

perseverans species habeat, indagavit impassibilis participationis exemplum, praeter quod non facile foret ostendere, quaenam potissimum sua praesentia subjectum idem permanere permittant: dubitationes multas movit, dum, quo cupit, pervenire contendit: atque praeterea studuit asseverare, in rebus sensibilibus vacuitatem quidem esse substantiae, locum vero verisimilitudinis et imaginis esse quam plurimum. Proponens igitur materiam sub figuris passiones corporibus animalis inferre, ipsam quidem nullam ex passionibus iis habentem, stabilitatem ejus hoc pacto significavit, ad argumentandum provocans, nullo modo materiam ipsam ab his figuris pati vel permutari. In his quidem corporibus figuram aliam ex alia commutantibus fortasse aliquis alterationem dicat fieri, ipsam videlicet figurae mutationem, dicens alterationem ejusmodi aequivocam esse. Cum vero materia neque figuram neque magnitudinem habeat ullam, quonam pacto quis figurae adventum, quomodocunque fiat, alterationem vel etiam aequivoce dicat? Si quis igitur hic ea lege utatur et singula dicat, qua declaret subjectam naturam nihil sic, ut putatur, habere, a ratione minime aberrabit. Veruntamen quonam modo habet? Si neque tanquam figuras placet habere, sed Platonica propositio, quoad fieri potest, significat, tum materiae naturam esse passionis expertem, tum praesentiam in ea formarum esse duntaxat apparentem, velut imaginum non praesentium. Forsan vero prius adhuc de impassibili ejus conditione tractandum docendumque, oportere consuetis nominibus ad ejus passionem quodam modo designandam adduci: velut quando desiccatam eandem ignitam vel humefactam excogitamus (ut Plato inquit) et quae deinceps, et aeris atque aquae formas suscipientem. Quod enim subditur a Platone, materiam formas aeris et aquae suscipere: tum temperat minuitque, quod dictum fuerat, materiam esse ignitam et humefactam: tum ostendit materiam in eo, quod formas capit, non formari, sed formas esse ita, ut ingressae sunt: item, quod dictum est ignitam, haud proprie fuisse dictum, sed magis significatum, quod facta sit ignis. Non enim idem est omnino ignem fieri atque igniri: nam igniri quidem alio fit, in quo quidem contingit pati: quod autem pars est ignis, igniri non potest; alioquin perinde id se haberet, ac si quis statuam dixerit per ipsum aes processisse, vel ignem per materiam fuisse progressum atque etiam ignire materiam. Atqui etsi ratio ipsa accedens agere id dicatur, quonam modo materiam ignire dicetur? An forsan in figuram? At enim quod ignitur, ex ambobus jam constat. Quomodo igitur ex ambobus, si non est factum ex ambobus unum? An forte, quamvis factum sit unum, non tamen e duobus habentibus invicem passiones, sed in alia quaedam agentibus? Numquid igitur ambobus agentibus? vel potius altero efficiente, ut alterum minime fugiat. At quando corpus dividitur, quomodo fieri potest, ut materia ipsa non dividatur? Et cum ipsum patitur, dum dividitur, quomodo non et ipsa eandem sustinet passionem? Fortasse vero nihil prohibet eadem ratione materiam ipsam corrumpere, dicentes videlicet, quonam modo corrupto corpore materia non corrumpitur? Profecto etiam dicendum foret, quod patitur et dividitur, tantum quiddam esse, magnitudinemque existere. Ei vero, quod non est magnitudo, neque etiam magnitudinis passiones inesse: et omnino ei, quod non est corpus, passiones corporis non accidere: quapropter, quicunque materiam pati posse fatentur, corpus quoque eam esse confiteri coguntur.

Confirmantur superiora, et probatur, quod materia se habet ad formas et ad mentem divinam, sicut speculum ad imagines atque ad spectacula.

ΙΓ'. Ἔτι δὲ κἀκεῖνο ἐπιστῆσαι αὐτοὺς προσήκει, πῶς λέγουσι φεύγειν αὐτὴν τὸ εἶδος. Πῶς γὰρ ἂν λίθους τὰ περιλαβόντα αὐτὴν καὶ πέτρας φύγοι; οὐ γὰρ δὴ ποτὲ μὲν φεύγειν, ποτὲ δὲ μὴ φεύγειν φήσουσιν. Εἰ γὰρ βουλήσει αὐτῆς φεύγει, διὰ τί οὐκ ἀεί; εἰ δὲ ἀνάγκῃ μένει, οὐκ ἔστιν ὅτε οὐκ ἐν εἴδει τινί ἐστιν· ἀλλὰ τοῦ μὴ τὸ αὐτὸ εἶδος ἀεὶ ἴσχειν ἑκάστην ὕλην ζητητέον τὴν αἰτίαν, καὶ ἐν τοῖς εἰσιοῦσι μᾶλλον. Πῶς οὖν λέγεται φεύγειν; ἢ τῇ αὐτῇ φύσει καὶ ἀεί; τοῦτο δὲ τί ἂν εἴη ἢ μηδέποτε αὐτῆς ἐξισταμένην οὕτως ἔχειν τὸ εἶδος, ὡς μηδέποτε ἔχειν, ἤ, ὅ τι χρήσονται τῷ ὑφ' αὐτῶν λεγομένῳ, οὐχ ἕξουσιν. Ἡ δὲ ὑποδοχὴ καὶ τιθήνη γενέσεως ἁπάσης. ἡ γὰρ ὑποδοχὴ καὶ τιθήνη, ἡ δὲ γένεσις ἄλλο αὐτῆς. Τὸ δὲ ἀλλοιούμενον ἐν τῇ γενέσει, πρὸ γενέσεως [οὖν] οὖσα εἴη ἂν καὶ πρὸ ἀλλοιώσεως ἥ τε ὑποδοχὴ καὶ ἔτι ἡ τιθήνη, [ὥστε] τηρεῖν ἐν ᾧ ἐστιν ἀπαθῆ οὖσαν· καὶ τὸ ἐν ᾧ ἐγγιγνόμενον, ἕκαστον φαντάζεται, καὶ πάλιν ἐκεῖθεν ἔξεισι· καὶ χώραν εἶναι καὶ ἕδραν, καὶ τὸ λεγόμενον δὲ καὶ εὐθυνόμενον ὡς τόπον εἰδῶν λέγοντος, οὐ πάθος λέγεται περὶ ἐκεῖνο, ἀλλὰ τρόπον ἕτερον ζητεῖ. Τίς οὖν οὗτος; ἐπειδὴ τὴν λεγομένην ταύτην φύσιν οὐδὲν δεῖ εἶναι τῶν ὄντων, ἀλλ' ἅπασαν ἐκπεφευγέναι τὴν τῶν ὄντων οὐσίαν, καὶ πάντῃ ἑτέραν· λόγοι γὰρ ἐκεῖνα, καὶ ὄντως ὄντες· ἀνάγκη δὲ αὐτὴν τῷ ἑτέρῳ τοῦτο φυλάττουσαν αὐτῆς, ἣν εἴληχε, σωτηρίαν, ἀνάγκη αὐτὴν μὴ μόνον τῶν ὄντων ἄδεκτον εἶναι, ἀλλὰ καὶ εἴ τι μίμημα αὐτῶν, καὶ τούτου ἄμοιρον εἰς οἰκείωσιν εἶναι. Οὕτω γὰρ ἂν ἑτέρα πάντῃ, ἢ εἶδός τι εἰσοικισαμένη, μετ' ἐκείνου ἄλλο γενομένη, ἀπώλεσε τὸ ἑτέρα εἶναι καὶ χώρα πάντων, καὶ οὐδενὸς ὁτουοῦν ὑποδοχή. Ἀλλὰ δεῖ καὶ εἰσιόντων τὴν αὐτὴν μένειν καὶ ἐξιόντων ἀπαθῆ, ἵνα καὶ εἰσίῃ τι ἀεὶ εἰς αὐτὴν καὶ ἐξίῃ. Εἴσεισι δὴ τὸ εἰσιὸν εἴδωλον ὄν, καὶ εἰς οὐκ ἀληθινὸν οὐκ ἀληθές. Ἆρ' οὖν ἀληθῶς; καὶ πῶς ᾧ μηδαμῶς θέμις ἀληθείας μετέχειν διὰ τὸ ψεῦδος εἶναι; ἆρ' οὖν ψευδῶς εἰς ψεῦδος ἔρχεται καὶ παραπλήσιον γίγνεται, οἷον καὶ εἰς τὸ κάτοπτρον ἐνορῷτο τὰ εἴδωλα τῶν ἐνορωμένων, καὶ ἕως ἐνορᾷ ἐκεῖνα; Καὶ γὰρ εἰ ἐνταῦθα ἀνέλοις τὰ ὄντα, οὐδὲν ἂν οὐδένα χρόνον φανείη τῶν νῦν ἐν αἰσθητῷ ὁρωμένων. Τὸ μὲν οὖν κάτοπτρον ἐνταῦθα καὶ αὐτὸ ἐνορᾶται· ἔστι γὰρ καὶ αὐτὸ εἶδός τι· ἐκεῖ δὲ οὐδὲν εἶδος ὂν αὐτὸ μὲν οὐχ ὁρᾶται· ἔδει γὰρ αὐτὸ πρότερον καθ' αὑτὸ ὁρᾶσθαι· ἀλλὰ τοιοῦτόν τι πάσχει, οἷον καὶ ὁ ἀὴρ φωτισθεὶς ἀφανής ἐστι καὶ τότε, ὅτι καὶ ἄνευ τοῦ φωτισθῆναι οὐχ ἑωρᾶτο. Ταύτῃ οὖν τὰ μὲν ἐν τοῖς κατόπτροις οὐ πιστεύεται εἶναι, ἢ ἧττον, ὅτι ὁρᾶται τὸ ἐν ᾧ ἐστι, καὶ μένει μὲν αὐτό, τὰ δὲ ἀπέρχεται· ἐν δὲ τῇ ὕλῃ οὐχ ὁρᾶται αὐτή, οὔτε ἔχουσα, οὔτε ἄνευ ἐκείνων· εἰ δέ γε ἦν μένειν τὰ ἀφ' ὧν πληροῦται τὰ κάτοπτρα, καὶ αὐτὰ μὴ ἑωρᾶτο, οὐκ ἂν μὴ εἶναι ἀληθινὰ ἠπιστήθη τὰ καὶ πιστωθέντα ἐνορώμενα. Εἰ μὲν οὖν ἔστι τι ἐν

XIII. Id praeterea probare illos decet, qua ratione materiam dicant speciem aufugere. Quo enim pacto saxa ceteraque solida ipsam cohibentia fugiat? Non enim interdum quidem fugere, interdum vero non fugere dicent. Si enim voluntate propria fugit, cur non fugit et semper? Sin autem necessitate manet, non datur tempus, in quo non in aliqua specie sit: sed enim causa, propter quam non eadem species semper materiam quamlibet contineat, quaerenda est magis in his, quae ipsam ingrediuntur. Quonam igitur pacto fugere dicitur? Numquid natura eadem atque semper? Id autem quidnam aliud erit, quam eam nunquam a se ipsa discedentem sic habere speciem, quasi nunquam habeat; alioquin non habebunt illi, qua ratione probabiliter, quod dixerant, tueantur. Appellat praeterea Plato materiam susceptaculum generationis omnis atque nutricem: profecto susceptaculum atque nutrix aliud quiddam est, quam generatio. Quod autem alteratur, in generatione versatur. Et cum susceptaculum atque nutrix generationis generationem praecedat, alterationem quoque praecedit. Sane, quod susceptaculum nutrixque dicitur, servat materiam impatibilem: servat similiter, quod scribitur, materiam esse illud, in quo apparet unumquodque fieri, rursusque inde abit. Item quod appellat eam locum atque sedem: denique, quod recta ratione dicit eam esse quasi formarum locum, non passionem describit circa materiam, sed alium quendam desiderat modum. Quisnam hic modus est? Profecto cum naturam ejusmodi nullum esse oporteat entium, sed omnem entium essentiam effugisse, omninoque esse diversam, rationes enim quaedam entia sunt re vera existentes, necessarium est eam hac ipsa alteritate salutem, quam sortita est, conservare: ideoque non solum non posse entia capere, verum etiam, si quod sit entium imitamen, hujus quoque familiaritatis expertem esse. Sic enim duntaxat est ab entibus omnino diversa: alioquin, si qua cum specie intimam contraxerit familiaritatem, certe una cum ipsa aliud quiddam facta amittet jam illam diversitatem, nec ulterius omnium locus erit; imo vero nullius erit amplius receptaculum, cum tamen esse dicatur cujuslibet pariter receptaculum. Oportet autem cum formis ingredientibus eandem permanere materiam, tum egredientibus impatibilem, ut et intret aliquid semper et exeat. Intrabit autem, quod ingreditur, cum ipsum ut simulacrum, tum in aliquid minime verum: ideoque neque ipsum etiam erit verum. Sed numquid vere accipietur? At quonam pacto vere accipiatur ab eo, cui nullo modo fas est veritatem participare, propterea quod sit ipsum falsum? Forsan igitur falso procedit in falsum, similiterque se habet, atque imagines objectorum apparentes in speculo, quamdiu illa permanent e conspectu. Etenim si entia ex universo sustuleris, nihil penitus vel momento apparebit unquam eorum, quae nunc in mundo videntur: speculum quidem apud nos ipsum quoque perspicitur: est enim et ipsum species aliqua. Quod vero in mundo est, quasi speculum, cum nulla sit species, ipsum nullo modo videtur, alioquin oporteret ipsum prius secundum se ipsum cerni: verum tale quiddam patitur, quale illuminatus aer, qui tunc etiam oculis est occultus, quoniam vel absque illuminatione videri non poterat. Hanc igitur ob causam, quae apparent in speculis, vel nullo modo, vel minus esse creduntur: quoniam illud, in quo sunt, manifeste discernitur, et ipsum quidem manet, haec vero discedunt. Materia vero minime cernitur, sive habeat formas, sive non habeat: sin autem contingeret illa manere, a quibus implentur specula, et ipsa quidem non viderentur, nemo utique diffideret, quin vera sint, quae

τοῖς κατόπτροις, καὶ ἐν τῇ ὕλῃ οὕτω τὰ αἰσθητά ἐστιν· εἰ δὲ μή ἐστι, φαίνεται δ' εἶναι, κἀκεῖ φατέον φαίνεσθαι ἐπὶ τῆς ὕλης, αἰτιωμένους τῆς φαντάσεως τὴν τῶν ὄντων ὑπόστασιν, ἧς τὰ μὲν ὄντα ὄντως ἀεὶ μεταλαμβάνει, τὰ δὲ μὴ ὄντα μὴ ὄντως· ἐπείπερ οὐ δεῖ ἔχειν οὕτως αὐτά, ὡς εἶχεν ἂν τοῦ ὄντος μὴ ὄντος, εἰ ἦν αὐτά.

videntur in speculis. Sive igitur est in speculis aliquid, in materia quoque similiter sensibilia sunt; sive nihil est in speculis, sed duntaxat apparet, similiter quoque in materia dicendum est apparere: cujus quidem apparentiae assignanda causa est entium ipsorum substantia [s. substantiae], quam entia quidem semper vere participant, non entia vero non vere: quandoquidem non oportet sic ipsa se habere, quemadmodum habuissent, si ipsa, ente ipso non existente, fuissent.

Confirmantur eadem, et quod materia nunquam impletur, sed semper affectat nova, quia non accipit res veras: neque vere accipit, quod videtur accipere.

ΙΔ'. Τί οὖν; μὴ οὔσης οὐδὲν ὑπέστη ἄν; ἢ οὐδὲ εἴδωλον, κατόπτρου μὴ ὄντος, ἤ τινος τοιούτου; τὸ γὰρ ἐν ἑτέρῳ πεφυκὸς γίγνεσθαι, ἐκείνου μὴ ὄντος, οὐκ ἂν γένοιτο· τοῦτο γὰρ φύσις εἰκόνος, τὸ ἐν ἑτέρῳ. Εἰ μὲν γάρ τι ἀπείη ἀπὸ τῶν ποιούντων, καὶ ἄνευ τοῦ ἐν ἑτέρῳ ἦν ἄν. Ἐπεὶ δὲ μένει ἐκεῖνα εἰ ἐμφαντασθήσεται ἐν ἄλλῳ, δεῖ τὸ ἄλλο εἶναι ἕδραν παρέχον τῷ οὐκ ἐλθόντι· τῇ δ' αὐτοῦ παρουσίᾳ καὶ τῇ τόλμῃ καὶ οἷον προσαιτήσει καὶ πενίᾳ οἷον βιασάμενον λαβεῖν· καὶ ἀπατηθὲν τῇ οὐ λήψει, ἵνα μένῃ καὶ ἡ πενία, καὶ ἀεὶ προσαιτῇ. Ἐπεὶ γὰρ ἅπαξ ὑπέστη, ὁ μὲν μῦθος αὐτὴν ποιεῖ προσαιτοῦσαν, ἐνδεικνύμενος αὐτῆς τὴν φύσιν, ὅτι ἀγαθοῦ ἔρημος· αἰτεῖ τε ὁ προσαιτῶν, οὐχ ἃ ἔχει ὁ διδούς· ἀλλ' ἀγαπᾷ ὅ τι ἂν λάβοι, ὥστε καὶ τοῦτο ἐνδείκνυσθαι, ὡς ἕτερον τὸ ἐν αὐτῇ φανταζόμενον, τό τ' ὄνομα ὡς οὐ πληρουμένης. Τὸ δὲ τῷ Πόρῳ συγγίγνεσθαι, οὐ τῷ ὄντι δηλοῦντός ἐστι συγγίγνεσθαι, οὐδὲ τῷ κόρῳ, ἀλλά τινι πράγματι εὐμηχάνῳ· τοῦτο δέ ἐστι τῇ σοφίᾳ τοῦ φαντάσματος. Ἐπεὶ γὰρ οὐχ οἷόν τε τοῦ ὄντος πάντη μὴ μετέχειν, ὅ τι περ ὁπωσοῦν ἔξω ὂν αὐτοῦ ἐστιν· αὕτη γὰρ ὄντος φύσις τὰ ὄντα ποιεῖν, τὸ δὲ πάντη μὴ ὂν ἄμικτον τῷ ὄντι θαῦμα τὸ [l. θαυμάσιόν τι] χρῆμα γίγνεται, πῶς μὴ μετέχον μετέχει, καὶ πῶς οἷον παρὰ τῆς γειτνιάσεως ἔχει τι; καίπερ τῇ αὐτοῦ φύσει μὲν οἷον κολλᾶσθαι ἀδυνατοῦν. Ἀπολισθαίνει οὖν, ὡς ἂν ἀπὸ φύσεως ἀλλοτρίας ὃ ἔλαβεν ἄν· οἷον ἠχὼ ἀπὸ τόπων λείων καὶ ὁμαλῶν, ὅτι μὴ μένει ἐκεῖ τοῦτο καὶ ἐφαντάσθη ἐκεῖ, κἀκεῖθεν εἶναι. Εἰ δ' ἦν μετασχοῦσα καὶ οὕτω δεξαμένη, ὥσπερ τις ἀξιοῖ, καταποθὲν ἂν εἰς αὐτὴν τὸ προσελθὸν ἔδυ. Νῦν δὲ φαίνεται, ὅτι μὴ κατεπόθη, ἀλλ' ἔμεινεν ἡ αὐτή, οὐδὲν δεξαμένη, ἀλλ' ἐπισχοῦσα τὴν πρόοδον, ὡς ἕδρα ἀπωθουμένη, καὶ εἰς τὸ αὐτὸ τῶν προσιόντων κἀκεῖ μιγνυμένων ὑποδοχή· οἷον ὅσα πρὸς ἥλιον πῦρ ζητοῦντες λαβεῖν ἱστᾶσι λεῖα, τὰ δὲ καὶ πληροῦντες ὕδατος, ἵνα μὴ διέλθῃ κωλυομένη ὑπὸ τοῦ ἔνδον ἐναντίου ἡ φλόξ, ἔξω δὲ συνίσταιτο. Γίγνεται οὖν αἰτία τῆς γενέσεως οὕτω, καὶ τὰ ἐν αὐτῇ συνιστάμενα τοιοῦτον συνίσταται τρόπον.

XIV. Quid ergo? nisi materia esset, nihilne omnino subsisteret? Nihil prorsus praeter entia: sicut neque imago sublato speculo vel ejusmodi quopiam. Quod enim sic natura comparatum est, ut sit in alio, illo non existente fiet nunquam: haec enim ipsa imaginis natura est, in alio esse. Si quid enim a causis ipsis decederet, id profecto esse posset, etiam si non esset in alio. Cum vero ipsa quidem maneant, si quid inde appareat alibi, oportet aliud quiddam esse sedem suggerens re vera non venienti: quod quidem sui praesentia et audacia et quasi procacitate atque indigentia quasi urgeatur, urgeatque ad capiendum: decipiatur tamen non capiendo re vera, ut indigentia perseverans semper efflagitare compellat. Postquam enim semel substitit, ut tradit fabula, semper affectat: qua quidem in re natura ejus boni expers ostenditur. Affectat vero non illa, quae largitor habet, accipere, verum sat habere videtur, si quodcunque sit, nonnihil accipiat, adeo ut hinc ostendatur diversum esse, quod in materia nobis apparet: nomen quoque ipsum Penia, id est inopia, materiam non impleri declarat. Quod vero dicitur cum Poro Peniam congredi, non significat illam cum ipso ente vel saturitate congredi, sed cum re quadam artificiosa atque mirabili: id autem est cum quadam imaginis sese ostentantis astutia. Cum enim impossibile sit, esse omnino entis expers quodcunque et quomodocunque extra ens ipsum sit: nam haec entis natura est entia facere: cumque omnino non ens misceri cum ente non possit, certe nonnihil mirabile provenit: nempe et participat non participans, et ipsa propinquitate nanciscitur aliquid, quamvis suapte natura conglutinari non valeat. Delabitur igitur, velut ab aliena natura quod accepit, velut Echo a locis levibus atque planis: quodve non manet ibi id et apparet ibi, atque inde venire. Sin autem materia sic participaret acciperetque, ut quidam forlasse putaret, profecto, quod accedit ad eam, velut imbibitum penetraret. Nunc vero apparet imbibitum non fuisse, sed permansisse illam prorsus eandem, nihil adeptam, sed instar sedis cujusdam repercutientis inhibuisse processum, esseque receptaculum concurrentium in idem atque invicem commixtorum: neque aliter hic fieri, quam ubi nonnulli ad solem cupientes ignem accendere, levia quaedam solidaque opponunt, quae et aqua implent, ut flamma ab eo, quod intus contrarium est, cohibita non pertranseat, sed extra consistat. Hac itaque ratione materia causa generationis evadit, et, quae componuntur in ipsa, hoc modo constituuntur.

De ratione seminali, quae est in anima, quod non nascetur cum materia, ac de vanitate materiae formarumque sensilium.

ΙΕ'. Ἐπὶ μὲν οὖν τῶν τὸ πῦρ ἐξ ἡλίου περὶ αὐτὰ συναγόντων, ἅτε παρὰ αἰσθητοῦ πυρὸς λαμβανόντων τὴν περὶ αὐτὰ γιγνομένην ἔξαψιν, τὸ αἰσθητοῖς εἶναι καὶ αὐτοῖς ὑπάρχει. Διὸ καὶ φαίνεται, ὅτι ἔξω τὰ

XV. In his quidem, quae ignem sub sole circa se congregant, utpote quae ab igne sensibili flammam accipiunt, ipsa quoque id habent, ut sentiantur. Itaque apparent, quoniam, quae ibi conficiuntur, extrinseca sunt, postaque

συνιστάμενα καὶ ἐφεξῆς καὶ πλησίον καὶ ἅπτεται, καὶ πέρατα δύο. Ὁ δὲ ἐπὶ τῆς ὕλης λόγος ἄλλον ἔχει τρόπον, τὸ ἔξω. Ἡ γὰρ ἑτερότης τῆς φύσεως ἀρκεῖ, οὐδὲν πέρατος διπλοῦ δεομένη, ἀλλὰ πολὺ μᾶλλον παντὸς πέρατος ἀλλοτριουμένη, τῇ ἑτερότητι τῆς οὐσίας καὶ οὐδαμῇ συγγενείᾳ τὸ ἀμιγὲς ἔχουσα· καὶ τὸ αἴτιον τοῦ μένειν ἐπ' αὐτῇ τοῦτο, ὅτι μήτε τὸ εἰσιὸν ἀπολαύει αὐτῆς, οὐδ' αὐτὴ τοῦ εἰσιόντος, ἀλλ' ὥσπερ αἱ δόξαι καὶ αἱ φαντασίαι ἐν ψυχῇ οὐ κέκρανται, ἀλλ' ἄπεισι πάλιν ἑκάστη ὡς οὖσα, ὅ ἐστι, μόνη, οὐδὲν ἐφέλκουσα οὐδὲ καταλείπουσα, ὅτι μὴ ἐμέμικτο, καὶ τὸ ἔξω οὐχ ὅτι ἐπέκειτο, καὶ ἐφ' ᾧ ἐστιν οὐχ ὁράσει ἕτερον, ἀλλ' ὁ λόγος φησίν. Ἐνταῦθα μὲν οὖν εἴδωλον ὂν ἡ φαντασία, οὐκ εἰδώλου τὴν φύσιν οὔσης τῆς ψυχῆς, καίπερ πολλὰ δοκοῦσα ἄγειν, καί, ὅπῃ θέλει, ἄγειν. Χρῆται μὲν αὐτῇ οὐδὲν ἧττον, ὡς ὕλῃ ἢ ἀνάλογον· οὐ μέντοι ἔκρυψε ταῖς παρ' αὐτῆς ἐνεργείαις πολλάκις ἐξωθουμένη, οὐδὲ ἐποίησεν αὐτήν, οὐδ' εἰ μετὰ πάσης ἔλθοι, κεκρύφθαι, καίτοι αὐτὴν φαντάζεσθαι. Ἔχει γὰρ ἐν αὐτῇ ἐνεργείας καὶ λόγους ἐναντίους, οἷς ἀπωθεῖται τὰ προσιόντα· ἡ δέ, ἀσθενεστέρα γάρ ἐστιν ἢ ὡς πρὸς δύναμιν πολλῷ ψυχῆς, καὶ ἔχει οὐδὲν τῶν ὄντων, οὔτε ἀληθές, οὔτε αὖ οἰκεῖον ψεῦδος· οὐκ ἔχει δὲ δι' ὅτου φανῇ, ἐρημία πάντων οὖσα, ἀλλὰ γίγνεται μὲν αἰτία ἄλλοις τοῦ φαίνεσθαι, οὐ δύναται δὲ εἰπεῖν οὐδὲ τοῦτο, ὡς ἐγὼ ἐνταῦθα. Ἀλλ' εἴ ποτε ἐξεύροι αὐτὴν λόγος βαθύς τις ἐξ ἄλλων ὄντων, ὡς ἄρα ἐστί τι ἀπολελειμμένον πάντων τῶν ὄντων, καὶ τῶν ὕστερον δοξάντων εἶναι, ἑλκόμενον εἰς πάντα, καὶ ἀκολουθοῦν ὡς δόξαι, καὶ αὖ οὐκ ἀκολουθοῦν.

deinceps et proxima, seque contingunt, terminique illic duo procul dubio sunt. Ratio vero seminaria in materia aliter habet, ut sit extra materiam. Naturæ namque alteritas sufficit, duplici non indigens termino, sed multo magis, quam terminus quilibet alienus, vim retinet repugnantem commixtioni ob alteritatem essentiæ cognationis omnis expertem. Causaque in se consistendi hæc ipsa est, quoniam neque, quod ingreditur, ipsa fruitur; neque ipsa vicissim fruitur veniente: sed quemadmodum opiniones imaginationesque in anima non miscentur, sed abit unaquæque rursus, velut sola, quod est existens, nihil vel secum trahens, vel aut relinquens, quoniam admixta non fuerat, habetque, quod extra dicatur, non propterea, quod secus adjaceat; neque aspectu, tanquam diversa a fundamento, sed ratione discernitur. Hic igitur imaginatio simulacri cujusdam locum obtinens, cum tamen anima naturaliter non sit simulacrum, quamvis in multis videatur ducere, et pro arbitrio ducere: comparatur namque ad animam proportione quadam velut materiam: quamvis, inquam, ita sit, non tamen obscurat occultique animam, quippe cum propriis quibusdam animæ actionibus frequenter excutiatur: neque unquam efficit, vel etiam si tota per totam se diffuderit, ut anima penitus delitescat, quamvis interdum quodammodo talis appareat: habet enim anima in se actiones rationesque repugnantes, per quas accedentia repellantur. Materia vero, cum sit longe invalidior anima, nihil habet entium, seu verum sive etiam falsum aliquando, proprium: neque habet quicquam, per quod appareat: quippe cum in omnium solitudinem sit rejecta: fit autem causa ceteris, ut appareant: neque ipsa tamen vel hoc saltem potest dicere: Hic ego sum, quamvis minime videar. Sed si quando inveniat ipsam ratio quædam profundior hanc ex aliis entibus assecuta, clamat eam esse nonnihil ab omnibus entibus destitutam, et cum ea, quæ entibus posteriora sunt, videantur esse, id per hæc omnia tractum, ut appareat ea sequi, rursumque non sequi.

Quomodo ratio formalis atque seminalis, quatenus exhibet materiæ formas, eatenus adhibet quantitates et figuras formarum comites.

ΙϚ'. Καὶ μέν τις ἐλθὼν λόγος, ἀγαγὼν εἰς ὅσον αὐτὸς ἤθελεν, ἐποίησεν αὐτὴν μέγα, παρ' αὐτοῦ τὸ μέγα περιθεὶς αὐτῇ οὐκ οὔσῃ, τοῦτο δὲ οὐδὲ γενομένῃ· τὸ γὰρ ἐπ' αὐτῇ μέγα μέγεθος ἦν. Ἐὰν οὖν τις τοῦτο ἀφέλῃ τὸ εἶδος, οὐκέτ' ἔστιν οὐδὲ φαίνεται τὸ ὑποκείμενον μέγα· ἀλλ' εἰ ἦν τὸ γενόμενον μέγα, ἄνθρωπος καὶ ἵππος, καὶ μετὰ τοῦ ἵππου τὸ μέγα τοῦ ἵππου ἐπελθόν, ἀπελθόντος τοῦ ἵππου, καὶ τὸ μέγα αὐτοῦ ἀπέρχεται. Εἰ δέ τις λέγοι ὡς ὁ ἵππος ἐπὶ μεγάλου τινὸς ὄγκου καὶ τοσοῦδε γίγνεται, καὶ μένει τὸ μέγα, φήσομεν μὴ τὸ τοῦ ἵππου μέγα, ἀλλὰ τὸ τοῦ ὄγκου μέγα μένειν ἐκεῖ. Εἰ μέντοι ὁ ὄγκος οὗτος πῦρ ἐστιν ἢ γῆ, ἀπελθόντος τοῦ πυρός, τὸ τοῦ πυρὸς ἀπέρχεται ἢ τὸ τῆς γῆς μέγα. Οὐ τοίνυν οὐδὲ τοῦ σχήματος οὐδὲ τοῦ μεγέθους ἀπολαύσειεν ἄν, ἢ οὐκ ἐκ πυρὸς ἄλλο τι ἔσται, ἀλλὰ μένουσα πῦρ οὐ πῦρ γενήσεται· ἐπεὶ καὶ νῦν τοσαύτη γενομένη ὡς δοκεῖν, ὅσον τόδε τὸ πᾶν, εἰ παύσαιτο ὁ οὐρανός, καὶ τὰ ἐντὸς πάντα σὺν πᾶσι [l. συμπέσοι] τούτοις, καὶ τὸ μέγεθος πᾶν οἰχήσεται ἀπ' αὐτῆς, καὶ αἱ ἄλλαι δῆλον ὅτι ὁμοῦ ποιότητες, καὶ καταλειφθήσεται ὅπερ ἦν, σώζουσα οὐδὲν τῶν πρότερον περὶ αὐτὴν οὕτως ὄντων. Καίτοι ἐν οἷς

XVI. Atqui accedens ratio quædam, atque extendens, quatenus vult, materiam, efficit quantam, scilicet esse quantam ex se ipsa materiæ adhibens, nequaquam per se habenti, sed neque id etiam facto, alioquin quantum in ea quantitas ipsa esset. Si quis igitur speciem hanc abstulerit, neque erit amplius subjectum ipsum quantum, neque etiam apparebit. Verum si sit, quod factum est quantum, homo vel equus, et una cum equo magnitudo equi proveniens, equo discedente etiam magnitudo discedit. Si quis autem dixerit, equum in magna quadam tantaque mole fieri, et magnitudinem permanere, dicemus, non equi magnitudinem, sed magnitudinem molis ibi manere. Si tamen hæc moles ignis est vel terra, certe abeunte igne, vel terra, magnitudo ignis vel terræ discedit. Quam ob rem neque figura neque magnitudine materia fruitur, alioquin aliud ex igne non fiet, sed illa ignis permanens, nunquam fiet ignis. Quandoquidem et nunc tanta, ut videtur, effecta, quantus est hic mundus, si desinat esse cælum, et quæ in ipso sunt omnia, una cum his omnis etiam magnitudo ab ipsa recedet, simulque omnes aliæ qualitates, atque relinquetur deinde quod erat, conservans nihil prorsus eorum, quæ prius ita fuerant circa ipsam. Quanquam quibuscunque contingit aliquorum præsentia pati, eisdem

ὑπάρχει τὸ πεπονθέναι παρουσίᾳ τινῶν, καὶ ἀπελθόντων ἔστι τι ἔτι ἐν τοῖς λαβοῦσιν· ἐν δὲ τοῖς μὴ παθοῦσιν, οὐκέτι, ὥσπερ ἐπὶ τοῦ ἀέρος φωτὸς περὶ αὐτὸν ὄντος καὶ ἀπελθόντος τούτου. Ἐὰν δέ τις θαυμάζῃ, πῶς οὐκ ἔχον μέγεθος μέγα ἔσται· πῶς δὲ οὐκ ἔχον θερμότητα θερμὸν ἔσται; οὐ γὰρ δὴ τὸ αὐτὸ τὸ εἶναι αὐτῇ καὶ μεγέθει εἶναι· εἴπερ καὶ ἄϋλον μέγεθός ἐστιν, ὥσπερ καὶ ἄϋλον σχῆμα, καὶ εἰ τηροῦμεν τὴν ὕλην, μεταλήψει πάντα. Ἓν δὲ τῶν πάντων καὶ τὸ μέγεθος· ἐν μὲν οὖν τοῖς σώμασι συνθέτοις οὖσιν ἔστι καὶ μέγεθος μετὰ τῶν ἄλλων, οὐ μὴν ἀφωρισμένον· ἐπειδὴ ἐν σώματος λόγῳ ἔγκειται καὶ μέγεθος· ἐν δὲ τῇ ὕλῃ, οὐδὲ τὸ οὐκ ἀφωρισμένον· οὐ γὰρ σῶμα.

quoque licet abeuntibus illis accepti aliquid retinere, quae vero non patiuntur, nihil inde retinent: quemadmodum aer lumen nactus nihil luminis abeunte lumine retinet. Si quis autem miretur, quomodo fieri possit, ut, quod non habet magnitudinem, fiat magnum: objiciemus similiter, quo pacto fiat, ut, quod non habet calorem, fiat calidum. Non enim idem est, in materia esse materiam, atque magnitudinem esse, siquidem immaterialis est magnitudo, quemadmodum immaterialis etiam est figura: ac si materiam conservamus, participatione quadam eam omnia sortiri dicemus. Unum vero aliquid omnium est magnitudo: in corporibus quidem, cum composita sint, est et una cum aliis magnitudo, non tamen determinata: quoniam in ipsa corporis ratione includitur etiam magnitudo: in ipsa vero materia neque etiam indeterminata magnitudo includitur, quippe cum non sit corpus.

Materia nullam habet ex se quantitatem, sed ad eam protenditur sub efficaci ingressu formae in ipsam

ΙΖ'. Οὐδ' αὖ μέγεθος αὐτὸ ἔσται· εἶδος γὰρ τὸ μέγεθος, ἀλλ' οὐ δεκτικὸν, καὶ καθ' αὑτὸ δὲ τὸ μέγεθος· ἀλλὰ καὶ εἴ τι μίμημα αὐτῶν, καὶ τούτου ἄμοιρον εἰς οἰκείωσιν εἶναι, οὐχ οὕτω μέγεθος· ἀλλ' ἐπεὶ βούλεται ἐν νῷ ἢ ἐν ψυχῇ κείμενον μέγα εἶναι, ἔδωκε τοῖς οἷον ἐθέλουσι μιμεῖσθαι ἐφέσει αὐτοῦ ἢ κινήσει τῇ πρὸς αὐτὸ τὸ αὐτὸ πάθος ἐνσημήνασθαι εἰς ἄλλο. Τὸ μὲν οὖν μέγα, ἐν προόδῳ φαντάσεως θέον, ὅσον εἰς αὐτὸ δὴ τοῦτο τὸ μέγα συνθεῖν ποιῆσαν τὸ μικρὸν τῆς ὕλης, πεποίηκεν αὐτὸ τῇ παρατάσει οὐ πληρούμενον δοκεῖν εἶναι μέγα. Τὸ γὰρ ψευδῶς μέγα τοῦτό ἐστιν, ὅταν τῷ μὴ ἔχειν τὸ μέγα εἶναι ἐκτεινόμενον πρὸς ἐκεῖνο παραταθῇ τῇ ἐκτάσει. Ποιούντων γὰρ πάντων ὄντων εἰς τὰ ἄλλα ἢ τὸ ἄλλο τὴν αὐτῶν ἐνόπτρισιν, ἑκαστόν τε τῶν ποιούντων, ὡς αὐτὸ ἦν μέγα, τό τε πᾶν ἦν ἐκείνως μέγα· συνῄει οὖν τὸ ἑκάστου λόγου, μετὰ τό τι μέγα, οἷον ἵππου καὶ ὁτουοῦν ἄλλου, καὶ τὸ μὲν αὐτὸ καὶ ἐγίνετο. Πᾶσα μὲν, οἶμαι, ἐνόπτρισις μέγα πρὸς αὐτὸ μέγα ἐκλαμπομένη, καὶ ἑκάστη δὲ μοῖρα μέγα τι, καὶ ὁμοῦ πάντα ἐφαίνετο ἐκ παντὸς τοῦ εἴδους, οὗ τὸ μέγα, καὶ ἐξ ἑκάστου καὶ οἷον παρετέτατο καὶ πρὸς πᾶν καὶ πάντα, καὶ ἐν εἴδει τοῦτο ἀναγκασθεῖσα εἶναι, καὶ ἐν ὄγκῳ ὅσον ἡ δύναμις πεποίηκε, τὸ μηδὲν ὂν αὐτὸ πάντα εἶναι· οἷον αὐτῷ τῷ φαίνεσθαι, καὶ τὸ χρῶμα τὸ ἐξ οὐ χρώματος· καὶ ἡ ποιότης ἡ ἐνταῦθα ἡ ἐξ οὐ ποιότητος ἔσχε τὴν ὁμωνυμίαν τὴν ἀπ' ἐκείνων, καὶ τὸ μέγεθος ἐξ οὐ μεγέθους, ἢ ὁμωνύμου, μεταξὺ θεωρουμένων ἐκείνων καὶ αὐτῆς τῆς ὕλης καὶ τοῦ εἴδους αὐτοῦ. Καὶ φαίνεται μὲν, ὅτι ἐκεῖθεν, ψεύδεται δὲ, ὅτι οὐκ ἔστι τὸ ἐν ᾧ φαίνεται. Μεγεθύνεται δὲ ἕκαστα ἑλκόμενα τῇ δυνάμει τῶν ἐνορωμένων καὶ χώραν ἑαυτοῖς ποιούντων, ἕλκεται δὲ ἐπὶ πάντα, οὐ βίᾳ τῷ ὕλῃ τὸ πᾶν εἶναι· ἕλκει δὲ ἕκαστον κατὰ τὴν αὐτοῦ δύναμιν, ἣν ἔχει· ἔχει δὲ ἐκεῖθεν, καὶ τὸ μὲν ποιοῦν μέγα τὴν ὕλην, ὡς δοκεῖ, ἀπὸ τῆς ἐμφαντάσεως τοῦ μέγα, καὶ τοῦτό ἐστι τὸ ἐμφαντασθὲν τὸ ἐνταῦθα μέγα. Ἡ δὲ ὕλη, ἐφ' ἧς ἀναγκάζεται συνθεῖν ὁμοῦ πᾶσα, καὶ πανταχοῦ παρέχει ἑαυτήν. Ὕλη γάρ ἐστι καὶ τούτου, καὶ οὐ τουτί· ὃ δὲ μή ἐστί τι παρ' αὐτοῦ, δύναται γενέσθαι καὶ τὸ ἐναντίον δι' ἄλλο

XVII. Sed neque etiam magnitudo ipsa erit: species enim est ipsa magnitudo, neque est ad suscipiendum parata: quia etiam secundum se ipsam magnitudo existit, ac si materia neque etiam imitationes earum familiariter sibi potest conciliare, certe neque hoc pacto est magnitudo. Sed quoniam vult, quod in intellectu vel anima situm est, esse magnum, ideo tradidit his, quae procedendo quasi imitari volunt, desiderio ejus vel motu erga ipsum facultatem quandam ad passionem earum in alio quodam imprimendam. Magnum itaque in processu imaginationis sive apparentiae currens in amplum, efficiensque ut ipsum materiae parvum in hoc ipsum magnum concurrat, fecit, ut illud appareret magnum etiam coextensione non repletum. Falso enim magnum hoc est, quando non habendo hoc ipsum, ut sit magnum, ad illud extensum quasi complicatur extensione. Cum enim entia omnia in alia vel in aliud agant ipsorum apparentiam speculatam, et unumquodque efficientium simili quadam ratione sit, faciatque magnum, qua et totum, concurrit uniuscujusque rationis magnum post ipsum aliquid, velut equi vel alterius cujuscunque. Exstat praeterea ipsum magnum, et universa quidem apparentia specularis fit magnum, videlicet ad magnum ipsum effulgens: quaelibet vero portio fit magnum quiddam, atque simul omnia apparuerunt ex universa specie, cujus est magnum: atque etiam ex quolibet, et quasi extensio facta est et ad omne et omnia, atque in specie id esse coacta, et in mole tantum potentia fecit, quantum potentia ferebat: unde contigit, ut, quod est nihil, rursus in apparendo sit omnia: ideirco et color, qui ex non colore procedit, et qualitas, quae apud nos ex non qualitate contingit, denominationem nacta sunt ab illis aequivocam, et magnitudo ex non magnitudine, vel aequivoca magnitudine: ubi certe illa considerantur media inter ipsam materiam ipsamque speciem: et apparent quidem, quoniam inde quodammodo micant; fallunt vero, quoniam id, in quo apparent, non existit. Quaelibet vero in magnitudinem protenduntur, tracta videlicet virtute eorum, quae hic apparent locumque sibi ipsis efficiunt. Fit vero tractus per omnia non violentia, ex eo, quod materia est universum. Unumquodque vero trahit per eam, quam habet, potentiam: habet vero inde, et quod materiam facit magnum, ut videtur, id agit imagine ipsius, quod magnum est, hic apparente, atque id est, quod apparens dicitur, quod hic est magnum. Materia vero coacta concurrere, vel in qua haec concurrere coguntur, simul tota et ubique semetipsam praebet. Materia enim est, et hujus universi materia, neque est aliquid. Quod autem ex se ipso non est aliquid, potest et per aliud rursus contrarium fieri: et postquam factum est

καὶ γενόμενον τὸ ἐναντίον οὐδ' ἐκεῖνο ἐστίν· ἔστη γὰρ ἄν.

ΙΗ'. Ὁ τοίνυν νόησιν μεγάλου ἔχων, εἰ αὐτοῦ ἡ νόησις δύναμιν ἔχοι, μὴ μόνον ἐν αὐτῇ εἶναι, ἀλλὰ καὶ οἷον πρὸς τὸ ἔξω ὑπὸ δυνάμεως φέροιτο, λάβοι ἂν φύσιν, οὐκ οὖσαν ἐν τῷ νοοῦντι οὐδέ τι ἔχουσαν εἶδος οὐδέ τι ἴχνος τοῦ μεγάλου, ἀλλ' οὐδὲ οὐδενός τε ἄλλου. Τί ἂν ποιήσειε ταύτῃ τῇ δυνάμει; οὐχ ἵππον, οὐ βοῦν· ταῦτα γὰρ ἄλλοι ποιήσουσιν· ἢ ἐπειδὴ παρὰ μεγάλου πατρὸς ἔρχεται, οὐ δύναται τὸ ἄλλο χωρῆσαι μέγα· τοῦτο δὲ ἕξει ἐμφανταζόμενον. Τῷ δὴ μὴ οὕτως εὐτυχήσαντι τοῦ μεγάλου, ὡς αὐτὸ μέγα εἶναι ἐν τοῖς αὐτοῦ, καθ' ὅσον οἷόν τε, μεγάλῳ φαίνεσθαι λεῖπόν ἐστι. Τοῦτο δέ ἐστι μὴ ἐλλείπειν, καὶ τὸ μὴ ἐπὶ πολλὰ πολλαχοῦ, καὶ ἐν αὐτῷ τὰ συγγενῆ ἔχειν μέρη, καὶ ἀπολείπεσθαι μηδενός. Οὐδὲ γὰρ ἠνείχετο ἐν σμικρῷ ὄγκῳ τὸ ἴσον ἔτι τὸ τοῦ μεγάλου εἴδωλον εἶναι, μεγάλου ὄν· ἀλλ' ὅσῳ ἐφίετο τῆς ἐλπίδος ἐκείνου, προσῆλθέ τε, ὅσον οἷόν τε ἦν αὐτῷ, μετὰ τοῦ συνθέοντος αὐτῷ ἀπολειφθῆναι οὐ δυναμένου, καὶ πεποίηκε μέγα τε ἐκεῖνο τὸ μὴ μέγα, μηδ' οὕτω δόξαι, καὶ τὸ ὁρώμενον ἐν ὄγκῳ μέγα. Ἡ δ' ὅμως φυλάττει τὴν αὐτῆς φύσιν, ἀποχρωμένη τούτῳ τῷ μεγάλῳ, οἷον ἀμφιέσματι, ὃ συνδραμοῦσα αὐτῷ, ὅτε θέον αὐτὴν ἦγεν, ἀμπέσχετο, ὃ εἰ ὁ ἀμφιέσας ἀφέλοιτο, μένει πάλιν ἡ αὐτή, οἵαπερ παρ' αὐτῆς ἦν, ἢ τοσαύτη, ὅσον ἂν τὸ παρὸν εἶδος αὐτὴν ποιῇ. Ἡ μέν γε ψυχὴ τὰ τῶν ὄντων εἴδη ἔχουσα, εἶδος οὖσα καὶ αὐτή, ὁμοῦ πάντα ἔχει. Καὶ τοῦ εἴδους ἑκάστου ὁμοῦ ὄντος αὐτῷ, τά τε τῶν αἰσθητῶν εἴδη οἷον ἀναστρέφοντα πρὸς αὐτὴν καὶ προσιόντα ὁρῶσα, οὐκ ἀνέχεται μετὰ πλήθους δέχεσθαι, ἀλλ' ἀποθεμένα τὸν ὄγκον ὁρᾷ. Οὐ γὰρ δύναται ἄλλο τι, ἢ ὅ ἐστι, γενέσθαι. Ἡ δὲ ὕλη οὐδὲν ἔχουσα τὸ ἀντικόπτον (οὐ γὰρ ἔχει ἐνέργειαν), οὖσα δὲ σκιά, ἀναμένει παθεῖν, ὅ τι ἂν ἐθέλῃ τὸ ποιῆσον· τό τε οὖν προϊὸν ἐκ τοῦ ἐκεῖ λόγου ἤδη ἴχνος ἔχει τοῦ μέλλοντος γενήσεσθαι. Οἷον γὰρ ἐν φαντασίᾳ εἰκονικῇ κινούμενος ὁ λόγος ἢ ἡ κίνησις ἡ ἀπὸ τούτου μερισμός ἐστιν· ἤ, εἰ ταὐτὸν εἴη ἕν, οὐδὲ ἐκινήθη, ἀλλὰ μένει· ἥ τε ὕλη πάντα ὁμοῦ, ὥσπερ ἡ ψυχή, οὐ δύναται εἰσοικίσασθαι, ἢ ἦν ἄν τι ἐκείνων. Αὐτήν τε αὖ δεῖ τὰ πάντα δέξασθαι, μὴ ἀμερῶς δέξασθαι· δεῖ τοίνυν πᾶσι τόπον οὖσαν ἐπὶ πάντα αὐτὴν ἐλθεῖν καὶ πᾶσιν ἀπαντῆσαι, καὶ πρὸς πᾶν διάστημα ἀρκέσαι, ὅτι μὴ κατείληπται διαστήματι αὐτή, ἀλλ' ἦν ἐκκειμένη τῷ μέλλοντι. Πῶς οὖν οὐκ εἰσελθὸν ἕν τι ἐκώλυσε τὰ ἄλλα, ἃ οὐχ οἷόν τε ἦν ἐπ' ἀλλήλοις εἶναι, ἢ οὐκ ἦν οὐδὲν πρῶτον; εἰ δ' ἄρα, τὸ τοῦ παντὸς εἶδος, ὥστε πάντα μὲν ἅμα, ἐν μέρει δὲ ἕκαστον. Ζῴου γὰρ ὕλη μερισθεῖσα σὺν τῷ τοῦ ζῴου μερισμῷ· εἰ δὲ μή, οὐκ ἂν ἐγένετό τι παρὰ τὸν λόγον.

contrarium, neque etiam illud est; alioquin tantum in hoc ipso consisteret.

Materia sicut non habet veram formam, ita nec veram magnitudinem: et quomodo ad efficacem motum formæ vedentis in eam ipsa in dimensionem producitur, non tamen distractam, sed continuam.

XVIII. Si quis igitur intelligentiam magni possideat, quæ quidem potentiam habeat per quam non solum in se ipsa sit, verum etiam quasi extra prodire valeat, nancisceturque naturam quandam in intelligente non exsistentem, neque vel speciem habentem, vel aliquod magni vestigium, vel alicujus omnino: quidnam per potentiam ejusmodi faciet? non equum, non bovem: hæc enim aliæ facient causæ. Forsan, quoniam a magno velut patre prodit, non potest aliud quiddam id magnum capere: hoc autem habebit imaginarium. Huic itaque nequaquam ita consecuto magnum, ut ipsum magnum fiat in natura sua, quantum potest apparere magnum, jam reliquum est. Hoc autem est non deficere, atque, si passim propagetur, non quasi in multa discretum progredi: sed cognatas in se partes habere, et nusquam prorsus abesse. Neque enim fieri poterat, ut in parva mole æquale etiam magni simulacrum esset, cum sit imago magni: sed quatenus illius spe concupivit, accessit: currensque, quoad potest, una cum suo concurrente deseri non valente, effecit magnum illud, quod non magnum, neque sic quidem, ut appareat magnum, et quod videtur in mole magnum. Materia vero interim suam conservat naturam, utens hoc magno veluti vestimento, quo quidem induta est, quando concurrebat cum ipso, dum videlicet currens illud ducebat ipsam. Quod sane si quando exuerit, permanet rursus eadem, quæ et ante penes se ipsam erat, scilicet tanta, quantam species præsens reddit eam. Proinde anima entium species habens, cum ipsa quoque sit species, simul possidet omnes. Cum etiam species quælibet tota simul secum ipsa sit, quin etiam sensibilium species quasi reflexas in ipsam accedentesque videns, non sustinet una cum multitudine capere, sed mole ab his subtracta discernit. Non enim potest aliud, quam quod est, fieri. Materia vero cum nullam habeat exsistendi potentiam (nullam enim habet actionem), cumque sit umbra, perpeti sustinet, quodcumque volt causa in eam aliquid effectura; quin etiam, quod ex ratione, quæ ibi est, procedit, jam vestigium habet ejus, quod est faciendum. Quasi enim in phantasia vel apparentia quadam imaginaria, ratio mota vel motio a ratione pendens, partitio est: alioquin, si unum idemque esset omnino, nullus ibi fieret motus, sed permaneret: atqui materia nequit species simul omnes, ut anima, intus accipere; alioquin una quædam esset earum. Cum vero hanc oporteat omnia capere, neque tamen individuo capere, necessarium est, eam, locum omnibus exsistentem, per omnia progredi, omnibusque occurrere, et universo passim intervallo sufficere, quoniam ipsa nullo spatio cohibetur, sed exposita est futuro. Quonam igitur pacto fieri potest, ut ingrediens aliquid, non prohibeat alia, quæ simul concurrere nequeunt? forsan non erat unum aliquid primum: quod et si erat, id ipsa erat species universi: quapropter cuncta quidem simul, in parte vero quodlibet. Viventis enim materia distributa est simul cum viventis ipsius partitione: alioquin, nihil utique præter rationem fuisset effectum.

Quomodo materia ex qualitate formarum non fiat qualis, ideoque nec patiatur. Et quomodo in conceptione formarum minus etiam, quam femina, valeat.

ΙΘʹ. Τὰ μὲν δὴ εἰσελθόντα εἰς τὴν ὕλην, ὥσπερ μητέρα, ἀδικεῖ οὐδέν, οὐδ' αὖ ὠφελεῖ. Οὐδέ γε αἱ πληγαὶ αἱ τούτων πρὸς αὐτήν, πρὸς ἄλληλα δέ, ὅτι αἱ δυνάμεις πρὸς τὰ ἐναντία, οὐ πρὸς τὰ ὑποκείμενα, εἰ μή τις συνειλημμένα θεωρεῖ τοῖς ἐπεισιοῦσι. Θερμὸν γὰρ ἔπαυσε τὸ ψυχρόν, καὶ μέλαν τὸ λευκόν· ἢ συγκραθέντα ἄλλην ποιότητα ἐξ αὐτῶν ἐποίησε. Τὰ παθόντα οὖν τὰ κραθέντα· τὸ δὲ παθεῖν αὐτοῖς τὸ μὴ εἶναι ὅπερ ἦσαν. Καὶ ἐν τοῖς ἐμψύχοις δὲ αἱ μὲν πείσεις περὶ τὰ σώματα κατὰ τὰς ποιότητας, καὶ τὰς δυνάμεις τὰς ἐνυπαρχούσας τῆς ἀλλοιώσεως γιγνομένης· λυομένων δὲ τῶν συστάσεων, ἢ συνιουσῶν, ἢ μετατιθεμένων παρὰ τὴν κατὰ φύσιν σύστασιν, τὰ μὲν πάθη ἐν τοῖς σώμασι, ταῖς δὲ ψυχαῖς αἱ γνώσεις συνημμέναις τῶν σφοδροτέρων· εἰ δὲ μή, οὐ γιγνώσκουσιν· ἡ δὲ ὕλη μένει. Οὐδὲν γὰρ ἀπελθόντος μὲν πέπονθε τοῦ ψυχροῦ, τοῦ δὲ θερμοῦ ἐπελθόντος. Οὐ γὰρ ἦν οὔτε φίλον αὐτῇ οὔτε ἀλλότριον ὁποτερονοῦν· ὥστε οἰκειότερον αὐτῇ ἡ ὑποδοχὴ καὶ τιθήνη· ἡ δὲ μήτηρ, οἷον εἴρηται; οὐδὲν γὰρ αὕτη γεννᾷ. Ἀλλ' ἐοίκασι μητέρα αὐτὴν λέγειν, ὅσοι καὶ τὴν μητέρα τάξιν ὕλης πρὸς τὰ γεννώμενα ἀξιοῦσιν ἔχειν, ὡς ὑποδεχομένης μόνον, οὐδὲν δὲ εἰς τὰ γεννώμενα διδούσης· ἐπεὶ καί, ὅσον σῶμα τοῦ γινομένου, ἐκ τῆς τροφῆς· εἰ δὲ δίδωσιν ἡ μήτηρ τι τῷ γεννωμένῳ, οὐ καθ' ὅσον ὕλη, ἀλλ' ὅτι καὶ εἶδος. Μόνον γὰρ τὸ εἶδος γόνιμον, ἡ δὲ ἑτέρα φύσις ἄγονος. Ὅθεν, οἶμαι, καὶ οἱ πάλαι σοφοὶ μυστικῶς καὶ ἐν τελεταῖς αἰνιττόμενοι Ἑρμῆν μὲν ποιοῦσι τὸν ἀρχαῖον τὸ τῆς γενέσεως ὄργανον ἀεὶ ἔχοντα πρὸς ἐργασίαν, τὸν γεννῶντα τὰ ἐν αἰσθήσει δηλοῦντες εἶναι τὸν νοητὸν λόγον, τὸ δὲ ἄγονον τῆς ὕλης μενούσης τὸ αὐτὸ ἀεὶ διὰ τῶν περὶ αὐτὴν ἀγόνων δηλοῦντες· μητέρα γὰρ πάντων ποιήσαντες, ἣν δὴ οὕτως ἐπιφημίζουσι τὴν κατὰ τὸ ὑποκείμενον ἀρχὴν λαβόντες· καὶ ὄνομα τοῦτο θέμενοι, ἵνα δηλοῖεν, ὃ βούλονται, τὸ πρὸς τὴν μητέρα οὐχ ὅμοιον πάντῃ ἐνδείκνυσθαι θέλοντες, τοῖς ὅστις ὁ τρόπος βουλομένοις ἀκριβέστερον λαβεῖν, καὶ μὴ ἐπιπολῆς ζητοῦσι. Πόῤῥωθεν μέν, ὅμως δέ, ὡς ἐδύναντο, ἐνεδείξαντο, ὡς ἄγονός τε καὶ οὐδὲ πάντῃ θῆλυς, ἀλλὰ τοσοῦτον μὲν θῆλυς, ὅσον ὑποδέξασθαι, ὅσον δὲ γεννᾶν οὐκέτι, τῷ τὸ πρὸς αὐτὴν κεχωρηκὸς μήτε θῆλυ εἶναι, μήτε γεννᾶν δύνασθαι, ἀποτετμημένον δὲ πάσης τῆς τοῦ γεννᾶν δυνάμεως, ἣ μόνῳ ὑπάρχει τῷ μένοντι ἄῤῥενι.

XIX. Quae igitur materiam intrant, quasi matrem, nihil penitus eam laedunt, sed neque utilitatem aliquam afferunt. Non enim impulsus horum ad eam attinent, sed potius invicem: quoniam et potentiae sunt ad contraria, non ad subjecta: nisi quis forsan subjecta una cum his, quae sunt in eis collecta, consideret. Calidum enim sedat frigidum, et nigrum offuscat album: vel, si commiscentur, aliam quandam ex ipsis conficiunt qualitatem. Patiuntur ergo, quae commiscentur. Pati vero penes illa est non amplius esse, quod erant. Tum vero in animalibus passiones quidem circa corpora sunt, dum secundum qualitates insitasque vires alteratio provenit. Cum vero constitutiones ipsae solvuntur, aut congrediuntur sive transponuntur praeter naturalem constitutionem, passiones quidem sunt in corporibus, in animabus autem cognitiones sunt vehementiores passiones percipientibus: sin minus, non cognoscunt, materia vero permanet. Nam et abeunte frigore et veniente calore nihil patitur. Non enim ipsi horum quicquam vel amicum est proprie vel inimicum. Quam ob rem nomen ejus maxime proprium est susceptaculum atque nutrix. At vero quanam ratione mater etiam est appellata? Nihil enim haec generat. Videntur autem matrem illi hanc appellare, quicumque matrem quoque erga genitos habere vicem materiae arbitrantur, quasi suscipiat tantum, nihil vero tribuat genitis, quando etiam quidem, quantum corporis est in nato, habetur ex nutrimento: si quid autem mater tribuit genito, non qua ratione materia est, sed qua species dare censetur. Sola enim species est fecunda, natura vero altera sterilis. Hinc prisci, ut arbitror, sapientes in sacris mysteriis id subobscure significantes, antiquum Mercurium introducunt instrumentum generationis ad operis effectum semper habentem, generantem vero in sensu declarantes esse intelligibilem rationem: sterilitatem vero materiae semper idem manentis, ostendentes per illa, quae circa ipsam sterilia disponuntur [*corr.* per steriles qui circa illam versantur]. Introducunt enim matrem omnium, quam utique sic praedicant, accipientes videlicet principium secundum subjectum, imponentesque nomen ejusmodi, ut, quod volunt, planius indicent, scilicet materiam non esse matris omnino persimilem, idque penes illos, qui absolutius, quis modus sit in his, intelligere student, neque duntaxat rerum superficie sunt contenti. Hi, inquam, id procul quidem, pro viribus tamen demonstraverunt, sterilem esse materiam, neque omnino feminam esse, sed ea ratione feminam, qua proprie suscipit: quantum vero spectat ad generandum, nullo modo: quia, quod huc quo pervenit, neque femina sit, neque gignere valeat, verum sit omni gignendi potentia separatum: quae quidem potestas ei tantum, qui permanet masculus, inest

# ΕΝΝΕΑΔΟΣ Γ'

## ΛΟΓΟΣ Ζ.

### ΠΕΡΙ ΑΙΩΝΟΣ ΚΑΙ ΧΡΟΝΟΥ.

# ENNEADIS TERTIÆ

## LIBER VII.

### DE ÆTERNITATE ET TEMPORE.

(325, 326.) [595—597]

Prooemium ad æternitatem et ad tempus.

Τὸν αἰῶνα καὶ τὸν χρόνον ἕτερον λέγοντες ἑκάτερον εἶναι, καὶ τὸν μὲν περὶ τὴν ἀΐδιον εἶναι φύσιν, τὸν δὲ χρόνον περὶ τὸ γιγνόμενον, καὶ τόδε τὸ πᾶν αὐτόθεν μὲν, καὶ, ὥσπερ ταῖς τῆς ἐννοίας ἀθροωτέραις ἐπιβολαῖς, ἐναργές τι παρ' αὐτοῖς περὶ αὐτῶν ἐν ταῖς ψυχαῖς ἔχειν πάθος νομίζομεν, λέγοντές τε ἀεὶ καὶ παρ' ἅπαντα ὀνομάζοντες. Πειρώμενοι μὴν εἰς ἐπίστασιν αὐτῶν ἰέναι, καὶ οἷον ἐγγὺς προσελθεῖν, πάλιν αὖ ταῖς γνώμαις ἀποροῦντες, τὰς τῶν παλαιῶν ἀποφάσεις περὶ αὐτῶν ἄλλως ἄλλας, τάχα δὲ καὶ ἄλλως τὰς αὐτὰς λαβόντες, ἐπὶ τούτων ἀναπαυσάμενοι, καὶ αὔταρκες νομίσαντες, εἰ ἔχοιμεν ἐρωτηθέντες τὸ δοκοῦν ἐκείνοις λέγειν, ἀγαπήσαντες ἀπαλλαττόμεθα τοῦ ζητεῖν ἔτι περὶ αὐτῶν. Εὑρηκέναι μὲν οὖν τινὰς τῶν ἀρχαίων καὶ μακαρίων φιλοσόφων τὸ ἀληθὲς δεῖ νομίζειν. Τίνες δὲ οἱ τυχόντες μάλιστα, καὶ πῶς ἂν καὶ ἡμῖν σύνεσις περὶ τούτων γένοιτο, ἐπισκέψασθαι προσήκει, καὶ πρότερον περὶ τοῦ αἰῶνος ζητεῖν, τί ποτε νομίζουσιν εἶναι αὐτὸν οἱ ἕτερον τοῦ χρόνου τιθέντες εἶναι· γνωσθέντος γὰρ τοῦ κατὰ τὸ παράδειγμα ἑστῶτος, καὶ τὸ τῆς εἰκόνος αὐτοῦ, ὃν δὴ χρόνον λέγουσιν εἶναι, τάχα ἂν σαφὲς γένοιτο. Εἰ δέ τις, πρὸ τοῦ τὸν αἰῶνα θεάσασθαι, τὸν χρόνον, ὅς ἐστι, φαντασθείη, γένοιτ' ἂν καὶ τοῦτο ἐντεῦθεν ἐκεῖ κατὰ ἀνάμνησιν ἐλθόντι, ᾧ ἄρα ὡμοίωτο ὁ χρόνος θεάσασθαι, εἴπερ ὁμοιότητα οὗτος πρὸς ἐκεῖνον ἔχοι.

Cum æternitatem et tempus diversa inter se esse dicamus, et illam quidem circa naturam sempiternam esse, hoc autem circa id, quod fit; idque universum versari existimamus nos quasi sponte, ex naturalique ingenio, et subito quodam intelligentiæ intuitu manifestum quemdam circa hæc habere instinctum nostris animis penitus insitum, eadem videlicet de his semper dicentes passimque nominantes. At vero, quando conamur propius ad hæc accedere, et absolutius explicare, in dubitationes incidimus, atque priscorum de his sententias alios (aliter) alias, forsan vero et aliter easdem accipientes: in his denique immoramur, satis nobis factum existimantes, si interrogati referre antiquorum sententiam valeamus, atque ita hæc ulterius investigare desinimus. Profecto putandum est quosdam antiquorum feliciumque philosophorum veritatem invenisse. Operæ pretium vero est deinceps inquirere, quinam potissimum veritatem assecuti fuerint, et qua ratione præcipue nos quoque eadem cognoscamus. Prius autem de æternitate quærendum, quidnam ipsam esse censeant, qui diversam a tempore judicant. Cognito namque illo, quod loco exemplaris habetur, fortasse planius illius imago, quod tempus nominant, cognoscetur. Si quis autem, antequam contempletur æternitatem, quid sit tempus, imaginetur: accidet et hoc forsan huic per reminiscentiam quamdam hinc illuc progredienti, cui tempus assimilatur agnoscere, si quidem hoc ad æternitatem similitudinem habeat.

Quidnam sit æternitas: quod sit in prima essentia, et sit aliquid ejus, nec tamen sit proprie status.

Α'. Τίνα οὖν ποτε χρὴ φάναι τὸν αἰῶνα εἶναι; ἆρά γε τὴν νοητὴν αὐτὴν οὐσίαν, ὥσπερ ἂν εἴ τις λέγοι τὸν χρόνον τὸν σύμπαντα οὐρανὸν καὶ κόσμον εἶναι; καὶ γὰρ αὖ καὶ ταύτην τὴν δόξαν ἔσχον τινές, φασί, περὶ τοῦ χρόνου. Ἐπεὶ γὰρ σεμνότατόν τι τὸν αἰῶνα εἶναι φανταζόμεθα καὶ νοοῦμεν, σεμνότατον δὲ τὸ τῆς νοητῆς φύσεως, καὶ οὐκ ἔστιν εἰπεῖν ὅ τι σεμνότερον ὁποτερονοῦν τοῦδε ἐπέκεινα, οὐδὲ τοῦτο κατηγορητέον, εἰς ταὐτὸν ἄν τις οὕτω συνάγοι· καὶ γὰρ αὖ ὅ τε κόσμος ὁ νοητὸς ὅ τε αἰὼν περιεκτικὰ ἄμφω καὶ τῶν αὐτῶν· ἀλλ' ὅταν τὰ ἕτερα ἐν θατέρῳ λέγωμεν, ἐν τῷ αἰῶνι κεῖσθαι· καὶ ὅταν τὸ αἰώνιον κατηγορῶμεν αὐτῶν· ἡ μὲν γάρ, φησί, τοῦ παραδείγματος φύσις ἐτύγχανεν οὖσα αἰώνιος, ἄλλο τὸν αἰῶνα πάλιν αὖ λέγομεν, εἶναι μέντοι περὶ ἐκείνην, ἢ ἐν ἐκείνῃ, ἢ παρεῖναι ἐκείνῃ φαμέν· τὸ δὲ σεμνὸν ἑκάτερον εἶναι ταυτότητα οὐ δηλοῖ· ἴσως γὰρ ἂν καὶ τῷ ἑτέρῳ αὐτῶν παρὰ τοῦ ἑτέρου τὸ σεμνὸν γίγνοιτο· ἥ τε περιοχὴ τῷ μὲν ὡς μερῶν

1. Quidnam igitur æternitatem esse dicendum? Num forte intelligibilem ipsam essentiam: quemadmodum si quis tempus esse dicat cœlum totum atque mundum? id namque de tempore fertur nonnullos existimasse. Cum enim quiddam maxime venerandum æternitatem esse imaginemur atque intelligamus; maxime vero venerandam esse naturam intelligibilem judicemus, neque, utrum horum venerabilius sit, discernere valeamus; et quod his superius est, ejusmodi appellationibus describi non debeat: jure quis forsan naturam intelligibilem æternitatemque pro eodem accipiet. Rursus et mundus intelligibilis et æternitas in se ipsis eadem complectuntur. At vero, quando altera in altero dicimus, et intelligibilia in æternitate locamus: et quando intelligibile quodlibet enunciamus æternum, quemadmodum in Timæo, ubi scribitur: [si] exemplaris natura æterna est: in his, inquam, æternitatem aliud quiddam esse, quam naturam intelligibilem, affirmamus: esse tamen circa illam, vel in illa, vel illi adesse fatemur. Quod autem utrumque judicatum est venerandum, non necessario eadem inter se esse demonstrat. Fortasse enim horum alterum, quod sit venerandum, habet ab altero: quod rursus additum est ab utroque eadem contineri, exponendum est, naturam quidem

ἔσται, τῷ δὲ αἰῶνι ὁμοῦ τὸ ὅλον οὐχ ὡς μέρος, ἀλλ' ὅτι πάντα τὰ τοιαῦτα, οἷα αἰώνια κατ' αὐτόν. Ἀλλ' ἆρα κατὰ τὴν στάσιν φατέον τὴν ἐκεῖ τὸν αἰῶνα εἶναι, ὥσπερ ἐνταῦθα τὸν χρόνον κατὰ τὴν κίνησιν φασίν; Ἀλλ' εἰκότως ἄν τις τὸν αἰῶνα ζητήσειε, πότερον ταὐτὸν τῇ στάσει λέγοντες, ἢ οὐχ ἁπλῶς, ἀλλὰ τῇ στάσει τῇ περὶ τὴν οὐσίαν· εἰ μὲν γὰρ τῇ στάσει ταὐτὸν, πρῶτον μὲν οὐκ ἐροῦμεν αἰώνιον τὴν στάσιν, ὥσπερ οὐδὲ τὸν αἰῶνα αἰώνιον· τὸ γὰρ αἰώνιον τὸ μετέχον αἰῶνος· ἔπειτα ἡ κίνησις πῶς αἰώνιον; οὕτω γὰρ ἂν καὶ στάσιμον εἴη· εἶτα πῶς ἔχει ἡ τῆς στάσεως ἔννοια ἐν αὐτῇ τὸ ἀεί; λέγω δὲ οὐ τὸ ἐν χρόνῳ, ἀλλὰ οἷον νοοῦμεν, ὅταν τὸ ἀΐδιον λέγωμεν· εἰ δὲ τῇ τῆς οὐσίας στάσει, ἔξω πάλιν αὖ τὰ ἄλλα γένη τοῦ αἰῶνος ποιήσομεν· εἶτα τὸν αἰῶνα οὐ μόνον ἐν στάσει δεῖ νοεῖν, ἀλλὰ καὶ ἐν ἑνί· εἶτα καὶ ἀδιάστατον, ἵνα μὴ ταὐτὸν ᾖ χρόνῳ· ἡ δὲ στάσις οὔτε τὴν τοῦ ἑνὸς, οὔτε τὴν τοῦ ἀδιαστάτου ἔχει ἔννοιαν ἐν αὐτῇ, ᾗ στάσις· εἶτα τοῦ μὲν αἰῶνος κατηγοροῦμεν τὸ μένειν ἐν ἑνί· μετέχοι ἂν οὖν στάσεως, ἀλλ' οὐκ αὐτὸ στάσις εἴη.

intelligibilem continere sua quælibet, sicut partes: æternitatem vero complecti simul totum, non sicut partem, sed quoniam ejusmodi omnia per ipsam dicuntur æterna. Sed numquid secundum statum illic existentem judicare debemus æternitatem, quemadmodum et hic tempus secundum motum excogitare consueverunt? Sed merito quis in primis de æternitate perquiret, utrum idem esse cum statu dicamus: neque tamen simpliciter, sed cum statu, qui circa essentiam esse censetur. Si enim cum statu idem est, primo quidem statum non dicemus æternum, sicut neque æternam æternitatem. Æternum enim est, quod æternitatis est particeps. Deinde quonam pacto motus erit æternus? sic enim foret et stabilis. Præterea status ipsius notio quomodo ipsum semper in se habebit? dico autem non ipsum semper in tempore, sed quale potius intelligimus, quando dicimus sempiternum. Sin autem in ipso essentiæ statu continetur ipsum semper, sane reliqua rursus entis genera ab æternitate jam segregabimus. Accedit ad hæc, quod æternitatem non in statu solum oportet, sed in uno etiam, intelligere: quin etiam indistantiam munus æternitati servandum, ne forte idem omnino sit cum tempore. Status autem, qua ratione status est, neque unius neque indistantiæ in se intelligentiam continet. Deinde de æternitate prædicamus in uno manere. Participat ergo statum, nec ipse status erit.

Æternitas est in prima essentia per modum vitæ et status et identitatis, ac re vera est interminabilis vitæ tota simul et perfecta possessio.

Β'. Τί ἂν οὖν εἴη τοῦτο, καθ' ὃ τὸν κόσμον πάντα τὸν ἐκεῖ αἰώνιον λέγομεν καὶ ἀΐδιον εἶναι; καὶ τί ἡ ἀϊδιότης; εἴτε ταὐτὸν, καὶ εἴτε ἡ αὐτὴ τῷ αἰῶνι, εἴτε κατ' αὐτὴν ὁ αἰών. Ἆρα γὰρ καθ' ἕν τι δεῖ, ἀλλ' ἐκ πολλῶν συνηθροισμένην τινὰ νόησιν ἢ καὶ φύσιν, εἴτ' ἐπακολουθοῦσαν τοῖς ἐκεῖ, εἴτε συνοῦσαν, εἴτ' ἐνορωμένην; πάντα δὲ ταῦτα ἐκείνην μὲν μίαν οὖσαν, πολλὰ δὲ δυναμένην καὶ πολλὰ οὖσαν· καὶ ὅ γε τὴν πολλὴν δύναμιν εἰσαθρήσας, κατὰ μὲν τοδὶ, τὸ οἷον ὑποκείμενον λέγει οὐσίαν, εἶτα κίνησιν τοῦτο, καθ' ὃ ζωὴν ὁρᾷ, εἶτα στάσιν τὸ πάντῃ ὡσαύτως· θάτερον δὲ καὶ ταὐτὸν, ᾗ ταῦτα ὁμοῦ ἕν. Οὕτω δὴ καὶ συνθεὶς πάλιν αὖ εἰς ἓν ὁμοῦ εἶναι ζωὴν μόνην, ἐν τούτοις τὴν ἑτερότητα συστείλας, καὶ τῆς ἐνεργείας τὸ ἄπαυστον, καὶ τὸ ταὐτὸν, καὶ οὐδέποτε ἄλλο, καὶ οὐκ ἐξ ἄλλου εἰς ἄλλο νόησιν ἢ ζωὴν, ἀλλὰ τὸ ὡσαύτως, καὶ ἀεὶ ἀδιαστάτως, πάντα ταῦτα ἰδὼν αἰῶνα εἶδεν, ἰδὼν ζωὴν μένουσαν ἐν τῷ αὐτῷ, ἀεὶ παρὸν τὸ πᾶν ἔχουσαν, ἀλλ' οὐ νῦν μὲν τόδε, αὖθις δ' ἕτερον, ἀλλ' ἅμα τὰ πάντα· καὶ οὐ νῦν μὲν ἕτερα, αὖθις δ' ἕτερα, ἀλλὰ τέλος ἀμερές· οἷον ἐν σημείῳ ὁμοῦ πάντων ὄντων, καὶ οὔποτε εἰς ῥύσιν προϊόντων, ἀλλὰ μένοντος ἐν τῷ αὐτῷ, ἐν αὐτῷ, καὶ οὐ μὴ μεταβάλλοντος· ὄντος δὲ ἐν τῷ παρόντι ἀεὶ, ὅτι οὐδὲν αὐτοῦ παρῆλθεν, οὐδ' αὖ γενήσεται, ἀλλὰ τοῦθ', ὅπερ ἐστὶ, τοῦτο καὶ ἀεὶ ὄντος, ὥστε εἶναι τὸν αἰῶνα οὐ τὸ ὑποκείμενον, ἀλλὰ τὸ ἐξ αὐτοῦ τοῦ ὑποκειμένου οἷον ἐκλάμπον, κατ' αὐτὴν, ἣν ἐπαγγέλλεται περὶ τοῦ μὴ μέλλοντος, ἀλλ' ἤδη ὄντος, ταυτότητα, ὡς ἄρα οὕτω καὶ οὐκ ἄλλως. Τί γὰρ ἂν καὶ ὕστερον αὐτῷ γένοιτο, ὃ μὴ νῦν ἐστι; μηδ' αὖ ὕστερον ἐσόμενον, ὃ μὴ ἔστιν ἤδη. Οὔτε γάρ ἐστιν, ἀφ' οὗ εἰς τὸ νῦν ἥξει. Ἐκεῖνο γὰρ ἦν οὐκ ἄλλο, ἀλλὰ τοῦτο,

II. Quid ergo potissimum id ipsum erit, per quod totum [divinum] mundum esse dicimus æternum atque sempiternum? Quidve sempiternitas est? sive idem ipsa quoque cum æternitate est, sive secundum ipsam exstat æternitas. Forsan secundum unum aliquid æternitatem excogitare debemus, unum, inquam, e multis collectum, vel intelligentiam unam vel naturam, sive quæ illis sunt consequentem, sive simul existentem, sive intus inspectam: cuncta hæc, inquam, in illam redacta, unam quidem existentem, quæ etiam multa sit, multaque possit. Profecto, qui potentiam multiplicem contuetur, secundum hoc aliquid quidem, quod subjecti vicem habet, essentiam nominat, quatenus vero vitam inspicit, nominat motum: deinde et statum, quatenus eodem prorsus modo se habet: alterum vero et idem, qua ratione hæc multa sunt simul unum. Sic utique componens rursus in unum, in unam, inquam, vitam solam, contrahensque in ipsis alteritatem, et contuens interminabilem actionis identitatem, neque unquam aliud, neque ex alio in aliud intelligentiam aut vitam pertranseuntem, sed eodem modo se semper habentem et procul a distantia consistentem: cuncta hæc, inquam, contemplans contemplatur æternitatem, videns certe vitam manentem in eodem, totum præsens semper habentem, neque nunc quidem hoc aliquid, postea vero aliud, sed omnia simul: neque nunc quidem altera, posterius altera, sed individuum finem. Ubi sicut in puncto simul omnia sunt, nondum in fluxum progredientia, sed ibi in eodem, id est, in se ipso, manente, nec aliquando permutato, sed in præsenti semper consistente: quoniam nihil ex eo præteriit, nihil rursus in eo futurum; sed hoc ipsum, quod est, semper existit: adeo ut æternitas sit non subjectum, sed quod ex ipso subjecto velut effulget secundum ipsam identitatem, quam de possessione non quidem futura, sed jam præsente sibi ipsi vindicat, promittens videlicet ita se habere, neque unquam aliter habiturum. Quid enim in posterum huic, quod nunc non sit, contingat? Neque rursus futurum aliquando, quod non est in præsentia. Neque enim est aliquid, a quo in præsens quandoque perveniat. Illud enim non aliud quicquam, sed hoc ipsum esset, quod

οὔτε μέλλοντος ἔσεσθαι, ὃ μὴ νῦν ἔχει ἐξ ἀνάγκης, οὔτε τὸ ἦν ἕξει περὶ αὐτό. Τί γάρ ἐστιν ὃ ἦν αὐτῷ, καὶ παρελήλυθεν; οὔτε τὸ ἔσται· τί γὰρ ἔσται αὐτῷ; Λείπεται δὴ, ἐν τῷ εἶναι τοῦτο, ὅπερ ἐστιν, εἶναι. Ὃ οὖν μήτε ἦν, μήτε ἔσται, ἀλλ' ἔστι μόνον, τοῦτο ἑστὼς ἔχον τὸ εἶναι τῷ μὴ μεταβάλλειν εἰς τὸ ἔσται, μηδ' αὖ μεταβεβληκέναι, ἐστὶν ὁ αἰών. Γίγνεται τοίνυν ἡ περὶ τὸ ὂν ἐν τῷ εἶναι ζωὴ ὁμοῦ πᾶσα, καὶ πλήρης ἀδιάστατος πανταχῇ, τοῦτο ὃ δὴ ζητοῦμεν, αἰών.

quidem non est futurum, quod nunc ex necessitate non habeat, neque circa se ipsum habet, quod dicitur ipsum *erat*. Quid enim est, quod erat ipsi atque præteriit? Neque rursus accidit, quod dicitur *erit*. Quid enim erit in ipso? Relinquitur igitur in ipso esse hoc ipsum, quod est esse. Quod igitur neque erat, neque erit, sed est duntaxat: id stabile habens esse, propterea, quod neque permutatur in futurum, neque est a præterito permutatum, est æternitas. Est itaque ipsa circa ens in ipso esse vita simul tota et plena, et absque prorsus indistans æternitas ipsa, quam quærimus.

Æternitas in essentia prima, non accidens, sed ut essentialis proprietas ejus: et illa essentia est vero totum ipsum atque omne. Item, quo differat esse æternorum et esse temporalium.

IV. Οὐκ ἔξωθεν δὲ δεῖ συμβεβηκέναι νομίζειν τοῦτον ἐκείνῃ τῇ φύσει, ἀλλ' ἐν ἐκείνῃ καὶ ἐξ ἐκείνης καὶ σὺν ἐκείνῃ. Ἐνορᾶται γὰρ ἐνοῦσα παρ' αὐτῆς, ὅτι καὶ τὰ ἄλλα πάντα, ὅσα λέγομεν ἐκεῖ εἶναι ἐνυπάρχοντα, ὁρῶντες λέγομεν ἐκ τῆς οὐσίας ἅπαντα, καὶ σὺν τῇ οὐσίᾳ. Τὰ γὰρ πρώτως ὄντα συνόντα δεῖ τοῖς πρώτοις καὶ ἐν τοῖς πρώτοις εἶναι· ἐπεὶ καὶ τὸ καλὸν ἐν αὐτοῖς καὶ ἐξ αὐτῶν, καὶ ἡ ἀλήθεια ἐν αὐτοῖς. Καὶ τὰ μὲν ὥσπερ ἐν μέρει τοῦ παντὸς ὄντος, τὰ δὲ ἐν παντὶ, ὥσπερ καὶ τὸ ἀληθὲς τοῦτο πᾶν, οὐκ ἐκ τῶν μερῶν ἠθροισμένον, ἀλλὰ τὰ μέρη γεννῆσαν αὐτὸ, ἵνα καὶ ταύτῃ ὡς ἀληθῶς πᾶν ᾖ. Καὶ ἡ ἀλήθεια δὲ οὐ συμφωνία πρὸς ἄλλο ἐκεῖ, ἀλλ' αὐτοῦ ἑκάστου, οὗπερ ἀλήθεια. Δεῖ δὴ τὸ πᾶν τοῦτο τὸ ἀληθινὸν, εἴπερ ἔσται πᾶν ὄντως, μὴ μόνον εἶναι πᾶν, ᾗ ἐστι τὰ πάντα, ἀλλὰ καὶ τὸ πᾶν ἔχειν οὕτως, ὡς μηδὲν ἐλλείπειν· εἰ τοῦτο, οὐδ' ἔσται τι αὐτῷ· εἰ γὰρ ἔσται, ἐλλεῖπον ἦν τοῦτο· οὐκ ἄρα ἦν πᾶν· παρὰ φύσιν δὲ τί ἂν αὐτῷ γένοιτο; πάσχει γὰρ οὐδέν. Εἰ οὖν μηδὲν αὐτῷ γένοιτο, οὐδὲ μέλλει, οὐδὲ ἔσται, οὐδὲ ἐγένετο· τοῖς μὲν οὖν γεννητοῖς εἰ ἀφέλοις τὸ ἔσται, ἅτε ἐπικτωμένοις ἀεὶ, εὐθὺς ὑπάρχει μὴ εἶναι· τοῖς δὲ μὴ τοιούτοις εἰ προσθείης τὸ ἔσται, ὑπάρχει τὸ ἔρρειν ἐκ τῆς τοῦ εἶναι ἕδρας. Δῆλον γὰρ, ὅτι ἦν αὐτοῖς τὸ εἶναι οὐ σύμφυτον, εἰ γίγνοιτο ἐν τῷ μέλλειν, καὶ γενέσθαι, καὶ ἔσεσθαι εἰς ὕστερον. Κινδυνεύει γὰρ τοῖς μὲν γεννητοῖς ἡ οὐσία εἶναι, τὸ ἐκ τοῦ ἐξ ἀρχῆς εἶναι τῆς γενέσεως, μέχρι περ ἂν εἰς ἔσχατον ἥκοι τοῦ χρόνου, ἐν ᾧ μηκέτι ἐστί· τοῦτο δὴ τὸ ἔστιν εἶναι, καὶ εἴ τις τοῦτο παρέλοιτο, ἠλαττῶσθαι ὁ βίος· ὥστε καὶ τὸ εἶναι καὶ τῷ παντὶ δεῖ, εἰς ὅπερ οὕτως ἔσται. Διὸ καὶ σπεύδει πρὸς τὸ μέλλον εἶναι, καὶ στῆναι οὐ θέλει, ἕλκον τὸ εἶναι αὐτῷ ἐν τῷ τι ἄλλο καὶ ἄλλο ποιεῖν, καὶ κινεῖσθαι κύκλῳ, ἐφέσει τινὶ οὐσίας· ὥστε εἶναι ἡμῖν εὑρημένον, καὶ τὸ αἴτιον τῆς κινήσεως τῆς οὕτω σπευδούσης ἐπὶ τὸ ἀεὶ εἶναι τῷ μέλλοντι. Τοῖς δὲ πρώτοις καὶ μακαρίοις οὐδὲ ἔφεσίς ἐστι τοῦ μέλλοντος, ἤδη γὰρ εἰσι τὸ ὅλον, καὶ ὅπερ αὐτοῖς οἷον ὀφείλεται ζῆν, ἔχουσι πᾶν, ὥστε οὐδὲν ζητοῦσι, διότι τὸ μέλλον αὐτοῖς οὐδέν ἐστιν· οὐδ' ἄρα ἐκεῖνο ἐν ᾧ τὸ μέλλον. Ἡ οὖν τοῦ ὄντος παντελὴς οὐσία καὶ ὅλη, οὐχ ἡ ἐν τοῖς μέρεσι μόνον, ἀλλὰ καὶ ἡ ἐν τῷ μηδ' ἂν ἔτι ἐλλείψειν, καὶ τῷ μηδὲν ἂν μὴ ὂν αὐτῇ προσγενέσθαι. Οὐ γὰρ μόνα τὰ

III. Neque profecto putandum est, æternitatem extrinsecus illi naturæ contingere, sed esse in illa, atque ex illa, simulque cum illa. Inspicitur enim ex ipsa penitus insita: quoniam et reliqua omnia, quæcunque dicimus illic esse, inspicientes velut intima, dicimus ab essentia et simul cum essentia omnia esse: nam, quæ primo sunt, coexsistere oportet primis et primis inesse, quoniam et pulchrum in ipsis est, atque est ipsis: similiterque in eis est veritas. Et partim quidem totum ipsum est velut in parte, partim vero velut partes in toto, tanquam id re vera sit omne, non ex partibus congregatum, sed ipsum partes generans, ut et hac ratione re vera sit omne. Veritas quinetiam illic vigens non est consonantia quædam erga aliud; sed ipsius cujusque est propria, cujus est et veritas. Oportet sane id omne verum, si modo vere sit omne, non solum esse omne, quatenus est omnia; verum etiam ipsum omne sic habere, ut nihil sibi desit. Quod si ita sit, neque erit ei quicquam: si enim erit, hac ex parte prius deficiebat: non igitur antehac erat omne. Præter naturam vero huic accidere nihil potest; nihil enim patitur. Si ergo nihil ipsi fiat, certe neque futurum est aliquid, neque erit, neque fiebat, aut est factum. A rebus quidem generabilibus si abstuleris ipsum *erit*, cum quidem in perpetua acquisitione versentur, subito non esse contingit. Rebus autem, quæ non sunt tales, si ipsum *erit* adjunxeris, accidit e sede ipsius esse labi. Manifestum enim ex hoc fuerit, ipsum esse non esse illis innatum, si fiat ex eo, quod futurum sit, et factum fuerit, et sit in posterum faciendum. Videtur enim in rebus generalibus [*corr.* generabilibus] id potissimum essentia esse, scilicet tractus quidam ab ipso esse ex generationis initio, quousque ad temporis extrema perveniat, quando non sit ulterius, idque ipsum, quod dicitur, *est* in eis exsistere, ac, si quis quicquam ex hoc ductu circumcidat, vita comminui: quapropter et esse diminui, et universo quidem esse ejusmodi oportet, quousque sic erit. Quam ob rem ad ipsum esse futurum natura festinat, neque vult quiescere: quippe cum esse sibi hauriat, dum aliud quiddam atque aliud agit, moveturque in orbem quodam essentiæ desiderio. Itaque esse nobis in his sic est inventum: inventa et causa motionis ad semper esse futuri adminiculo properantis. Primis autem rebus atque beatis neque desiderium inest futuri: jam enim totum sunt, et, quicquid habere vitæ debent, jam totum possident: ideo nihil quærunt, quoniam his nihil est futurum: neque igitur illud eis accidit, in quo est futurum. Ipsa igitur absoluta entis essentia et tota, quæ et non discerpatur in partes, sed in partibus suis tota sit, et in nullo deficiat, nihilque ipsi desit, et cui nihil omnino, quod non ens dicatur, possit accedere. Non enim solum entia omnia oportet omni totique adesse, sed

ὄντα πάντα δεῖ παρεῖναι τῷ παντὶ καὶ ὅλῳ, ἀλλὰ καὶ μηδὲν τοῦ ποτὲ μὴ ὄντος. Αὕτη ἡ διάθεσις αὐτοῦ καὶ φύσις εἴη ἂν αἰών· αἰὼν γὰρ ἀπὸ τοῦ ἀεὶ ὄντος.

etiam nihil aliquando non entis accidere. Haec, inquam, proprietas ipsiusque natura aeternitas est, id est aevum: aevum enim ab eo, quod est semper, ἀεί, est dictum.

Aeterna quadam potentia ipsam contemplamur aeternitatem, quae est infinita quaedam vita simul tota.

Δ'. Τοῦτο δὲ ὅταν τινὶ προσβάλλων τῇ ψυχῇ, ἔχω λέγειν περὶ αὐτοῦ· μᾶλλον δὲ ὁρῶν αὐτὸ τοιοῦτον, οἷον μηδὲν περὶ αὐτὸ ὅλως γεγονέναι· εἰ γὰρ τοῦτο, οὐκ ἀεὶ ὄν, ἢ οὐκ ἀεί τι ὅλον ὄν. Ἆρ' οὖν ἤδη ἀΐδιον; εἰ μὴ καὶ ἐνυπάρχει αὐτῷ τοιαύτη φύσις ὡς πίστιν ἔχειν περὶ αὐτοῦ, ὡς οὕτω καὶ μὴ ἄλλως ἔτι· ὡς εἰ πάλιν προσβάλλοις, εὑρεῖν τοιοῦτον. Τί οὖν εἰ μηδὲ ἀφίσταιτό τις αὐτοῦ τῆς θέας, ἀλλὰ συνὼν εἴη, τῆς φύσεως ἀγασθεὶς, καὶ δυνατὸς τοῦτο πράττειν ἀτρύτῳ φύσει, ἢ δραμὼν καὶ αὐτὸς εἰς αἰῶνα ἔσται, καὶ οὐκ ἀποκλίνων οὐδαμῇ, ἵν' ᾖ ὅμοιος καὶ αἰώνιος, τῷ ἐν αὐτῷ αἰωνίῳ τὸν αἰῶνα καὶ τὸ αἰώνιον θεώμενος. Εἰ οὖν τὸ οὕτως ἔχον αἰώνιον καὶ ἀεὶ ὄν, τὸ μὴ ἀποκλῖνον εἰς ἑτέραν φύσιν κατὰ μηδὲν, ζωὴν ἔχον, ἣν ἔχει πᾶσαν ἤδη, οὐ προσλαβὸν, οὐδὲ προσλαμβάνον, ἢ προσληψόμενον, εἴη ἂν ἀΐδιον μὲν τὸ οὕτως ἔχον· ἀϊδιότης δὲ ἡ τοιαύτη κατάστασις τοῦ ὑποκειμένου, ἐξ αὐτοῦ οὖσα καὶ ἐν αὐτῷ· αἰὼν δὲ τὸ ὑποκείμενον μετὰ τῆς τοιαύτης καταστάσεως ἐμφαινομένης. Ὅθεν σεμνὸν ὁ αἰὼν, καὶ ταὐτὸν τῷ θεῷ, ἡ ἔννοια λέγει. Λέγει δὲ ταὐτὸν τῷ θεῷ, καὶ καλῶς ἂν λέγοιτο ὁ αἰὼν θεὸς, ἐμφαίνων καὶ προφαίνων ἑαυτὸν, οἷός ἐστι τὸ εἶναι ὡς ἀτρεμὲς καὶ ταὐτὸν, καὶ οὕτω καὶ τὸ βεβαίως ἐν ζωῇ. Εἰ δ' ἐκ πολλῶν λέγομεν αὐτὸν, οὐ δεῖ θαυμάζειν· πολλὰ γὰρ ἕκαστον τῶν ἐκεῖ διὰ δύναμιν ἄπειρον, ἐπεὶ καὶ τὸ ἄπειρον, τῷ μὴ ἂν ἐπιλείπειν· καὶ τοῦτο κυρίως, ὅτι μηδὲν αὐτοῦ ἀναλίσκει. Καὶ εἴ τις οὕτως τὸν αἰῶνα λέγοι, ζωὴν ἄπειρον ἤδη τῷ πᾶσαν εἶναι, καὶ μηδὲν ἀναλίσκειν αὐτῆς, τῷ μὴ παρεληλυθέναι, μηδ' αὖ μέλλειν, ἤδη γὰρ οὐκ ἂν εἴη πᾶσα, ἐγγὺς ἂν εἴη τοῦ ὁρίζεσθαι. Τὸ γὰρ ἑξῆς τῷ πᾶσαν εἶναι καὶ μηδὲν ἀναλίσκειν ἐξήγησις ἂν εἴη τοῦ ἄπειρον ἤδη εἶναι.

IV. Id ita potissimum se habere cognoscitur, quando quis mentem ad aliquid adhibens potest de ipso dicere: imo vero cernere ipsum tale, ut nihil prorsus circa id factum aliquando fuerit: alioquin non semper ens existeret, vel non semper aliquid ens totum. Numquid jam sempiternum est? nisi natura quoque insit ejusmodi, ut de eo procul dubio credi possit, ita nec aliter ulterius se habere adeo, ut, si rursum id respexeris, sis tale similiter inventurus. Quid vero, si quis nunquam ab ejus contemplatione destiterit, sed assidue perseveraverit naturam admiratus, possitque indefessa quadam natura perseverare, ipsam contingens ipse in aeternitatem illidem sistit pedem, nusquam omnino declinans, ut similis aeternusque sit, dum eo, quod in ipso est aeternum, aeternitatem aeternumque contemplatur. Si igitur, quod ita se habet, est aeternum, et *semper ens, quod quidem in naturam alteram nullatenus labitur*, vitam, quam habet, totam jam possidens, neque accepit quicquam, neque accipit, neque est accepturum: quod ita, inquam, se habet, est procul dubio sempiternum. Sempiternitas autem est talis quaedam subjecti constitutio, ex eo et in eo simul existens: aevum vero, id est aeternitas, subjectum una cum ejusmodi constitutione ibi micante. Quamobrem venerandum aliquid est aevum aeternitasque, idemque cum deo, siquidem id insita dictat intelligentia. Dictat autem idem esse huic deo, quem entis et vitae nomine nuncupamus. Atqui recte dici potest aevum sive aeternitas esse deus, fulgens proferensque in lucem se ipsum, qualis potissimum est secundum esse: esse, inquam, immutabile penitus atque idem, et ita firmiter in vita consistens. Neque vero mirari quisquam debet, quod ipsum dicamus ex multis. Quodlibet enim eorum, quae illic sunt, multa dicitur ob potentiam infinitam, quando et infinitum ibi dicitur, quia nullo modo deficiat. Et hoc quidem praecipue, quoniam e suo nihil amittat: ac si quis aeternitatem ita descripserit, scilicet vitam infinitam, jam ex eo, quod sit universa, nihilque amittat, cum nihil vel praeterierit, vel sit futurum, alioquin jam tota non esset: is profecto proxime ad definitionem ejus accedet. Quod enim deinceps subditur, [scilicet] huic totam esse nihilque amittere, expositio quaedam est ejus, quod dicebatur, scilicet vita jam infinita.

Aeternitas est actus primae mentis in uno, et circa unum, simul totus: atque est ipsum esse praesens tantum, sive ipsum re vera ens, in qua, quod ipsum semper dicitur, necessario continetur.

Ε'. Ἐπειδὴ δὲ ἡ τοιαύτη φύσις οὕτω παγκάλη καὶ ἀΐδιος περὶ τὸ ἓν, καὶ ἀπ' ἐκείνου, καὶ πρὸς ἐκεῖνο, οὐδὲν ἐκβαίνουσα ἀπ' αὐτοῦ, μένουσα δὲ ἀεὶ περὶ ἐκεῖνο καὶ ἐν ἐκείνῳ, καὶ ζῶσα κατ' ἐκεῖνο, εἴρηταί τε, ὡς ἐγὼ οἶμαι, τοῦτο τῷ Πλάτωνι καλῶς καὶ βαθείᾳ τῇ γνώμῃ, καὶ οὐκ ἄλλως· Τοῦτο δὴ τὸ μένοντος αἰῶνος ἐν ἑνί· ἵνα μὴ μόνον ᾖ αὐτὸς αὐτὸν εἰς ἓν πρὸς ἑαυτὸν ἄγων, ἀλλ' ᾖ περὶ τὸ ἓν τοῦ ὄντος ζωὴ ὡσαύτως· τοῦτο, ὃ δὴ ζητοῦμεν, καὶ τὸ οὕτω μένον, αἰὼν εἶναι. Τὸ γὰρ τοῦτο καὶ οὕτω μένον, καὶ αὐτὸ τὸ μένον, ὅ ἐστιν ἐνέργεια ζωῆς μενούσης παρ' αὐτῆς πρὸς ἐκεῖνο, καὶ ἐν ἐκείνῳ, καὶ οὔτε τὸ εἶναι οὔτε τὸ ζῆν ψευδομένη, ἔχοι ἂν τὸ αἰὼν εἶναι. Τὸ γὰρ ἀληθῶς εἶναί ἐστι τὸ οὐδέποτε μὴ εἶναι, οὐδ' ἄλλως εἶναι· τοῦτο δὲ ὡσαύτως εἶναι, τοῦτο δὲ ἀδιαφόρως εἶναι. Οὐκ ἔχει οὖν ὁτιοῦν, τὸ ἄλλο καὶ ἄλλο· οὐδ' ἄρα δια-

V. Quoniam vero natura talis omni pulchritudine pollens, atque sempiterna circa ipsum unum exstat, ab illo et ad illud, nullo modo ab ipso digrediens, sed manens circa illud semper, atque in illo, secundumque illud vivens, ideirco dictum est a Platone non temere, sed praeclare admodum profundaque sententia, scilicet aeternitas manet in uno, ut videlicet non solum ipsa eam in unum, quod in ipsa est, redigat, sed etiam ipsa entis vita circa ipsum unum similiter se reducat. Hoc itaque est, quod quaerimus, quodve ita permanet, est aeternitas. Id namque ipsum et ita manens, et hoc ipsum permanens, quod quidem est actus vitae manentis ex se ipsa, ad illud, atque in illo, neque in essendo, neque in vivendo mentitur, absque controversia est aeternitas: nam vero esse est nunquam non esse, neque aliter esse. Id autem eodem modo esse, hoc vero sine diversitate esse: aliud igitur aliudve non habet. Neque id igitur in vera ejus contemplatione

στήσεις, οὐδ' ἐξελίξεις, οὐδὲ προάξεις, οὐδὲ παρατενεῖς, οὐδ' ἄρα οὐδὲ πρότερον αὐτοῦ, οὐδέ τι ὕστερον λαβεῖν ἕξεις. Εἰ οὖν μήτε πρότερον μήτε ὕστερον, μήτε ὕστερον περὶ αὐτό, τὸ δ' ἔστιν ἀληθέστατα τῶν περὶ αὐτὸ καὶ αὐτό· καὶ οὕτως δέ, ὅτι ἐστὶν ὡς οὐσία ἢ τὸ ζῆν. Πάλιν αὖ ἥκει ἡμῖν τοῦτο, ὃ δὴ λέγομεν ὁ αἰών. Ὅταν δὲ τὸ ἀεὶ λέγωμεν, καὶ τὸ οὐ ποτὲ μὲν ὄν, ποτὲ δὲ μὴ ὄν, ἡμῖν ἕνεκα τῆς σαφηνείας δεῖ νομίζειν λέγεσθαι· ἐπεὶ τό γε ἀεὶ τάχ' ἂν οὐ κυρίως λέγοιτο, ἀλλὰ ληφθὲν εἰς δήλωσιν τοῦ ἀφθάρτου πλανῷ ἂν τὴν ψυχὴν εἰς ἔκβασιν τοῦ πλείονος· καὶ ἔτι, ὡς μὴ ἐπιλείψοντός ποτε, τόδε ἴσως βέλτιον ἦν μόνον τὸ ὂν λέγειν. Ἀλλ' ὥσπερ τὸ ὂν ἀρκοῦν ὄνομα τῇ οὐσίᾳ, ἐπειδὴ καὶ τὴν γένεσιν οὐσίαν ἐνόμιζον, ἐδεήθησαν, πρὸς τὸ μαθεῖν, καὶ προσθήκης τοῦ ἀεί. Οὐ γὰρ ἄλλο μέν ἐστιν ὄν, ἄλλο δὲ τὸ ἀεὶ ὄν· ὥσπερ οὐδ' ἄλλο μὲν φιλόσοφος, ἄλλο δὲ ὁ ἀληθινός· ἀλλ' ὅτι τὸ ὑποδυόμενον ἦν φιλοσοφίαν, ἡ προσθήκη τοῦ ἀληθινοῦ ἐγένετο· οὕτω καὶ τῷ ὄντι, τὸ ἀεί, καὶ τὸ ὄν, τῷ ἀεί· ὥστε λέγεσθαι ἀεὶ ὄν, διὸ ληπτέον τὸ ἀεὶ οἷον ἀληθῶς ὂν λέγεσθαι. Καὶ συναιρετέον τὸ ἀεὶ εἰς ἀδιάστατον δύναμιν, τὴν οὐδὲν δεομένην οὐδενός, μεθ' ὃ ἤδη ἔχει· ἔχει δὲ τὸ πᾶν. Πᾶν οὖν καὶ ὂν καὶ κατὰ πᾶν οὐχ ἐνδεές, καὶ οὐ ταύτῃ μὲν πλῆρες, ἄλλῃ δὲ ἐλλεῖπον ἡ τοιαύτη φύσις. Τὸ γὰρ ἐν χρόνῳ κἂν τέλειον ᾖ ὡς δοκεῖ, οἷον σῶμά τι ἱκανὸν, ψυχῇ τέλειον, δεόμενον καὶ τοῦ ἔπειτα, ἐλλεῖπον τῷ χρόνῳ, οὗ δεῖται· ὥστε σὺν ἐκείνῳ εἰ παρείη αὐτῷ καὶ συνθέοι, ὂν ἀτελὲς, ταύτῃ ὂν ὁμωνύμως ἂν τέλειον λέγοιτο· ὅτῳ δὲ ὑπάρχει μηδὲ τοῦ ἔπειτα δεῖσθαι, μήτε εἰς χρόνον ἄλλον μεμετρημένον, μήτε τὸν ἄπειρον καὶ ἀπείρως ἐσόμενον, ἀλλ' ὅπερ δεῖ εἶναι, τοῦτο ἔχει, τοῦτό ἐστιν, οὗ ἡ ἔννοια ἐπορέγεται, ᾧ τὸ εἶναι οὐκ ἐκ τοῦ τοσοῦδε, ἀλλὰ πρὸ τοῦ τοσοῦδε. Ἔπρεπε γὰρ αὐτῷ, μηδὲ τοσῷδε ὄντι, πάντῃ μηδενὸς ἐφάπτεσθαι τοσοῦδε, ἵνα μὴ ἡ ζωὴ αὐτοῦ μερισθεῖσα τὸ καθαρῶς ἀμερὲς αὐτοῦ ἀνέλῃ, ἀλλ' ᾖ καὶ τῇ ζωῇ ἀμερὲς καὶ τῇ οὐσίᾳ. Τὸ δ' ἀγαθὸς ἦν, ἀναφέρει εἰς ἔννοιαν τοῦ παντὸς, σημαίνων τῷ ἐπέκεινα παντὶ τὸ μὴ ἀπὸ χρόνου τινός· ὥστε μηδὲ τὸν κόσμον ἀρχήν τινα χρονικὴν εἰληφέναι, τῆς αἰτίας τοῦ εἶναι αὐτῷ τὸ πρότερον παρεχούσης. Ἀλλ' ὅμως δηλώσεως χάριν τοῦτο εἰπὼν μέμφεται ὕστερον καὶ τούτῳ τῷ ὀνόματι, ὡς οὐδ' αὐτοῦ ὀρθῶς πάντῃ λεγομένου ἐπὶ τῶν τὸν λεγόμενον καὶ νοούμενον αἰῶνα εἰληχότων.

distantiam finges, neque extrinsecus explicabis, neque produces [*al.* adjunges], neque protendes: neque igitur vel prius, vel posterius in eo quicquam accipies. Quodsi neque prius, neque posterius penes ipsum fingi potest, sed ipsum, quod dicitur est, verissimum est omnium, quæ de illo dicuntur, imo est id ipsum, atque ita est, ut essentia sit et vita. In his, inquam, nobis succurrit rursum, quod dicimus ævum. Quando vero dicimus ipsum semper, item ipsum non aliquando quidem ens, aliquando vero non ens, putandum est, id declarationis gratia dici: quoniam ipsum semper fortasse non præcipue dicitur, sed assumptum ad ostendendum incorruptibile, animum potest reddere vagabundum per quendam in plura exitum et proventum: item significat rem nunquam deficientem. Forsan vero præstabat id tantum ens dicere. Verum quemadmodum ens nomen est essentiæ ipsi sufficiens, attamen, quia generationem quoque esse multi putarunt essentiam, opus fuit disciplinæ gratia ipsum semper adjungere. Non enim aliud quiddam est ens, aliud vero semper ens: sicut neque aliud est philosophus, aliud vero philosophus verus. Veruntamen, quia nonnulli philosophiam simulant, adjunctum est philosophus verus. Sic et enti ipsum semper, et ipsi semper adjungitur ens, adeo ut dicatur *aion*, id est semper ens: unde dicitur *æon*, id est ævum: quapropter sic accipiendum est ipsum semper cum ente, ut vere ens nobis significet. Profecto colligendum est ipsum semper ad indistantem potentiam demonstrandam, quæ præter id, quod habet, nullius indigeat; habet autem omne. Omne igitur est et ens, atque per omne nullius indigum. Ejusmodi vero natura non est hac quidem ex parte plena, alia vero vacua. Quod enim in tempore est, quamvis perfectum videatur, velut corpus aliquod sufficiens animæ, per animam est perfectum, indigetque alicujus quandoque futuri, utpote cui tempus illud, quo indiget, deest. Quapropter simul cum illo si quando præsens immineat atque concurrat, imperfectum existens, hac utique ratione ens æquivoce perfectum esse dicetur. Quod vero tale est, ut neque futuro egeat, neque redigatur in tempus aliud mensuratum, neque infinitum et infinite futurum, sed, quicquid expedit, esse jam habet, id profecto est, quod intelligentia nostra desiderat: cui quidem esse non advenit ex aliquo tanto, sed et adest etiam ante quodlibet tantum. Decet enim ipsum, cum neque tantum aliquod sit, omnino nihil tantum ut tantum attingere, ne vita ejus jam divisa naturam ipsius penitus indivisibilem perdat, sed sit cum per vitam, tum per essentiam individuum. Quod autem dicitur in Timæo, mundi artifex bonus erat, refert ad intelligentiam universi, significans in eo, quod ponit aliquid super universum, non intelligendum hoc ex quodam tempore. Quam ob rem neque mundum initium aliquod temporale esse sortitum: quippe cum ipsa, quæ essendi huic est causa, id quod dicitur, prius adhibeat. Veruntamen, postquam id declarationis gratia dixerat, dictionem hanc, id est ipsum *erat*, redarguit in sequentibus, quasi id in rebus æternis non recte dicatur.

Anima per suum quiddam æternum tangit æternitatem, et per temporale tempus. Item, quot sint opiniones de tempore.

ϛ'. Ταῦτα οὖν λέγομεν, ἆρά γε μαρτυροῦντες ἑτέροις, καὶ ὡς περὶ ἀλλοτρίων τοὺς λόγους ποιούμεθα; καὶ πῶς; τίς γὰρ ἂν σύνεσις γένοιτο μὴ ἐφαπτομένοις; πῶς δ' ἂν ἐφαψαίμεθα τοῖς ἀλλοτρίοις; Δεῖ ἄρα καὶ ἡμῖν μετεῖναι τοῦ αἰῶνος. Ἀλλ' ἐν χρόνῳ οὖσι, πῶς; ἀλλὰ πῶς ἐν χρόνῳ, καὶ πῶς ἐν αἰῶνί ἐστιν εἶναι, γνωσθείη ἂν εὑρεθέντος πρότερον τοῦ χρόνου· καὶ τοίνυν καταβατέον ἡμῖν ἐξ αἰῶνος ἐπὶ τὴν ζήτησιν τοῦ χρόνου, καὶ τὸν χρόνον· ἐκεῖ μὲν γὰρ ἦν ἡ πορεία

VI. Quæ hactenus dicimus, numquid alienis testificamur, et tanquam de alienis verba facimus? At enim quomodo id fieri possit? Nam quæ intelligentia in nobis fieri potest, nisi tangamus? Et quonam pacto alienis intelligendo possimus attingere? Oportet itaque nos ævi, id est æternitatis, participes esse. Sed quonam pacto, cum simus in tempore? Jam vero qua conditione potissimum in tempore, et qua in æternitate liceat esse, notum erit planius, cum jam, quid sit tempus, fuerit inventum. Profecto descendendum nobis est ab ævo ad indagationem temporis atque ad tempus: ibi quidem erat ad superna pro-

πρὸς τὸ ἄνω· νῦν δὲ λέγομεν ἤδη, οὐ πάντῃ καταβάντες, ἀλλ' οὕτως, ὥσπερ κατέβη χρόνος. Εἰ μὲν περὶ χρόνου εἰρημένον μηδὲν ἦν τοῖς παλαιοῖς καὶ μακαρίοις ἀνδράσιν, ἐχρῆν τῷ αἰῶνι ἐξ ἀρχῆς συνείραντας τὸ ἐφεξῆς λέγειν τὰ δοκοῦντα περὶ αὐτοῦ, πειρωμένους τῇ ἐννοίᾳ αὐτοῦ, ἣν κεκτήμεθα, ἐφαρμόζειν τὴν λεγομένην ὑφ' ἡμῶν δόξαν· νῦν δὲ ἀναγκαῖον πρότερον λαβεῖν τὰ μάλιστα ἀξίως λόγου εἰρημένα, σκοποῦντας, εἴ τινι αὐτῶν συμφώνως ὁ παρ' ἡμῶν ἕξει λόγος. Τριχῇ δ' ἴσως διαιρετέον τοὺς λεγομένους περὶ αὐτοῦ λόγους τὴν πρώτην. Ἢ γὰρ κίνησις ἡ λεγομένη ἢ τὸ κινούμενον λέγοι ἄν, ἢ κινήσεώς τι τὸν χρόνον. Τὸ γὰρ στάσιν, ἢ τὸ ἑστηκός, ἢ στάσεώς τι λέγειν παντάπασι πόρρω τῆς ἐννοίας ἂν εἴη τοῦ χρόνου, οὐδαμῇ τοῦ αὐτοῦ ὄντος. Τῶν δὲ κίνησιν λεγόντων οἱ μὲν πᾶσαν κίνησιν ἂν λέγοιεν, οἱ δὲ τὴν τοῦ παντός. Οἱ δὲ τὸ κινούμενον λέγοντες τὴν τοῦ παντὸς ἂν σφαῖραν λέγοιεν· οἱ δὲ κινήσεώς τι, ἢ διάστημα κινήσεως, οἱ δὲ μέτρον, οἱ δ' ὅλως παρακολουθοῦν αὐτῇ, καὶ ἢ πάσης, ἢ τῆς τεταγμένης.

gressu: nunc vero loquimur jam descendentes, neque tamen omnino, sed ita, quemadmodum descendit et tempus. Principio, si nihil omnino de tempore ab antiquis beatisque viris dictum esset, oporteret nos ab initio, quod sequitur deinceps connectentes ævo, dicere, quæ de hoc videantur, studentes ipsius notioni jam partæ opinionem nostram accommodare. *Nunc vero necessarium est* imprimis accipere, quæ majori cum ratione dicta sunt, considerantes, si cui illorum nostra sententia consonet. Ante omnia forsan sententias aliorum de tempore debemus in tria membra distinguere. Tempus enim aut ipse motus est, aut id quod movetur, aut aliquid motionis. Dicere autem tempus esse statum, vel ipsum stabile, vel aliquid stationis, procul admodum foret ab ipsa temporis notione: quippe cum identitatem minime patiatur, ideoque cum statu atque stabili congruere nequeat. Eorum vero, qui *tempus esse motum opinantur, alii quidem motum omnem* esse dicent, alii vero universi motum. Qui autem ipsum mobile esse tempus affirmant, sphæram totius adducent in medium. Proinde, qui tempus aiunt esse aliquid motionis, partim intervallum, sive spatium, sive durationem motus: partim mensuram, partim aliquid motum comitans, sive motum omnem, sive potius ordinatum.

Tempus neque est motus, neque duratio corporei motus.

Ζ'. Κίνησιν μὲν οὖν οὐχ οἷόν τε, οὔτε τὰς συμπάσας λαμβάνοντι κινήσεις, καὶ οἷον μίαν ἐκ πασῶν ποιοῦντι, οὔτε τὴν τεταγμένην· ἐν χρόνῳ γὰρ ἡ κίνησις ἑκατέρα ἡ λεγομένη. Εἰ δέ τις μὴ ἐν χρόνῳ, πολὺ μᾶλλον ἂν ἀπείη τοῦ χρόνος εἶναι, ὡς ἄλλου ὄντος τοῦ, ἐν ᾧ ἡ κίνησις, ἄλλου τῆς κινήσεως αὐτῆς οὔσης· καὶ ἄλλων λεγομένων καὶ λεχθέντων ἄν, ἀρκεῖ τοῦτο, καὶ ὅτι κίνησις μὲν ἂν καὶ παύσαιτο καὶ διαλείποι, χρόνος δὲ οὔ. Εἰ δὲ τὴν τοῦ παντὸς κίνησιν μὴ διαλείπειν τις λέγοι, ἀλλὰ καὶ αὕτη, εἴπερ τὴν περιφορὰν λέγοι ἐν χρόνῳ τινί, καὶ αὐτὴ περιφέροιτ' ἂν εἰς τὸ αὐτό· οὐκ ἐν ᾧ τὸ ἥμισυ ἤνυσται, καὶ ὁ μὲν ἂν εἴη ἥμισυς, ὁ δὲ διπλάσιος, κινήσεως τοῦ παντὸς οὔσης ἑκατέρας, τῆς τε εἰς τὸ αὐτὸ ἀπὸ τοῦ αὐτοῦ, καὶ τῆς εἰς τὸ ἥμισυ ἡκούσης. Καὶ τὸ ὀξυτάτην δὲ καὶ ταχίστην λέγειν τὴν τῆς ἐξωτάτης σφαίρας κίνησιν μαρτυρεῖ τῷ λόγῳ, ὥστε ἕτερον ἡ κίνησις αὐτῆς καὶ ὁ χρόνος. Ταχίστη γὰρ πασῶν δηλονότι τῷ ἐλάττονι χρόνῳ τὸ μεῖζον καὶ τὸ μέγιστον διάστημα ἀνύειν· τὰ δ' ἄλλα βραδύτερα τῷ ἐν πλείονι ἄν, καὶ μέρος αὐτοῦ. Εἰ τοίνυν μηδ' ἡ κίνησις τῆς σφαίρας ὁ χρόνος, σχολῇ γε ἂν ἡ σφαῖρα αὐτή, ἣ ἐκ τοῦ κινεῖσθαι ὑπενοήθη χρόνος εἶναι. Ἆρ' οὖν κινήσεώς τι; εἰ μὲν διάστημα, πρῶτον μὲν οὐ πάσης κινήσεως τὸ αὐτό, οὐδὲ τῆς ὁμοειδοῦς. Θᾶττον γὰρ καὶ βραδύτερον ἡ κίνησις καὶ ἡ ἐν τόπῳ. Καὶ εἶεν ἂν ἄμφω μετρούμεναι αἱ διαστάσεις ἑνὶ ἑτέρῳ, ὃ δὴ ὀρθότερον ἄν τις εἴποι χρόνον. Ποτέρας δὴ αὐτῶν τὸ διάστημα χρόνος, μᾶλλον δὲ τίνος αὐτῶν, ἀπείρων οὐσῶν; Εἰ δὲ τῆς τεταγμένης, οὐ πάσης μέν, οὐδὲ τῆς τοιαύτης· πολλαὶ γὰρ αὗται, ὥστε καὶ πολλοὶ χρόνοι ἅμα ἔσονται. Εἰ δὲ τῆς τοῦ παντὸς διάστημα, εἰ μὲν τὸ ἐν αὐτῇ τῇ κινήσει διάστημα, τί ἂν ἄλλο, ἢ ἡ κίνησις ἂν εἴη; τοσήδε μέντοι, τὸ δὲ τοσόνδε τοῦτο, ἤτοι τῷ

VII. Tempus quidem esse motum est impossibile: neque si cunctos simul motus accipias, ex cunctis quasi unum efficiens, neque si motum duntaxat ordinatum: nam motus uterque fit in tempore. Si quis vero motus dicatur non in tempore fieri, multo longius ab hoc insuper aberit, ut sit tempus, quasi aliud quidem sit, in quo motus agitur, aliud vero sit ipse motus. Cum vero sint et alia, quæ dicantur dictaque sint, id sufficit atque sufficiet, quod videlicet *motus desinere potest atque intermitti, tempus vero* nequaquam. Si quis autem universi motum dixerit non intermitti, attamen et hic motus, si modo circuitum illa dicat, in quodam fit tempore, atque in idem quandoque revertitur: non in eo quidem spatio, quo dimidium ejus impletur: et hic quidem motus est dimidius, ille vero duplus, dum videlicet uterque motus est universi, cum qui ab eodem redit in idem, tum qui duntaxat pervenit ad dimidium. Præterea quod dici solet, motum extimæ sphæræ vehementissimum celerrimumque esse, idem quoque confirmat, *videlicet aliud esse sphæræ motum, aliud vero* tempus. Velocissimus enim omnium est, qui breviori tempore majus maximumque spatium peragit: alii tardiores, qui scilicet tempore longiori partem ejusdem spatii consequuntur. Si ergo tempus non est motio sphæræ, neque etiam erit ipsa sphæra: quæ quidem propterea, quod movetur, existimata est esse tempus. Sed numquid tempus est aliquid motionis? *Profecto si motionis intervallum esse dicatur,* primo quidem objicimus, non idem esse motionis cujuslibet intervallum, neque etiam, si motus sint uniformes. Velocius enim et tardius motus etiam, qui fit in loco, peragitur. Et fieri quidem potest, ut utraque intervalla uno quodam tertio mensurentur, quod rectius admodum quis dixerit esse tempus. Utrius autem horum motuum intervallum erit tempus? imo vero cujusnam eorum, cum infiniti sint? Si vero ordinati motus spatium tempus esse putetur, certe neque omnis quidem ejusmodi motionis: *hæ namque multæ sunt: quo efficitur, ut simul* etiam multa sint tempora. Sin autem universi motus spatium, si quidem spatium, quod inest motui, quidnam

τόπῳ, ὅτι τοσόνδε, ὃν διεξῆλθε, μετρηθήσεταί, καὶ τὸ διάστημα τοῦτο ἔσται· τοῦτο δὲ οὐ χρόνος, ἀλλὰ τόπος, ἢ αὐτὴ ἡ κίνησις τῇ συνεχείᾳ αὐτῆς, καὶ τῷ μὴ εὐθὺς πεπαῦσθαι, ἀλλ' ἐπιλαμβάνειν ἀεὶ, τὸ διάστημα ἕξει. Ἀλλὰ τοῦτο τὸ πολὺ τῆς κινήσεως ἂν εἴη· καὶ εἰ μὲν εἰς αὐτήν τις βλέπων ἀποφανεῖται πολλὴν, ὥσπερ ἂν εἴ τις πολὺ τὸ θερμὸν λέγοι, οὐδὲ ἐνταῦθα χρόνος φανεῖται, οὐδὲ προσπίπτει, ἀλλὰ κίνησις πάλιν καὶ πάλιν, ὥσπερ ὕδωρ ῥέον πάλιν καὶ πάλιν, καὶ τὸ ἐπ' αὐτοῦ διάστημα θεωρούμενον. Καὶ τὸ μὲν πάλιν καὶ πάλιν ἔσται ἀριθμὸς, ὥσπερ δυὰς ἢ τριὰς, τὸ δὲ διάστημα τοῦ ὄγκου. Οὕτως οὖν καὶ πλῆθος κινήσεως, ὡς δεκὰς, ἢ ὡς τὸ ἐπιφαινόμενον τῷ οἷον ὄγκῳ τῆς κινήσεως διάστημα, ὃ οὐκ ἔχει ἔννοιαν χρόνου, ἀλλ' ἔσται τὸ τοσόνδε τοῦτο γενόμενον ἐν χρόνῳ· ἢ ὁ χρόνος οὐχ ἔσται πανταχοῦ, ἀλλ' ἐν ὑποκειμένῳ τῇ κινήσει· συμβαίνει τε πάλιν αὖ κίνησιν τὸν χρόνον λέγειν· οὐ γὰρ ἔξω αὐτῆς τὸ διάστημα, ἀλλὰ κίνησις οὐκ ἀθρόα. Τὸ δὲ μὴ ἀθρόα, εἰ τὸ ἀθρόον ἐν χρόνῳ, τὸ μὴ ἀθρόον τίνι διοίσει τοῦ ἀθρόως, ἢ τῷ ἐν χρόνῳ; ὥστε ἡ διεστῶσα κίνησις καὶ τὸ διάστημα αὐτῆς οὐκ αὐτὸ χρόνος, ἀλλ' ἐν χρόνῳ. Εἰ δὲ τὸ διάστημα τῆς κινήσεως λέγοι τις χρόνον, οὐ τὸ αὐτῆς τῆς κινήσεως, ἀλλὰ παρ' ὃ αὐτὴ ἡ κίνησις τὴν παράτασιν ἔχει, οἷον συμπαραθέουσα ἐκείνῳ· τί δὲ τοῦτό ἐστιν, οὐκ εἴρηται. Δῆλον γὰρ ὅτι τοῦτό ἐστιν ὁ χρόνος, ἐν ᾧ γέγονεν ἡ κίνησις. Τοῦτο δ' οὖν ὃ ἐξ ἀρχῆς ἐζήτει ὁ λόγος, τί ὤν ἐστιν ὁ χρόνος· ἐπεὶ ὅμοιόν τε γίνεται καὶ αὐτὸ, οἷον εἴ τις ἐρωτηθεὶς, τί ἐστι χρόνος, λέγοι κινήσεως διάστημα ἐν χρόνῳ. Τί οὖν ἐστι τοῦτο τὸ διάστημα, ὃ δὴ χρόνον καλεῖ ὁ τῆς κινήσεως τοῦ οἰκείου διαστήματος ἔξω τιθέμενος. Καὶ γὰρ αὖ καὶ ἐν αὐτῇ ὁ τιθέμενος τῇ κινήσει τὸ διάστημα τὴν τῆς ἠρεμίας διάστασιν ποῦ θήσεται, ἄπορος ἔσται. Ὅσον γὰρ κινεῖταί τι, τοσοῦτον ἂν σταίη καὶ ἄλλο. Καὶ εἴποις ἂν τὸν χρόνον ἑκατέρου τὸν αὐτὸν εἶναι, ὡς ἄλλον δηλονότι ἀμφοῖν ὄντα. Τί οὖν ἐστι, καὶ τίνα φύσιν ἔχει τοῦτο τὸ διάστημα; ἐπείπερ τοπικὸν οὐχ οἷόν τε, ἐπεὶ καὶ τοῦτό γε ἔξωθέν ἐστιν.

aliud, quam ipse motus erit? Tantus tamen : tantum vero istud vel loco mensurabitur, quoniam scilicet tantus est locus, quem percurrit, et spatium quidem id erit : hoc autem non tempus, sed locus erit : vel spatium sive intervallum dicetur ipse motus habere ob ejus continuitatem, atque ex eo, quod non repente desierit, sed perpetuo prorogetur. At vero id nihil aliud erit, quam multitudo sive amplitudo aliqua motionis : ac si quis ipsam intuitus motionem multam esse pronunciet, ceu si qui calorem esse dixerit multum, neque hic quidem tempus apparet neque nobis occurrit, sed motio iterum atque iterum instar aquæ iterum iterumque fluentis. Et intervallum quidem in ea perspectum repetitaque rursus effluxio erit numerus, sicut dualitas atque trinitas : spatium vero sive intervallum pertinebit ad molem. Sic itaque et multitudo motionis erit, ut denarius, vel tanquam inspectum velut in mole motionis spatium : quod quidem non habet temporis notionem, sed erit ejusmodi tantum in tempore factum : alioquin tempus non erit ubique, sed in motu solum quasi subjecto, accidetque rursus tempus dicere motionem. Non enim extra motionem est spatium, sive duratio motionis, sed est motio ipsa non simul tota vel momento peracta. Quando vero dicitur facta non subito, si aliquid factum subito fieri dicatur in tempore, quærenuis, quonam differat non subito factum ab eo, quod subito atque momento. Num forte differat ex eo, quod agatur in tempore : quam ob rem et durans motus et ipsius duratio sive intervallum non est ipsum tempus, sed impletur in tempore. Si quis autem motionis intervallum esse tempus affirmet, non quidem ipsius proprium motionis, imo secundum quod ipsa extensionem habet, quasi cum illo concurrens, nondum tamen, quid hoc sit, est explanatum. Constat enim id esse tempus, in quo factus est motus. Hoc autem erat, quod ab initio quærebamus, quidnam existens sit tempus : quoniam et hoc perinde se habet, ac si quis interrogatus, quid est tempus, respondeat, intervallum motionis in tempore. Quid igitur est hoc intervallum? quod ille appellat tempus, qui hoc extra proprium motionis intervallum ponit. Etenim rursus, et qui in ipso motu temporale collocat intervallum, hic, quietis spatium ubinam collocet, dubitabit. Quatenus enim movebitur aliquid, eatenus quiescit et aliud : atque dices, utriusque tempus idem fore, quamvis aliter alterum spectet et alterum. Quidnam igitur est, quamve naturam habet hoc intervallum? Locale quidem esse nequit, quandoquidem et hoc extrinsecus adest.

Tempus non est mensura corporei motus insita motui, nec ut mensura continua, nec ut numerus.

Η'. Ἀριθμὸς δὲ κινήσεως ἢ μέτρον, βέλτιον γὰρ οὕτω συνεχούσης, πῶς [λέγοι τις] σκεπτέον. Πρῶτον μὲν οὖν καὶ ἐνταῦθα τὸ πάσης ὁμοίως ἀπορητέον, ὥσπερ καὶ ἐπὶ τοῦ διαστήματος τῆς κινήσεως, εἴ τις τῆς πάσης εἶναι ἐλέγετο. Πῶς γὰρ ἄν τις ἀριθμήσειε τὴν ἄτακτον καὶ ἀνώμαλον; ἢ τίς ἀριθμὸς, ἢ μέτρον, ἢ κατὰ τί τὸ μέτρον; εἰ δὲ τῷ αὐτῷ ἑκατέραν καὶ ὅλως πᾶσαν, ταχεῖαν βραδεῖαν, ἔσται ὁ ἀριθμὸς καὶ τὸ μέτρον τοιοῦτον, οἷς εἰ δεκὰς εἴη, μετροῦσα καὶ ἵππους καὶ βοῦς, ἢ εἰ τὸ αὐτὸ μέτρον καὶ ὑγρῶν καὶ ξηρῶν εἴη. Εἰ δὴ τοιοῦτον μέτρον, τίνων μέν ἐστιν ὁ χρόνος, εἴρηται, ὅτι κινήσεων, αὐτὸς δὲ ὅ ἐστιν, οὔπω εἴρηται. Εἰ δὲ, ὥσπερ δεκάδος ληφθείσης καὶ ἄνευ ἵππων ἔστι νοεῖν τὸν ἀριθμὸν, καὶ τὸ μέτρον μέτρον ἐστὶ, φύσιν ἔχον τινὰ, κἂν μήπω μετρῇ, οὕτω δεῖ ἔχειν

VIII. Considerandum est deinceps, qua ratione tempus esse queat numerus motionis sive mensura : quod quidem forte probabilius esset ob ipsam continuitatem dicere. Principio hic quoque similiter ambigetur atque de intervallo, utrum videlicet omnis similiter motus numerum vel mensuram tempus dicere debeamus. Quo enim pacto numerabit quispiam inordinatum inæqualemque motum, aut quisnam numerus sive mensura? aut secundum quid potissimum sit mensura? sin autem eodem numerabit metietur ve utrumque motum et omnino quemlibet, sive velocem seu tardum, erit quidem numerus et mensura, ceu si denarius et equos et boves pariter metiatur, aut si qua humidorum et siccorum eadem sit mensura. Si itaque mensura talis est tempus, jam quidem, quorum sit tempus, est dictum, scilicet motionum : ipsum vero quid sit, nondum est explicatum. Quodsi, quemadmodum denarius etiam absque equis acceptus intelligi potest tanquam numerus, atque etiam mensura in se est mensura naturam habens propriam, etiamsi nondum metiatur, sic se habere oportet

καὶ τὸν χρόνον μέτρον ὄντα, εἰ μὲν τοιοῦτόν ἐστιν ἐφ' ἑαυτοῦ οἷον ἀριθμός, τί ἂν τοῦδε τοῦ ἀριθμοῦ τοῦ κατὰ τὴν δεκάδα, ἢ ἄλλου ὁτουοῦν διαφέροι μοναδικοῦ; Εἰ δὲ συνεχὲς μέτρον ἐστὶ, ποσόν τι ὄν, μέτρον ἔσται, οἷον τὸ πηχυαῖον μέγεθος. Μέγεθος τοίνυν ἔσται, οἷον γραμμὴ συνθέουσα δηλονότι κινήσει. Ἀλλ' αὕτη συνθέουσα πῶς μετρήσει τὸ ᾧ συνθεῖ; τί γὰρ μᾶλλον [ἢ] ὁποτερονοῦν, θάτερον; καὶ βέλτιον τίθεσθαι καὶ πιθανώτερον, οὐκ ἐπὶ πάσης, ἀλλ' ᾗ συνθεῖ. Τοῦτο δὲ συνεχὲς δεῖ εἶναι, ἢ ἐφέξει ἡ συνθέουσα· ἀλλ' οὐκ ἔξωθεν δεῖ τὸ μετροῦν λαμβάνειν, οὐδὲ χωρίς, ἀλλὰ ὁμοῦ κίνησιν μεμετρημένην. Καὶ τί τὸ μετροῦν ἔσται; ἡ μεμετρημένη μὲν ἡ κίνησίς ἔσται, μεμετρηκὸς δὲ ἔσται μέγεθος; καὶ ποῖον αὐτῶν ὁ χρόνος ἔσται; ἡ κίνησις ἡ μεμετρημένη, ἢ τὸ μέγεθος τὸ μετρῆσαν; ἢ γὰρ ἡ κίνησις ἔσται ἡ μεμετρημένη ὑπὸ τοῦ μεγέθους ὁ χρόνος, ἢ τὸ μέγεθος τὸ μετρῆσαν, ἢ τὸ τῷ μεγέθει χρησάμενον, ὥσπερ τῷ πήχει πρὸς τὸ μετρῆσαι, ὅση ἡ κίνησις. Ἀλλ' ἐπὶ μὲν πάντων τούτων [δεῖ] ὑποθέσθαι ὅπερ εἴπομεν πιθανώτερον εἶναι, τὴν ὁμαλὴν κίνησιν· ἄνευ γὰρ ὁμαλότητος, καὶ προσέτι μιᾶς καὶ τῆς τοῦ ὅλου, ἀπορώτερον τὸ τοῦ λόγου τῷ θεμένῳ ὁπωσοῦν μέτρον γίγνεται. Εἰ δὲ δὴ μεμετρημένη κίνησις ὁ χρόνος, καὶ ὑπὸ τοῦ ποσοῦ μεμετρημένη, ὥσπερ τὴν κίνησιν εἰ ἔδει μεμετρῆσθαι, οὐχ ὑπ' αὐτῆς ἔδει μεμετρῆσθαι, ἀλλ' ἑτέρῳ, οὕτως ἀνάγκη, εἴπερ μέτρον ἕξει ἄλλο ἡ κίνησις παρ' αὐτήν, καὶ διὰ τοῦτο ἐδεήθημεν τοῦ συνεχοῦς μέτρου εἰς μέτρησιν αὐτῆς, τὸν αὐτὸν τρόπον δεῖ καὶ τῷ μεγέθει αὐτῷ μέτρου, ἵν' ᾖ ἡ κίνησις, τοσοῦδε γεγενημένου τοῦ καθ' ὃ μετρεῖται, ὅση μετρηθῇ. Καὶ ὁ ἀριθμὸς τοῦ μεγέθους ἔσται τῇ κινήσει παρομαρτοῦντος ἐκεῖνος ὁ χρόνος, ἀλλ' οὐ τὸ μέγεθος τὸ συνθέον τῇ κινήσει. Οὗτος δὲ τίς ἂν εἴη, ἢ ὁ μοναδικός, ὃς ὅπως μετρήσει, ἀπορεῖν ἀνάγκη· ἐπεὶ κἄν τις ἐξεύρῃ ὅπως, οὐ χρόνον εὑρήσει μετροῦντα, ἀλλὰ τὸν τοσόνδε χρόνον· τοῦτο δὲ οὐ ταὐτὸν χρόνῳ· ἕτερον γὰρ εἰπεῖν χρόνον, ἕτερον δὲ τοσόνδε χρόνον. Πρὸ γὰρ τοῦ τοσόνδε, δεῖ ὅ τί ποτ' ἐστὶν εἰπεῖν ἐκεῖνο, ὃ τοσόνδ' ἐστίν. Ἀλλ' ὁ ἀριθμὸς ὁ μετρήσας τὴν κίνησιν ἔξωθεν τῆς κινήσεως, ὁ χρόνος· οἷον ἡ δεκὰς ἐπὶ τῶν ἵππων, οὐ μετὰ τῶν ἵππων λαμβανομένη. Τίς οὖν οὗτος ὁ ἀριθμὸς, οὐκ εἴρηται, ὃ πρὸ τοῦ μετρεῖν ἐστὶν ὅπερ ἐστίν, ὥσπερ ἡ δεκάς, ἢ οὗτος, ὃς κατὰ τὸ πρότερον καὶ ὕστερον τῆς κινήσεως παραθέων ἐμέτρησεν. Ἀλλ' οὗτος ὁ κατὰ τὸ πρότερον καὶ ὕστερον οὔπω δῆλος ὅστις ἐστίν· ἀλλ' οὖν κατὰ τὸ πρότερον καὶ ὕστερον μετρῶν, εἴτε σημείῳ, εἴθ' ὁτῳοῦν ἄλλῳ, πάντως κατὰ χρόνον μετρήσει. Ἔσται οὖν ὁ χρόνος οὗτος ὁ μετρῶν τὴν κίνησιν τῷ προτέρῳ καὶ ὑστέρῳ, ἐχόμενος τοῦ χρόνου καὶ ἐφαπτόμενος, ἵνα μετρῇ. Ἢ γὰρ τὸ τοπικὸν πρότερον καὶ ὕστερον, οἷον ἡ ἀρχὴ τοῦ σταδίου, λαμβάνει, ἢ ἀνάγκη τὸ χρονικὸν λαμβάνειν. Ἔστι γὰρ ὅλως τὸ πρότερον καὶ ὕστερον, τὸ μὲν, χρόνος, ὁ εἰς τὸ νῦν λήγων, τὸ δὲ ὕστερον, ὃς ἀπὸ τοῦ νῦν ἄρχε-

et tempus, cum sit mensura: si, inquam, tale tempus est in se ipso, qualis et numerus, quonam ab hoc numero differet, qualis est denarius vel alius quilibet ex unitatibus congregatus? Sin autem mensura quaedam continua est, certe quantum aliquid existens, mensura erit velut cubitalis aliqua magnitudo. Erit itaque magnitudo, velut linea quaedam cum motione concurrens. At enim ipsa concurrens quonam pacto id, quocum concurrit, metietur? Curnam potius alterum quam alterutrum metiatur? Probabilius autem poneretur non in motu quolibet, sed in eo, quocum concurrit. Id autem continuum oportet esse, quatenus et concurrens motus tenorem continuabit: neque extrinsecus, quod metitur, ponere decet neque seorsum, sed simul mensuratum motum. Praeterea quidnam id erit, quod metitur? Numquid motus quidem mensuratus erit, magnitudo vero mensurans? Et utrum horum tempus erit? num mensuratus motus, an potius metiens magnitudo? Profecto tempus erit vel motus magnitudine mensuratus, vel magnitudo mensurans, vel quiddam tertium magnitudine utens, velut cubitali mensura ad metiendum, quantus sit motus. At in his omnibus, quod probabilius esse diximus, supponendum est, aequabilem scilicet esse motum: nam absque aequalitate, atque etiam unitate motus etiam ipsius universi, magis profecto [quam motus] ea vacillat opinio, quae tempus quomodocumque mensuram esse putat. Si autem tempus sit motio mensurata, a quanto scilicet mensurata, quemadmodum, si oportuit mensurari motum, non a se ipso oportuit mensuram assumere, sed ab alio quodam accipere: ita opus est, si quidem motus praeter se ipsum mensuram aliam habeat, atque ob hanc indigeamus mensura continua ad ipsum dimetiendum: ita, inquam, magnitudini quoque ipsi mensura opus erit, ut motus esse possit, quantus fuerit mensuratus: postquam videlicet illud, secundum quod mensuratur, tantum fuerit aut tantum. Atque ita tempus erit numerus ille magnitudinis comitantis motum, non autem magnitudo ipsa simul cum motu currens. Qualis autem hic numerus sit, numquid ex unitatibus constitutus, et quomodo metiatur, necessario dubitandum: quandoquidem, si quis etiam inveniat quomodo, non tempus inveniet metiens, sed tempus proprie tantum: id autem nequaquam idem est atque ipsum tempus. Aliud namque est tempus dicere, aliud tempus tantum enunciare: nam antequam tantum sit, definiendum est, quid hoc ipsum sit, quod est et tantum. Sed numquid numerus motum extrinsecus metiens erit tempus? Non sic acceptus, ut denarius una cum equis, sed potius ut denarius in equis. Quis igitur hic numerus sit, non est dictum, qui, et antequam metiatur, est id ipsum, quod est, quemadmodum ipse denarius. Numquid hic est, qui secundum prius et posterius motionis discurrendo metitur? at hic secundum prius atque posterius metiens, nondum, qualis sit, nobis apparuit: veruntamen, quod secundum prius posteriusque metitur, sive signo quodam velut puncto, sive quovis alio metiatur, omnino secundum tempus dimetietur. Erit ergo tempus id motum metiens per prius atque posterius, connexum tempori temporisque attingens, quo metiri queat. Aut enim prius posteriusve secundum locum quis accipit, sicut in principio stadii [atque sequentibus]: aut certe non loci prius atque posterius, sed temporale accipiendum. Est enim omnino id ipsum, quod prius dicitur, tempus desinens in id, quod praesens: quod vero posterius, tempus

ται· ἄλλο τοίνυν ἀριθμοῦ τοῦ κατὰ τὸ πρότερον καὶ ὕστερον μετροῦντος τὴν κίνησιν, οὐ μόνον ἥντιναοῦν, ἀλλὰ καὶ τὴν τεταγμένην ὁ χρόνος. Ἔπειτα διὰ τί ἀριθμοῦ μὲν προσγεγενημένου, εἴτε καὶ κατὰ τὸ μεμετρημένον, εἴτε καὶ κατὰ τὸ μετροῦν (ἔστι γὰρ ἂν τὸν αὐτὸν καὶ μετροῦντα καὶ μεμετρημένον εἶναι)· ἀλλ' οὖν διὰ τί ἀριθμοῦ μὲν γενομένου χρόνος ἔσται; κινήσεως δὲ οὔσης καὶ τοῦ προτέρου πάντως ὑπάρχοντος περὶ αὐτὴν, καὶ τοῦ ὑστέρου, οὐκ ἔσται χρόνος· ὥσπερ ἂν εἴ τις λέγοι τὸ μέγεθος μὴ εἶναι ὅσον ἐστὶν, εἰ μή τις τὸ ὅσον ἐστὶ τοῦτο λάβοι. Ἀπείρου δὲ τοῦ χρόνου ὄντος καὶ λεγομένου, πῶς ἂν περὶ αὐτὸν ἀριθμὸς εἴη, εἰ μή τις ἀπολαβὼν μέρος τι αὐτοῦ μετροῖ, ἐν ᾧ συμβαίνει εἶναι πρὶν μετρηθῆναι. Διὰ τί δὲ οὐκ ἔσται, πρὶν καὶ ψυχὴν τὴν μετροῦσαν εἶναι; εἰ μή τις τὴν γένεσιν αὐτοῦ παρὰ ψυχῆς λέγοι γίγνεσθαι, ἐπεὶ διά γε τὸ μετρεῖν οὐδαμῶς ἀναγκαῖον εἶναι. Ὑπάρχει γὰρ ὅσον ἐστὶ, κἂν μή τις μετρῇ. Τὸ δὲ τῷ μεγέθει χρησάμενον πρὸς τὸ μετρῆσαν τὴν ψυχὴν ἄν τις λέγοι, τοῦτο δὲ τί ἂν εἴη πρὸς ἔννοιαν χρόνου;

similiter exordiens a præsenti. Tempus igitur aliud est, quam numerus per prius posteriusve dimetiens motionem, non solum quamlibet, verum etiam ordinatam. Præterea curnam, numero quidem adhibito sive secundum mensuratum, sive secundum metiens (potest enim idem fortasse et metiens et mensuratum esse): at cur, inquam, adhibito numero, tempus erit? Motu vero jam vigente, atque priori prorsus posteriorique circa motum proveniente, nondum erit tempus: perinde ac si quis dixerit magnitudinem, quanta est, non esse, nisi quis quanta sit magnitudo, deprehenderit. Item cum tempus sit dicaturque infinitum, quanam conditione erit numerus circa ipsum, nisi forte quispiam partem aliam temporis seligens metiatur: in quo quidem contingit esse, etiam antequam mensuretur. Quid autem prohibet esse tempus, antequam sit anima metiens? nisi forte quis generationem ejus dixerit ab anima proficisci. Per ipsam tamen mensurationem nullo modo necessarium est ipsum ab anima fieri. Existit enim, quantum est, etiam si nemo dimetiatur. Ad id vero, quod dicebatur tempus forsitan esse, quod magnitudine utitur pro mensura, si quis adducat, id esse animam, objiciemus, id nihil ad notionem temporis pertinere.

Tempus non est aliquid consequens ad motum corporis. Item, procemium ad tractandum, quid sit tempus.

Θ'. Τὸ δὲ παρακολούθημα λέγειν τῆς κινήσεως τί ποτε τοῦτο ἔστιν, οὐκ ἔστι διδάσκοντος, οὐδὲ εἰρηκέναι, πρὶν εἰπεῖν τί ἐστι τὸ παρακολουθοῦν· ἐκεῖνο γὰρ ἂν ἴσως εἴη χρόνος. Ἐπισκεπτέον δὲ τὸ παρακολούθημα τοῦτο, εἴτε ὕστερον, εἴτε ἅμα, εἴτε πρότερον, εἴπερ τι ἔστι τοιοῦτον παρακολούθημα. Ὅπως γὰρ ἂν λέγηται, ἐν χρόνῳ λέγεται· εἰ τοῦτο, ἔσται ὁ χρόνος παρακολούθημα κινήσεως ἐν χρόνῳ. Ἀλλ' ἐπειδὴ οὐ, τί μή ἐστι, ζητοῦμεν, ἀλλὰ τί ἐστιν, εἴρηταί τε πολλὰ πολλοῖς τοῖς πρὸ ἡμῶν καθ' ἑκάστην θέσιν, ἃ εἴ τις διεξίοι, ἱστορίαν μᾶλλον ἂν ποιοῖτο, ὅσον τε ἐξ ἐπιδρομῆς, εἴρηταί τι περὶ αὐτῶν· ἔστι δὲ καὶ πρὸς τὸν λέγοντα μέτρον κινήσεως τοῦ παντὸς ἐκ τῶν ἤδη εἰρημένων ἀντιλέγειν τά τε ἄλλα, ὅσα νῦν περὶ μέτρου κινήσεως εἴρηται. Χωρὶς γὰρ τῆς ἀνωμαλίας, πάντα τὰ ἄλλα, ἃ καὶ πρὸς αὐτοὺς ἁρμόσει, εἴη ἂν ἀκόλουθον εἰπεῖν, τί ποτε δεῖ νομίζειν τὸν χρόνον εἶναι.

IX. Dicere autem, tempus esse quandam motionis consecutionem, non est, quid hoc ipsum sit, docere, neque etiam dicere licet, priusquam, quid sit, quod consequitur, explicetur: illud enim tempus forsan esse posset. Considerandum vero est de hac ipsa consecutione, sive prius fiat, sive posterius, seu simul: si modo talis quædam est consecutio. Quomodocumque enim dicatur, in tempore dicitur: ideoque, si id tempus sit, tempus dicetur consecutio motionis in tempore. At quoniam nequaquam, quid non sit, imo vero, quid sit tempus, investigamus, dictaque de hoc multa sunt ante nos a multis: unde, si quis singulas opiniones discurrat, historiam sit potius narraturus: et quatenus percurrendo licet, nonnihil de his est dictum: ac licet et dicentem tempus esse motionis universi mensuram ex dictis refellere, et alia insuper ad discussionem adducere, quæ modo de motus mensura dicebantur. Præter enim inæqualitatem, cetera omnia licet adducere, quæ et ad ipsos congrue afferentur: cum, inquam, res ita se habeat, reliquum jam est, quid tempus sit, planius explicare.

Quid sit tempus, scilicet perseverantia quædam in motibus animæ mundi ad æternitatis imitationem.

Ι'. Δεῖ δὴ ἀναγαγεῖν ἡμᾶς αὐτοὺς πάλιν εἰς ἐκείνην τὴν διάθεσιν, ἣν ἐπὶ τοῦ αἰῶνος ἐλέγομεν εἶναι, τὴν ἀτρεμῆ ἐκείνην, καὶ ὁμοῦ πᾶσαν, καὶ ἄπειρον ἤδη ζωὴν, καὶ ἀκλινῆ πάντη καὶ ἐν ἑνὶ, καὶ πρὸς ἓν ἑστῶσαν. (Χρόνος δὲ οὔπω ἦν, ἢ ἐκείνοις γε οὐκ ἦν·) γεννησόμενον δὲ χρόνον, λόγῳ καὶ φύσει τοῦ ὑστέρου. Τούτων δὴ οὖν ἡσυχίαν ἀγόντων ἐν αὐτοῖς, ὅπως δὴ πρῶτον ἐξέπεσε χρόνος, τὰς μὲν Μούσας οὔπω τότε οὔσας, οὐκ ἄν τις ἴσως καλοῖ εἰπεῖν τοῦτο, ἀλλ' ἴσως δ', εἴπερ ἦσαν καὶ αἱ Μοῦσαι τότε· αὐτὸν δ' ἄν τις τάχα τὸν γενόμενον χρόνον, ὅπως ἐστὶν, ἐκφανεὶς καὶ γενόμενος. Λέγοι δ' ἂν περὶ αὐτοῦ ὧδέ πως· ὡς πρότερον, πρὶν τὸ πρότερον δὴ τοῦτο γεννῆσαι καὶ τοῦ ὑστέρου δεηθῆναι, σὺν αὐτῷ ἐν τῷ ὄντι ἀνεπαύετο χρόνος

X. Operæ pretium est, revocare nos iterum ad naturam illam, quam in ævo esse in superioribus dicebamus: naturam, inquam, immutabilem simulque totam, et vitam jam infinitam, prorsus indeclinabilem, et in uno ad unumque consistentem. Tempus autem nondum erat, aut saltem non erat in illis, secuturum vero ratione quadam posterioris atque natura. Superis itaque quietem in se ipsis agentibus, quomodo principio tempus exciderit, si quis intelligere cupiat, haud forsan ad hoc explicandum Musas, quæ fortasse nondum erant, opportune vocabit. Fortassis etiam opportune: si quidem tunc etiam erant Musæ. Et quomodocumque sit, tempus ipsum jam factum quis forsan inveniat, quatenus factum est atque jam manifestum. Dicat autem de hoc ipso hunc in modum: Priusquam ipsum prius oriretur posteriorique indigeret, simul cum ipso in ipso ente conquiescebat tempus nondum existens, sed in

οὐκ ὤν, ἀλλ' ἐν ἐκείνῳ καὶ αὐτὸς ἡσυχίαν ἦγε. Φύσεως δὲ πολυπράγμονος καὶ ἄρχειν αὐτῆς βουλομένης, καὶ εἶναι αὐτῆς, καὶ τὸ πλέον τοῦ παρόντος ζητεῖν ἑλομένης, ἐκινήθη μὲν αὐτή, ἐκινήθη δὲ καὶ αὐτός, καὶ εἰς τὸ ἔπειτα ἀεὶ καὶ τὸ ὕστερον καὶ οὐ ταὐτόν, ἀλλ' ἕτερον εἶθ' ἕτερον κινούμενοι, μῆκός τι τῆς πορείας ποιησάμενοι, αἰῶνος εἰκόνα τὸν χρόνον εἰργασάμεθα. Ἐπεὶ γὰρ ψυχῆς ἦν τις δύναμις οὐχ ἥσυχος, τὸ δ' ἐκεῖ ὁρώμενον ἀεὶ μεταφέρειν εἰς ἄλλο βουλομένης, τὸ μὲν ἀθρόον αὐτῇ πᾶν παρεῖναι οὐκ ἤθελεν· ὥσπερ δ' ἐκ σπέρματος ἡσύχου ἐξελίττων αὑτὸν ὁ λόγος, διέξοδον εἰς πολύ, ὡς οἴεται, ποιεῖ, ἀφανίζων τὸ πολὺ τῷ μερισμῷ, καὶ ἀνθ' ἑνὸς ἐν αὑτῷ οὐκ ἐν αὑτῷ τὸ ἓν δαπανῶν εἰς μῆκος ἀσθενέστερον πρόεισιν· οὕτω δὴ καὶ αὐτὴ κόσμον ποιοῦσα αἰσθητὸν μιμήσει ἐκείνου κινούμενον, κίνησιν οὐ τὴν ἐκεῖ, ὁμοίαν δὲ τῇ ἐκεῖ, καὶ ἐθέλουσαν εἰκόνα ἐκείνης εἶναι, πρῶτον μὲν ἑαυτὴν ἐχρόνωσεν, ἀντὶ τοῦ αἰῶνος τοῦτον ποιήσασα. Ἔπειτα δὲ καὶ τῷ γενομένῳ ἔδωκε δουλεύειν χρόνῳ, ἐν χρόνῳ αὐτὸν πάντα ποιήσασα εἶναι, τὰς τούτου διεξόδους ἁπάσας ἐν αὐτῷ περιλαβοῦσα. Ἐν ἐκείνῃ γὰρ κινούμενος, οὐ γάρ τις αὐτοῦ τοῦδε τοῦ παντὸς τόπος, ἢ ψυχή, καὶ ἐν τῷ ἐκείνης αὖ ἐκινεῖτο χρόνῳ. Τὴν γὰρ ἐνέργειαν αὐτῆς παρεχομένη ἄλλην μετ' ἄλλην, εἶθ' ἑτέραν πάλιν ἐφεξῆς, ἐγέννα τε μετὰ τῆς ἐνεργείας τὸ ἐφεξῆς, καὶ συμπροῄει μετὰ διανοίας ἑτέρας μετ' ἐκείνην, τὸ μὴ πρότερον ὄν, ὅτι οὐδ' ἡ διάνοια ἐνεργηθεῖσα ἦν, οὐδ' ἡ νῦν ζωὴ ὁμοία τῇ πρὸ αὐτῆς. Ἅμα οὖν ζωὴ ἄλλη, καὶ τῷ ἄλλη χρόνον εἶχεν ἄλλον. Διάστασις οὖν ζωῆς χρόνον εἶχε, καὶ τὸ πρόσω ἀεὶ τῆς ζωῆς χρόνον ἔχει ἀεί, καὶ ἡ παρελθοῦσα ζωὴ χρόνον ἔχει παρεληλυθότα. Εἰ οὖν χρόνον τις λέγοι ψυχῆς ἐν κινήσει μεταβατικῇ ἐξ ἄλλου εἰς ἄλλον βίον ζωὴν εἶναι, ἆρ' ἂν δοκοῖ τι λέγειν; εἰ γὰρ αἰών ἐστι ζωὴ ἐν στάσει καὶ τῷ αὐτῷ, καὶ ὡσαύτως καὶ ἄπειρος ἤδη, εἰκόνα δὲ δεῖ τοῦ αἰῶνος τὸν χρόνον εἶναι, ὥσπερ καὶ τόδε τὸ πᾶν ἔχει πρὸς ἐκεῖνο· ἀντὶ μὲν ζωῆς τῆς ἐκεῖ ἄλλην δεῖ ζωὴν τὴν τῆσδε τῆς δυνάμεως τῆς ψυχῆς, ὥσπερ ὁμώνυμον, λέγειν εἶναι, καὶ ἀντὶ κινήσεως νοερᾶς, ψυχῆς τινος μέρους κίνησιν, ἀντὶ δὲ ταὐτότητος καὶ τοῦ ὡσαύτως καὶ μένοντος, τὸ μὴ μένον ἐν τῷ αὐτῷ, ἄλλο δὲ καὶ ἄλλο ἐνεργοῦν· ἀντὶ δὲ ἀδιαστάτου καὶ ἑνός, εἴδωλον τοῦ ἑνός, τὸ ἓν συνεχείᾳ ἕν· ἀντὶ δὲ ἀπείρου ἤδη καὶ ὅλου, τὸ εἰς ἄπειρον πρὸς τὸ ἐφεξῆς ἀεί· ἀντὶ δὲ ἀθρόου ὅλου, τὸ κατὰ μέρος ἐσόμενον καὶ ἀεὶ ἐσόμενον ὅλον. Οὕτω γὰρ μιμήσεται τὸ ἤδη ὅλον καὶ ἀθρόον καὶ ἄπειρον ἤδη, εἰ ἐθελήσει ἀεὶ προσκτώμενον εἶναι ἐν τῷ εἶναι· καὶ γὰρ τὸ εἶναι οὕτω τὸ ἐκείνου μιμήσεται. Δεῖ δὲ οὐκ ἔξωθεν τῆς ψυχῆς λαμβάνειν τὸν χρόνον, ὥσπερ οὐδὲ τὸν αἰῶνα ἐκεῖ ἔξω τοῦ ὄντος, οὐδ' αὖ παρακολούθημα, οὐδ' ὕστερον, ὥσπερ οὐδ' ἐκεῖ, ἀλλ' ἐνορώμενον καὶ ἐνόντα καὶ συνόντα, ὥσπερ κἀκεῖ ὁ αἰών.

Ita ipsum quoque quietem agebat. Natura vero quædam in multas promior actiones, et sui juris esse sibique met imperare percupiens, atque eo, quod præsens est, plus aliquid habere semper eligens, jam et ipsa quidem agitata est et simul effluxit tempus deinceps semper atque in posterum, neque per idem, sed in alterum rursusque alterum. Nosque ex hoc motu longitudinem quandam processionis efficientes excogitantes, tempus jam fingimus æternitatis imaginem. Cum enim esset potentia quædam animæ inquieta, volens videlicet, quod illic inspectum est, transferre semper in aliud, non sustinuit totum sibi collectum simul adesse: sed quemadmodum ratio seminalis explicans se ipsam ex quodam quieto semine, discursionem in plurimum, ut putat, agit, disperdens interea ipsum, quod dicitur plurimum partitione quadam, et pro uno, quod in se existit, expendens consumensque unum in se ipso non manens, in debiliorem progreditur longitudinem: sic et ipsa, quam diximus, animæ natura, mundum fabricata sensibilem superioris illius imitatione, agitatum motu, non qui ibi sit, sed similis potius motui, qui sit ibi, motu, inquam, affectante imaginem illius referre, primo quidem se ipsam reddidit temporalem, pro ævo id jam reportans: deinde operi quoque facto dedit, ut tempori jam serviret: quippe cum totum hoc esse in tempore compulisset, discursiones videlicet hujus omnes in ipsa complexa. In illa enim agitatum, neque enim est alter universi locus, quam anima, mundum et in ejus tempore est agitatum. Actionem namque suam adhibens aliam, post aliam deincepsque iterum aliam, genuit una cum actione ipsum deinceps consequens, simulque processit cum cogitatione alia post illam, quod non erat ante, quandoquidem neque cogitatio talis quicquam fuerat operata. Jam vero vita præsens non est omnino similis præcedenti: simul ergo alia vita, et quatenus alia, aliud quoque nacta est tempus. Distantia itaque vitæ atque protractio tempus sortita est, perpetuaque prorogatio vitæ sempiternum habet et tempus, et vita præterita tempus habet præteritum. Si quis ergo dicat, tempus esse vitam animæ in transitorio quodam motu ex alia vita in aliam perpetuo procedentem, forsan non nihil afferre videbitur. Si enim ævum est vita in statu et in eodem similique habitu permanens jamque infinita, atque oportet tempus esse æternitatis imaginem, quemadmodum et hic mundus est mundi illius imago, certo loco vitæ, quæ illic viget, alteram oportet vitam hic asserere in quadam animæ mundanæ potentia, tanquam illius æquivocam, et, pro intellectuali motu, alicujus partis animæ motum. Item pro identitate habituque simili atque manente, vicissim quod non permanet in eodem, sed aliud semper aliudque exequitur: rursus pro indistanti proprietate atque uno, unius jam simulacrum in quadam successione unum possidens: præterea vice illius, quod infinitum est jamque totum, id quod in infinitum, secundum quod deinceps sequitur, perpetuo sese propagat: denique pro eo, quod simul est totum, vicissim id quod per partes est futurum, semperque futurum totum. Sic enim imitabitur illud, quod totum jam existit, collectumque simul, jamque immensum, si videlicet velit esse suum in continua essendi consecutione sortiri: ita namque esse illius potissimum imitabitur. Oportet autem nequaquam extra animam tempus accipere, quemadmodum neque ævum ibi extra ipsum, quod ens appellatur: neque rursus consecutionem esse, neque posterius quicquam: quemadmodum neque ibi, sed intus inspectum aliquid, quod et inest simulque sit, sicut et illic ævum.

Confirmatio superiorum.

ΙΑ'. Νοῆσαι δὲ δεῖ καὶ ἐντεῦθεν, ὡς ἡ φύσις αὕτη χρόνος τὸ τοιούτου μῆκος βίου, ἐν μεταβολαῖς προϊὸν ὁμαλαῖς τε καὶ ὁμοίαις ἀψοφητὶ προϊούσαις, συνεχὲς τὸ τῆς ἐνεργείας ἔχον. Εἰ δὴ πάλιν τῷ λόγῳ ἀναστρέψαι ποιήσαιμεν τὴν δύναμιν ταύτην, καὶ παύσαιμεν τοῦδε τοῦ βίου, ὃν νῦν ἔχει ἄπαυστον ὄντα καὶ οὔποτε λήξοντα, ὅτι ψυχῆς τινος ἀεὶ οὔσης ἐστὶν ἐνέργεια, οὐ πρὸς αὑτήν, οὐδ' ἐν αὑτῇ, ἀλλ' ἐν ποιήσει καὶ γενέσει· εἰ οὖν ὑποθοίμεθα μηκέτι ἐνεργοῦσαν, ἀλλὰ παυσαμένην ταύτην τὴν ἐνέργειαν, καὶ ἐπιστραφὲν καὶ τοῦτο τὸ μέρος τῆς ψυχῆς πρὸς τὸ ἐκεῖ καὶ τὸν αἰῶνα, καὶ ἐν ἡσυχίᾳ μένον, τί ἂν ἔτι μετὰ αἰῶνα εἴη; τί δ' ἂν ἄλλο καὶ ἄλλο πάντων ἐν ἑνὶ μεινάντων; τί δ' ἂν ἔτι πρότερον, τί δ' ἂν ὕστερον, ἢ μᾶλλον; ποῦ δ' ἂν ἔτι ψυχὴ ἐπιβάλλοι εἰς ἄλλο, ἢ ἐν ᾧ ἐστι; μᾶλλον δὲ οὐδὲ τούτῳ. Ἀφεστήκει γὰρ ἂν πρότερον, ἵνα ἐπιβάλῃ, ἐπεὶ οὐδ' ἂν ἡ σφαῖρα αὐτὴ εἴη, ἣ οὐ πρότερον ὑπάρχει, ἢ χρόνος· ἐν χρόνῳ γὰρ καὶ αὕτη καὶ ἔστι καὶ κινεῖται. Κἂν στῇ ἐκείνης ἐνεργούσης, ὅση ἡ στάσις αὐτῆς, μετρήσομεν, ἕως ἐκείνη τοῦ αἰῶνος [ἡ στάσις] ἐστὶν ἔξω. Εἰ οὖν ἀποστάσης ἐκείνης καὶ ἑνωθείσης ἀνῄρηται χρόνος, δηλονότι ἡ ταύτης ἀρχὴ πρὸς ταῦτα κινήσεως καὶ οὗτος βίος τὸν χρόνον γεννᾷ. Διὸ καὶ εἴρηται ἅμα τῷδε τῷ παντὶ γεγονέναι, ὅτι ψυχὴ αὐτὸν μετὰ τοῦδε τοῦ παντὸς ἐγέννησεν. Ἐν γὰρ τῇ τοιαύτῃ ἐνεργείᾳ καὶ τόδε γεγένηται τὸ πᾶν· καὶ ἡ μὲν χρόνος, ὁ δὲ ἐν χρόνῳ. Εἰ δέ τις λέγοι, χρόνους λέγεσθαι αὐτῷ καὶ τὰς τῶν ἄστρων φοράς, ἀναμνησθήτω, ὅτι ταῦτα φησὶ γεγονέναι πρὸς δήλωσιν καὶ διορισμὸν χρόνου καὶ τὸ ἡμέτερον ἐναργές. Ἐπεὶ γὰρ οὐκ ἦν τὸν χρόνον αὐτὸν τῇ ψυχῇ ὁρίσαι, οὐδὲ μετρεῖν παρ' αὐτοῖς ἕκαστον αὐτοῦ μέρος, ἀοράτου ὄντος καὶ οὐ ληπτοῦ, καὶ μάλιστα ἀριθμεῖν οὐκ εἰδόσιν, ἡμέραν καὶ νύκτα ποιεῖ, δι' ὧν ἦν δύο τῇ ἑτερότητι λαβεῖν, ἀφ' οὗ ἔννοια, φησίν, ἀριθμοῦ. Εἶθ' ὅσον τὸ ἀπ' ἀνατολῆς εἰς τὸ πάλιν λαμβάνουσιν ἦν ὅσον χρόνου διάστημα, ὁμαλοῦ ὄντος τοῦ τῆς κινήσεως εἴδους, ὅτῳ ἐπερειδόμεθα ἔχειν, καὶ οἷον μέτρῳ χρώμεθα τῷ τοιούτῳ, μέτρῳ δὲ τοῦ χρόνου. Οὐ γὰρ ὁ χρόνος αὐτὸς μέτρον· πῶς γὰρ ἂν καὶ μετροῖ, καὶ τί ἂν λέγοι μετρῶν τοσοῦτον εἶναι, ὅσον ἐγὼ τοσόνδε; τίς οὖν ὁ ἐγώ, ἢ καθ' ὃν ἡ μέτρησις; οὐκοῦν ὢν ἵνα μετρῇ, καὶ μὴ μέτρον; Ἡ οὖν κίνησις ἡ τοῦ παντὸς μετρουμένη κατὰ χρόνον ἔσται, καὶ ὁ χρόνος οὐ μέτρον ἔσται κινήσεως, κατὰ τὸ τί ἐστιν, ἀλλὰ κατὰ συμβεβηκὸς ὤν, ἄλλο τι πρότερον παρέξει δήλωσιν τοῦ ὁπόση ἡ κίνησις. Καὶ ἡ κίνησις δὲ ληφθεῖσα ἡ μία ἐν τοσῷδε χρόνῳ, πολλάκις ἀριθμουμένη, εἰς ἔννοιαν ἄξει τοῦ ὁπόσος παρελήλυθεν. Ὥστε τὴν κίνησιν καὶ τὴν περιφορὰν εἴ τις λέγοι τρόπον τινὰ μετρεῖν τὸν χρόνον ὅσον οἷόν τε, ὡς δηλοῦσαν ἐν τῷ αὐτῆς τοσῷδε τὸ τοσόνδε τοῦ χρόνου, οὐχ ὂν λαβεῖν οὐδὲ συνιέναι ἄλλως, οὐκ ἄτοπος τῆς δηλώσεως. Τὸ οὖν μετρούμενον ὑπὸ τῆς περιφορᾶς, τοῦτο δέ ἐστι τὸ δηλούμενον, ὁ χρόνος ἔσται, οὐ γεννηθεὶς ὑπὸ τῆς πε-

XI. Considerandum est ex his, quae dicta sunt, tempus esse naturam ejusmodi, scilicet longitudinem talis vitae in mutationibus procedentem, aequalibus et similibus, clam leniterque progredientibus: longitudinem, inquam, continuitatem actionis habentem. Quodsi rursus fingeremus vim ejusmodi quodammodo retrahi cessareque ab hac vita, quam nunc agit interminabilem nunquamque cessaturam, propterea quod sempiterna cujusdam animae actio est, non ad se ipsam, non in se ipsa, sed in effectione generationeque versatam: si fingamus, inquam, eam non amplius operantem, sed actionem ejusmodi desinentem, partemque hanc insuper animae ad superna et aevum stabileque conversam, quidnam erit ulterius, praeter aevum? quid amplius aliud atque aliud, omnibus in uno manentibus? Quid ultra prius aliquid vel posterius, aut longius? Qua rursus conditione anima ulterius se ad aliud conferat? nisi forsan in id, in quo est. Imo vero neque in hoc ipsum: alioquin discessisse prius oportuit, ut in id se conferre valeret: quandoquidem neque ipsa sphaera esset, quae non prius, quam tempus, existit: nam haec quoque in tempore est atque movetur. Atque etiam, si stet operante illa, quantus sit status ejus, metiemur, quoad illo aeternitatis [status] [illa (sphaera) extra aeternitatem] exterior perseverat. Si igitur desistente illinc illa prorsusque unita tempus e vestigio tollitur, manifestum est hujus initium motionis ad haec atque hanc vitam tempus efficere. Quam ob rem dictum est in Timaeo tempus simul cum hoc universo factum: quoniam anima tempus una cum hoc universo progenuit. Nam in ejusmodi actione hoc quoque universum est genitum: et haec quidem tempus est, hoc autem in tempore. Si quis autem dixerit, dici etiam tempora a Platone motus astrorum, meminisse debet, Platonem dixisse, haec esse facta ad ostensionem distinctionemque temporis, atque ut mensura nobis sit manifestior. Cum enim non liceret animae tempus ipsum determinare, vel metiri penes se partes singulas temporis invisibilis atque incomprehensibilis, praecipue apud homines numerandi prorsus ignaros, diem effecit et noctem, per quae liceret duo quaedam ex hac diversitate percipere: unde cogitationem numeri dicit exortam. Deinde percipientes, quantum ab ortu rursus ad ortum peragitur, habere potuimus quantum temporis spatium aequali existente specie motionis: quatenus ad hoc ipsum velut innixi intuitum figimus, et quasi mensura utimur tali quadam, mensura, inquam, temporis. Non enim tempus ipsum mensura est. Quo enim modo metiretur, et quidnam diceret metiens? An de aliquo diceret hoc tantum est, quantum ego sum? Quisnam igitur est, qui dicitur, vel dicit ego? An secundum quem fit mensuratio? Nonne igitur in se existit aliquid, ut metiri queat, neque tamen mensura? Motus igitur universi mensuratus secundum tempus erit: ac tempus non erit mensura motus secundum id, quod est, sed per accidens, videlicet existens aliud quiddam prius, quanta sit motio patefaciet. Tum vero motus unus acceptus in tanto tempore, saepe numeratus, in notitiam adducet, quantum temporis praeterierit. Quapropter, si quis dixerit, motum revolutionemque metiri quodammodo tempus, quantum potest, tanquam in suo quanto quantum temporis ostendentem: quippe cum neque accipi aliter, neque intelligi valeat, is profecto a decenti declaratione non aberrabit. Quod igitur a circuitu mensuratur, id est, declaratur, tempus erit, non genitum quidem ab ipso circuitu,

ριφορᾶς, ἀλλὰ δηλωθεὶς καὶ οὕτω τὸ μέτρον τῆς κινήσεως, τὸ μετρηθὲν ὑπὸ κινήσεως ὡρισμένης καὶ μετρούμενον ὑπὸ ταύτης, ἄλλο ὂν αὐτῆς· ἐπεὶ καὶ εἰ μετροῦν ἄλλο ἦν, καὶ εἰ μετρούμενον ἕτερον μετρούμενον δὴ καὶ συμβεβηκός· καὶ οὕτως ἂν ἐλέγετο, ὡς εἰ τὸ μετρούμενον ὑπὸ πήχεως λέγοι τις τὸ μέγεθος εἶναι, ὅ τι ποτ' ἐστὶν ἐκεῖνο μὴ λέγων, μέγεθος ὁριζόμενος· καὶ οἷον εἴ τις τὴν κίνησιν, αὐτὴν οὐ δυνάμενος τῷ ἀόριστον εἶναι δηλῶσαι, λέγοι τὸ μετρούμενον ὑπὸ τόπου. Λαβὼν γὰρ τόπον τις, ὃν ἐπεξῆλθεν ἡ κίνησις, τοσαύτην ἂν εἶπεν εἶναι, ὅσος ὁ τόπος.

sed demonstratum. Atque ita mensura motus esse videtur, quod mensuratum est a motu determinato, mensuratumque ab ipso tanquam ab eo diversum: quandoquidem si et mensurans aliud esset, et aliud utique mensuratum, mensuratum vero per accidens: atque ita dictum fuisset perinde, ac si quis dixerit, quod mensuratur a cubito, magnitudinem esse, non dicens tamen, quid ipsum sit, definiens magnitudinem: rursus velut si quis, cum nequeat ipsum motum ob naturam ejus indeterminatam planius explicare, dicat motum esse, quod mensuratur a loco. Accipiens enim quis locum, quem motio pertransivit, tantam esse motionem dicet, quantus et locus.

Tempus non est revolutio, sed declaratur ab ea. Item, mundus ejusque motus agitur ab ipso animae mundanae motu.

ΙΒ'. Χρόνον οὖν ἡ περιφορὰ δηλοῖ, ἐν ᾧ αὐτή. Δεῖ δὲ αὐτὸν τὸν χρόνον μηκέτι τὸ ἐν ᾧ ἔχειν, ἀλλὰ πρῶτον αὐτὸν εἶναι, ὅς ἐστιν, ἐν ᾧ τὰ ἄλλα κινεῖται καὶ ἕστηκεν ὁμαλῶς καὶ τεταγμένως, καὶ παρὰ μέν τινος τεταγμένου ἐμφαίνεσθαι καὶ προφαίνεσθαι εἰς ἔννοιαν, οὐ μέντοι γίγνεσθαι, εἴτε ἑστῶτος, εἴτε κινουμένου, μᾶλλον μέντοι κινουμένου· μᾶλλον γὰρ κινεῖ εἰς γνώρισιν καὶ μετάβασιν ἐπὶ τὸν χρόνον ἡ κίνησις, ἤπερ ἡ στάσις, καὶ γνωριμώτερον τὸ ὁπόσον κεκίνηταί τι, ἢ ὅσον ἕστηκε. Διὸ καὶ κινήσεως ἠνέχθησαν εἰς τὸ εἰπεῖν μέτρον, ἀντὶ τοῦ εἰπεῖν κινήσει μετρούμενον, εἶτα προσθεῖναι, τί ὂν κινήσει μετρεῖται, καὶ μὴ κατὰ συμβεβηκὸς γενόμενον περί τι αὐτοῦ εἰπεῖν, καὶ ταῦτα ἐνηλλαγμένως. Ἀλλ' ἴσως ἐκεῖνοι οὐκ ἐνηλλαγμένως, ἡμεῖς δὲ οὐ συνίεμεν, ἀλλὰ σαφῶς λεγόντων μέτρον κατὰ τὸ μετρούμενον οὐκ ἐτυγχάνομεν τῆς ἐκείνων γνώμης. Αἴτιον δὲ τοῦ μὴ συνιέναι ἡμᾶς, ὅτι, τί ὄν, εἴτε μετροῦν, εἴτε μετρούμενον, οὐκ ἐδήλουν διὰ τῶν συγγραμμάτων, ὡς εἰδόσι καὶ ἠκροαμένοις αὐτῶν γράφοντες. Ὁ μέντοι Πλάτων οὔτε μετροῦν εἴρηκεν οὔτε μετρούμενον ὑπό τινος τὴν οὐσίαν αὐτοῦ εἶναι, ἀλλὰ εἰς δήλωσιν αὐτοῦ τὴν περιφορὰν ἐλάχιστόν τι εἰλῆφθαι πρὸς ἐλάχιστον αὐτοῦ μέρος, ὡς ἐντεῦθεν γιγνώσκειν δύνασθαι, οἷον καὶ ὅσον ὁ χρόνος· τὴν μέντοι οὐσίαν αὐτοῦ δηλῶσαι θέλων, ἅμα οὐρανῷ φησι γεγονέναι, καὶ παράδειγμα αἰῶνος, καὶ εἰκόνα κινητήν, ὅτι μὴ μένει μηδ' ὁ χρόνος τῆς ζωῆς οὐ μενούσης, ᾗ συνθεῖ καὶ συντρέχει· ἅμα οὐρανῷ δέ, ὅτι ζωὴ ἡ τοιαύτη καὶ τὸν οὐρανὸν ποιεῖ, καὶ μία ζωὴ οὐρανὸν καὶ χρόνον ἐργάζεται. Ἐπιστραφείσης οὖν ζωῆς ταύτης εἰς ἕν, εἰ δύναιτο, ἦ που καὶ χρόνος πέπαυται ἐν τῇ ζωῇ ὢν ταύτῃ, καὶ οὐρανὸς τὴν ζωὴν ταύτην οὐκ ἔχων. Εἰ δέ τις τῆσδε μὲν τῆς ζωῆς καὶ τῆς κινήσεως τὸ πρότερον καὶ τὸ ὕστερον λαμβάνων χρόνον λέγοι, εἶναι γάρ τι τοῦτο, τῆς δ' ἀληθεστέρας κινήσεως τὸ πρότερον καὶ τὸ ὕστερον ἐχούσης μὴ λέγοι τι εἶναι, ἀτοπώτατος ἂν εἴη, κινήσει μὲν ἀψύχῳ διδοὺς ἔχειν τὸ πρότερον καὶ ὕστερον καὶ χρόνον παρ' αὐτήν, κινήσει δέ, καθ' ἣν καὶ αὕτη ὑφέστηκε κατὰ μίμησιν, μὴ διδοὺς τοῦτο, παρ' ἧς καὶ τὸ πρότερον καὶ τὸ ὕστερον πρώτως ὑπέστη, αὐτουργοῦ οὔσης κινήσεως, καὶ ὥσπερ τὰς ἐνεργείας αὐτῆς ἑκάστας γεννώσης, οὕτω καὶ τὸ ἐφεξῆς

XII. Tempus igitur ipsum revolutio patefacit, in quo videlicet revolutio ipsa peragitur. Oportet autem tempus ipsum non amplius solum id habere, ut in eo aliquid transigatur, sed etiam atque prius id ipsum, quod est, existere, in quo moventur cetera et quiescunt aequaliter atque ordinate, et a quodam ordinato in notitiam emicare, neque tamen inde fieri, sive quiescente illo, sive etiam agitato, magis attamen agitato: siquidem motus ad notitiam consecutionemque temporis magis, quam quies, conferre videtur, planiusque patere potest, quantum aliquid motum fuerit, quam quantum steterit. Quam ob rem eo adducti sunt, ut dicerent, tempus esse mensuram motus, pro eo, quod forsan dicere vellent, motu mensuratum. Praeterea adjungendum, quid in se existens motu mensuretur, neque solum dicendum, quod accidens ei conveniat, et id quidem permutato dicendi modo. At forsan illi non permutata ratione dictum ab eis accipi voluerunt: nos autem non intelligimus, sed, manifeste dicentibus illis mensuram secundum mensuratum, eorum sensum minime consequuti sumus. Causa vero, ob quam minime intelleximus, haec ipsa est: quoniam scriptis suis, quidnam in se ipso sit tempus, sive mensurans sive mensuratum denominetur, nequaquam explicant: nisi plane cognoscentibus auditoribusque suis haec illi scripserint. Plato autem neque mensurans aliquid, neque mensuratum ab aliquo, essentiam temporis esse dixit, sed ad ipsum patefaciendum mundi revolutionem minimum quiddam esse sortitam, ad minimam quandam temporis portionem: adeo ut hinc cognosci possit, quale sit tempus et quantum. Volens tamen ejus essentiam indicare, una cum caelo natum inquit, esseque ad aevum imaginem mobilem exemplaris aeterni: quoniam non permaneat tempus, vita videlicet non manente, cum qua concurrit atque convolvitur. Natum vero una cum caelo dicitur: quoniam ejusmodi vita caelum facit, unaque vita caelum operatur et tempus. Quare, si posset ejusmodi vita in unum omnino converti, protinus cessaret et tempus, quod hac in vita versatur, cessaret et caelum ea vita privatum. Si quis autem vitae inferioris et motionis hujus, ipsum prius posteriusve accipiens, hoc ipsum esse tempus affirmet, asserens hoc aliquid esse, motus autem verioris naturam prius posteriusque habentis neget aliquid esse, admodum ridiculus erit: quippe cum motui cuidam inanimato concedat prius atque posterius, ac praeterea penes se tempus habere, motui autem, per quem et hic imitatione quadam nascitur, minime id concedat, a quo tamen ipsum prius atque posterius primo manavit, cum sit motus efficax per se ipsum: et quemadmodum actiones suas generat singulas, sic et continuam producat successionem, simulque cum genitura transitum

καὶ ἅμα τῇ γεννήσει, καὶ τὴν μετάβασιν αὐτῶν. Διὰ τί οὖν ταύτην μὲν τὴν κίνησιν τὴν τοῦ παντὸς ἀνάγομεν εἰς περιοχὴν ἐκείνης, καὶ ἐν χρόνῳ φαμέν, οὐχὶ δέ γε καὶ τὴν τῆς ψυχῆς κίνησιν τὴν ἐν αὐτῇ ἐν διεξόδῳ οὖσαν ἀΐδιῳ; ἢ ὅτι τὸ πρὸ αὐτῆς ἐστιν αἰών, οὐ συμπαραθέων οὐδὲ συμπαρατείνων αὐτῇ. Πρώτη οὖν αὐτὴ εἰς χρόνον, καὶ χρόνον ἐγέννησε, καὶ σὺν τῇ ἐνεργείᾳ αὐτῆς ἔχει. Πῶς οὖν πανταχοῦ; ὅτι κἀκείνη οὐδενὸς ἀφέστηκε τοῦ κόσμου μέρους, ὥσπερ οὐδ' ἡ ἐν ἡμῖν οὐδενὸς ἡμῖν μέρους. Εἰ δέ τις ἐν οὐχ ὑποστάσει ἢ ἐν οὐχ ὑπάρξει τὸν χρόνον λέγοι, δηλονότι ψεύδεσθαι, καὶ τὸν θεὸν αὐτόν, ὅταν λέγῃ ἦν καὶ ἔσται· οὕτω γὰρ ἔσται καὶ ἦν, ὡς τὸ ἐν ᾧ λέγει αὐτὸν ἔσεσθαι. Ἀλλὰ πρὸς τοὺς τοιούτους ἄλλος τρόπος λόγων. Ἐκεῖνο δὲ ἐνθυμεῖσθαι δεῖ πρὸς ἅπασι τοῖς εἰρημένοις, ὡς ὅταν τις τὸν κινούμενον ἄνθρωπον λαμβάνῃ, ὅσον προελήλυθε, καὶ τὴν κίνησιν λαμβάνει ὅση, καὶ ὅταν τὴν κίνησιν, οἷον τὴν διὰ σκελῶν, ὁρᾷ, τούτῳ καὶ τὸ πρὸ τῆς κινήσεως ταύτης ἐν αὐτῷ κίνημα, ὅτι τοσοῦτον ἦν, εἴ γε ἐπὶ τοσοῦτον συνεῖχε τὴν κίνησιν τοῦ σώματος. Τὸ μὲν δὴ σῶμα τὸ κινούμενον τὸν τοσόνδε χρόνον ἀνάξει ἐπὶ τὴν κίνησιν τὴν τοσήνδε (αὕτη γὰρ αἰτία) καὶ τὸν χρόνον ταύτης, ταύτην δὲ ἐπὶ τὴν τῆς ψυχῆς κίνησιν, ἥτις τὰ ἴσα διεστήκει. Τὴν οὖν κίνησιν τῆς ψυχῆς, εἰς τί; εἰς ὃ γὰρ ἐθελήσει, ἀδιάστατον ἤδη. Τοῦτο τοίνυν τὸ πρώτως, καὶ τὸ ἐν ᾧ τὰ ἄλλα· αὐτὸ δὲ οὐκέτι ἐν ᾧ· οὐ γὰρ ἕξει· τοῦτο τοίνυν τὸ πρώτως. Καὶ ἐπὶ τῆς ψυχῆς τοῦ παντὸς ὡσαύτως. Ἆρ' οὖν καὶ ἐν ἡμῖν ὁ χρόνος; ἢ ἐν ψυχῇ τῇ τοιαύτῃ πάσῃ, καὶ ὁμοειδῶς ἐν πάσῃ, καὶ αἱ πᾶσαι μία. Διὸ οὐ διασπασθήσεται ὁ χρόνος, ἐπεὶ οὐδ' ὁ αἰών, ὁ κατ' ἄλλο ἐν τοῖς ὁμοειδέσι πᾶσιν.

quoque efficiat actionum. Curnam igitur motum quidem hunc universi reducimus in illius ambitum, et in tempore versari fatemur : non tamen et motum animæ in se vigentem, perpetuaque discursione progredientem? Forsan quia, quod super hunc motum exstat, æternitas est, neque concurrens cum motione, neque simul extendens aut extensa. Primus igitur ille motus resplicit tempus et generat, simulque cum sua possidet actione. Quo igitur modo tempus est ubique? Quoniam videlicet anima vitaque illa motusque vitalis a nulla usquam mundi parte abest : quemadmodum et talis in nobis vita partem nostri deserit nullam. Si quis autem objiciat, tempus in quadam non substantia, sive non exsistentia versari, mentiri enim circa ipsum esse, quemadmodum de deo dicitur, mentiri nos circa ipsum erat et erit : sic enim erat et erit, ut illud in quo quis dicat ipsum fore : quidnam dicemus? Verum ad hæc alia quædam ratio disputandi requiritur. Hoc autem animadvertendum est in præsentia ad ea, quæ dicta sunt, quod, quando quis circa hominem, qui movetur, considerat, quantum processit, quantus quoque sit motus, agnoscit, et quando motum velut per crura progressum judicat, simul motionem ipsam ante hunc progressum in homine cogitat, videlicet tulisse tantam : si quidem in tantum usque corporis progressionem regendo continuavit. Corpus quidem motum tanto tempore rediget in motum proprio tantum (hæc enim causa est), et in hujus tempus, hunc vero motum in ipsum animæ motum, qui secundum æqualia produxerat intervallum. Ipsum itaque motum animæ in quid potissimum referemus? Certe in quodcumque referre volueris, in aliud desines prorsus indistans. Hoc igitur hic exsistit primo, ipsumque est, in quo cetera continentur : ipsum vero non amplius in alio. Non enim habere potest, quo comprehendatur. Hoc igitur primo regnat. In anima quoque totius similiter se res habet. Num igitur et in nobis est tempus? Forsan in omni anima tali, et uniformiter est in omni, et omnes quodammodo sunt una. Quapropter non dispergetur tempus : quandoquidem neque æternitas, quæ secundum aliud in uniformibus cunctis exsistit.

# ΕΝΝΕΑΔΟΣ Γ

## ΛΟΓΟΣ Η.

### ΠΕΡΙ ΦΥΣΕΩΣ ΚΑΙ ΘΕΩΡΙΑΣ ΚΑΙ ΤΟΥ ΕΝΟΣ.

# ENNEADIS III

## LIBER VIII.

### DE NATURA, ET CONTEMPLATIONE, ET UNO.

(343,344.) [630—632.]

Prooemium de contemplatione.

Παίζοντες δὴ τὴν πρώτην, πρὶν ἐπιχειρεῖν σπουδάζειν, εἰ λέγοιμεν, πάντα θεωρίας ἐφίεσθαι, καὶ εἰς τέλος τοῦτο βλέπειν, οὐ μόνον ἔλλογα, ἀλλὰ καὶ ἄλογα ζῶα, καὶ τὴν ἐν τοῖς φυτοῖς φύσιν, καὶ τὴν ταῦτα γεννῶσαν γῆν, καὶ πάντα τυγχάνειν, καθ' ὅσον οἷόν τε αὐτοῖς, κατὰ φύσιν ἔχοντα, ἄλλα δὲ ἄλλως, καὶ θεωρεῖν καὶ τυγχάνειν, καὶ τὰ μὲν ἀληθῶς, τὰ δὲ μίμησιν καὶ εἰκόνα τούτου λαμβάνοντα· ἆρ' ἄν τις ἀνάσχοιτο τὸ παράδοξον τοῦ λόγου; ἢ πρὸς ἡμᾶς αὐτοῦ γιγνομένου κίνδυνος οὐδεὶς ἐν τῷ παίζειν τὰ αὑτῶν γενήσεται; ἆρ' οὖν καὶ ἡμεῖς παίζοντες ἐν τῷ παρόντι θεωροῦμεν, ἢ καὶ ἡμεῖς, καὶ πάντες ὅσοι παίζουσι, τὸ τοιοῦτο ποιοῦσι, καὶ τούτου γε παίζουσιν ἐφιέμενοι; καὶ κινδυνεύει, εἴτε τις παῖς εἴτε ἀνὴρ παίζει ἢ σπουδάζει, θεωρίας ἕνεκεν ὁ μὲν σπουδάζειν, ὁ δὲ παίζειν, καὶ πρᾶξις πᾶσα εἰς θεωρίαν τὴν σπουδὴν ἔχειν, ἡ μὲν ἀναγκαία καὶ ἐπιπλέον τὴν θεωρίαν ἕλκουσα πρὸς τὸ ἔξω, ἡ δὲ ἑκουσίως λεγομένη ἐπ' ἔλαττον μέν, ὅμως δὲ καὶ αὐτὴ ἐφέσει θεωρίας γιγνομένη. Ἀλλὰ ταῦτα μὲν ὕστερον· νῦν δὲ λέγωμεν περί τε γῆς αὐτῆς, καὶ δένδρων, καὶ ὅλως φυτῶν, τίς αὐτῶν ἡ θεωρία, καὶ πῶς τὰ παρ' αὐτῆς ποιούμενα καὶ γεννώμενα ἐπὶ τὴν τῆς θεωρίας ἀνάξομεν ἐνέργειαν, καὶ πῶς ἡ φύσις, ἣν ἀφάνταστόν φασι καὶ ἄλογον εἶναι, θεωρίαν τε ἐν αὑτῇ ἔχει, καί, ἃ ποιεῖ, διὰ θεωρίαν ποιεῖ, ἣν οὐκ ἔχει, καὶ πῶς.

Si, antequam agamus serio, quasi per jocum dicamus, omnia contemplationem appetere, et ad finem ejusmodi vergere, *non rationalia tantum animalia, sed etiam ratione carentia*: quin etiam naturam plantarum et terram denique *haec omnia generantem: item contemplationem omnia* consequi, quatenus naturalis cujusque habitus capere potest; alia vero aliter contemplari et consequi, et alia quidem re vera, alia vero per imitationem imaginemque attingere: si, inquam, ita dixerimus, numquid novum hoc praeter opinionem adductum quisquam a nobis accipiet? Forsan cum tale quiddam inter nos et ad nos agatur, periculum nullum subibimus, dum in re nostra ludemus. Numquid et nos jocantes ludentesve in praesentia contemplamur? An forte et nos, et omnes, quicumque jocantur et ludunt, hoc agunt, hujusque appetitione jocantur? videturque sive puer aliquis, sive vir ludat, aut serio studeat, contemplationis gratia hic quidem studere, ille vero ludere atque jocari, tum quaelibet actio ad contemplationem intendere studium: et necessaria quidem actio longius speculationem ad externa protrahere, actio vero liberior brevius quidem educere, simul autem ipsa quoque speculationis desiderio fieri. Sed haec quidem opportunius in sequentibus: nunc vero de terra, et arboribus, et omnino de plantis consideremus, quaenam horum speculatio sit, et quo pacto, quae inde fiunt atque gignuntur, in speculationis actionem redigere valeamus: denique qua ratione natura, quam imaginationis rationisque expertem dicunt, contemplationem habeat in se ipsa, et, *quae facit per contemplationem, quam ipsa non habet*, efficiat, et quo pacto perficiat.

Natura in se manens per rationes seminales format materiam sine electione et instrumento.

Α'. Ὅτι μὲν οὖν οὔτε χεῖρες ἐνταῦθα, οὔτε πόδες, οὔτε τι ὄργανον ἐπακτὸν ἢ σύμφυτον, ὕλης δὲ δεῖ ἐφ' ἧς ποιήσει, καὶ ἣν ἐν εἴδει ποιεῖ, παντί που δῆλον. Δεῖ δὲ καὶ τὸ μοχλεύειν ἀφελεῖν ἐκ τῆς φυσικῆς ποιήσεως. Ποῖος γὰρ ὠθισμὸς ἢ τίς μοχλεία χρώματα ποικίλα καὶ παντοδαπὰ καὶ σχήματα ποιεῖ; ἐπεὶ οὐδὲ οἱ κηροπλάσται, ἢ κοροπλάσται, εἰς οὓς δὴ καὶ βλέποντες ᾠήθησαν τὴν τῆς φύσεως δημιουργίαν τοιαύτην εἶναι, χρώματα δύνανται ποιεῖν, μὴ χρώματα ἀλλαχόθεν ἐπάγοντες οἷς ποιοῦσιν. Ἀλλὰ γὰρ ἐχρῆν, συννοοῦντας, ὡς καὶ ἐπὶ τῶν τὰς τέχνας τὰς τοιαύτας μετιόντων δεῖ τι ἐν αὐτοῖς μένειν, καθ' ὃ μένον διὰ χειρῶν ποιήσουσιν, ἃ αὐτῶν ἔργα, ἐπὶ τὸ τοιοῦτον ἀνελθεῖν τῆς φύσεως καὶ αὐτούς, καὶ συνιέναι, ὡς μένειν δεῖ καὶ ἐνταῦθα τὴν δύναμιν, τὴν οὐ διὰ χειρῶν ποιοῦσαν, καὶ πᾶσαν μένειν· οὐ γὰρ δὴ δεῖται τῶν μὲν ὡς μενόντων, τῶν δὲ ὡς κινουμένων. Ἡ γὰρ ὕλη τὸ κινούμενον· αὐτῆς δὲ οὐδὲν κινούμενον· ἢ ἐκεῖνο οὐκ ἔσται τὸ κινοῦν πρώτως, οὐδὲ ἡ φύσις τοῦτο, ἀλλὰ τὸ ἀκίνητον τὸ ἐν τῷ

1. Quod igitur hic neque manus sint, neque pedes, neque aliquod instrumentum, vel adventitium vel cognatum; *materia vero opus sit, in qua faciat quamve ponat in specie*, forma unicuique constat. Neque vero putandum est, *naturam sic suum opus efficere*, velut impellendo atque premendo. Qualis enim impulsio sive pressura varios omniformesque colores et figuras efficere potest? quandoquidem neque cerae fictores formatoresque similes, quos puparios nominant, quosve intuentes aliquid putaverunt naturae ipsius opificium esse persimile, facere colores possunt, nisi hos aliunde operibus suis adhibeant. Operae pretium erat considerare, quemadmodum in artium ejusmodi tractatoribus oportet intus aliquid permanere, secundum quod permanens per manus opera fabricent: similiter esse tale aliquid in natura, quod quidem sit potestas quaedam permanens et absque manuum ministerio fabricans; permanens, inquam, tota: non enim indiget aliis quidem velut manentibus, aliis autem quasi motis. Materia namque est id, quod ibi movetur, in ipsa vero potestate movetur nihil: alioquin, quod movebitur, non erit primo movens, neque id erit ipsa natura, sed ipsum, quod in toto consistit, immobile. Ob

ὅλῳ. Ὁ μὲν δὴ λόγος, φαίη ἄν τις, ἀκίνητος· αὐτὴ δὲ ἄλλη παρὰ τὸν λόγον καὶ κινουμένη. Ἀλλ' εἰ μὲν πᾶσαν φήσουσι, καὶ ὁ λόγος· εἰ δέ τι αὐτῆς ἀκίνητον, τοῦτο καὶ ὁ λόγος. Καὶ γὰρ εἶδος αὐτὴν δεῖ εἶναι, καὶ οὐκ ἐξ ὕλης καὶ εἴδους. Τί γὰρ δεῖ αὐτῇ ὕλης θερμῆς ἢ ψυχρᾶς; ἡ γὰρ ὑποκειμένη καὶ δημιουργουμένη ὕλη ἥκει τοῦτο φέρουσα, ἢ γίγνεται τοιαύτη, ἢ μὴ ποιότητα ἔχουσα λογωθεῖσα. Οὐ γὰρ πῦρ δεῖ προσελθεῖν, ἵνα πῦρ ἡ ὕλη γένηται, ἀλλὰ λόγον· ὃ καὶ σημεῖον οὐ μικρὸν τοῦ ἐν τοῖς ζώοις καὶ ἐν τοῖς φυτοῖς τοὺς λόγους εἶναι τοὺς ποιοῦντας, καὶ τὴν φύσιν εἶναι λόγον, ὃς ποιεῖ λόγον ἄλλον γέννημα αὐτοῦ, δόντα μέν τι τῷ ὑποκειμένῳ, μένοντα δ' αὐτόν. Ὁ μὲν οὖν λόγος, ὁ κατὰ τὴν μορφὴν τὴν ὁρωμένην, ἔσχατος ἤδη καὶ νεκρὸς, καὶ οὐκέτι ποιεῖν δύναται ἄλλον· ὁ δὲ ζωὴν ἔχων, ὁ τοῦ ποιήσαντος τὴν μορφὴν ἀδελφὸς ὢν καὶ αὐτὸς τὴν αὐτὴν δύναμιν ἔχων, ποιεῖ ἐν τῷ γενομένῳ.

jiciet aliquis, rationem quidem immobilem permanere, naturam vero esse a ratione diversam, atque moveri. At, si totam dicant, similiter erit et ratio : sin autem aliquid ejus immobile, hoc ipsum et ratio erit. Etenim speciem oportet hanc esse, non autem ex materia specieque componi. Quid enim huic opus sit calida frigidave materia? si quidem subjecta fabricationi materia id secum fert : sive sit ejusmodi, vel potius etiam prius, quam induat qualitatem, tangitur ratione. Non enim accedere oportet ignem, ut materia fiat ignis, sed rationem. Quod quidem perspicuum est argumentum in animalibus atque plantis, seminales rationes esse omnium effectrices; naturamque exsistere rationem, quae, velut ipsius prolem, alteram generat rationem, dum videlicet subjecto quidem tradit aliquid, permanet tamen interim in se ipsa. Ratio igitur, secundum formam visibilem extrinsecus edita, ultima jam est vitaque carens : ideoque nec potest aliam ulterius facere rationem. At ratio vitam habens penes formam factorem, et quasi soror, atque ipsa eandem potentiam possidens, rationem gignit in effectu postremam.

Rationes seminales in natura sunt quasi contemplationes quaedam impressae desuper ab intellectuali contemplatione, et ideo, quae natura fiunt, et contemplatione fiunt et contemplationes quaedam sunt.

Β'. Πῶς οὖν ποιῶν, καὶ οὕτως ποιῶν, θεωρίας τινὸς ἂν ἐφάπτοιτο; ἢ εἰ μένων ποιεῖ καὶ ἐν αὐτῷ μένων καὶ ἔστι λόγος, εἴη ἂν αὐτὸς θεωρία. Ἡ μὲν γὰρ πρᾶξις γένοιτ' ἂν κατὰ λόγον, ἑτέρα οὖσα δηλονότι τοῦ λόγου· ὁ μέντοι λόγος, καὶ αὐτὸς ὁ συνὼν τῇ πράξει καὶ ἐπιστατῶν, οὐκ ἂν εἴη πρᾶξις. Εἰ οὖν μὴ πρᾶξις, ἀλλὰ λόγος, θεωρία, καὶ ἐπὶ παντὸς λόγου ὁ μὲν ἔσχατος ἐκ θεωρίας, καὶ θεωρία οὕτως ὡς τεθεωρημένος. Ὁ δὲ πρὸ τούτου πᾶς, ὁ μὲν ἄλλος ἄλλως, ὁ μὴ ὡς φύσις ἀλλὰ ψυχὴ, ὁ δ' ἐν τῇ φύσει καὶ ἡ φύσις. Ἆρά γε καὶ αὐτὸς ἐκ θεωρίας; πάντως μὲν ἐκ θεωρίας· ἀλλ' εἰ καὶ αὐτὸς τεθεωρηκὼς αὐτὸν ἦ πως. Ἔστι μὲν γὰρ ἀποτέλεσμα θεωρίας καὶ θεωρήσαντός τινος. Πῶς δὲ αὐτὴ ἔχει θεωρίαν; τὴν μὲν δὴ ἐκ λόγου οὐκ ἔχει· λέγω δ' ἐκ λόγου τὸ σκοπεῖσθαι περὶ τῶν ἐν αὐτῇ. Διὰ τί οὖν ζωή τις οὖσα καὶ λόγος καὶ δύναμις ποιοῦσα; ἆρ' ὅτι τὸ σκοπεῖσθαί ἐστι τὸ μήπω ἔχειν; εἰ δὲ ἔχει, καὶ διὰ τοῦτο ὅτι ἔχει, καὶ ποιεῖ. Τὸ οὖν εἶναι αὐτῇ, ὅ ἐστι, τοῦτό ἐστι τὸ ποιεῖν αὐτῇ, καὶ ὅσον ἐστι, τοῦτό ἐστι τὸ ποιοῦν. Ἔστι δὲ θεωρία, καὶ θεώρημα· λόγος γάρ. Τῷ οὖν εἶναι θεωρία καὶ θεώρημα καὶ λόγος τούτῳ καὶ ποιεῖ, ᾗ ταῦτά ἐστιν· ἡ ποίησις ἄρα θεωρία ἡμῖν ἀναπέφανται· ἔστι γὰρ ἀποτέλεσμα θεωρίας, μενούσης θεωρίας, οὐκ ἄλλο τι πραξάσης, ἀλλὰ τῷ εἶναι θεωρία ποιησάσης.

II. Quonam igitur modo facit? et faciens quomodo contemplationem aliquam, et quam attingit? Profecto si manens agit, et in se manens, atque est ratio, est utique contemplatio. Actio namque fieri secundum rationem solet, diversa videlicet exsistens a ratione : ratio vero, assistens et praesidens actioni, non est actio. Si igitur non actio est, sed ratio, nimirum est contemplatio quaedam. Jam vero in universa ratione postrema quidem ratio ex contemplatione procedit, atque ita contemplatio dicitur, quasi per contemplationem ipsam concepta atque percepta. Ratio vero omnis hac superior alia quidem se aliter habet. Et altera non est tanquam natura, sed velut anima : altera vero in natura est, atque est ipsa natura. Sed numquid haec etiam ex contemplatione contingit? Ex contemplatione omnino : sed si ipsa quoque se ipsam quodammodo contemplata sit. Est enim contemplationis effectus et contemplati cujusdam. Quomodo autem ipsa speculationem habet? Speculationem quidem ex ratione proficiscentem non habet : dico autem profectam ex ratione : ipsam videlicet de his, quae in se sunt, considerationem. Sed curnam sua nequaquam considerat, cum sit vita quaedam et ratio potentiaque efficiens? An forte, quia considerare est nondum habere? Haec autem si habet, nimirum ex eo, quod habet, et efficit. Ipsum igitur esse ipsi, quod est, id certe est eidem et facere : et quantumcumque est, id ipsum est et faciens. Est autem contemplatio quaedam, et (ut ita dixerim) contemplamen : ratio enim est. Quatenus igitur contemplatio est atque contemplamen et ratio, catenus facit, quia videlicet ratione haec exsistit. Effectio igitur contemplatio quaedam esse jam nobis apparuit : nempe est contemplationis effectus, speculatione manente, neque aliud aliterve agente, sed propterea, quod ipsa contemplatio sit, faciente.

Plenitudo rationum seminalium in natura est quasi sensus quidam, quo natura et se ipsa fruitur, et spectat res generandas, quae sunt quaedam spectamina ipsius naturae pendentis a speculatione superna.

Γ'. Καὶ εἴ τις δὲ αὐτὴν ἔροιτο, τίνος ἕνεκα ποιεῖ, εἰ τοῦ ἐρωτῶντος ἐθέλοι ἐπαΐειν καὶ λέγειν, εἴποι ἄν· ἐχρῆν μὲν μὴ ἐρωτᾶν, ἀλλὰ συνιέναι καὶ αὐτὸν σιωπῇ, ὥσπερ ἐγὼ σιωπῶ, καὶ οὐκ εἴθισμαι λέγειν. Τί οὖν συνιέναι; ὅτι τὸ γενόμενόν ἐστι θέαμα ἐμὸν, σιώπησις, καὶ φύσει γενόμενον θεώρημα, καί μοι γενομένῃ ἐκ θεωρίας

III. Si quis autem hanc interroget, cujusnam gratia faciat, si modo interrogantem audire velit et dicere, respondebit : Non oportebat interrogare me, sed te decebat silentio intelligere, quemadmodum et ego sileo, nec eloqui consuevi. Quid ergo te oportuit intelligere? hoc, inquam, in primis, quod gignitur, meum spectamen esse, interea me tacente, naturaque genitum contemplamen, atque ex contemplatione

τῆς ὧδε τὴν φύσιν ἔχειν φιλοθεάμονα ὑπάρχει, καὶ τὸ θεωροῦν μου θεώρημα ποιεῖ, ὥσπερ οἱ γεωμέτραι θεωροῦντες γράφουσιν· ἀλλ' ἐμοῦ μὴ γραφούσης, θεωρούσης δὲ, ὑφίστανται αἱ τῶν σωμάτων γραμμαὶ, ὥσπερ ἐκπίπτουσαι· καί μοι τὸ τῆς μητρὸς καὶ τῶν γειναμένων ὑπάρχει πάθος. Καὶ γὰρ ἐκεῖνοι εἰσὶν ἐκ θεωρίας καὶ ἡ γένεσις ἡ ἐμή· ἐκείνων οὐδὲν πραξάντων, ἀλλ' ὄντων μειζόνων λόγων καὶ θεωρούντων αὑτοὺς, ἐγὼ γεγέννημαι. Τί οὖν ταῦτα βούλεται; ὡς μὲν ἡ λεγομένη φύσις ψυχὴ οὖσα γέννημα ψυχῆς προτέρας δυνατώτερον ζώσης, ἡσυχῇ ἐν ἑαυτῇ θεωρίαν ἔχουσα, οὐ πρὸς τὸ ἄνω, οὐδ' αὖ ἔτι πρὸς τὸ κάτω, στᾶσα δὲ, ἐν ᾧ ἐστιν, ἐν τῇ αὑτῆς στάσει καὶ οἷον συναισθήσει, τῇ συνέσει ταύτῃ καὶ συναισθήσει τὸ μετ' αὐτὴν εἶδεν, ὡς οἷόν τε αὐτῇ, καὶ οὐκέτι ἐζήτησεν, ἀλλὰ θεώρημα ἀποτελέσασα ἀγλαὸν καὶ χάριεν. Καὶ εἴτε τις βούλεται σύνεσίν τινα ἢ αἴσθησιν αὐτῇ διδόναι, οὐχ οἵαν λέγομεν ἐπὶ τῶν ἄλλων, τὴν αἴσθησιν ἢ τὴν σύνεσιν, ἀλλ' οἷον εἴ τις τὴν τοῦ ὕπνου τοῦ ἐγρηγορότος προσεικάσειε. Θεωροῦσα γὰρ θεώρημα αὑτῆς ἀναπαύεται, γενόμενον αὐτῇ ἐκ τοῦ ἐν αὐτῇ καὶ σὺν αὐτῇ μένειν, καὶ θεώρημα εἶναι καὶ θεωρία ἄψοφος, ἀμυδροτέρα δέ. Ἑτέρα γὰρ αὐτῆς εἰς θέαν ἐναργεστέρα· ἡ δὲ εἴδωλον θεωρίας ἄλλης. Ταύτῃ δὴ καὶ τὸ γεννηθὲν ὑπ' αὐτῆς ἀσθενὲς παντάπασιν, ὅτι ἀσθενοῦσα θεωρία ἀσθενὲς θεώρημα ποιεῖ, ἐπεὶ καὶ ἄνθρωποι ὅταν ἀσθενήσωσιν εἰς τὸ θεωρεῖν, σκιὰν θεωρίας καὶ λόγου, τὴν πρᾶξιν ποιοῦνται. Ὅτι γὰρ μὴ ἱκανὸν αὐτοῖς τὸ τῆς θεωρίας, ὑπ' ἀσθενείας ψυχῆς λαβεῖν οὐ δυνάμενοι τὸ θέαμα ἱκανῶς, καὶ διὰ τοῦτο οὐ πληρούμενοι, ἐφιέμενοι δὲ αὐτὸ ἰδεῖν, εἰς πρᾶξιν φέρονται, ἵνα ἴδωσιν, ὃ μὴ νῷ ἐδύναντο. Ὅταν γοῦν ποιῶσι, καὶ αὐτοὶ ὁρᾶν βούλονται αὐτὸ καὶ θεωρεῖν καὶ αἰσθάνεσθαι καὶ τοὺς ἄλλους, ὅταν ἡ πρόθεσις αὐτοῖς, ὡς οἷόν τε, πρᾶξις ᾖ· πανταχοῦ δὴ ἀνευρήσομεν τὴν ποίησιν καὶ τὴν πρᾶξιν ἢ ἀσθένειαν θεωρίας, ἢ παρακολούθημα. Ἀσθένειαν μὲν, εἰ μηδέν τις ἔχοι μετὰ τὸ πραχθέν· παρακολούθημα δὲ, εἰ ἔχοι ἄλλο πρὸ τούτου κρεῖττον τοῦ ποιηθέντος θεωρεῖν. Τίς γὰρ θεωρεῖν τὸ ἀληθινὸν δυνάμενος προηγουμένως ἔρχεται ἐπὶ τὸ εἴδωλον τοῦ ἀληθινοῦ; Μαρτυροῦσι δὲ καὶ οἱ νωθέστεροι τῶν παίδων, οἳ, πρὸς τὰς μαθήσεις καὶ θεωρίας ἀδυνάτως ἔχοντες, ἐπὶ τὰς τέχνας καὶ τὰς ἐργασίας καταφέρονται.

quadam ejusmodi natam non injuria naturam habere spectaculi cupidam: profundo id, quod in me vicem contemplantis habet, ita contemplamen efficere, sicut et geometrae speculando describunt: verumtamen non scribente me, sed speculante, hinc lineas *corporum velut excidentes* interius emanare. Profecto matris meae genitorumque in me *servatur affectio*: illi namque ex contemplatione ducunt originem. Generatio quoque mea a speculatione deducitur. Etenim dum illi nihil agunt, sed rationes sunt majores, ac se speculantur, ego genita sum. Quorsum haec? naturam scilicet esse animam prioris animae genituram validius viventis, quietam *speculationem in se habentem*, neque ad superiora, neque etiam ad inferiora vergentem. *Haec utique stans in eo*, in quo est, videlicet in sui ipsius statu et quasi consensu, per hanc cognitionem consensumque, quod post ipsam est, quoad ejus natura fert, novit, neque perquirit ulterius, sed contemplamen jam splendidum gratiosumque perfecit. Ac si quis cognitionem quan*dam aut sensum ei tribuere velit, non, qualem in ceteris* dicimus, sensum vel cognitionem attribuere debet: sed perinde ac si quis somniantis cognitionem cum cognitione conferat vigilantis. Spectamen namque suum contemplans conquiescit: spectamen, inquam, in ea factum, ex eo, quod in se ipsa secumque ipsa permanet, atque spectamen ipsum quietaque perspectio, obscurior tamen atque *debilior. Altera enim haec est efficacior ad intuitum: haec* autem imago est contemplationis alterius. Hac itaque ratione, quod ab ipsa genitum est, provenit debilissimum, quoniam debilitata perspectio spectamen debile parit: quandoquidem et homines, cum debiliores fiunt, ad contemplandum speculationis et rationis umbram, id est actionem, aggredi solent. Cum enim ad contemplandum *eis facultas minime suppetat, neque ob debilitatem animae* spectaculum sufficienter percipere valeant, ideoque nec impleantur, cupiant tamen ipsum cernere, confugiunt ad agendum: ut ibi saltem videant, quod discernere mente non poterant. Quotiens itaque faciunt, et ipsi videre id volunt, et speculari atque sentire, et alios secum etiam contueri: quando proposita eis est actio, quoad fieri po*test, ut ipsi putant: profecto inveniemus ubique effectio*nem actionemque esse vel debilitatem contemplationis, vel consequentiam. Debilitatem quidem, ubi praeter id, quod est actum, nihil habeas: consequentiam vero, si aliud super id melius effecto opere habeas, quod speculeris. Quis *enim, cum verum ipsum contueri possit praecipuo quodam* studio, ad imaginem veri se conferat? Testantur hoc hebetissimi quique puerorum, qui, cum ad discendum speculandumque ineptissimi sint, in artes actionesque delabuntur.

Intellectualis anima mundi plena semper ex divinorum contemplatione, inde gravida parit naturam similiter fecundam rationibus quasi speculativis, et tali speculatione generat omnia.

Δ'. Ἀλλὰ περὶ μὲν φύσεως εἰπόντες, ὃν τρόπον θεωρία ἡ γένεσις, ἐπὶ τὴν ψυχὴν τὴν πρὸ ταύτης ἐλθόντες λέγομεν, ὡς ἡ ταύτης θεωρία καὶ τὸ φιλομαθὲς καὶ τὸ ζητητικὸν καὶ ἡ, ἐξ ὧν ἐγνώκει, ὠδὶς, καὶ τὸ πλῆρες πεποίηκεν αὐτὴν, θεώρημα πᾶν γενομένην, ἄλλο θεώρημα ποιῆσαι. Οἷον ἡ τέχνη ποιεῖ, ὅταν ἑκάστη πλήρης ᾖ, ἄλλην οἷον μικρὰν τέχνην ποιεῖ ἐν παιδίῳ, ἴνδαλμα ἔχοντι ἁπάντων· ἄλλως μέντοι ταῦτα, ὥσπερ ἀμυδρὰ καὶ οὐ δυνάμενα βοηθεῖν ἑαυτοῖς θεάματα

IV. Cum vero jam de natura dixerimus, quo pacto generatio est contemplatio quaedam, deinceps ad animam hac superiorem pergamus ita dicentes: Nempe hujus contemplatio ingeniumque discendi cupidum quaerendique studiosum, ac praeterea stimulus quidam ex his, quae cognovit, parturiens jam plenaque fecunditas effecit, ut ipsa, per totum contemplamen effecta, alterum contemplamen efficeret. Quemadmodum ars quoque facit, quando jam plena est, procreat videlicet alteram quasi artem parvam in puero adolescente, imaginem omnium acquirente, aliter tamen haec habente velut obscura debiliaque, et spectamina *quaedam ab initio non valentia sibi ipsis patrocinari.* Ita

καὶ θεωρήματα τὸ πρῶτον. Τὸ λογιστικὸν οὖν αὐτῆς ἄνω, πρὸς τὸ ἄνω ἀεὶ πληρούμενον καὶ ἐλλαμπόμενον, μένει ἐκεῖ, τὸ δὲ τῇ τοῦ μεταλαβόντος πρώτῃ μεταλήψει μεταλαμβάνον· πρόεισι γὰρ ἀεὶ ζωὴ ἐκ ζωῆς. Ἐνέργεια γὰρ πανταχοῦ φθάνει, καὶ οὐκ ἔστιν ὅτου ἀποστατεῖ· προϊοῦσα μέντοι ἐᾷ τὸ πρότερον τὸ ἑαυτῆς πρόσθεν μέρος, οὗ καταλέλοιπε μένειν. Ἀπολιποῦσα γὰρ τὸ πρόσθεν οὐκέτι ἔσται πανταχοῦ, ἀλλ' ἐν ᾧ τελευτᾷ μόνον· οὐκ ἴσον δὲ τὸ προϊὸν τῷ μείναντι. Εἰ οὖν πανταχοῦ δεῖ γίγνεσθαι, καὶ μὴ εἶναι, ὅπου μή, τὴν ἐνέργειαν τὴν αὐτήν, ἀεί τε τὸ πρότερον ἕτερον τοῦ ὑστέρου, ἥκει δὲ ἡ ἐνέργεια ἐκ τῆς θεωρίας ἢ πράξεως· πρᾶξις δὲ οὔπω ἦν· οὐ γὰρ οἷόν τε πρὸ θεωρίας, ἀνάγκη ἀσθενεστέραν μὲν ἑτέραν ἑτέρας εἶναι, πᾶσαν δὲ θεωρίαν· ὥστε τὴν κατὰ τὴν θεωρίαν πρᾶξιν δοκοῦσαν εἶναι τὴν ἀσθενεστάτην θεωρίαν εἶναι. Ὁμογενὲς γὰρ ἀεὶ δεῖ τὸ γεννώμενον εἶναι, ἀσθενέστερον μὲν τῷ ἐξίτηλον καταβαῖνον γίγνεσθαι. Ἀψοφητὶ μὲν δὴ πάντα, ὅτι μηδὲν ἐμφανοῦς καὶ τῆς ἔξωθεν θεωρίας ἢ πράξεως δεῖται. Καὶ ψυχὴ δὲ ἡ θεωροῦσα, καὶ τὸ οὕτως θεωρῆσαν, ἅτε ἐξωτέρω καὶ οὐχ ὡσαύτως τῷ πρὸ αὐτῆς, τὸ μετ' αὐτὴν ποιεῖ, καὶ θεωρία τὴν θεωρίαν ποιεῖ. Καὶ γὰρ οὐκ ἔχει πέρας ἡ θεωρία, οὐδὲ τὸ θεώρημα. Διὰ τοῦτο δέ, ἢ καὶ διὰ τοῦτο πανταχοῦ. Ποῦ γὰρ οὐχί; ἐπεὶ καὶ ἐν πάσῃ ψυχῇ τὸ αὐτό. Οὐ γὰρ περιγέγραπται μεγέθει· οὐ μὴν ὡσαύτως ἐν πᾶσιν, ὥστε οὐδὲ ἐν παντὶ μέρει ψυχῆς ὁμοίως. Διὸ ὁ ἡνίοχος τοῖς ἵπποις δίδωσιν, ὃ εἶδεν· οἱ δέ, λαβόντες, δῆλον ὅτι ὀρέγοιντο ἄν, ὧν εἶδον· ἔλαβον γὰρ οὐ πᾶν. Ὀρεγόμενοι δὲ εἰ πράττοιεν, οὗ ὀρέγονται ἕνεκα πράττουσιν. Ἦν δὲ θεώρημα καὶ θεωρία ἐκεῖνο.

Rationalis itaque pars ejus illa superna penes superna impleta semper atque illustrata ibi permanet: pars vero altera participat ejus, quae in prima participatione participavit: procedit enim vita semper ex vita. Nam actus per omnia currit et nusquam abest: progressa tamen concedit priorem sui partem, ubi quodammodo dereliquit manere. Nam si prorsus amiserit primam, non amplius erit ubique, sed in quod desiuit tantum: neque tamen aequale est procedens conquiescenti. Si igitur oportet per omnia fieri, neque restare locum, ubi non sit actio eadem, et quod prius est, semper est aliud, quam posterius; procedit autem actio ex contemplatione vel actione, sed tandem ex contemplatione, quando videlicet actio nondum erat; nam ante contemplationem esse non potest: si res, inquam, ita se habet, necessarium est debiliorem quidem alteram esse altera, omnem vero contemplationem esse: adeo ut et quae actio secundum contemplationem videtur esse, non aliud sit, quam debilissima contemplatio quaedam. Oportet enim semper, quod gignitur, quodammodo quidem congruere genere, evadere tamen infirmius: quippe cum exile fiat paulatim ipso descensu. Suaviter quidem et quiete procedunt omnia, quoniam contemplatione vel actione extrinsecus apparente non indigent. Anima quidem ipsa a summa specula contemplatur, et quod ita contemplatur, utpote quod surgit exterius, neque eodem modo cum eo, quod ante ipsam, certe, quod post ipsam, efficit: contemplatio certe contemplationem gignit. Neque enim habet terminum contemplatio ipsa vel etiam contemplamen: ob hoc autem et procedit et per cuncta progreditur. Quid enim prohibet, quominus per omnia diffundatur? quandoquidem et in omni anima idem est contemplamen. Non enim est magnitudine circumscriptum, non tamen in omnibus eodem modo: quapropter neque modo eodem in qualibet animae parte. Hinc utique apud Platonem animae auriga, quod vidit, equis impertit: hi vero inde accipiunt, utpote qui, quae viderint, affectant: universum enim non acceperunt. Quodsi affectantes agant, ejus gratia, quod desiderant, agent. Id autem est contemplamen ipsum atque contemplatio.

Quod finis sit contemplativa vita. Item, quod in anima sunt rationes rerum, et cum ipsa in eas actu se profert, tunc res vera cognoscit.

Ε'. Ἡ ἄρα πρᾶξις ἕνεκα θεωρίας καὶ θεωρήματος, ὥστε καὶ τοῖς πράττουσιν ἡ θεωρία τέλος. Καὶ οἷον ἐξ εὐθείας ὃ μὴ ἠδυνήθησαν λαβεῖν, τοῦτο περιπλανώμενοι ἑλεῖν ζητοῦσι. Καὶ γὰρ αὖ ὅταν τύχωσιν οὗ βούλονται, ὃ γενέσθαι ἠθέλησαν, οὐχ ἵνα μὴ γνῶσιν, ἀλλ' ἵνα γνῶσι, καὶ παρὸν ἴδωσιν ἐν ψυχῇ, δῆλον ὅτι κείμενον θεατόν, ἐπεὶ καὶ ἀγαθοῦ χάριν πράττουσι· τοῦτο δὲ οὐχ ἵνα ἔξω αὐτῶν, οὐδ' ἵνα μὴ ἔχωσιν, ἀλλ' ἵνα ἔχωσι τὸ ἐκ τῆς πράξεως ἀγαθόν. Τοῦτο δὲ ποῦ; ἐν ψυχῇ. Ἀνέκαμψεν οὖν πάλιν ἡ πρᾶξις εἰς θεωρίαν. Ὃ γὰρ ἐν ψυχῇ λαμβάνει λόγῳ οὔσῃ, τί ἂν ἄλλο ἢ λόγος σιωπῶν εἴη; καὶ μᾶλλον, ὅσῳ μᾶλλον. Τότε γὰρ καὶ ἡσυχίαν ἄγει, καὶ οὐδὲν ζητεῖ, ὡς πληρωθεῖσα, καὶ ἡ θεωρία ἡ ἐν τῷ τοιούτῳ τῷ πιστεύειν ἔχειν εἴσω κεῖται· καὶ ὅσῳ ἐναργεστέρα ἡ πίστις, ἡσυχαιτέρα καὶ ἡ θεωρία, ᾗ μᾶλλον εἰς ἓν ἄγει, καὶ τὸ γιγνῶσκον ὅσῳ γινώσκει (ἤδη γὰρ σπουδαστέον), εἰς ἓν τῷ γνωσθέντι ἔρχεται. Εἰ γὰρ δύο, τὸ μὲν ἄλλο, τὸ δὲ ἄλλο ἔσται. Ὥστε οἷον παράκειται καὶ τὸ διπλοῦν τοῦτο οὔπω ᾠκείωσεν· οἷον ὅταν ἐνόντες λόγοι ἐν ψυχῇ μηδὲν ποιῶσι. Διὸ δεῖ μὴ ἔξωθεν τὸν λόγον εἶναι, ἀλλ'

V. Actio igitur contemplationis contemplaminisque gratia fit: quapropter agentium quoque finis contemplatio est. Nempe, quod recta via consequi non potuerant, id quasi per ambages capessere moliuntur: idem quoque provenit, quando, quod cupiunt, assequuntur: quod quidem adesse volebant: non ita quidem, ut non cognoscant, sed ut agnoscant jam acquisitum, et in anima praesens inspiciant, velut spectandi gratia ibi situm: quoniam et boni gratia semper agunt: hoc autem non ut extra eos sit positum, et in se minime habeant, sed ut, quod ex actione bonum fit, ipsi possideant. Sed hoc ubinam? Certe in anima. Quapropter actio rursus in contemplationem ipsam relabitur. Quod enim quis animo capit, quae ratio quaedam est, quidnam aliud est, quam ratio silens? et quo magis ratio, eo magis silens, atque vicissim. Tunc enim et quietem agit, et, utpote plena, nihil ultra requirit: atque contemplatio in ejusmodi habitu constituta ob ipsam possidendi fiduciam intrinsecus conquiescit. Et quo certior fides, eo quietior contemplatio: quae quidem potius in unum redigit animam. Et hac quidem ratione cognoscens ipsum quatenus cognoscit (jam enim serio agendum est) in unum cum re cognita provenit. Si enim duo sint, hoc quidem aliud, illud vero aliud erit. Quapropter velut adjacens quiddam esse videbitur: atque id ipsum duplex nondum veram contraxit familiaritatem, velut quando rationes existentes in animo nihil agunt. Quocirca rationem

ἑνωθῆναι τῇ ψυχῇ τοῦ μανθάνοντος, ἕως ἂν οἰκεῖον εὕρῃ. Ἡ μὲν οὖν ψυχὴ, ὅταν οἰκειωθῇ καὶ διατεθῇ, ὅμως προφέρει καὶ προχειρίζεται. Ὃ γὰρ πρώτως εἶχε, καταμανθάνει, καὶ τῇ προχειρίσει οἷον ἑτέρα αὐτῆς γίγνεται, καὶ διανοουμένη βλέπει, ὡς ἄλλο ὂν ἄλλο· καίτοι καὶ αὐτὴ λόγος ἦν, καὶ οἷον νοῦς, ἀλλ' ὁρῶν ἄλλο. Ἔστι γὰρ οὐ πλήρης, ἀλλὰ ἐλλείπει τῷ πρὸ αὐτῆς· ὁρᾷ μέντοι καὶ αὐτὴ ἡσύχως, ἃ προφέρει. Ἃ μὲν γὰρ οὐ προήνεγκεν, οὐκέτι προφέρει· ἃ δὲ προφέρει, τῷ ἐλλειπεῖ προφέρει εἰς ἐπίσκεψιν, καταμανθάνουσα, ὃ ἔχει. Ἐν δὲ τοῖς πρακτικοῖς ἐφαρμόττει, ἃ ἔχει, τοῖς ἔξω· καὶ τῷ μὲν μᾶλλον ἔχειν ἢ ἡ φύσις, ἡσυχιωτέρα, καὶ τῷ πλέον, θεωρητικὴ μᾶλλον, τῷ δὲ μὴ τελέως, ἐφιεμένη μᾶλλον ἔχειν τὴν τοῦ θεωρηθέντος καταμάθησιν καὶ θεωρίαν, τὴν ἐξ ἐπισκέψεως· καὶ ἀπολείπουσα δὲ καὶ ἐν ἄλλοις γιγνομένη, εἶτ' ἐπανιοῦσα, πάλιν θεωρεῖ τῷ ἀπολειφθέντι αὐτῆς μέρει· ἡ δὲ στᾶσα ἐν αὐτῇ ἧττον τοῦτο ποιεῖ. Διὸ ὁ σπουδαῖος λελόγισται ἤδη, καὶ τὸ παρ' αὐτοῦ πρὸς ἄλλον ἀποφαίνει· πρὸς δὲ αὑτὸν, ὄψις. Ἤδη γὰρ οὗτος πρὸς τὸ ἓν, καὶ πρὸς τὸ ἥσυχον, οὐ μόνον τῶν ἔξω, ἀλλὰ καὶ πρὸς αὑτὸν, καὶ πάντα εἴσω.

oportet non externum aliquid esse, sed animo addiscentis uniri, quousque proprium jam inveniat. Anima igitur, quando rationi familiaris evadit atque afficitur, simul profert et expedita jam prodit in actum. Quod enim habebat prius, animadvertit atque ipsa in promptum expeditione, quasi altera fit a se ipsa, et ab illo altera falso cognoscitur, et excogitans aspicit aliud, tanquam et ipsa sit aliud: quanquam ipsa etiam ratio est et tanquam intellectus, sed aliud intuens. Non enim plena est, sed ab eo, quod est superius, deficit; aspicit tamen et ipsa tranquille, quae profert. Quae enim non protulit, nondum profert: quae vero profert, ex defectu quodam in considerationem promit, quod habet, animadvertens. At in rebus agendis jam externis, quae intus habet, accommodat, atque ex eo, quod magis possidet, quam natura, possidet et quietius: et ex eo, quod plus habet, speculativa magis existit. Rursus ex eo, quod non perfecte habet, cupit magis habere prospectae rei perceptionem speculationemque ex considerationis discursione provenientem. Cum vero priorem reliquerit habitum, et in alia pertransiverit, deinde regressa iterum contemplatur, parte ejus hactenus derelicta: at altera permanens in se ipsa minus id efficit. Quam ob rem probus animus jam ipsa ratio est effectus, et, quod penes se ipsum est, aliis quoque demonstrat: ad se ipsum vero, visus. Jam enim hic ad unum est collatus et ad quietum, non solum quoad externa, pertinet: sed quoad se ipsum, et intus denique cuncta.

Confirmatur, quod omnia fiunt a contemplatione, et ideo sunt contemplationes quaedam, et, quicquid agunt, contemplationis gratia faciunt.

ϛʹ. Ὅτι μὲν οὖν πάντα τά τε ὡς ἀληθῶς ὄντα ἐκ θεωρίας, καὶ θεωρία, καὶ τὰ ἐξ ἐκείνων γενόμενα, θεωρούντων ἐκείνων, καὶ αὐτὰ θεωρήματα, τὰ μὲν αἰσθήσει, τὰ δὲ γνώσει ἢ δόξῃ. Καὶ αἱ πράξεις τὸ τέλος ἔχουσιν εἰς γνῶσιν· καὶ ἡ ἔφεσις γνώσεως· καὶ αἱ γεννήσεις ἀπὸ θεωρίας εἰς ἀποτελεύτησιν εἴδους καὶ θεωρήματος ἄλλου· καὶ ὅλως μιμήματα ὄντα ἕκαστα τῶν ποιούντων θεωρήματα ποιεῖ καὶ εἴδη· καὶ αἱ γιγνόμεναι ὑποστάσεις, μιμήσεις ὄντων οὖσαι, ποιοῦντα δεικνῦσι τέλος ποιούμενα, οὐ τὰς ποιήσεις, οὐδὲ τὰς πράξεις, ἀλλὰ τὰ ἀποτελέσματα, ἵνα θεωρηθῇ. Καὶ τοῦτο καὶ αἱ διανοήσεις ἰδεῖν ἐθέλουσι, καὶ ἔτι πρότερον αἱ αἰσθήσεις, αἷς τέλος ἡ γνῶσις· καὶ ἔτι πρὸ τούτων ἡ φύσις τὸ θεώρημα τὸ ἐν αὐτῇ καὶ τὸν λόγον ποιεῖ, ἄλλον λόγον ἀποτελοῦσα. Τὰ μὲν ἦν αὐτόθεν λαβεῖν, τὰ δ' ὑπέμνησεν ὁ λόγος δῆλόν που, ἐπεὶ κἀκεῖνο δῆλον, ὡς ἀναγκαῖον ἦν τῶν πρώτων ἐν θεωρίᾳ ὄντων, καὶ τὰ ἄλλα πάντα ἐφίεσθαι τούτου, εἴπερ τέλος ἅπασιν ἡ ἀρχή. Ἐπεὶ καὶ, ὅταν τὰ ζῶα γεννᾷ, οἱ λόγοι ἔνδον ὄντες κινοῦσι· καὶ ἔστιν ἐνέργεια θεωρίας τοῦτο, καὶ ὠδὶς τοῦ πολλὰ ποιεῖν εἴδη καὶ πολλὰ θεωρήματα, καὶ λόγων πληρῶσαι πάντα, καὶ οἷον ἀεὶ θεωρεῖν. Τὸ γὰρ ποιεῖν εἶναί τι εἶδός ἐστι ποιεῖν· τοῦτο δέ ἐστι, πάντα πληρῶσαι θεωρίας. Καὶ αἱ ἁμαρτίαι δὲ, αἵ τε ἐν τοῖς γιγνομένοις, αἵ τε ἐν τοῖς πραττομένοις, θεωρούντων εἰσὶν, ἐκ τοῦ θεωρητοῦ παραφορά. Καὶ ὅ γε κακὸς τεχνίτης ἔοικεν αἰσχρὰ εἴδη ποιοῦντι· καὶ οἱ ἐρῶντες δὲ ἰδόντων καὶ πρὸς εἶδος σπευδόντων.

VI. Quemadmodum igitur partim per se constat, partim ratio indicavit: omnia ex contemplatione contemplationesque sunt, cum vera existentia, tum ex his genita: his videlicet contemplantibus, ipsa facta jam contemplanda, vel sensui, vel cognitioni, vel opinioni passim se offerentia. Actiones praeterea in cognitionem diriguntur, ut finem: appetitio quoque affectat cognitionem: generationes insuper a contemplatione trahentes exordium in speciem speciminque aliud desinunt fabricandum, et omnino singula causarum efficientium imitamina passim spectacula speciesque efficiunt: factae quoque substantiae, velut entium imitamina, declarant efficientes causas spectare tanquam finem, non effectiones, non actiones, sed opificium ipsum, ad hoc ipsum, ut contuentibus sit spectaculum. Quin etiam cogitationes hoc ipsum videre percupiunt: atque etiam prius ipsi sensus, quorum finis cognitio est. Rursus ante haec ipsa natura specimen in se rationemque possidens, aliam praeterea generat rationem. Proinde constat, cum ipsa omnium prima in contemplatione consistant, cetera omnia contemplationem ipsam necessario cupere: si quidem finis omnibus propositus est, quod est et principium. Jam vero et quando animalia generant, rationes intus seminales stimulant ad gignendum, idque totum contemplationis actio est, stimulusque affectans multas jam species fabricare variaque spectacula, et implere *rationibus omnia et quasi perpetuo contueri.* Facere enim, ut sit aliquid, est speciem quandam efficere; id autem est contemplatione omnia prorsus implere. Praeterea errata cum in his, quae gignuntur, tum in his, quae aguntur, nihil aliud esse videntur, quam contemplantium casus et diversio quaedam ab ipso contemplationis objecto. Artifex quinetiam iners ei similis judicatur, qui deformes faciat formas. Denique amatores ipsi in eorum numero praecipue sunt, qui in aspiciendo versantur et ad speciem impensius properant.

In cognitione vera cognoscens et cognitum idem est, aut fit idem. Item, prima forma est idem, quod vita, et intelligentia prima, ideoque haec pariter per cuncta procedunt. Item, intellectus necessario est uniformis atque omniformis.

Ζ'. Ταῦτα μὲν οὕτως. Τῆς δὲ θεωρίας ἀναβαινούσης ἐκ τῆς φύσεως ἐπὶ τὴν ψυχὴν, καὶ ἀπὸ ταύτης εἰς νοῦν, καὶ ἀεὶ οἰκειοτέρων τῶν θεωριῶν γιγνομένων, καὶ ἑνουμένων τοῖς θεωροῦσι, καὶ ἐπὶ τῆς σπουδαίας ψυχῆς πρὸς τὸ αὐτὸ τῷ ὑποκειμένῳ ἰόντων τῶν ἐγνωσμένων, ἅτε εἰς νοῦν σπευδόντων· ἐπὶ τούτου δηλονότι ἤδη ἓν ἄμφω, οὐκ οἰκειώσει, ὥσπερ ἐπὶ τῆς ψυχῆς τῆς ἀρίστης, ἀλλ' οὐσίᾳ, καὶ τῷ ταὐτὸν τὸ εἶναι καὶ τὸ νοεῖν εἶναι. Οὐ γὰρ ἔτι ἄλλο, τὸ δ' ἄλλο· πάλιν γὰρ αὖ ἄλλο ἔσται, ὃ οὐκέτι ἄλλο καὶ ἄλλο. Δεῖ οὖν τοῦτο εἶναι ἓν ὄντως ἄμφω· τοῦτο δέ ἐστι θεωρία ζῶσα, οὐ θεώρημα, οἷον τὸ ἐν ἄλλῳ. Τὸ γὰρ ἐν ἄλλῳ ζῶντι, ἐκεῖνο οὐκ αὐτόζωον. Εἰ οὖν ζήσεταί τι θεώρημα καὶ νόημα, δεῖ αὐτὸ ζωὴν εἶναι, οὐ φυτικὴν, οὐδὲ αἰσθητικὴν, οὐδὲ ψυχικὴν τὴν ἄλλην· νοήσεις μὲν γάρ πως καὶ ἄλλαι· ἀλλ' ἡ μὲν φυτικὴ νόησις, ἡ δὲ αἰσθητική, ἡ δὲ ψυχική. Πῶς οὖν νοήσεις; ὅτι λόγοι, καὶ πᾶσα ζωὴ νόησίς τις, ἀλλὰ ἄλλη ἄλλης ἀμυδροτέρα, ὥσπερ καὶ ζωή· ἡ δὲ ἐναργεστέρα αὕτη καὶ πρώτη ζωὴ, καὶ πρῶτος νοῦς, εἷς· νόησις οὖν ἡ πρώτη ζωὴ, καὶ ζωὴ δευτέρα, νόησις δευτέρα, καὶ ἡ ἐσχάτη ζωὴ, ἐσχάτη νόησις. Πᾶσα οὖν ζωὴ ἡ τοῦ γένους τούτου καὶ νόησις· ἀλλὰ ζωῆς μὲν ἴσως διαφορὰς τάχα ἂν λέγοιμεν ἄνθρωποι, νοήσεων δὲ οὐ λέγουσιν, ἀλλὰ τὰς μὲν, τὰς δ' ὅλως οὐ νοήσεις, ὅτι ὅλως τὴν ζωὴν, ὅ τι ποτέ ἐστιν, οὐ ζητοῦσιν. Ἀλλ' ἐκεῖνό γε ἐπισημαντέον, ὅτι πάλιν αὖ ὁ λόγος πάρεργον ἐνδείκνυται θεωρίας τὰ πάντα ὄντα. Εἰ τοίνυν ἡ ζωὴ ἀληθεστάτη νοήσει ζωή ἐστιν, αὕτη δὲ ταὐτὸν τῇ ἀληθεστάτῃ νοήσει, ἡ ἀληθεστάτη νόησις ζῇ, καὶ ἡ θεωρία καὶ τὸ θεώρημα τὸ τοιοῦτο ζῶν καὶ ζωὴ, καὶ ἓν ὁμοῦ τὰ δύο. Πῶς αὖ τὰ πολλὰ τοῦτο τὸ ἕν; ἢ ὅτι οὐχ ἓν θεωρεῖ; ἐπεὶ, καὶ ὅταν τὸ ἓν θεωρῇ, οὐχ ὡς ἕν· εἰ δὲ μὴ, οὐ γίγνεται νοῦς, ἀλλὰ ἀρξάμενος ὡς ἕν, οὐχ ὡς ἤρξατο ἔμεινεν, ἀλλ' ἔλαθεν ἑαυτὸν πολὺς γενόμενος, οἷον βεβαρημένος, καὶ ἐξείλιξεν αὑτὸν, πάντα ἔχειν ἐθέλων, ὡς βέλτιον αὐτῷ μὴ ἐθελῆσαι τοῦτο. Δεύτερον γὰρ ἐγένετο· οἷον γὰρ κύκλος ἐξελίξας αὑτὸν γέγονε, καὶ σχῆμα, καὶ ἐπίπεδον, καὶ περιφέρεια, καὶ κέντρον, καὶ γραμμαί· καὶ τὰ μὲν ἄνω, τὰ δὲ κάτω· βελτίω μὲν ὅθεν, χείρω δὲ εἰς ὅ. Τὸ γὰρ ἀφ' οὗ οὐκ ἦν τοιοῦτον, οἷον τὸ ἀφ' οὗ καὶ εἰς ὅ· οὐδὲ αὖ τὸ ἀφ' οὗ καὶ εἰς ὅ, οἷον τὸ ἀφ' οὗ μόνον. Καὶ ἄλλως δὲ ὁ νοῦς, οὐχ ἑνός τινος νοῦς, ἀλλὰ καὶ πᾶς· πᾶς δὲ ὤν, καὶ πάντων. Δεῖ οὖν αὐτὸν, πάντα ὄντα καὶ πάντων, καὶ τὸ μέρος αὐτοῦ ἔχειν πᾶν, καὶ πάντα· εἰ δὲ μὴ, ἕξει τι μέρος, οὐ νοῦν, καὶ συγκείσεται ἐξ οὐ νῶν, καὶ σωρός τις συμφορητὸς ἔσται, ἀναμένων τὸ γενέσθαι νοῦς ἐκ πάντων. Διὸ καὶ ἄπειρος οὕτως, καὶ εἴ τι ἀπ' αὐτοῦ, οὐκ ἠλάττωται, οὔτε τὸ ἀπ' αὐτοῦ, ὅτι πάντα καὶ αὐτό, οὔτε ἐκεῖνος, ὃ ἐξ οὗ, ὅτι μὴ σύνθεσις ἦν ἐκ μορίων.

VII. De his quidem ita sit dictum. Cum vero contemplatio ab ipsa natura se attollat ad animam, et ab hac in mentem, semperque contemplationes magis propriae familiaresque evadant, uniantur contemplantibus, et in anima per virtutem jam perfecta, in idem jam subjecto redigantur, quae cognoscuntur, utpote quae ad ipsum properent intellectum: certe in hoc ipso intellectu jam ambo sunt unum, non per acquisitam quandam familiaritatem, ut in anima praestantissima fieri consuevit, sed potius per essentiam, atque ex eo, quod idem illi est esse atque intelligere. Non enim illic amplius hoc quidem aliud, illud vero est aliud: alioquin rursus aliud quiddam erit, in quo non ulterius aliud erit et aliud. Oportet igitur in hoc ambo esse re vera unum: id autem est contemplatio vivens, non quidem quasi contemplamen in alio. Quod enim in alio vivente est, non est se ipso vivens. Si ergo vivet aliquod contemplamen, et (ut aiunt) intelligimen, oportet ipsum esse vitam non vegetalem, non sensualem, non animalem aliam (intelligentiae namque quodammodo sunt et aliae), sed haec quidem vegetalis intelligentia, haec autem sensualis, alia denique animalis. Quo igitur modo intelligentiae sunt? Quia videlicet sunt rationes, et omnis vita est intelligentia quaedam, sed alia tenuior alia, sicut et vita. Quae vero clarior est et validior, vita prima est, et intellectus primus et unus: intelligentia igitur prima vita quoque prima est, atque secunda vita intelligentia quoque secunda: vita denique ultima postrema intelligentia est. Omnis itaque hujus generis vita etiam intelligentia judicatur: sed vitae quidem differentias forsan dicere homines possent, intelligentiarum vero non dicunt, sed aiunt, alias quidem esse intelligentias, alias vero omnino non intelligentias esse, quoniam nullo modo, quid ipsa vita sit, quaerunt. Sed illud praeterea significandum: sermonem hunc nostrum rursus velut forte quadam ostendere, res omnes contemplationes esse. Si ergo vita verissima secundum ipsam intelligentiam vita est, haec autem cum verissima intelligentia idem est, nimirum verissima intelligentia vivit, atque contemplatio et ejusmodi contemplamen vivens est atque vita, et duo haec sunt simul unum: unum igitur aus ipsa duo. Quanam igitur ratione unum hoc est multa? Fortasse quoniam non contemplatur unum. Nam et quando unum intuetur, non contuetur ut unum, alioquin non fieret intellectus: sed incipiens quidem ut unum, non permanet, ut incepit, sed clam quodammodo factus est multiplex, quasi jam gravidus, evolvitque se ipsum, volens omnia possidere: cui forsan satius exstitisset id minime exoptare. Ex hoc enim secundus evasit, non aliter quam circulus se ipsum explicans factus est et figura, et planum quiddam, circumferentiaque, et centrum, ac lineae, et alia quidem sursum, alia vero deorsum: meliora quidem, unde procedit exordium, reliqua vero deteriora. Illud enim, a quo processio fit, non erat tale, quale id, a quo et in quod proceditur. Neque rursus illud, a quo simul atque in quod, tale erat, quale ipsum, a quo tantum progressio inchoatur. Et aliter quidem mens, non unius alicujus mens, sed omnis. Omnis vero exsistens est et omnium. Oportet igitur intellectum cum omnia, tum omnium exsistentem partem quoque talem habere, ut una quaeque omne sit atque omnia: sin minus, partem aliquam, quae intellectus non sit, habebit: atque ex his, quae non sunt intellectus, coacervabitur, eritque fortuitus quidam acervus, exspectans ab omnibus admittendum, quo intellectus evadat. Quapropter et sic est infinitus, ac, si quid ab eo manat intus, non comminuitur, vel quod ab ipso est, quoniam id quoque est omnia, vel ille, ex quo prodit intrinsecus, quoniam non erat ex pluribus compositio

In primo intellectu est multitudo, et est omnia: principium autem omnium non est omnia, sed super omnia.

Η'. Οὗτος μὲν οὖν τοιοῦτος, ἀλλ' οὐ πρῶτος· ἀλλὰ δεῖ εἶναι τὸ ἐπέκεινα αὐτοῦ, οὗπερ χάριν καὶ οἱ πρόσθεν λόγοι πρῶτον· ὅτι μὲν πλῆθος ἑνὸς ὕστερον, καὶ ἀριθμὸς δὲ οὗτος, ἀριθμοῦ δὲ ἀρχὴ καὶ τοῦ τοιούτου τὸ ὄντως ἕν, καὶ οὗτος νοῦς, καὶ νοητὸν ἅμα, ὥστε δύο ἅμα· εἰ δὲ δύο, δεῖ τὸ πρὸ τοῦ δύο λαβεῖν. Τί οὖν; νοῦς μόνον; ἀλλὰ παντὶ νῷ συνέζευκται τὸ νοητόν· εἰ οὖν δεῖ μὴ συνεζεῦχθαι τὸ νοητόν, οὐδὲ νοῦς ἔσται. Εἰ οὖν μὴ νοῦς, ἀλλ' ἐκφεύξεται τὰ δύο, τὸ πρότερον τῶν δύο τούτων ἐπέκεινα δεῖ νοῦ εἶναι. Τί οὖν κωλύει τὸ νοητὸν αὐτὸ εἶναι; ἢ ὅτι καὶ τὸ νοητὸν συνέζευκται τῷ νῷ. Εἰ οὖν μήτε νοῦς, μήτε νοητὸν εἴη, τί ἂν εἴη; ἐξ οὗ ὁ νοῦς καὶ τὸ σὺν αὐτῷ νοητὸν φήσομεν. Τί οὖν τοῦτο, καὶ ποῖόν τι αὐτὸ φαντασθησόμεθα; καὶ γὰρ αὖ ἢ νοοῦν ἔσται, ἢ ἀνόητόν τι· νοοῦν μὲν, νοῦς, ἀνόητον δὲ, ἀγνοήσει καὶ ἑαυτό· ὥστε τί σεμνόν; οὐδὲ γὰρ, εἰ λέγοιμεν τὸ ἀγαθὸν εἶναι, καὶ ἁπλούστατον εἶναι, δῆλόν τι καὶ σαφὲς ἐροῦμεν, τὸ ἀληθὲς λέγοντες, ἕως ἂν μὴ ἔχωμεν, ἐπί τι ἐρείδοντες τὴν διάνοιαν λέγομεν. Καὶ γὰρ αὖ τῆς γνώσεως διὰ νοῦ τῶν ἄλλων γιγνομένης καὶ τῷ νῷ, νοοῦν τι γιγνώσκειν δυναμένων, ὑπερβεβηκὸς τοῦτο τὴν νοῦ φύσιν τίνι ἂν ἁλίσκοιτο ἐπιβολῇ ἀθρόᾳ; πρὸς ὃν δεῖ σημῆναι, ὅπως οἷόν τε, τῷ ἐν ἡμῖν ὁμοίῳ φήσομεν. Ἔστι γάρ τι καὶ παρ' ἡμῖν αὐτοῦ, ἢ οὐκ ἔστιν, ὅπου μὴ ἔστιν, οἷς ἔστι μετέχειν αὐτοῦ. Ἡ γὰρ πανταχοῦ παραστήσας ὁποσοῦν τὸ δυνάμενον ἔχειν, ἔχεις ἐκεῖθεν· ὥσπερ εἰ φωνῆς κατεχούσης ἐρημίαν, ἢ καὶ μετὰ τῆς ἐρημίας καὶ ἀνθρώπους· ἐν ὁτῳοῦν τῷ ἐρήμῳ στήσας οὖς, τὴν φωνὴν κομιεῖ πᾶσαν, καὶ αὖ οὐ πᾶσαν. Τί οὖν ἐστιν, ὃ κομιούμεθα νοῦν παραστησάμενοι; ἢ δεῖ τὸν νοῦν οἷον εἰς τοὐπίσω ἀναχωρεῖν, καὶ οἷον ἑαυτὸν ἀφέντα τοῖς εἰς ὄπισθεν αὐτοῦ ἀμφίστομον ὄντα, κἀκεῖνα εἰ ἐθέλει ἐκεῖνα ὁρᾶν, μὴ πάντα νοῦν εἶναι. Ἔστι μὲν γὰρ αὐτὸς ζωὴ πρώτη, ἐνέργεια οὖσα ἐν διεξόδῳ τῶν πάντων· διεξόδῳ δὲ, οὐ τῇ διεξιούσῃ, ἀλλὰ τῇ διεξελθούσῃ. Εἴπερ οὖν καὶ ζωή ἐστι, καὶ διέξοδός ἐστι, καὶ πάντα ἀκριβῶς, καὶ οὐχ ὁλοσχερῶς ἔχει· ἀτελῶς γὰρ ἂν καὶ ἀδιαρθρώτως ἔχοι· ἔκ τινος ἄλλου αὐτὸν εἶναι ἀνάγκη, ὃ οὐκέτι ἐν διεξόδῳ, ἀλλὰ ἀρχὴ διεξόδου, καὶ ἀρχὴ ζωῆς, καὶ ἀρχὴ νοῦ, καὶ τῶν πάντων. Οὐ γὰρ ἀρχὴ τὰ πάντα, ἀλλ' ἐξ ἀρχῆς τὰ πάντα· αὐτὴ δὲ οὐκέτι τὰ πάντα, οὐδέ τι τῶν πάντων, ἵνα γεννήσῃ τὰ πάντα, καὶ ἵνα μὴ πλῆθος ᾖ, ἀλλὰ τοῦ πλήθους ἀρχή· τοῦ γὰρ γεννηθέντος πανταχοῦ τὸ γεννῶν ἁπλούστερον. Εἰ οὖν τοῦτο νοῦν ἐγέννησεν, ἁπλούστερον νοῦ δεῖ αὐτὸ εἶναι. Εἰ δέ τις οἴοιτο αὐτὸ τὸ ἓν καὶ τὰ πάντα εἶναι, ἤτοι καθ' ἓν ἕκαστον τῶν πάντων ἐκεῖνο ἔσται, ἢ ὁμοῦ πάντα. Εἰ μὲν οὖν ὁμοῦ πάντα συνηθροισμένα, ὕστερον ἔσται τῶν πάντων. Εἰ δὲ πρότερον τῶν πάντων, ἄλλο μὲν τὰ πάντα, ἄλλο δὲ αὐτὸ ἔσται τῶν πάντων· εἰ δὲ ἅμα καὶ αὐτὸ καὶ τὰ πάντα, οὐκ ἀρχὴ ἔσται. Δεῖ δ' αὐτὸ ἀρχὴν εἶναι, καὶ εἶναι πρὸ πάντων, ἵνα ᾖ μετ'

VIII. Hic igitur talis existit, ideoque non primus, sed esse oportet aliquid ipso superius, cujus gratia superior habitus nobis est sermo, idque propterea, quoniam multitudo semper est uno posterior: hic autem numerus est: numeri vero principium est unitas, et talis numeri principium, quod ita est unum. Hic utique et intellectus est, et intelligibile simul: itaque simul est duo. Si autem duo, oportet aliquid super duo haec accipere. Sed quidnam hoc est dicendum? numquid intellectus tantum? At cuilibet intellectui est intelligibile conjugatum: ac nisi ibi sit conjugatum, nec etiam intellectus erit. Si igitur nec intellectus, sed duo haec effugerit, consequens erit, ut, quod his duobus est prius, sit intellectu superius. Verum quidnam prohibet hoc esse intelligibile tantum? Id ipsum videlicet, quoniam et intelligibile conjugatum semper habet et intellectum. Si ergo neque intellectus neque intelligibile est, quidnam erit? Illud certe, a quo intellectus, et cum intellectu simul intelligibile. Quid hoc igitur, et quale ipsum excogitabimus? Etenim vel intelligens aliquid erit, vel non intelligens: si intelligens, erit et intellectus: si non intelligens, se ipsum etiam ignorabit, nihilque esse videbitur venerandum. Non enim, si dicamus hoc esse ipsum bonum atque simplicissimum, propterea manifestum aliquid et perspicuum afferemus: quamvis verum quandiu non habuerimus, in quo potissimum, dum de eo loquimur, excogitationis nostrae figamus intuitum. Praeterea cum cognitio aliorum per intellectum et intellectu fiat penes illos, videlicet, qui intelligens aliquid cognoscere possunt, hoc ipsum naturam intellectus exsuperans, quonam intuitu simul collecto percipietur? Respondebimus ad haec: videlicet quodam in nobis illius, quoad fieri potest, persimili. Est enim in nobis illius aliquid, vel potius non est in rebus aliquid, ubi non sit, quibus insit illius participandi facultas. Profecto ubicunque admoveris aliquid, quod possit accipere, inde aliquid reportabis: quemadmodum, si qua vox desertum quoddam occupet, vel una cum deserto etiam homines. Tunc enim in quacunque parte accommodaveris aures, vocem totam hauries, rursusque non totam. Quidnam igitur est, quod intellectum adhibentes accipimus? Forsan vero intellectum oportet velut a tergo se flectere, et cum utrinque vultum habeat, se ipsum a tergo relinquere, ac si bonum ipsum sit inspecturus, operam dare, ne omnino sit intellectus, neve sit illa, quae intelliguntur omnia. Est enim ipse vita prima, quae quidem est actus in quadam discursione per omnia: discursione, inquam, non quae discurrat quotidie, sed quae discursum semper impleverit. Si igitur vita est atque discursio, habetque omnia non confuse quidem, sed exactissime: alioquin si indistincte haberet, haberet et imperfecte: necesse est, illum ab alio pendere, quod quidem non amplius in discursu versetur, sed discursionis principium sit: principium vitae, principium mentis atque cunctorum. Principium namque non est omnia, sed omnia potius a principio sunt: ipsum vero neque omnia est, neque aliquid omnium, ut omnia generet, neque sit multitudo, sed principium multitudinis. Eo namque, quod genitum est, ubique simplicius est, quod generat. Itaque, si hoc genuit mentem, necessario est mente simplicius. Si quis autem putet, ipsum bonum esse unum et omnia, aut erit omnia secundum unumquodque omnium singulatim, vel cuncta cumulatim. Quodsi cuncta simul accumulata, omnibus posterius erit. Nam si omnibus prius extiterit, alia quidem erunt omnia, aliud vero et ipsum praeter cuncta. Sin autem simul ipsum atque omnia sint, non erit initium. Oportet tamen ipsum esse principium, et

αὐτὸ καὶ τὰ πάντα. Τὸ δὲ καθ' ἕκαστον τῶν πάντων πρῶτον μὲν τὸ αὐτὸ ἔσται ὁτιοῦν ὁτῳοῦν, ἔπειτα ὁμοῦ πάντα, καὶ οὐδὲν διακρινεῖ. Καὶ οὕτως οὐδὲν τῶν πάντων, ἀλλὰ πρὸ τῶν πάντων.

ante omnia, ut et omnia sint post ipsum. Sin vero dicatur ipsum esse singulatim secundum omnium unumquodque, primo quidem quodlibet cuilibet erit idem, deinde cuncta simul, nec unquam ulla discretio. Atque ita etiam ipsum nihil est omnium, sed potius super omnia.

Principium universi est unum ipsum super ens, quod neque movetur, neque dividitur, neque multiplicatur ullo modo, quando ab eo rerum multitudo procedit.

Θ'. Τί δὴ ὄν; δύναμις τῶν πάντων· ἧς μὴ οὔσης, οὐδ' ἂν τὰ πάντα, οὐδ' ἂν νοῦς, ζωὴ ἡ πρώτη καὶ πᾶσα. Τὸ γὰρ ὑπὲρ τὴν ζωὴν αἴτιον ζωῆς. Οὐ γὰρ ἡ τῆς ζωῆς ἐνέργεια, τὰ πάντα οὖσα, πρώτη, ἀλλ' ὥσπερ προχυθεῖσα αὐτὴ οἷον ἐκ πηγῆς. Νόησον γὰρ πηγὴν ἀρχὴν ἄλλην οὐκ ἔχουσαν, δοῦσαν δὲ ποταμοῖς πᾶσιν αὐτήν, οὐκ ἀναλωθεῖσαν τοῖς ποταμοῖς, ἀλλὰ μένουσαν αὐτὴν ἡσύχως· τοὺς δὲ ἐξ αὐτῆς προεληλυθότας, πρὶν ἄλλον ἄλλῃ ῥεῖν, ὁμοῦ συνόντας ἔτι, ἤδη δὲ οἷον ἑκάστους εἰδότας, οἷ ἀφήσουσιν αὐτῶν τὰ ῥεύματα· ἢ ζωὴν φυτοῦ μεγίστου διὰ παντὸς ἐλθοῦσαν, ἀρχῆς μενούσης καὶ οὐ σκεδασθείσης περὶ πᾶν, αὐτῆς οἷον ἐν ῥίζῃ ἱδρυμένης· αὕτη τοίνυν παρέσχε μὲν τὴν πᾶσαν ζωὴν τῷ φυτῷ τὴν πολλήν· ἔμεινε δὲ αὐτὴ οὐ πολλὴ οὖσα, ἀλλ' ἀρχὴ τῆς πολλῆς· καὶ θαῦμα οὐδέν. Ἢ καὶ θαῦμα, πῶς τὸ πλῆθος τῆς ζωῆς ἐξ οὐ πλήθους ἦν, καὶ οὐκ ἦν τὸ πλῆθος, εἰ μὴ πρὸ τοῦ πλήθους ἦν, ὃ μὴ πλῆθος ἦν. Οὐ γὰρ μερίζεται εἰς τὸ πᾶν ἡ ἀρχή, μερισθεῖσα γὰρ ἀπώλεσεν ἂν καὶ τὸ πᾶν, καὶ οὐδ' ἂν ἔτι ἐγένετο, μὴ μενούσης τῆς ἀρχῆς ἐφ' ἑαυτῆς, ἑτέρας οὔσης. Διὸ καὶ ἡ ἀναγωγὴ πανταχοῦ ἐφ' ἕν, [καὶ ἐφ' ἑκάστου μέν τι ἕν, εἰς ὃ ἀνάξεις,] καὶ τόδε πᾶν, εἰς ἓν τὸ πρὸ αὐτοῦ, οὐχ ἁπλῶς ἕν, ἕως τις ἐπὶ τὸ ἁπλῶς ἓν ἔλθῃ· τοῦτο δὲ οὐκέτι ἐπ' ἄλλο. Ἀλλ' εἰ μὲν τὸ τοῦ φυτοῦ ἕν, [τοῦτο δὲ ἡ ἀρχὴ μένουσα,] καὶ τὸ τοῦ ζώου ἕν, καὶ τὸ τῆς ψυχῆς ἕν, καὶ τὸ τοῦ παντὸς ἓν λαμβάνοι, λαμβάνει ἑκασταχοῦ τὸ δυνατώτατον καὶ τὸ τίμιον· εἰ δὲ τὸ τῶν κατὰ ἀλήθειαν ὄντων ἓν τὴν ἀρχὴν καὶ πηγὴν καὶ δύναμιν λαμβάνοι, ἀπιστήσωμεν, καὶ τὸ μηδὲν ὑπονοήσωμεν; ἢ ἔστι μὲν μηδὲν τούτων, ὧν ἐστιν ἀρχή· τοιοῦτο μέντοι, οἷον μηδενὸς αὐτοῦ κατηγορεῖσθαι δυναμένου, μὴ ὄντος, μὴ οὐσίας, μὴ ζωῆς, τῷ ὑπὲρ πάντα ταῦτα εἶναι. Εἰ δὲ ἀφελὼν τὸ εἶναι λαμβάνοις, θαῦμα ἕξεις, καὶ βαλὼν πρὸς αὐτὸ καὶ τυχών, ἐν τοῖς αὐτοῦ ἀναπαυσάμενος, συννόει μᾶλλον τῇ προσβολῇ συνείς· συνορῶν δὲ τὸ μέγα αὐτοῦ, τοῖς μετ' αὐτὸ δι' αὐτὸ οὖσιν.

IX. Quid ergo est ens? Profecto potestas omnium: quæ quidem nisi esset, neque cetera forent: neque enim intellectus esset, qui prima est omnisque vita. Quod enim super vitam exstat, vitæ causa est. Actus enim vitæ, qui omnia est, non est ipsum primum, sed ex principio velut fonte profunditur. Cogita fontem principium aliud non habentem, fluminibus vero se totum tradentem, nec tamen fluminibus illis exhaustum, sed in se quiete manentem: flumina vero ab ipso fluentia, antequam aliud alio fluat, adhuc una manentia, et quasi jam cognoscentia, quo emissura sint sua fluenta. Aut cogita arboris ingentis vitam sese per totam arborem propagantem, manente principio, nec diviso per totam, sed velut in radice fundato: hoc utique præbet quidem totam arbori vitam atque multiplicem: ipsum vero manet nequaquam multiplicatum, sed multiplicis vitæ principium: neque mirabile est ita esse. Fortasse etiam est mirandum, quomodo multitudo vitæ ex non multitudine sit, nec fuisse multitudo possit, nisi ante multitudinem fuerit, quod nulla est multitudo. Nam principium in universum nequaquam dividitur: alioquin si divideretur, perderet protinus universum: neque unquam fuisset factum, nisi principium in se ipso permaneat, sitque ab hoc toto diversum. Quapropter reductio ubique fit in unum, et in quolibet quidem unum est, ad quod reducitur: atque hoc universum, in unum quod ante ipsum, non simpliciter unum, quoad quis ad ipsum perveniat simpliciter unum: hoc autem non ulterius refertur ad aliud. Proinde, si ipsum arboris unum, id est, principium permanens, si animalis unum, si unum animæ, et unum insuper acceperis universi, accipies ubique potentissimum atque venerandum: sin autem unum ipsum eorum, quæ vero sunt, id est, principium, fontem, potestatem, acceperis, numquid diffidemus nihilque exsistere suspicabimur? Certe nihil horum est, quorum est principium: est et tale, ut de ipso nihil prædicari queat, non ens, non essentia, non vita: propterea quod super hæc omnia sit. Sin autem ipsum esse inde auferens illud apprehenderis, protinus obstupesces, et dirigens te in illud, et assequens, atque in ipsius sedibus conquiescens, uno potissimum simplicique intuitu jam conspicias: conspicatus autem magnitudinem ejus auspicaberis per illa, quæ post ipsum sunt atque per ipsum.

Intellectus est inferior bono: atque ita per hunc conjectamus bonum, sicut per hunc mundum conjicimus intellectum.

Ι'. Ἔτι δὲ καὶ ὧδε· ἐπεὶ γὰρ ὁ νοῦς ἐστιν ὄψις τις, καὶ ὄψις ὁρῶσα, δύναμις ἔσται εἰς ἐνέργειαν ἐλθοῦσα. Ἔσται τοίνυν τὸ μὲν ὕλη, τὸ δὲ εἶδος αὐτοῦ, οἷον καὶ ἡ κατ' ἐνέργειαν ὅρασις. Ὕλη δὲ ἐν νοητοῖς· ἐπεὶ καὶ ἡ ὅρασις ἡ κατ' ἐνέργειαν διττὸν ἔχει. Πρὶν γοῦν ἰδεῖν ἓν ἦν. Τὸ οὖν ἓν δύο γέγονε, καὶ τὰ δύο ἕν. Τῇ μὲν οὖν ὁράσει ἡ πλήρωσις παρὰ τοῦ αἰσθητοῦ, καὶ ἡ οἷον τελείωσις· τῇ δὲ τοῦ νοῦ ὄψει τὸ ἀγαθὸν τὸ πληροῦν. Εἰ γὰρ αὐτὸς τὸ ἀγαθόν, τί ἔδει ὁρᾶν ἢ ἐνεργεῖν ὅλως; τὰ μὲν γὰρ ἄλλα περὶ τὸ ἀγαθὸν καὶ διὰ τὸ ἀγα-

X. Præterea et hac ratione considera: quoniam intellectus est visus quidam, visus, inquam, videns, ideo est quædam in actum jam profecta potentia. Erit igitur in eo aliud quidem materia, aliud vero forma, sicut et visio secundum actum. Materia, inquam, intelligibilis: si quidem et visio secundum actum duplicem habet proprietatem. Ante igitur, quam videret, unum aliquid erat. Unum ergo duo factum est, et duo unum. Visioni quidem ab objecto sensibili plenitudo, et sua quædam perfectio pervenit: mentis vero visui bonum est id, quod implet. Si enim intellectus esset ipsum bonum, quidnam videre vel omnino agere oporteret? Alia enim circa bonum et

θὸν ἔχει τὴν ἐνέργειαν· τὸ δὲ ἀγαθὸν οὐδενὸς δεῖται· διὸ οὐδέν ἐστιν αὐτῷ, ἢ αὐτό. Φθεγξάμενος οὖν τὸ ἀγαθὸν μηδὲν ἔτι προσνόει. Ἐὰν γάρ τι προσθῇς, ᾧ προσέθηκας ὁτιοῦν, ἐνδεᾶ ποιήσεις· διὸ οὐδὲ τὸ νοεῖν, ἵνα καὶ μὴ ἄλλο, καὶ ποιήσῃς δύο, νοῦν καὶ ἀγαθόν. Ὁ μὲν γὰρ νοῦς τοῦ ἀγαθοῦ, τὸ δ' ἀγαθὸν οὐ δεῖται ἐκείνου· ὅθεν καὶ τυγχάνων τοῦ ἀγαθοῦ ἀγαθοειδὴς γίγνεται, καὶ τελειοῦται παρὰ τοῦ ἀγαθοῦ, τοῦ μὲν εἴδους τοῦ ἐπ' αὐτῷ παρὰ τοῦ ἀγαθοῦ ἥκοντος, ἀγαθοειδῆ ποιοῦντος. Οἷον δὲ ἐνορᾶται ἐπ' αὐτῷ ἴχνος τοῦ ἀγαθοῦ, τοιοῦτον τὸ ἀρχέτυπον ἐννοεῖν προσήκει, τὸ ἀληθινὸν ἐκείνου ἐνθυμηθέντα ἐκ τοῦ ἐπὶ τῷ νῷ ἐπιθέοντος ἴχνους. Τὸ μὲν οὖν ἐπ' αὐτῷ ἴχνος αὐτοῦ τῷ νῷ ἐνορῶντι ἔδωκεν ἔχειν· ὥστε ἐν μὲν τῷ νῷ ἡ ἔφεσις, καὶ ἐφιέμενος ἀεί, καὶ ἀεὶ τυγχάνων· ἐκεῖ δὲ οὔτε ἐφιέμενος· τίνος γάρ; οὔτε τυγχάνων· οὐδὲ γὰρ ἐφίετο. Οὐ τοίνυν οὐδὲ νοῦς· ἔφεσις γὰρ καὶ ἐν τούτῳ καὶ σύννευσις πρὸς τὸ εἶδος αὐτοῦ. Τοῦ δὴ νοῦ καλοῦ ὄντος καὶ πάντων καλλίστου, ἐν φωτὶ καθαρῷ καὶ αὐγῇ καθαρᾷ κειμένου, καὶ τὴν τῶν ὄντων περιλαβόντος φύσιν, οὗ καὶ ὁ καλὸς οὗτος κόσμος σκιὰ καὶ εἰκών, καὶ ἐν πάσῃ ἀγλαΐᾳ κειμένου, ὅτι μηδὲν ἀνόητον, μηδὲ σκοτεινόν, μηδ' ἄμετρον, ἐν αὐτῷ ζῶντος ζωὴν μακαρίαν. Θάμβος μὲν ἂν ἔχοι τὸν ἰδόντα καὶ τοῦτον, καί, ὡς χρή, εἰς αὐτὸν εἰσδύντα, καὶ αὐτοῦ γενόμενον ἕνα. Ὡς δὴ ὁ ἀναβλέψας εἰς τὸν οὐρανὸν καὶ τὸ τῶν ἄστρων φέγγος ἰδὼν τὸν ποιήσαντα ἐνθυμεῖται καὶ ζητεῖ· οὕτω χρή, καὶ τὸν νοητὸν κόσμον ὃς ἐθεάσατο καὶ ἐνεῖδε καὶ ἐθαύμασε, τὸν κἀκείνου ποιητήν, τίς ἄρα ὁ τοιοῦτον ὑποστήσας, ζητεῖν, ἢ ποῦ, ἢ πῶς ὁ τοιοῦτον παῖδα γεννήσας νοῦν, κόρον καλόν, καὶ παρ' αὐτοῦ γενόμενον κόρον. Πάντως τοι οὔτε νοῦς ἐκεῖνος, οὔτε κόρος, ἀλλὰ καὶ πρὸ νοῦ καὶ κόρου· μετὰ γὰρ αὐτὸν νοῦς καὶ κόρος, δεηθέντα καὶ κεκορέσθαι καὶ νενοηκέναι, ἃ πλησίον μέν ἐστι τοῦ ἀνενδεοῦς, καὶ τοῦ νοεῖν οὐδὲν δεομένου· πλήρωσιν δὲ ἀληθινὴν καὶ νόησιν ἔχει, ὅτι πρώτως ἔχει. Τὸ δὲ πρὸ αὐτῶν οὔτε δεῖται οὔτε ἔχει, ἢ οὐκ ἂν τὸ ἀγαθὸν ἦν.

propter ipsum bonum actionem habent: ipsum vero bonum nullo penitus indiget: quam ob rem nihil ipsi erit praeter ipsum. Cum ergo bonum pronuntiaveris, nihil ulterius addas excogitando. Si quid enim adjunxeris, statim id, cui aliquid addidisti, suapte natura declarabis egenum: idcirco neque adjungere debes intelligentiam, ne sic adjungas aliquid alienum, duoque reddas, intellectum scilicet atque bonum. Intellectus quidem bono, bonum autem intellectu non indiget: itaque mens bonum consequens, boniformis fit perficiturque a bono: dum videlicet species, quae est in mente, procedit a bono, atque efficit boniformem. Quale vero inspicitur in mente ipsius boni vestigium, tale quoque exemplar decet excogitare, existimantes scilicet veritatem ejus per impressum in mente vestigium. Hoc itaque vestigium impressum est intellectui, per quod videret et possideret. Quapropter in intellectu quidem est appetitio, est semper appetens, est semper et consequens: ipsum vero bonum neque desiderat quicquam: quid enim desideret? neque consequitur aliquid: nunquam enim desideravit. Neque igitur est intellectus: in hoc enim est appetitio, et quaedam ad ipsius speciem applicatio. Intellectus sane pulcher est, omniumque pulcherrimus, in lumine puro splendoreque simili constitutus, entiumque naturam in se comprehendens: cujus quidem noster hic mundus pulcher umbra est et imago: ille vero superior mundus in omni claritate positus est, ubi nihil intellectu vacuum, nihil tenebrosum, nihil immoderatum, sed in se ipso beatam agit vitam. Quem si quis aspexerit, protinus obstupescet: praesertim, si, quatenus oportet, illo se ipsum insinuet, ejusque filius evadat. Nempe quemadmodum, qui caelum diligentius suspicit, stellarumque splendorem impensius contuetur, protinus auctorem mundi cogitat, atque perquirit: sic oportet et eum, qui mundum intelligibilem intuetur, cernit, admiratur, effectorem ejus diligenter inquirere: quisnam ille sit, qui talem mundum intelligibilem genuit: vel ubi, vel quomodo talem genuit filium, intellectum, puerum purum atque formosum, filium, inquam, a patre plenum. Jam vero pater ille summus, neque intellectus est, neque filius aut puer, sed intellectu puerque superior: nam post ipsum intellectus et puer, alimenta et intelligentia indigentes: qui et proximus est ei, quod nulla re indiget, neque intelligentia eget. Plenitudinem vero et intelligentiam veram filius habet, quoniam habet primo. Quod vero superius est, neque indiget, neque habet: alioquin ipsum non esset bonum.

# ΕΝΝΕΑΔΟΣ Γ'

## ΛΟΓΟΣ Θ.

### ΕΠΙΣΚΕΨΕΙΣ ΔΙΑΦΟΡΟΙ.

# ENNEADIS TERTIÆ

## LIBER IX.

### DE DIVERSIS CONSIDERATIONIBUS AD AUCTOREM MUNDI ET AD IPSUM BONUM PERTINENTIBUS.

(356,357.)

Mundi faber est intellectus primus ideas in se ipso contemplans, considerationem unam continet.

[656—657.]

Α'. Νοῦς, φησίν, ὁρᾷ ἐνούσας ἰδέας ἐν τῷ ὅ ἐστι ζῷον. Εἶτα διενοήθη, φησίν, ὁ δημιουργός, ἃ ὁ νοῦς ὁρᾷ ἐν τῷ ὅ ἐστι ζῷον, καὶ τόδε τὸ πᾶν ἔχειν. Οὐκοῦν, φησίν, ἤδη εἶναι τὰ εἴδη πρὸ τοῦ νοῦ, ὄντα δὲ αὐτὰ νοεῖν τὸν νοῦν. Πρῶτον οὖν ἐκεῖνο, λέγω δὲ τὸ ζῷον, ζητητέον εἰ μὴ νοῦς, ἀλλ' ἕτερον νοῦ. Τὸ γὰρ θεωροῦν νοῦς· τὸ τοίνυν ζῷον αὐτὸ οὐ νοῦς, ἀλλὰ νοητὸν αὐτὸ φήσομεν, καὶ τὸν νοῦν ἔξω φήσομεν αὐτοῦ, ἃ ὁρᾷ, ἔχειν. Εἴδωλα ἄρα, καὶ οὐ τἀληθῆ ἔχει, εἰ ἐκεῖ τἀληθῆ. Ἐκεῖ γὰρ καὶ τὴν ἀλήθειάν φησιν εἶναι ἐν τῷ ὄντι, οὗ αὐτὸ ἕκαστον· ἢ κἂν ἕτερον ἑκάτερον, οὐ χωρὶς ἀλλήλων, ἀλλ' ἢ μόνον τῷ ἕτερα. Ἔπειτα οὐδὲν κωλύει, ὅσον ἐπὶ τῷ λεγομένῳ ἓν εἶναι ἄμφω, διαιρούμενα δὲ τῇ νοήσει· εἴπερ μόνον ὡς ὄν, τὸ μὲν νοητόν, τὸ δὲ νοοῦν. Ὃ γὰρ καθορᾷ, οὔ φησιν ἐν ἑτέρῳ πάντως, ἀλλ' ἐν αὐτῷ, τῷ ἐν αὐτῷ τὸ νοητὸν ἔχειν. Ἢ τὸ μὲν νοητὸν οὐδὲν κωλύει καὶ νοῦν εἶναι ἐν στάσει καὶ ἑνότητι καὶ ἡσυχίᾳ· τὴν δὲ τοῦ νοῦ φύσιν, τοῦ ὁρῶντος ἐκεῖνον τὸν νοῦν τὸν ἐν αὐτῷ, ἐνέργειάν τινα ἀπ' ἐκείνου, ἣ ὁρᾷ ἐκεῖνον· ὁρῶντα δὲ ἐκεῖνον, οἷον ἐκεῖνον εἶναι νοῦν ἐκείνου, ὅτι νοεῖ ἐκεῖνον· νοοῦντα δὲ ἐκεῖνον καὶ αὐτὸν νοῦν καὶ νοητὸν ἄλλως εἶναι τῷ μεμιμῆσθαι. Τοῦτο οὖν ἐστι τὸ διανοηθέν, ἃ ἐκεῖ ὁρᾷ ἐν τῷδε τῷ κόσμῳ ποιῆσαι ζῴων γένη τέσσαρα. Δοκεῖ γε μὴν τὸ διανοούμενον ἐπικεκρυμμένως ἕτερον ἐκείνων τῶν δύο ποιεῖν· ἄλλοις δὲ δόξει τὰ τρία ἓν εἶναι, τὸ ζῷον αὐτὸ ὅ ἐστιν, ὁ νοῦς, τὸ διανοούμενον. Ἢ, ὥσπερ ἐν πολλοῖς, προτείνων ἄλλως, ὁ δὲ ἄλλως νοεῖ τρία εἶναι· καὶ τὰ μὲν δύο εἴρηται, τὸ δὲ τρίτον, τί; Ὃ διενοήθη τὰ ὁρώμενα ὑπὸ τοῦ νοῦ ἐν τῷ ζῴῳ κείμενα αὐτὸ ἐργάσασθαι καὶ ποιῆσαι καὶ μερίσαι. Ἢ δυνατὸν τρόπον μὲν ἄλλον τὸν νοῦν εἶναι τὸν μερίσαντα, τρόπον δὲ ἕτερον τὸν μερίσαντα μὴ τὸν νοῦν εἶναι; ᾗ μὲν γὰρ παρ' αὐτοῦ τὰ μερισθέντα, αὐτὸν εἶναι τὸν μερίσαντα· ᾗ δ' αὐτὸς ἀμέριστος μένει, τὰ δ' ἀπ' αὐτοῦ ἐστι τὰ μερισθέντα, ταῦτα δέ ἐστι ψυχαί, ψυχὴν εἶναι τὴν μερίσασαν εἰς πολλὰς ψυχάς. Διὸ καί φησι, τοῦ τρίτου εἶναι τὸν μερισμόν, καὶ ἐν τῷ τρίτῳ, ὅτι διενοήθη· ὃ οὐ νοῦ ἔργον ἡ διάνοια, ἀλλὰ ψυχῆς μεριστὴν ἐνέργειαν ἐχούσης ἐν μεριστῇ φύσει.

I. Mens (ut scribitur in Timæo) ideas in eo, quod vivens est, insitas contuetur. Hinc mundi artifex cogitavisse dicitur in hoc mundo includere, quæ mens in eo, quod vivens sive animal est, contemplatur. Numquid igitur, inquit, jam species esse super mentem, easque jam exsistentes mentem inspicere? Principio igitur ipsum, quod vivens vel animal dicitur, quærendum est, num forte non sit intellectus, sed ab intellectu diversum. Quod enim contemplatur, est intellectus. Ipsum igitur vivens non intellectus quidem; sed intelligibile potius nominabimus, dicemusque intellectum extra se habere, quæ cernit. Quocirca simulacra quædam, non res veras habebit, si modo vera illic exsistunt. Ille enim et veritatem esse ait, in ipso scilicet ente, ubi ipsum unumquodque regnat. Forsan vero quamvis alterum sit utrumque, non tamen inter se segregata sunt, sed solum quatenus aliud hoc est, quam illud. Deinde nihil prohibet, quantum pertinet ad id, quod dicitur, ambo unum exsistere, solum vero per intelligentiam inter se divisa: si quidem solum ipsum se habet ut ens, idque partim quidem intelligibile, partim etiam et intelligens. Ubi enim dicitur, intellectus intuetur ideas, non significat omnino in alio contineri, sed in se ipso intelligibile possidere. An forte nihil prohibet ipsum intelligibile esse etiam intellectum, sed in statu, unitate, quiete: naturam vero intellectus inspicientis intellectum illum in se ipso manentem esse actum quendam ab illo manantem, qui suspicit illum? Et dum eum suspicit, quasi illum evadere intellectumque illius exsistere, quatenus intelligit ipsum: ac dum illum intelligit, ipsum quoque intellectum et intelligibile aliter esse, propterea quod imitatur? Hoc igitur est, quod excogitat, quæ ibi cernit, in hoc mundo facere animalium genera quatuor. Videtur tamen ibi Plato ipsum excogitantem modo quodam occulto tanquam diversum a duobus illis inducere: aliis vero videbitur, tria hæc unum exsistere, ipsum quod est vivens, et intellectus, et qui excogitat. An forte, sicut in multis, ille proponit aliter, hic vero aliter intelligit esse tria? Jam vero duo dicta sunt: at tertium quidnam est? Quod deliberavit inspecta ab intellectu spectacula in ipso vivente posita, operari, facere, distribuere. An forte possibile est, modo quidem alio intellectum esse distributorem, alio vero modo distributorem non esse mentem? qua enim ratione ab ipsa mente procedunt, quæ dividuntur, ipsam dividentem esse: qua vero ipsa permanet indivisa, quæ vero ab ea sunt, dividuntur, ipsæ scilicet animæ, animam esse in animas plures distributricem. Quam ob rem tertii cujusdam ait esse partitionem, atque in tertio, cui assignatum est cogitationis officium: non autem est mentis officium cogitatio, sed animæ partibilem actionem habentis in natura partibili.

Tres continet considerationes de anima, quomodo ascendat ad deum, et quomodo descendat ad corpus.

Β'. Οἷον γὰρ μιᾶς ἐπιστήμης τῆς ὅλης ὁ μερισμός, εἰς τὰ θεωρήματα τὰ καθ' ἕκαστα οὐ σκεδασθείσης οὐδὲ κατακερματισθείσης, ἔχει δὲ ἕκαστον δυνάμει τὸ

II. Proinde sicut tota quædam una scientia in propositiones sive notiones singulas distribuitur, neque tamen secatur, vel in segregatas distrahitur portiones, sed habet unumquodque in potentia totum, ubi idem est principium

ὅλον, οὗ τὸ αὐτὸ ἀρχὴ καὶ τέλος· καὶ οὕτω χρὴ παρασκευάζειν αὐτόν, ὡς τὰς ἀρχὰς τὰς ἐν αὐτῷ καὶ τέλη εἶναι καὶ ὅλα, καὶ πάντα εἰς τὸ τῆς φύσεως ἄριστον. Ὁ γενόμενος ἔστιν ἐκεῖ· τούτῳ γὰρ τῷ ἀρίστῳ αὐτοῦ, ὅταν ἔχῃ, ἅψεται ἐκείνου. Ἡ πᾶσα ψυχὴ οὐδαμοῦ ἐγένετο, οὐδὲ ἦλθεν· οὐ γὰρ ἦν ὅπου, ἀλλ' τὸ σῶμα γειτονῆσαν μετέλαβεν αὐτῆς, διὸ οὐκ ἐν τῷ σώματι, οὐδ' ὁ Πλάτων φησί που, ἀλλὰ τὸ σῶμα εἰς αὐτήν. Αἱ δ' ἄλλαι ἔχουσιν ὅθεν (ἀπὸ γὰρ ψυχῆς) καὶ εἰς ὃ καὶ κατελθεῖν καὶ μετελθεῖν, ὅθεν καὶ ἀνελθεῖν· ἡ δ' ἀεὶ ἄνω ἐν ᾧ πέφυκεν εἶναι ψυχή. Τὸ δὲ ἐφεξῆς τὸ πᾶν, οἷον τὸ πλησίον, ἢ τὸ ὑφ' ἡλίῳ. Φωτίζεται μὲν οὖν ἡ μερικὴ πρὸς τὸ πρὸ αὐτῆς φερομένη· ὄντι γὰρ ἐντυγχάνει· εἰς δὲ τὸ μετ' αὐτήν, εἰς τὸ μὴ ὄν· τοῦτο δὲ ποιεῖ, ὅταν πρὸς αὑτήν. Πρὸς αὑτὴν γὰρ βουλομένη τὸ μετ' αὐτὴν ποιεῖ εἴδωλον αὑτῆς, τὸ μὴ ὄν, οἷον κενεμβατοῦσα καὶ ἀοριστοτέρα γιγνομένη. Καὶ τούτου τὸ εἴδωλον τὸ ἀόριστον πάντῃ σκοτεινόν· ἄλογον γὰρ καὶ ἀνόητον πάντῃ, καὶ πολὺ τοῦ ὄντος ἀποστατοῦν. Εἰς δὲ τὸ μεταξύ ἐστιν ἐν τῷ οἰκείῳ, πάλιν δὲ ἰδοῦσα, οἷον δευτέρᾳ προσβολῇ, τὸ εἴδωλον ἐμόρφωσε, καὶ ἡσθεῖσα ἔρχεται εἰς αὐτό.

atque finis: sic profecto comparare se ipsum oportet, ut principia ipsi insita et fines sint et tota; atque omnia denique in ipsum naturæ optimum redigantur. Quando enim unusquisque hoc ipsum evasit, jam illic habitat: nempe hoc ipso sui optimo, quando ei se jam insinuavit, protinus attingit et illud. Universa quidem anima nusquam facta est, neque progressa: neque enim erat, quo progredi posset: sed proximum ei corpus effectum participavit eam: ideoque anima non est in corpore, neque id Plato usquam dixit: sed corpus in anima est advectum. Ceteræ vero animæ habent unde veniant: ab anima enim ipsa veniunt. Habent præterea, ad quod et descendant atque pertranseant: habent et unde regrediantur. Anima vero totius superiorem semper habitat regionem, ubi quidem esse ipsius animæ fert natura. Quod vero subest universum, ita subjecta propinquitate vivificatur, sicut perspicuum corpus soli subjectum illuminatur. Illustratur quidem particularis anima, cum ad superius confugit: enti enim ipsi illic occurrit: quando vero labitur ad inferius, in non ens delabitur: id vero agit, quando descendit in semet ipsam. Affectans enim se ipsam ex alto in se recipere, quod post ipsam sequitur, jam facit suum videlicet simulacrum, quod et non ens appellamus. Quasi enim delabitur per inane et indeterminata illic evadit: atque simulacri hujus simulacrum indefinitum est penitusque obscurum. Est enim rationalis omnis intellectualisque naturæ penitus expers, et ab ipso ente longissime distans. Interea vero quasi per media domesticam habitat sedem: at rursus inferiora prospiciens, quasi secundo quodam oculorum jactu simulacrum format, et hoc opificio delectata intrat in ipsum.

Quinque habet considerationes de deo, quomodo est super omnia et in omnibus; et de intellectu semper in actu, et quod deus est super intellectum.

Γ'. Πῶς οὖν ἐξ ἑνὸς πλῆθος; ὅτι πανταχοῦ. Οὐ γάρ ἐστιν ὅπου οὔ. Πάντα οὖν πληροῖ· πολλὰ οὖν, μᾶλλον δὲ πάντα ἤδη. Αὐτὸ μὲν γὰρ εἰ μόνον πανταχοῦ, αὐτὸ ἂν ἦν τὰ πάντα· ἐπεὶ δὲ καὶ οὐδαμοῦ, γίγνεται μὲν τὰ πάντα δι' αὐτόν, ὅτι πανταχοῦ ἐκεῖνος· ἕτερα δὲ αὐτοῦ, ὅτι αὐτὸς οὐδαμοῦ. Διὰ τί οὖν αὐτὸς οὐ μόνον πανταχοῦ, ἀλλ' αὖ πρὸς τούτῳ καὶ οὐδαμοῦ; ὅτι δεῖ πρὸ πάντων ἓν εἶναι. Πληροῦν οὖν δεῖ αὐτόν, καὶ ποιεῖν πάντα, οὐκ εἶναι τὰ πάντα ἃ ποιεῖ. Τὴν ψυχὴν αὐτὴν δεῖ ὥσπερ ὄψιν εἶναι, ὁρατὸν δὲ αὐτῇ τὸν νοῦν εἶναι, ἀόριστον, πρὶν ἰδεῖν, πεφυκυῖαν δὲ νοεῖν· ὕλην οὖν πρὸς νοῦν νοοῦντες, αὑτοὺς βλέπομεν δηλονότι νοοῦσαν φύσιν, ἢ ψευδοίμεθα ἂν τὸ νοεῖν. Εἰ οὖν νοοῦμεν, καὶ ἑαυτοὺς νοοῦμεν, νοερὰν οὖσαν φύσιν νοοῦμεν. Πρὸ ἄρα τῆς νοήσεως ταύτης ἄλλη ἐστὶ νόησις, οἷον ἥσυχος· καὶ οὐσίας δὴ ἡ νόησις καὶ ζωῆς νόησις, ὥστε πρὸ ταύτης τῆς ζωῆς καὶ οὐσίας ἄλλη οὐσία καὶ ζωή. Ταῦτα ἄρα εἶδεν ὅσα ἐνέργειαι. Εἰ δὲ νόες αἱ ἐνέργειαι αἱ κατὰ τὸ νοεῖν οὕτως ἑαυτούς, τὸ νοητὸν ἡμεῖς οἱ ὄντως. Ἡ δὲ νόησις ἡ αὐτῶν [l. ἑαυτῶν] τὴν εἰκόνα φέρει. Τὸ μὲν πρῶτον δύναμίς ἐστι κινήσεως καὶ στάσεως, ὥστε ἐπέκεινα τούτων· τὸ δὲ δεύτερον ἕστηκέ τε καὶ κινεῖται περὶ ἐκεῖνο· καὶ νοῦς δὲ περὶ τὸ δεύτερον· ἄλλο γὰρ ὂν πρὸς ἄλλο ἔχει τὴν νόησιν, τὸ δὲ νόησιν οὐκ ἔχει. Διπλοῦν δὲ τὸ νοοῦν, καὶ αὐτὸ νοεῖ, καὶ ἐλλειπές, ὅτι ἐν τῷ νοεῖν ἔχει τὸ εὖ, οὐκ ἐν τῇ ὑποστάσει· τὸ ἐνεργείᾳ παντὶ τῷ ἐκ δυνάμεως εἰς ἐνέργειαν, [ὃ] ἐστι ταὐτὸν ἀεί, ἕως ἂν ᾖ· ὥστε καὶ τὸ τέλειον καὶ τοῖς σώμασιν ὑπάρχει, οἷον τῷ πυρί· ἀλλ' οὐ δύναται ἀεὶ εἶναι, ὅτι μεθ' ὕλης· ὃ δ' ἂν ἀσύνθετον ὂν

III. Quo igitur modo ex uno multitudo progreditur? quoniam ipsum unum est ubique. Neque enim alicubi tantum est, neque, ubi non sit, locus est ullus. Implet igitur omnia. *Jam igitur multa: potius autem jam omnia* [speciesque omnes]. Si enim ipsum esset ubique tantum, ipsum esset omnia: at quoniam etiam nusquam est, fiunt quidem per ipsum omnia, quoniam est ubique: diversa vero ab ipso, quoniam est et nusquam. Curnam igitur ipsum non solum est ubique, sed præterea nusquam? nempe quia oportet super omnia unum esse. Quam ob rem necesse est ipsum implere et facere cuncta, neque tamen omnia hæc esse, quæ facit. Tum vero animam ipsam oportet quasi visum esse, huic autem visibile esse mentem: visum, inquam, indeterminatum antequam videat: natum vero ad [videndum atque] intelligendum, talemque esse, ut ad mentem materia sit. Quando intelligimus nos ipsos, inspicimus naturam intelligentem: alioquin circa intelligentiam mentiremur. Si ergo intelligimus, ipsique nos intelligimus, profecto naturam existentem intellectualem intelligimus. Quam ob rem ante hanc intelligentiam altera intelligentia est quasi quieta: nempe et essentiæ intellectio est, et intellectio vitæ: idcirco ante hanc altera quædam est essentia videlicet atque vita. Hæc itaque noverunt quotcumque sunt actus. Quod si intellectus ipsi sunt actus, sic in intelligendo se consistentes, ipsi veri nos intus intelligibilia possidemus. Intellectio vero nostram fert imaginem. Primum omnium principium potestas est motionis et status: ideoque super hæc existit. Quod vero secundum est, quiescit circa ipsum atque movetur. Ad secundum autem pertinet intellectus. Aliud namque existens, ad aliud intelligentiam dirigit: illud vero non habet intelligentiam. Quod enim est intelligens, duplex jam est, seque ipsum intelligit: ob idque etiam est egenum, quoniam non in substantia, sed in actu intelligendi proprium habet bonum. Cum eo, quod in actu est, congruit illud, quod ex potentia prodit in actum: quod quidem idem est semper, quamdiu est. Quapropter similiter est et perfectum: atque ejusmodi quiddam corporibus quoque convenit, velut igni, non potest tamen semper esse, quoniam cum materia est: quod autem actus est,

ἐνεργείᾳ ᾖ, ἀεὶ ἔστιν. Ἔστι δὲ τὸ αὐτὸ ἐνεργείᾳ ὂν δυνάμει κατ' ἄλλο εἶναι· ἀλλ' οὐ θεοὶ τὸ πρῶτον ἐπέκεινα ὄντες· ὁ δὲ νοῦς τὰ ὄντα, καὶ ἔστι κίνησις ἐνταῦθα καὶ στάσις. Περὶ οὐδὲν γὰρ αὐτὸ τὸ πρῶτον, τὰ δὲ ἄλλα περὶ αὐτὸ ἀναπαυόμενα ἕστηκε καὶ κινεῖται· ἡ γὰρ κίνησις ἔφεσις· τὸ δὲ οὐδενὸς ἐφίεται. Τίνος γὰρ τό γε ἀκρότατον; οὐ νοεῖ οὖν οὐδὲ ἑαυτό; ἢ ᾗ ἔχει ἑαυτὸ, καὶ νοεῖν ὅλως λέγεται· ἢ τῷ ἔχειν ἑαυτὸ οὐ νοεῖν λέγεται, ἀλλὰ τῷ πρὸς τὸ πρῶτον βλέπειν. Ἔστι δὲ πρώτη ἐνέργεια καὶ αὐτὴ ἡ νόησις. Εἰ οὖν αὕτη πρώτη, οὐδεμίαν δεῖ προτέραν. Τὸ οὖν παρέχον ταύτην ἐπέκεινα ταύτης· ὥστε δευτέρα ἡ νόησις μετ' ἐκεῖνο· οὐδὲ γὰρ τὸ πρώτως σεμνὸν ἡ νόησις· οὔκουν οὐδὲ πᾶσα, ἀλλ' ἡ τοῦ ἀγαθοῦ· ἐπέκεινα ἄρα νοήσεως τἀγαθόν. Ἀλλ' οὐ παρακολουθήσει αὐτῷ. Τί οὖν ἡ παρακολούθησις αὐτῷ, ἀγαθοῦ ὄντος ἢ οὔ; εἰ μὲν γὰρ ὄντος, ἤδη ἐστὶ πρὸ τῆς παρακολουθήσεως τἀγαθόν· εἰ δ' ἡ παρακολούθησις ποιεῖ, οὐκ ἂν εἴη πρὸ ταύτης τὸ ἀγαθόν· ὥστε οὐδ' αὐτὴ ἔσται, μὴ οὖσα ἀγαθοῦ. Τί οὖν, οὐδὲ ζῇ; ἢ ζῆν μὲν οὐ λεκτέον, εἴπερ ζωὴν δίδωσι· τὸ δὲ παρακολουθοῦν ἑαυτῷ, καὶ τὸ νοοῦν αὐτὸ, δεύτερον· παρακολουθεῖ γὰρ, ἵνα τῇ ἐνεργείᾳ ταύτῃ συνῇ αὐτῷ. Δεῖ οὖν, εἰ καταμανθάνει αὐτὸ, ἀκαταμάθητον τετυχηκέναι εἶναι αὐτοῦ, καὶ τῇ αὐτοῦ φύσει ἐλλειπὲς εἶναι, τῇ δὲ νοήσει τελειοῦσθαι. Τὸ ἄρα κατανοεῖν ἐξαιρετέον· ἡ γὰρ προσθήκη ἀφαίρεσιν καὶ ἔλλειψιν ποιεῖ.

neque est compositum, semper est. Potest autem, quod actu est, idem quoque secundum aliud quiddam in potentia esse: sed neque dii in sublimi [ad entia incumbentes], primum ipsum sunt: mens autem entia est, ubi est et motus et status. Jam vero ipsum primum circa aliquid aliud non versatur, sed cetera circa ipsum conquiescentia permanent et moventur. Motus enim appetitio est, illud autem nihil appetit. Quid enim appetat, quod est summum? An igitur neque se ipsum quidem intelligit? Forsan, qua ratione se ipsum habet, omnino etiam dicitur intelligere. Fortasse etiam potius, non ob id, quod se ipsum, quid habeat, dicitur intelligere, sed ob id, quod suspiciat primum. Est autem haec actio prima et ipsa intelligentia. Si igitur haec prima est, nullam oportet esse priorem. Quod igitur hanc praebet, super hanc exsistit: post illud igitur intelligentia sequitur. Non enim est ipsum primo venerandum intelligentia. Neque igitur intelligentia quaelibet veneranda, sed duntaxat intellectio boni: itaque super intelligentiam est ipsum bonum. An igitur nec etiam se ipsum animadvertet? Quid ergo? estne bonum, antequam se ipsum animadvertat? an nondum est bonum? Si enim bonum est, jam est ante animadversionem ipsum bonum: si autem animadversio facit bonum, non est ante hanc ipsum bonum: quapropter nec ipsa erit, cum non sit boni. Quid ergo? an neque etiam vivit? Fortasse non est dicendum vivere, si quidem ipsum praebet vitam. Quod autem se ipsum animadvertit atque intelligit, secundum obtinet gradum: animadvertit enim, ut tali quodam actu sibi ipsi cohaereat. Oportet igitur, si apprehendit se ipsum, contigisse quodammodo, ut se nequaquam apprehenderet, et ut suapte natura imperfectum sit, sed intelligendo perficiatur. Tollenda igitur ab ipso bono sui ipsius apprehensio: adjunctio namque omnis ablationem inducit atque defectum.

# ΕΝΝΕΑΔΟΣ Δ

## ΛΟΓΟΣ Α.

### ΠΕΡΙ ΟΥΣΙΑΣ ΨΥΧΗΣ.

# ENNEADIS QUARTÆ

## LIBER I.

### DE ESSENTIA ANIMÆ SUMMATIM.

(300,301.)

[665,666.]

Intellectus primus est essentia prima, a quo et in quo sunt semper intellectus alii. Item, quomodo anima sit individua simul atque divida.

'Εν τῷ κόσμῳ τῷ νοητῷ ἡ ἀληθινὴ οὐσία· νοῦς τὸ ἄριστον αὐτοῦ, ψυχαὶ δὲ κἀκεῖ· ἐκεῖθεν γὰρ καὶ ἐνταῦθα. Κἀκεῖνος ὁ κόσμος ψυχὰς ἄνευ σωμάτων ἔχει· οὗτος δὲ τὰς ἐν σώμασι γιγνομένας καὶ μερισθείσας τοῖς σώμασιν. 'Εκεῖ δὲ ὁμοῦ μὲν πᾶς νοῦς καὶ οὐ διακεκριμένος οὐδὲ μεμερισμένος· ὁμοῦ δὲ πᾶσαι ψυχαὶ ἐν ἑνὶ τῷ κόσμῳ, οὐκ ἐν διαστάσει τοπικῇ. Νοῦς μὲν οὖν ἀεὶ ἀδιάκριτος καὶ οὐ μεριστός· ψυχὴ δὲ ἐκεῖ ἀδιάκριτος, ἔχει δὲ φύσιν μερίζεσθαι. Καὶ γὰρ ὁ μερισμὸς αὐτῆς τὸ ἀποστῆναι καὶ ἐν σώμασι γενέσθαι· μεριστὴ οὖν εἰκότως περὶ τὰ σώματα λέγεται εἶναι, ὅτι οὕτως ἀφίσταται καὶ μεμέρισται. Πῶς οὖν καὶ ἀμέριστος; οὐ γὰρ ὅλη ἀπέστη, ἀλλ' ἔστι τι αὐτῆς οὐκ ἐληλυθός, ὃ οὐ πέφυκε μερίζεσθαι. Τὸ οὖν ἐκ τῆς ἀμερίστου καὶ τῆς περὶ τὰ σώματα μεριστῆς ταὐτὸν τῷ ἐκ τῆς ἄνω καὶ κάτω οὔσης, καὶ τῆς ἐκεῖθεν ἐξημμένης, ῥυείσης δὲ μέχρι τῶνδε, οἷον γραμμῆς ἐκ κέντρου. 'Ελθοῦσα δὲ ἐνθάδε τούτῳ τῷ μέρει ὁρᾷ, ὡς καὶ αὐτῷ τῷ μέρει σώζει τὴν φύσιν τοῦ ὅλου· οὐδὲ γὰρ ἐνταῦθα μόνον μεριστή, ἀλλὰ καὶ ἀμέριστος. Τὸ γὰρ μεριζόμενον αὐτῆς ἀμερίστως μερίζεται· εἰς ὅλον γὰρ τὸ σῶμα δοῦσα αὐτήν, καὶ μὴ μερισθεῖσα τῷ ὅλη εἰς ὅλον ἐν παντὶ εἶναι μεμέρισται.

In mundo intelligibili regnat essentia vera, cujus praestantissimum est intellectus: animae autem et illic adsunt; inde namque venerunt et hunc in mundum. Ille quidem mundus animas habet absque corporibus: hic autem jam corporibus insitas divisasque per corpora. Illic sane simul est intellectus omnis neque discretus neque divisus: simul et uno in mundo sunt animae, nec ex ullis locorum intervallis distantiam patiuntur. Intellectus igitur indiscretus indivisusque est semper, sed anima illic quidem indiscreta indivisaque vivit: habet vero naturam divisionis cujusdam capacem. Ejus namque partitio est illinc abesse atque distare corporibusque conjungi: quapropter non injuria esse dicitur circa corpora divisibilis. Ita enim abest et distat partitionemque nonnullam admittit: quodam modo igitur etiam impartibilis est. Non enim illinc tota discedit, sed etiam superest ipsius aliquid, quod ad inferiora non venit, cujus natura nullam subire potest partitionem. Quod igitur in Timaeo dicitur, animam essentia quadam individua et quadam circa corpora divisibili esse compositam, idem est, atque si diceretur, animam essentia quadam constare, partim quidem apud superos permanente, partim vero ad inferiora vergente, quae quidem simul et inde pendent, et se interim ad haec usque propaget, non aliter, quam si ex centro linea protendatur. Ad haec vero profecta hac insuper parte [evidenter] videt et eadem parte totius servat naturam: nam et hic non solum partibilis est, sed etiam impartibilis: siquidem, quod in ipsa divisum in partes dicitur, modo quodam indiviso est divisum. Per totum enim se corpus fundens, nec divisa quidem ex eo, quod tota est, dicitur esse divisa

# ENNEAΔΟΣ Δ

## ΛΟΓΟΣ Β.

### ΠΕΡΙ ΟΥΣΙΑΣ ΨΥΧΗΣ.

(301, 302.)

Α'. Τὴν τῆς ψυχῆς οὐσίαν, τίς ποτ' ἐστὶ, ζητοῦντες, σῶμα οὐδὲν αὐτὴν δείξαντες εἶναι, οὐδὲ ἐν ἀσωμάτοις αὖ ἁρμονίαν τό τε τῆς ἐντελεχείας οὔτε ἀληθὲς, οὕτως, ὡς λέγεται, οὔτε δηλωτικὸν ὂν τοῦ τί ἐστιν ἀφέντες, καὶ μὴν τῆς νοητῆς φύσεως εἰπόντες καὶ τῆς θείας μοίρας εἶναι, τάχα μὲν ἄν τι σαφὲς εἰρηκότες εἴημεν περὶ τῆς οὐσίας αὐτῆς. Ὅμως γε μὴν προσωτέρω χωρεῖν βέλτιον. Τότε μὲν οὖν διῃροῦμεν αἰσθητῇ καὶ νοητῇ φύσει διαστελλόμενοι, ἐν τῷ νοητῷ τὴν ψυχὴν τιθέμενοι. Νῦν δὲ κείσθω μὲν ἐν τῷ νοητῷ, κατ' ἄλλην δὲ ὁδὸν τὸ προσεχὲς τῆς φύσεως αὐτῆς μεταδιώκωμεν. Λέγομεν δὴ τὰ μὲν πρώτως εἶναι μεριστὰ, καὶ τῇ αὐτῶν φύσει σκεδαστά· ταῦτα δὲ εἶναι, ὧν οὐδὲν μέρος ταὐτόν ἐστιν, οὔτε ἄλλῳ μέρει, οὔτε τῷ ὅλῳ· τό τε μέρος αὐτῶν ἔλαττον εἶναι δεῖ τοῦ παντὸς καὶ ὅλου. Ταῦτα δέ ἐστι τὰ αἰσθητὰ μεγέθη καὶ οἱ ὄγκοι, ὧν ἕκαστον ἴδιον τόπον ἔχει, καὶ οὐχ οἷόν τε ἅμα ταὐτὸν ἐν πλείοσι τόποις εἶναι· ἡ δὲ ἐστὶν ἀντιτεταγμένη ταύτῃ οὐσία, οὐδαμῇ μερισμὸν δεχομένη, ἀμερής τε καὶ ἀμέριστος. Διάστημά τε οὐδὲν οὐδὲ δι' ἐπινοίας δεχομένη, οὐ τόπου δεομένη, οὐδ' ἔν τινι τῶν ὄντων γιγνομένη, οὔτε κατὰ μέρη, οὔτε κατὰ ὅλα, οἷον πᾶσιν ὁμοῦ τοῖς οὖσιν ἐποχουμένη· οὐχ ἵνα ἐν αὐτοῖς ἱδρυθῇ, ἀλλ' ὅτι μὴ δύναται τὰ ἄλλα ἄνευ αὐτῆς εἶναι μηδὲ θέλει, ἀεὶ κατὰ τὰ αὐτὰ ἔχουσα οὐσία, κοινὸν ἁπάντων τῶν ἐφεξῆς, οἷον κέντρον ἐν κύκλῳ, ἀφ' οὗ πᾶσαι αἱ πρὸς τὴν περιφέρειαν γραμμαὶ ἐξημμέναι οὐδὲν ἧττον ἐῶσιν αὐτὸ ἐφ' ἑαυτοῦ μένειν, ἔχουσαι παρ' αὐτοῦ τὴν γένεσιν καὶ τὸ εἶναι, καὶ μετέχουσι μὲν τοῦ σημείου, καὶ ἀρχὴ τὸ ἀμερὲς αὐταῖς· προῆλθόν γε μὴν ἐξαψάμεναι αὐτὰς ἐκεῖ. Τούτου δὴ τοῦ πρώτως ἀμερίστου ὄντος ἐν τοῖς νοητοῖς καὶ τοῖς οὖσιν ἀρχηγοῦ, καὶ αὖ ἐκείνου τοῦ ἐν αἰσθητοῖς μεριστοῦ πάντῃ, πρὸ μὲν τοῦ αἰσθητοῦ καὶ ἐγγύς τι τούτου καὶ ἐν τούτῳ ἄλλη ἐστὶ φύσις, μεριστὴ μὲν οὐ πρώτως ὥσπερ τὰ σώματα, μεριστή γε μὴν γιγνομένη ἐν τοῖς σώμασιν· ὥστε διαιρουμένων τῶν σωμάτων μερίζεσθαι μὲν καὶ τὸ ἐν αὐτοῖς εἶδος, ὅλον γε μὴν ἐν ἑκάστῳ εἶναι τῶν μερισθέντων, πολλὰ τὸ αὐτὸ γιγνόμενον, ὧν ἕκαστον πάντῃ ἄλλου ἀπέστη, ἅτε πάντῃ μεριστὸν γενόμενον, οἷα χρόαι καὶ ποιότητες πᾶσαι καὶ ἑκάστη μορφὴ, ἥτις δύναιτο ὅλη ἐν πολλοῖς ἅμα εἶναι διεστηκόσιν, οὐδὲν μέρος ἔχουσα πάσχον τὸ αὐτὸ τῷ ἄλλῳ πάσχειν. Διὸ δὴ μεριστὸν πάντῃ καὶ τοῦτο θε-

# ENNEADIS QUARTÆ

## LIBER II.

### DE ESSENTIA ANIMÆ.

[007—009.]

Necesse est animam esse mediam inter intellectum divinum et corporis qualitatem. Item, animam esse in qualibet corporis parte totam : rursum de gradibus universi.

1. Si quaerentes, quaenam animae essentia sit, ostenderimus, eam neque corpus esse, neque rursum in rebus incorporeis harmoniam; item, quod dicitur de entelechia, id est, actu quodam perfectioneque corporis, praetermiserimus, quasi (ut verba sonant) minime verum neque quid ipsa anima sit, declarans; praeterea, si affirmaverimus eam naturae intelligibilis esse sortisque divinae : forsan manifesti nonnihil de hujus essentia in medium adduxerimus : attamen operae pretium est ulterius progredi. Jam igitur per sensibilem et intelligibilem naturam facta est distributio, animaque ipsa in mundo intelligibili erat collocata : in praesentia vero posita quidem sit in eo mundo, sed alia quadam via hujus naturae proprium indagemus. Dicimus itaque alia quidem esse primo divisibilia et sua natura dissipationi subjecta : talia vero esse, quorum pars nulla idem est vel alteri parti vel toti, et in quibus pars necessario minor est omni atque toto. Talia utique sunt sensibiles magnitudines atque moles, quorum quodlibet proprium occupat locum, neque possibile est idem simul pluribus in locis existere. Alia vero quaedam est essentia vicissim huic opposita, nullo modo partitioni subjecta, partium expers, ideoque etiam impartibilis. Intervallum autem neque etiam per excogitationem accipiens, non indigens loco, rebus nullis inhaerens, vel secundum partes, vel secundum tota, utpote quae quasi cunctis simul incumbat rebus : non quidem ut sustineatur ab eis, sed quoniam cetera seorsum ab ipsa esse neque valeant neque velint, tum essentia ejusmodi semper eodem modo se habet. Commune omnium gradatim sequentium firmamentum, et quasi in circulo centrum, a quo omnes ad circumferentiam lineae ductae continue nihilo minus ipsum complecti in se ipso permittunt : habent quidem ab eo generationem atque esse, punctique ipsius participes sunt, quibus omnibus individuum est principium; procedunt tamen alio, inde interim non disjunctae. Cum itaque sit hoc primum indivisibile, et in ordine intelligibilium entiumque principale, ac rursus sit et illud in ordine sensibilium penitus divisibile, super sensibile quidem et prope ipsum atque in ipso alia quaedam natura est, partibilis quidem, sed non primo, sicut corpora, partibilis tamen in corporibus his effecta : adeo ut sectis corporibus secetur simul et species, quae illis inest, sit tamen quodammodo tota in qualibet partium divisarum. Species, inquam, eadem facta jam plura, quorum quodlibet omnino distat ab alio, quippe cum species facta sit penitus divisibilis, quales sunt colores et qualitates omnes, omnisque forma, quaecunque potest tota in multis simul esse distantibus, nullam habens partem idem aliquando patientem, quod patiatur et alia. Quam ob rem hoc insuper omnino dividuum videtur esse ponendum. Praeterea ultra

τέον· πρὸς δ' αὖ ἐκείνῃ τῇ ἀμερίστῳ πάντῃ φύσει ἄλλη ἐξῆς οὐσία ἀπ' ἐκείνης οὖσα, ἔχουσα μὲν τὸ ἀμέριστον ἀπ' ἐκείνης· προόδῳ δὲ τῇ ἀπ' αὐτῆς ἐπὶ τὴν ἑτέραν σπεύδουσα φύσιν, εἰς μέσον ἀμφοῖν κατέστη, τοῦ τε ἀμερίστου καὶ πρώτου, καὶ τοῦ περὶ τὰ σώματα μεριστοῦ, τοῦ ἐπὶ τοῖς σώμασιν· οὐχ ὅντινα τρόπον χρόα καὶ ποιότης πᾶσα πολλαχοῦ μέν ἐστιν ἡ αὐτὴ ἐν πολλοῖς σωμάτων ὄγκοις· ἀλλ' ἔστι τὸ ἐν ἑκάστῳ ἀφεστὼς τοῦ ἑτέρου πάντῃ, καθ' ὅσον καὶ ὁ ὄγκος τοῦ ὄγκου ἀπέστη. Κἂν καὶ τὸ μέγεθος δὲ ἓν ᾖ, ἀλλὰ τό γε ἐφ' ἑκάστῳ μέρει ταὐτὸν κοινωνίαν οὐδεμίαν εἰς ὁμοπάθειαν ἔχει, ὅτι τὸ ταὐτὸν τοῦτο ἕτερον, τὸ δ' ἕτερόν ἐστι. Πάθημα γὰρ τὸ ταὐτὸν, οὐκ οὐσία καὶ αὐτή, ἣν δὲ ἐπὶ ταύτῃ τῇ φύσει φαμὲν εἶναι τῇ ἀμερίστῳ προσχωροῦσαν οὐσίᾳ, οὐσία τέ ἐστι καὶ ἐγγίγνεται σώμασι, περὶ ἃ καὶ μερίζεσθαι αὐτῇ συμβαίνει, οὐ πρότερον τοῦτο πασχούσῃ, πρὶν σώμασιν ἑαυτὴν δοῦναι. Ἐν οἷς οὖν γίγνεται σώμασι, κἂν ἐν τῷ μεγίστῳ γίγνηται καὶ ἐπὶ πάντα διεστηκότι, δοῦσ' ἑαυτὴν τῷ ὅλῳ, οὐκ ἀφίσταται τοῦ εἶναι μία· οὐχ οὕτως ὡς τὸ σῶμα· ἐν γὰρ τῷ συνεχεῖ τὸ σῶμα ἓν, ἕκαστον δὲ τῶν μερῶν ἄλλο, τὸ δ' ἄλλο, καὶ ἀλλαχοῦ· οὐδ' ὡς ποιότης μία· ἡ δ' ὁμοῦ μεριστή τε καὶ ἀμέριστος φύσις, ἣν δὴ ψυχὴν εἶναι φαμὲν, οὐχ οὕτως ὡς τὸ συνεχὲς μία, μέρος ἄλλο τὸ δ' ἄλλο ἔχουσα, ἀλλὰ μεριστὴ μὲν, ὅτι ἐν πᾶσι μέρεσι τοῦ ἐν ᾧ ἐστιν· ἀμέριστος δὲ, ὅτι ὅλη ἐν πᾶσι, καὶ ἐν ὁτῳοῦν αὐτοῦ ὅλη. Καὶ ὁ τοῦτο κατιδὼν, τὸ μέγεθος τῆς ψυχῆς καὶ τὴν δύναμιν αὐτῆς κατιδὼν, εἴσεται, ὡς θεῖον τὸ χρῆμα αὐτῆς καὶ θαυμαστὸν, καὶ τῶν ὑπὲρ τὰ χρήματα φύσεων, μέγεθος οὐκ ἔχουσα, παντὶ μεγέθει σύνεστι, καὶ ὡδὶ οὖσα, ὡδὶ πάλιν οὐκ ἔστιν, οὐκ ἄλλῳ, ἀλλὰ τῷ αὐτῷ, ὥστε μεμερίσθαι, καὶ μὴ μεμερίσθαι αὖ· μᾶλλον δὲ μὴ μεμερίσθαι αὐτὴν, μηδὲ μεμερισμένην γεγονέναι. Μένει γὰρ μεθ' ἑαυτῆς ὅλη, περὶ δὲ τὰ σώματά ἐστι μεμερισμένη, τῶν σωμάτων τῷ οἰκείῳ μεριστῷ οὐ δυναμένων αὐτὴν ἀμερίστως δέξασθαι· ὥστε εἶναι τῶν σωμάτων πάθημα τὸν μερισμὸν, οὐκ αὐτῆς.

naturam illam prorsus indivisibilem alia est essentia proxima inde nascens, habens quidem individuum munus ab illa, sed progressione quadam inde facta ad naturam alteram properans, media evasit amborum, naturae scilicet impartibilis atque primae, rursusque partibilis circa corpora et corporibus inhaerentis. Neque omnino ita se habet, ut color et qualitas omnis, quae quidem multa simul implet, quodammodo exsistens eadem in molibus corporum multis: at tamen qualitas quae in parte alia est, omnino distat a qualitate quae jacet in alia, quatenus et moles ibi distat a mole. Et quamvis magnitudo sit una, tamen, quod in singulis partibus dicitur idem, nullam prorsus habet ad compatiendum communionem: quoniam hoc ipsum idem alterum est et alterum. Passio enim quaedam est hoc ipsum idem, non tamen et ipsa eademque essentia. Quam vero in hac natura dicimus esse penes impartibilem essentiam, ad eamque accedentem, et essentia est, et corporibus jungitur, circa quae dividi hanc quoque contingit: neque tamen id ante patitur, quam corporibus se ipsam tradat. Quando igitur corporibus adest, quamvis adsit maximo passimque distanti; tamen toti se ipsam accommodans una interim esse non desinit. Neque ita unum est, ut corpus est unum: corpus enim continuatione quadam unum est, partes vero aliud inter se sunt et aliud, et alibi disponuntur. neque rursus sic una est, ceu qualitas una. Profecto natura haec partibilis simul atque impartibilis, quam esse dicimus animam, non sic una est quasi quoddam continuum, aliam partem aliamque habens, sed partibilis quidem est, quoniam partibus omnibus ejus, in quo est, se ipsam communicat: impartibilis autem, quoniam tota est in omnibus et in qualibet portione ipsius est tota. Quicunque vero hoc planius inspicit, magnitudinemque et potestatem animae rite considerat, intelliget, quam divinus quamve mirandus animae sit thesaurus atque naturarum super ceteros thesauros exsistentium: quippe cum magnitudine vacans universae magnitudini adsit, et alicubi exsistens ibi iterum non exsistat, non alio quodam, sed prorsus eodem: adeo ut et divisa sit in partes, et iterum non divisa: potius autem ipsa neque divisa sit neque divisa fiat. Manet enim secum ipsa tota, sed circa corpora dicitur esse divisa: quippe cum corpora nequeant divisibilitate propria indivisibiliter eam accipere: quo efficitur, ut partitio non animae quidem passio sit, sed corporum.

Confirmantur superiora. Item, quomodo fiat sensus et passio et judicium.

Β'. Ὅτι δὲ τοιαύτην ἔδει τὴν ψυχῆς φύσιν εἶναι, καὶ τὸ παρὰ ταύτην οὐχ οἷόν τε εἶναι ψυχὴν, οὔτε ἀμέριστον οὖσαν μόνον, οὔτε μόνον μεριστὴν, ἀλλ' ἀνάγκη ἄμφω τοῦτον τὸν τρόπον εἶναι, ἐκ τῶνδε δῆλον. Εἴτε γὰρ οὕτως ἦν, ὡς τὰ σώματα, ἄλλο, τὸ δὲ ἄλλο ἔχουσα μέρος, οὐκ ἂν τοῦ ἑτέρου παθόντος τὸ ἕτερον μέρος εἰς αἴσθησιν ἦλθε τοῦ παθόντος· ἀλλ' ἐκείνη ἂν ἡ ψυχή, οἷον ἡ περὶ τὸν δάκτυλον ὡς ἑτέρα καὶ ἐφ' ἑαυτῆς οὖσα, ᾔσθετο τοῦ παθήματος· πολλαί τε ὅλως ἦσαν ψυχαὶ αἱ διοικοῦσαι ἕκαστον ἡμῶν· καὶ δὴ καὶ τὸ πᾶν τόδε οὐ μία, ἀλλὰ ἄπειροι χωρὶς ἀλλήλων. Τὸ γὰρ τῆς συνεχείας, εἰ μὴ εἰς ἓν συντελοίη, μάταιον· οὐ γὰρ δὴ, ὅπερ ἀπατῶντες ἑαυτοὺς λέγουσιν, ὡς διαδόσει ἐπὶ τὸ ἡγεμονοῦν ἴασιν αἱ αἰσθήσεις, παραδεκτέον. Πρῶτον μὲν γὰρ ἡγεμονοῦν ψυχῆς μέρος λέ-

II. Quod autem oporteat talem esse naturam animae, quodve praeter hanc nequeat esse anima, sed necessarium sit, animam neque impartibilem tantum, neque partibilem duntaxat exsistere, imo oporteat ambo hunc in modum esse, per haec nobis esse poterit manifestum. Principio si talis esset, qualia corpora, aliam partem aliamque habens, profecto parte altera patiente pars altera in sensum patientis minime perveniret: sed illa quidem anima, velut quae est in digito quasi altera et in se ipsa exsistens, passionem id sentiret. Multae quoque forent animae nostrum quemlibet gubernantes. Quin etiam hoc universum non una quaedam anima, sed diversae potius inter se et innumerabiles animae regerent. Quod enim de continuitate aliquis afferat, nisi prorsus conducat redigaturque ad unum, vanum esse videtur. Non enim admittendum est, quod plerique se ipsos decipientes aiunt, sensus videlicet ipsos pervenire ad ipsam animae principale, gradatim continuata quadam successione. Primo quidem dicere partem animae

γειν ἀνεξετάστως λέγεται. Πῶς γὰρ καὶ μεριοῦσι, καὶ τὸ μὲν ἄλλο τὸ δ' ἄλλο φήσουσι; τὸ δὲ ἡγεμονοῦν πηλίκῳ ποσῷ διαιροῦντες ἑκάτερον ἢ τίνι διαφορᾷ ποιότητος, ἑνὸς καὶ συνεχοῦς ὄγκου ὄντος; καὶ πότερα μόνον τὸ ἡγεμονοῦν, ἢ καὶ τὰ ἄλλα μέρη αἰσθήσεται; καὶ εἰ μὲν μόνον, εἰ μὲν αὐτῷ προσπέσοι τῷ ἡγεμονοῦντι, ἔν τινι τόπῳ ἱδρυμένῳ τὸ αἴσθημα, αἰσθήσεται· εἰ δὲ ἄλλῳ μέρει τῆς ψυχῆς αἰσθάνεσθαι οὐ πεφυκότι, τόδε τὸ μέρος οὐ διαδώσει τῷ ἡγεμονοῦντι τὸ αὐτὸ πάθημα, οὐδ' ὅλως αἴσθησις ἔσται· καὶ αὐτῷ δὲ τῷ ἡγεμονοῦντι εἰ προσπέσοι, ἢ μέρει αὐτοῦ προσπεσεῖται, καὶ αἰσθομένου τοῦδε τὰ λοιπὰ οὐκέτι· μάταιον γάρ, ἢ πολλαὶ αἰσθήσεις καὶ ἄπειροι ἔσονται, καὶ οὐχ ὅμοιαι πᾶσαι· ἀλλ' ἡ μέν, ὅτι πρώτως ἔπαθον ἐγώ, ἡ δ', ὅτι τὸ ἄλλης πάθημα, ᾐσθόμην· ποῦ τε ἐγένετο τὸ πάθημα ἀγνοήσει ἑκάστη, παρὲκ τῆς πρώτης· ἢ καὶ ἕκαστον μέρος ψυχῆς ἀπατήσεται, δοξάζον, ὅπου ἐστίν, ἐκεῖ γεγονέναι. Εἰ δὲ μὴ μόνον τὸ ἡγεμονοῦν, ἀλλὰ καὶ ὁτιοῦν μέρος αἰσθήσεται, διὰ τί τὸ μὲν ἡγεμονοῦν ἔσται, τὸ δὲ οὔ; ἢ τί δεῖ ἐπ' ἐκεῖνο τὴν αἴσθησιν ἀνιέναι; πῶς δὲ καὶ τὰ ἐκ πολλῶν αἰσθήσεων, οἷον ὤτων καὶ ὀμμάτων, ἕν τι γνώσεται; εἰ δ' αὖ πάντῃ ἓν ἡ ψυχὴ εἴη, οἷον ἀμέριστον πάντῃ καὶ ἐφ' ἑαυτοῦ ἕν, καὶ πάντῃ πλήθους καὶ μερισμοῦ ἐκφύγοι φύσιν, οὐδὲν ὅλον ὅ τι ἂν ψυχὴ καταλάβῃ, ἐψυχωμένον ἔσται· ἀλλ', οἷον περὶ κέντρον στήσασα ἑαυτὴν ἑκάστου, ἄψυχον ἂν εἴασε πάντα τὸν τοῦ ζῴου ὄγκον. Δεῖ ἄρα οὕτως ἕν τε καὶ πολλὰ καὶ μεμερισμένον καὶ ἀμέριστον ψυχὴν εἶναι, καὶ μὴ ἀπιστεῖν ὡς ἀδύνατον τὸ αὐτὸ καὶ ἓν πολλαχοῦ εἶναι. Εἰ γὰρ τοῦτο μὴ παραδεχοίμεθα, ἡ τὰ πάντα συνέχουσα καὶ διοικοῦσα φύσις οὐκ ἔσται, ἥτις ὁμοῦ τε πάντα περιλαβοῦσα ἔχει, καὶ μετὰ φρονήσεως ἄγει· πλῆθος μὲν οὖσα, ἐπεὶ πολλὰ τὰ ὄντα· μία δέ, ἵνα ᾖ ἓν τὸ συνέχον· τῷ μὲν πολλῷ αὐτῆς ἑνὶ ζωὴν χορηγοῦσα τοῖς μέρεσι πᾶσι· τῷ δὲ ἀμερίστῳ ἑνὶ φρονίμως ἄγουσα. Ἐν οἷς δὲ μὴ φρόνησις, τὸ ἓν τὸ ἡγούμενον μιμεῖται τοῦτο. Τοῦτο ἄρα ἐστὶ τὸ θείως ᾐνιγμένον, τῆς ἀμερίστου καὶ ἀεὶ κατὰ ταὐτὰ ἐχούσης οὐσίας καὶ τῆς αὖ περὶ τὰ σώματα γιγνομένης μεριστῆς τρίτον ἐξ ἀμφοῖν συνεκεράσατο οὐσίας εἶδος. Ἔστιν οὖν ψυχὴ ἓν καὶ πολλὰ οὕτως· τὰ δὲ ἐν τοῖς σώμασιν εἴδη πολλὰ καὶ ἕν· τὰ δὲ σώματα πολλὰ μόνον· τὸ δὲ ὑπέρτατον ἓν μόνον.

principalem inconsiderate proponunt: nam quo pacto dividunt, et hoc quidem aliud, illud vero aliud affirmabunt, et principale aliud potissimum designabunt? Qua enim quantitatis norma utrumque discernent, quave differentia denotabunt, ubi et qualitas una est, et continua moles? Praeterea utrum principale solum, an et partes aliae sentient? Quod si solum dicant, ita demum sentiet, si sensibilis passio occurrerit principali propria in sede locato: sin autem in aliam inciderit animae partem sensus expertem, pars ejusmodi non traducet passionem eandem ad principale, nec omnino sensus efficietur. Tum vero, si passio accedat ad principale, vel in partem ejus incidet, ideoque hac sentiente reliquae nequaquam sentient: alioquin fuerit supervacuum, aut certe multae innumerabilesque sensuum perceptiones erunt atque dissimiles. Alicubi enim quasi dicetur, equidem primo patior: alibi vero, ego nunc sensi alterius passionem, et, ubi potissimum illata sit passio, sensus quilibet ignorabit, praeter primum: vel forsan pars animae omnis aeque falletur, putans, ubi ipsa est, ibidem et passionem esse factam. Quodsi non principalis solum pars, verum etiam omnis alia sentit, cur nam haec quidem principalis sit, haec vero nequaquam? curve oporteat ad illam pervenire sensum? Et quomodo, quae ex multis confluunt sensibus, velut auribus atque oculis, unum quiddam cognoscere poterunt? Sin autem anima unum prorsus extiterit, tanquam impartibile prorsus et unum in se ipso consistens, et omnino multitudinis partitionisque naturam effugerit, certe corpus nullum apprehensum ab anima animabitur totum: sed anima, quasi circa centrum cujuslibet se stabiliens, residuam prorsus molem relinquet inanimatam. Oportet igitur sic unum et multa et partibile simul atque impartibile esse animam: neque diffidere, quasi impossibile sit, unum idemque simul multis adesse. Nisi enim hoc admiserimus, natura omnia continens et gubernans nusquam erit, quae quidem simul complectitur omnia et sapientia ducit. Multitudo quidem existens, quandoquidem et entia multa: una quinetiam existens, ut unum sit, quod continet: profecto per unum ejus multiplex vitam partibus suppeditat omnibus, per unum vero ejusdem impartibile ducit etiam sapienter. Quibus vero non inest sapientia, unum ibi illic principale hoc imitatur. Hoc igitur est, quod divine, licet obscure, dicitur a Platone hunc in modum: Mundi artifex ex essentia impartibili eodemque se modo semper habente, ex essentia, quae circa corpora fit partibilis, tertiam quandam ambabus commiscuit essentiae speciem. Est igitur anima unum hunc in modum atque multa; species autem, quae sunt in corporibus, multa simul et unum; corpora vero multa solum: denique, quod supernum est, duntaxat est unum.

## (Eusebii Præpar. Evang. Lib. XV, cap. 10.)

Ex secundo Plotini de Animorum immortalitate libro, adversus Aristotelem, qui Animam Entelechiam esse defendit.

Τὸ δὲ τῆς Ἐντελεχείας ὧδ' ἄν τις ἐπισκέψαιτο, πῶς περὶ ψυχῆς λέγεται. Τὴν ψυχήν φασιν ἐν τῷ συνθέτῳ εἴδους τάξιν ὡς πρὸς ὕλην τὸ σῶμα ἔμψυχον ἔχειν, σώματος δὲ οὐ παντὸς εἶδος, οὐδὲ ᾗ σῶμα, ἀλλὰ φυσικοῦ ὀργανικοῦ, δυνάμει ζωὴν ἔχοντος. Εἰ μὲν οὖν, ᾗ παραβέβληται, ὡμοίωται, ὡς μορφὴ ἀνδριάντος πρὸς χαλ-

Entelechia (inquit) de Anima quemadmodum usurpetur, sic habeto. Animam aiunt cum animato corpore vel cum materia comparatam in composito formae rationem habere. Corpus autem accipiunt non quodlibet, aut quatenus corpus ipsum est, sed naturale, organicum, et vitam potentia habens. Si ejus ergo similis est, quorum ipsa confertur, eoque se modo habet, quo statuae forma cum aere comparata: sequitur omnino, ubi corpus divi-

κόν, καὶ διαιρουμένου τοῦ σώματος συμμερίζεσθαι, καὶ ἀποκοπτομένου τινὸς μέρους, μετὰ τοῦ ἀποκοπέντος ψυχῆς μόριον εἶναι, τήν τε ἐν τοῖς ὕπνοις ἀναχώρησιν μὴ γίνεσθαι, εἴπερ δεῖ προσφυᾶ τὴν ἐντελέχειαν, οὗ ἐστιν, εἶναι, τὸ δ' ἀληθὲς μηδὲ ὕπνον γίνεσθαι· καὶ μὴν ἐντελεχείας οὔσης, οὐδὲ ἐναντίωσιν λόγου πρὸς ἐπιθυμίας· ἓν δὲ καὶ ταὐτὸν δι' ὅλου πεπονθέναι τὸ πᾶν οὐ διαφωνοῦν ἑαυτῷ· αἰσθήσεις δὲ μόνον δυνατὸν ἴσως γίνεσθαι, τὰς δὲ νοήσεις ἀδύνατον. Διὸ καὶ αὐτοὶ ἄλλην ψυχήν, τὸν νοῦν, εἰσάγουσιν, ὃν ἀθάνατον τίθενται. Τὴν οὖν λογιζομένην ψυχὴν ἄλλως ἐντελέχειαν, ἢ τοῦτον τὸν τρόπον, ἀνάγκη εἶναι, εἰ δεῖ τῷ ὀνόματι τούτῳ χρῆσθαι. Οὐδ' ἡ αἰσθητική, εἴπερ καὶ αὕτη τῶν αἰσθητῶν ἀπόντων τοὺς τύπους ἔχει, αὐτοὺς οὐ μετὰ τοῦ σώματος ἄρα ἕξει· εἰ δὲ μή, οὕτως ἐνέσονται ὡς μορφαὶ καὶ εἰκόνες· ἀλλ' ἀδύνατον ἄλλως δέχεσθαι, εἰ οὕτως ἐνεῖεν· οὐκ ἄρα οὖσ' ἀχώριστος ἐντελέχεια. Καὶ μὴν οὐδὲ τὸ ἐπιθυμοῦν μὴ σιτίων μηδὲ ποτῶν, ἀλλ' ἄλλων παρὰ τὰ τοῦ σώματος, οὐδὲ αὐτὸ ἀχώριστος ἐντελέχεια. Λοιπὸν δὲ τὸ φυτικὸν ἂν εἴη, ὃ ἀμφισβήτησιν ἂν δόξειεν ἔχειν, μήποτε τοῦτον τὸν τρόπον ἐντελέχεια ἀχώριστος ᾖ. Ἀλλ' οὐδὲ τοῦτο φαίνεται οὕτως ἔχον· εἰ γὰρ ἡ ἀρχὴ παντὸς φυτοῦ περὶ τὴν ῥίζαν, καὶ αὐξανομένου τοῦ ἄλλου σώματος περὶ τὴν ῥίζαν, καὶ κάτω ἐν πολλοῖς τῶν φυτῶν, ἡ ψυχὴ δηλονότι ἀπολιποῦσα τὰ ἄλλα μέρη εἰς ἕν τι συνεστάλη· οὐκ ἄρα ἦν ἐν τῷ ὅλῳ ὡς ἀχώριστος ἐντελέχεια· καὶ γὰρ αὖ ἐστι, πρὶν αὐξηθῆναι τὸ φυτόν, ἐν τῷ ὀλίγῳ ὄγκῳ. Εἰ οὖν καὶ εἰς ὀλίγον ἔρχεται ἐκ μείζονος φυτοῦ, καὶ ἐξ ὀλίγου ἐπὶ πᾶν, τί κωλύει καὶ ὅλως χωρίζεσθαι; Πῶς δ' ἂν καὶ ἀμερὴς οὖσα μεριστοῦ τοῦ σώματος ἐντελέχεια γένοιτο μεριστή; ἥ τε αὐτὴ ψυχὴ ἐξ ἄλλου ζῴου ἄλλο γίνεται· πῶς οὖν ἡ τοῦ προτέρου τοῦ ἐφεξῆς ἂν γένοιτο, εἰ ἦν ἐντελέχεια ἑνός; φαίνεται δὲ τοῦτο ἐκ τῶν μεταβαλλόντων ζῴων εἰς ἄλλα ζῷα. Οὐκ ἄρα τῷ εἶδος εἶναί τινος τὸ εἶναι ἔχει· ἀλλ' ἔστιν οὐσία οὐ παρὰ τὸ ἐν σώματι ἱδρῦσθαι τὸ εἶναι λαμβάνουσα, ἀλλ' οὖσα πρὶν καὶ τοῦδε γενέσθαι, οἷον ζῴου, οὐ τὸ σῶμα τὴν ψυχὴν γεννήσει. Τίς οὖν οὐσία αὐτῆς; εἰ δὲ μήτε σῶμα μήτε πάθος σώματος, πρᾶξις δὲ καὶ ποίησις, καὶ πολλὰ καὶ ἐν αὐτῇ καὶ ἐξ αὐτῆς, οὐσία παρὰ τὰ σώματα οὖσα ποία τίς ἐστιν; ἢ δῆλον ὅτι ἥν φαμεν ὄντως οὐσίαν εἶναι; τὸ μὲν γὰρ γένεσις, ἀλλ' οὐκ οὐσία, πᾶν τὸ σωματικὸν εἶναι λέγοιτ' ἄν, γινόμενον καὶ ἀπολλύμενον, ὄντως δὲ οὐδέποτε ὄν, μεταλήψει δὲ τοῦ ὄντος σωζόμενον, καθόσον ἂν αὐτοῦ μεταλαμβάνοι.

ditur, animi similiter divisionem fieri, ac resecta parte corporis, cum ea pariter animi partem esse aliquam; adeoque nec in somnis secessionem ipsius ullam contingere, cum entelechiam illam cum eo, cujus propria est, ab ortu complexam esse oporteat, imo vero somnum re ipsa nullum exsistere concluditur. Deinde, si entelechiae ratio probabitur, nulla jam rationis cum cupiditatibus luctatio relinquetur: sed uno prorsus eodemque sensu totum ipsum afficietur, ne a semet ipso dissideat. Praeterea sensus fortasse tantum, non item intelligentiae functiones obiri poterunt. Quocirca alium insuper animum, hoc est mentem, introducunt, quam immortalem esse affirmant. Alius ergo modus, quam qui ab istis explicatur, necessario afferendus erit, quo animus ratiocinandi facultate praeditus entelechia dicatur, si hoc vocabulum retineri placet. Quin etiam anima illa, quae sentiendi principium est, quaeque rerum sensibus perceptarum easdem, licet absentium, formas conservat, ipsa quoque eas sine corpore conservare non poterit. Hoc autem si dabitur, eae proinde figurarum imaginumque more in anima residebunt: atqui si hoc inessent modo, non aliter ullo recipi ab ea possent. Ut ergo sit entelechia, non ejusmodi tamen est, quae separari non possit. Ex quo etiam efficitur, ut vel ipsa, non jam esculentorum ac poculentorum, sed eorum etiam, quae sunt extra corpus, appetentia, id genus entelechia esse non possit. Ea superest anima, quae crescendi vim tribuit, qua de fortassis jure dubitetur, num haec ipsi entelechiae ratio convenire possit. Verum ne illi quidem. Nam si plantae omnis principium in radice versatur, parteque duntaxat inferiori, quae a radice propius abest, ut multis in plantis evenire solet, crescente, anima rejectis ceteris unam in aliquam sese collegit; talis ergo tota in planta non erat, qualis entelechia, quae separari non possit. Adde, hanc animam in planta, priusquam augeatur, mole jam tum perexigua contineri. Si ergo et majori ex planta in angustum aliquid contrahitur, et angustiori ex spatio totum in corpus diffunditur, quid vetat, quominus eadem omnino separetur? Jam quomodo tandem, quae partibus caret corporis ejus, quod divisionem subire potest, eidem obnoxia divisioni entelechia esse queat? Atque eadem anima aliud fit animal ex alio. Quomodo igitur, quae prioris fuerat, alterius anima esse potest, si unius entelechia est? Hoc autem ex iis animantibus, quarum in alias mutatio fit, manifesto convincitur. Essentiam igitur in eo positam anima non habet, quod alicujus forma sit: sed ipsamet substantia est, quae non ex eo, quod in corpore erat, esse sumpsit, sed quod jam tum erat, priusquam certi hujus anima fieret, velut animalis. Neque vero corpus animam generabit. Quaenam igitur illius essentia est? Nam si neque corpus est, neque corporis affectio, et tamen functiones, actiones multaque id genus et insunt in ea et ab ea proficiscuntur, cum illa proinde extra corpora ordinem substantia quaedam sit, cujusmodi tandem est? An vero patet esse animam vere substantiam, quam dicimus? Generatio quippe, non substantia, corporeum omne vocari debet, cum generetur intereatque modo, nec vero sit unquam, sed ejus, quod est, nonnulla communione servetur, quatenus particeps ejus est.

# ΕΝΝΕΑΔΟΣ Δ

## ΛΟΓΟΣ Γ.

### ΠΕΡΙ ΨΥΧΗΣ ΑΠΟΡΙΩΝ ΠΡΩΤΟΝ.

# ENNEADIS QUARTÆ

## LIBER III.

### DE DUBIIS ANIMÆ PRIMUS.

(371, 372.) [667—669.]

Quam necessaria sit consideratio de anima, et quomodo aliqui suspicentur, nos vivere duntaxat ex vita mundi.

Α'. Περὶ ψυχῆς ὅσα ἀπορήσαντας δεῖ εἰς εὐπορίαν καταστῆναι, ἢ καὶ ἐν αὐταῖς ταῖς ἀπορίαις στάντας τοῦτο γοῦν κέρδος ἔχειν, εἰδέναι τὸ ἐν τούτοις ἄπορον, ὀρθῶς ἂν ἔχοι τὴν πραγματείαν ποιήσασθαι. Περὶ τίνος γὰρ ἄν τις μᾶλλον τὸ πολὺ λέγων καὶ σκοπούμενος εὐλόγως ἂν διατρίβοι, ἢ περὶ ταύτης; διά τε πολλὰ καὶ ἄλλα, καὶ ὅτι ἐπ' ἄμφω τὴν γνῶσιν δίδωσιν, ὧν τε ἀρχή ἐστι, καὶ ἀφ' ὧν ἐστι. Πειθοίμεθα δὲ ἂν καὶ τῷ τοῦ θεοῦ παρακελεύσματι, αὐτοὺς γιγνώσκειν παρακελευομένῳ, περὶ τούτου τὴν ἐξέτασιν ποιούμενοι. Ζητεῖν τε τὰ ἄλλα καὶ εὑρεῖν βουλόμενοι δικαίως ἄν, τὸ ζητοῦν τί ποτ' ἐστὶ τοῦτο, ζητοῖμεν, τό τε ἐραστὸν ποθοῦντες λαβεῖν θεαμάτων. Ἦν γὰρ καὶ ἐν τῷ παντὶ νῷ τὸ διττόν· ὥστε εὐλόγως ἐν τοῖς κατὰ μέρος τὸ μὲν οὕτως μᾶλλον, τὸ δὲ οὕτω. Τὰς δὲ ὑποδοχὰς τῶν θεῶν ὅπως, σκεπτέον· ἀλλὰ τοῦτο μέν, ὅταν, πῶς ἐν σώματι ψυχὴ γίγνεται, ζητῶμεν. Νῦν δὲ πάλιν ἐπανίωμεν ἐπὶ τοὺς λέγοντας ἐκ τῆς τοῦ παντὸς ψυχῆς καὶ τὰς ἡμετέρας εἶναι· οὐδὲ γὰρ ἴσως ἱκανὸν φήσουσιν εἶναι τὸ φθάνειν μέχρι τῶν αὐτῶν καὶ τὰς ἡμετέρας, μέχρις ὧν καὶ ἡ τοῦ παντὸς ψυχὴ ἔρχεται· μηδὲ τὸ ὁμοίως νοερόν, καὶ εἰ συγχωροῖεν τὸ ὁμοίως, τοῦ μὴ μόρια αὐτῆς εἶναι· εἶναι γὰρ ὁμοειδῆ καὶ τὰ μέρη τοῖς ὅλοις. Παραθήσονται δὲ καὶ Πλάτωνα τοῦτο δοξάζοντα, ὅταν πιστούμενος τὸ πᾶν ἔμψυχον εἶναι λέγῃ· ὡς σῶμα μέρος ὂν τοῦ παντὸς τὸ ἡμέτερον, οὕτω καὶ ψυχὴν τὴν ἡμετέραν μέρος τῆς τοῦ παντὸς ψυχῆς εἶναι. Καὶ τὸ συνέπεσθαι δὲ ἡμᾶς τῇ τοῦ παντὸς περιφορᾷ, καὶ λεγόμενον καὶ δεικνύμενον ἐναργῶς εἶναι, καὶ τὰ ἤθη καὶ τὰς τύχας ἐκεῖθεν λαμβάνοντας, εἴσω τε γενομένους ἐν αὐτῷ ἐκ τοῦ περιέχοντος ἡμᾶς τὴν ψυχὴν λαμβάνειν. Καὶ ὥσπερ ἐπὶ ἡμῶν μέρος ἕκαστον ἡμῶν παρὰ τῆς ἡμετέρας ψυχῆς λαμβάνει τι, οὕτω καὶ ἡμᾶς ἀνὰ τὸν αὐτὸν λόγον μέρη πρὸς τὸ ὅλον ὄντας παρὰ τῆς ὅλης ψυχῆς μεταλαμβάνειν ὡς μέρη, καὶ τό, ψυχὴ δὲ πᾶσα παντὸς ἐπιμελεῖται τοῦ ἀψύχου, τὸ αὐτὸ τοῦτο σημαίνειν, καὶ οὐκ ἄλλο τι ἔξωθεν ψυχῆς καταλείποντος μετὰ τὴν τοῦ ὅλου. Αὕτη γὰρ ἡ τὸ πᾶν ἄψυχον ἐν ἐπιμελείᾳ τιθεμένη.

I. Operæ pretium est considerare, utrum omnes de anima dubitationes solvendæ sint, an potius in dubitationibus ipsis lucrum nobis sit collocandum. Nulla profecto res est, de qua diligentius et diutius investigare tractareque, quam de anima, debeamus : cum ob alia multa, tum etiam quia ad utraque cognoscenda conducit, scilicet tam ad ea, quorum est ipsa principium, quam ad illa, ex quibus efficitur. Sic ergo parebimus deo præcipienti : Cognosce te ipsum. Præterea, cum cetera omnia perscrutari invenireque studeamus, merito quidnam sit hic in nobis investigator, in primis investigabimus : præsertim cum id ipsum, quod in ipsis contemplationis spectaculis amabile jucundumque est, consequi exoptemus. Est enim et in universo intellectu ipsum geminum : quapropter rationabiliter in particularibus intellectibus hoc quidem ita magis, illud vero aliter se potius habet. Considerandum insuper erit, quomodo deorum susceptacula fiant : verum id quidem opportunius indagabimus, postquam, quo pacto anima sit in corpore, quæsiverimus. Nunc vero iterum ad illos regrediamur, qui aiunt, nostras quoque animas ex ipsa universi anima esse. Fortasse enim nobis objicient, non esse sufficiens argumentum, quominus nostræ sint partes illius, quod dicitur animas nostras eo usque procedere, quo usque anima mundi se fundit, quodve fruditur intellectuales dotes habere persimiles, etiamsi id illi concesserint : esse namque dicent partes toti plerumque conformes. Afferent præterea Platonem ipsum in medium, quasi id opinantem, ubi probans animatum esse mundum, inquit : Quemadmodum corpus nostrum pars est corporis universi, sic et animam nostram esse totius animæ partem. Item quod dicitur et evidenter ostenditur, sequi nos totius mundi circuitum, et inde mores fortunasque habere, rursus nos intra mundum genitos merito ab ipso nos continente animam nostram accipere. Præterea quemadmodum unaquæque pars nostri a nostra anima aliquid suscipit, ita et nos simili ratione, cum simus partes ad totum, ab ipsa totius anima tanquam partes accipere. Postremo quod scribitur, Omnis anima totius inanimati curam habet, idem prorsus significare, quasi præter ipsam mundi animam nihil usquam animæ relinquatur. Hæc enim est, quæ totum curat inanimatum.

Non potest anima mundi in plures dividi partes, sicut corpora vel dimensiones et numeri et corporum qualitates.

Β'. Πρὸς δὴ ταῦτα πρῶτον ἐκεῖνο λεκτέον, ὡς ὁμοειδῆ τιθέμενοι τῷ τῶν αὐτῶν συγχωρεῖν ἐφάπτεσθαι, τὸ αὐτὸ γένος κοινὸν διδόντες, ἔξω ποιοῦσι τοῦ μέρος εἶναι· ἀλλὰ μᾶλλον ἂν τὴν αὐτὴν καὶ μίαν καὶ

II. Ad hæc igitur id primo dicendum, quod illi ponentes animas esse conformes, propterea, quod eadem attingere concedantur, interim idem commune genus admittentes, [etiam] efficiunt, ut aliæ animæ non sint partes unius; sed probabilius inferrent unam eandemque esse, et quamlibet

ἑκάστην πᾶσαν δικαιότερον ἂν εἴποιεν· μίαν δὲ ποιοῦντες, εἰς ἄλλο ἀναρτῶσιν. Ὃ μηκέτι τοῦδε ἢ τοῦδε, ἀλλὰ οὐδενὸς ὂν αὐτὸ ἢ κόσμου, ἢ τινὸς ἄλλου, αὐτὸ ποιεῖ, ὃ καὶ κόσμου καὶ ὁτουοῦν ἐμψύχου. Καὶ γὰρ ὀρθῶς ἔχει μὴ πᾶσαν τὴν ψυχήν τινος εἶναι, οὐσίαν γε οὖσαν· ἀλλ' εἶναι ἣ μὴ τινός ἐστιν ὅλως· τὰς δέ, ὅσαι τινός, γίγνεσθαί ποτε κατὰ συμβεβηκός. Ἴσως δὲ δεῖ λαβεῖν τὸ μέρος ἐν τοῖς τοιούτοις πῶς λέγεται σαφέστερον· τὸ μὲν δὴ ὡς σωμάτων μέρος, εἴτε ὁμοειδὲς τὸ σῶμα εἴτε ἀνομοειδές, ἐατέον, ἐκεῖνο μόνον ἐπισημηναμένους, ὡς ἐπὶ τῶν ὁμοιομερῶν, ὅταν λέγηται μέρος, κατὰ τὸν ὄγκον ἐστὶ τὸ μέρος, οὐ κατὰ τὸ εἶδος, οἷον τὴν λευκότητα. Οὐ γὰρ ἡ ἐν τῷ μορίῳ τοῦ γάλακτος λευκότης μέρος ἐστὶ τῆς τοῦ παντὸς γάλακτος λευκότητος, ἀλλὰ μορίου μέν ἐστι λευκότης· μόριον δὲ οὐκ ἔστι λευκότητος· ἀμέγεθες γὰρ ὅλως, καὶ οὐ ποσὸν ἡ λευκότης· ἀλλὰ τοῦτο μέν, οὕτως. Ὅταν δὲ ἐπὶ τῶν οὐ σωμάτων λέγωμεν μέρος, ἤτοι οὕτως, ὡς ἐπὶ τῶν ἀριθμῶν λέγοιμεν ἄν, ὡς τὰ δύο τῶν δέκα (ἔστω δὲ ἐπὶ ψιλῶν μόνων τὸ λεγόμενον), ἢ ὡς κύκλου καὶ γραμμῆς μέρος, ἢ ὡς ἐπιστήμης μέρος, τὸ θεώρημα. Ἐπὶ μὲν δὴ τῶν μονάδων καὶ τῶν σχημάτων ἀνάγκη, ὥσπερ ἐπὶ τῶν σωμάτων, ἐλαττοῦσθαί τε τὸ ὅλον τῷ εἰς τὰ μέρη μερισμῷ, ἐλάττω τε τὰ μέρη ἕκαστα τῶν ὅλων εἶναι. Ποσὰ γὰρ ὄντα καὶ τὸ εἶναι ἐν τῷ ποσῷ ἔχοντα, οὐ τὸ αὐτοποσὸν ὄντα, μείζω καὶ ἐλάττω ἐξ ἀνάγκης γίγνεται. Κατὰ δὴ ταῦτα οὐκ ἐνδέχεται ἐπὶ ψυχῆς τὸ μέρος λέγεσθαι. Οὔτε γὰρ ποσὸν οὕτως ὡς δεκάδα τὴν πᾶσαν, τὴν δὲ μονάδα [μέρος] εἶναι, ἄλλα τε γὰρ πολλὰ καὶ ἄτοπα συμβήσεται, καὶ οὐχ ἕν τι τὰ δέκα. Καὶ ἑκάστη αὐτῶν τῶν μονάδων ἢ ψυχὴ ἔσται, ἢ ἐξ ἀψύχων ἁπάντων ἡ ψυχή· καὶ ὅτι καὶ τὸ μέρος τῆς ὅλης ψυχῆς συγκεχώρηται ὁμοειδὲς εἶναι, τὸ δὲ ἐπὶ τοῦ συνεχοῦς οὐκ ἀνάγκη τὸ μέρος, οἷον τὸ ὅλον ἐστίν, εἶναι· οἷον κύκλου ἢ τετραγώνου· ἢ οὐ πάντα γε τὰ μόρια ὅμοια, ἐφ' ὧν ἔστι λαβεῖν τὸ μέρος, οἷον ἐπὶ τῶν τριγώνων τρίγωνα, ἀλλὰ παραλλάσσοντα, τὴν δὲ ψυχὴν ὁμοειδῆ τίθενται εἶναι. Καὶ ἐπὶ γραμμῆς δὲ τὸ μὲν μέρος ἔχει τὸ γραμμὴ εἶναι, ἀλλὰ τῷ μεγέθει διαφέρει καὶ ἐνταῦθα. Ἐπὶ δὲ ψυχῆς ἡ διαφορὰ τῷ μεγέθει εἰ λέγοιτο τῆς μερικῆς πρὸς τὴν ὅλην, ποσόν τι ἔσται καὶ σῶμα, τὴν διαφορὰν λαμβάνουσα, καθὸ ψυχή, παρὰ τοῦ ποσοῦ· ἀλλ' ὑπέκειντο πᾶσαι ὅμοιαι καὶ ὅλαι. Φαίνεται δὲ οὔτε μεριζομένη οὕτως, ὡς τὰ μεγέθη· οὔτ' ἂν συγχωρήσαιεν δὲ οὐδὲ αὐτοὶ κατατέμνεσθαι τὴν ὅλην εἰς μέρη. Ἀναλώσουσι γὰρ τὴν ὅλην, καὶ ὄνομα μόνον ἔσται, εἰ μὴ ἀρχή τις ποτε ἦν πᾶσα· ὡς εἰ οἴνου μερισθέντος εἰς πολλά, ἕκαστον τὸ ἐν ἑκάστῳ ἀμφορεῖ λέγοι μέρος οἴνου τοῦ ὅλου. Ἆρ' οὖν οὕτω μέρος, ὡς θεώρημα τὸ τῆς ἐπιστήμης λέγεται, τῆς ὅλης ἐπιστήμης αὐτῆς μὲν μενούσης οὐδὲν ἧττον, τοῦ δὲ μερισμοῦ οἷον προφορᾶς καὶ ἐνεργείας ἑκάστου οὔσης; Ἐν δὴ τῷ τοιούτῳ ἕκαστον μὲν δυνάμει ἔχει τὴν

universam existere: unam vero efficientes ad aliud quiddam redigunt. Quod quidem non hujus amplius vel illius, sed nullius ipsum existens, sive mundi, sive alterius, ipsum quidem agit, quicquid et mundi et cujuslibet animati vita facere judicatur. Recte namque se habere videtur *non omnem animam alicujus esse, quippe cum* essentia sit: sed exstare aliquam, quae nullius prorsus existat: eas vero, quaecunque alicujus esse dicuntur, fieri aliquando secundum accidens [ *id est* alicujus evadere ]. Forsan vero in his accipiendum est planius, quomodo pars dicatur: modum quidem partium in *corporibus apparentem*, sive uniforme sit corpus, sive difforme, dimittere decet, illud duntaxat significantes: quando in corporibus consimilium partium pars nominatur, secundum molem, non secundum speciem esse partem, sicut in albedine possumus judicare. Albedo enim, quae est in parte lactis, non est pars albedinis, quae in toto lacte, sed partis quidem est albedo, non autem pars est albedinis: siquidem *albedo non est quantum aliquid*, sed per se omnino magnitudine carens: et id quidem ita se habeat. At quando in rebus, quae non sunt corpora, partem dicimus, vel ita, ut in numeris accipimus partem, sicut binarius dicitur pars denarii (sit autem in numeris tantum puris id dictum), *vel sicut circuli et lineae pars dici solet, vel tanquam pro*positio sive notio dici pars scientiae consuevit. In unitatibus quidem atque figuris necessarium est, quemadmodum et in corporibus, simul cum tota ipsa per partes divisione, tum minores toto partes singulas esse. Haec enim cum sint quanta, et suum esse in quanto possideant, non ipsum quantum existentia, necessario majora fiunt atque minora. Hac certe conditione pars in anima dici non potest. Non enim in ea ita quantum est, ut tota quidem sit ceu denarius, pars vero ut unitas. Contingent profecto et alia absurda permulta, et procul dubio decem non sunt aliquid unum. Praeterea vel unaquaeque unitatum erit anima, vel anima ipsa ex cunctis inanimatis constituetur. *Accedit ad haec, quod pars totius animae con*cessa est uniformis existere: at in continuo non necessarium est, partem esse talem, quale existit et totum, sicut circuli vel quadranguli partes: aut certe non omnes particulae similes sunt, in quibus licet partem accipere, *ceu triangulos in triangulis*: sed in his accidit per varia permutatio: animam vero uniformem esse fatentur. Item in linea pars quidem habet, ut linea sit, sed hic quoque magnitudine differt. Verum in anima, si differentia magnitudine sumitur, partialis videlicet animae ad totam animam, quantum quiddam erit et corpus: quippe cum differentiam ipsam, qua est anima, a quanto susceperit: at omnes concessae sunt esse similes atque totae. Constat praeterea *neque ita esse divisam, ut magnitudines dividun*tur, neque illi etiam totam secari in partes confiterentur: alioquin totam ipsam sunt funditus perdituri. Et nisi principium aliquod fuerat universa, jam nomen erit solum: ceu si quis vino in multa distributo, quod singula*tim est in poculo vini totius diceret esse partem.* Sed numquid ita pars in anima sumitur, sicut propositio quaedam pars totius scientiae nuncupatur: ipsa quidem scientia tota nihilo minus integra permanente, partitione vero suam habente, velut prolatio quaedam actusque cujusque? In hac quidem re unumquodque totum in potentia scientiam

ὅλην ἐπιστήμην· ἡ δέ ἐστιν οὐδὲν ἧττον ὅλη. Εἰ δὴ οὕτως ἐπὶ ψυχῆς τῆς τε ὅλης καὶ τῶν ἄλλων, οὐκ ἂν ἡ ὅλη, ἧς τὰ τοιαῦτα μέρη, ἔσται τινός, ἀλλ' αὐτὴ ἀφ' ἑαυτῆς· οὐ τοίνυν οὐδὲ τοῦ κόσμου, ἀλλά τις καὶ αὕτη τῶν ἐν μέρει. Μέρη ἄρα πᾶσαι μιᾶς, ὁμοειδεῖς οὖσαι. Ἀλλὰ πῶς ἡ μὲν κόσμου, ἡ δὲ μερῶν τοῦ κόσμου;

habet: haec vero nihilo minus est interea tota. Quodsi hoc pacto pars in anima et universa et caeteris censeatur, profecto anima universa, cujus partes aliae sunt ejusmodi, non erit alicujus anima, sed penes se ipsa consistet: neque igitur erit anima mundi; sed haec quoque erit quaedam earum, quae in parte ponuntur. Partes ergo omnes unius uniformes penitus existentes. At quomodo haec quidem mundi anima, illa vero partium mundanarum?

Non licet fingere, esse unicam tantum in cunctis hominibus mundi animam, sicut dicimus in cunctis hominis unius membris esse unam hominis animam.

Γ'. Ἀλλ' ἆρα οὕτω μέρη ὥσπερ ἂν καὶ ἐφ' ἑνὸς ζώου τις εἴποι τὴν ἐν τῷ δακτύλῳ ψυχὴν μέρος τῆς ἐν τῷ παντὶ ζώῳ ὅλης; ἀλλ' οὗτός γε ὁ λόγος, ἢ οὐδεμίαν ποιεῖ ψυχὴν ἔξω σώματος γίγνεσθαι, ἢ πᾶσαν οὐκ ἐν σώματι, ἀλλ' ἔξω τοῦ σώματος τοῦ κόσμου, τὴν τοῦ παντὸς λεγομένην. Σκεπτέον δὲ τοῦτο· νῦν δὲ ὡς λέγοιτο ἂν κατὰ τὴν εἰκόνα ἐξεταστέον. Εἰ γὰρ ἡ τοῦ παντὸς παρέχει αὑτὴν πᾶσι τοῖς ἐν μέρει ζῴοις, καὶ οὕτω μέρος ἑκάστη, διαιρεθεῖσα μέν, οὐκ ἂν αὐτὴν ἑκάστῳ παρέχοι· ἡ αὐτὴ δὲ πανταχοῦ ἔσται ἡ ὅλη, μία καὶ ἡ αὐτὴ ἐν πολλοῖς ἅμα οὖσα· τοῦτο δὲ οὐκέτ' ἂν τὴν μὲν ὅλην, τὴν δὲ μέρος ἂν εἶναι παράσχοιτο, καὶ μάλιστα, οἷς τὸ αὐτὸ δυνάμεως πάρεστιν· ἐπεὶ καὶ οἷς ἄλλο ἔργον, τῷ δὲ ἄλλο οἷον ὀφθαλμοῖς καὶ ὠσίν, οὐ μόριον ἄλλο ψυχῆς ὁράσει, ἄλλο δὲ ὠσὶ λεκτέον παρεῖναι, (ἄλλων δὲ τὸ μερίζειν οὕτως,) ἀλλὰ τὸ αὐτό, κἂν ἄλλη δύναμις ἐν ἑκατέροις ἐνεργῇ. Εἰσὶ γὰρ ἐν ἀμφοτέραις ἅπασαι· τῷ δὲ τὰ ὄργανα διάφορα εἶναι, διαφόρους τὰς ἀντιλήψεις γίγνεσθαι, πάσας μέντοι εἰδῶν εἶναι, εἰς εἶδος πάντα δυνάμενον μορφοῦσθαι. Δηλοῖ δὲ καὶ τὸ εἰς ἓν ἀναγκαῖον εἶναι πάντα ἰέναι· τῶν δὲ ὀργάνων, δι' ὧν, μὴ πάντα δύνασθαι δέξασθαι, καὶ τὰ μὲν παθήματα διάφορα γίγνεσθαι τοῖς ὀργάνοις, τὴν δὲ κρίσιν παρὰ τοῦ αὐτοῦ, οἷον δικαστοῦ, καὶ τοὺς λόγους τοὺς λεγομένους, καὶ τὰ πραχθέντα κατανενοηκότος. Ἀλλ' ὅτι ἕν γε πανταχοῦ, εἴρηται καὶ ἐν ταῖς διαφόροις τῶν ἔργων· εἴ τε ὡς αἱ αἰσθήσεις, οὐκ ἔνι ἕκαστον αὐτῶν νοεῖν, ἀλλ' ἐκείνην· εἰ δ' οἰκεία ἦν ἡ νόησις, ἐφ' ἑαυτῆς ἑκάστη· ὅταν δὲ καὶ λογικὴ ἡ ψυχή, καὶ οὕτω λογικὴ ὡς ὅλη λέγεται, τὸ λεγόμενον μέρος ταὐτόν, ἀλλ' οὐ μέρος ἔσται τοῦ ὅλου

III. Sed numquid ita partes hic accipiendae sunt, ac si quis in uno quodam animali dicat animam, quae est in digito, partem esse totius animae, quae est in toto animali? At vero hic sermo vel nullam efficit animam extra corpus esse, vel omnem non in corpore, sed extra corpus mundi illam, quae mundi anima dicitur. Consideratione quidem id dignum est: sed in praesentia quasi per imaginem est agendum. Si enim totius anima omnibus particularibus se ipsam praebeat animantibus, atque ita quaelibet scilicet anima pars dicatur; nam si divisa esset, nequaquam unicuique se praeberet: profecto eadem ubique tota erit, una, inquam, et eadem in multis simul existens. Sic autem nequaquam obtineretur, aliam quidem animam esse totam, aliam vero partem, in his praesertim, quibus eadem adsit potentia: quandoquidem et ubi aliud alteri officium est, aliud vero alteri, velut oculis atque auribus, non aliam animae partem oculo, aliam auribus adesse dicendum: nam aliorum est divisio talis: sed prorsus eandem, quamvis alia in utrisque potentia se exerceat. Sunt enim in utrisque omnes; sed propterea, quod differentia sunt instrumenta, differentes quoque apprehensiones fieri est putandum: omnes tamen specierum esse, atque in speciem redigi omnino potentem formari per omnia. Patet vero hoc ex eo etiam, quod necessarium sit, omnia in unum denique pervenire: naturam vero instrumentorum, per quae pervenitur, constat non posse cuncta suscipere: et passiones quidem instrumentis fieri differentes; judicium vero ab uno eodemque agi velut judice, cum quae dicuntur, tum quae aguntur pariter advertente: verum quod unum ubique, dictum est in differentibus etiam actionibus. Quodsi velut sensus dumtaxat ibi sint, non licet unumquodque ipsorum intelligere, sed potius illam: si autem propria intelligentia sit, nimirum quaelibet in se ipsa consistit. Quando vero et rationalis sit anima, atque ita rationalis dicatur ut tota: quod dicitur pars, non pars quidem totius, immo idem erit omnino.

Confirmantur superiora, et docetur, quomodo fiat distinctio in intellectu, et quomodo debeat in anima fieri, et quomodo aliqui fingant distingui ad tempus animas iterumque confundi.

Δ'. Τί οὖν φατέον εἰ οὕτω μία, ὅταν τις ζητῇ τὸ ἐντεῦθεν; πρῶτον μὲν ἀπορῶν, εἰ οἷόν τε οὕτως ἓν ἅμα ἐν πᾶσιν· ἔπειτα, ὅταν ἐν σώματι ᾖ, ἡ δὲ μὴ ἐν σώματι; ἴσως γὰρ ἀκολουθήσει ἀεὶ ἐν σώματι πᾶσαν εἶναι, καὶ μάλιστα τὴν τοῦ παντός. Οὐ γάρ, ὥσπερ ἡ ἡμετέρα λέγεται καταλείπειν τὸ σῶμα· καίτοι τινές φασι τόδε μὲν καταλείψειν, οὐ πάντη δὲ ἔξω σώματος ἔσεσθαι. Ἀλλ' εἰ πάντη ἔξω σώματος ἔσται, πῶς ἡ μὲν καταλείψει, ἡ δὲ οὔ, ἡ αὐτὴ οὖσα; Ἐπὶ μὲν οὖν τοῦ νοῦ, ἑτερότητι χωριζομένου ἑαυτοῦ κατὰ μέρη μάλιστα ἀπ' ἀλλήλων· ὄντων δὲ ὁμοῦ ἀεί, ἀμέριστος γὰρ ἂν εἴη αὐτὴ ἡ οὐσία, οὐδεμία τοιαύτη ἂν ἀπορία κα-

IV. Quid ergo dicendum erit, si modo ita sit una, quando quispiam hinc nos percontabitur, primo quidem dubitans, numquid ita possit esse simul in omnibus unum: deinde, quando anima in corpore sit, quomodo et alia sit extra corpus? Fortasse enim consequens erit, omnem in corpore semper esse, praesertim animam universi. Non enim sicut nostra corpus relinquere dicitur, etsi nonnulli aiunt hoc quidem derelicturam, non tamen omnino extra corpus fore. At si omnino extra corpus erit, quonam pacto haec quidem deseret, haec vero nequaquam, cum sit eadem? In ipso quidem intellectu, qui alteritate distinguitur in se ipso, secundum partes praecipue inter se, simul tamen existentes semper, siquidem essentia ipsa impartibilis est, nulla unquam talis incidet dubitatio. At vero in anima,

τέχοι· ἐπὶ δὲ τῆς ψυχῆς τῆς λεγομένης μεριστῆς εἶναι κατὰ σώματα, τοῦτο τὸ ἕν τι εἶναι πάσας πολλὰς ἂν ἔχοι ἀπορίας· εἰ μή τις τὸ μὲν ἓν στήσειεν ἐφ' ἑαυτοῦ μὴ πίπτον εἰς τὸ σῶμα· εἶτ' ἐξ ἐκείνου τὰς πάσας, τήν τε τοῦ ὅλου, καὶ τὰς ἄλλας μέχρι τινὸς οἷον συνούσας, καὶ μίαν, τῷ μηδενός τινος γίγνεσθαι, τοῖς δὲ πέρασιν αὐτῶν ἐξηρτημένας καὶ συνούσας ἀλλήλαις πρὸς τὰ ἄνω, ὡδὶ καὶ ὡδὶ ἐπιβάλλειν· οἷον φωτὸς ἤδη πρὸς τῇ γῇ μεριζομένου κατ' οἴκους, καὶ οὐ μεμερισμένου, ἀλλ' ὄντος ἑνὸς, οὐδὲν ἧττον, καὶ τὴν μὲν τοῦ παντὸς ἀεὶ ὑπερέχειν τῷ μηδὲ εἶναι αὐτῇ τὸ κατελθεῖν, μηδὲ τὸ κάτω, μηδὲ ἐπιστροφὴν [ πρὸς ] τὰ τῇδε· τὰς δ' ἡμετέρας, τῷ τε εἶναι ἀφωρισμένον αὐταῖς τὸ μέρος ἐν τῷδε, καὶ τῇ ἐπιστροφῇ τοῦ προσδεομένου φροντίσεως. Τῆς μὲν οὖν ἐοικυίας τῇ ἐν φυτῷ μεγάλῳ ψυχῇ, ἣ ἀπόνως τὸ φυτὸν καὶ ἀψόφως διοικεῖ, τῆς κατωτάτω τῆς ψυχῆς τοῦ παντός· τοῦ δὲ ἡμῶν κάτω, οἷον εἰ εὐλαὶ ἐν σαπέντι μέρει τοῦ φυτοῦ γίγνοιντο· οὕτω γὰρ τὸ σῶμα τὸ ἔμψυχον ἐν τῷ παντί. Τῆς δὲ ἄλλης ψυχῆς τῆς ὁμοειδοῦς τῶν ἄνω τῆς ὕλης, οἷον εἴ τις γεωργὸς ἐν φροντίδι τῶν ἐν τῷ φυτῷ εὐλῶν γίγνοιτο, κἂν ταῖς μερίμναις πρὸς τῷ φυτῷ γίγνοιτο. Ἢ εἴ τις ὑγιαίνοντα μὲν, καὶ μετὰ τῶν ἄλλων τῶν ὑγιαινόντων ὄντα, πρὸς ἐκείνοις εἶναι λέγοι, πρὸς οἷς ἐστιν ἢ πράττων, ἢ θεωρίαις ἑαυτὸν παρέχων· νοσήσαντος δὲ, καὶ πρὸς ταῖς τοῦ σώματος θεραπείαις ὄντος, πρὸς τῷ σώματι εἶναι, καὶ τοῦ σώματος γεγονέναι.

quae circa corpora dicitur esse partibilis, hoc ipsum, quod dicitur unum esse omnes, multis nos dubitationibus implicat: nisi quis ipsam quidem unam in se ipso firmaverit, in corpus minime decidens; deinde omnes ab illo tam totius animam quam alias usque ad certum quiddam velut simul existentes, atque unam ex eo, quod nullius proprii fiant, esse dixerit. Terminis vero suis suspensas simulque conspirantes penes superna interim huc et illuc dirigere se atque porrigere, instar luminis, quod quidem *in terra jam est per domicilia distributum, neque tamen a* se ipso disjunctum, sed est nihilo minus unum: et animam universi semper supereminere, propterea, quod non accidat ei descensio neque degeneratio ad inferius, neque conversio ad sequentia: nostras vero minus excellere, ex eo, quod certa pars eis in mundo sit assignata, et ad inferiora se flectant ob naturam corporis cura et sollicitudine indigentem. Jam vero mundi anima per infimam ejus partem similis est ingentis arboris animae, quae sine labore atque sollicitudine gubernat plantam. Infimum vero animae nostrae ita se habet, velut si in putrefacta arboris parte pusilla quaedam animalia generentur: sic enim se habet animatum corpus in universo. Alia vero anima conformis sublimi parti animae universi ita se habet, velut si quis agricola animalibus in planta genitis curandis incumbat, et in planta colenda sollicitetur. Aut fortasse si quis dicat, sanum quidem hominem et cum aliis sanis concurrentem esse penes illa, quibus se ipsum vel agendis vel speculandis addixerit: aegrotantem vero et in curando corpore occupatum, dicat penes corpus ipsum esse, et jam ipsius corporis esse factum.

Quomodo intellectus humani profluant ab intellectu divino inter se distincti, atque ita permaneant, ac totidem in se ipsis et quasi sub se naturas concipiant animales.

Ε'. Ἀλλὰ πῶς ἔτι ἡ μὲν σὴ, ἡ δὲ τοῦδε, ἡ δὲ ἄλλου ἔσται; ἆρα οὖν τοῦδε μὲν κατὰ τὸ κάτω, οὐ τοῦδε δὲ, ἀλλ' ἐκείνου κατὰ τὸ ἄνω; ἀλλ' οὕτω γε Σωκράτης μὲν ἔσται, ὅταν ἐν σώματι καὶ ἡ Σωκράτους ψυχή· ἀπολεῖται δὲ, ὅταν μάλιστα γένηται ἐν τῷ ἀρίστῳ. Ἢ ἀπολεῖται οὐδὲν τῶν ὄντων, ἐπεὶ κἀκεῖ οἱ νόες οὐκ ἀπολοῦνται, ὅτι μὴ εἰσὶ σωματικῶς μεμερισμένοι εἰς ἓν, ἀλλὰ μένει ἕκαστον ἐν ἑτερότητι ἔχον τὸ αὐτὸ, ὅ ἐστιν εἶναι. Οὕτω τοίνυν καὶ ψυχαὶ ἐφεξῆς καθ' ἕκαστον νοῦν ἐξηρτημέναι, λόγοι νῶν οὖσαι καὶ ἐξειλιγμέναι μᾶλλον ἢ ἐκεῖνοι, οἷον πολὺ ἐξ ὀλίγου γενόμεναι συναφεῖς τῷ ὀλίγῳ οὖσαι, ἀμερεστέρῳ ἐκείνων ἑκάστῳ μερίζεσθαι ἤδη θελήσασαι, καὶ οὐ δυνάμεναι εἰς πᾶν μερισμοῦ ἰέναι, τὸ ταὐτὸν καὶ ἕτερον σώζουσαι, μένει τε ἑκάστη ἓν, καὶ ὁμοῦ ἓν πᾶσαι. Εἴρηται δὴ κεφάλαιον τοῦ λόγου, ὅτι ἐκ μιᾶς, καὶ αἱ ἐκ μιᾶς πολλαὶ κατὰ τὰ αὐτὰ τῷ νῷ, κατὰ τὰ αὐτὰ μερισθεῖσαι, καὶ οὐ μερισθεῖσαι. Καὶ λόγος εἷς τοῦ νοῦ ἡ μένουσα, καὶ ἀπ' αὐτῆς λόγοι μερικοὶ καὶ ἄϋλοι, ὥσπερ ἐκεῖ.

V. Sed quanam alterius ratione haec quidem tua est, haec vero hujus, illa denique erit illius? An forsan hujus quidem est secundum ipsius infimum, non autem hujus, sed illius potius, per supremum? At vero sic Socrates quidem erit, quando in corpore ipsa Socratis anima fuerit: interibit autem, quando maxime erit in optimo. Sed certe entium nullum perit: quandoquidem et intellectus ibi non pereunt: quoniam non sunt conditione corporea in unum secti: sed ibi permanet unumquodque in alteritate, servans ipsum idem, quod ipsius est esse. Sic itaque deinceps et animae suspensae illinc, secundum quemlibet intellectum et rationes quaedam intellectuum existentes magisque explicatae, quam illi, quasi jam multum quiddam ex pauco factae, et contiguae pauco, impartibiliori illorum cuilibet dividi jam velle videntur, neque tamen ad summum partitionis progredi posse. Servantes enim ipsum idem simul et alterum, manet unaquaeque unum, et simul unum cunctae. Dictum profecto jam est, quantum spectat ad disputationis summam, omnes animas ex una deduci, ex una, inquam, multas eodem tenore cum intellectu, divisas eodem ordine, atque etiam non divisas. Atqui ratio una mentis est anima illa, quae permanet, et ab ipsa rationes partiales immaterialesque, sicut et ibi

De differentiis animarum, quatenus magis minusve convertuntur ad intellectum tam universalem, quam particularem, et quatenus ad universum vel ad universi partem.

Ϛ'. Διὰ τί δὲ ἡ μὲν τοῦ παντὸς ψυχὴ ὁμοειδὴς οὖσα πεποίηκε κόσμον, ἡ δὲ ἑκάστου οὔ; ἔχουσα καὶ αὐτὴ πάντα ἐν ἑαυτῇ; τὸ γὰρ δύνασθαι ἐν πολλοῖς γίγνεσθαι

VI. Sed cur nam anima quidem mundi, quae conformis dicitur esse cum aliis, fecit mundum, anima vero unius cujusque nequaquam? praesertim cum et quaelibet in se omnia complectatur? Posse namque in multis esse simul

ἅμα καὶ εἶναι, εἴρηται· νῦν δὲ λεκτέον. Τάχα γὰρ καὶ πῶς ταὐτὸν ἐν ἄλλῳ καὶ ἄλλῳ τὸ μὲν τοδί, τὸ δὲ τοδὶ ποιεῖ, ἢ πάσχει, ἢ ἄμφω, γνωσθήσεται, ἢ καθ' αὐτό γε τοῦτο ἐπισκεπτέον. Πῶς οὖν καὶ διὰ τί κόσμον πεποίηκεν, αἱ δὲ μέρος τι τοῦ κόσμου διοικοῦσιν; ἢ θαυμαστὸν οὐδὲν, τοὺς τὴν αὐτὴν ἐπιστήμην ἔχοντας, τοὺς μὲν πλειόνων, τοὺς δὲ ἐλαττόνων ἄρχειν. Ἀλλὰ διὰ τί; εἰπεῖν ἂν ἔχοι τις. Ἀλλ' ἔστιν, εἴποι τις ἄν, καὶ ψυχῶν διαφορὰ, ἢ μᾶλλον καθ' ὃ ἡ μὲν οὐκ ἀπέστη τῆς ὅλης, ἀλλ' ἔσχεν ἐκεῖ οὖσα περὶ αὐτὴν τὸ σῶμα· αἱ δὲ ἤδη ὄντος, οἷον ἀδελφῆς ψυχῆς ἀρχούσης μοίρας διέλαχον, οἷον προπαρασκευασάσης ταύτης αὐταῖς οἰκήσεις. Ἔστι δὲ καὶ τὴν μὲν πρὸς τὸν ὅλον νοῦν ἰδεῖν, τὰς δὲ μᾶλλον πρὸς τοὺς αὐτῶν τοὺς ἐν μέρει. Τάχα δ' ἂν καὶ αὗται δύναιντο ποιεῖν· τῆς δὲ ποιησάσης οὐκέτι οἷόν τε καὶ αὐταῖς, πρώτης ἐκείνης ἀρξάσης· τὸ δ' αὐτὸ ἄν τις ἠπόρησε, καὶ εἰ ἡτισοῦν καὶ ἄλλη πρώτη κατεῖχε. Βέλτιον δὲ λέγειν, τῷ ἐξηρτῆσθαι μᾶλλον τῶν ἄνω· τῶν γὰρ ἐκεῖ νενευκότων ἡ δύναμις μείζων. Σώζουσαι γὰρ αὑτὰς ἐπ' ἀσφαλοῦς ἐκ τοῦ ῥᾴστου ποιοῦσι· δυνάμεως γὰρ μείζονος μὴ πάσχειν ἐν οἷς ποιεῖ· ἡ δὲ δύναμις ἐκ τοῦ ἄνω μένει. Μένουσα οὖν ἐν αὑτῇ [ταὐτὸ] ποιεῖ προσιόντων· αἱ δὲ αὐταὶ προσῆλθον· ἀπέστησαν οὖν εἰς βάθος· ἢ πολὺ αὐτῶν καθελκυσθὲν συνεφειλκύσατο καὶ αὐτὰς ταῖς γνώμαις, εἰς τὸ κάτω ἰέναι. Τὸ γὰρ δευτέρας καὶ τρίτας, τῷ ἐγγύθεν καὶ τῷ πορρώτερον ὑπονοητέον εἰρῆσθαι· ὥσπερ καὶ παρ' ἡμῖν οὐχ ὁμοίως πάσαις ψυχαῖς ὑπάρχει τὰ πρὸς τὰ ἐκεῖ, ἀλλ' οἱ μὲν ἑνοῖντο ἄν, οἱ δὲ βάλλοιεν ἂν ἐγγὺς ἐφιέμενοι, οἷς δὲ ἧττον ἂν ἔχοι τοῦτο, καθ' ὃ ταῖς δυνάμεσιν οὐ ταῖς αὐταῖς ἐνεργοῦσιν, ἀλλ' οἱ μὲν τῇ πρώτῃ, οἱ δὲ τῇ μετ' ἐκείνην, οἱ δὲ τῇ τρίτῃ, ἁπάντων τὰς πάσας ἐχόντων.

jamque existere dictum est: nunc vero aliud est declarandum. Forsasse enim et quomodo idem in alio atque alio partim quidem hoc, partim vero illud aut agit, aut patitur, aut ad utrumque se habet, ex his cognoscetur. Forsan vero secundum hoc ipsum considerare satius est, quonam pacto et quam ob causam illa fecerit mundum; aliae vero partem aliquam mundi gubernent. Forsasse nihil novum videri debet, homines eadem scientia praeditos alios quidem pluribus, alios vero paucioribus dominari. Quaeret forsasse quispiam, quam ob causam res ita se habeant. Respondebit et aliquis, esse majorem quoque differentiam animarum, quatenus haec quidem non discessit ab universa, sed ibi complectens corpus circa se continuit [et continet]: aliae vero corpore jam facto, et jam exorsa dominanteque earum sorore anima, gradatim nactae sunt sortes, quasi illa jam his paraverit domicilia. Neque deest alia differentia, per quam haec quidem universum suspicit intellectum, aliae vero particulares potius intellectus, videlicet unaquaeque suum. Forsan vero hae quoque facere [totum] possent: verum cum illa jam fecerit, non datur ulterius his facultas, postquam illa primum jecerit fundamenta: sed eodem modo quivis ambigeret, si forte quaevis etiam alia primo occupasset. Satius autem est dicere praecipuam animae principali ob id potentiam et fabricam convenire, quod magis supernis adhaereat. Animabus enim illic attentius incumbentibus potentia major exoritur. Conservantes enim se ipsas in tuto illic fundamento facillime faciunt: potentiae namque majoris est, non pati in his, quae facit; permanet vero potestas ex alto. Manens itaque in se ipsa facit jam consequenter aliis accedentibus: aliae autem, quae accesserunt [*vel* processerunt], in profundum decessisse videntur. Forsasse quod in eis plurimum est deorsum tractum secum traxit et illas, adeo ut per cogitationes etiam descendisse jam videantur. Quod enim in Timaeo dicitur de secundo tertioque ordine animarum, exponendum est, alias quidem supernis propius inhaerere, alias vero discedere longius, quemadmodum et apud nos accidit. Non enim quaelibet animae similiter ad superna se habent, sed aliae quidem supernis uniuntur, aliae vero desiderio prope accedunt, aliae denique minus id assequuntur, quatenus eisdem viribus non utuntur. Sed hae potentia utuntur prima, istae secunda, illae denique tertia, cum tamen vires omnes unaquaeque possideat.

Responsiones ad dubia, probantes, quod animae nostrae non sunt ex anima mundi.

Ζ'. Ταῦτα μὲν οὖν ταύτῃ. Ἀλλὰ τὸ ἐν Φιλήβῳ λεχθὲν, παρέχον ὑπόνοιαν μοίρας τῆς τοῦ παντὸς τὰς ἄλλας εἶναι — βούλεται δὲ ὁ λόγος οὐ τοῦτο, ὅ τις οἴεται, ἀλλ' ὅπερ ἦν χρήσιμον αὐτῷ τότε, καὶ τὸν οὐρανὸν ἔμψυχον εἶναι. Τοῦτο οὖν πιστοῦται λέγων, ὡς ἄτοπον τὸν οὐρανὸν ἄψυχον λέγειν, ἡμῶν, οἳ μέρος σώματος ἔχομεν τοῦ παντὸς, ψυχὴν ἐχόντων. Πῶς γὰρ ἂν τὸ μέρος ἔσχεν ἀψύχου τοῦ παντὸς ὄντος; δῆλον δὲ μάλιστα τὸ τῆς γνώμης αὐτοῦ ἐν Τιμαίῳ ποιεῖ, οὗ γενομένης τῆς ψυχῆς τοῦ παντὸς ὕστερον τὰς ἄλλας ποιεῖ, ἐκ τοῦ αὐτοῦ μιγνύων κρατῆρος, ἀφ' οὗ καὶ ἡ τῶν ὅλων, ὁμοειδῆ ποιῶν καὶ τὴν ἄλλην, τὴν δὲ διαφορὰν δευτέροις καὶ τρίτοις διδούς. Τὸ δὲ ἐν τῷ Φαίδρῳ, ψυχὴ πᾶσα παντὸς ἐπιμελεῖται τοῦ ἀψύχου· τί γὰρ ἂν εἴη, ὃ σώματος τὴν φύσιν διοικεῖ, καὶ ἢ πλάττει, ἢ τάττει, ἢ ποιεῖ; ἢ ἡ ψυχή· καὶ οὐχ ἡ μὲν πέφυκε τοῦτο δύνασθαι, ἡ δὲ οὔ. Ἡ μὲν οὖν τελεία, φησὶν, ἡ τοῦ παντὸς μετεωροπορεῦσα, οὐ δῦσα, ἀλλ' οἷον ἐποχουμένη εἰς τὸν κόσμον ποιεῖ, καὶ ἥτις ἂν τελεία ᾖ, οὕτω διοικεῖ. Ἡ δὲ πτερορρυήσασα εἰπὼν,

VII. De his dictum sit hactenus. Quod autem in Philebo dictum suspicionem inducit, ne forte animae omnes sint mundanae animae partes, non id quidem sibi vult, quod aliquis opinatur, sed quod tunc ei potissimum conducebat, scilicet animatum esse mundum. Hoc enim comprobare studens, absurdum esse, inquit, caelum inanimatum dicere, cum nos, qui corpus, mundani corporis partem, habemus, animam habeamus. Quo enim pacto pars animam haberet, si totum esset inanimatum? Sententia vero Platonis liquet potissimum in Timaeo: ubi, facta jam anima mundi, deinceps aliae oriuntur in eadem patera, qua et illa, commixtae eique conformes: differentiam vero illarum per secundos tertiosque gradus assignat. Quod autem in Phaedro dicitur, omnem animam totius inanimati curam habere: quid mirum? Nam quid aliud corporis naturam gubernat, format, ordinat, facit, nisi anima? Neque dicendum est, hanc quidem naturaliter id facere posse, illam vero nequaquam. Unde subdit: Perfecta igitur existens anima ipsa, scilicet universi elata sublimius, neque immersa, sed (ut ita dixerim) supernatans agit in mundum, et quaecumque perfecta sit, similiter dispensabit. Praeterea, ubi animam tractis pennis quasi ruentem inducit, evidenter ejusmodi animam asserit ab anima mundi

ἄλλην ταύτην παρ' ἐκείνην ποιεῖ. Τὸ δὲ συνέπεσθαι τῇ τοῦ παντὸς περιφορᾷ καὶ ἤθη ἐκεῖθεν κομίζεσθαι, καὶ πάσχειν παρ' αὐτοῦ, οὐδὲν ἂν εἴη σημεῖον τοῦτο τοῦ μέρη τὰς ἡμετέρας εἶναι. Ἱκανὴ γὰρ ψυχὴ καὶ παρὰ φύσεως τόπων πολλὰ ἀπομάττεσθαι, καὶ ὑδάτων, καὶ ἀέρος, καὶ πόλεων διαφόρων οἰκήσεις, καὶ τῶν σωμάτων αἱ κράσεις. Καί τι ἔφαμεν ἔχειν ἐν τῷ παντὶ ὄντες τῆς τοῦ ὅλου ψυχῆς, καὶ παρὰ τῆς περιφορᾶς συνεχωροῦμεν τὸ πάσχειν· ἀλλ' ἀντετίθεμεν ἄλλην ψυχὴν πρὸς ταῦτα, καὶ μάλιστα τῇ ἀντιστάσει δεικνυμένην ἄλλην. Τὸ δ' ὅτι εἴσω γεννώμεθα ἐν αὐτῷ, καὶ ἐπὶ τῶν μητέρων φαμὲν ἑτέραν εἶναι, οὐ τὴν τῆς μητρός, τὴν ἐπεισιοῦσαν.

esse diversam. Proinde quod adductum fuit, animas sequi circuitum universi, moresque inde ducere, et inde pati, nullo modo significat nostras animas esse partes. Potest enim anima ex natura locorum aquarumque et aeris multa coelitus imminentia in semet ipsam contrahere: ut est habitatio et urbana consuetudo, complexionesque corporum. Ac si dixerimus nos inclusos in universo habere aliquid a mundi anima vitae, et a coelesti circuitu pati, induximus tamen contra ea animam quoque alteram his omnibus resistentem, ipsaque resistentia se esse alteram manifeste monstrantem. Ad id vero, quod dicitur, nos intra mundum genitos esse, respondemus similiter, in alvo materna fetum aliam habere animam, quam maternam scilicet animam, quae ingreditur aliunde.

Quomodo animae differant: et quomodo sint immortales in propria forma restantes: et quomodo anima mundi ad vitam omnibus conferat.

Η'. Ταῦτα μὲν οὖν οὕτως ἂν ἔχοι λύσεως, καὶ τοῦ τῆς συμπαθείας μὴ ἐμποδίζοντος τὸν λόγον· ἐκ γὰρ τῆς αὐτῆς πᾶσαι οὖσαι, ἐξ ἧς καὶ ἡ τοῦ ὅλου, συμπαθεῖς. Καὶ γὰρ εἴρηται, ὅτι καὶ μία, καὶ πολλαί· περὶ δὲ τοῦ μέρους πρὸς τὸ ὅλον τῆς διαφορᾶς ὅπως, εἴρηται· εἴρηται δὲ καὶ ὅλως περὶ διαφορᾶς ψυχῆς, καὶ νῦν συντόμως λεγέσθω, ὅτι καὶ παρὰ τὰ σώματα μὲν ἂν γίγνοιτο διαφέρειν, καὶ ἐν τοῖς ἤθεσι μάλιστα, καὶ ἐν τοῖς τῆς διανοίας ἔργοις, καὶ ἐκ τῶν προβεβιωμένων βίων. Κατὰ γὰρ τοὺς προβεβιωμένους φησὶ τὰς αἱρέσεις ταῖς ψυχαῖς γίνεσθαι. Εἰ δέ τις φύσιν ψυχῆς ὅλως λαμβάνει, καὶ ἐν ταύταις εἴρηνται αἱ διαφοραί, ἐν οἷς καὶ δεύτερα καὶ τρίτα ἐλέγετο, καὶ ὅτι πάντα πᾶσαι· κατὰ δὲ τὸ ἐνεργῆσαν ἐν αὐτῇ ἑκάστη· τοῦτο δὲ τὸ τὴν μὲν ἑνοῦσθαι ἐνεργείᾳ, τὴν δὲ ἐν γνώσει, τὴν δὲ ἐν ὀρέξει, καὶ ἐν τῷ ἄλλην ἄλλα βλέπειν, καὶ, ἅπερ βλέπει, εἶναι καὶ γίγνεσθαι, καὶ τὸ πλῆρες δὲ ταῖς ψυχαῖς, καὶ τέλειον, καὶ οὐχὶ ταὐτὸν πάσαις, ἀλλ' εἰ ποικίλον τὸ ὅλον σύνταγμα αὐταῖς. Εἷς γὰρ πᾶς λόγος πολὺς καὶ ποικίλος, ὥσπερ ζῷον ψυχικόν, πολλὰς μορφὰς ἔχον. Εἰ δὴ τοῦτο, καὶ σύνταξίς ἐστι, καὶ οὐ διέσπασται τὰ ὄντα ὅλως ἀπ' ἀλλήλων, οὐδὲ τὸ εἰκῇ ἐν τοῖς οὖσιν ὅπου, μηδὲ ἐν τοῖς σώμασι, καὶ ἀριθμόν τινα ἀκόλουθόν ἐστιν εἶναι. Καὶ γὰρ αὖ ἑστάναι δεῖ τὰ ὄντα, καὶ τὰ αὐτὰ τὰ νοητὰ εἶναι, καὶ ἕκαστον ἓν ἀριθμῷ εἶναι· οὕτω γὰρ τὸ τόδε. Τοῖς μὲν γὰρ τῶν σωμάτων τῇ φύσει τοῦ καθ' ἕκαστον ῥέοντος, ἅτε ἐπακτοῦ τοῦ εἴδους ὄντος, τὸ εἶναι κατ' εἶδος ἀεὶ ὑπάρχει μιμήσει τῶν ὄντων. Τοῖς δέ, ἅτε οὐκ ἐκ συνθέσεως οὖσι, τὸ εἶναί ἐστιν ἐν τῷ, ὅ ἐστιν ἀριθμῷ ἕν, ὅπερ ἐξ ἀρχῆς ὑπάρχει, καὶ οὔτε γίγνεται, ὃ μὴ ἦν, οὔτε, ὅ ἐστιν, οὐκ ἔσται, ἐπεί, καὶ εἰ ποιοῦν τι ἔσται αὐτά, ἐκ μὲν ὕλης οὐκ ἄν· εἰ δὲ καὶ τοῦτο, δεῖ τι καὶ ἐξ αὐτοῦ οὐσιῶδες προσθεῖναι· ὥστε μεταβολὴ περὶ αὐτὸ ἐκεῖνο ἔσται, εἰ νῦν πλέον ποιεῖ ἢ ἔλαττον. Καὶ διὰ τί νῦν, ἀλλ' οὐκ ἀεὶ οὕτως, καὶ τὸ γενόμενον δὲ οὐκ ἀΐδιον, εἴπερ πλέον καὶ ἔλαττον· κεῖται δὲ ἡ ψυχὴ τοιοῦτον. Πῶς οὖν ἄπειρον, εἰ στήσεται; ἢ τῇ δυνάμει τὸ ἄπειρον, ὅτι ἡ δύναμις ἄπειρος, οὐχ

VIII. Atque haec quidem ita nobis soluta in praesentia fuerint. Praeterea hoc ipsum, quod animae inter se compatiantur, rationes nostras impedire non debet: nempe cum ex eadem omnes, ex qua mundi anima, profluant, nimirum compatiuntur et invicem. Jam vero dictum est, cum unam esse, tum multas. Dictum quoque de differentia partis ad totum: dictum denique universe de animae differentia: et nunc summatim quoque dicatur. Dicimus itaque praeter corporeas differentias animas inter se differre, cum in moribus maxime, tum in cogitationis officiis, etiam ex praecedentibus vitae alterius institutis. Nam in Republica scribitur a Platone, secundum vitas antecedentes ab animabus sequentes eligi vitas. Si quis autem omnino animae ipsius naturam consideret, hic quoque *posuit differentias, ubi gradus secundos tertiosque disposuit*. Praeterea dictum est, omnes animas esse omnia, secundum vero quod operatur in ipsa, quamlibet esse: hoc autem est, aliam quidem in actione uniri, aliam in cognitione, aliam in appetitu: atque insuper ex eo differre, quod alia alia intuentur, et, quae intuentur, eadem sunt et fiunt. Plenum quoque munus atque perfectum convenit animabus, neque tamen omnibus idem, sed ita se habent, ac si universa earum coordinatio varia esse dicatur. Una enim est ratio universa, multiplex atque varia, velut animal aliquod animale atque multiforme. Quod si ita est, et coordinatio est, neque entia sunt a se invicem penitus disgregata, neque quicquam temere factum in ipso entium ordine alicubi reperitur, neque etiam in corporibus. Idcirco et consequens est, exstare quendam numerum consequentem. Nam et consistere oportet entia, ipsaque intelligibilia eadem esse, et unumquodque esse numero unum: sic enim de unoquoque hoc aliquid dicitur. Ubi enim in genere corporum naturaliter fluunt singula, utpote quae adventitiam speciem sortiuntur, nimirum esse secundum speciem hic perpetuum imitatione quadam entium reperitur. At penes entia, utpote quae non ex compositione sunt, ipsum esse est in eo, quod est numero unum, quod quidem exsistit etiam ab initio, neque fit, quod ante non erat, neque, quod est, non erit: quoniam, etsi quid erit, quod ipsa faciat, certe non ex materia faciet. Quod si ita est, oportet aliquid etiam ex se ipso essentiale adjungere. Quapropter hoc ipsum circa illud permutatio erit, si nunc plus facit aut minus. Praeterea quaeri potest, cur agat nunc, neque eodem modo semper. Atqui et quod factum est, non erit sempiternum, siquidem plus admittit et minus: anima vero tale quiddam posita est. Quomodo igitur infinitum erit, si firmabitur? Forsan potentia infinitum, quoniam infinita est ipsa potentia,

ὡς μερισθησομένης εἰς ἄπειρον, ἐπεὶ καὶ ὁ θεὸς οὐ πεπερασμένος. Καὶ αὕται τοίνυν οὐ πέρατι ἀλλοτρίῳ ἐστὶν ἑκάστη ὅ ἐστιν, οἷον τοσαύτη, ἀλλ' αὐτή ἐστιν, ὅσον θέλει· καὶ οὐ μή ποτε γένηται προϊοῦσα ἔξω αὐτοῦ, ἀλλὰ φθάνει μὲν πανταχοῦ, ὅ πέφυκεν αὐτῆς ἐπὶ τὰ σώματα εἰς τὰ σώματα φθάνειν· οὐ μὴν διέσπασται ἀφ' ἑαυτῆς, ὅταν ᾖ καὶ ἐν τῷ δακτύλῳ καὶ ἐν τῷ ποδί. Οὕτω δὴ καὶ ἐν τῷ παντί, εἰς ὃ ἂν φθάνῃ, ἐν ἄλλῳ καὶ ἄλλῳ μέρει φυτοῦ· καὶ ἀποτετμημένου, ὥστε εἶναι καὶ ἐν τῷ ἐξ ἀρχῆς φυτῷ, καὶ τῷ ἀπ' αὐτοῦ τετμημένῳ. Ἓν γὰρ τὸ σῶμα τοῦ παντός, καὶ ὡς ἐν ἑνί ἐστιν αὐτοῦ πανταχοῦ. Καὶ σαπέντος δὲ ζώου, εἰ πολλὰ ζῶα ἐξ αὐτοῦ, ἐκείνη μὲν οὐκέτι ἐστὶν ἡ τοῦ παντὸς ζώου ψυχὴ ἐν τῷ σώματι· οὐ γὰρ ἔχει αὖ τὸ δεκτικὸν αὐτῆς, οὐ γὰρ αὖ ἀπέθανε. Τὰ δὲ ἐκ τῆς φθορᾶς ἐπιτηδείως ἔχοντα πρὸς γενέσεις ζώων, τὰ μὲν τῶνδε, τὰ δὲ τῶνδε ἴσχει ψυχήν, οὐδενὸς ὄντος ὅτου ἀποστατεῖ· ὄντος δὲ τοῦ μὲν δέχεσθαι, τοῦ δὲ μὴ δέχεσθαι δυναμένου· καὶ τὰ γιγνόμενα οὕτως ἔμψυχα οὐ πλείους ἐποίησε ψυχάς· ἐξήρτηται γὰρ τῆς μιᾶς, ἣ μένει μία· ὥσπερ καὶ ἐν ἡμῖν, ἀποτεμνομένων τινῶν, ἄλλων δὲ ἀντ' αὐτῶν φυομένων, τῶν μὲν ἀπέστη ἡ ψυχή, τοῖς δὲ προσεγένετο, ἕως ἡ μία μένει. Ἐν δὲ τῷ παντὶ μένει ἀεὶ ἡ μία· τὰ δὲ ἐντὸς τὰ μὲν ἴσχει, τὰ δὲ ἀποτίθεται, τῶν αὐτῶν ψυχικῶν μενόντων.

non tanquam quae dividenda sit in infinitum, quando et deus non est terminatus. Sic itaque se habent et animae: non enim per terminum alienum est quaelibet id, quod est, velut tanta, sed ipsa, quantum vult, exsistit, neque unquam adducitur, ut extra hoc ipsum digrediatur, sed profluit quidem per totum, quod ex ipsa ita natura comparatum est, ut per corpora in corpora currat: neque tamen a se ipsa distrahitur, quando inest et in digito manus simul et pede. Sic utique et in universo in quodcumque percurrit, in alia atque alia velut parte plantae. Et secta parte aliqua restat et in planta priori, et in eo, quod ab ipsa separatum est. Unum namque est universi corpus, et tanquam in uno est ipsius ubique. In putrefacto autem animali, si plura ex ipso animalia oriantur, illa quidem non ulterius totius animalis anima est in corpore: non enim habet tunc sibi proprium susceptaculum, neque etiam periit. Quae vero ex putrefactione apta sunt ad animalium genituram, partim quidem horum, partim etiam illorum accipiunt animam: quippe cum anima ipsa nusquam desit: cum tamen aliud hanc accipere possit, aliud nequeat, et quae ita viventia fiunt, non cogunt plures animas esse: pendent enim ab una, quatenus illa permanet una. Quemadmodum et in nobis quando aliqua amputantur, pro quibus alia pullulent, ab illis quidem abest anima, his autem sese adhibet, quatenus una permanet. In universo autem permanet semper una. Quae vero in universo sunt, alia quidem vitam retinent, alia vero nequaquam, cum tamen interea eaedem perseverent ipsius animae vires.

Secunda quaestio: Quot modis insinuetur anima corpori, et qualis sit anima mundi, et quomodo faciat mundum et dimensionem ejus, et quomodo sit ubique.

Θ'. Ἀλλὰ πῶς ἐγγίγνεται σώματι ψυχή, ζητητέον, τίς ὁ τρόπος καὶ πῶς· οὐχ ἧττον γὰρ καὶ τοῦτο θαυμάσαι τε καὶ ζητῆσαι ἄξιον. Ἐπεὶ τοίνυν διττὸς ὁ τρόπος τῆς εἰς σῶμα ψυχῆς εἰσόδου· ἡ μὲν γὰρ γίγνεται ψυχῇ ἐν σώματι οὔσῃ, τῇ τε μετενσωματουμένῃ, καὶ τῇ ἐκ σώματος ἀερίνου ἢ πυρίνου εἰς γήϊνον γιγνομένῃ, ἣν δὴ μετενσωμάτωσιν οὐ λέγουσιν εἶναι, ὅτι ἄδηλον τὸ ἀφ' οὗ ἡ εἴσκρισις. Ἡ δὲ ἐκ τοῦ ἀσωμάτου εἰς ὁτιοῦν σῶμα· ἣ δὴ καὶ πρώτη ἂν εἴη ψυχῇ κοινωνία σώματι, ὀρθῶς ἂν ἔχοι ἐπισκέψασθαι περὶ ταύτης, τί ποτέ ἐστι τὸ γιγνόμενον πάθος τότε, ὅτε ψυχὴ καθαρὰ οὖσα σώματος πάντῃ ἴσχει περὶ αὑτὴν σώματος φύσιν. Περὶ μὲν δὴ τῆς τοῦ παντὸς ἐντεῦθεν γὰρ ἴσως ἄρξασθαι μᾶλλον δὴ ἀναγκαῖον τυγχάνει. Δεῖ δὲ τῷ λόγῳ τὴν εἴσοδον καὶ τὴν ἐμψύχωσιν διδασκαλίας καὶ τοῦ σαφοῦς χάριν γίγνεσθαι νομίζειν· ἐπεὶ οὐκ ἦν ὅτε οὐκ ἐψυχοῦτο τόδε τὸ πᾶν· οὐδ' ἐνῆν ὅτε σῶμα ὑφειστήκει ψυχῆς ἀπούσης, οὐδὲ ὕλη ποτέ, ὅτε ἀκόσμητος ἦν· ἀλλ' ἐπινοῆσαι ταῦτα χωρίζοντας αὐτὰ ἀπ' ἀλλήλων τῷ λόγῳ οἷόν τε. Ἔξεστι γὰρ ἀναλύειν τῷ λόγῳ καὶ τῇ διανοίᾳ πᾶσαν σύνθεσιν· ἐπεὶ τό γε ἀληθὲς ὧδε ἔχει. Σώματος μὲν μὴ ὄντος οὐδ' ἂν προέλθοι ψυχή, ἐπεὶ οὐδὲ τόπος ἄλλος ἐστίν, ὅπου πέφυκεν εἶναι. Προϊέναι δὲ εἰ μέλλοι, γεννήσει ἑαυτῇ τόπον, ὥστε καὶ σῶμα. Τῆς δὴ στάσεως αὐτῆς ἐν αὐτῇ τῇ στάσει οἱονεὶ ῥωννυμένης, οἷον πολὺ φῶς ἐκλάμψαν, ἐπ' ἄκροις τοῖς ἐσχάτοις τοῦ πυρὸς σκότος ἐγίνετο, ὅπερ ἰδοῦσα ἡ ψυχή,

IX. Quaerendum est praeterea quomodo anima insinuetur corpori: non enim minori hoc admiratione et investigatione dignum esse videtur. Duplex autem modus est, per quem anima corpus ingreditur: unus quidem fit anima jam conjuncta corpori, atque vel solida corpora commutante, vel ex corpore aerio sive igneo in terreum perveniente, quam multi non nominant commutationem corporum, quoniam occultum est, unde insinuatio veniat. Alter vero modus est, quo anima ex incorporeo in corpus quodlibet labitur: quod quidem primum animae cum corpore commercium est. Operae pretium est in primis de hoc ipso considerare, quaenam tunc passio fiat, quando anima pura adhuc omnino a corpore vivens, corporis sibi primum adsciscit naturam. Forsan vero decens est, a totius anima exordiri, imo et necessarium, de hac ipsa consequi veritatem: adeo ut ingressum ejus animationemque corporis planioris doctrinae gratia inchoare verbis aggredimur: quandoquidem nullum unquam fuit tempus, in quo non animaretur hoc universum: neque potuit unquam absente anima corpus subsistere, neque materia unquam informis exsistere valuit. Licet tamen haec inter se cogitatione quadam verbisque discernere. Omnem namque compositionem cogitatione licet verbisque resolvere. Jam vero ita se veritas habet. Nisi corpus sit, anima nequaquam progredietur: non enim est locus alius, ubi se queat naturaliter propagare. Quodsi progressura sit, aedificabit sibi locum: corpus igitur generabit. Cum vero status ejus in ipso statu corroboretur, ceu lumen plurimum in summis effulgens, interim quasi in ipsis ignis extremis umbra resultat, quam quidem prospiciens

ἐπείπερ ὑπέστη, ἐμόρφωσεν αὐτό. Οὐ γὰρ ἦν θεμιτὸν γειτονοῦν τι αὐτῇ λόγου ἄμοιρον εἶναι, οἷον ἐδέχετο τὸ λεγόμενον ἀμυδρὸν, ἐν ἀμυδρῷ τῷ γενομένῳ. Γενόμενος δὴ οἷον οἶκός τις καλὸς καὶ ποικίλος οὐκ ἀπετμήθη τοῦ πεποιηκότος, οὐδ' αὖ ἐκοίνωσεν αὐτὸν αὐτῷ, ἀλλὰ πανταχοῦ πᾶς ἄξιος ἐπιμελείας νομισθεὶς, ὠφελίμου μὲν ἑαυτῷ τῷ εἶναι καὶ τῷ καλῷ, ὅσον δὴ τοῦ εἶναι δυνατὸν ἦν αὐτῷ μεταλαμβάνειν, ἀβλαβοῦς δὲ τῷ ἐφεστηκότι· ἄνω γὰρ μένων ἐπιστατεῖ· ἔμψυχος τῷ τοιούτῳ τρόπῳ ἔχων ψυχὴν οὐχ αὐτοῦ, ἀλλ' αὐτῷ, κρατούμενος, οὐ κρατῶν, καὶ ἐχόμενος, ἀλλ' οὐκ ἔχων. Κεῖται γὰρ ἐν τῇ ψυχῇ ἀνεχούσῃ αὐτὸν, καὶ οὐδὲν ἄμοιρόν ἐστιν αὐτῆς, ὡς ἂν ἐν ὕδασι δίκτυον τεγγόμενον ζῴη, οὐ δυνάμενον δὲ αὐτοῦ ποιεῖσθαι ἐν ᾧ ἐστιν, ἀλλὰ τὸ μὲν δίκτυον ἐκτεινομένης ἤδη τῆς θαλάσσης συνεκτέταται ὅσον αὐτὸ δύναται· οὐ γὰρ δύναται ἀλλαχόθι ἕκαστον τῶν μορίων, ἢ ὅπου κεῖται, εἶναι. Ἡ δὲ τοσαύτη ἐστὶ τὴν φύσιν, ὅτι μὴ τοσήδε, ὥστε πᾶν τὸ σῶμα καταλαμβάνειν τῷ αὐτῷ, καὶ ὅπου ἂν ἐκταθῇ ἐκεῖνο, ἐκεῖ ἐστι· καὶ εἰ μὴ εἴη δὲ ἐκεῖνο, οὐδὲν ἂν αὐτῇ εἰς μέγεθος μέλοι· ἔστι γὰρ ἥτις ἐστί. Τοσοῦτο γάρ ἐστι τὸ πᾶν, ὅπου ἐστὶν αὐτὴ, καὶ ὁρίζεται τὸ ὅσον, εἰς ὅσον προϊὸν σώζουσαν αὐτὴν αὐτὸ ἔχει. Καὶ τοσαύτη ἐστὶν ἡ σκιὰ, ὅσος ὁ λόγος ὁ παρ' αὐτῆς. Ὁ δὲ λόγος τοιοῦτος ἦν, ὡς μέγεθος τοσοῦτον ἐργάσασθαι, ὅσον τὸ εἶδος αὐτοῦ ἐβούλετο μέγεθος ἐργάσασθαι.

anima, postquam substitit, formavit ipsam. Nefas enim erat, aliquid animae proximum esse rationis expers; ideoque in eo, *quod deinceps factum est*, exile nimirum et obscurum susceptum est etiam, quod et umbratile dicitur. Factus itaque mundus tanquam aedificium quoddam speciosum atque varium non est separatum ab effectore, *neque rursus se illi commiscuit*, *sed totus ubique existimatus est* cura et diligentia dignus, adeo ut sibi quidem id conducat ad ipsum esse, pulchrumque esse, quoad poterat esse ipsum participare: auctori vero non commixto hoc idem sit innoxium: *in excelsis enim permanens praesidet.* Nempe mundus sic est animatus, ut non tam ipsius, quam ipsi habeat animam: superatus non superans, habitus quoque non habens. Jacet enim in anima eum sustinente, *neque quicquam in eo animae ipsius est expers.* Quemadmodum in aquis rete quasi madefactum vivat, neque tamen potens naturae ipsius, in quo est, evadere, sed rete quidem extento jam mari simul extenditur, quatenus ipsum potest. Nequit enim unaquaeque partium alibi, quam ubi ponitur, esse. Anima vero tanta tamque ingens est naturaliter, quoniam non determinatur ad tantum: itaque potest uno quodam eodemque corpus omne complecti, et quacumque illud extenditur, ibidem est et illa. Ac nisi esset illud, nulla animae cura foret ad magnitudinem occupandam: est namque in se, quaecumque est. Tantum enim est universum, quatenus occupat ipsa: et mundo determinatur quantum, in quantum procedens ipsum habet ipsam conservatricem. Tum umbra tanta est, quanta est et ratio pendens ab anima. Ratio autem talis erat, ut tantam efficeret magnitudinem, quantam species ipsius magnitudinem effici voluit.

Anima mundi generat mundum non electione, sed naturali fecunditate, plena rationibus, plenum formis similibus rationum.

Ι'. Οὕτω δὴ ἀκούσαντας χρὴ πάλιν ἐπὶ τὸ ἀεὶ οὕτως ἐλθόντας ὁμοῦ λαβεῖν πάντα ὄντα, οἷον τὸν ἀέρα, τὸ φῶς, τὸν ἥλιον, ἢ τὴν σελήνην· καὶ τὸ φῶς, καὶ πάλιν τὸν ἥλιον ὁμοῦ πάντα, τάξιν δὲ πρώτων καὶ δευτέρων καὶ τρίτων ἔχοντα, καὶ ἐνταῦθα ψυχὴν ἀεὶ ἑστῶσαν· εἶτα πρῶτα καὶ τὰ ἐφεξῆς· ὡς πυρὸς ἔσχατα εἰς ὕστερον, τοῦ πρώτου ἐκ τοῦ ἐσχάτου νοουμένου πυρὸς σκιᾶς· εἶτα ἐπιφωτιζομένου ἅμα καὶ τούτου, ὥστε οἷον εἶδος ἐπιθεῖν τῷ ἐπιβληθέντι, πρώτῳ γενομένῳ παντάπασιν ἀμυδρῷ. Ἐκοσμεῖτο δὲ κατὰ λόγον ψυχῆς δυνάμει ἐχούσης ἐν αὐτῇ δι' ὅλης δύναμιν κατὰ λόγους κοσμεῖν, οἷα καὶ οἱ ἐν σπέρμασι λόγοι πλάττουσι καὶ μορφοῦσι τὰ ζῶα, οἷον μικρούς τινας κόσμους. Ὅ τι γὰρ ἂν ἐφάψηται ψυχῆς, οὕτω ποιεῖται, ὡς ἔχει φύσεως ψυχῆς ἡ οὐσία. Ἡ δὲ ποιεῖ οὐκ ἐπακτῷ γνώμῃ, οὐδὲ βουλὴν ἢ σκέψιν ἀναμείνασα· οὕτω γὰρ ἂν οὐ κατὰ φύσιν, ἀλλὰ κατ' ἐπακτὸν τέχνην ἂν ποιοῖ. Τέχνη γὰρ ὑστέρα αὐτῆς, καὶ μιμεῖται ἀμυδρὰ καὶ ἀσθενῆ ποιοῦσα μιμήματα, παίγνια ἄττα καὶ οὐ πολλοῦ ἄξια, μηχαναῖς πολλαῖς εἰς εἰδώλων φύσιν προσχρωμένη. Ἡ δὲ οὐσίας δυνάμει κυρία σωμάτων, εἰς τὸ γενέσθαι τε καὶ οὕτως ἔχειν, ὡς αὐτὴ ἄγει, οὐ δυναμένων τῶν ἐξ ἀρχῆς ἐναντιοῦσθαι τῇ αὐτῆς βουλήσει. Ἐν γὰρ τοῖς ὑστέροις δι' ἄλληλα ἐμποδίζοντα πολλάκις ἀποστερεῖται τοῦ τυχεῖν μορφῆς τῆς οἰκείας, ἣν ὁ λόγος ὁ ἐν σμικρῷ θέλει. Ἐκεῖ δὲ γιγνομένης

X. Cum haec consideraverimus, oportet rursus ad id revertentes, quod semper ita se habet, entia cuncta simul accipere, velut aerem, lumen, solem, vel lunam: et lumen solemque rursus omnia simul, habentia tamen ordinem primorum secundorumque et tertiorum: et hic animam semper consistentem considerare: deinde prima, et quae deinceps, velut ignis ultima in posterius, primo videlicet extremo velut umbra ignis considerato: deinde hoc etiam simul illuminato, adeo ut species quasi superferatur in id adhibitum, quod primo factum erat prorsum obscurum, [ ipsumque vestiat ]. Ornatum vero est secundum rationem, ipsius animae potestate, habentis scilicet per totam se ipsam vim, qua per rationes exornet: quemadmodum et in seminibus rationes fingunt formantque viventia quasi exiguos quosdam mundos. *Quicquid enim attingit animam, sic inde perficitur*, prout essentia animae naturaliter sese habet. Haec autem facit non adventitia quadam sententia, nec consilium considerationemve exspectans: sic enim non per naturam, sed per *artem faceret acquisitam.* Nam ars ipsa posterior est, atque imitatur umbratilia debiliaque imitamina, fabricans ludicra quaedam parvique momenti, multis ad simulacra fingenda machinis utens. Anima vero *per ipsam essentiae potestatem sic est domina corporum*, ut haec non aliter fiant atque disponantur, quam ipsa perducat: quippe cum ea etiam, quae ab initio fiunt, ipsius voluntati nequeant reluctari. In rebus namque sequentibus *ob mutua passim impedimenta saepe materia sic impeditur*, ut formam non recipiat propriam, quam videlicet volebat ratio in parvo quodam seminario delitescens. Ibi vero cum universa etiam forma inde fiat, et, quae fiunt,

καὶ τῆς ὕλης μορφῆς ὑπ' αὐτῆς, καὶ τάξιν τῶν γινομένων ἅμα ἐχόντων, ἀπόνως τὸ γιγνόμενον καὶ ἀνεμποδίστως καλόν ἐστι. Κατεσκευάσατο δὲ ἐν αὐτῷ τὰ μὲν θεῶν ἀγάλματα, τὰ δὲ ἀνθρώπων οἰκήματα, τὰ δὲ ἄλλα ἄλλοις. Τί γὰρ ἔδει γίγνεσθαι παρὰ ψυχῆς, ἢ ὧν τὴν δύναμιν εἰς τὸ ποιεῖν ἔχει; πυρὸς μὲν γὰρ θερμὰ ποιεῖν, καὶ τὸ ψύχειν, ἄλλου· ψυχῆς δὲ, τὸ μὲν ἐξ αὐτῆς εἰς ἄλλο, τὸ δὲ ἐν αὐτῇ· τοῖς μὲν γὰρ ἀψύχοις τὸ μὲν ἐξ αὐτῶν οἷον εὕδει κείμενον ἐν αὐτοῖς, τὸ δὲ εἰς ἄλλο, ὁμοιῶσαι πρὸς αὐτὸ τὸ παθεῖν δυνάμενον. Καὶ κοινὸν δὴ τοῦτο παντὶ τῷ ὄντι εἰς ὁμοίωσιν ἑαυτῷ ἄγειν· ψυχῆς δὲ ἔργον, καὶ τὸ ἐν αὐτῇ, ἐγρηγορός τι, καὶ τὸ εἰς ἄλλο, ὡσαύτως. Ζῆν οὖν καὶ τὰ ἄλλα ποιεῖ, ὅσα μὴ ζῇ παρ' αὐτῶν, καὶ τοιαύτην ζωὴν, καθ' ἣν αὐτὴ ζῇ. Ζῶσα οὖν ἐν λόγῳ λόγον δίδωσι τῷ σώματι, εἴδωλον οὗ ἔχει· καὶ γὰρ καὶ εἴδωλον ζωῆς, ὅσον δίδωσι τῷ σώματι, καὶ μορφὰς σωμάτων, ὧν τοὺς λόγους ἔχει· ἔχει δὲ καὶ θεῶν καὶ πάντων. Διὸ πάντα καὶ ὁ κόσμος ἔχει.

ordinem simul habeant, mirum quod efficitur, absque labore impedimentoque provenit pulchrum. Constituta vero sunt in ipso alia quidem deorum delubra, alia hominum domicilia, alia aliis accommodata similiter. Quid enim potius debuit ab anima fieri, quam ea, ad quae facienda vim habet? Ignis namque proprium est calida facere, et cujusdam alterius frigefacere: at animae opus partim quidem ex ipsa in aliud, partim etiam in se ipsa. In rebus quidem inanimatis, quod est ex ipsis, quasi consopitum jacet in eis, quod autem tendit in aliud, potest utcunque, quod inde pati potest, sibi simile reddere. Jam vero id omnibus est commune, ad ipsam sui similitudinem in agendo contendere: animae vero opus, et quod est in ipsa, vigilans quiddam est, et efficax: et quod tendit in aliud, est persimile. Efficit ergo, ut et alia vivant quaecunque per se non vivunt, talique vita vivant, quali vivit et ipsa. Haec igitur vivens in ratione tradit et corpori rationem, velut suae rationis imaginem. Etenim quantum vitae impertit corpori, vitae est imago, simulque formas impertit corporeas, quarum possidet rationes: habet autem et deorum rationes, et omnium. Quapropter hic quoque mundus omnia possidet.

Magica trahit vim propriè ab anima mundi diisque mundanis per haec a superioribus.

ΙΑ'. Καί μοι δοκοῦσιν οἱ πάλαι σοφοὶ, ὅσοι ἐβουλήθησαν θεοὺς αὐτοῖς παρεῖναι, ἱερὰ καὶ ἀγάλματα ποιησάμενοι, εἰς τὴν τοῦ παντὸς φύσιν ἀπιδόντες, ἐν νῷ λαβεῖν, ὡς πανταχοῦ μὲν εὐάγωγον ψυχῆς φύσις· δέξασθαί γε μὴν ῥᾷστον ἂν εἴη ἁπάντων, εἴ τις προσπαθές τι τεκτήναιτο, ὑποδέξασθαι δυνάμενον μοῖράν τινα αὐτῆς. Προσπαθὲς δὲ τὸ ὁπωσοῦν μιμηθὲν, ὥσπερ κάτοπτρον ἁρπάσαι εἶδός τι δυνάμενον. Καὶ γὰρ ἡ τοῦ παντὸς φύσις πάντα εὐμηχάνως ποιησαμένη εἰς μίμησιν, ὧν εἶχε τοὺς λόγους, ἐπειδὴ ἕκαστον οὕτως ἐγένετο, [ὁ] ἐν ὕλῃ λόγος, ὃς κατὰ τὸν πρὸ ὕλης ἐμεμόρφωτο, συνήψατο τῷ θεῷ ἐκείνῳ, καθ' ὃν ἐγίγνετο, καὶ εἰς ὃν εἶδεν ἡ ψυχὴ καὶ εἶχε ποιοῦσα. Καὶ δὴ οὐχ οἷόν τε ἦν ἄμοιρον αὐτοῦ γενέσθαι, οὐδὲ ἐκεῖνον αὖ κατελθεῖν εἰς τοῦτον. Ἦν δὴ νοῦς ἐκεῖνος ὁ ἐκεῖ ἥλιος· οὗτος γὰρ ἡμῖν γιγνέσθω παράδειγμα τοῦ λόγου· ἐφεξῆς δὲ τούτῳ ψυχὴ ἐξηρτημένη μένοντος νοῦ, μένουσα. Δίδωσι δὲ αὐτὴ τὰ πέρατα αὐτῆς, τὰ πρὸς τοῦτον τὸν ἥλιον, τούτῳ τῷ ἡλίῳ, καὶ ποιεῖ διὰ μέσου αὐτῆς κἀκεῖ συνῆφθαι, οἷον ἑρμηνευτικὴ γενομένη τῶν τε ἀπ' ἐκείνου εἰς τοῦτον, καὶ τῶν τούτου εἰς ἐκεῖνον, ὅσον διὰ ψυχῆς εἰς ἐκεῖνον φθάνει. Οὐ γὰρ μακρὰν οὐδὲ πόῤῥω οὐδενὸς οὐδὲν καὶ αὖ πόῤῥω τῇ διαφορᾷ καὶ τῇ μίξει, ἀλλ' εἶναι ἐφ' ἑαυτοῦ οὐ τόποις, καὶ συνεῖναι χωρὶς ὄν. Θεοὶ δέ εἰσιν οὗτοι τῷ ἀεὶ μὴ ἀποστατεῖν ἐκείνων, καὶ τῇ μὲν ἐξ ἀρχῆς ψυχῇ προσηρτῆσθαι, τῇ οἷον ἀπελθούσῃ ψυχῇ· ταύτῃ δὲ, ἥπερ καὶ εἰσὶ, καὶ ὃ λέγονται πρὸς νοῦν βλέπειν, οὐδαμοῦ ψυχῆς αὐτῆς ἢ ἐκεῖ βλεπούσης.

XI. Atqui mihi videntur veteres sapientes, quicunque optabant sibi adesse deos sacra statuasque fabricantibus, in ipsam universi naturam mentis aciem direxisse, atque inde animadvertisse naturam animae ubique ductu facilem admodum promptamque esse, omniumque facillime posse capi, si quis fabricaverit aliquid, quod facile ab ipsa pati possit, patiendoque portionem aliquam ab ipsa sortiri. Facile vero patiens est, quod qualitercunque modo imitationi aptum est, velut speculum speciem quandam arripere potens. Etenim universi natura omnia mirabili quodam artificio fabricat ad illorum imitationem, quorum in se possidet rationes: cumque sic unumquodque fiat, certe ratio in materia, quae secundum rationem materia superiorem formata est, conjuncta est illi deo, secundum quem genita fuit, et in quem suspexit anima, habuitque dum faceret. Proinde neque possibile erat, hic aliquid fieri divinitatis expers, neque rursus illum ad ista descendere. Illa siquidem mens ipsa est, ceu sol divinus, qui nobis esto rationis exemplar: proxima vero huic succedit anima, suspensa intellectui manenti manens: dat enim haec terminos suos ad solem hunc vergentes ejusmodi soli, efficitque per se velut mediam, ut illic iterum sequentia religentur, velut interpres tum eorum, quae inde huc deducuntur, tum eorum, quae hinc illuc reducuntur, quantum per animam praecurrit in mentem. Neque enim longe semotum aliquid est ab aliquo; rursusque semotum per differentiam quandam et mistionem: sed est in se ipso, neque tamen secundum locum, et quodlibet ibi conspirat simulque permanet et distinctum. Dii vero hi sunt, quatenus ab illis nunquam destituuntur, atque animae prodeunti ab initio adjunguntur: animae tamen velut inde huc usque sese diffundenti quodammodo jam abeunti. Hac autem ratione quatenus et sunt, et quod respicere dicuntur ad intellectum, divini dicuntur, ipsa videlicet anima non alio, quam illuc, semper suspiciente.

De differenti animarum descensu; de misericordia Jovis erga animas; de consonantia mundi.

ΙΒ'. Ἀνθρώπων δὲ ψυχαὶ εἴδωλα αὐτῶν ἰδοῦσαι, οἷον Διονύσου ἐν κατόπτρῳ, ἐκεῖ ἐγένοντο ἄνωθεν ὁρμηθεῖσαι, οὐχ ἀποτμηθεῖσαι οὐδ' αὗται τῆς ἑαυτῶν

XII. Hominum vero animae ipsarum simulacra tanquam Dionysi prospicientes in speculo, illic extiterunt desuper properantes, neque tamen a principio suo intellectuque

ἀρχῆς τε καὶ νοῦ. Οὐ γὰρ μετὰ τοῦ νοῦ ἦλθον, ἀλλ' ἔφθασαν μὲν μέχρι γῆς, κάρα δ' αὐταῖς ἐστήρικται ὑπεράνω τοῦ οὐρανοῦ. Πλέον δ' αὐταῖς κατελθεῖν συμβέβηκεν, ὅτι τὸ μέσον αὐταῖς ἠναγκάσθη, φροντίδος δεομένου τοῦ εἰς ὃ ἔφθασαν, φροντίσαι. Ζεὺς δὲ πατὴρ ἐλεήσας πονουμένας θνητὰ αὐτῶν τὰ δεσμὰ ποιῶν περὶ ἃ πονοῦνται, δίδωσιν ἀναπαύλας ἐν χρόνοις, ποιῶν σωμάτων ἐλευθέρας, ἵν' ἔχοιεν ἐκεῖ καὶ αὗται γίγνεσθαι, οὗπερ ἡ τοῦ παντὸς ψυχὴ ἀεὶ οὐδὲν τὰ τῇδε ἐπιστρεφομένη. Ὃ γὰρ ἔχει τὸ πᾶν ἤδη, τοῦτο αὔταρκες αὐτῷ καὶ ἔστι καὶ ἔσται κατὰ λόγους ἀεὶ ἑστηκότας ἐν χρόνοις περαινόμενον, καὶ κατὰ χρόνους ἀεὶ εἰς τὸ αὐτὸ καθιστάμενον, ἐν μέτροις βίων ὡρισμένων, εἰς συμφωνίαν ἀγόμενα ταῦτα ἐκείνοις, καὶ κατ' ἐκεῖνα τῶνδε περαινομένων, ὑφ' ἕνα λόγον πάντων τεταγμένων, ἔν τε καθόδοις ψυχῶν καὶ ἀνόδοις, καὶ εἰς τὰ ἄλλα σύμπαντα· μαρτυρεῖ δὲ καὶ τὸ τῆς συμφωνίας τῶν ψυχῶν πρὸς τὴν τοῦδε τοῦ παντὸς τάξιν οὐκ ἀπηρτημένων, ἀλλὰ συναπτουσῶν ἐν ταῖς καθόδοις ἑαυτὰς, καὶ μίαν συμφωνίαν πρὸς τὴν περιφορὰν ποιουμένων, ὡς καὶ τὰς τύχας αὐτῶν καὶ τοὺς βίους καὶ τὰς προαιρέσεις σημαίνεσθαι τοῖς τῶν ἄστρων σχήμασι, καὶ οἷον μίαν τινὰ φωνὴν ἐμμελῶς ἀφιέναι, καὶ τὸ μουσικῶς καὶ ἐναρμονίως μᾶλλον τοῦτο εἶναι ᾐνιγμένον. Τοῦτο δὲ οὐκ ἂν ἦν μὴ τοῦ παντὸς κατ' ἐκεῖνα ποιοῦντος καὶ πάσχοντος ἕκαστα ἐν μέτροις περιόδων καὶ τάξεων καὶ βίων κατὰ γένη διεξόδων, ἃς αἱ ψυχαὶ διεξοδεύουσιν, ὁτὲ μὲν ἐκεῖ, ὁτὲ δὲ ἐν οὐρανῷ, ὁτὲ δὲ εἰς τούσδε τοὺς τόπους ἐπιστρεφόμεναι. Νοῦς δὲ πᾶς ἀεὶ ἄνω, καὶ οὐ μήποτε ἔξω τῶν αὐτοῦ γένοιτο, ἀλλ' ἱδρυμένος πᾶς ἄνω, πέμπει εἰς τὰ τῇδε διὰ ψυχῆς. Ψυχὴ δὲ ἐκ τοῦ πλησίον μᾶλλον κατὰ τὸ ἐκεῖθεν διάκειται εἶδος, καὶ δίδωσι τοῖς ὑπ' αὐτὴν, ἡ μὲν ὡσαύτως, ἡ δὲ ἄλλο τε ἄλλως, ἴσχουσα ἐν τάξει τὴν πλάνην. Κάτεισι δὲ οὐκ ἀεὶ τὸ ἴσον, ἀλλ' ὁτὲ μὲν πλέον, ὁτὲ δὲ ἔλαττον, κἂν πρὸς τὸ αὐτὸ γένος ἴῃ· κάτεισι δὲ εἰς ἕτοιμον ἑκάστη καθ' ὁμοίωσιν τῆς διαθέσεως· ἐκεῖ γὰρ, ᾧ ἂν ὁμοιωθεῖσα ᾖ, φέρεται, ἡ μὲν εἰς ἄνθρωπον, ἡ δὲ εἰς ζῷον ἄλλη ἄλλο.

ac mente. Neque enim una cum intellectu descenderunt, sed pervenerunt quidem usque ad terram; at interim caput earum exstat etiam super caelum. Contigit tamen eis inferius descendere longius, quoniam media earum potentia curare diligentius cogitur: quippe cum id ipsum, in quod descendunt, cultu propius indigeat. Jupiter vero pater laborantes animas miseratus, earum vincula, quibus laborant, solubilia fabricavit: atque ita intermissiones laborum certis temporum intervallis instituit, in quibus liberae viverent a corporibus: ut ipsae quoque ibi quandoque forent, ubi est mundi anima semper, circa haec sollicita nunquam. Quod enim jam habet mundus, hoc sibi sufficit atque sufficiet secundum rationes perpetuo consistentes in temporibus rite peractum, perque certa curricula temporum in idem perpetuo restitutum, per mensuras videlicet vitarum definitarum, in quibus haec una cum illis secundum illa in illorum consonantiam rediguntur: dum haec omnia peraguntur sub una quadam ratione invicem ordinata, quantum ad descensus ascensusque animorum ceteraque omnia pertinet. Quod autem in animabus consonantia sit *ad ordinem universi, ita tamen, ut non tam dependeant,* quam in descendendo se ipsas accommodent, unamque concordiam cum mundana revolutione conficiant, id nobis argumento esse potest, quod astrorum figuris earum fortunae vitaeque et electiones significantur: quod vero dictum est, universum harmonice concentum unum edere, et per musicas consonantias id totum potius, quam per alia, ab antiquis, licet obscurius, est designatum. Id autem nequaquam sic se haberet, nisi mundus secundum illa faceret pateretque singula in statutis revolutionum et ordinum vitarumque curriculis per discursionum genera, quibus discurrunt animae, alias quidem illic, alias vero in caelo, alias autem ad inferiora conversae. Intellectus autem omnis semper est in excelsis, neque unquam e sua sede delabitur, sed firmiter omnis in alto consistens, non nihil per animam ad haec usque demittit. Anima vero e proximo magis secundum speciem inde vigentem afficitur traditque sequentibus, alia quidem eadem semper conditione, alia vero alias aliter, vagabundam varietatem certo quodam ordine retinens. Descendunt vero non semper aequaliter, sed aliquando quidem magis, aliquando vero minus, etiamsi ad idem se conferant genus: proinde ad suum quaeque paratumque delabitur pro affectionis suae similitudine. Quatenus enim illic similis huic aut illi jam evasit, deinde fertur haec quidem in hominem, haec vero in brutum hoc, aliaque in aliud.

Lex divina animis insita ducit eas tam sponte quam necessario ad terminos affectioni earum convenientes

ΙΓʹ. Τὸ γὰρ ἀναπόδραστον καὶ ἡ δίκη οὕτως ἐν φύσει κρατούσῃ ἰέναι ἕκαστον ἐν τάξει, πρὸς ὃ ἐστιν ἕκαστον γενόμενον εἴδωλον προαιρέσεως καὶ διαθέσεως ἀρχετύπου· καὶ ἔστιν ἐκεῖνο πᾶν ψυχῆς εἶδος ἐκείνου πλησίον, πρὸς ὃ τὴν διάθεσιν τὴν ἐν αὐτῇ ἔχει, καὶ τοῦ τότε πέμποντος καὶ εἰσάγοντος οὐ δεῖ· οὔτε ἵνα ἔλθῃ εἰς σῶμα τότε, οὔτε εἰς τοδί, ἀλλὰ καὶ τοῦ ποτε ἐνστάντος οἷον αὐτομάτως κάτεισι καὶ εἴσεισιν εἰς ὃ δεῖ· καὶ ἄλλος ἄλλῃ χρόνος, οὗ παραγενομένου οἷον κήρυκος καλοῦντος κατίασι, καὶ εἰσέδυ εἰς τὸ πρόσφορον σῶμα, ὡς εἰκάσαι τὰ γιγνόμενα οἷον δυνάμεσι μάγων, καὶ ὁλκαῖς τισιν ἰσχυραῖς κινεῖσθαί τε καὶ φέρεσθαι· οἷον καὶ ἐφ' ἑνὸς ἑκάστου τελεῖται ἡ τοῦ ζῴου διοίκησις, ἐν χρόνῳ ἕκαστον κινούσης καὶ γεννώσης, οἷον γενειάσεις

XIII. Quod igitur de inevitabili lege divinoque judicio dicitur, sic in natura consistit continente atque imperante, ut unumquodque procedat ordine, ad quod factum est unumquodque simulacrum praeelectionis affectionisque principalis. Estque illa universa animae species illi contigua et propinqua, erga quod in se concepit affectionem, spectatque ad illud, quod tunc mittit, quo oportet, et introducit, non quidem, ut eat tunc in corpus, vel in corpus tale, sed quando praescriptus jam instat terminus, animae velut ultro descendunt, quo oportet, et intrant. Stat enim sua cuique dies: qua denique imminente quasi citante praecone labuntur, corpusque sibi congruum intrant: atque ferme perinde se habent, ac si magorum viribus tractibusque potentibus moveantur atque trahantur. Praeterea sic se habent, sicut in quolibet viventis totius perficitur dispensatio, movens scilicet certo quolibet tempore, atque pro-

καὶ φύσεις κεράτων, καὶ νῦν πρὸς τάδε ὁρμὰς καὶ ἐπανθήσεις, πρότερον οὐκ οὔσας, καὶ περὶ τὰς τῶν δένδρων διοικήσεις ἐν προθεσμίαις τακταῖς γιγνομένων. Ἴασι δὲ οὔτε ἑκοῦσαι, οὔτε πεμφθεῖσαι, οὔτε τὸ ἑκούσιον τοιοῦτον, ὡς προελέσθαι, ἀλλ' ὡς τὸ πηδᾷν κατὰ φύσιν, ἢ πρὸς γάμων φυσικὰς προθεσμίας, ἢ ὡς πρὸς πράξεις τινὰς καλῶν, οὐ λογισμῷ κινούμενοι. Ἀλλ' εἱμαρμένον ἀεὶ τῇ τοιᾷδε τὸ τοιόνδε, καὶ τῇ τοιᾷδε τὸ νῦν, τῇδε τὸ αὖθις, καὶ ὁ μὲν πρὸ κόσμου νοῦς εἱμαρμένην ἔχει τὴν τοῦ μένειν ἐκεῖ, ὁπόσον καὶ πέμπειν. Καὶ τὸ καθ' ἕκαστον τῷ καθόλου ὑποπῖπτον νόμῳ πέμπεται· ἔγκειται γὰρ ἑκάστῳ τὸ καθόλου, καὶ ὁ νόμος οὐκ ἔξωθεν τὴν ἰσχὺν εἰς τὸ τελεσθῆναι ἴσχει, ἀλλὰ δέδοται ἐν αὐτοῖς χρησαμένοις εἶναι, καὶ περιφέρουσιν αὐτόν· κἂν ἐνστῇ καὶ ὁ χρόνος, καί, ὃ θέλει γενέσθαι, γίγνεται τότε ὑπ' αὐτῶν τῶν ἐχόντων αὐτόν· ὥστε αὐτοὺς αὐτὸν τελεῖν, ἅτε περιφέροντα καὶ ἰσχύσαντα, ἐν τῷ ἐν αὐτοῖς αὐτὸν ἱδρῦσθαι, οἷον βρίθοντα εἰς αὐτούς, καὶ προθυμίαν ἐμποιοῦντα, καὶ ὠδῖνα ἐκεῖ ἐλθεῖν, οὗ ὁ ἐν αὐτοῖς ὢν οἷον ἐλθεῖν φθέγγεται.

ducens, velut pilos et barbam cornuaque similiter, et certo quodam tempore ad talia quædam impetus atque vigores; item flores in plantis nequaquam antea germinantes, cæteraque in his similiter ordinatis quibusdam regulis distributa. Procedunt autem animæ neque sponte omnino, neque compulsæ. Neque enim sponte procedere ita his tribuitur, quasi consulto dicantur eligere, sed tanquam natura prosiliant, seu solemnes nuptiarum terminos ad naturales vel ad honestas actiones instinctu quodam potius, quam rationis consilio provocati. Verum semper tali cuidam tale quiddam inest fatale: item tali cuidam hoc momentum, tali vero momentum illud provenit fato decretum. Proinde intellectus mundo superior fatale habet illic assidue permanere, quatenus et huc aliquid inde demittere: tum vero singula communi subjecta legi gradatim inde mittuntur. Insita namque est unicuique norma communis, ipsaque lex nequaquam accipit ab extrinseco sui muneris absolvendi potentiam, sed ea prorsus conditione tradita est, ut ipsis utentibus insit eam passim circumferentibus: tum vero, quando imminet tempus, quod fieri lex ipsa decrevit, agitur tunc ab eis, qui intus legem habent, adeo, ut legem ipsi perficiant: utpote eos circumagentem, et propterea, quod fundatur in eis, decreta validius peragentem, quasi suo illos pondere prægravantem, dum et studium stimulumque intrinsecus incutit quo illuc proficiscantur, quo potissimum proficisci lex intima dictat.

De connexione hujus mundi per superiorem, et donis deorum descendentibus in opus mundanum.

ΙΔ'. Τούτων δὴ γιγνομένων φῶτα πολλὰ ὁ κόσμος οὗτος ἔχων καὶ καταυγαζόμενος ψυχαῖς ἐπικοσμεῖται ἐπὶ τοῖς προτέροις ἄλλους κόσμους, ἄλλον παρ' ἄλλου κομιζόμενος, παρά τε θεῶν ἐκείνων, παρά τε νῶν τῶν ἄλλων, ψυχὰς διδόντων· οἷον εἰκὸς καὶ τὸν μῦθον αἰνίττεσθαι, ὡς πλάσαντος τοῦ Προμηθέως τὴν γυναῖκα ἐπεκόσμησαν αὐτὴν καὶ οἱ ἄλλοι θεοί, γαῖαν ὕδει φύρειν, καὶ ἀνθρώπου ἐνθεῖναι φωνήν, θεαῖς δ' ὁμοίαν τὸ εἶδος, καὶ Ἀφροδίτην τι δοῦναι, καὶ Χάριτας, καὶ ἄλλον ἄλλο δῶρον, καὶ ὀνομάσαι ἐκ τοῦ δώρου καὶ πάντων τῶν δεδωκότων. Πάντες γὰρ τούτῳ ἔδοσαν τῷ πλάσματι, παρὰ προμηθείας τινὸς γενομένῳ. Ὁ δὲ Ἐπιμηθεὺς ἀποποιούμενος τὸ δῶρον αὐτοῦ, τί ἂν σημαίνοι, ἢ τὴν τοῦ ἐν νοητῷ μᾶλλον αἵρεσιν ἀμείνω εἶναι; δέδεται δὲ καὶ αὐτὸς ὁ ποιήσας, ὅτι πως ἐφάπτεται τοῦ γενομένου ὑπ' αὐτοῦ· καὶ ὁ τοιοῦτος δεσμὸς ἔξωθεν, καὶ ἡ λύσις, ἡ ὑπὸ Ἡρακλέους, ὅτι δύναμίς ἐστιν αὐτῷ, ὥστε καὶ ὡς λελύσθαι. Ταῦτα μὲν οὖν ὅπῃ τις δοξάζει· ἀλλ' ὅτι ἐμφαίνει τὰ τῆς εἰς τὸν κόσμον δόσεως, καὶ προσᾴδει τοῖς λεγομένοις.

XIV. Cum hæc ita se habeant, mundus hic habens lumina multa, illustratusque ab animabus exornatur præter priora alios mundos vel ornatus, alium habens ab alio, cum ab illis diis, tum ab aliis mentibus tradentibus animas. Tale quiddam verisimile est per fabulam indicari dicentem: Postquam Prometheus feminam effecisset, deos quoque alios eam adornavisse. Huc tendit, quod ibi traditur, terram aquæ fusæ permixtam: item figmento illi humanam vocem adhibitam: præterea speciem deas repræsentantem, tum Venerem et Gratias aliquid impertisse, donumque aliud alium, nomenque ex dono donatoribusque cunctis accepisse Pandoram. Omnes enim hoc figmentum aliquo munere donaverunt: figmentum, inquam, a providentia (græce *promethia*) quadam jam formatum. Quod autem Epimetheus donum ejus rejicit, quidnam aliud significat, quam acceptionem electionemque doni intelligibilis esse præstantiorem? Ligatus autem est formator ille, quoniam opus suum quodammodo videtur attingere: sed ejusmodi vinculum fit extrinsecus, et ab Hercule solvitur: quoniam et facultas inest, per quam etiam quodammodo sit solutus. Sed hæc quidem pro arbitrio quivis accipiat. Id vero constat, per hæc scilicet dotes desuper in mundum venientes ostendi. Quocirca his, quæ in superioribus dicta sunt, consonare videntur.

De animarum descensu, transmigratione, differentiis, fato, arbitrio, providentia: et quomodo providentiæ ordo tanquam latissimus connectat sibi fatum pariter et arbitrium.

ΙΕ'. Ἴασι δὲ ἐκκύψασαι τοῦ νοητοῦ εἰς οὐρανὸν μὲν πρῶτον· καὶ σῶμα ἐκεῖ προσλαβοῦσαι δι' αὐτοῦ ἤδη χωροῦσι καὶ ἐπὶ τὰ γεωδέστερα σώματα, εἰς ὅσον ἂν εἰς μῆκος ἐκταθῶσι, καὶ αἱ μὲν ἀπ' οὐρανοῦ εἰς σώματα τὰ κατωτέρω, αἱ δὲ ἀπ' ἄλλων εἰς ἄλλα εἰσκρινόμεναι, αἷς ἡ δύναμις οὐκ ἤρκεσεν ἆραι ἐντεῦθεν διὰ βαρύνσιν καὶ λήθην, πολὺ ἐφελκομέναις ὃ αὐταῖς ἐβαρύνθη. Γίγνονται δὲ διάφοροι ἢ σωμάτων εἰς ἃ ἐνεκρίθησαν παραλλαγαῖς, ἢ καὶ τύχαις, ἢ καὶ τροφαῖς· ἢ αὐταὶ παρ' αὐτῶν τὸ διάφορον κομίζουσιν, ἢ πᾶσι τούτοις, ἢ τισιν

XV. Procedunt autem animæ e mundo intelligibili declinantes primo quidem in cœlum, ibique corpus accipientes per ipsum jam in corpora magis terrena labuntur, quatenus progrediuntur in longum. Et aliæ quidem a cœlo in corpora inferiora atque vicissim, aliæ vero ab aliis in alia transeunt: quippe cum his facultas non suppetat ad se hinc attollendas, propter pondus atque oblivionem, plurimum trahentes secum, quo gravante per inferiora præcipitentur. Differentes autem inter se animæ fiunt vel ob diversitatem corporum, quibus insinuantur, vel etiam ob fortunas, vel rursus educationes; vel ipsæ præterea ex se ipsis differentiam secum ferunt, et omnino vel per

αὐτῶν. Καὶ αἱ μὲν τὰ πάντα ὑποπεπτώκασιν εἱμαρμένῃ τῇ ἐνταῦθα, αἱ δὲ ὁτὲ μὲν οὕτως, ὁτὲ δὲ αὐτῶν· αἱ δὲ ὅσα μὲν ἀναγκαῖα ὑπομένειν συγχωροῦσι· δύνανται δὲ ὅσα ἐστὶν αὐτῶν ἔργα αὐτῶν εἶναι, ζῶσαι κατ' ἄλλην τὴν τῶν συμπάντων τῶν ὄντων νομοθεσίαν, ἄλλῳ ἑαυτὰς θεσμῷ δοῦσαι, πέπλεκται δὲ αὕτη ἔκ τε τῶν τῇδε λόγων τε καὶ αἰτιῶν πάντων, καὶ ψυχικῶν κινήσεων, καὶ νόμων τῶν ἐκεῖθεν, συμφωνοῦσα ἐκείνοις καὶ ἀρχὰς ἐκεῖθεν παραλαβοῦσα καὶ συνυφαίνουσα τὰ ἑξῆς ἐκείνοις, ἀσάλευτα μὲν τηροῦσα ὅσα δύναται σώζειν ἑαυτά, πρὸς τὴν ἐκείνων ἕξιν· τὰ δὲ ἄλλα ᾗ πέφυκε περιάγουσα, ὡς τὴν αἰτίαν ἐν τοῖς κατελθοῦσιν εἶναι, ὅτι οὕτως, ὡς τὰ μὲν ὡδὶ τεθῆναι, τὰ δὲ ὡδὶ κεῖσθαι.

hæc omnia vel per aliqua discrepant. Proinde aliæ omnino fato huc dominanti succumbunt, aliæ autem tum fato cedunt, tum sui juris vivunt. Sunt et quæ, quotcunque necessaria sunt, sustinenda concedunt : possunt tamen, quæcunque sunt proprii muneris, sibi propria reservare, viventes scilicet secundum aliam quandam constitutionem legum cuncta simul entia complectentem, et alteri se regulæ committentes. Contexta vero hæc est ex omnibus, quæ hic sunt, rationibus atque causis, item motibus animarum et legibus inde pendentibus, consonans videlicet illis, et exordia inde suscipiens, et illis consequentia cuncta contexens : tum vero servans ea omnia inconcussa, quæcunque ad illorum habitum servare se possunt. Cetera vero, qua fert natura propria circumducens, adeo ut in descendentibus causa sit, propterea, quod ita se habent, ut hæc quidem hic atque ita ponantur, illa vero ibi et aliter collocentur.

Cum mundus supercœlestis atque etiam cœlestis sit ordinatissimus, necessario ordinatus est etiam sublunaris, in quo cum inferiora homine sint ordinata, ergo multo magis humana. Singula igitur hominibus contingentia juste divinitus dispensantur.

ΙϚ'. Τὰ μὲν οὖν γιγνόμενα τιμωρήματα εἰς τοὺς πονηροὺς μετὰ δίκης τῇ τάξει ἀποδιδόναι προσήκει, ὡς κατὰ τὸ δέον ἀγούσῃ. Ὅσα δὲ τοῖς ἀγαθοῖς συμβαίνει ἔξω δίκης, οἷον κολάσεις, ἢ πενίαι, ἢ νόσοι, ἆρα διὰ προτέρας ἁμαρτίας λεκτέον γίνεσθαι; Συμπέπλεκται γὰρ ταῦτα καὶ προσημαίνεται, ὡς καὶ αὐτὰ κατὰ λόγον γίγνεσθαι· ἢ οὐ κατὰ λόγους φυσικοὺς ταῦτα, οὐδ' ἦν ἐν τοῖς προηγουμένοις, ἀλλ' ἑπόμενα ἐκείνοις; οἷον πιπτούσης τινὸς οἰκοδομίας τὸν ὑποπεσόντα ἀποθανεῖν, ὁποῖός ποτ' ἂν ᾖ· ἢ καὶ τινων δύο κατὰ τάξιν φερομένων, ἢ καὶ ἑνός, τὸ ἐμπεσὸν τρωθῆναι ἢ πατηθῆναι· ἢ καὶ τὸ ἄδικον τοῦτο οὐ κακὸν ὂν τῷ παθόντι πρὸς τὴν τοῦ ὅλου χρήσιμον πλοκήν· ἢ οὐδὲ ἄδικον ἐκ τῶν πρόσθεν ἐχόντων τὴν δικαίωσιν. Οὐ γὰρ τὰ μὲν δεῖ νομίζειν συντετάχθαι, τὰ δὲ κεχαλάσθαι εἰς τὸ αὐτεξούσιον. Εἰ γὰρ κατ' αἰτίας γίγνεσθαι δεῖ καὶ φυσικὰς ἀκολουθίας, καὶ κατὰ λόγον ἕνα καὶ τάξιν μίαν, καὶ τὰ σμικρότερα δεῖ συντετάχθαι καὶ συνυφάνθαι νομίζειν. Καὶ τὸ ἄδικον δὴ τὸ παρ' ἄλλου εἰς ἄλλον αὐτῷ μὲν τῷ ποιήσαντι ἄδικον, καὶ οὐκ ἀφείθη αἰτίας ὁ δράσας· συντεταγμένον δ' ἐν τῷ παντὶ οὐκ ἄδικον ἐν ἐκείνῳ οὐδ' εἰς τὸν παθόντα, ἀλλ' οὕτως ἐχρῆν. Εἰ δ' ἀγαθὸς ὁ παθών, εἰς ἀγαθὸν ἡ τελευτὴ τούτων. Δεῖ γὰρ τήνδε τὴν σύνταξιν, οὐκ ἀθεεὶ οὐδὲ ἄδικον, ἀλλ' ἀκριβῆ εἰς τὴν τοῦ προσήκοντος ἀπόδοσιν νομίζειν, ἀδήλους δὲ ἔχειν τὰς αἰτίας, καὶ τοῖς οὐκ εἰδόσι παρέχειν μέμψεως αἰτίας.

XVI. Supplicia igitur, quæ juste inferuntur iniquis, attribuenda sunt ordini, prout decet, omnia perducenti. Quotcunque vero præter justum bonis accidunt, ut pœnæ, inopiæ, morbi, forsan ob prioris vitæ delicta contingunt. Hæc enim contexuntur atque etiam portenduntur : quo fit, ut et ipsa secundum rationem fieri videantur. Numquid hæc secundum rationes naturales minime fiunt, neque inter illa, quæ principaliter intenduntur, sunt collocanda, sed ex illis potius consequentia? Velut si cadente casa, qui sub ea erat, interimatur, qualiscunque sit : vel si duobus quibusdam ordine quodam motis, aut etiam uno, quod offenditur, frangatur vel pessumdetur. Forsan vero hoc ipsum, quod injustum dicitur, neque malum est patienti, et ad totius seriem est conducens; fortasse neque injustum est, cum ex antecedentibus juste singula dispensentur. Non enim putandum est, alia quidem ordinem inter se habere, alia vero hinc omnino ad placitum licentiamque deflecti. Si enim secundum causas et consequentias naturales et rationem unam unumque ordinem oportet omnia fieri, nimirum et, quæ minora sunt, coordinata esse atque contexta putandum. Itaque, quod tanquam injustum ab alio infertur in aliud, ipsi quidem agenti est injustum, neque est extra causam atque crimen : coordinatum vero in universo nimirum non est in hoc injustum, neque etiam injuste infertur in patientem, sed ita decebat. Quodsi bonus est, qui patitur, in bonum denique desinit, quicquid patitur. Existimandum certe est, communem hunc ordinem universi non esse divinitatis justitiæque expertem, sed exactissima quadam ratione, quod convenit unicuique, reddere, causas tamen in se latentes habere, ideoque ignorantibus occasionem criminandi præbere.

Sicut summum aeris primum omnium ignitur ab infimo ignis, sic cœlum summum corpus primo animatur ab anima, quæ est ultimum divinorum. Item, ipsum bonum est quasi centrum : mens lumen inde micans atque permanens : anima lumen de lumine semovens : corpus per se opacum illuminatur ab anima, sed animæ in cœlo secure illuminant, sub cœlo non absque cura.

ΙΖ'. Ὅτι δὲ ἐκ τοῦ νοητοῦ εἰς τὴν οὐρανοῦ ἴασιν αἱ ψυχαὶ τὸ πρῶτον χώραν, λογίσαιτο ἄν τις ἐκ τῶν τοιούτων. Εἰ γὰρ οὐρανὸς ἐν τῷ αἰσθητῷ τόπῳ ἀμείνων, εἴη ἂν προσεχὴς τῶν νοητῶν τοῖς ἐσχάτοις· ἐκεῖθεν τοίνυν ψυχοῦται ταῦτα πρῶτα, καὶ μεταλαμβάνει, ὡς ἐπιτηδειότερα μεταλαμβάνειν. Τὸ δὲ γεηρὸν ὕστατόν

XVII. Quod autem animæ a mundo intelligibili in cœlum primo descendant, ex his conjectare licebit. Si enim cœlum in genere sensibili præstantissimum est, merito intelligibilium ultimis est quam proximum : inde igitur cœlestia primum animantur atque accipiunt, utpote quæ ad capiendum sint admodum aptiora. Corpus vero terrenum et ultimum est, minusque animæ minusque na-

τε καὶ ψυχῆς ἥττονος πεφυκὸς μεταλαμβάνειν, καὶ τῆς ἀσωμάτου φύσεως πόῤῥω. Πᾶσαι μὲν δὴ καταλάμπουσι τὸν οὐρανὸν, καὶ διδόασιν οἷον τὸ πολὺ αὐτῶν καὶ τὸ πρῶτον ἐκείνῳ, τὰ δὲ ἄλλα τοῖς ὑστέροις ἐναυγάζονται. Αἱ δ' ἐπὶ πλέον κατιοῦσαι ἐναυγάζουσι μᾶλλον κάτω, αὐταῖς δὲ οὐκ ἄμεινον εἰς πολὺ προϊούσαις. Ἔστι γάρ τι οἷον κέντρον, ἐπὶ δὲ τούτῳ κύκλος ἀπ' αὐτοῦ ἐκλάμπων, ἐπὶ δὲ τούτοις ἄλλος, φῶς ἐκ φωτός· ἔξωθεν δὲ τούτων, οὐκέτι φωτὸς κύκλος ἄλλος, ἀλλὰ δεόμενος οὗτος οἰκείου φωτὸς ἀπορίᾳ αὐγῆς ἀλλοτρίας. Ἔστω δὲ ῥόμβος οὗτος, μᾶλλον δὲ σφαῖρα τοιαύτη, ἣ δὴ κομίζεται ἀπὸ τῆς τρίτης· προσεχὴς γὰρ αὐτῇ, ὅσον ἐκείνη ἐναυγάζεται. Τὸ μὲν οὖν μέγα φῶς μένον ἐλλάμπει, καὶ διήκει κατὰ λόγον ἐξ αὐτοῦ αὐγή· τὰ δ' ἄλλα συνεπιλάμπει, τὰ μὲν μένοντα, τὰ δ' ἐπὶ πλέον ἐπισπᾶται τῇ τοῦ ἐλλαμπομένου ἀγλαΐᾳ. Εἶτα δεομένων τῶν ἐλλαμπομένων πλείονος φροντίδος, ὥσπερ χειμαζομένων πλοίων κυβερνῆται ἐναπερείδονται πρὸς τὸ πλέον τῇ τῶν νεῶν φροντίδι, καὶ ἀμελήσαντες αὑτῶν ἔλαθον ὡς κινδυνεύειν συνεπισπασθῆναι πολλάκις τῷ τῶν νεῶν ναυαγίῳ, ἔῤῥεψάν τε πλέον καὶ αὗται καὶ τοῖς ἑαυτῶν· ἔπειτα δὲ κατεσχέθησαν πεδηθεῖσαι γοητείας δεσμοῖς, σχεθεῖσαι φύσεως κηδεμονίᾳ. Εἰ δ' ἦν τοιοῦτον ἕκαστον ζῷον, οἷον καὶ τὸ πᾶν, τέλεον καὶ ἱκανὸν σῶμα καὶ ἀκίνδυνον παθεῖν, καὶ παρεῖναι λεγομένη ψυχὴ οὐκ ἂν παρῆν αὐτῷ, καὶ παρεῖχεν αὐτῷ ζωὴν μένουσα πάντη ἐν τῷ ἄνω.

turaliter potest participare, utpote quod ab incorporea natura remotissimum est. Omnes profecto illustrant cœlum, traduntque quasi plurimum primumque sui globo cœlesti; cetera vero posterioribus illustrantur. Quæ autem descendunt plurimum, hæ inferius magis collustrant, ipsis vero non expedit in longum adeo corruisse. Est utique aliquid velut centrum, penes hoc autem circulus ab ipso micans, præter hæc et circulus alius, lumen de lumine: ultra hæc insuper non amplius luminis circulus, sed jam luminis indigus alieni propriæ lucis inopia. Sit autem hic rhombus, sive potius sphæra talis, quæ quidem a gradu accipiat tertio, cui proxima est, ejusque propinquitate refulgeat. Ingens itaque lumen illuminat permanens, atque secundum rationem splendor ab ipso procedit: reliqua vero una collustrant, partim quidem manentia, partim vero se longius deflectentia perlustratione subjecti. Deinde cum illa, quæ illustrata sunt, cura indigeant pluri, quemadmodum navigiis fluctuantibus gubernatores impensius navibus regendis incumbunt, atque ipsorum obliti vix animadvertunt, se in eo discrimine constitutos, ut una cum naufragio submergantur: sic et animæ tales a se ipsis discedunt quam plurimum: deinde arctius detinentur fascinationis vinculis alligatæ, naturæ videlicet cura devinctæ. At si tale foret quodvis animal, quale est universum, habens videlicet corpus perfectum et sufficiens et extra passionum discrimina constitutum: profecto anima, quæ corpori adesse dicitur, non adesset, sed et præberet ei vitam, interea omnino permanens in excelsis.

Animæ secundum Plotinum atque Iamblichum quandoque sunt extra omne corpus, et tunc potentia rationalis est adeo efficax et expedita, ut, quæ sibi porriguntur ab intellectu, comprehendat cuncta sine tempore, vel saltem quam brevissime. Item, animæ inter se conversantes in cœlis sine sermone, quasi per nutus, mutuo se intelligunt: sed in corporibus aeriis animæ atque dæmones voces formant.

III'. Πότερα δὲ λογισμῷ ψυχὴ χρῆται πρὶν ἐλθεῖν, καὶ πάλιν αὖ ἐξελθοῦσα, ἢ ἐνταῦθα ὁ λογισμὸς ἐγγίγνεται, ἐν ἀπόρῳ ἤδη οὔσης καὶ φροντίδος πληρουμένης καὶ μᾶλλον ἀσθενούσης· ἐλάττωσις γὰρ νοῦ, εἰς αὐτάρκειαν τὸ λογισμοῦ δεῖσθαι· ὥσπερ καὶ ἐν ταῖς τέχναις ὁ λογισμὸς ἀποροῦσι τοῖς τεχνίταις· ὅταν δὲ μὴ χαλεπὸν ᾖ, κρατεῖ καὶ ἐργάζεται ἡ τέχνη· ἀλλ' εἰ ἐκεῖ ἄνευ λογισμῶν, πῶς ἂν ἔτι λογικαὶ εἶεν; ἢ ὅτι δύνανται, εἴποι τις ἄν; ὅταν περίστασις, εὐποροῦσαι διασκοπῆσαι. Δεῖ δὲ τὸν λογισμὸν λαβεῖν τὸν τοιοῦτον· ἐπεὶ εἴ τις λογισμὸν λαμβάνει τὴν ἐκ νοῦ ἀεὶ γιγνομένην καὶ οὖσαν ἐν αὐταῖς διάθεσιν καὶ ἐνέργειαν ἑστῶσαν καὶ οἷον ἔμφασιν οὖσαν, εἶεν ἂν κἀκεῖ λογισμῷ χρώμεναι· οὐδὲ δὴ φωναῖς οἶμαι χρῆσθαι νομιστέον, ἐν μὲν τῷ νοητῷ οὔσας καὶ πάμπαν, σώματα δ' ἐχούσας ἐν οὐρανῷ, ὅσα μὲν διὰ χρείας ἢ δι' ἀμφισβητήσεις διαλέγονται ἐνταῦθα, ἐκεῖ οὐκ ἂν εἴη· ποιοῦσαι δὲ ἐν τάξει καὶ κατὰ φύσιν ἕκαστα, οὐδ' ἂν ἐπιτάττοιεν, οὐδ' ἂν συμβουλεύοιεν· γιγνώσκοιεν δ' ἂν καὶ τὰ παρ' ἀλλήλων ἐν συνέσει, ἐπεὶ καὶ ἐνταῦθα πολλὰ σιωπώντων γιγνώσκοιμεν δι' ὀμμάτων· ἐκεῖ δὲ καθαρὸν πᾶν τὸ σῶμα, καὶ οἷον ὀφθαλμὸς ἕκαστος, καὶ οὐδὲν δὲ κρυπτὸν οὐδὲ πεπλασμένον· ἀλλὰ πρὶν εἰπεῖν ἄλλῳ

XVIII. Posthac quærendum est, utrum anima discursu rationis utatur, antequam descendat in corpus, et post discessum? forsan vero discursio rationalis contingit, dum corpus habitat: quippe cum in ambiguitate posita sit curisque sollicita et quasi jam enervata: discursu namque rationis egere ad vitæ veritatisque sufficientiam ex quodam mentis detrimento contingit: quemadmodum et consultatio rationis in artibus accidit, quando artifices ambigunt [tanquam a perfecto deficientes]: at ubi nihil difficultatis defectusque opponitur, statim ars superat atque agit. Verum si animæ illic absque ratiocinatione vivunt, quomodo amplius dicentur rationales? Respondebit forte quispiam, ob id rationales dici, quoniam possunt, si quando expediat, rite considerare. Oportet autem ratiocinationem accipere talem: quandoquidem, si quis ratiocinationem accipiat tanquam dispositionem actionemque stabilem, semper ab intellectu manantem in animabusque existentem, et quasi quandam inde coruscationem, sic utique et illic animæ discursu quodam rationis utentur: non tamen (ut arbitror) uti illic vocibus est putandum, quamdiu locum prorsus intelligibilem incolunt. Quando vero corpora in cœlis habent, non utuntur ibi sermonibus, qualibus apud nos ob indigentiam vel ambiguitatem uti consueverunt: et cum certo quodam ordine secundumque naturam singula illic agant, merito nec imperant aliquid, neque consultant. Cognoscunt vero mutuo inter se sua per reciprocam conscientiæ notionem, quando et hic multa etiam in tacentibus intuitu solo percipimus. Ibi vero omne corpus est purum, et quilibet habitantium totus est velut oculus. Nihil ibi est occultum, nihil fictum, sed prius, quam alteri quicquam dixeris, intelligit alter: in

ζῶον ἐκεῖνος ἔγνω· περὶ δὲ δαιμόνων καὶ ψυχῶν ἐν ἀέρι φωνῇ χρῆσθαι οὐκ ἄτοπον· ζῶα γὰρ καὶ τοιάδε.

aere vero incolentes cum dæmones, tum animas non absurdum est vocibus uti : animalia namque talia sunt.

Vita sensualis est conflata ex proprietate individua atque dividua. Dicitur enim dividua circa corpus, quia singulis partibus ejus se accommodat : dicitur etiam individua, quia singulis adest tota. Ratio vero ac mens dicitur simpliciter impartibilis, quia corporeo instrumento non utitur, et propterea separata.

ΙΘ'. Πότερα δὲ ἐπὶ τοῦ αὐτοῦ τὸ ἀμέριστον καὶ μεριστὸν ὥσπερ κραθέντων· ἢ ἄλλῃ μὲν καὶ κατ' ἄλλο τὸ ἀμέριστον, τὸ δὲ μεριστὸν, οἷον ἐφεξῆς καὶ ἕτερον μέρος αὐτῆς; ὥσπερ τὸ μὲν λογιζόμενον φαμὲν ἄλλο, τὸ δὲ ἄλογον· γνωσθείη δ' ἂν ληφθέντος, τί λέγομεν ἑκάτερον. Ἀμέριστον μὲν οὖν ἁπλῶς εἴρηται αὐτῷ· μεριστὸν δὲ οὐχ ἁπλῶς· ἀλλὰ περὶ τὰ σώματα, φησὶ γιγνομένην μεριστὴν, καὶ ταύτην οὐ γεγενημένην· τὴν δὴ σώματος φύσιν ὁρᾷν δεῖ πρὸς τὸ ζῆν οἵα ψυχῆς προσδεῖται, καὶ ὅτι δεῖ τῆς ψυχῆς πανταχοῦ τῷ σώματι καὶ ὅλῳ παρεῖναι, πᾶν μὲν δὴ τὸ αἰσθητικὸν, εἴπερ διὰ παντὸς αἰσθήσεται, ἀφικνεῖσθαι πρὸς τὸ μερίζεσθαι· πανταχοῦ μὲν γὰρ ὂν, μεμερίσθαι ἂν λέγοιτο· ὅλον δὲ πανταχοῦ φαινόμενον οὐ μεμερίσθαι ἂν παντελῶς λέγοιτο, περὶ δὲ τὰ σώματα γίγνεσθαι μεριστόν. Εἰ δέ τις λέγοι ἐν ταῖς ἄλλαις αἰσθήσεσι μηδὲ μεμερίσθαι, ἀλλ' ἢ μόνον ἐν τῇ ἁφῇ, λεκτέον ὅτι καὶ ἐν ταῖς ἄλλαις· εἴπερ σῶμά ἐστι τὸ μεταλαμβάνον, ἀνάγκη οὕτω μερίζεσθαι, ἔλαττον δὲ ἢ ἐν τῇ ἁφῇ· καὶ δὴ καὶ τὸ φυτικὸν αὐτῆς καὶ τὸ αὐξητικὸν ὡσαύτως· καὶ εἰ περὶ τὸ ἧπαρ ἡ ἐπιθυμία, τὸ δὲ περὶ τὴν καρδίαν ὁ θυμὸς, ὁ αὐτὸς λόγος καὶ ἐπὶ τούτων. Ἀλλ' ἴσως ταῦτα οὐ παραλαμβάνει ἐν ἐκείνῳ τῷ μίγματι· ἴσως δὲ ἄλλον τρόπον, καὶ ἔκ τινος τῶν παραληφθέντων ταῦτα· λογισμὸς δὲ καὶ νοῦς οὐκέτι [ταῦτα] σώματι δίδωσιν αὑτά· καὶ γὰρ τὸ ἔργον αὐτῶν οὐ δι' ὀργάνου τελεῖται τοῦ σώματος· ἐμπόδιον γὰρ τοῦτο, εἴ τις αὐτῷ ἐν ταῖς σκέψεσι προσχρῷτο. Ἄλλο ἄρα ἑκάτερον τὸ ἀμέριστον καὶ μεριστόν· καὶ οὐχ ὡς ἓν κραθέντα, ἀλλ' ὡς ὅλον ἐκ μερῶν ἑκατέρου καθαροῦ, καὶ χωριστῇ τῇ δυνάμει· εἰ μέντοι καὶ τὸ περὶ τὰ σώματα γιγνόμενον μεριστὸν ἐκ τῆς ἐπάνω δυνάμεως ἔχει τὸ ἀμέριστον, δύναται τὸ αὐτὸ τοῦτο ἀμέριστον καὶ μεριστὸν εἶναι· οἷον κραθὲν ἐξ αὐτοῦ τε καὶ τῆς εἰς αὐτὸ ἐλθούσης ἄνωθεν δυνάμεως.

XIX. Utrum vero in anima secundum idem dicatur partibile et impartibile, quasi duo hæc invicem contemperata sint : an potius alia ratione et secundum aliud hoc quidem impartibile, illud autem partibile prædicetur, tanquam deinceps diversæ partes dispositæ sint, sicut hanc rationalem, illam irrationalem nuncupare solemus : manifestum nobis erit, postquam, quid potissimum utrumque dicamus, explanaverimus. Principio impartibile apud Platonem simpliciter est acceptum, partibile vero non simpliciter, sed animam ait circa corpora fieri divisibilem, neque tamen fuisse factam. Profecto naturam corporis considerare decet, qualis et quemadmodum ad vivendum indigeat anima, quodve necesse sit, ubique per corpus animæ vim inesse totique prorsus adesse. Omne quidem sensuale oportet, si modo per totum sentiat, jam quodammodo dividendum pervenisse per totum : exsistens quidem ubique, non injuria dicitur esse divisum : apparens vero ubique totum, non omnino divisum dicitur, sed divisibile circa corpora fieri. Si quis autem dicat, in cæteris sensibus non esse divisum, sed in tactu solum, respondendum erit, in aliis quoque ita dividi : siquidem corpus est, quod accipit, necessario illam dividi, minus tamen, quam in tactu : quin etiam vim animæ vegetalem et auctricem simili ratione distribui; atque si circa jecur concupiscentia, circa vero cor iracundia viget, rationem in his esse persimilem. Sed forsan non accipit hæc in illa permixtione, forsan vero et alio pacto et ex aliquo acceptorum ibi hæc oriuntur : ratio autem et intellectus corpori se ipsa non tradunt. Horum namque opus per instrumentum corporis non perficitur : id enim impedimento futurum est, si quis in meditationibus hoc utatur. Quam ob rem utrumque inter se impartibile scilicet et partibile diversum est, neque tanquam in unum conflata videntur, sed tanquam totum quoddam ex partibus, utrisque videlicet puris perque potentiam separatis : si tamen et quod circa corpora fit partibile, a sublimiori potentia impartibilem habet dotem, potest utique hoc idem impartibile partibileque pariter esse, tanquam cum ex hoc ipso, tum ex virtute quadam desuper in ipsum veniente conflatum.

Anima non est in corpore sicut in loco vel vase, nec ut pars in toto vel totum in partibus, nec ut qualitas in subjecto, nec ut species in materia : sed corpus est in anima, ut in vivificante, comprehendente moventeque stabili.

Κ'. Εἰ δὲ καὶ ἐν τόπῳ ταῦτά τε καὶ τὰ ἄλλα τῆς ψυχῆς λεγόμενα μέρη, ἢ ταῦτα μὲν ὅλως οὐκ ἐν τόπῳ, καὶ ποῦ, ἢ ὅλως οὐδὲν, ἐπιστῆσαι προσήκει. Εἴτε γὰρ μὴ ἀφοριοῦμεν ἑκάστοις τῶν τῆς ψυχῆς τόπον τινὰ, οὐδαμοῦ οὐδὲν θέντες, οὐ μᾶλλον εἴσω τοῦ σώματος ἢ ἔξω ποιοῦντες, ἄψυχον αὐτὸ ποιήσομεν· τά τε δι' ὀργάνων σωματικῶν ἔργα ὅπῃ γίγνεσθαι προσήκει, εἰπεῖν ἀπορήσομεν, εἴτε τοῖς μὲν, τοῖς δ' οὔ· οἷς μὴ δίδομεν, οὐκ ἐν ἡμῖν αὐτὰ ποιεῖν δόξομεν, ὥστε μὴ πᾶσαν ἡμῶν τὴν ψυχὴν ἐν ἡμῖν εἶναι. Ὅλως μὲν οὖν οὐδὲν τῶν τῆς ψυχῆς μερῶν οὐδὲ πᾶσαν φατέον ὡς ἐν τόπῳ εἶναι ἐν τῷ σώματι. Περιεκτικὸν μὲν γὰρ

XX. Reliquum est, ut exponamus, utrum hæ aliæque partes animæ sint in loco, vel hæ quidem omnino non in loco, aliæ vero in loco sint, et ubi et quomodo, vel nulla omnino pars sit in loco. Sive enim non assignemus singulis animæ partibus locum quemdam, nusquam videlicet aliquid collocantes : sic utique nihilo magis eam intra corpus, quam extra censebimus, ideoque corpus inanimum relinquemus : neque assignare poterimus, qua ratione fiant opera illa, quæ per instrumenta corporea peraguntur : sive quibusdam animæ partibus describamus situm, quibusdam vero nequaquam, sane quibus non descripserimus, eas nequaquam in nobis collocare videbimur, adeo, ut non totam animam nostram in nobis esse videamur existimare. Omnino autem nullam animæ partium, neque totam rursus animam debemus in corpore velut in loco

ὁ τόπος, καὶ περιεκτικὸν σώματος, καὶ οὗ ἕκαστον μεμερισθέν ἐστιν, ἔστιν ἐκεῖ ὡς μὴ ὅλον ἐν ὁτῳοῦν εἶναι· ἡ δὲ ψυχὴ, οὐ σῶμα, καὶ οὐ περιεχόμενον μᾶλλον, ἢ περιέχον. Οὐ μὴν οὐδ' ὡς ἐν ἀγγείῳ, ἄψυχον γὰρ ἂν γένοιτο τὸ σῶμα, εἴτε ὡς ἀγγεῖον, εἴτε ὡς τόπος περιέχοι· εἰ μὴ ἄρα διαδόσει τινὶ, αὐτῆς οὔσης πρὸς αὐτὴν συνηθροισμένης· καὶ ἔσται, ὅσον μετέλαβε τὸ ἀγγεῖον, τοῦτο ἀπολωλὸς αὐτῇ. Ὁ δὲ τόπος ὁ κυρίως ἀσώματος καὶ οὐ σῶμα· ὥστε τί ἂν δέοιτο ψυχῆς; καὶ τὸ σῶμα τῷ πέρατι αὐτοῦ πλησιάσει τῇ ψυχῇ, οὐκ αὐτῷ. Πολλὰ δὲ καὶ ἄλλα ἐναντιοῖτο πρὸς τὸ καὶ ἐν τόπῳ εἶναι· καὶ γὰρ συμφέροιτο ἂν ἀεὶ ὁ τόπος· καὶ αὐτό τι ἔσται τὸν τόπον αὐτὸν περιφέρον; ἀλλ' οὐδ' εἰ ὁ τόπος διάστημα εἴη, πολὺ μᾶλλον οὐκ ἂν εἴη ὡς ἐν τόπῳ ἐν τῷ σώματι. Τὸ γὰρ διάστημα κενὸν εἶναι δεῖ· τὸ δὲ σῶμα οὐ κενὸν, ἀλλ' ἴσως ἐν ᾧ τὸ σῶμα ἔσται, ὥστε ἐν τῷ κενῷ τὸ σῶμα. Ἀλλὰ μὴν οὐδ' ὡς ἐν ὑποκειμένῳ ἔσται τῷ σώματι. Τὸ γὰρ ἐν ὑποκειμένῳ, πάθος τοῦ ἐν ᾧ ὡς χρῶμα καὶ σχῆμα, καὶ χωριστὸν ἡ ψυχή· οὐ μὴν οὐδ' ὡς μέρος ἐν ὅλῳ· οὐ γὰρ μέρος ἡ ψυχὴ τοῦ σώματος. Εἰ δέ τις λέγοι, ὡς ἐν ὅλῳ μέρος τῷ ζώῳ, πρῶτον μὲν ἡ αὐτὴ ἂν μένοι ἀπορία, πῶς ἐν ὅλῳ. Οὐ γὰρ δὴ ὡς ἐν τῷ ἀμφορεῖ τοῦ οἴνου ὁ οἶνος, ἢ ὡς ὁ ἀμφορεὺς, οὐδ' ᾗ καὶ αὐτό τι ἐν αὑτῷ ἔσται· ἀλλ' οὐδὲ ὡς ὅλον ἐν τοῖς μέρεσι· γελοῖον γὰρ τὴν μὲν ψυχὴν ὅλον λέγειν, τὸ δὲ σῶμα μέρη. Ἀλλ' οὐδὲ ὡς εἶδος ἐν ὕλῃ· ἀχώριστον γὰρ τὸ ἐν ὕλῃ εἶδος, καὶ ἤδη ὕλης οὔσης, ὕστερον τὸ εἶδος· ἡ δὲ ψυχὴ τὸ εἶδος ποιεῖ ἐν τῇ ὕλῃ, ἄλλη τοῦ εἴδους οὖσα. Εἰ δὲ οὐ τὸ γενόμενον εἶδος, ἀλλὰ τὸ χωριζόμενον φήσουσι, πῶς τοῦτο τὸ εἶδος ἐν τῷ σώματι, οὔπω φανερόν· καὶ χωριστὸν ἡ ψυχή. Πῶς οὖν ἐν τῷ σώματι ἡ ψυχὴ λέγεται πρὸς πάντων; ἢ ἐπειδὴ οὐχ ὁρατὸν ἡ ψυχὴ, ἀλλὰ τὸ σῶμα· σῶμα οὖν ὁρῶντες, ἔμψυχον δὲ συνιέντες, ὅτι κινεῖται καὶ αἰσθάνεται, ἔχειν φαμὲν ψυχὴν αὐτό· ἐν αὐτῷ ἄρα τῷ σώματι τὴν ψυχὴν εἶναι ἀκολούθως ἂν λέγοιμεν. Εἰ δέ γε ὁρατὸν ἡ ψυχὴ καὶ αἰσθητὸν ἦν, περιειλημμένον πάντη τῇ ζωῇ, καὶ μέχρις ἐσχάτων οὖσα εἰς ἴσον, οὐκ ἂν ἔφαμεν τὴν ψυχὴν ἐν τῷ σώματι εἶναι, ἀλλ' ἐν τῷ κυριωτέρῳ τὸ μὴ τοιοῦτον, καὶ ἐν τῷ συνέχοντι τὸ συνεχόμενον, καὶ ἐν τῷ μὴ ῥέοντι τὸ ῥέον.

ponere. Locus enim comprehendens est, et corpora continens: et ubi unumquodque divisum jacet, sic illic jacet, ut non totum esse queat in quolibet: anima vero non est corpus, neque comprehensa est potius, quam comprehendens. Neque tamen sic, ut in vase, est in corpore, sic enim corpus inanimatum relinqueretur, sive tanquam vas, sive tanquam locus animam contineret: nisi forte anima dicatur in se ipsam esse collecta, et traductione quadam a se in vas aliquid sui transmittere: atque ita quantum vas participavit, tantum animae jam erit detractum. Locus autem, qui principaliter locus dici solet, incorporeum quiddam est, non corpus. Quapropter quidnam anima indigebit? Praeterea corpus non per se ipsum, sed per quendam sui terminum animae propinquabit. Multa insuper alia objici possent iis, qui, tanquam in loco, animam in corpore collocant: nam et locus semper una cum locato ferretur. Et quaerendum supererit, quidnam sit, quod secum locum ipsum una circumfert. Quin etiam, si locus intervallum quoddam esse definiatur, multo minus anima in corpore erit velut in loco. Intervallum enim sive spatium necesse est esse vacuum: corpus autem non est vacuum, sed forsan vacuum illud dicitur, in quo est corpus: quapropter in vacuo corpus erit. Rursus anima non est in corpore quasi subjecto. Quod enim in subjecto est, passio quaedam est ejus, in quo est, velut color atque figura: anima vero est aliquid separabile. Sed neque ut pars in toto: anima enim non est pars corporis. Si quis autem dicat, animam esse velut partem in toto vivente, dubitatio eadem nobis instabit, quomodo in toto sit, quaesituris. Non enim, quemadmodum in vase vini, vinum aut vas fuerit: neque qua conditione aliquid permanet in se ipso: sed neque sic etiam, ut in partibus totum: ridiculum namque est, animam quidem totum dicere, corpus vero partes. Proinde neque tanquam species in materia: species enim in materia inseparabilis est: atque jam existente materia species posterior advenit: at anima speciem efficit in materia, utpote quae aliud quiddam est, quam species. Quodsi animam non factam quidem speciem, sed separatam esse dicant, nondum manifestum erit, qua conditione sit species haec in corpore: atque erit anima penitus separata. Verum, si haec ita se habent, quonam pacto apud omnes anima esse in corpore praedicatur? Profecto cum non anima quidem, sed corpus aspectui pateat, videntes utique corpus et animatum esse conjectantes, propterea, quod moveatur et sentiat, haud ab re animam haberi a corpore dicimus: itaque consequenter et animam esse putamus in corpore. Verum si anima videretur atque sentiretur, existens aliquid vita plenum, corpusque undique vita complectens, et usque ad extrema aequaliter sese porrigens, nunquam esse animam in corpore fateremur, sed potius in eo, quod principalius est, esse quod non sit principale, et in continente contentum, et fluens in eo similiter, quod non fluit.

Anima non proprie inest, sed adest corpori: non tamen, ut gubernator navi vel virtus gubernatoria infusa gubernaculo.

ΚΑ'. Τί οὖν, πῶς πάρεστιν εἴ τις ἐρωτῴη, μηδὲν αὐτὸς λέγων ὅπως, τί ἐροῦμεν; καὶ εἰ ὁμοίως πᾶσα, ἢ ἄλλο μέρος ἄλλως, τὸ δ' ἄλλως; Ἐπεὶ τοίνυν τῶν νῦν λεγομένων τρόπων τοῦ ἔν τινι, οὐδεὶς φαίνεται ἐπὶ τῆς ψυχῆς πρὸς τὸ σῶμα ἁρμόττων· λέγεται δὲ οὕτως ἐν τῷ σώματι εἶναι ἡ ψυχὴ, ὡς ὁ κυβερνήτης ἐν τῇ νηΐ, πρὸς μὲν τὸ χωριστὴν δύνασθαι εἶναι τὴν ψυχὴν, καλῶς εἴρηται· τὸν μέντοι τρόπον, ὡς νῦν ἡμεῖς ζητοῦμεν, οὐκ ἂν πάνυ παραστήσειεν. Ὡς μὲν γὰρ πλωτὴρ κατὰ συμβεβηκὸς ἂν εἴη ἐν αὐτῷ ὁ κυβερνήτης· ὡς δὲ κυβερνήτης, πῶς; οὐδὲ γὰρ ἐν πάσῃ τῇ νηΐ, ὥσπερ

XXI. Quid autem dicemus, si quis interroget, quomodo anima adsit corpori, et ipse quidem modum hac de re nullum adducat in medium? Item si quaerat, numquid tota anima simul insit, an pars alia potius aliter? Postquam igitur nullus eorum, qui dicti sunt, essendi in aliquo modus adhuc nobis probatur, velut animae conveniens erga corpus; dicitur autem sic esse in corpore, velut gubernator in navi: dicendum est, id recte dictum esse, quantum spectat ad eam ipsam animae facultatem, per quam valeat a corpore separari: neque tamen modum nobis exponet potissimum exoptatum. Nam si tanquam navigator accipiatur, secundum accidens aderit gubernator: sin autem ut gubernator duntaxat, quomodo id conveniet?

ἡ ψυχὴ ἐν τῷ σώματι. Ἀλλὰ ἄρα οὕτω φατέον· ὡς ἡ τέχνη ἐν τοῖς ὀργάνοις, οἷον ἐν τῷ οἴακι, οἱονεὶ ἔμψυχος ὁ οἴαξ ἦν, ὥστε κυβερνητικὴν εἶναι ἔνδον τὴν κινοῦσαν τεχνικῶς; Νῦν δὲ τοῦτο διαλλάττει, ὅτι ἔξωθεν ἡ τέχνη. Εἰ οὖν κατὰ τὸ παράδειγμα τὸ τοῦ κυβερνήτου τοῦ ἐνδύντος πρὸς τὸν οἴακα τὴν ψυχὴν ἐν τῷ σώματι εἶναι, ὡς ἐν ὀργάνῳ φυσικῷ· κινεῖ γὰρ οὕτως αὐτὸ ἐν οἷς ἂν ἐθέλοι ποιεῖν· ἆρ' ἄν τι πλέον ἡμῖν πρὸς τὸ ζητούμενον γένοιτο, ἢ πάλιν ἀπορήσομεν, πῶς ἐστιν ἐν τῷ ὀργάνῳ; καίτοι τρόπος οὗτος ἕτερος τῶν πρόσθεν, ἀλλ' ὅμως ἔτι ποθοῦμεν ἐξευρεῖν καὶ ἐγγυτέρω προσελθεῖν.

Non enim in tota nave est *gubernator*, sicut anima est in toto corpore. Sed numquid ita dicendum : Sicut ars instrumentis inest, velut in gubernaculo, si forte esset gubernaculum animatum, adeo ut gubernatoria virtus intus sit artificiose movens? Sed id hoc saltem differentia est, quoniam ars ejusmodi ab extrinsecus pendet. Si igitur secundum illud gubernatoris exemplar gubernaculo se ipsum insinuantis animam collocemus in corpore, velut in instrumento naturali (movet enim sic ipsum quocumque placuerit), numquid ad quæsitum plus aliquid reportabimus? An forsan iterum ambigemus, quomodo insit huic instrumento? Atqui, etsi modus hic diversus est ab aliis, adhuc tamen planius invenire et accedere propius exoptamus.

Anima adest corpori separabiliter, sicut lumen aeri. Corpus est in anima, sicut aer in lumine. Mens et ratio non adsunt corpori, quia cum eo non communicant in agendo. Sensus et vegetalis potentia adsunt, quia et hæc per corpus agunt, et corpus indiget eis, neque tamen a corpore sustinentur.

ΚΒ'. Ἆρ' οὖν οὕτω φατέον, ὅταν ψυχὴ σώματι παρῇ, παρεῖναι αὐτὴν, ὡς τὸ πῦρ πάρεστι τῷ ἀέρι; καὶ γὰρ αὖ καὶ τοῦτο παρὸν οὐ πάρεστι, καὶ δι' ὅλου παρὸν οὐδενὶ μίγνυται, καὶ ἕστηκε μὲν αὐτὸ, τὸ δὲ παραῤῥεῖ. Καὶ ὅταν ἔξω γένηται τοῦ ἐν ᾧ τὸ φῶς, ἀπῆλθεν οὐδὲν ἔχον· ἕως δέ ἐστιν ὑπὸ τὸ φῶς, πεφώτισται· ὥστε ὀρθῶς ἔχειν καὶ ἐνταῦθα λέγειν, ὡς ὁ ἀὴρ ἐν τῷ φωτὶ, ἤπερ τὸ φῶς ἐν τῷ ἀέρι. Διὸ καὶ Πλάτων καλῶς τὴν ψυχὴν οὐ θεὶς ἐν τῷ σώματι ἐπὶ τοῦ παντὸς, ἀλλὰ τὸ σῶμα ἐν τῇ ψυχῇ, καί φησι, τὸ μέν τι εἶναι τῆς ψυχῆς, ἐν ᾧ τὸ σῶμα, τὸ δὲ ἐν ᾧ σῶμα μηδὲν, ὧν δηλονότι δυνάμεων οὐ δεῖται τῆς ψυχῆς τὸ σῶμα. Καὶ δὴ καὶ ἐπὶ τῶν ἄλλων ψυχῶν ὁ αὐτὸς λόγος. Τῶν μὲν ἄλλων δυνάμεων οὐδὲ παρουσίαν τῷ σώματι λεκτέον τῆς ψυχῆς εἶναι, ὧν δὲ δεῖται, ταῦτα παρεῖναι, καὶ παρεῖναι οὐκ ἐνιδρυθέντα τοῖς μέρεσιν αὐτοῦ, οὐδ' αὖ τῷ ὅλῳ· καὶ πρὸς μὲν αἴσθησιν παρεῖναι παντὶ τῷ αἰσθανομένῳ τὸ αἰσθητικὸν, πρὸς δὲ ἐνεργείας ἤδη ἄλλο ἄλλῳ. Λέγω δὲ ὧδε.

XXII. Sed numquid dicendum est, sic animam inesse corpori, ut ignis, id est lumen, inest aeri? Etenim hoc dum adest aeri, non adest : ac per totum præsens nulli miscetur, et manet quidem ipsum, aer vero transfluit. Et quando extra illud fit, in quo est lumen, abit protinus nihil retinens : quamdiu vero est sub lumine, illustratur. Quapropter recte hic licet dicere, aerem esse in lumine potius, quam in aere lumen : ideoque Plato in ipsa mundi generatione dici noluit animam in corpore positam esse, sed corpus in anima collocatum : atque aliquid esse ipsius animæ, in quo sit corpus, aliquid rursus, in quo corpus nullum, quantum videlicet ad eas vires animæ pertinet, quibus corpus minime indiget. Eadem quoque ratio est de cæteris animabus. Profecto putandum est, reliquas animæ vires corpori non adesse, eas autem quibus eget, adesse, atque sic adesse, ut neque in partibus, neque in toto corpore sitæ sint : et ad sensum quidem ipsam sentiendi virtutem toti sentienti adesse, ad actiones vero edendas jam vires alias aliis. Dico autem hunc in modum.

Quælibet vis animæ est in qualibet parte corporis tota, sicut anima : sed dicitur ibi agere, ubi ipsi servit instrumentum : et ibi principaliter, ubi instrumentum habet principium. Sic ergo sentiendi movendique actus attribuitur capiti, unde videlicet derivantur nervi, instrumenta sensus et motus : sic iracundiæ actus circa cor, ubi instrumentum ejus, scilicet sanguis igneus : sic nutritio circa jecur, ubi sanguis aerius est instrumentum ejus. Actus vero rationis etsi non habet communionem cum corpore, attribuitur quodammodo capiti, quoniam imaginationis actus est rationi propinquus, ejusque fit particeps.

ΚΓ'. Τοῦ σώματος πεφωτισμένου τοῦ ἐμψύχου ὑπὸ τῆς ψυχῆς ἄλλο ἄλλως μεταλαμβάνειν αὐτοῦ μέρος καὶ κατὰ τὴν τοῦ ὀργάνου πρὸς τὸ ἔργον ἐπιτηδειότητα δύναμιν τὴν προσήκουσαν εἰς τὸ ἔργον ἀποδιδοῦσαν, οὕτω τοι λέγεσθαι τὴν μὲν ἐν ὀφθαλμοῖς δύναμιν τὴν ὁρατικὴν εἶναι, τὴν δ' ἐν ὠσὶ τὴν ἀκουστικὴν, καὶ γευστικὴν ἐν γλώσσῃ, ὄσφρησιν ἐν ῥισὶ, τὴν δὲ ἁπτικὴν ἐν παντὶ παρεῖναι. Πρὸς γὰρ ταύτην τὴν ἀντίληψιν πᾶν τὸ σῶμα ὄργανον τῇ ψυχῇ παρεῖναι· τῶν δὲ ἁπτικῶν ὀργάνων ἐν πρώτοις τοῖς νεύροις ὄντων, ἃ δὴ καὶ πρὸς τὴν κίνησιν τοῦ ζώου τὴν δύναμιν ἔχει, ἐνταῦθα τῆς τοιαύτης δούσης ἑαυτήν· ἀρχομένων δὲ ἀπὸ τοῦ ἐγκεφάλου τῶν νεύρων, τὴν τῆς αἰσθήσεως καὶ ὁρμῆς ἀρχὴν καὶ ὅλως παντὸς τοῦ ζώου ἐνταῦθα ἔθεσαν φέροντες, οὗ δῆλον ὅτι αἱ ἀρχαὶ τῶν ὀργάνων ἐκεῖ παρεῖναι τὸ χρησόμενον τιθέμενοι. Βέλτιον δὲ λέγειν τὴν ἀρ-

XXIII. Cum animatum corpus sit ab anima illustratum, aliam corporis partem dicimus aliter hinc accipere, atque secundum instrumenti aptitudinem ad opus ferentem secum vim ad opus accommodatam, sic nominari potentiam quidem in oculis visualem, in auribus auditivam, in lingua gustandi, in naribus olfaciendi compotem : compotem vero tangendi ponere solemus in toto. Ad hanc enim perceptionem corpus totum velut instrumentum animæ subministrare videtur. Præterea cum instrumenta tactus in primis sint nervis ad animalis motum vim habentibus, atque hic vis ejusmodi se accommodet, exordiantur autem a cerebro nervi, nimirum sentiendi prosequendique initium totiusque penitus animalis hic potissimum collocarunt, hinc ad alia derivantes, ubi videlicet instrumentorum principia sunt, ibidem, quod his usurum est, collocantes. Satius vero fuerat, illic principium operationis illius potentiæ ponere :

χὴν τῆς ἐνεργείας τῆς δυνάμεως ἐκεῖ· ὅθεν γὰρ ἔμελλε κινεῖσθαι τὸ ὄργανον, ἐκεῖ ἔδει οἷον ἐναπερείδεσθαι τὴν δύναμιν τοῦ τεχνίτου ἐκείνην, τὴν τῷ ὀργάνῳ πρόσφορον· μᾶλλον δὲ οὐ τὴν δύναμιν, πανταχοῦ γὰρ ἡ δύναμις. Ἐκεῖ δὲ τῆς ἐνεργείας ἡ ἀρχή, οὗ ἡ ἀρχὴ τοῦ ὀργάνου. Ἐπεὶ οὖν ἡ τοῦ αἰσθάνεσθαι δύναμις καὶ ἡ τοῦ ὁρμᾶν, ψυχῆς οὔσης αἰσθητικῆς καὶ φανταστικῆς, φύσις ἐπάνω ἑαυτῆς εἶχε τὸν λόγον, ὡς ἂν γειτονοῦσα πρὸς τὸ κάτω, οὗ αὐτὴ ἐπάνω, ταύτῃ ἐτέθη τοῖς παλαιοῖς ἐν τοῖς ἄκροις τοῦ ζώου παντὸς, ἐπὶ τῆς κεφαλῆς, ὡς οὖσα οὐκ ἐν τῷ ἐγκεφάλῳ, ἀλλ' ὡς ἐν τούτῳ τῷ αἰσθητικῷ, ᾧ ἐν τῷ ἐγκεφάλῳ ἐκεῖνος ἵδρυτο. Τὸ μὲν γὰρ ἔδει σώματι διδόναι, καὶ τῷ σώματος μάλιστα τῆς ἐνεργείας δεκτικῷ· τὸ δὲ σώματι οὐδαμοῦ κοινωνοῦν πάντως ἐκείνῳ κοινωνεῖν ἔδει, ὃ ψυχῆς εἶδος ἦν, καὶ ψυχῆς δυναμένης τὰς παρὰ τοῦ λόγου ἀντιλήψεις ποιεῖσθαι. Αἰσθητικὸν γὰρ, κριτικόν πως, καὶ φανταστικὸν οἷον νοερὸν, καὶ ὁρμὴ καὶ ὄρεξις, φαντασίᾳ καὶ λόγῳ ἑπόμενα. Τὸ ἐκεῖ οὖν τὸ λογιζόμενον, οὐχ ὡς ἐν τόπῳ, ἀλλ' ὅτι τὸ ἐκεῖ ἀπολαύει αὐτοῦ. Πῶς δὲ τὸ ἐκεῖ, ἐπὶ τοῦ αἰσθητικοῦ εἴρηται. Τοῦ δὲ φυτικοῦ αὖ καὶ αὐξητικοῦ καὶ θρεπτικοῦ μηδενὸς ἀπολειπομένου, τρέφοντος δὲ τῷ αἵματι, τοῦ δὲ αἵματος τοῦ τρέφοντος ἐν φλεψὶν ὄντος, ἀρχῆς δὲ καὶ φλεβῶν καὶ αἵματος ἐν ἥπατι· ὅθεν, ἐναπερειδομένης ταύτης τῆς δυνάμεως, ἐνταῦθα ἡ τοῦ ἐπιθυμητικοῦ μοῖρα τῆς ψυχῆς οἰκεῖν ἀπεδόθη. Ὃ γάρ τοι καὶ γεννᾷ καὶ τρέφει καὶ αὔξει, τοῦτο καὶ τούτων ἐπιθυμεῖν ἀνάγκη, τοῦ δὲ λεπτοῦ καὶ κούφου καὶ ὀξέος καὶ καθαροῦ αἵματος, θυμῷ προσφόρου ὀργάνου, ἡ τούτου πηγή· ἐνταῦθα γὰρ τὸ τοιοῦτον αἷμα ἀποκρίνεται, τῇ τοῦ θυμοῦ ζέσει καρδία πεποίηται, οἴκησις πρέπουσα.

unde enim movendum erat instrumentum, ibi oportebat quasi fundari vim illam artificis congruam instrumento: imo vero non potentiam, ubique enim potentia viget. Ibi autem est principium actionis, ubi est initium instrumenti. Cum igitur sentiendi prosequendique virtus [et natura] in anima sensuali atque imaginatrice supra se ipsam habeat rationem quasi ad inferius propinqua, nimirum ubi haec est in supremo, ibidem posita est ratio ab antiquis in summa animalis totius arce, ipsa videlicet capite: non quia ratio sit in cerebro, sed in hoc sensuali, per quod quasi medium ratio posita videtur in cerebro. Sensuale quidem hoc oportuit attribuere corpori et illi membro potissimum, quod actionem ejusmodi suscipere posset. Rationem vero nullo modo cum corpore communicantem communicare prorsus oportuit illi, quod est animae species: animae, inquam, potentis a ratione nonnihil accipere. Quod enim sensuale est, quodammodo etiam est et judex: et quod imaginale est, velut intellectuale videtur. Quin etiam impetus atque prosecutio phantasiam rationemque sequuntur. Illic igitur rationale est, non quidem ut in loco, sed quoniam, quod est ibi, quodammodo rationis fit particeps. Quo autem pacto ibi sit sentiendi virtus et alia similiter, dictum est. Proinde, cum vegetalis et augendi nutriendique natura nusquam desit in corpore, nutriat vero sanguine, et sanguis nutritorius sit in venis, initiumque venarum et sanguinis sit in jecore, unde vis ejusmodi nititur, haud ab re hic concupiscens animae portio est a veteribus collocata. Quod enim gignit et nutrit et auget, hoc atque haec necesse est [haec] concupiscere. Cum vero tenuis, levis, acutus, purus sanguis sit instrumentum iracundiae congruum, hujus fons, videlicet unde sanguis ejusmodi ad aestum iracundiae profluit, ipsum scilicet cor iracundiae designatum est habitaculum [decens].

Anima quia est substantia incorporea, in se existens non determinatur ad aliquem locum, nisi per inclinationem et actionem circa illum. Soluta igitur a corpore terreno, si nullam retinet inclinationem ejusmodi, nusquam terrarum est et ubique, nisi forte sit in sphaera superiore per inclinationem ad illam; sin autem inclinationem adhuc retinet ad terrena, circa haec revolvitur cum corpore spiritali, in quo et corporea patitur. Praeterea sicut apud astrologos nonnulli fatum suum etiam nolentes implent, dum ignari aliquid eligunt, per quod incidunt etiam in fatum; sic omnes animae divinam implent in se legem, eligendo aliquid, ex quo in latentem incidunt legis divinae sententiam.

ΚΔ'. [Ἔχουσα δὲ τὸ σῶμα καὶ τὸ ἀντιλαμβάνεσθαι τῶν σωματικῶν κολάσεων ἔχει.] Ἀλλὰ ποῦ ἐξελθοῦσα τοῦ σώματος γενήσεται; ἢ ἐνταῦθα μὲν οὐκ ἔσται, οὗ οὐκ ἔστι τὸ δεχόμενον ὁπωσοῦν, οὐδὲ δύναται παραμένειν τῷ μὴ πεφυκότι αὐτὴν δέχεσθαι, εἰ μή τι ἔχοι αὐτοῦ, ὃ ἕλκει πρὸς αὐτὸ ἄφρονα οὖσαν. Ἔστι δὲ ἐν ἐκείνῳ, εἰ ἄλλο ἔχει, κἀκεῖ ἀκολουθεῖ, οὗ πέφυκε τοῦτο εἶναι καὶ γίγνεσθαι. Ὄντος δὲ πολλοῦ καὶ ἑκάστου τόπου καὶ παρὰ τῆς διαθέσεως ἥκειν δεῖ τὸ διάφορον, ἥκειν δὲ καὶ παρὰ τῆς ἐν τοῖς οὖσι δίκης. Οὐ γὰρ μήποτέ τις ἐκφύγοι, ὃ παθεῖν ἐπ' ἀδίκοις ἔργοις προσήκει. Ἀναπόδραστος γὰρ ὁ θεῖος νόμος, ὁμοῦ ἔχων ἐν ἑαυτῷ τὸ ποιῆσαι τὸ κριθὲν ἤδη. Φέρεται δὲ καὶ αὐτὸς ὁ πάσχων ἀγνοῶν ἐφ' ἃ παθεῖν προσήκει, ἀστάτῳ μὲν τῇ φορᾷ πανταχοῦ αἰωρούμενος ταῖς πλάναις· τελευτῶν δὲ, ὥσπερ πολλὰ καμὼν, οἷς ἀντέτεινεν, εἰς τὸν προσήκοντα αὐτῷ τόπον ἐνέπεσεν, ἑκουσίῳ τῇ

XXIV. [Corpus autem habens (anima) habet etiam sensum corporearum castigationum.] Post haec quaerendum est, ubinam anima sit, postquam a corpore fuerit separata. Profecto hic quidem non erit, ubi non sit, quod eam quomodocumque suscipiat: neque enim in eo moras trahere potest, quod non est ad eam capiendam naturaliter aptum, nisi aliquid ipsius habeat, quod amentem animam trahat ad ipsum. Est autem in illo, si habet aliud, sequiturque illuc, ubi id naturaliter esse et fieri potest. Cum vero plurimus sit et unusquisque locus, oportet differentiam cum ab affectione animae proficisci, tum etiam ab ipsa justitia judicioque rebus omnibus dominante. Nunquam enim effugiet quisquam, quod ex injustis actionibus pati decet. Lex namque divina inevitabilis est, simul in se ipsa continens facultatem jam, quicquid judicatum fuerit, faciendi. Fertur autem et ipse patiens ad quae pati decet ignorans, instabili quidem motu passim erroribus circumactus: sed tandem velut per multa defatigatus ob ea, quibus renitebatur, in locum incidit sibi convenientem,

φορᾷ τὸ ἀκούσιον εἰς τὸ παθεῖν ἔχων. Εἴρηται δὲ ἐν τῷ νόμῳ καὶ ὅσον καὶ ἐφ' ὅσον δεῖ παθεῖν· καὶ πάλιν αὖ ὁμοῦ συνέδραμεν ἥ ἄνεσις τῆς κολάσεως καὶ ἡ δύναμις τοῦ ἀναφυγεῖν ἐξ ἐκείνων τῶν τόπων ἁρμονίας δυνάμει τῆς κατεχούσης τὰ πάντα. Ἔχουσαι δὲ σῶμα καὶ τὸ ἀντιλαμβάνεσθαι τῶν σωματικῶν κολάσεων ἔχουσι· ταῖς δὲ τῶν ψυχῶν καθαραῖς οὔσαις καὶ μηδὲν μηδαμῇ ἐφελκομέναις τοῦ σώματος ἐξ ἀνάγκης οὐδαμοῦ σώματος ὑπάρξει εἶναι. Εἰ οὖν εἰσι καὶ μηδαμοῦ σώματος, οὐδὲ γὰρ ἔχουσι σῶμα, οὗ ἐστιν ἡ οὐσία καὶ τὸ ὂν καὶ τὸ θεῖον ἐν τῷ θεῷ· ἐνταῦθα καὶ μετὰ τούτων καὶ ἐν τούτῳ ἡ τοιαύτη ψυχὴ ἔσται. Εἰ δ' ἔτι ζητεῖς ποῦ, ζητητέον σοι, ποῦ ἐκεῖνα· ζητῶν δὲ, ζήτει μὴ τοῖς ὄμμασι, μηδ' ὡς ζητῶν σώματα.

voluntario quodam motu involuntariam subiens passionem. Edictum vero est in lege, et quantum et quousque oporteat pati : ac tandem iterum una concurrit cum remissio pœnæ, tum potestas ex locis illis effugiendi, idque potentia quadam harmoniæ omnia continentis. Proinde animæ corpus habentes, habent etiam, ut tormenta corporea patiantur. Animæ vero, quæ puræ sunt, nihilque ulla parte corporei secum trahunt, nullo prorsus situ corporeo cohibentur. Si igitur ad nihil ejusmodi designantur (neque enim ullo modo corpus habent), ibi procul dubio sunt, ubi essentia ipsumque ens atque divinum in deo consistens : hic, inquam, et una cum his atque in hoc ipso anima ejusmodi habitabit : sin autem adhuc requiras, ubi, quærendum tibi similiter erit, ubinam sint et illa. Id vero perquirens, neque oculis, neque tanquam corpora quærito.

In intellectu non est reminiscentia, quia nihil novi illic accidit vel extrinsecus vel intrinsecus, quod conservandum sit atque recolendum. Nec ulla de potentia in actum ibi fit commutatio, sed recordationis officium ad animam pertinet.

ΚΕ'. Περὶ δὲ μνήμης, εἰ αὐταῖς ταῖς ψυχαῖς τῶνδε τῶν τόπων ἐξελθούσαις μνημονεύειν ὑπάρχει, ἢ ταῖς μὲν, ταῖς δ' οὔ, καὶ πάντων ἢ τινῶν· καὶ εἰ μνημονεύουσιν ἀεὶ, ἢ ἐπί τινα χρόνον τὸν ἐγγὺς τῆς ἀφόδου, ζητεῖν ὁμοίως ἄξιον· ἀλλ' εἰ μέλλομεν ὀρθῶς περὶ τούτων τὴν ζήτησιν ποιεῖσθαι, ληπτέον τί ποτε τὸ μνημονεῦόν ἐστι. Λέγω δὲ οὐ, τί μνήμη ἐστὶν, ἀλλ' ἐν τίνι συνίστασθαι πέφυκε τῶν ὄντων. Τί μὲν γάρ ἐστι μνήμη, εἴρηται ἐν ἄλλοις, καὶ πολλάκις τεθρύλληται· τὸ δὲ μνημονεύειν πεφυκὸς, ὅ τι ποτέ ἐστιν, ἀκριβέστερον ληπτέον· εἰ δὲ ἐστὶ τὸ τῆς μνήμης ἐπικτήτου τινὸς ἢ μαθήματος ἢ παθήματος, οὔτε τοῖς ἀπαθέσι τῶν ὄντων, οὔτε τοῖς ἐν χρόνῳ ἐγγίγνοιτο ἂν τὸ μνημονεύειν· μνήμην δὴ περὶ θεὸν, οὐδὲ περὶ τὸ ὂν καὶ νοῦν θετέον· οὐδὲν γὰρ εἰς αὐτοὺς, οὐδὲ χρόνος, ἀλλ' αἰὼν, περὶ τὸ ὄν· καὶ οὔτε τὸ πρότερον, οὔτε τὸ ἐφεξῆς, ἀλλ' ἔστιν ἀεὶ, ὡς ἔχει, ἐν τῷ αὐτῷ, οὐ δεχόμενον παράλλαξιν. Τὸ δ' ἐν τῷ αὐτῷ καὶ ὁμοίῳ πῶς ἂν ἐν μνήμῃ γένοιτο; οὐκ ἔχον οὐδ' ἴσχον ἄλλην κατάστασιν, μεθ' ἣν εἶχε πρότερον, ἢ νόησιν ἄλλην, μετ' ἄλλην, ἵνα ἐν ἄλλῃ μένῃ, ἄλλης δὲ μνημονεύῃ, ἣν εἶχε πρότερον. Ἀλλὰ τί κωλύει τὰς ἄλλων μεταβολὰς εἰδέναι, οὐ μεταβάλλοντα αὐτὸν, οἷον κόσμου τὰς περιόδους; ἢ ὅτι ἄλλο μὲν πρότερον, ἄλλο δὲ ὕστερον νοήσει, ἐπακολουθοῦν ταῖς τοῦ τρεπομένου μεταβολαῖς. Τό τε μνημονεύειν παρὰ τὸ νοεῖν ἄλλο· τὰς δὲ αὐτοῦ νοήσεις οὐ μνημονεύειν λεκτέον· οὐ γὰρ ἦλθεν ἵνα κατέχῃ, μὴ ἀπέλθοιεν, ἢ οὕτω γε τὴν οὐσίαν αὐτοῦ φοβοῖτο, μὴ ἀπέλθοι ἀπ' αὐτοῦ. Οὐ τοίνυν οὐδὲ ψυχὴν φατέον μνημονεύειν, τὸν αὐτὸν τρόπον, οἷον λέγομεν τὸ μνημονεύειν εἶναι, ὧν ἔχει συμφύτων· ἀλλ' ἐπειδὴ ἐνταῦθά ἐστιν, ἔχειν καὶ μὴ ἐνεργεῖν κατ' αὐτὰ, καὶ μάλιστα ἐνταῦθα ἡκούσῃ· τὸ δὲ καὶ ἐνεργεῖν ἤδη ταῖς ἐνεργούσαις, ἃ εἶχον, μνήμην καὶ ἀνάμνησιν προστιθέναι ἐοίκασιν οἱ παλαιοὶ, ὥσθ' ἕτερον εἶδος μνήμης τοῦτο· διὸ καὶ χρόνος οὐ πρόσεστι τῇ οὕτως λεγομένῃ μνήμῃ· ἀλλ' ἴσως εὐχερῶς περὶ τούτων ἔχομεν, καὶ οὐκ ἐξεταστικῶς.

XXV. Operæ pretium est de memoria similiter perscrutari, *numquid animæ, cum ex his locis abierint, recordentur* : an aliæ quidem reminiscantur, aliæ vero nequaquam. Et rursus, numquid omnium, an potius aliquorum memoriam habeant; atque iterum, utrum semper meminerint, an forte ad tempus scilicet emigrationi quam proximum. Verum si recte hac de re quæsituri sumus, in primis accipiendum est, quid sit hoc ipsum, quod recordatur. Dico autem non, quid ipsa memoria sit, sed qua in re potissimum naturaliter esse soleat. Quid enim memoria sit, et alibi dictum est et sæpius prædicatur : sed exponendum est diligentius, quid potissimum naturâ sit ad memoriam institutum. Si autem tota memoriæ facultas est adventitii cujusdam sive disciplinæ sive passionis, profecto *reminiscentia rebus, quæ passione vacant,* neque subjiciuntur tempori, minime convenit : ideoque memoria circa deum vel ens et intellectum ponenda non est : nihil enim eis accidit, *neque tempus circa ens est, sed ævum.* Neque prius aliquid ibi est, et posterius, sed est semper, uti se habet, permanens in eodem, nullam prorsus admittens mutationem. Quod autem in eodem similique est semper, quomodo utetur quandoque memoria? quippe cum neque habeat, neque teneat dispositionem aliam post aliam, quam prius habuerit : vel intelligentiam aliam post aliam sortiatur, ut ita in alia quidem maneat, alterius vero meminerit, quam prius habuerat. At vero quidnam prohibebit, hunc intellectum aliorum mutationes cognoscere, *ipsum interim non mutatum, velut ipsos mundi* circuitus? Forsan, quia aliud quidem prius, aliud vero posterius sic intelliget, sequens scilicet agitatæ rei mutationes. Præterea meminisse aliud quiddam præter intelligentiam est, atque ipsas sui intelligentias recordari non est dicendum. Non enim processit ut contineat, ne forsan abeat, alioquin ita etiam metuet, ne ipsa sui essentia a se ipso discedat. Sed neque etiam animam dicendum est ea conditione meminisse, quemadmodum si dixerimus eorum, quæ innata possidet, meminisse : sed postquam hic est, habere quidem illa, neque tamen secundum ipsa nunc operari, et maxime huc longe profectam. Veteres autem operari jam secundum illa, quæ habebat, memoriam et reminiscentiam appellasse videntur, ideoque hæc altera quædam est memoriæ species. Quapropter tempus memoriæ huic minime convenit, sed forsan circa hæc non tam

Ἴσως γὰρ ἄν τις ἀπορήσειε, μή ποτε οὐ τῆς ψυχῆς ἐκείνης ἢ ἡ λεγομένη τοιαύτη ἀνάμνησις καὶ μνήμη, ἀλλὰ ἄλλης ἀμυδροτέρας, ἢ τοῦ συναμφοτέρου τούτου ζῴου. Εἴτε γὰρ ἄλλης, πότε ἢ πῶς λαμβανούσης; εἴτε τοῦ ζῴου, πότε ἢ πῶς; διὸ ζητητέον, τί ἐστι τῶν ἐν ἡμῖν τὸ τὴν μνήμην ἴσχον, ὅπερ καὶ ἐξ ἀρχῆς ἐζητοῦμεν· καὶ εἰ μὲν ἡ ψυχὴ ἡ μνημονεύουσα, τίς δύναμις, ἢ τί μέρος; εἰ δὲ τὸ ζῷον, ὥσπερ καὶ τὸ αἰσθανόμενον ἔδοξέ τισιν ὄν, τίς ὁ τρόπος; καὶ τί ποτε δεῖ φάναι τὸ ζῷον; καὶ ἔτι, εἰ τὸ αὐτὸ τῶν αἰσθημάτων δεῖ τίθεσθαι ἀντιλαμβάνεσθαι καὶ τῶν νοημάτων, ἢ ἄλλο τοῦ ἑτέρου.

consideratio, quam facile leviterque nos gerimus. Forlassis enim quispiam dubitabit, ne forte non illius animae sit memoria reminiscentiaque ejusmodi, sed alterius vilioris, vel etiam hujus compositi animalis. Praeterea sive alterius animae sit, ambiget, quando et quomodo, quae recordatur, acceperit: sive animalis, similiter etiam dubitabit. Quam ob rem investigandum est, quidnam in nobis potissimum sit memoria praeditum, quod etiam ab initio quaerebamus et sive anima recordetur, quaenam vis sive pars animae, sive animal ipsum, utatur memoria: quemadmodum et sentiens id ipsum esse quibusdam apparuit, quaerendum erit, quisnam sit modus, quidve id ipsum animal sit dicendum? Item, utrum ipsum idem sensibilia intelligibiliaque et alia quaevis percipiat: an aliud haec, et aliud accipiat illa.

Animal est unum quiddam, non unum dico factum ex transmutatione ambarum partium in aliquid tertium, sed ex transmutatione corporis in formam actumque animalem. Ad hoc unum commune pertinet effectus sentiendi forma sicut et vegetandi. Sed effectus memoriae, id est conservandi et recolendi, ad animam proprie pertinet stabilem, non ad corpus instabile, quod est oblivionis occasio: nam et multa per memoriam servantur et suggeruntur, quae nunquam cum corpore sunt percepta.

ΚϚʹ. Εἰ μὲν οὖν τὸ ζῷον τὸ συναμφότερόν ἐστιν ἐν ταῖς αἰσθήσεσι ταῖς κατ' ἐνέργειαν, δεῖ τὸ αἰσθάνεσθαι τοιοῦτον εἶναι· διὸ καὶ κοινὸν λέγεται, οἷον τὸ τρυπᾶν καὶ τὸ ὑφαίνειν· ἵνα κατὰ μὲν τὸν τεχνίτην ἡ ψυχὴ ᾖ ἐν τῷ αἰσθάνεσθαι, κατὰ δὲ τὸ ὄργανον, τὸ σῶμα, τοῦ μὲν σώματος πάσχοντος καὶ ὑπηρετοῦντος, τῆς δὲ ψυχῆς παραδεχομένης τὴν τύπωσιν τὴν τοῦ σώματος, ἢ τὴν διὰ τοῦ σώματος, ἢ τὴν κρίσιν, ἣν ἐποιήσατο ἐκ τοῦ παθήματος τοῦ σώματος· οὗ δὴ ἡ μὲν αἴσθησις, οὕτω κοινὸν ἔργον λέγοιτο ἄν· ἡ δὲ μνήμη οὐκ ἀναγκάζοιτο τοῦ κοινοῦ εἶναι, τῆς ψυχῆς ἤδη παραδεξαμένης τὸν τύπον, καὶ ἢ φυλαξάσης, ἢ ἀποβαλούσης αὐτόν· εἰ μή τις τεκμαίροιτο κοινὸν καὶ τὸ μνημονεύειν εἶναι, ἐκ τοῦ ταῖς κράσεσι τῶν σωμάτων καὶ μνημονικοὺς καὶ ἐπιλήσμονας ἡμᾶς γίγνεσθαι· ἀλλὰ καὶ ὡς κωλυτικὸν ἄν, ἢ οὐ κωλυτικὸν λέγοιτο τὸ σῶμα γίγνεσθαι· τῆς δὲ ψυχῆς τὸ μνημονεύειν οὐχ ἧττον εἴη· τῶν δὲ δὴ μαθήσεων, πῶς τὸ κοινὸν, ἀλλ' οὐχ ἡ ψυχὴ ἡ μνημονεύουσα ἔσται; εἰ δὲ τὸ ζῷον τὸ συναμφότερον οὕτως, ὡς ἕτερον ἐξ ἀμφοῖν εἶναι, πρῶτον μὲν ἄτοπον, μήτε σῶμα μήτε ψυχὴν τὸ ζῷον λέγειν· οὐ γὰρ δὴ μεταβαλόντων ἀμφοτέρων ἕτερόν τι ἔσται τὸ ζῷον, οὐδ' αὖ κραθέντων, ὡς δυνάμει τὴν ψυχὴν ἐν τῷ ζῴῳ εἶναι, ἐπεὶ καὶ οὕτως οὐδὲν ἧττον τῆς ψυχῆς τὸ μνημονεύειν ἔσται· ὥσπερ ἐν οἰνομέλιτος κράσει εἴ τι γλυκάζει, παρὰ τοῦ μέλιτος τοῦτο ἔσται. Τί οὖν; εἰ αὐτὴ μὲν μνημονεύει, τῷ δὲ ἐν σώματι εἶναι, τῷ μὴ καθαρὰ εἶναι, ἀλλ' ὥσπερ ποιωθεῖσα ἀναμάττεσθαι δύναται τοὺς τῶν αἰσθητῶν τύπους, καὶ τὸ οἷον ἕδραν ἐν τῷ σώματι πρὸς τὸ παραδέχεσθαι, καὶ μὴ ὥσπερ παραῤῥεῖν. Ἀλλὰ πρῶτον μὲν οἱ τύποι οὐ μεγέθη· οὐδ' ὥσπερ αἱ ἐνσφραγίσεις, οὐδ' ἀντερείσεις, ἢ τυπώσεις, ὅτι μήτ' ὠθισμὸς, μήθ' ὥσπερ ἐν κηρῷ, ἀλλ' ὁ τρόπος οἷον νόησις, καὶ ἐπὶ τῶν αἰσθητῶν. Ἐπὶ δὲ τῶν νοήσεων τίς ἡ ἀντέρεισις λέγοιτο ἄν; ἢ τί δεῖ σώματος ἢ ποιότητος σωματικῆς, μεθ' ἧς; Ἀλλὰ μὴν καὶ τῶν αὐτῆς κινημάτων ἀνάγκη μνήμην αὐτῇ γίγνεσθαι, οἷον ὧν ἐπεθύμησε, καὶ ὧν οὐκ ἀπήλαυσεν, οὐδὲ ἦλθεν εἰς σῶμα τὸ ἐπιθυμητόν.

XXVI. Si igitur animal est utrumque simul in sensibus secundum actum, oportet ipsum sentire etiam aliquid ejusmodi esse: quapropter et commune dicitur, quemadmodum texere atque terebrare: ut secundum artificem quidem anima in sentiendo se gerat, secundum vero instrumentum se habeat corpus: dum corpus quidem patitur et ministrat, anima vero suscipit corporis ipsius formationem, vel eam, quae fit per corpus: aut saltem judicium, quod ex corporis passione peregit: ubi certe sensus sic communis actio diceretur, sed memoria non sic cogeretur esse conjuncti: quippe cum anima susceperit jam figuram, atque vel custodiat, vel abjecerit eam: nisi forte quis memoriam quoque commune quiddam esse conjiciat ex eo, quod complexionibus quibusdam corporum cum memores, tum obliviosi fieri soleamus. Verum dici quidem potest, corpus vel impedire, vel non impedire recordationis effectum, sed nihilo minus ipsum memoriae munus esse ipsius animae proprium. Jam vero meminisse disciplinarum, quomodo non ipsius animae, sed conjuncti potius esse dicetur? Si autem animal sic est utrumque simul, ut alterum quiddam ex utrisque proveniat, primo quidem absurdum erit, neque corpus neque animam dicere animal. Non enim permutatis utrisque diversum quiddam animal est, neque rursus ita commixtis, ut anima in animali sit quadam duntaxat potentia: atqui et hac rursum conditione meminisse nihilominus ad animam pertinebit. Quemadmodum in contemperatione quadam ex vino melleque confecta, si quid superest dulcedinis, gustumque delinit, id ipsum habet ex melle. Quid ergo? Si ipsa quidem meminit, sed ex eo, quod est in corpore, ideoque nec est pura, imo tanquam sic jam aut sic affecta sensibilium figuras potest imprimere, ac velut sedem in corpore stabilire ad capiendas formas, atque servandas. Sed primo quidem ejusmodi figurae non sunt magnitudines: deinde neque tanquam sigillares impressiones, neque reverberationes vel figurationes quaedam: quoniam neque ibi est impulsio, neque fit, sicut in cera fieri consuevit, sed modus alter, qualis est intellectio, etiam in rebus quae sentiuntur. At in intelligendo quaenam impulsio vel impressio dici poterit? Aut quid opus est corpore, vel etiam corporea qualitate, quacum intellectio peragatur? Quin etiam necessarium est eam suorum motuum meminisse: sicut eorum, quae desideravit, quaeve consecuta est vel minime consecuta: neque dum ad corpus usque pervenit, quod tanquam desiderabile nobis propositum est. Quo enim pacto corpore

Πῶς γὰρ ἂν εἴποι τὸ σῶμα, περὶ ὧν οὐκ ἦλθεν εἰς αὐτό; ἢ πῶς μετὰ σώματος μνημονεύσει, ὃ μὴ πέφυκε γιγνώσκειν ὅλως τὸ σῶμα; Ἀλλὰ τὰ μὲν λεκτέον εἰς ψυχὴν λήγειν, ὅσα διὰ σώματος, τὰ δὲ ψυχῆς εἶναι μόνης· εἰ δεῖ τὴν ψυχὴν εἶναί τι, καὶ φύσιν τινὰ καὶ ἔργον τι αὐτῆς. Εἰ δὲ τοῦτο, καὶ ἔφεσιν καὶ μνήμην τῆς ἐφέσεως· ἄρα καὶ τῆς τεύξεως καὶ τῆς οὐ τεύξεως, ἐπείπερ καὶ ἡ φύσις αὐτῆς, οὐ τῶν ῥεόντων. Εἰ γὰρ μὴ τοῦτο, οὐδὲ συναίσθησιν οὐδὲ παρακολούθησιν δώσομεν, οὐδέ τινα σύνθεσιν καὶ οἷον σύνεσιν. Οὐ γὰρ δὴ οὐδὲν ἔχουσα τούτων ἐν τῇ φύσει αὐτῆς ταῦτα κομίζεται ἐν σώματι, ἀλλ' ἐνεργείας μέν τινας ἴσχει, ὧν ἔργων δεῖται ἡ ἐπιτέλεσις ὀργάνων, τῶν δὲ τὰς δυνάμεις ἥκει φέρουσα, τῶν δὲ καὶ τὰς ἐνεργείας, τὸ δὲ τῆς μνήμης καὶ τὸ σῶμα ἐμπόδιον ἔχει· ἐπεὶ καὶ νῦν προστιθεμένων τινῶν λήθη· ἐν δ' ἀφαιρέσει καὶ καθάρσει ἀνακύπτει πολλάκις ἡ μνήμη. Μόνης δὲ οὔσης αὐτῆς ἀνάγκη τὴν τοῦ σώματος φύσιν κινουμένην καὶ ῥέουσαν λήθης αἰτίαν, ἀλλ' οὐ μνήμης εἶναι· διὸ καὶ ὁ τῆς Λήθης ποταμὸς οὗτος ἂν ὑπονοοῖτο· ψυχῆς μὲν δὴ ἔστω τὸ πάθημα τοῦτο.

de illis dicere poterit, quæ ad ipsum non pervenerunt? aut qua ratione una cum corpore animus recordabitur, quod nullo modo natura corporis cognoscere potest? Verum dicendum est, quædam in animam ipsam desinere, quæcunque per corpus veniunt: quædam vero animæ solius existere, si modo necesse est, animam ipsam aliquid esse, et naturam ejus quandam opusque existere. Si vero hoc, insuper desiderium ejus proprium, desiderique memoriam: quam ob rem consecutionis quoque et inanis voti recordationem: quandoquidem et ipsius natura in eorum genere, quæ fluunt, non numeratur. Nisi enim ita se habeat, neque consensum, neque consequentiam animo concedemus, neque conspirationem et quasi animæ conscientiam. Nisi enim anima hæc suapte natura possideat, certe in corpore non acquiret, sed profecto quasdam actiones habet, quarum executio [corporis] indiget instrumentis, et harum omnino vires secum affert: quarundam etiam virium secum affert et actiones. Quantum vero ad memoriam pertinet, corpus *impedimento est: quandoquidem et nunc ex* quorundam adjunctione contingit oblivio: sed in ablatione et purificatione quadam memoria sæpe nobis emergit. Dum vero anima sola est, necessarium est, si natura corporis accesserit mobilis atque fluens, non memoriæ causam, sed oblivionis inferre: quapropter et Lethæum flumen esse hoc potest existimari. Memoria igitur ad animam pertinet.

Opinio quasi poetica esse gemina in homine animas per substantiam inter se differentes, rationalem quidem ab ipso mundi opifice, irrationalem vero a mundi vita.

ΚΖ'. Ἀλλὰ τίνος ψυχῆς; τῆς μὲν λεγομένης ὑφ' ἡμῶν θειοτέρας, καθ' ἣν ἡμεῖς, τῆς δὲ ἄλλης, τῆς παρὰ τοῦ ὅλου· ἢ λεκτέον εἶναι μνήμας ἑκατέρας, τὰς μὲν ἰδίας, τὰς δὲ κοινάς; καὶ ὅταν μὲν συνῶσιν, ὁμοῦ πάσας· χωρὶς δὲ γενομένων, εἰ ἄμφω εἶεν καὶ μένοιεν, ἑκατέραν ἐπιπλέον τὰ ἑαυτῆς, ἐπ' ὀλίγον δὲ χρόνον τὰ τῆς ἑτέρας. Τὸ γοῦν εἴδωλον ἐν Ἅδου Ἡρακλέους· τοῦτο γὰρ καὶ τὸ εἴδωλον οἶμαι χρὴ νομίζειν ἡμᾶς μνημονεύειν τῶν πεπραγμένων πάντων κατὰ τὸν βίον· αὐτοῦ γὰρ μάλιστα καὶ ὁ βίος ἦν. Αἱ δὲ ἄλλαι τὸ συναμφότερον οὖσαι οὐδὲν πλέον ὅμως εἶχον λέγειν, ἢ ἅτε τοῦ βίου τούτου, καὶ αὗται τὸ συναμφότερον γενόμεναι ταῦτα ᾔδεσαν, ἢ εἴ τι δικαιοσύνης ἐχόμενον· ὁ δὲ Ἡρακλῆς αὐτὸς ὁ ἄνευ τοῦ εἰδώλου τί ἔλεγεν, οὐκ εἴρηται. Τί οὖν ἂν εἴποι ἡ ἑτέρα ψυχὴ ἀπαλλαγεῖσα μόνη; ἡ γὰρ ἐφελκομένη, ὅτι κἂν πάντα ὅσα ἔπραξεν ἢ ἔπαθεν ὁ ἄνθρωπος· χρόνου δὲ προϊόντος ἐπὶ τῷ θανάτῳ καὶ ἄλλων μνῆμαι ἂν φανεῖεν ἐκ τῶν πρόσθεν βίων, ὥστε τινὰ τούτων καὶ ἀτιμάσασαν ἀφεῖναι. Σώματος γὰρ καθαρωτέρα γενομένη καὶ ἃ ἐνταῦθα οὐκ εἶχεν ἐν μνήμῃ, ἀναπολήσει· εἰ δ' ἐν σώματι γενομένη ἄλλῳ ἐξέλθοι, ἐρεῖ μὲν τὰ τοῦ ἔξω βίου, καὶ ἐρεῖ εἶναι, ὃ ἄρτι ἀφῆκε, ἐρεῖ δὲ καὶ πολλὰ τῶν πρόσθεν. Χρόνοις δὲ πολλῶν τῶν ἐπακτῶν ἀεὶ ἔσται ἐν λήθῃ· ἡ δὲ δὴ μόνη γενομένη τί μνημονεύσει; ἢ πρότερον σκεπτέον, τίνι δυνάμει ψυχῆς τὸ μνημονεύειν παραγίγνεται.

XXVII. Ceterum quærendum est, utrius animæ conditio sit memoria. Altera siquidem anima divinior appellatur, secundum quam nos sumus; altera vero ab universo pendet. Forsan dicendum est, utrique memoriam convenire, sed alteram quidem memoriam esse propriam, alteram vero communem. Et quando conjunctæ sunt utraque, simul omnes esse memorias; sin autem separentur, si modo utraque sint et maneant, alteram animam sua quidem diutius conservare, quæ vero ad nostram [*corr.* alteram] pertinent, brevius. Hæc vero est, quæ idolum appellatur. Simulacrum igitur Herculis apud Inferos existimandum nobis est, ut arbitror, recordari omnium, quæ acta in vita fuerunt: ejus enim potissimum vita hæc erat. Aliæ vero utrumque simul existentes nihil plus dicere habuerunt, quam quæ ad hanc vitam spectant, et ipsæ utrumque simul factæ hæc ipsa noverunt: vel præterea si quid quodammodo pertinet ad justitiam. Hercules autem ipse segregatus a simulacro quidnam dixerit, nondum est dictum. Quidnam igitur anima diceret altera segregata quandoque solaque vivens? nam anima quidem quæ secum traxit (corporea), recolit quæcunque fecit, passusque est homo. Procedente vero tempore sub ipsa morte aliorum quoque recordationes ex antecedentibus vitis suboriuntur, adeo ut horum nonnulla per negligentiam dimittantur. Facta enim aliquando a corpore purior, et illa, quæ hic non habuit in memoria, recolet: accedens vero ad aliud corpus exeurit, profertque externæ vitæ negotia, et quæ nuper omiserat, item multa superiorum. Cum vero longioribus temporum curriculis adventitia multa contingant, semper in oblivione versabitur. At anima, quæ sola jam evasit, quidnam meminerit? Forsan vero prius nobis investigandum est, ad quam potissimum animæ vim memoria ipsa pertineat.

Potentia sensitiva aliud quiddam est, quam potentia concupiscendi vel irascendi, atque haec utraque excitatur a sensu, et ex frequenti incitamento acquirit inclinationem propensiorem, quae tamen non est memoria. Memoria enim ad sensum pertinet atque rationem.

ΚΗ'. Ἆρά γε ᾧ αἰσθανόμεθα καὶ ᾧ μανθάνομεν; ἢ καὶ ᾧ ἐπιθυμοῦμεν τῶν ἐπιθυμητῶν καὶ τῶν ὀργιστῶν τῷ θυμοειδεῖ; οὐ γὰρ ἄλλο μὲν ἀπολαύσει, φήσει τις, ἄλλο δὲ μνημονεύσει τῶν ἐκείνου. Τὸ γοῦν ἐπιθυμητικόν, ὧν ἀπέλαυσε, τοῦτο κινεῖται πάλιν ὀφθέντος τοῦ ἐπιθυμητοῦ δηλονότι τῇ μνήμῃ. Ἐπεὶ διὰ τί οὐκ ἄλλου, ἢ οὐχ οὕτως; τί οὖν κωλύει καὶ αἴσθησιν τῶν τοιούτων διδόναι αὐτῷ; καὶ τῷ αἰσθητικῷ τοίνυν ἐπιθυμίαν καὶ παντάπασιν, ὥστε κατὰ τὸ ἐπικρατοῦν ἕκαστον λέγεσθαι; ἢ αἴσθησιν ἄλλως ἑκάστῳ· οἷον εἶδε μὲν ἡ ὅρασις, οὐ τὸ ἐπιθυμοῦν· ἐκινήθη δὲ παρὰ τῆς αἰσθήσεως τὸ ἐπιθυμοῦν, οἷον διαδόσει, οὐχ ὥστε εἰπεῖν τὴν αἴσθησιν οἵα, ἀλλ' ὥστε ἀπαρακολουθήτως παθεῖν· καὶ ἐπὶ τοῦ θυμοῦ εἶδε τὸν ἀδικήσαντα· ὁ δὲ θυμὸς ἀνέστη, οἷον εἰ ποιμένος ἰδόντος ἐπὶ ποίμνῃ λύκον, ὁ σκύλαξ τῇ ὀδμῇ ἢ τῷ κτύπῳ, αὐτὸς οὐκ ἰδὼν ὄμμασιν, ὀρίνοιτο. Καὶ τοίνυν ἀπέλαυσε μὲν τὸ ἐπιθυμοῦν, καὶ ἔχει ἴχνος τοῦ γενομένου ἐντεῦθεν, οὐχ ὡς μνήμην, ἀλλ' ὡς διάθεσιν καὶ πάθος. Ἄλλο δὲ τὸ ἑωρακὸς τὴν ἀπόλαυσιν, καὶ παρ' αὐτοῦ ἔχον τὴν μνήμην τοῦ γεγενημένου. Τεκμήριον δὲ τὸ μὴ εἰδυῖαν εἶναι τὴν μνήμην πολλάκις, ὧν μετέσχε τὸ ἐπιθυμοῦν, καίτοι εἰ ἐν αὐτῷ ἦν ἄν.

XXVIII. Numquid eo meminimus, quo sentimus, et quo discimus? An etiam, quo concupiscimus, concupitorum, et quo irascimur, singulorum ad iram pertinentium reminiscimur? Non enim aliud quidem frui dicet quispiam, aliud vero meminisse eorum, quibus aliud fruebatur. Vis ergo concupiscendi suis aliquando potita deliciis, si quando desideratum ei rursus occurrerit, movetur iterum per memoriam. Cur enim neque alio quovis objecto, neque aliter, quam ita, movetur? Quid ergo prohibet, quominus ei sensum quoque talium tribuamus? et sensuali similiter concupiscentiam, per omniaque similiter, adeo, ut secundum id, quod praevalet, quodlibet nominetur? An forte sensum singulis aliter attribuimus? velut vidit quidem visio, non autem ipsa concupiscendi natura. Incitata vero haec est a sensu, quasi succedente quadam traductione, non ita quidem, ut haec dicat, qualis omnino sit sensus, sed absque animadversione propria patiatur. Eadem ratione in his, quae spectant ad iracundiam, visio quidem vidit injuriantem, animositas autem irritata est: quemadmodum, si pastore lupum prospiciente gregibus imminentem irritetur canis, non ipso quidem intuitus, sed odoratu quodam vel strepitu lacessitus. Etenim concupiscendi quidem natura olim potita est, retinetque ejus, quod factum est, insitam sibi notam, non tanquam memoriam, sed velut affectionem quandam et passionem. Aliud vero est, quod consecutionem patientis animadvertit, penesque se rei gestae memoriam possidet. Hujus vero argumentum est, memoriam scilicet saepe non cognoscere, quae vis ipsa concupiscendi participavit, quamvis adhuc in hac ipsa resideant.

Quando in sensu memoriam ponimus, item in sensu interiore, id est imaginatione, locamus. Haec enim absentia repetit et conservat: et ubi haec potentior est, memoria est etiam validior, praesertim, si corporis qualitas et meditatio conducat ad idem.

ΚΘ'. Ἆρ' οὖν τῷ αἰσθητικῷ φέροντες ἀναθήσομεν τὴν μνήμην, καὶ τὸ αὐτὸ ἡμῖν μνημονευτικὸν καὶ αἰσθητικὸν ἔσται; ἀλλ' εἰ καὶ τὸ εἴδωλον μνημονεύσει ὡς ἐλέγετο, διττὸν τὸ αἰσθητικὸν ἔσται· καὶ εἰ μὴ τὸ αἰσθητικὸν δέ, τὸ μνημονευτικόν, ἀλλ' ὁτιοῦν ἄλλο, διττὸν τὸ μνημονεῦον ἔσται. Ἔτι δέ, εἰ τὸ αἰσθητικὸν καὶ τῶν μαθημάτων ἔσται, καὶ τῶν διανοημάτων ἔσται τὸ αἰσθητικόν, ἢ ἄλλο γε δὴ ἑκατέρων. Ἆρ' οὖν, κοινὸν θέμενοι τὸ ἀντιληπτικόν, τούτῳ δώσομεν ἀμφοῖν τὴν μνήμην; Ἀλλ' εἰ μὲν ἓν καὶ ταὐτὸν τὸ ἀντιλαμβανόμενον αἰσθητῶν τε καὶ νοητῶν, τάχα ἄν τι λέγοιτο· εἰ δὲ διαιρεῖται διχῇ, οὐδὲν ἧττον δύο ἂν εἴη. Εἰ δὲ καὶ ἑκατέρᾳ τῇ ψυχῇ δώσομεν ἄμφω, τέτταρα ἂν γένοιτο. Ὅλως δὲ τίς ἀνάγκη, ᾧ αἰσθανόμεθα, τούτῳ καὶ μνημονεύειν, καὶ τῇ αὐτῇ δυνάμει γίγνεσθαι ἄμφω, καί, ᾧ διανοούμεθα, τούτῳ τῶν διανοημάτων μνημονεύειν; ἐπεὶ οὐδ' οἱ αὐτοὶ διανοεῖσθαι κράτιστοι καὶ μνημονεύειν, καὶ ἐπ' ἴσης αἰσθήσει χρησάμενοι, οὐκ ἐπ' ἴσης μνημονεύουσι, καὶ εὐαισθήτως ἔχουσιν ἄλλοι, μνημονεύουσι δὲ ἄλλοι, οὐκ ὀξέως ἐν αἰσθήσει γεγενημένοι. Ἀλλὰ πάλιν αὖ, εἰ ἄλλο ἑκάτερον δεήσει εἶναι, καὶ ἄλλο, ὃ μνημονεύσει, ὧν ἡ αἴσθησις ᾔσθετο πρότερον, κἀκεῖνο δεῖ αἰσθέσθαι, οὗπερ μελλήσει μνημονεύειν. Ἢ οὐδὲν κωλύσει, τῷ μνημονεύσοντι τὸ αἴσθημα φάντασμα εἶναι, καὶ τῷ φανταστικῷ ἄλλῳ ὄντι τὴν μνήμην καὶ κατοχὴν ὑπάρχειν·

XXIX. Numquid igitur sensuali virtuti memoriam dedicabimus? atque idem sentiendi compos nobis erit, quod et memoriae compos? At si et animae simulacrum meminerit, ut dicebamus, duplex sensuale in nobis erit; ac si sensuale non sit memor, sed quodvis aliud: sic etiam quodlibet aliud saltem dupliciter erit memor. Praeterea sensuale, si etiam ad disciplinas pertinet retinendas, etiam cogitationes ipsas persentiet, vel aliud potius ad utraque pertinebit. Num igitur animadversorium commune ponentes, huic amborum memoriam concedemus? Verum, si unum idemque animadversorium est sensibilium atque intelligibilium, non nihil forsitan diceretur: sin autem bifariam distribuitur, nihilo minus duo quaedam erunt. Quodsi utrique animae attribuamus ambo, quattuor inde fient. Omnino autem quaenam cogit necessitas, ut, quo sentimus, eodem etiam meminerimus, eademque virtute ambo perficiamus: et, quo cogitamus, eodem cogitationum etiam recordemur? quando quidem non iidem homines in excogitando memoriterque retinendo potentissimi sunt: et, qui aeque valent sensu, non aeque memoria valent, atque alii sensibus magis admodum vigent, alii vero magis memoria pollent, cum tamen ad sentiendum non sint admodum perspicaces. Sed rursus, si est utrumque diversum, oportebit quoque aliud esse, quod meminerit, quae sensus ante perceperat, atque illud oportet sentire, cujus et meminisse debebit. Fortasse vero nihil prohibebit, commemoranti sentiendi actum esse actum quendam imaginandi, atque ipsi imaginali naturae, quae et diversa sit, memoriam conservationemque con-

τοῦτο γάρ ἐστιν, εἰς ὃ λήγει ἡ αἴσθησις, καὶ μηκέτι οὔσης τούτῳ πάρεστι τὸ ὅραμα. Εἰ οὖν παρὰ τοῦτο τοῦ ἀπόντος ἤδη ἡ φαντασία, μνημονεύει ἤδη· κἂν μὲν ἐπ' ὀλίγον παραμένοι, ὀλίγη ἡ μνήμη· ἐπὶ πολὺ δέ, μᾶλλον μνημονικοί, τῆς δυνάμεως ταύτης οὔσης ἰσχυροτέρας, ὡς μὴ ῥᾳδίως τρεπομένης ἀφεῖσθαι ἀποσεισθεῖσαν τὴν μνήμην. Τοῦ φανταστικοῦ ἄρα ἡ μνήμη, καὶ τὸ μνημονεύειν τῶν τοιούτων ἔσται. Διαφόρως δ' ἔχειν πρὸς μνήμας φήσομεν ἢ ταῖς δυνάμεσιν αὐτῆς διαφόρως ἐχούσαις, ἢ ταῖς πράξεσιν, ἢ μή, ἢ καὶ σωματικαῖς κράσεσιν ἐνούσαις καὶ μή, καὶ ἀλλοιούσαις καὶ μή, καὶ οἷον θορυβούσαις. Ἀλλὰ ταῦτα μὲν ἑτέρωθι.

genere · hoc enim est, *in quod sensus desinit, sensuque cessante*, huic adest interea visum. Si igitur penes hoc absentis imaginatio residet, certe memoriam habet; ac si ad breve permanet, exiguam* habet memoriam : sin autem prorogatur in longum, hi magis memoria pollent, hac videlicet potestate validius se habente, usque adeo, ut non facile pervertatur, notasque memores amittere compellatur. Imaginalis ergo virtutis memoria est, taliumque est meminisse. Differentes vero ad reminiscendum animos esse dicemus vel ob illius vires se differenter habentes, vel ob frequentiam actionum, aut vacationem, vel ob corporeas complexiones, quæve adsint, quæve desint : et quæ permutatæ permutent, aut contra, sive etiam, quæ quasi perturbent. Sed de his alibi dicendum esse videtur.

Sunt in nobis imaginationes geminæ, una in vita irrationali, altera in anima rationali, atque illa est summum sensuum, hæc infimum cogitationum. Suntque contiguæ; et ad utramque pertinet animadversio. Sicut ergo sæpe nonnulla videmus, nec tamen animadvertimus nos videre, nisi huc imaginatio sensualis intendat, et nisi in hanc visio ipsa resultet : ita nec intelligere neque cogitare nos animadvertimus, nisi actiones ejusmodi quoquo modo attingant imaginationem sibi continuam, et in ea quasi resultent. Ad hanc quoque imaginationem perveniunt et sensuum et imaginationis inferioris actus, atque in hac ipsa rationalis memoria collocatur.

Λ'. Τὸ δὲ τῶν διανοήσεων τί; ἆρά γε καὶ τούτων τὸ φανταστικόν; ἀλλ' εἰ μὲν πάσῃ νοήσει παρακολουθεῖ φαντασία, τάχα ἂν ταύτης τῆς φαντασίας, οἷον εἰκόνος οὔσης τοῦ διανοήματος, μενούσης, οὕτως ἂν εἴη τοῦ γνωσθέντος ἡ μνήμη· εἰ δὲ μή, ἄλλο τι ζητητέον. Ἴσως δ' ἂν εἴη τοῦ λόγου τοῦ τῷ νοήματι παρακολουθοῦντος ἡ παραδοχὴ εἰς τὸ φανταστικόν. Τὸ μὲν γὰρ νόημα ἀμερές, καὶ οὔπω οἷον προεληλυθὸς εἰς τὸ ἔξω, ἔνδον ὂν λανθάνει. Ὁ δὲ λόγος ἀναπτύξας καὶ ἐπάγων ἐκ τοῦ νοήματος εἰς τὸ φανταστικόν, ἔδειξε τὸ νόημα, οἷον ἐν κατόπτρῳ, καὶ ἡ ἀντίληψις αὐτοῦ οὕτω καὶ ἡ μονὴ καὶ ἡ μνήμη. Διὸ καὶ ἀεὶ κινουμένης πρὸς νόησιν τῆς ψυχῆς, ὅταν ἐν τούτῳ γένηται, [γίνεται] ἡμῖν ἡ ἀντίληψις. Ἄλλο γὰρ ἡ νόησις, καὶ ἄλλο ἡ τῆς νοήσεως ἀντίληψις. Καὶ νοοῦμεν μὲν ἀεί, ἀντιλαμβανόμεθα δὲ οὐκ ἀεί· τοῦτο δέ, ὅτι τὸ δεχόμενον οὐ μόνον δέχεται νοήσεις, ἀλλὰ καὶ αἰσθήσεις κατὰ θάτερα.

XXX. Verum quidnam cogitationum meminisse dicemus? Num has quoque imaginatio ipsa conservat? Verum *si omnem intelligentiam imaginatio sequeretur*, forsan hac imaginatione manente, velut quadam cogitationis imagine, sic utique rei cognitæ memoria erit : sin minus, aliud *indagandum*. *Forsan vero ratione* ipsam intelligentiam comitante traductio et susceptio quædam in imaginationem memoria erit. Ipsa enim intelligentiæ notio, sive (*ut ita dixerim*) *intelligimen* impartibile est, ac nondum quasi processit foras, sed permanens intus latet. Ratio vero explicans et educens ex ipsa intelligentiæ notione in imaginandi virtutem, ipsum, quod *dicitur intelligimen*, velut in speculo demonstravit, ejusque animadversio ita fit et permanentia atque memoria. Quam ob rem, *quum anima semper ad intelligentiam moveatur*, quotiens in hoc resultat, fit in nobis animadversio. Aliud enim est intelligentia, et aliud intelligentiæ ipsius animadversio. *Et intelligimus quidem semper, non tamen semper animadvertimus*. Id autem inde contingit, quoniam id, quod suscipit, non solum intelligentias, verum sensus etiam aliunde suscipit, idque vicissim.

Si animæ nostræ duo locis inter se separentur, duas habebunt imaginationes manifestas, atque memorias. Quatenus vero sunt simul, inferior præstantiori cedit in corpore formando, sicut lumini majori minus lumen. Et ideo non sunt hic animalia duo, quia superior anima est quasi inferioris forma, atque hæc sub illius forma actuque naturaliter agit in corpore. Præterea, quamvis imaginatio memor naturaliter sit in utraque, tamen, quando una frequentius imaginatur atque validius, altera vel vacat, vel ita remisse agit, sicut sæpe visus quasi non videt, imaginatione interim circa aliud attentius laborante. Decet autem, ut naturale est, et fit communiter, imaginationem inferiorem superiori cedere. *Quæ quidem superior, quia comprehendit intelligibilium notas simul et sensibilium formas*, declarat in nobis animal esse unum : et quando egreditur corpore, si alteram sibi educatione subegerit, vilia quidem mandat oblivioni, honestiora resumit.

ΛΑ'. Ἀλλ' εἰ τοῦ φανταστικοῦ ἡ μνήμη, ἑκατέρα δὲ ἡ ψυχὴ μνημονεύειν εἴρηται, δύο τὰ φανταστικά. Χωρὶς μὲν οὖν οὖσαι ἐχέτωσαν ἑκάτερα· ἐν δὲ τῷ αὐτῷ παρ' ἡμῖν πῶς τὰ δύο, καὶ τίνι αὐτῶν ἐγγίγνεται; εἰ μὲν γὰρ ἀμφοτέροις, διτταὶ ἀεὶ καὶ αἱ φαντασίαι· (οὐ γὰρ δὴ τὸ μὲν τῆς ἑτέρας τῶν νοητῶν, τὸ δὲ τῶν αἰσθητῶν· οὕτω γὰρ ἂν παντάπασι δύο ζῷα, οὐδὲν ἔχοντα κοινὸν πρὸς ἄλληλα ἔσται·) εἰ οὖν ἀμφοτέραις, τίς ἡ διαφορά; εἶτα πῶς οὐ γιγνώσκομεν; ἢ ὅταν μὲν συμφωνῇ ἡ ἑτέρα τῇ ἑτέρᾳ, οὐκ ὄντων οὐδὲ χωρὶς τῶν

XXXI. Verum si imaginationis memoria est, utraque vero anima meminisse dicitur, duæ quædam erunt imaginandi virtutes. Profecto, si separatæ inter se animæ sint, geminas habeant. *Cum vero in eodem sint apud nos*, quomodo duas habebunt,* et utri earum fiet impressio memor? Si enim utrisque, geminæ semper imaginationes erunt : (non enim dicendum est, ad alteram quidem intelligibilium, ad alteram vero sensibilium memoriam pertinere : sic enim duo prorsus animalia erunt inter se commune nihil habentia.) si ergo utrisque impressio fit, quænam differentia est? *Præterea quid obstat, quominus id agnoscamus?* Forsan, quando altera consentit atque consonat alteri : quippe cum imaginationes non sint

φανταστικῶν, κρατοῦντος δὲ τοῦ τῆς κρείττονος ἓν τὸ φάντασμα γίγνεται, οἷον παρακολουθούσης σκιᾶς τῷ ἑτέρῳ, καὶ ὑποτρέχοντος οἷον σμικροῦ φωτὸς μείζονι. Ὅταν δὲ μάχη ᾖ καὶ διαφωνία, ἐκφανὴς ἐφ' ἑαυτῆς καὶ ἡ ἑτέρα γίγνεται· λανθάνει δὲ ἐν ἑτέρῳ, ὅτι καὶ ὅλως τὸ διττὸν τῶν ψυχῶν λανθάνει. Εἰς ἓν γὰρ ἦλθον ἄμφω, καὶ ἐποχεῖται ἡ ἑτέρα. Ἑώρα οὖν ἡ ἑτέρα πάντα, καὶ τὰ μὲν ἔχει ἐξελθοῦσα, τὰ δ' ἀφίησι τῶν τῆς ἑτέρας· οἷον ἑταίρων ὁμιλίας φαυλοτέρων λαβόντες ποτὲ, ἄλλους ἀλλαξάμενοι, ὀλίγα τῶν ἐκείνων μεμνήμεθα, χρηστοτέρων δὲ γεγενημένων πλείω.

seorsum, siquidem tunc animae potioris expressio superat, unum provenit phantasma, id est, visum: quippe cum velut umbra tunc alterum comitetur, minusque lumen majori cedat. Quando vero pugna fit atque discordia, tunc et altera emicat per se ipsam: latet autem, quod est in altera, quoniam et omnino latet nos duplicitas animarum. In unum enim ambae conspiraverunt, alteraque vehitur (apparens in altera). Intuetur igitur altera, viditque omnia, et alia quidem habet exiens sive egressa: alia vero dimittit ad alteram pertinentia. Quemadmodum solemus, cum vilioribus sodalibus aliquando conversati, si deinde nos ad praestantiorum consuetudinem traducamus, exigua quaedam priorum contubernalium memoria retinere, plura vero sequentium ac meliorum.

In utraque anima post obitum humanarum rerum memoria remanet: sed in inferiore cum perturbatione, praesertim quando superiori non prorsus obtemperaverit. In superiore vero sine perturbatione, praesertim quando talia parvi penderit. Item, in corpore aerio reminiscimur mortalium quam plurimorum, in caelesti paucorum, extra caelum paucissimorum. Recordari vero ille paucorum non provenit ex debilitate memoriae, sed ex attentione circa meliora, negligentia deteriora, nisi quatenus haec per illa considerantur.

ΛΒ'. Τί δὲ δὴ φίλων καὶ παίδων καὶ γυναικός; πατρίδος δὲ, καὶ τῶν ὧν ἂν καὶ ἀστεῖος οὐκ ἄτοπος μνημονεύοι; ἢ τὸ μὲν μετὰ πάθους ἑκάστου, ὁ δὲ ἀπαθῶς ἂν τὰς μνήμας τούτων ἔχοι· τὸ γὰρ πάθος ἴσως καὶ ἐξ ἀρχῆς ἐν ἐκείνῳ, καὶ τὰ ἀστεῖα τῶν παθῶν τῇ σπουδαίᾳ, καθ' ὅσον τῇ ἑτέρᾳ τι ἐκοινώνησε. Πρέπει δὲ τὴν μὲν χείρονα καὶ τῶν τῆς ἑτέρας ἐνεργημάτων ἐφίεσθαι τῆς μνήμης, καὶ μάλιστα ὅταν ἀστεία ᾖ καὶ αὐτή· γένοιτο γὰρ ἄν τις καὶ ἐξ ἀρχῆς ἀμείνων, καὶ τῇ παιδεύσει τῇ παρὰ τῆς κρείττονος· τὴν δὲ δεῖ ἀσμένως εἰς λήθην ἐλθεῖν τῶν παρὰ τῆς χείρονος. Εἴη γὰρ ἂν καὶ σπουδαίας οὔσης τῆς ἑτέρας, τὴν ἑτέραν τὴν φύσιν χείρονα εἶναι κατεχομένην ὑπὸ τῆς ἑτέρας βίᾳ· ὅσῳ δὴ σπεύδει πρὸς τὸ ἄνω, πλειόνων αὐτῇ ἡ λήθη, εἰ μήπου πᾶς ὁ βίος αὐτῇ καὶ ἐνταῦθα τοιοῦτος, οἷος μόνων τῶν κρειττόνων ἔχειν τὰς μνήμας· ἐπεὶ καὶ ἐνταῦθα καλῶς τὸ ἐξιστάμενον τῶν ἀνθρωπίνων σπουδασμάτων, ἀνάγκη οὖν καὶ τῶν μνημονευμάτων· ὥστε ἐπιλήσμονα ἄν τις λέγων τὴν ἀγαθὴν, ὀρθῶς ἂν λέγοι τρόπῳ τοιούτῳ· ἐπεὶ καὶ φεύγει ἐκ τῶν πολλῶν, καὶ τὰ πολλὰ εἰς ἓν συνάγει, τὸ ἄπειρον ἀφιεῖς. Οὕτω γὰρ καὶ οὐ μετὰ πολλῶν, ἀλλὰ ἐλαφρὰ, καὶ δι' αὑτῆς, ἐπεὶ καὶ ἐνταῦθα, ὅταν ἐκεῖ ἐθέλῃ εἶναι, ἔτι οὖσα ἐνταῦθα, ἀφίησι πάντα ὅσα ἄλλα· ὀλίγα τοίνυν κἀκεῖ, τὰ ἐντεῦθεν· καὶ ἐν οὐρανῷ οὖσα, πλείω. Καὶ εἴποι ἂν ὁ Ἡρακλῆς ἐκεῖνος ἀνδραγαθίας ἑαυτοῦ· ὁ δὲ καὶ ταῦτα σμικρὰ ἡγούμενος, καὶ μετατεθεὶς εἰς ἁγιώτερον τόπον, καὶ ἐν τῷ νοητῷ γεγενημένος, καὶ ὑπὲρ τὸν Ἡρακλέα ἰσχύσας τοῖς ἄθλοις, οἷα ἀθλεύουσι σοφοί.

XXXII. Quid vero dicemus de amicis et filiis atque conjuge? Item de patria, similiterque de aliis, quorum vir probus honeste recordaturus esse putabitur? Fortasse illud quidem (id est animae simulacrum) cum perturbatione quadam reminiscitur singulorum: hic autem absque perturbatione horum memoriam retinebit: perturbatio enim forsan et ab initio erat in illo: atque etiam urbani quidam affectus in anima praestantiore sunt, quatenus cum altera commercium habuit. Decet autem deteriorem animam appetere etiam officia melioris memoriter retinere, praesertim quando ipsa quoque modesta est: potest enim et a principio fieri melior, et educata sub meliore proficere. Hanc autem oportet libentius oblivioni mandare deterioris animae nugas. Fieri quoque potest, cum altera proba sit, ut altera, quae sit natura deterior, per vim a meliore coerceatur: et profecto, quatenus contendit ad supera, plura ex his ab hac quoque oblivioni mandantur, nisi forte tota ejus vita hic quoque talis extiterit, ut optima duntaxat memoriae commendaverit; quandoquidem et hic praeclarum est, se ab humanis studiis segregare (idque est absolutae virtutis officium): quocirca et necessarium est talium memoriam posthabere. Quapropter, si quis probum animum esse dicat obliviosum, hac utique ratione recte loquetur: fugit namque a multis, et in unum redigit multitudinem, infinitum prorsus incertumque dimittens. Sic enim neque vivit cum multis, sed exonerata et levis, paucis quibusdam, et his quidem vix retentis, secum habitat: quandoquidem etiam, dum hic habitat, quoties ad supera se conferre contendit, cetera prorsus omittit. Cum igitur illuc ad summum pervenerit, ex his pauca recolit: cum vero est in caelo, retinet plura. Jam vero Hercules ille virili sua fortitudine gloriabitur: ille vero superior talia etiam parvi pendet, in locum augustiorem jam profectus et in ipso intelligibili receptus mundo: et profecto superior Hercule, utpote qui sacratiora sapientum certamina strenue exercuerit, et abunde peregerit.

# ΕΝΝΕΑΔΟΣ Δ

## ΛΟΓΟΣ Δ.

### ΠΕΡΙ ΨΥΧΗΣ ΑΠΟΡΙΩΝ, ΔΕΥΤΕΡΟΝ.

# ENNEADIS QUARTÆ

## LIBER IV.

### DE DUBIIS ANIMÆ SECUNDUS.



Anima corpus omne vel cœleste quandoque exuta, et mente divina tunc formata, attentissime divina conspicit simul cuncta sine discursu : ideo dicitur non recordari rerum humanarum, non, quia ignorat inferiora, dum omnes inferiorum causas contuetur, ac se perfectissime possidet : sed quia negligentissime repetit minima, quando est in maximis attentissima : atque etiam quia non repetit per modum discurrentem atque mutabilem, quemadmodum solet humana recordatio fieri. Contuetur autem et per intellectum et per rationem, quæcumque cognoscit uno quodam intuitu sine motu, quoniam conspicit per unam dei formam. Veruntamen per ipsam seriem idearum habentem gradus non tempore, sed ordine, inter se distinctos, discernit alia aliis ordine ibi esse priora. Quod autem aliquis apud nos attentissime cogitans aliquid, nequeat interim aliud perspicue cogitare, accidit cum ex debilitate potentiæ, tum etiam ex eo, quod non cogitat principium aliorum. Ibi vero potentia et validissima est, *et omnium principia contuetur : ergo et in illis omnia simul, præsertim quia a motu ac tempore jam est penitus* separata. Anima denique postquam mente divina ideisque formata fuit, attingit ipsum unum mente ideisque superius, et tamen adhuc inde conspicit omnia : potestas enim ipsius unius, cum primum in alio, id est mente, vel anima percipitur, in plurima derivatur.

Α'. Τί οὖν ἐρεῖ, καὶ τίνων τὴν μνήμην ἕξει ψυχὴ ἐν τῷ νοητῷ, καὶ ἐπὶ τῆς οὐσίας ἐκείνης γενομένη; ἢ ἀκόλουθον εἰπεῖν, ἐκεῖνα θεωρεῖν καὶ περὶ ἐκεῖνα ἐνεργεῖν, ἐν οἷς ἐστιν, ἢ μηδὲ ἐκεῖ εἶναι. Τῶν οὖν ἐνταῦθα οὐδέν, οἷον ὅτι ἐφιλοσόφησε· καὶ δὴ καὶ ὅτι ἐνταῦθα οὖσα, ἐθεᾶτο τὰ ἐκεῖ. Ἀλλ' εἰ μή ἐστιν, ὅτε τις ἐπιβάλλει τινὶ τῇ νοήσει, ἄλλο τι ποιεῖν, ἢ νοεῖν κἀκεῖνο θεωρεῖν, καὶ ἐν τῇ νοήσει οὐκ ἔστιν ἐμπεριεχόμενον τὸ ἐνενοηκέναι, ἀλλ' ὕστερον ἄν τις τοῦτ', εἰ ἔτυχεν, εἴποι, τοῦτο δὲ ἤδη μεταβάλλοντος, οὐκ ἂν εἴη ἐν τῷ νοητῷ καθαρῶς ὄντα μνήμην ἔχειν τῶν τῇδέ ποτε αὐτῷ τινι γεγενημένων. Εἰ δὲ καί, ὥσπερ δοκεῖ, ἄχρονος πᾶσα ἡ νόησις, ἐν αἰῶνι ἀλλ' οὐκ ἐν χρόνῳ ὄντων τῶν ἐκεῖ, ἀδύνατον μνήμην εἶναι ἐκεῖ, οὐχ ὅτι τῶν ἐνταῦθα, ἀλλὰ καὶ ὅλως ὁτουοῦν· ἀλλ' ἔστιν ἕκαστον παρόν, ἐπεὶ οὐδὲ διέξοδος, οὐδὲ μετάβασις ἀφ' ἑτέρου ἐπ' ἄλλο. Τί οὖν; οὐκ ἔσται διαίρεσις ἄνωθεν εἰς εἴδη, ἢ κάτωθεν ἐπὶ τὸ καθόλου καὶ τὸ ἄνω; τὸ μὲν γὰρ ἄνω μὴ ἔστω ἐνέργεια ὁμοῦ νοῦ ὄντι· τῇ ψυχῇ ἐκεῖ οὔσῃ διὰ τί οὐκ ἔσται; Τί οὖν κωλύει καὶ ταύτην τὴν ἐπιβολὴν ἀθρόαν ἀθρόων γίγνεσθαι; ἆρ' οὖν ὥς τινος ὁμοῦ, ἢ ὡς πολλῶν ὁμοῦ πάσας νοήσεις; τοῦ γὰρ θεάματος ὄντος ποικίλου, ποικίλην καὶ πολλὴν τὴν νόησιν ἅμα γίγνεσθαι, καὶ πολλὰς τὰς νοήσεις, οἷον αἰσθήσεις πολλὰς προσώπου, ὀφθαλμῶν ἅμα ὁρωμένων καὶ ῥινὸς καὶ τῶν ἄλλων. Ἀλλ' ὅταν ἕν τι διαιρῇ καὶ ἀναπτύσσῃ, ἢ ἐν τῷ νῷ διῄρηται, καὶ τὸ τοιοῦτον, οἷον ἐναπέρεισις μᾶλλον, τὸ δὲ πρότερον καὶ τὸ ὕστερον ἐν τοῖς εἴδεσιν, οὐ χρόνῳ ὄν, οὐδὲ τὴν νόησιν τοῦ προτέρου καὶ ὑστέρου, χρόνῳ ποιήσει· ἔστι γὰρ καὶ τάξει, οἷον εἰ φυτοῦ ἡ τάξις ἐκ ῥιζῶν ἀρξαμένη ἕως εἰς τὸ ἄνω, τῷ θεωμένῳ οὐκ ἔχει ἄλλως, ἢ τάξει τὸ πρότερον καὶ τὸ ὕστερον ἅμα τὸ πᾶν θεωμένῳ. Ἀλλ' ὅταν εἰς ἓν βλέπῃ, εἰ τὰ πολλὰ καὶ πάντα ἔχει, πῶς τὸ μὲν πρῶτον ἔσχε, τὸ δὲ ἐφεξῆς; ἢ ἡ δύναμις ἡ μία οὕτως ἦν μία, ὡς πολλὰ ἐν ἄλλῳ,

I. Anima igitur ad intelligibile profecta et in illa essentia constituta quidnam dicet? quorumve memoriam conservabit? Fortasse consequens est, eam illa contemplari, *in quibus est, et circa eadem agere, alioqui ibi non* esse. Num ergo eorum, quæ hic sunt, nullo modo reminiscetur? velut quod philosophata fuerit, quodve etiam hic habitans superiora illa suspexerit. Forsan si fieri nequit, ut, *quando quis intentissimus intelligit aliquid*, aliud quicquam agat interim aut cogitet contempleturve aliud, præter illud, atque in ipsa intellectione non includitur actus aliquis, per quem se intellexisse cognoscat, *sed posterius aliquem dicere id contingit, quod quidem* significat hunc jam permutatum : non licebit ei, qui puro mundo intelligibili fruitur, memoriam eorum, quæ hic ipsi (quisquis sit) quandoque acciderint, revocare : atqui si, *quemadmodum apparet, intelligentia omnis est temporis* expers : quippe cum, quæ ibi sunt, non versentur in tempore, sed in æternitate consistant, impossibile est, illic esse memoriam non solum nostrarum rerum, sed etiam quarumlibet *rerum : est enim unumquodque præsens*, quoniam neque discursus, neque ab alio in aliud transiens permutatio. Quid ergo? non erit divisio desuper in species, vel ab infimo ad universale atque supernum? *Quod profecto dicitur desuper, non sit ibi actu seorsum in in*tellectu, omnia actu simul habente, in anima vero ibi existente cur non erit? Sed quidnam prohibet, hunc quoque intuitum totum una collectum fieri simul rerum similiter collectarum? Numquid igitur ita fit, tanquam simul alicujus intuitus? vel ut intellectiones simul omnes complurimorum? Cum enim spectaculum ipsum ibi sit varium, consequens est, variam quoque et multam simul intelligentiam fieri : intelligentiasque multas tanquam sensus multos in vultum unum eundemque directos, ubi videlicet oculos simul nares et ceteras faciei particulas contuetur. Sed quando unum aliquid dividit et evolvit, quid dicemus? Forsan in intellectu id esse distinctum, ibique tale quiddam magis innixum quendam esse atque firmamentum. Quod autem prius dicitur et posterius in speciebus existere, non per distantiam temporalem : non enim prioris intelligentia posteriorisque fit tempore, sed quodam potius ordine, *velut si arboris ordo exordiens a* radicibus, et usque ad summa perveniens, apud contuentem non aliter, quam ordine, prius habent atque posterius, si quidem plantam simul omnem conspicit. At quando in unum inspicit, si multa omniaque habet, quonam pacto aliud quidem primum habet, aliud vero deinceps? Forsan vero potestas ipsa, quæ una est, sic erat una, ut et multa

καὶ οὐ κατὰ μίαν νόησιν πάντα. Αἱ γὰρ ἐνέργειαι οὐ καθ' ἕνα, ἀλλ' ἀεὶ πάσῃ δυνάμει ἑστώσῃ, ἐν δὲ τοῖς ἄλλοις γιγνομένων· ἤδη γὰρ ἐκεῖνο ὡς μὴ ἓν ὂν δυνηθῆναι τὴν τῶν πολλῶν ἐν αὐτῷ φύσιν δέξασθαι πρότερον οὐκ ὄντων.

esset in alio, neque secundum intellectionem unam omnia. Actus namque non secundum unum illic se habent, per omnem tamen ibi potentiam perpetuo permanentem, adeo ut in aliis efficiantur: jam enim illud, utpote non existens ipsum unum, potest multorum in se ipso prius non existentium naturam suscipere.

Anima in hoc quidem corpore dum attentior est ad aliud, se ipsam interim non cognoscit, quia et potentia hic ejus debilis est, et quod cogitatur ab ea, non est principium animae; sed quando divinum mundum contemplatur, utpote quae et corroborata est, et principia sui conspicit, se ipsam habitumque suum et gesta prorsus agnoscit. Anima in hoc corpore ad imaginationem, et per hanc ad sensibilia plurimum est conversa, sed post obitum, si in corpore vivat recte, ad rationem postremo tota convertitur, perque hanc ad intellectum suum semper omnia continentem, et in discursu interim temporali versatur. In corpore vero coelesti ratio quasi effecta est intellectus et suus atque communis, praeteritumque discursum ad intuitum ferme redegit. Illic ergo, et quatenus ingenitas sibi repetit formas, agnoscit se ipsam: et quatenus se, formas quoque vicissim, ipsa enim est ipsa forma. Anima denique extra coelum sic formata est divina mente ejusque ideis, sicut corpus anima vicibusque animae, et sicut ignitum ferrum igne. Videt igitur agitque per ideas divinae mentis, quasi per vices quasdam suae formae. Igitur et actu stabili et cognoscens ibi principia sui, agnoscit profecto se ipsam.

Β'. Ἀλλὰ ταῦτα μὲν ταύτῃ. Ἑαυτοῦ δὲ πῶς; ἢ οὐδὲ ἑαυτοῦ ἕξει τὴν μνήμην, οὐδ' ὅτι αὐτὸς ὁ θεωρῶν, οἷον Σωκράτης, ἢ ὅτι νοῦς ἢ ψυχή. Πῶς δὴ ταῦτά τις ἀναμνησθήτω, ὡς ὅταν καὶ ἐνταῦθα θεωρῇ, καὶ μάλιστα ἐναργῶς, οὐκ ἐπιστρέφει πρὸς ἑαυτὸν τότε τῇ νοήσει, ἀλλ' ἔχει μὲν ἑαυτόν, ἡ δὲ ἐνέργεια πρὸς ἐκεῖνο κἀκεῖνο γίγνεται, οἷον ὕλην ἑαυτὸν παρασχών, εἰδοποιούμενος δὲ κατὰ τὸ ὁρώμενον καὶ δυνάμει ὢν τότε αὐτός. Τότε οὖν αὐτός τε τί ἐστιν ἐνεργείᾳ, ὅταν μηδὲν νοῇ; ἢ εἰ μὲν αὐτός, κενός ἐστι παντός, ὅταν μηδὲν νοῇ. Εἰ δὲ ἐστιν αὐτὸς τοιοῦτος, οἷος πάντα εἶναι, ὅταν αὐτὸν νοῇ, πάντα ὁμοῦ νοεῖ· ὥστε τῇ μὲν εἰς ἑαυτὸν ὁ τοιοῦτος ἐπιβολῇ καὶ ἐνεργείᾳ ἑαυτὸν ὁρῶν, τὰ πάντα ἐμπεριεχόμενα ἔχει, τῇ δὲ πρὸς τὰ πάντα ἐμπεριεχόμενον ἑαυτόν. Ἀλλ' εἰ οὕτω ποιεῖ, μεταβάλλει τὰς νοήσεις, ὃ πρότερον αὐτοὶ οὐκ ἠξιοῦμεν. Ἢ λεκτέον ἐπὶ μὲν τοῦ νοῦ τὸ ὡσαύτως ἔχειν, ἐπὶ δὲ τῆς ψυχῆς ἐν οἷον ἐσχάτοις τοῦ νοητοῦ κειμένης γίγνεσθαι τοῦτο δυνατὸν εἶναι, ἐπεὶ καὶ προσχωρεῖν εἴσω; εἰ γάρ τι περὶ τὸ μένον γίγνεται, δεῖ αὐτὸ παραλλαγὴν πρὸς τὸ μένον ἔχειν, μὴ ὁμοίως μένον. Ἢ οὐδὲ μεταβολὴν λεκτέον γίγνεσθαι, ὅταν ἀπὸ τῶν ἑαυτοῦ ἐφ' ἑαυτόν, καὶ ὅταν ἀφ' ἑαυτοῦ ἐπὶ τὰ ἄλλα· πάντα γὰρ αὐτός ἐστι, καὶ ἄμφω ἕν· ἀλλ' ἡ ψυχὴ ἐν τῷ νοητῷ οὖσα τοῦτο πάσχει τὸ ἄλλο καὶ ἄλλο πρὸς αὐτήν, καὶ τὰ ἐν αὐτῇ· ἢ καθαρῶς ἐν τῷ νοητῷ οὖσα ἔχει τὸ ἀμετάβλητον καὶ αὐτή. Καὶ γὰρ αὐτή ἐστιν, ἅ ἐστιν· ἐπεὶ καὶ ὅταν ἐν ἐκείνῳ ᾖ τῷ τόπῳ, εἰς ἕνωσιν ἐλθεῖν τῷ νῷ ἀνάγκη, εἴπερ ἐπεστράφη· στραφεῖσα γὰρ οὐδὲν μεταξὺ ἔχει, εἴς τε νοῦν ἐλθοῦσα ἥρμοσται, καὶ ἁρμοσθεῖσα ἥνωται, οὐκ ἀπολλυμένη, ἀλλ' ἕν ἐστιν ἄμφω καὶ δύο. Οὕτως οὖν ἔχουσα οὐκ ἂν μεταβάλλοι, ἀλλὰ ἔχοι ἂν ἀτρέπτως πρὸς νόησιν, ὁμοῦ ἔχουσα τὴν συναίσθησιν αὐτῆς, ὡς ἓν ἅμα τῷ νοητῷ ταὐτὸν γενομένη.

II. Sed haec quidem ita se habeant. Numquid autem in memoriam sui revertitur? Fortasse neque sui ipsius reminiscetur: neque quod ipse sit, qui contemplatur, velut Socrates, aut alter, aut quod sit mens vel anima. Quo enim modo circa haec quispiam memor erit? Siquidem, quando et hic contemplatur, praesertim acerrime, non convertitur tunc per intelligentiam ad se ipsum, sed habet quidem se ipsum. Actus autem ejus ad illud fit et illud, quasi materiam se ipsum exhibens: formatus vero secundum id, quod spectatur ab eo, et ipse quidem tunc in potentia sese habens: tunc enim ipse actu quidnam est, quando nihil intelligit? vel forsan, si duntaxat ipse sit, nimirum vacuus erit omnium, quando nihil intelligit. Sin autem ipse talis est, ut omnia sit, quando se ipsum intelligit, cuncta simul intelligit. Quam ob rem ita constitutus, et intuitu quidem in se ipsum, et actu se ipsum cernens, cuncta simul habet inclusa: intuitu vero quodam in omnia se ipsum similiter habet inclusum. Verum si sic agit, permutat intelligentias, quod in superioribus negabamus. Numquid ergo dicendum, in ipso quidem intellectu hoc ipsum eodem modo se semper habere? sed in anima, tanquam in extremis mundi intelligibilis constituta, id mutationis posse contingere, quando et revocare se ad intima datur? si quid enim circa permanens ipsum efficitur, oportet ipsum quandam ad permanens habere mutationem, quippe cum non aeque permaneat. Fortasse vero neque mutationem illic fieri est dicendum, quando a rebus suis ad se ipsum vergit, et quando a se ipso vicissim [ad alia: omnia enim ipse est,] et ambo unum; sed anima, cum in mundo intelligibili est, id ipsum patitur, quod aliud dicitur atque aliud erga se ipsam, et erga illa, quae fundantur in ipsa: aut certe in mundo intelligibili pure vivens ipsa quoque habet stabilitatem. Est enim et ipsa, quaecunque est: quandoquidem et cum in eo est loco, necesse est ad unionem pervenire cum intellectu, si modo conversa est. Conversa enim nihil patitur intermedium. In intellectum ergo profecta, cum eo contemperatur, et contemperata mox unitur: ex hoc tamen minime dissoluta, sed unum ambo sunt atque duo. Sic itaque se habens minime permutabitur, sed ad intelligentiam immutabiliter se intendet, simul habens sui met conscientiam sive consensum: utpote quae unum jam simulque idem cum mundo intelligibili sit effecta.

Anima extra cælum in mundo divino constituta dicitur esse unum, quoniam agit duntaxat per intellectum. Descendit tandem in corpus cæleste, quando suam ipsam in se explicat multitudinem, agens jam videlicet per intellectum, rationem, imaginationem: tunc et sui rerumque suarum ita ferme jam reminiscitur, quemadmodum apud homines consueverat, scilicet cum per rationis agitationem, *quamvis illi celerrimam, tum per imaginationis formationes atque simulacra. Plurimum vero interest*, qualia cum affectu cogitet animus: nam cum formas ipse suas in se latentes producendo in actum cogitat, nimirum evadit illa ipsa, quæ cogitat, locumque et conditionem eis convenientem subinde sortitur.

Γ'. Ἐξελθοῦσα δὲ ἐκεῖθεν καὶ οὐκ ἀνασχομένη τὸ ἕν, τὸ δὲ αὐτῆς ἀσπασαμένη, καὶ ἕτερον ἐθελήσασα εἶναι, καὶ οἷον προκύψασα, μνήμην, ὡς ἔοικεν, ἑαυτῆς λαμβάνει. Μνήμη δὲ ἡ μὲν τῶν ἐκεῖ ἔτι κατέχει, μὴ πεσεῖν, ἡ δὲ τῶν ἐνταῦθα, ὡδὶ φέρει· ἡ δὲ τῶν ἐν τῷ οὐρανῷ ἐκεῖ κατέχει, καὶ ὅλως, οὗ μνημονεύει, ἐκεῖνό ἐστι καὶ γίγνεται· ἦν γὰρ τὸ μνημονεύειν ἢ νοεῖν ἢ φαντάζεσθαι· ἡ δὲ φαντασία αὔτη οὐ τῷ ἔχειν, ἀλλ' οἷα ὁρᾷ καὶ οἷα διάκειται. Κἂν τὰ αἰσθητὰ ἴδῃ, ὁπόσον αὐτῶν ἂν ἴδῃ, τοσοῦτον ἔχει τὸ βάθος. Ὅτι γὰρ ἔχει πάντα δευτέρως, καὶ οὐχ οὕτω τελείως πάντα γίγνεται· καὶ μεθόριον οὖσα καὶ ἐν τοιούτῳ κειμένη ἐπ' ἄμφω φέρεται.

III. Egressa vero inde atque ipsum unum ulterius minime sustinens, sed sui proprietatem amans, affectansque esse alterum, tanquam quasi emicans jam procumbensque proclivius, memoriam, ut videtur, sui ipsius assumit. Memoria vero si superiorum sit, continet adhuc animam, ne longius prolabatur: sin autem nostrarum rerum sit recordatio, ad nostra præcipitat, sed cælestium reminiscentia gradum sistit in cælo. Omnino autem, cujuscumque meminit, id ipsum est atque efficitur: est enim meminisse, vel intelligere vel imaginari. Hæc autem ipsa imaginatio non in eo consistit, quod habeat aliquid, sed quod videat disponaturque, talisque sit ipsa. Quodsi sensibilia cernit, quatenus ea prospicit, eatenus et profundum habet. Cum enim habeat omnia secunda quadam *conditione, neque sic quidem perfecte fit et omnia*: cumque rerum confinium sit, et velut in confinio posita, nimirum transfertur in ambo.

Anima in mundo supercælesti contemplans divinæ mentis ideas per ipsam mentem velut per diaphanum luminosum cernit ipsum bonum velut solem, atque dum per principia sui videt se ipsam, nimirum et se cognoscit intelligentem esse, et se ipsam prorsus agnoscit: sed per eundem penitus actum ejusdemque potentiæ divinæ suam naturam actionemque propriam contuetur: ideo non proprie dicitur se ipsam summumque actum et vitam priorem animadvertere, quia non utitur rationis discursu atque imaginatione, in quibus recordatio et animadversio consueta versatur. Sed, cum primum inde venit in cælum, et post in aerem, duo hæc exercet. *Omnino vero formæ rerum in potentia animæ cognitrice non sunt accidentia quædam sic animæ adjacentia*, ut in tabella sunt literæ, sed rationes, proprietates, vires quædam essentiales, sicut rationes seminales membrorum qualitatumque corporalium in potentia vegetali, et sicut proprietates plantæ totius in semine. Anima igitur semper est hæc omnia, sed alias quidem potius in potentia quadam, alias vero magis in actu. Est autem anima magis res ipsæ divinæ, si per solum intellectum agit in ipsis, quam si interim per rationis quoque discursum vel imaginationis figmenta id ipsum animadvertat: hæc enim distrahunt.

Δ'. Ἐκεῖ μὲν οὖν καὶ τἀγαθὸν διὰ νοῦ ὁρᾷ· οὐ γὰρ στέγεται ἐκεῖνο, ὥστε μὴ διελθεῖν εἰς αὐτήν· ἐπεὶ μὴ σῶμα τὸ μεταξύ, ὥστε ἐμποδίζειν· καίτοι καὶ σωμάτων μεταξὺ πολλαχῇ εἰς τὰ τρία ἀπὸ τῶν πρώτων ἡ ἄφιξις. Εἰ δὲ πρὸς τὰ κάτω δοίη αὑτήν, ἀναλόγως τῇ μνήμῃ καὶ τῇ φαντασίᾳ ἔχει, ὃ ἠθέλησε. Διὸ ἡ μνήμη καὶ ὅταν τῶν ἀρίστων ᾖ, οὐκ ἄριστον· δεῖ δὲ τὴν μνήμην λαμβάνειν οὐ μόνον ἐν τῷ οἷον αἰσθάνεσθαι, ὅτι μνημονεύει, ἀλλὰ καὶ ὅταν διακέηται κατὰ τὰ πρόσθεν παθήματα ἢ θεάματα. Γένοιτο γὰρ ἄν, καὶ μὴ παρακολουθοῦντα ὅτι ἔχει, ἔχειν παρ' αὑτῷ ἰσχυροτέρως, ἢ εἰ εἰδείη· εἰδὼς μὲν γὰρ τάχα ἂν εἰς ἄλλο ἔχοι, ἄλλος αὐτὸς ὤν· ἀγνοῶν δὲ ὅτι ἔχει, κινδυνεύει εἶναι ὃ ἔχει· ὃ δὴ πάθημα μᾶλλον πεσεῖν ποιεῖ τὴν ψυχήν. Ἀλλ' εἰ ἀφισταμένη τοῦ ἐκεῖ τόπου ἀναφέροι τὰς μνήμας ὁπωσοῦν, εἶχε κἀκεῖ ἡ δύναμις· ἡ δὲ ἐνέργεια ἐκείνων ἠφάνιζε τὴν μνήμην. Οὐ γὰρ ὡς κείμενοι ἦσαν τύποι, ἵνα ἂν ᾖ ἴσως ἄτοπον τὸ συμβαῖνον, ἀλλ' ἡ δύναμις ἦν ἡ ἀφεθεῖσα ὕστερον εἰς ἐνέργειαν. Παυσαμένης οὖν τῆς ἐν τῷ νοητῷ ἐνεργείας, εἶδεν ἃ πρότερον ἡ ψυχή, πρὶν ἐκεῖ γενέσθαι, ἰδοῦσα ἦν.

IV. Anima igitur in mundo intelligibili ipsum quoque bonum videt per intellectum: neque enim intellectus eam impedit, *quominus ad ipsum usque percurrat: quoniam*, quod est medium, non est corpus, ut ex hoc valeat impedire: quamvis et medium in corporibus permittit sæpe a primis ad postrema descendere. Proinde si anima se ipsam dedat inferioribus, pro ipsa memoriæ imaginationisque proportione reportat protinus, quod affectabat: idcirco memoria, etiam quando rerum est optimarum, non est optima. Memoriam vero oportet accipere non solum in in eo, quod quispiam se recordari persentiat, sed etiam in eo, quod in præsentia sit affectus secundum priorum affectuum spectaculorumque similitudinem: fieri enim potest, ut, qui non animadvertit aliquod se habere, habeat id penes se validius, quam si agnosceret: si enim agnoscat, fortasse tanquam aliud quiddam habebit, ipse videlicet tanquam alius quidam existens. Qui vero non considerat se habere, videtur id ipsum esse, quod habet: quæ quidem affectio vehementius afficit animum longiusque inclinat. At si, digressa jam ab ipsa regione divina, refert quoquo modo memorias, habuit et ibi vis ipsa in se memoriam, sed actus illorum quodammodo memoriam obfuscabat. Non enim dicendum est, velut adjacentes ibi figuras fuisse, ne forte absurdum quid inde contingat: sed erat potentia in actum postea emittenda. Quando ergo actus ille circa intelligibilia vigere solitus desinit, agnoscit jam anima, quæ, antequam illic esset, cognoverat.

Anima in hac vita potest cognoscere divina, non per imaginationem, nec etiam per rationem sumentem ab imaginatione principia, sed per intellectum et rationem principia sumentem ab intellectu. Quando anima per rationem surgit in quentem velut in speculam, quamvis autem memoria communiter dicta omnis in [anima] imaginatione versetur, tamen memoria quaedam in ratione etiam et intellectu consistit. In anima supra caelum actus intelligentiae consumunt rationis et imaginationis occupationem, sed in caelo resurgit usus ejusmodi, per quem reminiscitur, humano quasi modo, humanae quondam vitae rerumque humanarum: nam haec supra caelum modo quodam eminentiore prospexit. Agnoscunt igitur in caelo se invicem animae, animae praesertim atque quondam noti, cum per ipsos motus affectusque vividos animorum, tum per corpora, quae ibi habere possunt figuram hujusmodi similem in materia liquida, cedente multo magis animo quomodocunque formatori, quam terrena materia ipsius affectibus animae. Tum vero, si corpora illic orbicularia sint, differentia tamen erunt indifferentibus signa indiciaque differentium animorum, sive in figura, ut diximus, sive magnitudine, qualitate, motu, gestu, nutu, luce, quemadmodum fit in oculis ex affectibus animorum, et in variis nubibus figurae differentes atque colores. Sunt qui velint, caelicolas inter se voces edere, nam et caelos posse sonare, saltem vero mutuis inter se nutibus colloquuntur: recordantur vero in caelis divinorum magis, quam humanorum. Lapsae vero in aerem e converso, possunt autem et quando in caelo et quando in aere sunt, propter motum naturaliter liberum et ibi per multa secula gradum sistere, et altius inde regredi. Denique quidnam prohibet, optima quadam electione in superioribus semper esse? nihil, apud Porphyrium et Jamblichum atque Julianum.

Ε'. Τί οὖν; κἀκεῖνα νῦν αὕτη ἡ δύναμις, καθ' ἣν τὸ μνημονεύειν, εἰς ἐνέργειαν ἄγει; ἢ εἰ μὲν μὴ αὐτά, [ἃ] ἑωρῶμεν, μνήμῃ· εἰ δ' αὐτά, ᾧ κἀκεῖ ἑωρῶμεν· ἐγείρεται γὰρ τοῦτο, οἷς ἐγείρεται, καὶ τοῦτό ἐστι τὸ ὁρῶν περὶ τῶν εἰρημένων. Οὐ γὰρ εἰκασίᾳ δεῖ χρώμενον ἀποφαίνεσθαι, οὐδὲ συλλογισμῷ τὰς ἀρχὰς ἄλλοθεν εἰληφότι, ἀλλ' ἔστι περὶ τῶν νοητῶν, ὡς λέγεται, καὶ ἐνθάδε οὖσι τὸ αὐτὸ λέγειν τῷ αὐτῷ, ὃ δύναμιν ἔχει τὰ ἐκεῖ θεωρεῖν. Ταὐτὸ γὰρ οἷον ἐγείραντας δεῖ ὁρᾶν τὰ ἐκεῖ, ὥστε καὶ ἐγεῖραι ἐκεῖ· οἷον εἴ τις, ἀνάγων αὑτοῦ τὸν ὀφθαλμὸν ἐπί τινος ὑψηλῆς σκοπιᾶς, ὁρῴη, ἃ μηδεὶς τῶν οὐ σὺν αὐτῷ ἀναβεβηκότων. Ἡ τοίνυν μνήμη ἐκ τοῦ λόγου φαίνεται ἄρχεσθαι ἀπὸ οὐρανοῦ, ἤδη τῆς ψυχῆς τοὺς ἐκεῖ τόπους καταλιπούσης· ἐντεῦθεν μὲν οὖν ἐν οὐρανῷ γενομένη καὶ στᾶσα, θαυμαστὸν οὐδέν, εἰ τῶν ἐνθάδε μνήμην πολλῶν ἔχει, οἵων εἴρηται, καὶ ἐπιγιγνώσκειν πολλὰς τῶν πρότερον ἐγνωσμένων, εἴπερ καὶ σώματα ἔχειν περὶ αὐτὰς ἀνάγκη ἐν σχήμασιν ὁμοίοις. Καὶ εἰ τὰ σχήματα δὲ ἀλλάξαιντο σφαιροειδῆ ποιησάμεναι, ἆρα διὰ τῶν ἠθῶν καὶ τῆς τῶν τρόπων ἰδιότητος γνωρίζοιεν· οὐ γὰρ ἄτοπον. Τὰ μὲν γὰρ πάθη ἔστωσαν ἀποθέμεναι, τὰ δὲ ἤθη οὐ κωλύεται μένειν· εἰ δὲ καὶ διαλέγεσθαι δύναιντο, καὶ οὕτως ἂν γνωρίζοιεν. Ἀλλ' ὅταν ἐκ τοῦ νοητοῦ κατέλθωσι, πῶς; ἢ ἀνακινήσουσι τὴν μνήμην, ἐλαττόνως μέντοι ἢ ἐκεῖναι τῶν αὐτῶν, ἄλλα τε γὰρ ἕξουσι μνημονεύειν, καὶ χρόνος πλείων λήθην παντελῆ πολλῶν πεποιηκὼς ἔσται. Ἀλλ' εἰ τραπεῖσαι εἰς τὸν αἰσθητὸν κόσμον εἰς γένεσιν τῇδε πεσοῦνται, ποῖος χρόνος ἔσται τοῦ μνημονεύειν; ἢ οὐκ ἀνάγκη εἰς πᾶν βάθος πεσεῖν. Ἔστι γὰρ κινηθείσας καὶ στῆναι ἐπί τι προελθούσας· καὶ οὐδὲν δὲ κωλύει πάλιν ἐκδῦναι, πρὶν γενέσεως ἐλθεῖν ἐπ' ἔσχατον τόπον.

V. Quid ergo? numquid eadem ipsa commemorandi potentia nobis nunc illa reducit in actum? Forsan si non reducit eadem, id agit, quo non vidimus, memoria. Si autem eadem repraesentat, agit hoc eodem, quo et ibi vidimus: hoc enim est, quod excitatur in nobis, quoties inclinamur ad illa, atque hoc ipsum est, quod in his, quae dicta sunt, videt: non enim similitudine quadam et imaginaria conditione utentem illa oportet ostendere, neque ratiocinatione principia aliunde sumente: sed licet de intelligibilibus (ut dicitur) et hic existentibus idem dicere, eo ipso videlicet, quod ad illa suspicienda vim possidet. Idem namque excitantes oportet, quae illic sunt, contemplari, quod etiam excitare illic oportet: quemadmodum, si quis speculam ascendens eminentissimam, oculis illinc intentis ea prospiciat, quae nemo alius eorum, qui una cum ipso non ascenderunt. Cum ergo appareat ex ratione memoriam initium a caelo ducere, ubi anima superiorem jam reliquerit regionem, nihil mirum est, si illinc in caelum profecta residensque, multarum, quae apud nos fiunt, rerum memoriam recipit, qualium videlicet dictum est, agnoscitque multas ante cognitas animas: siquidem necesse est, eas habere circa se corpora similibus in figuris. At si figuras mutent orbicularesque efficiant, per ipsos mores modosque unicuique proprios agnoscere videbuntur: non enim id absurdum est vel mirum. Esto quidem, ut passiones omnes procul abjecerint: mores autem nihil prohibet reservare. Quodsi etiam confabulari liceat, sic quoque mutuo se agnoscent. At quando ab intelligibili mundo labuntur, quanam conditione se habent? Forsan memoriam iterum suscitabunt, minus tamen, quam illae circa eadem: alia namque habebunt, quorum reminiscantur, atque longius deinde tempus integram multorum oblivionem afferet. Verum si in mundum sensibilem jam delapsae, hic in generationem cadunt: quodnam tempus memoriae dabitur? forlasse non necessarium est in profundum omne praecipitari. Fieri enim potest, ut commotae jam animae ad certumque progressae spatium pedem sistant: neque quicquam prohibet, emergere inde rursus et regredi, antequam ad imum generationis locum praecipitentur.

Conservatricis memoriae ministerium necessarium est, ubi praeterire aliquid rursumque accedere potest vicissim praeteritumm. Animis ergo caelestibus non videtur memoria necessaria: neque enim discurrunt, ut novum aliquid vel inveniant vel acquirant.

Ϛ'. Τὰς μὲν οὖν μετιούσας καὶ μεταβαλλούσας τὰς ψυχὰς ἔχοι ἄν τις εἰπεῖν, ὅτι καὶ μνημονεύσουσι· τῶν γὰρ γεγενημένων καὶ παρεληλυθότων ἡ μνήμη. Αἷς δὲ ἐν τῷ αὐτῷ ὑπάρχει μένειν, τίνων ἂν αὗται μνημονεύοιεν; ἄστρων δὲ πέρι ψυχῆς τῶν γε ἄλλων ἁπάν

VI. Animas igitur discurrentes seque varie permutantes uti memoria, facile quivis potest asseverare: memoria namque eorum est, quae facta sunt, quaeve praeterierunt. Animae vero, quae in eodem penitus conquiescunt, quarumnam rerum reminiscentur? Humana vero ratio aliquidem in animis siderum quidem omnium, sed praecipue

των, καὶ δὴ καὶ περὶ ἡλίου καὶ σελήνης, ἐπιζητεῖ ὁ λόγος τὰς μνήμας, καὶ τελευτῶν εἶσι καὶ ἐπὶ τὴν τοῦ παντὸς ψυχὴν, καὶ ἐπιτολμήσει καὶ τοῦ Διὸς αὐτοῦ τὰς μνήμας πολυπραγμονεῖν. Ταῦτα δὲ ζητῶν καὶ τὰς διανοίας αὐτῶν, καὶ τοὺς λογισμοὺς, τίνες εἰσὶ, θεωρήσει, εἴπερ εἰσίν. Εἰ οὖν μήτε ζητοῦσι μήτε ἀποροῦσιν, οὐδενὸς γὰρ δέονται, οὐδὲ μανθάνουσιν, ἃ πρότερον οὐκ ἦν αὐτοῖς ἐν γνώσει, τίνες ἂν λογισμοὶ ἢ τίνες συλλογισμοὶ αὐτοῖς γίγνοιντο ἢ διανοήσεις; Ἀλλ' οὐδὲ περὶ τῶν ἀνθρωπίνων αὐτοῖς ἐπίνοιαι καὶ μηχαναὶ, ἐξ ὧν διοικήσουσι τὰ ἡμέτερα, ἢ ὅλως τὰ τῆς γῆς· ἄλλος γὰρ τρόπος τῆς εἰς τὸ πᾶν παρ' αὐτῶν εὐθημοσύνης.

solis et lunæ requirit memoriam, hinc simili quadam conditione ad animam universi se transferet, ac tandem audebit negotiosam in ipso Jove memoriam collocare. Hæc vero perquirens considerabit præterea cogitationes ratiocinationesque eorum, si quæ sunt, quales præcipue sint. Jam vero, si neque quicquam requirunt, neque ambigunt, nulla enim re indigent, neque discunt, quæ antea ignoraverint, quænam ratiocinationes vel argumentorum subjunctiones vel excogitationes in eis erunt? Sed neque sollicite de machinis consultabunt, quibus humana et omnino terrena disponant: altera enim ratio est, qua superi concinne universa dispensant.

Animis cœlestium corporum rectoribus non est necessarium recordationis obsequium vel in cognitione vel vita vel motu. Suspiciunt quidem divina intuitu nunquam interrupto: ubi animadvertere quidem possunt se videre, non tamen est opus repetere se vidisse, cum ibi non sit ipsum vidisse, sed videre nunquam intermissum: nunquam igitur resumendum. Similis est et eorum vita semper eadem, similis et motus perpetuus in eorum corporibus atque continuus, ideoque uniuscujusque illorum semper unus, quamvis nobis multiplex vel accidat vel videatur. Prospiciunt res quoque mutabiles intuitu quopiam non mutato, sicut et quispiam eadem inspectione ad aliquam horæ partem continuata cernit deambulantem in rectum, aliter aliterque mutatum, prospectu videlicet non mutato. Quo quidem si judicaverit illum hic esse, ibi fuisse, illic fore: mutationes ejusmodi non propterea in visione contingent, quod in spectaculo contingere judicentur.

Ζ'. Τί οὖν; ὅτι τὸν θεὸν εἶδον οὐ μνημονεύουσιν; ἢ ἀεὶ ὁρῶσιν; ἕως δ' ἂν ὁρῶσιν, οὐκ ἔνι δήπου φάναι αὐτοῖς ἑωρακέναι· παυσαμένων γὰρ τοῦτο ἂν πάθος εἴη. Τί δέ; οὐδ' ὅτι περιῆλθον χθὲς τὴν γῆν καὶ τὸ πέρυσιν, οὐδ' ὅτι ἔζων χθὲς καὶ πάλαι, καὶ ἐξ οὗ ζῶσιν· ἢ ζῶσιν ἀεί. Τὸ δὲ ἀεὶ ταὐτὸν ἕν, τὸ δὲ χθὲς τῆς φορᾶς, καὶ τὸ πέρυσι τοιοῦτον ἂν εἴη, οἷον ἂν εἴ τις τὴν ὁρμὴν τὴν κατὰ πόδα ἕνα γενομένην μερίζοι εἰς πολλὰ, καὶ ἄλλην καὶ ἄλλην, καὶ πολλὰς ποιοῖ τὴν μίαν. Καὶ γὰρ ἐνταῦθα μία φορὰ, παρὰ δὲ ἡμῖν μετροῦνται πολλαὶ, καὶ ἡμέραι ἄλλαι, ὅτι καὶ νύκτες διαλαμβάνουσιν. Ἐκεῖ δὲ μιᾶς οὔσης ἡμέρας, πῶς πολλαί; ὥστε οὐδὲ τὸ πέρυσιν. Ἀλλὰ τὸ διάστημα οὐ ταὐτὸν, ἀλλ' ἄλλο· καὶ τὸ ζῳδίου τμῆμα ἄλλο. Διὰ τί οὖν οὐκ ἐρεῖ, παρῆλθον τόδε, νῦν δὲ ἐν ἄλλῳ εἰμί; εἰ δὲ καὶ ἐφορᾷ τὰ τῶν ἀνθρώπων, πῶς οὐ καὶ τὰς μεταβολὰς τὰς περὶ αὐτοὺς, καὶ ὅτι νῦν ἄλλοι; εἰ δὲ τοῦτο, καὶ ὅτι πρότερον ἕτεροι καὶ ἕτερα, ὥστε καὶ μνήμη.

VII. Quid ergo? nonne deum se vidisse reminiscuntur? an potius semper vident? quamdiu autem vident, non licet eis dicere, se vidisse, alioquin hæc eorum conditio foret qui aliquando videre desiverint. Quid ergo? neque etiam recordantur, se heri vel anno superiore terram circumcurrisse: neque se heri et jam diu vixisse, et ex quo tempore vivant. Quia imo semper vivunt. Quod vero semper idem est, semper et unum. Quod autem in motione dicitur heri et anno superiore, perinde se habet, ac si quis impetum motumque uno pede factum partiatur in multa, eumque motum ipse alium aliumque esse multosque confingat. Hic etenim unus est motus, penes vero nos mensurantur ut multi, diesque alii, quoniam et noctes intercidunt. Illic autem cum unus sit dies, quomodo poterunt esse multi? quapropter neque superior annus. At vero objiciat aliquis, non unum, sed aliud itemque aliud intervallum esse, aliamque esse et aliam zodiaci portionem. Cur igitur non dicat cœlestis anima: Hanc jam præterii partem, nunc vero aliam occupo? Præterea, si humana prospiciunt, quomodo non etiam videant mutationes humanas, atque alios nunc homines esse? quod si ita, etiam ante alios extitisse aliaque negotia: ex quo fit, ut habere memoriam videantur.

Anima cujuslibet stellæ, contemplans ideas principiaque rerum omnium, habet semper in se certam universi notitiam, sive intellectualem hanc sive rationalem appellare volueris, atque interea per corpus cœleste suum corporalia sentit: sed quod minima quæque sentiat, interea nec per imaginationem animadvertit, ideoque nec in memoria collocat, cum quia hæc omnia altius jam comprehendit, tum quia apud ipsum nullius sunt momenti, tum etiam quoniam tamdiu jam omnia sentit, ut nihil ultra sensum moveat tanquam novum. Veruntamen per imaginationem animadvertit ea particularia se sentire, quæ universo sunt apprime necessaria, ut stellæ, cœlestia, elementa. Profecto cum propositum sit cœlestibus animis, non per hanc quidem solum partem, vel lineamque tantum, vel tamdiu duntaxat moveri, sed contemplari et simpliciter semperque moveri, et cum quolibet in momento eorum motio sit perfecta, sintque animæ illæ certæ, præscriptum in se ipsis ordinem universi ita procul dubio expleturum: nulla modorum eas cura tangit de parte quapiam loci vel temporis, aut motus, vel de re, vel de quavis re mutabili. Itaque, neque dum talia sentiunt, imaginationem attentionemque talibus adhibere coguntur. Nota, circularem cœli motum nec esse alterationem, quia non mutat formam, nec esse localem, quia non mutat locum: sed esse vitalem, id est, proprium vitæ interioris actum pariter et indicium: nam agere in se moverique ex intimis proprium est viventium: cœlestium vero motus est ejusmodi, quemadmodum in animalibus pulsum cordisque motus, nutritioque in plantis.

Η'. Ἢ οὐκ ἀνάγκη, οὔτε, ὅσα τις θεωρεῖ, ἐν μνήμῃ τίθεσθαι, οὔτε τῶν πάντῃ κατὰ συμβεβηκὸς ἐπακολουθούντων ἐν φαντασίᾳ γίγνεσθαι, ὧν τε ἡ νόησις καὶ ἡ γνῶσις ἐναργεστέρα, εἰ ταῦτα αἰσθητῶς γίγνοιτο, οὐκ ἀνάγκη παρέντα τὴν γνῶσιν αὐτῶν, τῷ κατὰ μέρος

VIII. Forsan vero non est necessarium, vel quodcumque aliquis intuetur, commendare memoriæ, vel illa, quæ omnino ex contingenti sequuntur, imaginatione colligere. Item, quorum in animo intelligentia cognitioque rerum certior insidet, si quando res ejusmodi sensibus offerantur, non necesse est, eos, intellectuali notitia prætermissa, in

αἰσθητῷ τὴν ἐπιβολὴν ποιεῖσθαι, εἰ μή τις ἔργῳ οἰκονομοῖτό τι τῶν ἐν μέρει τῇ γνώσει τοῦ ὅλου ἐμπεριεχομένων. Λέγω δὲ ἕκαστον ὧδε. Πρῶτον μὲν, τὸ μὴ ἀναγκαῖον εἶναι, ἅ τις ὁρᾷ, παρατίθεσθαι παρ' αὑτῷ. Ὅταν γὰρ μηδὲ διαφέρῃ, ἢ μὴ πρὸς αὐτὸν ᾖ ὅλως ἡ αἴσθησις ἀπροαιρέτως τῇ διαφορᾷ τῶν ὁρωμένων κινηθεῖσα, τοῦτο αὐτὴ ἔπαθε μόνη, τῆς ψυχῆς οὐ δεξαμένης εἰς τὸ εἴσω, ἅτε μήτε πρὸς χρείαν μήτε πρὸς ἄλλην ὠφέλειαν αὐτῆς τῆς διαφορᾶς μέλον. Ὅταν δὲ καὶ ἡ ἐνέργεια αὐτῷ ἡ πρὸς ἄλλοις ᾖ, καὶ παντελῶς οὐκ ἂν ἀνάσχοιτο τῶν τοιούτων παρελθόντων τὴν μνήμην, ὅπου μηδὲ παρόντων γιγνώσκει τὴν αἴσθησιν. Καὶ μὴν [ὅτι] τῶν πάντῃ κατὰ συμβεβηκὸς γιγνομένων οὐκ ἀνάγκη ἐν φαντασίᾳ γίγνεσθαι· εἰ δὲ καὶ γίγνοιτο, οὐχ ὥστε καὶ φυλάξαι καὶ παρατηρῆσαι, ἀλλὰ καὶ ὁ τύπος τοῦ τοιούτου οὐ δίδωσι συναίσθησιν, μάθοι ἄν τις, εἰ τὸ λεγόμενον οὕτω λάβοι. Λέγω δὲ ὧδε· εἰ μηδέποτε προηγούμενον γίνηται τὸν ἀέρα τόνδε εἶτα τόνδε τεμεῖν, ἐν τῷ κατὰ τόπον κινεῖσθαι, ἢ καὶ ἔτι μᾶλλον διελθεῖν, οὔτ' ἂν τήρησις αὐτοῦ οὔτ' ἂν ἔννοια βαδίζουσι γένοιτο. Ἐπεὶ καὶ τῆς ὁδοῦ εἰ μὴ ἐγίγνετο τὸ τόδε διανῦσαι προηγούμενον, δι' ἀέρος δὲ ἦν τὴν διέξοδον ποιήσασθαι, οὐκ ἂν ἐγένετο ἡμῖν μέλειν τὸ ἐν ὅτῳ σταδίῳ γῆς ἐσμὲν, ἢ ὅσον ἠνύσαμεν· καὶ εἰ κινεῖσθαι δὲ ἔδει, μὴ τοσόνδε χρόνον, ἀλλὰ μόνον κινεῖσθαι, μηδ' ἄλλην τινὰ πρᾶξιν εἰς χρόνον ἀνήγομεν, οὐκ ἂν ἐν μνήμῃ ἄλλον ἂν καὶ ἄλλον χρόνον ἐποιησάμεθα. Γνώριμον δὲ, ὅτι τῆς διανοίας ἐχούσης τὸ πραττόμενον ὅλον καὶ πιστευούσης, οὕτω πάντως πραχθήσεσθαι, οὐκ ἂν ἔτι προσέχοι γιγνομένοις ἑκάστοις· καὶ μὴν, καὶ ὅταν τις ταὐτὸν ἀεὶ ποιῇ, μάτην ἂν ἔτι παρατηροῖ ἕκαστα τοῦ αὐτοῦ. Εἰ οὖν τὰ ἄστρα φερόμενα τὰ αὑτῶν πράττοντα φέρεται, καὶ οὐχ ἵνα παρέλθῃ ταῦτα, ὅσα παρέρχεται, καὶ τὸ ἔργον αὐτοῖς οὔτε ἡ θέα ὧν πάρεισιν, οὔτε τὸ παρελθεῖν, κατὰ συμβεβηκός τε ἡ πάροδος, πρὸς ἄλλοις τε ἡ γνώμη μείζοσι, τά τε αὐτὰ ἀεὶ δι' ὧν διέρχονται ταῦτα, ὅ τε χρόνος οὐκ ἐν λογισμῷ ὁ ἐν τοσῷδε· εἰ καὶ διῃρεῖτο, οὐκ ἀνάγκη οὔτε τόπων, ὧν παρίασιν, οὔτε χρόνων εἶναι μνήμην, ζωήν τε τὴν αὐτὴν ἔχοντα, ὅπου καὶ τὸ τοπικὸν αὐτοῖς περὶ ταὐτὸν, ὡς μὴ τοπικὸν ἀλλὰ ζωτικὸν τὸ κίνημα εἶναι, ζῴου ἑνὸς εἰς αὐτὸ ἐνεργοῦντος, ἐν στάσει μὲν ὡς πρὸς τὸ ἔξω, κινήσει δὲ τῇ ἐν αὐτῷ ζωῇ ἀϊδίῳ οὔσῃ. Καὶ μὴν εἰ καὶ χορείᾳ ἀπεικάσειέ τις τὴν κίνησιν αὐτῶν, εἰ μὲν ἱσταμένη ποτὲ, ἡ πᾶσα ἂν εἴη τελεία ἡ συντελεσθεῖσα ἐξ ἀρχῆς εἰς τέλος· ἀτελὴς δὲ, ἡ ἐν μέρει ἑκάστη. Εἰ δὲ τοιαύτη, οἷα ἀεὶ, τελεία ἀεί· εἰ δὲ ἀεὶ τελεία, οὐκ ἔχει χρόνον, ἐν ᾧ τελεσθήσεται, οὐδὲ τόπον· ὥστε οὐδὲ ἔφεσιν ἂν ἔχοι οὕτως, ὥστε οὔτε χρονικῶς, οὔτε τοπικῶς μετρήσει, ὥστε οὐδὲ μνήμη τούτων. Εἰ μέντοι αὐτοὶ μὲν ζωὴν ζῶσι μακαρίαν, ταῖς αὐτῶν ψυχαῖς τὸ ζῆν προσεμβλέποντες, τῇ δὲ τῶν ψυχῶν αὐτῶν πρὸς ἓν ταύτῃ τῇ νεύσει, καὶ τῇ ἐξ αὐτῶν εἰς τὸν σύμπαντα οὐρανὸν ἐλλάμψει, ὥσπερ χορδαὶ ἐν

id, quod particulare sensibileque objicitur, intueri, nisi quis opere ipso dispenset aliquid, quod, tametsi particulare sit, tamen in ipsa notione totius præcipue includatur. Dico autem de quolibet hoc pacto: Principio non esse necessarium, ut, quæ videt aliquis, collocet in se ipso. Quando enim nihil interest, vel nullius est apud ipsum momenti, tunc sensus absque electione nostra eorum, quæ videntur, differentia motus, ipse quidem solus id patitur: anima vero interim id non excipit intra se ipsam: quippe cum ea ipsa visibilium differentia neque curæ sit nobis, neque ad necessitatem vel utilitatem aliam sit collatura. Jam vero, quando quis omnino ad se ipsum agit, vel ad alia quædam, tunc rerum ejusmodi præteritarum memoriam minime retinet, quando neque præsentium quidem percipit sensum. Quin etiam non est necessarium, ea, quæ omnino ex contingenti proveniunt, in imaginatione locari: ac si locentur, non ita collocari, ut custodiantur atque observentur: sed ejusmodi rei figuram non afferre consensum, percipere quivis poterit, si modo, quod dicitur, sic acceperit: dico autem hunc in modum: Si nunquam principale nobis propositum fuerit, partem aeris hanc in præsentia, deinde illam dividere, dum loco movemur, vel etiam magis pertransire: profecto nunquam in deambulando hoc ipsum observantes cogitaremus. Quandoquidem, nisi præcipue nobis decretum esset, tantum prorsus certæ cujusdam viæ peragere, liceret autem per aerem nobis procurrere, nunquam curæ nobis foret, in quo potissimum stadio terræ simus, vel quantum jam spatii peregerimus: tum vero, si moveri quidem nos oporteret, neque tamen ad tempus proprie tantum, sed moveri solum: item neque actionem aliam prorsus ullam referre soleremus ad tempus, certe nunquam in memoria tempus aliud aliudque excogitaremus. Id vero ex eo patet potissimum, quoniam, quando cogitatio universum id, quod agitur, in se habet, confiditque ita prorsus, ut habet, effectum iri, haud ulterius singulis, quæ fiunt, sese adhibet. Præterea, quando quispiam idem semper agat, frustra nimirum singula sui operis observabit. Si ergo stellæ, dum feruntur, sua quæque agunt officia, neque moventur, ut hæc ipsa pertranseant, quæ prætergrediuntur; opusque ipsarum neque est aspicere, quæ pertranseunt, neque etiam præterire, atque ipse transitus accidentalis est illis circa majora interim occupatis; denique per eadem semper similique tenore discurrunt: nimirum apud eas tempus discreta quadam mensura minime computatur, atque etiam si distinguatur, non necessarium est, vel locorum, quæ prætereunt, vel temporum memoriam retinere: præsertim cum vitam semper eandem penitus habeant, quando et circa eundem locum perpetuo revolvuntur, adeo ut earum motio non tam localis, quam vitalis, esse videatur: quippe cum animal unum agat in semet ipsum in statu quidem, quantum pertinet ad externa, in motu vero per vitam in ipso propriam pervigentem. Proinde, si quis cælestium motum choreæ similem esse dicat, si modo chorea aliquando desineret, tota quidem progressio motionis perfecta erit a principio ad finem usque continuata: imperfecta vero unaquæque erit in parte dinumerata. Sin autem tali choreæ comparetur, quæ sempiterna sit, perfecta semper erit. Si autem perfecta semper, non habebit tempus, in quo perfecta sit quandoque futura, neque etiam locum. Quapropter neque sic etiam appetitum habebit; ideoque nec temporali nec locali conditione dimetietur: itaque neque horum memoria ulla continget. Præterea ea ratione magis etiam nobis ratio confirmabitur, quod scilicet illi vitam agant beatam, in suis ipsorum animis vitam inspicientes: atque ipsa suarum animarum ad ipsum unum conspiratione et a se in totum

λύρᾳ συμπαθῶς κινηθεῖσαι, μέλος ἂν ᾄσειαν ἐν φυσικῇ τινι ἁρμονίᾳ· εἰ οὕτω κινοῖτο ὁ σύμπας οὐρανὸς καὶ τὰ μέρη αὐτοῦ πρὸς αὐτὸν, φερόμενος καὶ αὐτὸς, καὶ ἄλλα ἄλλως πρὸς τὸ αὐτὸ, ἄλλης αὐτοῖς καὶ τῆς θέσεως οὔσης, ἔτι ἂν μᾶλλον ὁ λόγος ἡμῖν ὀρθοῖτο, μιᾶς ζωῆς καὶ ὁμοίας τῆς πάντων ἔτι μᾶλλον οὔσης.

cælum collustratione, tanquam fides in lyra motæ concorditer melodiam in naturali quadam harmonia mirifice concinunt: atque ita totum cælum volvitur, partesque ejus ad ipsum, agitatur quidem ipsum aliter, et alia aliter, quamvis ad idem: quippe cum positio quoque illis sit alia, atque vita omnium magis etiam una sit atque persimilis.

*Rector mundi Jupiter per unam simplicemque sui formam omniformem virtute infinitam infinitorum effectricem videt et efficit* infinita: non duobus quidem actibus, sed quo actu videt, eodem efficit, atque vicissim. Absurdum vero foret dictu, eum notitiam rerum ex rebus ipsis colligere: nam per notitiam res antecedentem res efficit, neque posset infinita comprehendere, si notitiam ex infinitis aucuparetur: nunc vero non aliter per unam sui formam conspicit infinita, quam si sol per unam sui lucem radios innumerabiles micantes inde conspiciat.

Θ'. Ὁ δὲ δὴ πάντα κοσμῶν Ζεὺς καὶ ἐπιτροπεύων καὶ διατιθεὶς, εἰς ἀεὶ ψυχὴν βασιλικὴν καὶ βασιλικὸν νοῦν ἔχων, καὶ πρόνοιαν ὅπως γίγνοιτο, καὶ γιγνομένων ἐπιστασίαν, καὶ τάξει διοικῶν, καὶ περιόδους ἐλίττων πολλὰς ἤδη καὶ τελέσας, πῶς ἂν ἐν τούτοις ἅπασι μνήμην οὐκ ἔχοι, ὁπόσαι τε ἐγένοντο καὶ οἷαι αἱ περίοδοι; καὶ ὡς ἂν καὶ ἔπειτα γένοιντο μηχανώμενος καὶ συμβάλλων καὶ λογιζόμενος, μνημονικώτατος ἂν εἴη πάντων, ὅσῳ καὶ δημιουργὸς σοφώτατος. Τὸ μὲν οὖν τῶν περιόδων τῆς μνήμης καὶ καθ' αὑτὸ ἂν ἔχοι πολλὴν ἀπορίαν, ὁπόσος ἀριθμὸς εἴη, καὶ εἰ εἰδείη. Πεπερασμένος γὰρ ὢν ἀρχὴν τῷ παντὶ χρονικὴν δώσει· εἰ δ' ἄπειρος, οὐκ εἰδήσει ὁπόσα τὰ αὐτοῦ ἔργα, ἢ ὅτι ἓν εἰδήσει καὶ μιᾷ ζωῇ ἀεί· οὕτως γὰρ ἄπειρος, καὶ τὸ ἓν οὐ γνώσει ἔξωθεν, ἀλλ' ἔργῳ, συνόντος ἀεὶ τοῦ οὕτως ἀπείρου, μᾶλλον δὲ παρεπομένου καὶ θεωρουμένου οὐκ ἐπακτῷ γνώσει. Ὡς γὰρ τὸ αὐτοῦ ἄπειρον τῆς ζωῆς οἶδεν, οὕτω καὶ τὴν ἐνέργειαν τὴν εἰς τὸ πᾶν μίαν οὖσαν, οὐχ ὅτι εἰς τὸ πᾶν.

IX. Jupiter autem exornans omnia et moderans et disponens, semper animam regiam mentemque regiam possidens, et qua ratione unumquodque fiat providentiam, et in ea, quæ fiunt, imperium: item ordine singula certo disponens: præterea circuitus multos evolvens, multosque inceptos jam ad finem usque perducens, cur non in his omnibus memoriam habeat, recordatus scilicet quot et quales revolutiones actæ jam fuerint? rursusque quemadmodum in posterum fiant, machinans et conjiciens et excogitans, ita maxime omnium memor erit, eoque ma*gis, quo et sapientior architectus. Quantum igitur ad* ipsam revolutionum memoriam pertinet, etiam per se ipsum dubitationem affert plurimam, videlicet quantus sit numerus, et utrum comprehendatur. Si enim definitus sit, temporarium dabit principium universo: sin vero infinitus, non comprehendet ille rector, quot ejus opera sint: nisi forsan dicatur, eum in notitia vitaque una semper exsistere, atque ita infinitum illic esse, et illic consistere unum, non quidem per cognitionem extrinsecus incidentem, sed re ipsa consistens: quippe cum ipsum sic infinitum semper maneat simul totum, potius autem comitetur *conspiciaturque non adventitia notione. Nam quemadmodum* infinitum suæ vitæ cognoscit, sic etiam actionem diffusam per universum infinitam esse, præsertim cum sit una, neque tamen ob hoc ipsum, quod ad universum se conferat.

*Ordo universi, qui paulatim evolvitur in materia, simul totus est immutabilisque in utroque Jove, cum in primo, qui est intel*lectus purus mundi artifex segregatus: tum in Jove secundo, qui est intellectualis anima, dux mundi conjunctus. Neuter itaque Jupiter cogitatione discurrit ambiguo more de rebus agendis: præsertim quia anima æterno quodam intuitu suspicit universi ordinem in primo Jove, tenetque firmum, totamque mundi materiam subjectam habet, et intrinsecus eam agitat, ex una sui vita quasi ex uno cardine cuncta facillime versans, ut merito nihil ejus actioni resistat, nulla incidat ambiguitas.

Ι'. Ἀλλ' ἐπεὶ τὸ κοσμοῦν διττὸν, τὸ μὲν ὡς τὸν δημιουργὸν λέγομεν, τὸ δὲ ὡς τὴν τοῦ παντὸς ψυχήν· καὶ τὸν Δία λέγοντες ὁτὲ μὲν ὡς ἐπὶ τὸν δημιουργὸν φερόμεθα, ὁτὲ δὲ ἐπὶ τὸ ἡγεμονοῦν τοῦ παντός. Ἐπὶ μὲν τοῦ δημιουργοῦ ἀφαιρετέον πάντη τὸ πρόσω καὶ ὀπίσω, μίαν αὐτῷ ἄτρεπτον καὶ ἄχρονον ζωὴν διδόντας. Ἡ δὲ τοῦ κόσμου ζωὴ τὸ ἡγούμενον ἐν αὐτῇ ἔχουσα, ἔτι ἐπιζητεῖ λόγον. Εἰ οὖν καὶ αὕτη μὴ ἐν τῷ λογίζεσθαι ἔχει τὸ ζῆν, μηδ' ἐν τῷ ζητεῖν ὅ τι δεῖ ποιεῖν; ἤδη γὰρ ἐξεύρηται καὶ τέτακται, ἃ δεῖ [διὰ τὰ] οὐ ταχθέντα· τὰ γὰρ ταχθέντα ἦν τὰ γιγνόμενα· τὸ δὲ ποιοῦν αὐτὰ ἡ τάξις· τοῦτο δὲ ψυχῆς ἐνέργεια ἐξηρτημένης μενούσης φρονήσεως, ἧς εἰκὼν ἡ ἐν αὐτῇ τάξις. Οὐ τρεπομένης δὲ ἐκείνης ἀνάγκη μηδὲ ταύτην τρέπεσθαι· οὐ γὰρ ὁτὲ μὲν βλέπει ἐκεῖ, ὁτὲ δὲ οὐ βλέπει· ἀπολειπομένη γὰρ ἂν ἀποροῖ. Μία γὰρ ψυχὴ, καὶ ἓν ἔργον. Τὸ γὰρ ἡγεμονοῦν ἓν κρατοῦν ἀεὶ, καὶ οὐχ ὁτὲ μὲν κρατοῦν, ὁτὲ δὲ κρατούμενον· πόθεν γὰρ τὰ πλείω, ὥστε καὶ γενέσθαι μάχην ἢ ἀπορίαν; καὶ τὸ διοικοῦν ἓν τὸ αὐτὸ ἀεὶ ἐθέλει· διὰ τί γὰρ ἂν ἄλλο καὶ ἄλλο,

X. Exornator autem est duplex: nam alterum quidem velut artificem dicimus, alterum vero ut animam universi: et quando nominamus Jovem, aliquando mundi artificem intelligimus, aliquando vero totius mundi ducem. Profecto ab ipso totius architecto, quicquid prius dicitur et posterius, procul segregare debemus, unicam ipsi et immutabilem temporisque expertem vitam attribuentes. At mundi vita, quæ, hoc ipsum ut ducat, in se naturaliter habet, inquisitionem adhuc rationemque videtur exigere: numquid et ipsa vitam suam in ratiocinatione non habeat, neque in perquirendo, quidnam potissimum sit agendum? Jam enim inventum ordinatumque est, quid faciendum sit, non quidem per hæc ipsa, quæ ordinantur: quæ enim ordinantur, hæc ipsa sunt, quæ gignuntur: quod vero hæc agit, est ordo. Id autem est actio animæ pendentis a sapientia permanente, cujus quidem imago est ordo, qui viget in anima. Cum vero non permutetur illa, necessarium est, hanc quoque non permutari: non enim aliquando quidem illuc suspicit, aliquando vero non suspicit: alioquin, si intermiserit, protinus ambiget: sed enim una est anima, unumque opus. *Quod enim ducis unius* obtinet dignitatem, semper exsuperat: neque alias quidem superat, alias superatur: undenam plura illic sint, adeo ut pugna illic oriatur vel ambiguitas? Jam vero gubernator unus semper affectat idem: quid enim in causa sit, ut aliud rursusque aliud concupiscat, ita, ut in plura

ἵνα εἰς πλείω ἀπορῇ; καίτοι εἰ καὶ ἐν ὅλῳ μεταβάλλοι, οὐκ ἂν ἀποροῖ· οὐ γὰρ ὅτι εἴδη πολλὰ τὸ πᾶν καὶ μέρη ἔχει, καὶ ἐναντιώσεις πρὸς τὰ μέρη, διὰ τοῦτο ἂν ἀποροῖ, ὅπως διαθεῖτο· οὐ γὰρ ἀπὸ τῶν ἐσχάτων, οὐδ' ἀπὸ τῶν μερῶν ἄρχεται, ἀλλ' ἀπὸ τῶν πρώτων· καὶ ἀπὸ πρώτου ἀρξαμένη ὁδῷ ἀνεμποδίστῳ ἐπὶ πάντα εἶσι καὶ κοσμεῖ· καὶ διὰ τοῦτο κρατεῖ, ὅτι ἐφ' ἑνὸς ἔργου μένει τοῦ αὐτοῦ, καὶ ταὐτόν· εἰ δὲ ἄλλο καὶ ἄλλο βούλοιτο, πόθεν τὸ ἄλλο; εἶθ' ὅ τι χρὴ ποιεῖν, ἀπορήσει, καὶ ἀσθενήσει τὸ ἔργον αὐτῇ, εἰς ἀμφίβολον τοῦ πράττειν ἐν λογισμοῖς ἰούσῃ.

distractus ambigere compellatur? Quin etiam, etsi existens una mundi anima quoquo modo permutet, tamen non dubitabit: non enim ex eo, quod mundus multas species et partes et oppositiones habet ad partes, ob hoc tamen ambiget, quomodo disponatur: neque enim ab ultimis, neque a partibus exorditur, sed a primis incipiens et a primo via quadam ab impedimentis omnino remota per omnia se diffundit et ornat, atque ob hoc ipsum dominatur et superat, quoniam ipsa eadem in eodem opere permanet et ad idem: sin autem aliud velit et aliud, undenam aliud concupiscet? Deinde sic affecta, quid potius sit agendum, ambiget, atque ita debilitabitur ejus officium in agendo, si quidem ratiocinando in agendi ambiguum distrahatur.

Qua proportione singulæ naturæ partium singularum in quolibet vivente pendent ab una quadam viventis totius natura communi, eadem omnes mundanorum naturæ ab una communi totius mundi natura. Sicut ergo viventis cujusque natura, in se continens naturaliter seminales partium effectuumque naturalium rationes, nec laborat, neque consultat in agendo, neque transmutatur, dum diversa producit, præsertim quoniam agit ex intimis, nec ex multis velut partibus inchoat opus, sed ex uno velut omnium cardine cuncta derivat: ita neque natura mundi consultat in opere, vel laborat, vel permutatur: quippe cum sic ad opus se suum habeat, sicut naturam particularem ad suum se modo dicebamus habere, atque etiam multo præstantius, præsertim quia instrumentum est æternæ infinitæque sapientiæ ductum semper ad eadem vicissim eodemque tenore totique materiæ præsidet. Ars quinetiam, quando per habitum naturæ similem denique agit, sine consultatione vel electione vel attentione jam agit: immo vero, si tunc ad attentionem ejusmodi redeat, impeditur sæpius et aberrat, quasi attentio talis non pertineat ad naturam.

ΙΑ'. Ἔστι γὰρ ὥσπερ ἐφ' ἑνὸς ζῴου ἡ διοίκησις, ἡ μέν τις ἀπὸ τῶν ἔξωθεν καὶ μερῶν, ἡ δέ τις ἀπὸ τῶν ἔνδον καὶ τῆς ἀρχῆς. Καθάπερ ἰατρὸς μὲν ἔξωθεν ἀρχόμενος καὶ κατὰ μέρος, ἄπορος πολλαχῇ, καὶ βουλεύεται· ἡ δὲ φύσις ἀπὸ τῆς ἀρχῆς ἀπροσδεὴς βουλεύσεως· καὶ δεῖ τοῦ παντὸς τὴν διοίκησιν καὶ τὸν διοικοῦντα ἐν τῷ ἡγεῖσθαι οὐ κατ' ἰατροῦ ἕξιν εἶναι, ἀλλ' ὡς ἡ φύσις. Πολὺ δὲ μᾶλλον ἐκεῖ τὸ ἁπλοῦν, ὅσῳ καὶ πάντων ἐμπεριειλημμένων ὡς μερῶν ζῴου ἑνός. Πάσας γὰρ τὰς φύσεις κρατεῖ μία· αἱ δὲ ἕπονται ἀνηρτημέναι καὶ ἐξηρτημέναι καὶ οἷον ἐκφῦσαι, ὡς αἱ ἐν κλάδοις τῇ τοῦ ὅλου φυτοῦ. Τίς οὖν ὁ λογισμὸς, ἢ τίς ἀρίθμησις, ἢ τίς ἡ μνήμη, παρούσης ἀεὶ φρονήσεως, καὶ ἐνεργούσης καὶ κρατούσης καὶ κατὰ τὰ αὐτὰ διοικούσης; Οὐ γὰρ δὴ, ὅτι ποικίλα καὶ διάφορα τὰ γιγνόμενα, δεῖ συνεπόμενον ταῖς τοῦ γιγνομένου μεταβολαῖς καὶ τὸ ποιοῦν ἡγεῖσθαι. Ὅσῳ γὰρ ποικίλα τὰ γιγνόμενα, τοσούτῳ τὸ ποιοῦν ὡσαύτως μένον. Πολλὰ γὰρ καὶ ἐφ' ἑνὸς ἑκάστου ζῴου τὰ γιγνόμενα κατὰ φύσιν, καὶ οὐχ ὁμοῦ πάντα· αἱ ἡλικίαι, αἱ ἐκφύσεις ἐν χρόνοις, οἷον κεράτων, γενείων, μαζῶν, αὐξήσεις, ἀκμαὶ, γενέσεις ἄλλων, οὐ τῶν πρόσθεν λόγων ἀπολλυμένων, ἐπιγιγνομένων δὲ ἄλλων. Δῆλον δὲ ἐκ τοῦ καὶ ἐν τῷ γεννωμένῳ αὖ ζῴῳ τὸν αὐτὸν καὶ σύμπαντα λόγον εἶναι. Καὶ δὴ τὴν αὐτὴν φρόνησιν ἄξιον περιθεῖναι, καὶ ταύτην καθόλου εἶναι, οἷον κόσμου φρόνησιν ἑστῶσαν, πολλὴν μὲν καὶ ποικίλην, καὶ αὖ ἁπλῆν ζῴου ἑνὸς μεγίστου, οὐ τῷ πολλῷ ἀλλοιουμένην, ἀλλὰ ἕνα λόγον καὶ ὁμοῦ πάντα· εἰ γὰρ μὴ πάντα, οὐκ ἐκείνη, ἀλλὰ τῶν ὑστέρων καὶ μερῶν ἡ φρόνησις.

XI. Est enim gubernatio mundi tanquam animalis unius: sed hæc ipsa gubernatio animalis partim tractat extrinsecus, atque partes; partim vero ab intrinseco regit atque principio. Medicus quidem incipiens ab extrinseco, perque partes procedens, incedit sæpe dubius atque consultat: natura vero, cum ab intimo ducat principio, consultatione non indiget: oportet autem mundi totius gubernationem atque gubernatorem in dispensando non medici, sed naturæ more procedere: multo vero magis illic servari simplicitatem, quo magis ibi totus comprehensa sunt omnia, velut animalis unius membra: omnes namque naturas una natura complectitur, reliquæ vero sequuntur, pendentes inde et prodeuntes, atque ita quasi pullulantes, quemadmodum naturæ ramorum ab ipsa arboris universæ natura. Quænam igitur ratiocinatio, vel numeratio, vel memoria? cum adsit sapientia semper et agat et dominetur, atque semper eodem tenore gubernet. Non enim ex eo, quod varia sunt et diversa, quæ fiunt, putandum est, etiam effectorem cum ipsis eorum, quæ fiunt, mutationibus habere communionem. Quatenus enim varia sunt quæ fiunt, eatenus effector ipse eodem tenore consistit. Multa enim sunt, quæ gignuntur in unoquoque etiam animalium naturaliter, neque simul omnia. Diversæ quidem ætates et in certis temporibus germinationes certæ, velut cornuum, barbæ, papillarum: item augmenta certa floresque ætatis: rursus præscripta propagatio prolis, quæ generantur alia, prioribus interim seminariis rationibus nequaquam deficientibus, sed aliis præterea genitis. Quod quidem ex eo patet, quod in animali inde genito eadem seminaria ratio totaque servatur. Jam vero operæ pretium est asserere, eandem sapientiam ibi vigere, atque hanc esse universalem, velut mundi sapientiam consistentem: multam quidem ac variam, rursusque simplicem animalis unius omnium maximi, quæ quidem ex ipsa operum multitudine non evadat varia, sed una ratio sit simulque omnia: alioquin, nisi sit omnia, non erit ipsa, sed potius quædam posteriorum et partium sapientia.

cogitatio per plura deinceps ordine currens est motus aliquis absoluta notitia carens, atque ob indigentiam veritatem sapientiamque appetens consummatam, ideo discursio ejusmodi, vel consultatio, vel electio non pertinet ad mentem vel animam mundi rectricem, possidentem ab ævo habitum sapientiæ plenum, et integram cum idearum tum rationum seminalium plenitudinem, qua quidem plenitudine res futuras anticipat in præsentibus, et, quibus modis sint futuræ, discernit, quarum ipsamet est opifex, sola toti suæ materiæ dominans, nec impedimentis obnoxia: ideoque nec sollicita, vel ambigua, vel inquirens, sed natura sua omniformi universum sibi conformans. Cum vero hæc ipsa natura sit intelligentia et voluntas, merito non consilio tractat mundi materias, sed sapientia libera cum naturaliter, tum etiam voluntarie fabricante.

ΙΒʹ. Ἀλλ' ἴσως τὸ μὲν τοιοῦτον ἔργον φύσεως ἄν τις εἴποι· φρονήσεως δὲ ἐν τῷ παντὶ οὔσης καὶ λογισμοὺς ἀνάγκη καὶ μνήμας εἶναι. Ἔστι δὲ τοῦτο ἀνθρώπων τὸ φρονεῖν ἐν τῷ μὴ φρονεῖν τιθεμένων καὶ τὸ ζητεῖν φρονεῖν τὸ αὐτὸ τῷ φρονεῖν νενομικότων. Τὸ γὰρ λογίζεσθαι τί ἄλλο ἂν εἴη, ἢ τὸ ἐφίεσθαι εὑρεῖν φρόνησιν καὶ λόγον ἀληθῆ καὶ τυγχάνοντα νοῦ τοῦ ὄντως; ὅμοιος γὰρ ὁ λογιζόμενος κιθαρίζοντι εἰς κιθάρισιν, καὶ μελετῶντι εἰς ἕξιν, καὶ ὅλως τῷ μανθάνοντι εἰς γνῶσιν. Ζητεῖ γὰρ μαθεῖν ὁ λογιζόμενος, ὅπερ ὁ ἤδη ἔχων, φρόνιμος· ὥστ' ἐν τῷ στάντι τὸ φρονεῖν. Μαρτυρεῖ δὲ καὶ αὐτὸς ὁ λογισάμενος· ὅταν γὰρ εὕρῃ, ὃ δεῖ, πέπαυται λογιζόμενος, καὶ ἀνεπαύσατο ἐν τῷ φρονῆσαι γενόμενος. Εἰ μὲν οὖν κατὰ τοὺς μανθάνοντας τὸ ἡγούμενον τοῦ παντὸς τάξομεν, λογισμοὺς ἀποδοτέον καὶ ἀπορίας καὶ μνήμας, συμβάλλοντος τὰ παρεληλυθότα τοῖς παροῦσι καὶ τοῖς μέλλουσιν· εἰ δὲ κατὰ τὸν εἰδότα ἐν στάσει ὅρον ἐχούσῃ, νομιστέον αὐτοῦ εἶναι τὴν φρόνησιν. Εἶτα, εἰ μὲν οἶδε τὰ μέλλοντα (τὸ γὰρ μὴ εἰδέναι λέγειν ἄτοπον), διὰ τί οὐχὶ, καὶ ὅπως ἔσται, οὐκ εἰδήσει; εἰ δὲ εἰδήσει, καὶ ὅπως ἔσται, τί ἔτι δεῖ τοῦ λογίζεσθαι, καὶ τοῦ τὰ παρεληλυθότα πρὸς τὰ παρόντα συμβάλλειν; καὶ ἡ γνῶσις δὲ τῶν μελλόντων, εἴπερ αὐτῷ συγχωρεῖται παρεῖναι, οὐ τοιαύτη ἂν εἴη, οἵα τοῖς μάντεσι πάρεστιν, ἀλλ' οἵα αὐτοῖς τοῖς ποιοῦσι τοῖς πεπιστευκόσιν, ὅτι ἔσται. Τοῦτο δὲ ταὐτὸν τοῖς πάντα κυρίοις, οἷς οὐδὲν ἀμφίβολον οὐδὲ ἀμφιγνοούμενον· οἷς ἄρα ἄραρεν ἡ δόξα, τούτοις παραμένει. Ἡ αὐτὴ ἄρα καὶ περὶ μελλόντων φρόνησις, οἵα καὶ ἡ περὶ παρόντων κατὰ τὸ ἑστάναι. Τοῦτο δὲ λογισμοῦ ἔξω. Ἀλλ' εἰ μὴ οἶδε τὰ μέλλοντα ἃ αὐτὸς ποιήσει, οὐδὲ εἰδήσει ποιῆσαι, οὐδὲ πρός τι βλέπων ποιήσει, ἀλλὰ τὸ ἐπελθὸν ποιήσει· τοῦτο δὲ ταὐτὸν τῷ εἰκῇ. Μένει ἄρα, καθ' ὃ ποιήσει· ἀλλ' εἰ μένει, καθ' ὃ ποιήσει, οὐκ ἄλλως ποιήσει, ἢ ὡς οἷον τὸ ἐν αὐτῷ παράδειγμα ἔχει· μοναχῶς ἄρα ποιήσει καὶ ὡσαύτως· οὐ γὰρ νῦν μὲν ἄλλως, ὕστερον δὲ ἄλλως· ἢ τί κωλύει ἀποτυχεῖν; Εἰ δὲ τὸ ποιούμενον διαφόρως ἕξει, ἀλλ' ἔσχε γε διαφόρως οὐ παρ' ἑαυτοῦ, ἀλλὰ δουλεῦον λόγοις· οὗτοι δὲ παρὰ τοῦ ποιοῦντος· ὥστε ἠκολούθησε τοῖς ἐφεξῆς λόγοις· ὥστε οὐδαμῇ τὸ ποιοῦν ἀναγκάζεσθαι πλανᾶσθαι, οὐδ' ἀπορεῖν, οὐδ' ἔχειν πράγματα, ὥσπερ τινὲς ᾠήθησαν, δύσκολον εἶναι τὴν τῶν ὅλων διοίκησιν. Τὸ γὰρ ἔχειν πράγματα ἦν, ὡς ἔοικε, τὸ ἐπιχειρεῖν ἔργοις ἀλλοτρίοις· τοῦτο δὲ, ὧν μὴ κρατεῖ. Ὧν δέ τις κρατεῖ καὶ μόνος, τίνος ἂν οὗτος δέοιτο, ἢ αὑτοῦ καὶ τῆς αὑτοῦ βουλήσεως; τοῦτο δὲ ταὐτὸν τῆς αὑτοῦ φρονήσεως· τῷ γὰρ τοιούτῳ ἡ βούλησις φρόνησις. Οὐδενὸς

XII. Forsan vero, quod ejusmodi est, quispiam naturæ opus esse fatebitur: sed cum in universo sapientia sit, necessario rationis quoque discursiones et memoriam esse putabit. Verum id quidem hominum est, sapere in non sapiendo ponentium putantiumque, idem esse inquirere sapientiam atque sapere. Nam ratione discurrere quidnam aliud est, quam appetere sapientiam invenire, veramque rationem mentis vere compotem? Qui enim ratiocinatur, similis est pulsanti citharam absolute pulsationis gratia, atque meditanti ad habitum consequendum, et omnino discenti gratia cognoscendi. Ratiocinator enim id quærit addiscere, quod qui jam habet, est sapiens: quapropter in statu quodam et stabili est sapientia. Testatur id et ipse ratiocinator: nam cum primum invenit, quod optabat, cessat ratiocinari, et in sapientia ipsa positus conquiescit. Si igitur ipsum mundi ducem vicem habere discentium arbitremur, nimirum rationis discursiones dubitationesque illi et memoriam tribuemus, conferenti videlicet præterita cum præsentibus et futuris. Sin autem ita potius se habere putemus, quemadmodum qui cognoscat in statu quodam suum terminum possidente, merito sapientiam ei potius convenire censebimus. Præterea si futura novit (absurdum enim esset id negare), cur non etiam, quomodo futura sint, teneat? Quodsi, quomodo etiam futura sint, noverit, quidnam amplius opus est ratione pervestigare, ac præterita cum præsentibus comparare? Rursus cognitio futurorum, si modo ei concedatur adesse, non utique talis erit, qualis inesse vatibus consuevit, sed qualis effectoribus ipsis certo scientibus ita fore. Id vero est omnium auctoritatem habentibus, quibus nihil hæsitans, nihil contingit ambiguum, et quorum sententia, cui semel assensit, perpetuo acquiescit. Eadem igitur illic est sapientia de futuris, quæ et de præsentibus secundum statum. Id autem est a rationis investigatione remotum, ac, nisi futura cognoscat, quæ ipse facturus sit, neque etiam sciet facere, neque ad aliquid spectans efficiet, sed, quod forte inciderit, aget: id vero nihil aliud est, quam casu facere. Permanet igitur, qua ratione faciet: ac si permaneat, qua ratione faciet, certe non faciet aliter, quam designet, quod in eo exsistit exemplar: uno itaque tenore et eadem semper faciet ratione. Non enim nunc quidem aliter, aliterve in posterum: alioquin quidnam prohibebit, ab instituto procul errare? Sin autem opus ipsum se differenter habebit, non a se ipso quidem hanc differentiam possidebit, sed quatenus seminalis serviet rationibus: hæ vero ab effectore pendent: quapropter opificium seriem ipsam sequitur rationum. Effector itaque nullo modo cogitur aberrare, aut ambigere, aut negotiis laborare, quemadmodum nonnulli opinati sunt, putantes gubernationem omnium esse laboriosam. Profecto laborare in opere disponendo nihil aliud esse videtur, quam alienas materias pertractare, id est materias, quibus minime dominatur. At quando quis operi dominatur, et solus imperat, quanam re indigeat, nisi ipso et propria voluntate? Id est autem sapientia propria: penes enim hunc ita se habentem voluntas est sapientia. Nihil itaque huic deest ad fabricandum

ἄρα δεῖ τῷ τοιούτῳ εἰς τὸ ποιεῖν, ἐπειδὴ οὐδ' ἡ φρόνησις ἀλλοτρία· ἀλλ' αὐτὸς οὐδενὶ ἐπακτῷ χρώμενος, οὐδὲ λογισμῷ τοίνυν, οὐδὲ μνήμῃ· ἐπακτὰ γὰρ ταῦτα.

dum, quando neque sapientia huic est adventitia; sed est ipsemet nulla unquam re adventitia utens: igitur neque ratiocinatione neque memoria: haec enim adventitia sunt.

Mens divina idearum suarum sigillo imprimit formas animae mundi adeo vehementer, ut non solum figuret supremum animae, id est intelligentiam, sed etiam medium ejus, id est imaginationem: et usque ad infimum ejus, id est naturam, formarum notas inurat. Formae sive rationes rerum seminales in natura sunt ultima quaedam vestigia divinorum, ideo cognitione carent, quamvis vita non careant, aguntque in materiam sicut ignis atque similia, et artificiose quidem: quoniam sunt vivae quaedam expressiones divinae cujusdam intelligentiae, atque hujus verba loquentis: Natura, dum agit in materiam, pati dicitur non a materia, sed ab anima. Anima vero non tam patitur a mente, quam se agit ad ipsam.

ΙΓ'. Ἀλλὰ τί διοίσει τῆς λεγομένης φύσεως ἡ τοιαύτη φρόνησις; ἢ ὅτι ἡ μὲν φρόνησις πρῶτον, ἡ δὲ φύσις ἔσχατον; ἴνδαλμα γὰρ φρονήσεως ἡ φύσις, καὶ ψυχῆς ἔσχατον ὄν, ἔσχατον καὶ τὸν ἐν αὐτῇ ἐλλαμπόμενον λόγον ἔχει. Οἷον εἰ ἐν κηρῷ βαθεῖ διικνοῖτο εἰς ἔσχατον ἐπὶ θάτερα ἐν τῇ ἐπιφανείᾳ τύπος, ἐναργοῦς μὲν ὄντος τοῦ ἄνω, ἴχνους δὲ ἀσθενοῦς ὄντος τοῦ κάτω, ὅθεν οὐδὲ οἶδε, μόνον δὲ ποιεῖ· ὃ γὰρ ἔχει τῷ ἐφεξῆς διδοῦσα ἀπροαιρέτως τὴν δόσιν τῷ σωματικῷ καὶ ὑλικῷ, ποίησιν ἔχει· οἷον καὶ τὸ θερμανθὲν τῷ ἐφεξῆς ἁψαμένῳ δέδωκε τὸ αὑτοῦ εἶδος θερμὸν ἐλαττόνως ποιῆσαν. Διὰ τοῦτό τοι ἡ φύσις οὐδὲ φαντασίαν ἔχει· ἡ δὲ νόησις φαντασίας κρείττων· φαντασία δέ, μεταξὺ φύσεως τύπου καὶ νοήσεως. Ἡ μέν γε οὐδενὸς ἀντίληψιν οὐδὲ σύνεσιν ἔχει· ἡ δὲ φαντασία σύνεσιν ἐπακτοῦ· δίδωσι γὰρ τῷ φαντασθέντι εἰδέναι, ἃ ἔπαθεν· ἡ δὲ γέννα αὐτὴ καὶ ἐνέργεια ἐξ αὐτοῦ τοῦ ἐνεργήσαντος. Νοῦς μὲν οὖν ἔχει, ψυχὴ δὲ ἡ τοῦ παντὸς ἐκομίσατο εἰς ἀεὶ καὶ ἐκεκόμιστο· καὶ τοῦτό ἐστιν αὐτῇ τὸ ζῆν, καὶ τὸ φαινόμενον ἀεὶ σύνεσις νοούσης· τὸ δὲ ἐξ αὐτῆς ἐμφαντασθὲν εἰς ὕλην, φύσις, ἐν ᾗ ἵσταται τὰ ὄντα, ἢ καὶ πρὸ τούτου, καὶ ἔστιν ἔσχατα ταῦτα τοῦ νοητοῦ· ἤδη γὰρ τὸ ἐντεῦθεν τὰ μιμήματα· ἀλλ' ἡ φύσις εἰς αὐτὴν ποιοῦσα καὶ πάσχουσα· ἐκείνη δὲ ἡ πρὸ αὐτῆς καὶ πλησίον αὐτῆς ποιοῦσα οὐ πάσχει· ἡ δέ τι ἄνωθεν εἰς σώματα ἢ εἰς ὕλην οὐ ποιεῖ.

XIII. Sed quonam ejusmodi sapientia differet a natura? Hoc sane, quod sapientia quidem primum, natura vero est ultimum: natura enim sapientiae imago est. Cumque postremum animae sit, ultimam quoque in se rationem habet desuper emicantem. Quemadmodum si, dum profundior cera imprimitur, usque ad alteram ejus superficiem penitus figura pertranseat, ubi quidem figura superior perspicua sit, postrema vero vestigium sit obscurum, ideoque natura nihil novit, sed efficit tantum: tradens enim absque electione sequenti, quod habet, corporeo materialique subjecto largitur, talemque duntaxat actionem habet. Quemadmodum et calidum proximo suam exhibet speciem, debilius calidum reddens. Hanc ob causam imaginationem natura non habet. Intelligentia vero est imaginatione praestantior; sed imaginatio inter naturalem figuram intelligentiamque est media. Natura enim nullius rei animadversionem cognitionemque habet: imaginatio vero rei peregrinae cognitionem. dat enim imaginanti, ut, quod patitur, et agnoscat. Haec autem ipsa progenies atque actio ex ipso agente pendet. Itaque mens quidem possidet: anima vero totius semper accipiebat semperque accepit, idque ei vivere est: et, quod in ea apparet fulgetque, semper est ipsius animae intelligentis agnitio. Quod autem ab ipsa in superficiem materiae micat, est natura, in quam entia desinunt, vel ante ipsam, quae quidem id ipsum praecedit, quod apparet: atque haec sunt ordinis intelligibilis ultima: jam enim post haec sunt quaedam entium imitamina. At natura in materiam agens interim patitur aliunde. Anima vero hac superior simulque proxima faciendo non patitur: mens denique superne consistens in corpora materiamve non agit.

Natura universalis, id est vivifica quaedam virtus animae mundanae omnium plena seminum adest corporibus omnibus ex se genitis, non tanquam qualitas quaedam his permixta factaque horum propria, sicut calor aeri, sed tanquam actus animae quodammodo separatus, separabiliterque praesens, sicut aeri lumen. Natura quidem se habet ad animam sicut lumen ad solem, forma vero materialis ad naturam sicut calor ad lumen ex lumine genitus in materia.

ΙΔ'. Τὰ δὲ σώματα ὑπὸ φύσεως λεγόμενα γίγνεσθαι, τὰ μὲν στοιχεῖα αὐτὸ τοῦτο τὰ σώματα· τὰ δὲ ζῷα καὶ τὰ φυτὰ ἆρα οὕτως ὥστε τὴν φύσιν οἷον παρακειμένην ἐν αὐτοῖς ἔχειν, οἷον ἐπὶ φωτὸς ἔχει; ἀπελθόντος οὐδὲν ὁ ἀὴρ αὐτοῦ ἔχει, ἀλλ' ἔστιν οἷον χωρὶς τὸ φῶς· χωρὶς δὲ ὁ ἀὴρ οἷον οὐ κιρνάμενος· ἢ οἷον ἐπὶ τοῦ πυρὸς καὶ τοῦ θερμανθέντος, οὗ ἀπελθόντος μένει τις θερμότης, ἑτέρα οὖσα παρὰ τὴν οὖσαν ἐν τῷ πυρί, πάθος τι τοῦ θερμανθέντος. Τὴν μὲν γὰρ μορφήν, ἣν δίδωσι τῷ πλασθέντι, ἕτερον εἶδος θετέον παρ' αὐτὴν τὴν φύσιν. Εἰ δέ τι ἄλλο παρὰ τοῦτο ἔχει, ὅ ἐστιν οἷον μεταξὺ τούτου καὶ αὐτῆς τῆς φύσεως, ζητητέον· καὶ ἥτις μὲν διαφορὰ φύσεως καὶ τῆς εἰρημένης ἐν τῷ παντὶ φρονήσεως, εἴρηται.

XIV. Proinde corpora, quae gigni a natura dicuntur, elementa quidem ex hoc ipso vel hoc ipsum sunt corpora. animalia vero et plantae numquid ad naturam ita se habent, ut eam quasi adjacentem habeant in se ipsis, quemadmodum et aer habet lumen? quo quidem abeunte, aer nihil luminis retinet, sed seorsum quidem exstat lumen, seorsum quoque remanet aer, quasi permixtio his facta non fuerit. An potius ita fit, sicut et in igne et calefacto quodam fieri consuevit? Nam abeunte hinc igne calor aliquis permanet, aliud quiddam existens praeter calorem in igne vigentem, evadensque jam quaedam passio calefacti. Profecto formam quidem, quam natura praestat formato, existimandum est alteram quandam praeter naturam ipsam speciem esse. Restat vero quaerendum, numquid etiam aliud quiddam habeat quasi medium inter formatum ipsamque naturam: nam quae potissimum differentia sit inter naturam atque eam, quam in mundo posuimus, sapientiam, satis est dictum.

*Actio animæ mundi intima non tempore transigitur paulatim, sed momento tota simul impletur. Extima vero, id est processio quædam virtutis illinc in mundum, et ipse mundi actus temporis successione peragitur. Ipsa igitur propria hujus animæ actio non est in tempore, sed tempus generat in materia.*

ΙΕ'. Ἐκεῖνο δὲ ἄπορον πρὸς τὰ νῦν ἅπαντα τὰ εἰρημένα. Εἰ γὰρ αἰὼν μὲν περὶ νοῦν, χρόνος δὲ περὶ ψυχήν (ἔχειν γάρ φαμεν τῇ ὑποστάσει τὸν χρόνον περὶ τὴν τῆς ψυχῆς ἐνέργειαν, καὶ ἐξ ἐκείνης), πῶς οὐ, μεριζομένου τοῦ χρόνου καὶ τὸ παρεληλυθὸς ἔχοντος, μερίζοιτο ἂν καὶ ἡ ἐνέργεια, καὶ πρὸς τὸ παρεληλυθὸς ἐπιστρέφουσα ποιήσει καὶ ἐν τῇ τοῦ παντὸς ψυχῇ τὴν μνήμην; καὶ γὰρ αὖ ἐν μὲν τῷ αἰῶνι τὴν ταυτότητα, ἐν δὲ τῷ χρόνῳ τὴν ἑτερότητα τίθεσθαι· ἢ ταὐτὸν αἰὼν ἔσται καὶ χρόνος, εἰ καὶ ταῖς τῆς ψυχῆς ἐνεργείαις τὸ μεταβάλλειν οὐ δώσομεν. Ἆρ' οὖν τὰς μὲν ἡμετέρας ψυχὰς μεταβολὴν δεχομένας, τήν τε ἄλλην καὶ τὴν ἔνδειαν, οἷα ἐν χρόνῳ φήσομεν εἶναι; τὴν δὲ τοῦ ὅλου γεννᾷν μὲν χρόνον, οὐ μὴν ἐν χρόνῳ εἶναι; ἀλλ' ἔστω μὴ ἐν χρόνῳ. Τί ἐστιν, ὃ ποιεῖ γεννᾷν αὐτὴν χρόνον, ἀλλὰ μὴ αἰῶνα; ἢ ὅτι, ἃ γεννᾷ, οὐκ ἀΐδια, ἀλλὰ περιεχόμενα χρόνῳ· ἐπεὶ οὐδ' αἱ ψυχαὶ ἐν χρόνῳ, ἀλλὰ τὰ πάθη αὐτῶν ἅττα ἐστὶ καὶ τὰ ποιήματα. Ἀΐδιοι γὰρ αἱ ψυχαί, καὶ ὁ χρόνος ὕστερος· καὶ τὸ ἐν χρόνῳ ἔλαττον χρόνου· περιέχειν γὰρ δεῖ τὸν χρόνον τὸ ἐν χρόνῳ, ὥσπερ, φησί, τὸ ἐν τόπῳ καὶ ἐν ἀριθμῷ.

XV. Illud autem circa hæc omnia, quæ modo diximus, dubitari facile potest. Si enim æternitas quidem est circa mentem, tempus autem circa animam: (siquidem diximus naturam temporis circa animæ actionem versari et ab ipsa pendere:) quonam modo fieri potest, ut diviso tempore præteritumque habente, non simul et actio dividatur, conversaque ad præteritum in anima mundi memoriam faciat? Jam vero in æternitate quidem identitatem, in tempore autem diversitatem collocare debemus: alioquin æternitas idem erit et tempus, si modo actionibus animæ mutationem auferamus. An forte animas quidem nostras, cum mutationem admittant, cum aliam, tum indigentiam, tanquam in tempore esse dicemus? Animam vero totius generare quidem tempus, neque tamen esse in tempore? Sed esto quidem, non sit in tempore. Quidnam igitur in causa est, ut ipsa generet tempus, non autem æternitatem? Fortasse quoniam, quæ generat, non sunt sempiterna, sed tempore comprehensa: quando neque ipsæ quidem animæ sunt in tempore, sed passiones earum qualescumque sint atque opera. Sempiternæ namque sunt animæ, atque tempus posterius est, et quod est in tempore, minus est tempore: oportet enim, quod in tempore est, a tempore comprehendi, quemadmodum, ille inquit, quod in loco est atque numero.

*Formæ rerum, quæ in materia distant inter se loco, in anima mundi distant differentia tantum inter se formali. Item, quæ in materia priora sunt inter se tempore atque posteriora, in anima solo quodam ordine discrepant, quo aliis alia cedunt potius, quam succedant. Est enim anima per essentiam omniformem ordo quidam specialis et firmus futuri ordinis universi exemplar pariter et effector: et quantum in ipsa est, efficere potest simul omnia, si materia posset simul omnia capere. Moveri quidem dicitur anima hæc ad bonum, qua ratione per mediam mentem ad illud appetendo convertitur: mens vero in bono quiescere, quoniam nullo ad id medio utitur: mundus vero circa animam, imo intra animam tempore volvitur. Plotinus in libro de Tempore etsi non ponit tempus motumque in anima mundi superiore, ponit tamen in anima ejusdem inferiore, id est in vestigio superioris atque natura: non quia formas acquirat ullas vel amittat, sed quia formæ in ea quædam quasi e somno statutis temporibus prodeunt in vigiliam.*

ΙϚ'. Ἀλλ' εἰ ἐν αὐτῇ τόδε μετὰ τόδε, καὶ τὸ πρότερον καὶ τὸ ὕστερον τῶν ποιουμένων, κἂν εἰ ἐν χρόνῳ αὐτὴ ποιεῖ, καὶ νεύει καὶ πρὸς τὸ μέλλον· εἰ δὲ τοῦτο, καὶ πρὸς τὸ παρεληλυθός· ἢ ἐν τοῖς ποιουμένοις, τὸ πρότερον καὶ παρεληλυθός· ἐν αὐτῇ δὲ οὐδὲν παρεληλυθός, ἀλλὰ πάντες οἱ λόγοι ἅμα, ὥσπερ εἴρηται. Ἐν δὲ τοῖς ποιουμένοις τὸ οὐχ ἅμα, ἐπεὶ οὐδὲ τὸ ὁμοῦ, καίτοι ἐν τοῖς λόγοις τὸ ὁμοῦ, οἷον χεῖρες καὶ πόδες οἱ ἐν λόγῳ· ἐν δὲ τοῖς αἰσθητοῖς χωρίς· καίτοι κἀκεῖ ἄλλον τρόπον τὸ χωρίς, ὥστε καὶ τὸ πρότερον ἄλλον τρόπον· ἢ τὸ μὲν χωρὶς εἴποι ἄν τις ἑτερότητι, τὸ δὲ πρότερον, πῶς; εἰ μὴ ἐπιστατοῖ τὸ τάττον· ἐπιστατοῦν δὲ ἐρεῖ τὸ τόδε μετὰ τόδε. Διὰ τί γὰρ οὐχ ἅμα πάντα ἔσται; ἢ εἰ μὲν ἄλλο τὸ τάττον, καὶ ἡ τάξις, οὕτως [ὡς] οἷον λέγειν. Εἰ δὲ τὸ ἐπιστατοῦν ἡ πρώτη τάξις, οὐκέτι λέγει, ἀλλὰ ποιεῖ μόνον τόδε μετὰ τόδε. Εἰ γὰρ λέγει, εἰς τάξιν βλέπων λέγει, ὥστε ἕτερον τῆς τάξεως ἔσται. Πῶς οὖν ταὐτόν; ὅτι μὴ ὕλη καὶ εἶδος τὸ τάττον, ἀλλ' εἶδος μόνον καὶ δύναμις καὶ ἐνέργεια δευτέρα μετὰ νοῦν ἔσται ψυχή. Τὸ δὲ τόδε μετὰ τόδε, ἐν τοῖς πράγμασιν οὐ δυναμένοις ἅμα πάντα. Σεμνὸν γάρ τι καὶ ἡ ψυχὴ ἡ τοιαύτη, οἷον κύκλος προσαρμόττων κέν-

XVI. Ceterum, si in ea designatum est hoc post illud, et prius atque posterius ipsius operum, etsi ipsa facit in tempore, etiam annuit in futurum. Si autem hoc ita se habet, annuit etiam in præteritum: forsan vero potius in his, quæ fiunt, et prius est et præteritum, in ipsa vero nequaquam, sed rationes omnes simul, ut diximus. Quæ quidem non simul sunt in operibus tempore, quando neque etiam loco simul, quamvis in rationibus simul loco sint, velut manus et pedes in seminario: in rebus autem sensui patentibus hæc loco seorsum disposita sunt: etsi in seminario alia quadam ratione separata dicuntur, ideoque prius etiam alia ratione. Profecto quod seorsum dicitur, alteritate quadam seorsum esse censebitur: quod autem prius dicitur, quonam pacto? nisi ordinator ipse sic imperet. Imperans vero efficet id ipsum, scilicet, hoc esto post illud: nam cur non simul omnia erunt? Sed certo, si aliud quiddam ordinator esset atque ordo, sic res ageretur quasi dicendo. Sin autem imperator ipse præsidens ordo primus exsistit, non dicit ultra, sed facit tantum, hoc post illud efficiens. Si enim dicat, spectans ordinem dicet: quapropter aliud quiddam sic erit præter ordinem. Qua igitur ratione est idem? Quoniam ordinator non est materia simul atque species, sed species ipsa duntaxat, atque potestas et actus secundus post mentem erit anima. Quod autem dicitur hoc post illud, ipsis operibus accidit habere simul omnia non valentibus. Venerandum enim quiddam est et anima talis, scilicet qualis et circulus centro accom-

τρῳ, εὐθὺς μετὰ κέντρον αὐξηθεὶς, διάστημα ἀδιάστατον. Οὕτω γὰρ ἔχει ἕκαστα· εἰ δὲ τἀγαθόν τις κατὰ κέντρον τάξειε, τὸν νοῦν κατὰ κύκλον ἀκίνητον, ψυχὴν δὲ κατὰ κύκλον κινούμενον ἂν τάξειε, κινούμενον δὲ τῇ ἐφέσει. Νοῦς γὰρ εὐθὺς καὶ ἔχει καὶ περιείληφεν, ἡ δὲ ψυχὴ τοῦ ἐπέκεινα ὄντος ἐφίεται. Ἡ δὲ τοῦ παντὸς σφαῖρα τὴν ψυχὴν ἐκείνως ἐφιεμένην ἔχουσα, ᾗ πέφυκεν ἐφίεσθαι, κινεῖται. Πέφυκε δὲ ᾗ σῶμα τοῦ οὗ ἐστιν ἔξω ἐφίεσθαι· τοῦτο δὲ περιπτύξασθαι, καὶ περιελθεῖν πάντῃ ἑαυτῷ, καὶ κύκλῳ ἄρα.

mediatissimus statim post centrum adauctus, intervallumque indistans. Sic enim singula disponuntur, ac si quis ipsum bonum pro centro posuerit, mentem vero velut immobilem circulum adhibuerit, sed animam velut mobilem adhibuerit circulum, motum, inquam, per appetitum. Mens enim proxime subitoque bonum habet, atque concepit: anima vero id, quod etiam est superius, appetit. At mundi sphaera habens animam ea conditione appetentem, eatenus qua ratione naturaliter appetere potest, movetur. Sic vero natura comparatum est, qua corpus valeat naturaliter id ipsum, extra quod est, appetere: hoc autem est circumfundere sese et undique se circumcurrere, quo efficitur, ut moveatur in orbem.

In anima mundi non est ambigua consultatio temporalisque discursio, quia, quod optimum est in ea ab aevo, semper ceteris suis viribus dominatur. Est tamen in nostra, quoniam e multis partibus viribusque nostris nunc una nunc alia dominatur; item, quia et ignorantes sumus, tum etiam, quoniam pluribus indigemus, tum denique, quia plurimae nobis ab externis incidunt passiones. Vis in nobis rationalis, etsi non est ipsa natura debilis, atque, etiam si non sit caeca, tamen ab irrationali aliquando superatur: et quia haec quieta est, illa vero turbulenta: et quia haec est una, illa vero multiplex. Homo pessimus similis est populari gubernationi pessimae: medius vero malus, populari mixtus male: bonus optimatum gubernationi, optimus regno: pessimum forsan diceret aliquis similem esse tyranno.

ΙΖ'. Ἀλλὰ πῶς οὐ καὶ ἐν ἡμῖν οὕτως αἱ νοήσεις αἱ τῆς ψυχῆς καὶ οἱ λόγοι; ἀλλ' ἐνταῦθα ἐν χρόνοις τὸ ὕστερον, καὶ αἱ ζητήσεις ὡδί· ἆρ' ὅτι πολλά, ἃ ἄρχει καὶ κινεῖται, καὶ οὐχ ἓν κρατεῖ; ἢ καὶ ὅτι ἄλλο καὶ ἄλλο πρὸς τὴν χρείαν καὶ πρὸς τὸ παρὸν, οὐχ ὡρισμένον ἐν αὐτῷ, ἀλλὰ πρὸς τὸ ἄλλο ἀεὶ καὶ ἄλλο ἔξω; ὅθεν ἄλλο τὸ βούλευμα, καὶ πρὸς καιρὸν, ὅτε ἡ χρεία πάρεστι. Καὶ συμβέβηκεν ἔξωθεν τουτὶ, εἶτα τουτί· καὶ γὰρ τῷ πολλὰ ἄρχειν ἀνάγκη πολλὰς καὶ τὰς φαντασίας εἶναι καὶ ἐπικτήτους, καὶ καινὰς ἄλλου ἄλλῳ, καὶ ἐμποδίους τοῖς αὐτοῦ ἑκάστου κινήμασι καὶ ἐνεργήμασιν. Ὅταν γὰρ τὸ ἐπιθυμητικὸν κινηθῇ, ἦλθεν ἡ φαντασία τούτου, οἷον αἴσθησις ἀπαγγελτικὴ καὶ μηνυτικὴ τοῦ πάθους, ἀπαιτοῦσα συνέπεσθαι καὶ ἐκπορίζειν τὸ ἐπιθυμούμενον· τὸ δὲ ἐξ ἀνάγκης ἐν ἀπόρῳ συνεπόμενον, καὶ πορίζον, ἢ καὶ ἀντιτεῖνον γίγνεται· καὶ ὁ θυμὸς δὲ εἰς ἄμυναν παρακαλῶν τὰ αὐτὰ ποιεῖ κινηθείς. Καὶ αἱ τοῦ σώματος χρεῖαι καὶ τὰ πάθη ἄλλα ποιεῖ, καὶ ἄλλα δοξάζει. Καὶ ἡ ἄγνοια δὲ τῶν ἀγαθῶν, καὶ τὸ μὴ ἔχειν, ὅ τι εἴποι πάντῃ ἀγομένη, καὶ ἐκ τοῦ μίγματος τούτων ἄλλα· ἀλλ' εἰ καὶ τὸ βέλτιστον αὐτὸ ἄλλα δοξάζει, ἢ τοῦ κοινοῦ ἡ ἀπορία καὶ ἡ ἀλλοδοξία. Ἐκ δὲ τοῦ βελτίστου ὁ λόγος ὁ ὀρθὸς εἰς τὸ κοινὸν δοθεὶς τῷ ἀσθενὴς εἶναι ἐν τῷ μίγματι, οὐ τῇ αὐτοῦ φύσει ἀσθενής, ἀλλ' οἷον ἐν πολλῷ θορύβῳ ἐκκλησίας ὁ ἄριστος τῶν συμβούλων εἰπὼν οὐ κρατεῖ, ἀλλ' οἱ χείρονες τῶν θορυβούντων καὶ βοώντων, ὁ δὲ κάθηται ἡσυχῇ οὐδὲν δυνηθεὶς, ἡττηθεὶς δὲ τῷ θορύβῳ τῶν χειρόνων. Καὶ ἔστιν ἐν μὲν τῷ φαυλοτάτῳ ἀνδρὶ τὸ κοινὸν, καὶ ἐκ πάντων ὁ ἄνθρωπος κατά πολιτείαν τινὰ φαύλην· ἐν δὲ τῷ μέσῳ ἐν ᾗ πόλει κἂν χρηστόν τι κρατήσειε δημοτικῆς πολιτείας οὐκ ἀκράτου οὔσης· ἐν δὲ τῷ βελτίονι ἀριστοκρατικὸν τὸ τῆς ζωῆς, φεύγοντος ἤδη τὸ κοινὸν τοῦ ἀνθρώπου, καὶ τοῖς ἀμείνοσι διδόντος· ἐν δὲ τῷ ἀρίστῳ τῷ χωρίζοντι ἓν τὸ ἄρχον καὶ παρὰ τούτου εἰς τὰ ἄλλα ἡ τάξις, οἷον διττῆς πόλεως οὔσης, τῆς μὲν ἄνω, τῆς δὲ τῶν κάτω κατὰ τὰ ἄνω κοσμουμένης. Ἀλλ' ὅτι γε ἐν τῇ τοῦ παντὸς ψυχῇ τὸ ἐν

XVII. At quonam modo non etiam in nobis intelligentiae illae, quae sunt ipsius animae, atque rationes ita se habent? Sed hic secundum tempus est posterius, quaestionesque hic oriuntur: An, quia multa sunt in nobis, quae dominantur, atque moventur, neque unicum imperat? An etiam, quia aliud atque aliud ad usum atque ad praesens succurrit, non definitum in se ipso, sed ad aliud semper atque aliud extrinsecum pertinens? Itaque et consilium aliud, quod et pro temporis opportunitate, quando necessitas postulat, nobis adest. Praeterea tum hoc, tum illud extrinsecus accidit: quia etiam ex eo, quod multa dominantur in nobis, necessarium est multas quoque imaginationes accidere, et peregrinas, et novas alias per aliud: unde et alia impedimento sunt aliis ad propriae motionis actionisque expeditionem. Quando enim vis concupiscendi movetur, suboritur ejusmodi nobis imaginatio, quae quasi quidam sensus nunciat deferatque passionem: requirens scilicet, ut animus obsecundet concupiscentiae, atque ad votum suppeditet. Tum vero animus sic affectus necessario in controversiam trahitur, sive obsecundet et suggerat, sive repugnet, atqui et vis irascendi irritans ad injuriam propulsandam, quotiens incitatur, eadem nobis infert. Proinde indigentiae passionesque corporis varias nobis actiones et opiniones inducunt. Rursus ignoratio bonorum defectusque inveniendi, quod in judicando definiat, ubi animus huc atque illuc distrahitur, atque ex horum commixtione alia resultantia ad idem pertinent, tametsi, quod optimum est in nobis, alia opinatur quam communis ipsius defectio opinionumque diversitas. Ab eo autem, quod est optimum, recta ratio in nostrum commune traducta ob hoc ipsum degenerat, quod in ipso commixto debilis jam evadit, cum tamen sua ipsius natura non sit debilis. Sed quemadmodum in plurima concionis turba vel consultor omnium optimus in orando non persuadet, sed deteriores potius ex ipso interturbantium vociferantiumque numero superant: ille vero sedet quietus, nihil impetrare potens, utpote qui tumultu deteriorum est superatus. Est enim in quovis deterrimo commune quiddam, et ex cunctis coacervatus homo deterrimae cujusdam gubernationis more. In homine autem medio sic se habet, quasi in civitate, in qua bonum quiddam dominatur, ubi profecto popularis gubernatio est non omnis expers temperamenti. At in homine etiam meliore vitae species est optimatum gubernationi persimilis: quippe cum ipsum jam, quod in homine commune dicitur, aufugiat, melioribusque obtemperet. In optimo denique etiam a communi se separante unus est princeps, a quo quidem in alia ordo profertur: quasi duplex in nobis sit civitas, quarum altera quidem sit superior, altera vero sit inferior ad superioris similitudinem exornata. Dictum est autem in ipsa quidem anima mundi

καὶ ταὐτὸν καὶ ὁμοίως, ἐν δὲ τοῖς ἄλλοις ἄλλως, καὶ δι' ἃ, εἴρηται. Ταῦτα μὲν οὖν ταύτῃ.

unum idemque semper et similiter imperare: in aliis vero se aliter rem habere, hujusque rei assignatæ sunt causæ. Sed de his hactenus.

Sicut ex solo micat lumen ab eo inseparabile, quod non fit aeris propria qualitas, sed a lumine generatur calor, propria jam qualitas aeris: sic ab anima nostra emicat vivificus actus: qui non fit quidem propria corpori qualitas, sed generat vitale aliquid in corpore factum jam corpori proprium. Anima quidem substantia est et vita; actus ille ipsius inseparabilis substantiale aliquid est et vivificum. Qualitas hinc tributa corpori accidentale quiddam est et quasi vitale: actum illum appellamus idolum animæ in quo sensus est vegetalisque natura. Qualitatem vero illam imaginem animæ nominamus et umbram: ex hac et corpore fit compositum, in quo voluptates doloresque sunt corporales, quarum passionum sensus ad idolum animamque perveniunt, passiones vero nequaquam. Superior comparatio magis propria fuerit, si idolum animæ ab anima non sejunctum compararemus radio visuali ab oculo non disjuncto. Qui si quando ab oculo rubente processerit, ruborem aspicienti procreabit in oculo, cui similem esse dixeris umbram animæ in corpore resultantem.

ΙΗ'. Περὶ δὲ τοῦ εἰ ἐφ' ἑαυτοῦ τι ἔχει τὸ σῶμα, καὶ παρούσης ζῇ τῆς ψυχῆς ἔχον ἤδη τι ἴδιον, ἤ, ὃ ἔχει, ἡ φύσις ἐστὶ, καὶ τοῦτό ἐστι τὸ προσομιλοῦν τῷ σώματι, ἡ φύσις, ἢ καὶ αὐτὸ τὸ σῶμα, ἐν ᾧ καὶ ψυχὴ καὶ φύσις, οὐ τοιοῦτον εἶναι δεῖ, οἷον τὸ ἄψυχον, καὶ οἷον ὁ ἀὴρ ὁ πεφωτισμένος, ἀλλ' οἷον ὁ τεθερμασμένος· καὶ ἔστι τὸ σῶμα τοῦ ζῴου καὶ τοῦ φυτοῦ δὲ οἷον σκιὰν ψυχῆς ἔχοντα· καὶ τὸ ἀλγεῖν καὶ τὸ ἥδεσθαι δὲ τὰς τοῦ σώματος ἡδονὰς, περὶ τὸ τοιόνδε σῶμα ἐστίν. Ἡμῖν δὲ ἡ τούτου ἀλγηδὼν καὶ ἡ τοιαύτη ἡδονὴ εἰς γνῶσιν ἀπαθῆ ἔρχεται. Λέγω δὲ ἡμῖν, τῇ ἄλλῃ ψυχῇ, ἅτε καὶ τοῦ τοιοῦδε σώματος οὐκ ἀλλοτρίου, ἀλλ' ἡμῶν ὄντος· διὸ καὶ μέλει ἡμῖν αὐτοῦ ὡς ἡμῶν ὄντος. Οὔτε γὰρ τοῦτο ἐσμὲν ἡμεῖς, οὔτε καθαροὶ τούτου ἡμεῖς, ἀλλὰ ἐξήρτηται καὶ ἐκκρέμαται ἡμῶν· ἡμεῖς δὲ κατὰ τὸ κύριον, ἡμῶν δὲ ἄλλως ὅμως τοῦτο. Διὸ καὶ ἡδομένου καὶ ἀλγοῦντος μέλει, καὶ ὅσῳ ἀσθενέστεροι μᾶλλον, καὶ ὅσῳ ἑαυτοὺς μὴ χωρίζομεν. Ἀλλὰ τοῦτο ἡμῶν τὸ τιμιώτατον, καὶ τὸν ἄνθρωπον τιθέμεθα, καὶ οἷον εἰσδυόμεθα εἰς αὐτό. Χρὴ γὰρ τὰ πάθη τὰ τοιαῦτα μὴ ψυχῆς ὅλως εἶναι λέγειν, ἀλλὰ σώματος τοιοῦδε καί τινος κοινοῦ καὶ συναμφοτέρου. Ὅταν γὰρ ἕν τι ᾖ, αὐτῷ οἷον αὔταρκές ἐστιν· οἷον σῶμα μόνον τί ἂν πάθοι ἄψυχον ὄν; διαιρούμενόν τε γὰρ οὐκ αὐτό, ἀλλ' ἡ ἐν αὐτῷ ἕνωσις· ψυχή τε μόνη οὐδὲ τοῦτο, οὐδὲ τὸ διαιρεῖσθαι, καὶ οὕτως ἔχουσα ἐκφεύγει πᾶν· ὅταν δὲ δύο ἐθέλῃ ἓν εἶναι, ἐπακτῷ χρησάμενα, τὸ ἓν ἐν τῷ οὐκ ἐᾶσθαι εἶναι ἓν τὴν γένεσιν εἰκότως τοῦ ἀλγεῖν ἔχει. Λέγω δὲ δύο, οὐκ εἰ δύο σώματα, μία γὰρ φύσις· ἀλλ' ὅταν ἄλλη φύσις ἄλλῃ ἐθέλῃ κοινωνεῖν καὶ γένει ἄλλῳ, καί τι τὸ χεῖρον λάβῃ παρὰ τοῦ κρείττονος, καὶ ἐκεῖνο μὲν μὴ δυνηθῇ λαβεῖν, ἐκείνου δέ τι ἴχνος· καὶ οὕτω γένηται δύο καὶ ἕν, μεταξὺ γιγνόμενον τοῦ τε ὃ ἦν, καὶ τοῦ ὃ μὴ ἐδυνήθη ἔχειν ἀπορίαν, ἐγέννησεν αὐτῷ, ἐπίκηρον κοινωνίαν καὶ οὐ βεβαίαν εἰληχὸς, ἀλλ' εἰς τὰ ἐναντία ἀεὶ φερομένην, κάτω τε οὖν καὶ ἄνω αἰωρούμενον· φερόμενον μὲν κάτω ἀπήγγειλε τὴν αὑτοῦ ἀλγηδόνα· πρὸς δὲ τὸ ἄνω τὴν ἔφεσιν τῆς κοινωνίας.

XVIII. Reliquum est investigare, utrum corpus habeat aliquid in se ipso, atque ita anima præsente vivat, ut jam proprium aliquid in se possideat, an, quicquid habet, sit ipsa natura: idque sit, quod se communicat corpori, ipsa scilicet natura duntaxat. Forsan vero corpus ipsum, in quo anima est atque natura, non oportet esse tale, quale prorsus inanimatum, vel qualis aer illuminatus, sed tanquam calefactus aer: sic utique animalium plantarumque corpora quasi umbram animæ in se habent: itaque dolores voluptatesque corporeæ circa corpus tale versantur. Nobis vero talis corporis cruciatus voluptasque ejusmodi in cognitionem pervenit passionis expertem. Nobis, inquam, id est, alteri animæ, quasi corpus ejusmodi non alienum a nobis sit, sed nostrum: quapropter et nobis curæ est, quasi sit nostrum. Neque enim hoc ipsi sumus, neque ab hoc nos segregati, sed pendet ex nobis hoc, nobisque appendet: nos autem per id, quod est principale, censemur: nostrum vero simul et hoc est aliter. Quam ob rem cum dolore affligi, tum voluptate permulceri, ejusmodi corporis curam habemus, et, quo ipsi debiliores sumus, eo diligentius et curamus et tanto colimus accuratius, quanto minus ab eo nos segregamus. Sed hoc ipsum, quod in nobis est præstantissimum, quo et homines sumus, quasi in corpus tale submergimus. Profecto putandum non est, passiones ejusmodi omnino ad animam pertinere, sed ad corpus tale et commune quiddam atque *conjunctum. Quando enim unum aliquid est duntaxat*, quasi sibi ipsi sufficit. Velut si corpus solum sit atque inanimatum, quidnam patietur? Si enim dividatur, non tam ad ipsum, quam ad unionem, quæ in eo est, passio ejusmodi pertinet. Anima quinetiam sola divisionem passionemque patitur nullam: et ita se habens, totum hoc aufugit. At vero quotiens duo quædam unum esse con*tendunt, atque ita unione utuntur extranea*, nimirum sæpe ex eo, quod unum permanere non permittuntur, doloris initium subeunt. Dico autem duo, non si duo in unum corpora coeant: una enim in his est natura: sed quando diversa natura cum diversa natura alioque genere commercium inire conatur: et, id quod deterius est, a meliore aliquid suscipit: neque ipsum quidem potest accipere, sed ejus duntaxat vestigium: atque ita id totum duo est, atque unum, evadens profecto medium inter id, quod erat ante, atque id, quod assequi nequit jam in difficultate positum, quippe cum commercium infelix instabileque inierit, semper in diversa distractum: si quidem sursum vicissim deorsumve revolvitur; ac, cum ad inferiora delabitur, suum nunciat cruciatum, et, cum aliquando vergit superius, communionis suscitat appetitum.

Passio dissolutiva vel voluptas instaurativa non fit in sensu et anima, sed in corpore per animae praesentiam quasi vitaliter jam affecto: in sensu autem et anima fit perceptio passionis illius minime patiens. Duobus quasi modis anima cum corpore devincitur: unus quidem vergit ad animam, id est vivificus ejus actus endeans erga corpus: alter vero declinat ad corpus, id est qualitas ipsa quasi vitalis per hunc actum infusa corpori. Itaque corpus sic affectum atque sic alligatum animae ad animam pertinet itque nostrum. Id ergo curamus, et quando motio huic incidit dissolutoria vel instauratoria, passionem hanc sensu percipientes ad ipsam vel vitandam inclinamur vel prosequendam. Si in anima sentiente fieret peremptoria passio, et impediretur sensus atque judicium, et in quo membro praecipue sit passio, non discerneret. Anima enim individua simul est in quolibet tota. Si igitur patitur ipsa, passio ubique totam animam occuparet.

ΙΘ'. Τοῦτο δὴ τὸ λεγόμενον ἡδονήν τε εἶναι καὶ ἀλγηδόνα· εἶναι μὲν ἀλγηδόνα γνῶσιν ἀπαγωγῆς σώματος, ἰνδάλματος ψυχῆς στερισκομένου· ἡδονὴν δὲ γνῶσιν ζῴου, ἰνδάλματος ψυχῆς ἐν σώματι ἐναρμοζομένου πάλιν αὖ· ἐκεῖ μὲν οὖν τὸ πάθος, ἡ δὲ γνῶσις τῆς αἰσθητικῆς ψυχῆς, ἐν τῇ γειτονίᾳ αἰσθανομένης, καὶ ἀπαγγειλάσης τὸ εἰς ὃ λήγουσιν αἱ αἰσθήσεις. Καὶ ἠλγύνθη μὲν ἐκεῖνο, λέγω δὲ τὸ ἠλγύνθη, τὸ πέπονθεν ἐκεῖνο, οἷον ἐν τῇ τομῇ, τεμνομένου τοῦ σώματος, ἡ μὲν διαίρεσις κατὰ τὸν ὄγκον, ἡ δὲ ἀγανάκτησις κατὰ τὸν ὄγκον, τῷ μὴ μόνον ὄγκον, ἀλλὰ καὶ τῷ τοιόνδε ὄγκον εἶναι· ἐκεῖ δὲ καὶ ἡ φλεγμονή· ᾔσθετο δὲ ἡ ψυχὴ παραλαβοῦσα τῷ ἐφεξῆς οἷον κεῖσθαι. Πᾶσα δὲ ᾔσθετο τὸ ἐκεῖ πάθος οὐκ αὐτὴ παθοῦσα. Αἰσθανομένη γὰρ πᾶσα ἐκεῖ λέγει τὸ πάθος εἶναι, οὗ ἡ πληγὴ καὶ ἡ ὀδύνη. Εἰ δὲ ἦν αὐτὴ παθοῦσα ἐν παντὶ ὅλη τῷ σώματι οὖσα, οὐκ ἂν εἶπεν οὐδ' ἂν ἐμήνυσεν ὅτι ἐκεῖ, ἀλλ' ἔπαθεν ἂν τὴν ὀδύνην πᾶσα, καὶ ὠδυνήθη ὅλη· καὶ οὐκ ἂν εἶπεν οὐδὲ ἐδήλωσεν ὅτι ἐκεῖ, ἀλλὰ ὅπου ἐστὶν εἶπεν ἂν ἐκεῖ· ἔστι δὲ πανταχοῦ. Νῦν δὲ ὁ δάκτυλος ἀλγεῖ, καὶ ὁ ἄνθρωπος ἀλγεῖ, ὅτι ὁ δάκτυλος ὁ τοῦ ἀνθρώπου· τὸν δὲ δάκτυλον ὁ ἄνθρωπος λέγεται ἀλγεῖν, ὥσπερ καὶ ὁ γλαυκὸς ἄνθρωπος κατὰ τὸ ἐν ὀφθαλμῷ γλαυκόν. Ἐκεῖνο μὲν οὖν τὸ πεπονθὸς ἀλγεῖ, εἰ μή τις τὸ ἀλγεῖν μετὰ τῆς ἐφεξῆς αἰσθήσεως περιλαμβάνοι· περιλαμβάνων δὲ δηλονότι τοῦτο σημαίνει ὡς ὀδύνη, μετὰ τοῦ μὴ λαθεῖν τὴν ὀδύνην τὴν αἴσθησιν. Ἀλλ' οὖν τὴν αἴσθησιν αὐτὴν οὐκ ὀδύνην λεκτέον, ἀλλὰ γνῶσιν ὀδύνης· γνῶσιν δὲ οὖσαν ἀπαθῆ εἶναι, ἵνα γνῷ καὶ ὑγιῶς ἀπαγγείλῃ. Πεπονθὼς γὰρ ἄγγελος σχολάζων τῷ πάθει, ἢ οὐκ ἀπαγγέλλει, ἢ οὐχ ὑγιὴς ἄγγελος.

XIX. Id igitur est, quod traditur de voluptatis dolorisque natura, ubi dicitur, dolorem esse quandam dissolutionis perceptionem, dum videlicet corpus animae exspoliatur imagine; voluptatem vero perceptionem in animali, ubi rursus imago animae instauratur in corpore: ibi quidem passio est, cognitio vero in anima sensuali videlicet ipsa vicinitate passionem persentiente, eique nuntiante, in quod sensus denique desinunt. Illud quidem est cruciatum: cruciatum, inquam, id est passum, velut in sectione. Secto quidem corpore divisio spectat ad molem: afflictio vero ad molem, quae non solum sit moles, sed ejusmodi moles. Similiter de inflammatione dicendum. Anima vero sentit quasi per contiguam animadvertens vicinitatem. Tota vero passionem sentit ibi nascentem, ipsa quidem minime patiens. Sentiens namque tota illic esse pronuntiat passionem, ubi percussio fit et dolor. Sin autem pateretur ipsa, cum tota in universo sit corpore, neque diceret, neque renuntiaret, ubi potissimum passio inferatur: sed pateretur quidem dolorem tota, et undique penitus dolore angeretur, neque indicaret, neque declararet locum passionis determinatum, imo vero ubicumque est, ibi etiam diceret: est autem ubique. Nunc vero contra contingit: nam dolet digitus, et dolet homo ob id ipsum, quoniam hominis digitus angitur. Dicitur autem homo dolere digitum, quemadmodum et homo glaucus per colorem in oculo glaucum appellatur. Illud itaque, quod patitur, etiam cruciatur, nisi quis forte una quadam notione cruciatum una cum sensu statim consequente comprehendat. Ita vero comprehendens id plane significat, scilicet dolorem esse quodammodo, dolorem non latere sensum: verum tamen nullo modo dicendum, sensum ipsum esse dolorem, sed doloris perceptionem: cum vero cognitio sit, nimirum esse passionis expertem, ut et cognoscat plane, et sincere denuntiet. Nuntius enim in passione positus, dum occupatus est passione, vel nihil omnino nuntiat vel falsus nuntius advenit.

Sicut in corpore levi est stimulus ad ascensum, in radice ad humorem, in folio ad calorem: sic in corpore per animam quasi vitaliter jam affecto insurgunt naturalia quaedam incitamenta, pro indigentia quidem ad impletionem, pro repletione ad evacuationem, pro alteratione nuda ad oppositam. Natura interim vegetalis, quae vitalem in corpore affectionem genuit et conservat, patiente tali corpore laborat dum conatur, et agit intentius circa conservandam vel instaurandam affectionem in corpore naturalem. Quo quidem conatu dicitur concupiscentia illa, quae exardiebatur in corpore tali, adolescere in naturam. Dum vero natura haec agit obnixius, pervenit perceptio passionis in sensum, atque hinc ad imaginationem atque judicium.

Κ'. Καὶ τῶν σωματικῶν δὲ ἐπιθυμιῶν τὴν ἀρχὴν ἐκ τοῦ οὕτω κοινοῦ καὶ τῆς τοιαύτης σωματικῆς φύσεως ἀκόλουθον τίθεσθαι γίγνεσθαι· οὔτε γὰρ τῷ ὁπωσοῦν ἔχοντι σώματι δοτέον τὴν ἀρχὴν τῆς ὀρέξεως καὶ προθυμίας, οὔτε τῇ ψυχῇ αὐτῇ ἁλμυρῶν ἢ γλυκέων ζήτησιν, ἀλλὰ ὃ σῶμα μέν ἐστιν, ἐθέλει δὲ μὴ μόνον σῶμα εἶναι, ἀλλὰ καὶ κινήσεις ἐκτήσατο πλέον ἢ αὐτό, καὶ ἐπὶ πολλὰ διὰ τὴν ἐπίκτησιν ἠνάγκασται τρέπεσθαι· διὸ οὑτωσὶ μὲν ἔχον ἁλμυρῶν, οὑτωσὶ δὲ γλυκέων, καὶ ὑγραίνεσθαι καὶ θερμαίνεσθαι, οὐδὲν αὐτῷ μελῆσαν εἰ μόνον ἦν. Ὥσπερ δὲ ἐκεῖ ἐκ τῆς ὀδύνης

XX. Consequens est praeterea (dicere), corporearum cupiditatum principium fieri ex eo, quod ita est commune et tali quadam natura corporea. Neque enim corpori quomodocumque se habenti attribuendum est initium appetendi et impensius prosequendi: neque putandum est animam ipsam affectare salsa vel dulcia, sed potius id, quod corpus quidem est; nititur autem non solum corpus esse, sed plus sibi quam anima vindicat motionum, atque ob vindicationem ejusmodi in multa transferri compellitur: quapropter ita quidem affectum salsa, ita vero dulcia concupiscit: item humectari, rursusque calefieri, quorum nihil ipsi curae futurum est, si solum fuerit. Quemadmodum vero illic ex dolore cognitio nata est, animaque, sin

ἐγίγνετο ἡ γνῶσις, καὶ ἀπάγειν ἐκ τοῦ ποιοῦντος τὸ πάθος ἡ ψυχὴ βουλομένη ἐποίει τὴν φυγήν, καὶ τοῦ πρώτου παθόντος διδάσκοντος τοῦτο, φεύγοντός πως καὶ αὐτοῦ ἐν τῇ συστολῇ, οὕτω καὶ ἐνταῦθα ἡ μὲν αἴσθησις μαθοῦσα καὶ ἡ ψυχὴ ἡ ἐγγύς, ἣν δὴ φύσιν φαμὲν τὴν δοῦσαν τὸ ἴχνος· ἡ μὲν φύσις τὴν τρανὴν ἐπιθυμίαν τέλος οὖσαν τῆς ἀρξαμένης ἐν ἐκείνῳ· ἡ δ' αἴσθησις τὴν φαντασίαν, ἀφ' ἧς ἤδη ἢ πορίζει ἡ ψυχή, ἧς τὸ πορίζειν, ἢ ἀντιτείνει καὶ καρτερεῖ, καὶ οὐ προσέχει οὔτε τῷ ἄρξαντι τῆς ἐπιθυμίας, οὔτε τῷ μετὰ ταῦτα ἐπιτεθυμηκότι. Ἀλλὰ διὰ τί δύο ἐπιθυμίας, ἀλλ' οὐκ ἐκεῖνο εἶναι τὸ ἐπιθυμοῦν μόνον τὸ σῶμα τὸ τοιόνδε; ἢ εἰ ἔστιν ἕτερον ἡ φύσις, ἕτερον δὲ τὸ σῶμα τὸ τοιόνδε παρὰ τῆς φύσεως γενόμενον· ἔστι γὰρ ἡ φύσις πρὸ τοῦ τὸ τοιόνδε σῶμα γενέσθαι, αὕτη γὰρ ποιεῖ τὸ τοιόνδε σῶμα πλάττουσα καὶ μορφοῦσα· ἀνάγκη μήτε ἄρχειν αὐτὴν τῆς ἐπιθυμίας, ἀλλὰ τὸ τοιόνδε σῶμα τὸ πεπονθὸς ταδί, καὶ ἀλγυνόμενον, τῶν ἐναντίων, ὧν πάσχει, ἐφιέμενον, ἡδονῆς ἐκ τοῦ πονεῖν, καὶ πληρώσεως ἐκ τῆς ἐνδείας· τὴν δὲ φύσιν ὡς μητέρα, ὥσπερ στοχαζομένην τῶν τοῦ πεπονθότος βουλημάτων, διορθοῦν τε καὶ πειρᾶσθαι ἐπανάγειν εἰς αὐτήν· καὶ ζήτησιν τοῦ ἀκεσομένου ποιουμένην, συνάψασθαι τῇ ζητήσει τῇ τοῦ πεπονθότος ἐπιθυμίᾳ, καὶ τὴν περάτωσιν ἀπ' ἐκείνου πρὸς αὐτὴν ἥκειν· ὥστε τὸ μὲν ἐπιθυμεῖν ἐξ αὐτοῦ εἴποι ἄν τις, πρὸς ἐπιθυμίαν ἴσως καὶ προθυμίαν, τὴν δὲ ἐξ ἄλλου καὶ δι' ἄλλο ἐπιθυμεῖν, τὴν δὲ ποριζομένην ἢ μή, ἄλλην εἶναι.

dens ab inferente passionem corpus abducere, vertit in fugam: quod etiam admonuit, quod primo sustinuit passionem, dum ipsum quoque in ipsa contractione quodammodo fugeret: ita et hic sensus quidam perdiscit, et anima, quæ prope est, quam utique naturam dicimus vestigium vitæ corpori tribuentem. Igitur natura quidem concupiscentiam reportat jam adultam, velut finem concupiscentiæ in tali corpore jam exorsæ: sensus autem imaginationem, per quam anima jam, cujus est prosequi, vel prosequitur atque suggerit, vel repugnat et abstinet: neque consentit vel exordienti concupiscentiam, vel ei, quod post ejusmodi exordium concupiscit. Verum curnam duas concupiscentias ponimus, non autem solum tale quoddam *corpus esse, quod appetat? Profecto si aliud est natura*, aliud vero corpus tale a natura jam effectum: est enim natura antequam tale corpus efficiatur, cum ipsa corpus efficiat tale, fingens ipsum atque formans: necessarium est, neque animam ipsam inchoare cupiditatem, sed tale quoddam corpus, quod et patitur talia quædam: et quando *dolet, contraria eorum, quæ patitur, appetit, cum ex languore* oblectamentum, tum saturitatem ex indigentia. Naturam vero, seu matrem quasi conjectantem desideria patientis, conari necesse est dirigere, et ad se ipsam id revocare, ac remedia languoribus quærentem, ob inquisitionem ejusmodi cum patientis cupiditate conjungi, atque *ita circumscriptionem* hanc ab illo ad animam penetrare. Quamobrem dicet quispiam, corpus quidem tale appetere suapte natura, forsan videlicet, quantum spectat ad appetitionis properationisque incitamentum: naturam vero ex alio, et propter aliud affectare: at animam velut aliam esse, quæ vel obsequitur, vel potius adversatur.

Incitamentum ad concupiscenda oblectamenta corporea non oritur in ipsa animæ virtute concupiscente, sed in corpore tali, ut est per animam affecto vitaliter. Id sane conjicimus: primo, quia, cum in corpore tali sit indigentia simul atque passio, merito appetitus hinc incitantur. Secundo, quoniam, quatenus aliter se habet corpus tale pro differentia ætatum, valetudinis, habitus, loci, temporis, eatenus diversi surrepunt appetitus. Virtus autem concupiscendi in anima permanens non permutatur. Tertio, quia nonnunquam in tali corpore stimulus aliquis est ad aliquid, ad quod non statim vis ipsa concupiscendi se dirigit. *Quarto, si etiam mox ad hoc intenderit, non tamen animus semper hoc admittit. Quinto, surgit sæpe in corpore depravato* stimulus ad aliquid naturæ minime consentaneum, ut ad cinerem comedendum, quod natura corporeæ habitudinis moderatrix non adsciscit, neque cupiat corpori neque sibi: denique nec impletur, nec evacuatur, nec quomodolibet alteratur vis ipsa concupiscendi animæ insita ejusve idolo, sed corpus tale. Hinc igitur, non inde, appetitus ad talia suscitantur.

ΚΑ'. Ὅτι δὲ τοῦτό ἐστι, περὶ ὃ ἡ ἀρχὴ τῆς ἐπιθυμίας, καὶ αἱ ἡλικίαι μαρτυροῦσιν αἱ διάφοροι. Ἄλλαι γὰρ παίδων καὶ μειρακίων καὶ ἀνδρῶν αἱ σωματικαί, ὑγιαινόντων τε καὶ νοσούντων, τοῦ ἐπιθυμητικοῦ τοῦ αὐτοῦ ὄντος. Δῆλον γὰρ ὅτι τὸ σωματικὸν καὶ σῶμα τοιόνδε εἶναι, τρεπόμενον παντοίας τροπάς, παντοδαπὰς καὶ τὰς ἐπιθυμίας ἴσχειν· καὶ τὸ μὴ συνεγείρεσθαι δὲ πανταχοῦ ταῖς λεγομέναις προθυμίαις τὴν πᾶσαν ἐπιθυμίαν εἰς τέλος τῆς σωματικῆς μενούσης· καὶ πρὸ τοῦ τὸν λογισμὸν εἶναι μὴ βούλεσθαι ἢ φαγεῖν ἢ πιεῖν, ἐπί τι προελθοῦσαν τὴν ἐπιθυμίαν λέγει, ὅσον ἦν ἐν τῷ τοιῷδε σώματι· τὴν δὲ φύσιν μὴ συνάψασθαι αὐτήν, μηδὲ προθέσθαι, μηδὲ βούλεσθαι, ὥσπερ οὐδὲ κατὰ φύσιν ἐχούσης ἄγειν εἰς φύσιν, ὡς ἂν αὐτὴν τῷ παρὰ φύσιν καὶ κατὰ φύσιν ἐπιστατοῦσαν. Εἰ δέ τις πρὸς τὸ πρότερον λέγοι ἀρκεῖν τὸ σῶμα διάφορον γιγνόμενον, διαφόρους τῷ ἐπιθυμητικῷ τὰς ἐπιθυμίας ποιεῖν· οὐκ αὔταρκες λέγει πρὸς τὸ ἄλλου παθόντος ἄλλως αὐτὸ

XXI. Esse vero corpus tale, circa quod sit principium appetendi, testantur insuper differentes ætates: alii namque sunt *appetitus corporei puerorum, adolescentum alii* aliique virorum: item bene vel male valentium, dum ipsa concupiscendi virtus eadem interea permanet. Constat itaque corporeum quiddam esse, corpus, inquam, tale, quod, dum modis plurimis permutatur, incitat similiter quam plurimos appetitus. Declaratur idem, quod non ubique in hujusmodi incitamentis simul excitatur omnis concupiscentia, cum tamen corporea incitatio sæpe ad finem usque perduret. Præterea quod, et antequam ratio id deliberet, sæpe animus non vult comedere aut bibere, dum ad hæc concupiscentia vehemens impellit, quantum est in tali quodam corpore. Quin etiam, quod natura sæpe id, ad quod tale corpus incitat vel adsciscit, non adsciscit ipsa, neque vult in naturæ sedem adducere, quasi oblectamentum ejusmodi naturæ non congruat, et quasi naturæ ipsius sit statuere, quid naturæ consentaneum sit, quid non consentaneum. Si quis autem ad prius illud objiciat, sufficere corpus aliquando factum differens, differentes concupiscentias virtuti concupiscendi suggerere *haudquaquam dicit sufficienter, quantum spectat ad id,*

ὑπὲρ ἄλλου διαφόρους ἐπιθυμίας ἔχειν, ὁπότε οὐδ' αὐτῷ γίγνεται τὸ ποριζόμενον. Οὐ γὰρ δὴ τῷ ἐπιθυμητικῷ ἡ τροφὴ, ἢ θερμότης καὶ ὑγρότης, οὐδὲ κίνησις, οὐδὲ κούφισις κενουμένου, οὐδὲ πλήρωσις μεστουμένου, ἀλλ' ἐκείνου πάντα.

quod alio patiente haec ipsa virtus aliter alterius causa cupiditates habeat differentes, quando neque ipsa est, cui ex necessitate suggeritur. Non enim ad ipsam vim concupiscendi pertinet nutriri, vel calefieri, vel humectari, vel permutari, vel evacuatione levari, vel saturitate repleri, sed ad tale corpus haec omnia pertinent.

Terra cum animalia generat, atque animalis mundani membrum et necessarium et minime contemnendum, est animal intellectuale atque divinum, habetque sensum: nam in anima vis judiciaria viget, quae conjuncta corpori suo percipit et judicat sui corporis passiones, id autem est sentire: quanquam Plotinus et multi unicuique elemento suam tribuunt animam. Poterit tamen aliquis forsan non absurde dicere, sphaeras quidem caelestes, quia et immutabiles sunt, et permanent in se ipsis invicem non confusae, animas inter se distinctas habere: elementa vero, quoniam compositi gratia instituta sunt, et in se ipsis permutantur et invicem confunduntur, suntque in globum unum redacta mutuisque competentiis in formam unam concorditer colligata, unicam cunctorum animam possidere, ad eorum materiae complexionisque harmoniam quasi quattuor prorsus accommodatam, vigentem in aere et igne quam plurimum, per haec in aqua simul atque terra, cujus virtute vitalem vim composita etiam illa reportent: in quibus elementorum portiones similiter quadam ad totum proportione ligantur: in terra quidem et aqua animalia manifesta, in aere vero daemones habentes corpora connexa similiter, quamvis tenuia nobisque occulta.

ΚΒ'. Ἐπὶ δὲ τῶν φυτῶν ἆρα ἄλλο μὲν τὸ οἷον ἐναπηχηθὲν τοῖς σώμασιν αὐτῶν, ἄλλο δὲ τὸ χορηγῆσαν; ὃ δὴ ἐπιθυμητικὸν μὲν ἐν ἡμῖν, ἐν ἐκείνοις δὲ φυτικόν· ἢ ἐν μὲν τῇ γῇ τοῦτο, ψυχῆς ἐν αὐτῇ οὔσης, ἐν δὲ τοῖς φυτοῖς τὸ ἀπὸ τούτου. Ζητήσειε δ' ἄν τις πρότερον, τίς ψυχὴ ἐν τῇ γῇ, πότερα ἐκ τῆς σφαίρας τοῦ παντὸς, ἣν καὶ μόνην δοκεῖ ψυχοῦν πρώτως Πλάτων οἷον ἔλλαμψιν εἰς τὴν γῆν· ἢ πάλιν αὖ λέγων πρώτην καὶ πρεσβυτάτην θεῶν τῶν ἐντὸς οὐρανοῦ, καὶ αὐτῇ δίδωσι ψυχὴν, οἵαν καὶ τοῖς ἄστροις. Πῶς γὰρ ἂν θεὸς εἴη, εἰ μὴ ἐκείνην ἔχοι; ὥστε συμβαίνει καὶ τὸ πρᾶγμα, ὅπως ἔχει, ἐξευρεῖν δύσκολον, καὶ μείζω ἀπορίαν, ἢ οὐκ ἐλάττω, ἐξ ὧν εἴρηκεν ὁ Πλάτων, γίγνεσθαι. Ἀλλὰ πρότερον πῶς ἂν εὐλόγως ἔχειν τὸ πρᾶγμα δόξειε; τὴν μὲν οὖν φυτικὴν ψυχὴν, ὡς ἔχει ἡ γῆ, ἐκ τῶν φυομένων ἐξ αὐτῆς ἄν τις τεκμαίροιτο· εἰ δὲ καὶ ζῷα πολλὰ ἐκ γῆς γιγνόμενα ὁρᾶται, διὰ τί οὐ καὶ ζῷον ἄν τις εἴποι αὐτὴν εἶναι; ζῷον δὲ τοσοῦτον οὖσαν καὶ οὐ σμικρὰν μοῖραν τοῦ παντὸς διὰ τί οὐ καὶ νοῦν ἔχειν φήσαι καὶ οὕτω θεὸν εἶναι; εἴπερ δὲ καὶ τῶν ἄστρων ἕκαστον, διὰ τί οὐ καὶ τὴν γῆν ζῷον, μέρος τοῦ παντὸς ζῴου οὖσαν; οὐ γὰρ δὴ ἔξωθεν μὲν συνέχεσθαι ὑπὸ ψυχῆς ἀλλοτρίας φατέον, ἔνδον δὲ μὴ ἔχειν, ὡς οὐ δυναμένης καὶ αὐτῆς ἔχειν οἰκείαν. Διὰ τί γὰρ τὰ μὲν πύρινα δύναται, τὸ δὲ γήϊνον οὔ; σῶμα γὰρ ἑκάτερον, καὶ οὐχ ἶνες ἐκεῖ, οὐδὲ σάρκες, οὐδ' αἷμα, οὐδὲ ὑγρόν· καίτοι ἡ γῆ ποικιλώτερον, καὶ ἐκ πάντων τῶν σωμάτων. Εἰ δ' ὅτι δυσκίνητον, τοῦτο πρὸς τὸ μὴ κινεῖσθαι ἐκ τόπου λέγοι τις ἄν, ἀλλὰ τὸ αἰσθάνεσθαι πῶς; πῶς γὰρ καὶ τὰ ἄστρα; οὐ γὰρ δὴ οὐδὲ σαρκῶν τὸ αἰσθάνεσθαι, οὐδ' ὅλως σῶμα δοτέον τῇ ψυχῇ, ἵνα αἰσθάνοιτο, ἀλλὰ τῷ σώματι δοτέον ψυχὴν, ἵνα ᾖ καὶ σώζοιτο τὸ σῶμα· κριτικῇ δὲ οὔσῃ τῇ ψυχῇ ὑπάρχει βλεπούσῃ εἰς σῶμα καὶ τῶν τούτου παθημάτων τὴν κρίσιν ποιεῖσθαι. Τίνα οὖν παθήματα γῆς, καὶ τίνων αἱ κρίσεις; ἔπειτα καὶ τὰ φυτά, καθ' ὅσον γῆς, οὐκ αἰσθάνεται. Τίνων οὖν αἰσθήσεις καὶ διὰ τίνων; ἢ οὐ τολμητέον, καὶ ἄνευ ὀργάνων γίγνεσθαι αἰσθήσεις; καὶ εἰς τίνα δὲ χρείαν τὸ αἰσθάνεσθαι αὐτῇ; οὐ γὰρ δὴ διὰ τὸ γιγνώσκειν· ἀρκεῖ γὰρ ἡ τοῦ

XXII. Numquid etiam in plantis aliud quidem est, quod quasi proprium earum in corporibus inseratur [*vel* in c. resonet], aliud vero, quod suppeditet? Quod in nobis quidem dicitur concupiscendi virtus, in illis vero dicitur vegetalis: forsan vero in terra quidem est ejusmodi virtus, cum anima sit in ipsa, in plantis autem est, quod ab hac virtute procedit. Opportune vero quispiam prius interrogabit, quaenam anima sit in terra, utrum ex ipsa universi sphaera, quam Plato solam primo animare videtur, velut fulgor aliquis micet in terram: an potius dicendum sit, Platonem terrae animam tribuere qualem stellis: ubi rursus ait, terram esse primam antiquissimamque deorum omnium qui caelo includuntur. Quo enim pacto terra poterit judicari dea, nisi habuerit animam? Unde contingit, ut difficile sit inventu, qua res haec ratione se habeat, atque major, vel certe non minor, ex Platonis dictis ambiguitas oriatur. Sed certe in primis quonam pacto sententiam rationi consentaneam investigare poterimus? Principio terram habere animam vegetalem, per ea, quae ex ipsa nascuntur, conjectare quis poterit: quodsi animalia etiam multa ex terra generari videntur, quidnam prohibet, eam esse animal judicare? Cum vero tam ingens animal sit, neque exigua quaedam mundi portio, cur non etiam habere mentem, atque ita deum esse dicamus? Jam vero si quamlibet stellam esse dicimus animal, quid prohibet terram quoque, cum sit totius animalis pars, animal confiteri? Non enim putandum est, eam extrinsecus quidem ab aliena anima contineri, intrinsecus vero animam non habere, quasi ipsa sola animam habere propriam nequeat: cur enim ignea quidem possint, terrenum vero non possit? nempe utrumque corpus est, neque ibi sunt venae, nervi, carnes, sanguis, humor, tametsi terra est majori admodum varietate munita, ex omnibusque corporibus constituitur. Si quis autem objiciat, quod inepta sit ad motum, id quidem dicere quis poterit ex eo duntaxat, quod e loco proprio non moveatur. Quaeret et aliquis, quomodo terra sentire possit: quaeremus et nos similiter, quo pacto sentire possint stellae. Jam vero neque carnium est sentire, neque omnino tribuendum est animae corpus, ut inde sentiat, sed corpori potius anima tribuenda, ut sit corpus atque servetur. Profecto cum anima vim judiciariam habeat, habet et facultatem, per quam, dum spectat in corpus, de passionibus illius valeat judicare. Quaenam vero passiones sunt terrae? quorumve judicia? Praeterea plantae, quatenus terrae aliquid sunt, non sentiunt. Quorumnam igitur sunt sensus? et per quae fiunt? An forte non audendum est asserere, absque instrumentis fieri sensus? Item, ad quem usum sensus terrae conducit? non enim ad cognitionem: sufficit enim fortasse cognitio,

φρονεῖν ἴσως γνῶσις, οὐ μὴ ἐκ τοῦ αἰσθάνεσθαι γίγνεταί τις χρεία· ἢ τοῦτο μὲν οὐκ ἄν τις συγχωρήσειεν· ἔστι γὰρ καὶ παρὰ τὴν χρείαν ἐν τοῖς αἰσθητοῖς εἴδησίς τις οὐκ ἄμουσος, οἷον ἡλίου καὶ τῶν ἄλλων, καὶ οὐρανοῦ, καὶ γῆς· αἱ γὰρ τούτων αἰσθήσεις καὶ παρ' αὐτῶν ἡδεῖαι. Τοῦτο μὲν οὖν σκεπτέον ὕστερον· νῦν δὲ πάλιν, εἰ αἱ αἰσθήσεις τῇ γῇ καὶ ζώων τίνων αἱ αἰσθήσεις, καὶ πῶς; ἢ ἀναγκαῖον πρότερον ἀναλαβεῖν τὰ ἀπορηθέντα, καὶ καθόλου λαβεῖν, εἰ ἄνευ ὀργάνων ἔστιν αἰσθάνεσθαι, καὶ εἰ πρὸς χρείαν αἱ αἰσθήσεις, κἂν εἰ ἄλλο τι παρὰ τὴν χρείαν γίγνοιτο.

quæ consistit in sapientia, quibus ex actu sentiendi nulla proventura utilitas: an forte est hoc quispiam non concesserit? Est enim et præter utilitatem in rebus, quæ sentiuntur, cognitio quædam a Musis non aliena, velut solis et siderum reliquorum, cœlique et terræ spectaculum: hæc enim spectare per se ipsum etiam est jucundum. Hoc igitur in sequentibus erit considerandum: in præsentia vero rursus investigandum, num insint terræ sensus, et quorum animalium sit sentire, et qua id ratione fiat. Forsan vero necessarium prius est, quæ sunt dubitata, resumere, et universe comprehendere, numquid absque instrumentis sensus efficere valeat, et num utilitatis gratia instituti sint sensus, etiam si quid aliud ex his accidat præter usum.

Sentire non est simpliciter cognoscere sensibilia, sed per passiones sive impressiones quasdam factas vel a rebus sentiendis prope animam, vel ab anima circa eas. Anima ab omni corpore separata sicut in se vivit, sic ad se conversa per formas sibi insitas a divinis divina cognoscit: perque illa velut principia comprehendit et sensibilia, neque tamen hoc est sentire: nequit enim sentire tunc corporalia, quia nullam habet cum eis proportionem, per quam impressio ulla, vel expressio inter hanc et illa fiat: sed quando corpori conjuncta est, spiritu utitur ut instrumento quodam medio inter eam atque externa, proportionem inter utraque faciente, in quo qualitates vel passiones extrinsecus venientes in speciem spiritalem puramque evadunt animæque propinquam, adeo ut per hanc anima formas excitet sensibilium in se latentes: quæ quidem excitatio est sentire. Id vero totum diligentius in libro Theophrasti de anima una cum Prisciano et Iamblicho declaramus.

ΚΓ'. Δεῖ δὴ θέσθαι ὡς τὸ αἰσθάνεσθαι τῶν αἰσθητῶν ἐστι τῇ ψυχῇ ἢ τῷ ζώῳ ἀντίληψις, τὴν προσοῦσαν τοῖς σώμασι ποιότητα συνιείσης, καὶ τὰ εἴδη αὐτῶν ἀποματτομένης· ἢ τοίνυν μόνη ἐφ' ἑαυτῆς ἀντιλήψεται, ἢ μετ' ἄλλου. Μόνη μὲν οὖν καὶ ἐφ' ἑαυτῆς πῶς; ἐφ' ἑαυτῆς γὰρ τῶν ἐν αὐτῇ καὶ μόνον νόησις· εἰ δὲ καὶ ἄλλων, δεῖ πρότερον καὶ ταῦτα ἐσχηκέναι, ἤτοι ὁμοιωθεῖσαν, ἢ τῷ ὁμοιωθέντι συνοῦσαν· ὁμοιωθῆναι μὲν οὖν ἐφ' ἑαυτῆς μένουσαν οὐχ οἷόν τε. Πῶς γὰρ ἂν ὁμοιωθείη σημεῖον γραμμῇ; ἐπεὶ οὐδὲ ἡ νοητὴ τῇ αἰσθητῇ ἂν γραμμῇ ἐφαρμόσειεν· οὐδὲ τὸ νοητὸν πῦρ ἢ ἄνθρωπος, τῷ αἰσθητῷ πυρὶ ἢ ἀνθρώπῳ. Ἐπεὶ οὐδ' ἡ φύσις ἡ ποιοῦσα τὸν ἄνθρωπον τῷ γενομένῳ ἀνθρώπῳ εἰς ταὐτόν· ἀλλὰ μόνη, κἂν εἰ οἷόν τε τῷ αἰσθητῷ ἐπιβάλλειν, τελευτήσει εἰς τὴν τοῦ νοητοῦ σύνεσιν, ἐκφυγόντος τοῦ αἰσθητοῦ αὐτήν, οὐκ ἐχούσης, ὅτῳ αὐτοῦ λάβοιτο. Ἐπεὶ καὶ τὸ ὁρατὸν ὅταν ψυχὴ πόρρωθεν ὁρᾷ, κἂν ὅτι μάλιστα εἶδος εἰς αὐτὴν ἥκῃ ἀρχόμενον τὸ πρὸς αὐτὴν οἷον ἀμερὲς ὄν, λήγει εἰς τὸ ὑποκείμενον χρῶμα καὶ σχῆμα, ὅσον ἐστὶν ἐκεῖ ὁρώσης. Οὐ τοίνυν δεῖ μόνα ταῦτα εἶναι, τὸ ἔξω καὶ τὴν ψυχήν, ἐπεὶ οὐδ' ἂν πάθοι, ἀλλὰ δεῖ τὸ πεισόμενον τρίτον εἶναι· τοῦτο δέ ἐστι τὸ τὴν μορφὴν δεξόμενον. Συμπαθὲς ἄρα καὶ ὁμοιοπαθὲς δεῖ εἶναι καὶ ὕλης μιᾶς, καὶ τὸ μὲν παθεῖν, τὸ δὲ γνῶναι καὶ τοιοῦτον γενέσθαι τὸ πάθος, οἷον σώζειν μέν τι τοῦ πεποιηκότος, μὴ μέντοι ταὐτὸν εἶναι· ἀλλὰ ἅτε μεταξὺ τοῦ πεποιηκότος καὶ ψυχῆς ὄν, τὸ πάθος ἔχειν μεταξὺ αἰσθητοῦ καὶ νοητοῦ κείμενον, μέσον ἀνάλογον συνάπτον πως τὰ ἄκρα ἀλλήλοις, δεκτικὸν ἅμα καὶ ἀπαγγελτικὸν ὑπάρχον, ἐπιτήδειον ὁμοιωθῆναι ἑκατέρῳ. Ὄργανον γὰρ ὂν γνώσεώς τινος οὔτε ταὐτὸν δεῖ τῷ γιγνώσκοντι εἶναι οὔτε τῷ γνωσθησομένῳ, ἐπιτήδειον δὲ ἑκατέρῳ ὁμοιωθῆναι, τῷ μὲν ἔξω διὰ τοῦ παθεῖν, τῷ δὲ εἴσω διὰ τοῦ τὸ πάθος αὐτοῦ εἶδος γενέσθαι. Εἰ δὴ τοίνυν ὑγιὲς λέγομεν, δι' ὀργάνων δεῖ

XXIII. *Asserendum est itaque, sensum circa sensibilia* esse perceptionem in anima vel animali: perceptionem, inquam, in virtute adhærentem corporibus qualitatem percipiente, speciemque illorum sibi quodammodo figurante. Si ita est, vel anima sola in se ipsa permanens sensibilia, *aut cum alio potius, apprehendet: sola vero et in se ipsa* vivens quonam pacto poterit? Dum enim in se ipsa est, similiter, *quæ in se ipsa sunt, percipit, solaque intelligentia* utitur. Quod si tunc et alia percipit, oportet prius etiam hæc habuisse, sive similem his effectam, sive congredientem alicui aliquando facto persimili: similem quidem his eam effici in se ipsa manentem est impossibile. Qua enim conditione signum simile possit lineæ fieri? quando neque intelligibilis quidem linea sensibili *lineæ congruere valeat: neque ignis vel homo intelligibilis* sensibili vel igni vel homini. Siquidem neque ipsa quidem natura, quæ generat hominem, in idem cum homine genito concurrere valet. Jam vero si anima secum ipsa vivens possit sensibile intueri, inde mox in cognitionem intelligibilis dirigetur, subterfugiente eam sensibili, non habentem videlicet, quo excipiat ipsum. Quandoquidem *et cum anima visibile quiddam prospicit eminus*, quamvis maxime tanquam species in animam veniat, tamen, quod exorditur penes animam velut impartibile, desinit in subjectum colorem atque figuram, quantum id sit ibi discernente. Non igitur oportet sola hæc adesse, scilicet quod *extrinsecus est et animam: sic enim nulla hic passio fieret*, sed oportet tertium quiddam esse, quod sit passurum. Id autem est, quod accipiet formam. Oportet itaque hoc una cum sensibili in quadam passionis communione et in una materia convenire, et hoc quidem pati, aliud vero quiddam cognoscere passionem, talemque fieri passionem, ut servet quidem nonnihil efficientis, non tamen sit idem. Verum id, *quod patitur, tanquam medium quiddam inter* passionis auctorem atque animam, habere passionem inter sensibile et intelligibile mediam: quod quidem congrua utrimque proportione inter se extrema conciliet, sitque acceptor simul et nuntius: quippe cum commode reddi possit utrique consimile. *Cum enim cognitionis alicujus* instrumentum sit, oportet neque cognoscenti neque cognoscendo idem esse, sed facile admodum utrique simile fieri, externo quidem objecto propterea, quod patiatur, intimo vero virtuti, quia species quædam sit ejusmodi passio. Quam ob rem, si recte loquimur, oportet sensus per in-

σωματικῶν τὰς αἰσθήσεις γίγνεσθαι· καὶ γὰρ τοῦτο ἀκόλουθον, τῷ τὴν ψυχὴν πάντη σώματος ἔξω γενομένην μηδενὸς ἀντιλαμβάνεσθαι αἰσθητοῦ, τὸ δὲ ὄργανον δεῖ, ἢ πᾶν τὸ σῶμα ἢ μέρος τι πρὸς ἔργον τι ἀφωρισμένον εἶναι, οἷον ἐπὶ ἁφῆς καὶ ὄψεως. Καὶ τὰ τεχνητὰ δὲ τῶν ὀργάνων ἴδοι τις ἂν μεταξὺ τῶν κρινόντων καὶ τῶν κρινομένων γιγνόμενα καὶ ἀπαγγέλλοντα τῷ κρίνοντι τὴν τῶν ὑποκειμένων ἰδιότητα. Ὁ γὰρ κανών, τῷ εὐθεῖ τῷ ἐν τῇ ψυχῇ καὶ τῷ ἐν τῷ ξύλῳ συναψάμενος, ἐν τῷ μεταξὺ τεθεὶς τὸ κρίνειν τῷ τεχνίτῃ τὸ τεχνητὸν ἔδωκεν· εἰ δὲ συνάπτειν δεῖ τὸ κριθησόμενον τῷ ὀργάνῳ, ἢ καὶ διά τινος μεταξὺ διεστηκότος πόῤῥω τοῦ αἰσθητοῦ, οἷον εἰ πόῤῥω τὸ πῦρ τῆς σαρκός, τοῦ μεταξὺ μηδὲν παθόντος, ἢ οἷον εἰ κενόν τι εἴη μεταξὺ ὄψεως καὶ χρώματος, δυνατὸν ὁρᾶν τῇ δυνάμει τοῦ ὀργάνου παρόντος, ἑτέρου λόγου. Ἀλλ' ὅτι ψυχῆς ἐν σώματι καὶ διὰ σώματος ἡ αἴσθησις, δῆλον.

strumenta corporea fieri: hoc enim et ei consequens est, quod diximus, animam, si omnino sit extra corpus, nullum sensibile percepturam. Instrumentum vero necesse est aut totum corpus esse, aut membrum aliquod ad certum opus determinatum, velut in tactu atque visu videmus accidere. Tum vero facile quivis aspiciet artificum instrumenta media inter judicantes atque judicata, significantiaque judicanti subjectarum rerum proprietatem. Regula enim accommodata rectitudini, cum quæ est in animo, tum quæ est in ligno, recteque in medio posita, judici dat judicandi operis facultatem. Alterius vero disputationis esset inquirere, utrum conjungere prorsus oporteat instrumento id, quod est judicandum, an etiam per aliquod medium procul a re sentienda distante fiat sensus: ceu si ignis sit procul a carne, medio nihil patiente: vel, sicut si vacuum quiddam sit medium inter visum atque colorem, numquid videri possit instrumento præsente potentiæ. Constat autem sensum ad animam pertinere in corpore duntaxat viventem atque per corpus expleri.

Cum animam corpori conjunctam necessario consequatur sensus, animæ sphærarum, stellarum, mundi sentiunt. Mundus sentit per aliam sui partem vicissim partem aliam; item per totum partes. Præterea totius habitudinem quasi quodam sui consensu sentit; per amplissimam sphæram præcipue, quasi per oculum, latus omnia contuetur. Si enim tu per oculum tuum, quoniam animatus est et diaphanus atque lucidus, quam plurima vides, ac per radium ejus ad cœlestia procedentem cœlestia suspicis, cur non et mundus per cœlestem oculum suum vivum, perspicuum, lucidum, radiosque suos ad omnia diffundentem omnia cernat?

ΚΔ'. Τὸ δὲ εἰ τῆς χρείας μόνον ἡ αἴσθησις ὧδε σκεπτέον. Εἰ δὴ ψυχὴ μὲν μόνη, οὐκ ἂν αἴσθησις γίγνοιτο, μετὰ δὲ σώματος αἱ αἰσθήσεις, διὰ σῶμα ἂν εἴη, ἐξ οὗπερ καὶ αἰσθήσεις, καὶ διὰ σώματος κοινωνίαν δοθεῖσα, καὶ ἤτοι ἐξ ἀνάγκης ἐπακολουθούσης (ὅτι γὰρ πάσχει τὸ σῶμα, καὶ φθάνει τὸ πάθος μεῖζον ὂν μέχρι ψυχῆς), ἢ καὶ μεμηχάνηται ὅπως, καὶ πρὶν μεῖζον γενέσθαι τὸ ποιοῦν, ὥστε καὶ φθεῖραι, ἢ καί, πρὶν πλησίον γενέσθαι, φυλάξασθαι. Εἰ δὴ τοῦτο, πρὸς χρείαν ἂν εἶεν αἱ αἰσθήσεις· καὶ γάρ, εἰ καὶ πρὸς γνῶσιν τῷ μὴ ἐν γνώσει ὄντι, ἀλλ' ἀμαθαίνοντι διὰ συμφοράν, καὶ ἵνα ἀναμνησθῇ διὰ λήθην, οὕτω μήτε ἐν χρείᾳ, μήτε ἐν λήθῃ. Ἀλλ' εἰ τοῦτο, οὐ περὶ τῆς γῆς ἂν μόνον εἴη σκοπεῖσθαι, ἀλλὰ καὶ περὶ ἄστρων ἁπάντων, καὶ μάλιστα περὶ παντὸς τοῦ οὐρανοῦ καὶ τοῦ κόσμου. Μέρεσι μὲν γὰρ πρὸς μέρη, οἷς καὶ τὸ παθεῖν ὑπάρχει, γένοιτο ἂν αἴσθησις κατὰ τὸν παρόντα λόγον· ὅλῳ δὲ πρὸς αὐτὸ τίς ἂν εἴη ἀπαθῶς ἔχοντι πανταχῇ ἑαυτοῦ πρὸς ἑαυτόν; καὶ γὰρ εἰ δεῖ τὸ μὲν ὄργανον τοῦ αἰσθανομένου εἶναι, ἕτερον δὲ παρὰ τὸ ὄργανον τὸ οὗ αἰσθάνεται ὑπάρχειν, τὸ δὲ πᾶν ὅλον ἐστίν, οὐκ ἂν εἴη αὐτῷ τὸ μὲν δι' οὗ, τὸ δὲ οὗ ἡ αἴσθησις· ἀλλὰ συναίσθησιν μὲν αὐτοῦ, ὥσπερ καὶ ἡμεῖς ἡμῶν συναισθανόμεθα, δοτέον, αἴσθησιν δὲ ἀεὶ ἑτέρου οὖσαν, οὐ δοτέον· ἐπεὶ καὶ ὅταν ἡμεῖς παρὰ τὸ καθεστὼς ἀεί τινος τῶν ἐν τῷ σώματι ἀντιλαμβανώμεθα, ἔξωθεν προσελθόντος ἀντιλαμβανόμεθα. Ἀλλ' ὥσπερ ἐφ' ἡμῶν οὐ μόνον τῶν ἔξωθεν ἡ ἀντίληψις, ἀλλὰ καὶ μέρει μέρους, τί κωλύει καὶ τὸ πᾶν τῇ ἀπλανεῖ τὴν πλανωμένην ὁρᾶν, καὶ ταύτῃ τὴν γῆν καὶ τὰ ἐν αὐτῇ βλέπειν; καὶ εἰ μὴ ἀπαθῆ ταῦτα τῶν ἄλλων παθῶν, καὶ ἄλλας αἰσθήσεις ἔχειν; καὶ τὴν ὅρασιν μὴ μόνον ὡς καθ' αὑτὴν τῆς ἀπλανοῦς εἶναι,

ΛΒ′. Εἰ οὖν μήτε σωματικαῖς αἰτίαις ἀναθήσομεν μήτε προαιρέσεσιν, ὅσα ἔξωθεν εἰς ἡμᾶς τε καὶ τὰ ἄλλα ζῷα καὶ ὅλως ἐπὶ γῆς ἀφικνεῖται ἐξ οὐρανοῦ, τίς ἂν εἴη λοιπὴ καὶ εὔλογος αἰτία; Πρῶτον τοίνυν θετέον ζῷον ἓν, πάντα τὰ ζῷα τὰ ἐντὸς αὐτοῦ περιέχον, τόδε τὸ πᾶν εἶναι, ψυχὴν μίαν ἔχον εἰς πάντα αὐτοῦ μέρη, καθ' ὅσον ἐστὶν ἕκαστον αὐτοῦ μέρος· μέρος δὲ ἕκαστόν ἐστι τὸ ἐν τῷ παντὶ αἰσθητῷ, κατὰ μὲν τὸ σῶμα καὶ πάντη· ὅσον δὲ καὶ ψυχῆς τοῦ παντὸς μετέχει, κατὰ τοσοῦτον καὶ ταύτῃ· καὶ τὰ μὲν μόνης ταύτης μετέχοντα κατὰ πᾶν ἐστι μέρη· ὅσα δὲ καὶ ἄλλης, ταύτῃ ἔχει τὸ μὴ μέρη πάντῃ εἶναι. Πάσχει δὲ οὐδὲν ἧττον παρὰ τῶν ἄλλων, καθ' ὅσον αὐτοῦ τι ἔχει, καὶ κατ' ἐκεῖνα, ἃ ἔχει. Συμπαθὲς δὴ πᾶν τοῦτο τὸ ἕν, καὶ ὡς ζῷον ἕν, καὶ τὸ πόῤῥω δὴ ἐγγὺς, ὥσπερ ἐφ' ἑνὸς τῶν καθ' ἕκαστα ὄνυξ καὶ κέρας καὶ δάκτυλος, καὶ ἄλλο τι τῶν οὐκ ἐφεξῆς, ἀλλὰ διαλείποντος τοῦ μεταξὺ καὶ παθόντος, οὐδὲν ἔπαθε τὸ οὐκ ἐγγύς. Οὐ γὰρ ἐφεξῆς τῶν ὁμοίων κειμένων, διειλημμένων δὲ ἑτέροις μεταξὺ, τῇ δὲ ὁμοιότητι συμπασχόντων, καὶ εἰς τὸ πόῤῥω ἀφικνεῖσθαι ἀνάγκη τὸ παρὰ τοῦ μὴ παρακειμένου δρώμενον· ζῴου τε ὄντος καὶ εἰς ἓν τελοῦντος οὐδὲν οὕτω πόῤῥω τόπῳ, ὡς μὴ ἐγγὺς εἶναι τῇ τοῦ ἑνὸς ζῴου πρὸς τὸ συμπαθεῖν φύσει. Τὸ μὲν οὖν ὁμοιότητα πρὸς τὸ ποιοῦν ἔχον πεῖσιν ἔχει οὐκ ἀλλοτρίαν· ἀνομοίου δὲ ὄντος τοῦ ποιοῦντος, ἀλλότριον τὸ πάθημα, καὶ οὐ προσηνὲς τὸ πάσχον ἴσχει. Βλαβερὰν δὲ ποίησιν ἄλλου πρὸς ἄλλου ἑνὸς ὄντος ζῴου οὐ δεῖ τεθαυμακέναι, ἐπεὶ καὶ ἐφ' ἡμῶν ἐν ταῖς ἐνεργείαις ταῖς ἡμετέραις βλάπτοιτ' ἂν ἄλλο πρὸς ἄλλου μέρος, ἐπεὶ καὶ χολὴ καὶ ὁ θυμὸς ἄλλο ὡς δοκεῖ πιέζει καὶ κεντεῖ. Καὶ δὴ καὶ ἐν τῷ παντὶ ἔστι τι θυμῷ καὶ χολῇ ἀνάλογον, καὶ ἄλλο ἄλλῳ· καὶ ἐν τοῖς φυτοῖς δὲ, ἐμπόδιον ἔσται ἄλλο ἄλλῳ· ὥστε καὶ ἀφαυάναι. Τοῦτο δὲ οὐ μόνον ἓν ζῷον, ἀλλὰ καὶ πολλὰ ἂν ὁρᾶται. Ὥστε καθ' ὅσον μὲν ἓν ἕκαστον τῷ ὅλῳ, σώζεται, καθ' ὅσον δὲ καὶ πολλὰ πρὸς ἄλληλα συνιόντα, πολλαχῇ τῷ διαφόρῳ ἔβλαψε, καὶ πρὸς τὴν αὐτοῦ χρείαν ἄλλο ἕτερον ἔβλαψε καὶ δὴ καὶ τροφὴν ἐποιήσατο, συγγενὲς ἅμα καὶ διάφορον ὑπάρχον, καὶ σπεῦδον ἕκαστον ἑαυτῷ κατὰ φύσιν, ὅσον τε οἰκεῖον τοῦ ἑτέρου, λαμβάνει εἰς αὑτὸ, καὶ ὅσον ἀλλότριον ἐγίγνετο, ἀφανίζει εὐνοίᾳ τῇ ἑαυτοῦ. Ἔργον τε τὸ αὑτοῦ ποιοῦν ἕκαστον, τὸ μὲν δυνηθὲν ἀπολαῦσαί τι τῶν αὐτοῦ ἔργων, ὠφέλησεν· ὃ δ' ἀδύνατον ἦν ὑπομεῖναι τὴν ὁρμὴν τοῦ ἔργου, ἠφάνισεν ἢ ἔβλαψεν· ὥσπερ ὅσα αὐανθείη ἂν παριόντος πυρὸς, ἢ ζῷα ἐλάττω ὑπὸ μειζόνων δρόμου παρασυρείη ἢ καί που πατηθείη.

XXXII. Cum igitur neque corporeis causis neque consiliis attribuamus illa, quæ extrinsecus in nos cæteraque animalia, et quæcumque terrena e cœlo proveniunt, quænam probabilis causa reliqua nobis erit? Principio universum hoc existimandum est esse animal unum, animalia omnia intra se continens, unam habens animam per singulas sui partes se diffundentem, quatenus quodlibet pars est ejus; pars autem ejus est, quodcumque in ordine sensibili continetur: et certe, quantum ad corpus attinet, pars est omnino; quantum etiam mundanæ est animæ particeps, eatenus et hac ratione pars mundi censetur. Jam vero, quæ animam hanc solam participant, undique sunt et partes: quæ vero aliam insuper habent animam, ex hoc ipso habent, ne omnino sint partes. Patiuntur autem ab aliis nihilominus, quatenus universi aliquid habent, et secundum illa, quæ habent, congrue patiuntur. Profecto universum hoc, quia unum est unumque animal, undique sibi ipsi compatitur: et quod remotum in eo videtur esse, est et propinquum: quemadmodum in uno quovis animalium ungues, cornua, digiti, et aliud quodlibet eorum, quæ non sunt proxime posita, sed quodam intercipiente distant, ubi patiente aliquo nihil patitur, quod nullo sit modo propinquum. Ubi enim, quæ inter se consimilia sunt, non continuantur proxime, sed interveniente alio distant, tamen similitudine ipsa vicissim compatiuntur, atque in id, quod procul est positum, necesse est pervenire effectum etiam non propinqui. At in hoc universo, quod et animal est, et undique conducit in unum, nihil adeo loco remotum est, quin censeatur esse propinquum ob ipsam animalis unius naturam sibimet ubique compatientem. Quod igitur similitudinem habet erga id, quod agit, passionem accipit non alienam: si vero agens dissimile sit, alienam suscipit passionem atque molestiam. Neque vero mirandum est, in uno vivente actionem ab alio in aliud accidere noxiam, quando et in nobis in actionibus nostris pars alia ab alia læditur: siquidem bilis et ira aliud, ut videtur, premit et pungit. Tum vero in universo est aliquid animositati bilique quadam proportione persimile, aliudque similiter aliis: quin etiam in plantis alia impedimento sunt aliis, adeo ut et perdant. Hic vero mundus non solum est unum animal, sed et multa [esse] conspicitur. Quam ob rem, quatenus unumquodque cum universo est unum, ex hoc ipso servatur: quantum vero et multa [sunt] atque multa inter se concurrunt, passim læditur a diverso: ubi certe aliud ad proprium usum lædit aliud, et pro nutrimento utitur alio, cum cognatum simul sit et differens: nempe quodlibet sibimet naturaliter consulens, quantum cum altero congruit, accipit in se ipsum, et quantum sit alienum, perdit benevolentia sui. Præterea unumquodque, dum proprium agit opus, interea prodest ei, quod opportune potest in se aliquid operum ejus admittere. Quod autem operis impetum sustinere non valet, aut perdit, aut afficit detrimento: sicut quæ igne prætereunte repente arescunt, vel sicut animalia minora majorum cursu raptantur sive calcantur. Horum vero

Πάντων δὲ τούτων ἡ γένεσις ἥ τε φθορὰ, ἀλλοίωσίς τε πρὸς τὸ χεῖρον ἢ βέλτιον, τὴν τοῦ ἑνὸς ζώου ἐκείνου ἀνεμπόδιστον καὶ κατὰ φύσιν ἔχουσαν ζωὴν ἀποτελεῖ. Ἐπείπερ οὐχ οἷόν τε ἦν ἕκαστα οὕτως ἔχειν, ὡς μόνα ὄντα, οὐδὲ πρὸς αὐτὰ τὸ τέλος εἶναι, καὶ βλέπειν, μέρη ὄντα, ἀλλὰ πρὸς ἐκεῖνο, οὗπερ καὶ μέρη, διάφορά τε ὄντα, μὴ πάντα τὸ αὑτῶν ἐν μιᾷ ζωῇ ὄντα ἀεὶ ἔχειν· οὐκ ἦν τε μένειν οὐδὲν πάντη ὡσαύτως, εἴπερ ἔμελλε τὸ πᾶν μένειν ἐν τῷ κινεῖσθαι τὸ μένειν ἔχον.

omnium generatio et corruptio, item permutatio ad melius vel deterius, ipsam animalis unius mundani vitam perficit ab impedimento remotam et naturaliter se habentem : quandoquidem fieri non poterat, ita singula se habere, ut sola forent, vel ut ad se ipsa fines essent seque duntaxat spectarent, cum partes existant : sed ad illud spectandum fuit velut finem, cujus et partes sunt. Item cum differentia esse deberent, merito singula in una vita comprehensa non debuerunt idem inter se omnino propriumve sui perpetuo possidere : neque fieri potuit, ut quicquam eodem semper modo penitus permaneret, si modo permanere debuit universum suam habens in motu stabilitatem.

Totus mundus est animal unum ratione musica saltando consequenter una secum omnia varians. Anima mundi habet in sua intelligentia, cogitatione, imaginatione, natura descriptas quasi præsentes futuras omnes revolutiones mundi secundum musicas earum proportiones : item designatos habet omnes eventus, qui vel revolutiones necessario comitantur in cælis, vel quomodocunque sub cælo consequuntur easdem. Ad ejusmodi musicam designationem quasi ad cantilenam sonorumque concentus per affectum sequuntur revolutiones in mundo quasi gestus quidam arte tripudiantis. Ipse quidem saltator intentione spectat primo insitam sibi musicam : deinde per hanc membrorum mundanorum revolutiones : tertio per eas prospicit quodammodo, quæ inde sequuntur, vel saltem significantur. Potest et sapiens aliquis quasi musicus providere, qualia ubique quales sequantur revolutiones mundi, sicut quales gestus membrorum ad quales sequantur soni partes, præterquam ubi vel inepta superis materia non omnino cedit, vel nimis debilis patitur supra modum : sicut et arbitrium hominis potest non sequi cœli tenorem, et vicissim humana debilitas ultra modum inde pati. Denique sicut in chorea passiones quædam membrorum vel aliorum contingunt ultra gestus artificiosos, sic et similia quædam ex tripudio mundi contingunt.

ΚΓ'. Τῆς δὴ φορᾶς τὸ εἰκῆ οὐκ ἐχούσης, ἀλλὰ λόγῳ τῷ κατὰ τὸ ζῷον φερομένης, ἔδει καὶ συμφωνίαν τοῦ ποιοῦντος πρὸ τὸ πάσχον εἶναι, καί τινα τάξιν εἰς ἄλληλα καὶ πρὸς ἄλληλα συντάσσουσαν, ὥστε καθ' ἑκάστην σχέσιν τῆς φορᾶς καὶ τῶν αὖ ὑπὸ τὴν φορὰν ἄλλην καὶ ἄλλην τὴν διάθεσιν εἶναι, οἷαν μίαν ὄρχησιν ἐν ποικίλῃ χορείᾳ ποιούντων· ἐπεὶ καὶ ἐν ταῖς παρ' ἡμῖν ὀρχήσεσι τὰ μὲν ἔξω πρὸς τὴν ὄρχησιν καθ' ἕκαστον τῶν κινημάτων ὡς ἑτέρως μεταβαλλόντων τῶν συντελούντων πρὸς τὴν ὄρχησιν, αὐλῶν τε καὶ ᾠδῶν καὶ τῶν ἄλλων τῶν συνηρτημένων, τί ἄν τις λέγοι φανερῶν ὄντων; ἀλλὰ τὰ μέρη τοῦ τὴν ὄρχησιν παρεχομένου καθ' ἕκαστον σχῆμα ἐξ ἀνάγκης οὐκ ἂν ὡσαύτως δύναιτο ἔχειν τῶν μελῶν τοῦ σώματος ταύτῃ συνεπομένου καὶ καμπτομένου, καὶ πιεζομένου μὲν ἑτέρου, ἀνιεμένου δὲ ἄλλου· καὶ τοῦ μὲν πονοῦντος, τοῦ δὲ ἀναπνοήν τινα ἐν τῷ διαφόρῳ σχηματισμῷ δεχομένου. Καὶ ἡ μὲν προαίρεσις τοῦ ὀρχουμένου πρὸς ἄλλο βλέπει, τὰ δὲ πάσχει τῇ ὀρχήσει ἑπομένως, καὶ ὑπουργεῖ τῇ ὀρχήσει, καὶ συναποτελεῖ τὴν πᾶσαν· ὥστε τὸν ἔμπειρον ὀρχήσεως εἰπεῖν ἄν, ὡς τῷ τοιούτῳ σχηματισμῷ αἴρεται μὲν ὑψοῦ τοδὶ μέλος τοῦ σώματος, συγκάμπτεται δὲ τοδὶ, τοδὶ δὲ ἀποκρύπτεται, ταπεινὸν δὲ ἄλλο γίγνεται, οὐκ ἄλλως τοῦ ὀρχηστοῦ προελομένου τοῦτο ποιεῖν, ἀλλ' ἐν τῇ τοῦ ὅλου σώματος ὀρχήσει θέσιν ταύτην ἀναγκαίαν ἴσχοντος τοῦδε τοῦ μέρους τοῦ τὴν ὄρχησιν διαπεραίνοντος. Τοῦτον τοίνυν τὸν τρόπον καὶ τὰ ἐν οὐρανῷ φατέον ποιεῖν, ὅσα ποιεῖ, τὰ δὲ καὶ σημαίνειν, μᾶλλον δὲ τὸν μὲν ὅλον κόσμον τὴν ὅλην αὑτοῦ ζωὴν ἐνεργεῖν, κινοῦντα ἐν αὑτῷ τὰ μέρη τὰ μεγάλα καὶ μετασχηματίζοντα ἀεὶ, τὰς δὲ σχέσεις τῶν μερῶν πρὸς ἄλληλα καὶ πρὸς τὸ ὅλον, καὶ τὰς διαφόρους αὐτῶν θέσεις ἑπόμενα καὶ τὰ ἄλλα, ὡς ζώου ἑνὸς κινουμένου παρέχεσθαι,

XXXIII. *Cum vero revolutio mundi nihil in se fortuitum habeat*, sed ratione quadam spectante ad animal peragatur, oportuit quandam agentis ad patiens esse concordiam, et ordinem quendam in se et ad se invicem ordinantem : adeo ut secundum quamlibet revolutionis habitudinem cursus revolutioni huic subditorum aliam aliamque dispositionem oporteat fieri, quasi tripudium unum in chorea longe varia faciant. In nostris profecto tripudiis explicare quis potest, utpote manifesta, quæ fiunt extrinsecus tripudio consentanea in qualibet motione singulatim aliter se permutantibus his, quæ conducunt ad choream, tibiis videlicet et cantilenis ceterisque conjunctis. Sed non similiter tenere quivis potest et declarare partes illius, qui tripudium agit secundum figuram quamlibet necessario, dum corpus certa quadam ratione comitatur et flectitur consequendo : in quo quidem aliud premitur et cohibetur, *aliud relaxatur, aliud quidem laborat, aliud vero respirationem* quandam in figuratione recipit differenti. Institutum sane tripudiantis aliud interea spectat, dum reliqua *consequenter ad tripudium patiuntur*, et saltationi ministrant totumque una perfecte conficiunt. Itaque saltandi peritus poterit assignare, quemadmodum in tali quadam configuratione *membrum id corporis altius elevatur, id* vero contrahitur, illud occulitur, aliud interim humi deprimitur, dum ipse tripudiator non aliter hoc agi deliberet, sed in ipso corporis *universi tripudio dispositionem* hanc teneat necessariam huic parti choream peragenti. Eadem ratione putandum est cœlestia facere, quæcunque faciunt, et pleraque significare : imo vero totum quidem mundum *totam sui vitam agere, moventem in se partes ingentes*, semperque transfigurantem : habitudines vero partium cum invicem, tum ad totum differentesque earum positiones *præbere cetera sibi *consequentia*, quasi unum animal moveatur, ita quidem se habentia secundum tales habitu-

ὡδὶ μὲν ἴσχοντα, κατὰ τὰς ὡδὶ σχέσεις καὶ θέσεις καὶ σχηματισμούς, ὡδὶ δὲ κατὰ τὰς ὡδί, ὡς μὴ τοὺς σχηματιζομένους τοὺς ποιοῦντας εἶναι, ἀλλὰ τὸν σχηματίζοντα, μηδ' αὖ τὸν σχηματίζοντα ἄλλα ποιοῦντα, ἄλλο ποιεῖν· οὐ γὰρ εἰς ἄλλο, ἀλλὰ αὐτὸν πάντα τὰ γιγνόμενα εἶναι, ἐκεῖ μὲν τὰ σχήματα, ἐνθαδὶ δὲ τὰ συνεπόμενα τοῖς σχήμασιν ἀναγκαῖα παθήματα περὶ τὸ οὑτωσὶ κινούμενον ζῷον εἶναι· καὶ αὖ περὶ τὸ οὑτωσὶ συγκείμενον καὶ συνεστὼς φύσει καὶ πάσχον καὶ δρῶν εἰς αὐτὸ ἀνάγκαις.

dines et positiones atque figuras: illa vero secundum tales, perinde ac si non sint auctores rerum, qui figurantur, sed figurator; neque rursus figurator ipse aliud faciens faciat aliud. Non enim facit in aliud, sed existimandum est, ipsum ea omnia esse, quæ fiunt: ibi quidem figuras, hic vero consequentia figuris tanquam necessarias passiones circa animal sic agitatum: ac rursus circa ita compositum et consistens natura et agens necessariis conditionibus in se ipsum.

Corpus nostrum tanquam mundi pars sequitur fatalem mundi circuitum. Anima quoque, quatenus obsequitur corpori, potest tamen et magnanimitate passiones corporis parvi pendere, et eas arte declinare vel levare. In variis mundi sphæris partibusque earum, et stellis naturaliter variæ sunt virtutes. Sunt et virtutes variæ in differentibus ibi figuris ex stellis invicem firmiter constitutis: virtutes, inquam, firmæ. Oriuntur et differentes deinceps virtutes in differentibus figuris, quæ inter stellas perpetua motus diversitate contingunt. Ad has utique virtutes tam naturarum quam figurarum consequuntur, quæ sub luna fiunt, partim quidem velut inde necessario facta, ceu qui saltantis manu capti corripiuntur, partim vero tanquam liberius consonantia, velut qui ad sonum choreamque gestiunt, et canunt saltantque libenter. Figuræ quidem cœlestes hæc inferiora significant: naturæ vero una cum figuris efficiunt pro dispositione materiæ. Multa vero figuræ significant, quæ non cœlitus, sed aliunde fiunt.

ΛΔ'. Ἡμᾶς δὲ διδόντας τὸ μέρος αὐτῶν εἰς τὸ πάσχειν, ὅσον ἦν ἡμέτερον ἐκείνου τοῦ σώματος, μὴ τὸ πᾶν ἐκείνου νομίζοντας, μέτρια παρ' αὐτοῦ πάσχειν· ὥσπερ οἱ ἔμφρονες τῶν θητευόντων, τὸ μέν τι τοῖς δεσπόζουσιν ὑπηρετοῦντες, τὸ δ' αὐτῶν ὄντες, μετριωτέρων τῶν παρὰ τοῦ δεσπότου ἐπιταγμάτων διὰ τοῦτο τυγχάνοντες, ἅτε μὴ ἀνδράποδα ὄντες, μηδὲ τὸ πᾶν ἄλλου. Τὸ δὲ τῶν σχηματισμῶν διάφορον τῶν θεόντων, μὴ ἰσοταχῶν ὄντων, ἀναγκαῖον ἦν γίγνεσθαι, ὡς νῦν γίγνεται. Λόγῳ δὲ φερομένων, καὶ διαφόρων τῶν σχέσεων τοῦ ζῴου γιγνομένων, εἶτα καὶ ἐνταῦθα τούτων τῶν παρ' ἡμῖν συμπαθῶν πρὸς τὰ ἐκεῖ γιγνομένων, εὔλογον ζητεῖν, πότερα συνέπεσθαι φατέον ταῦτα συμφωνοῦντα ἐκείνοις, ἢ τὰ σχήματα τὰς δυνάμεις τῶν ποιουμένων ἔχειν, καὶ τὰ σχήματα ἁπλῶς, ἢ τὰ τούτων. Οὐ γὰρ ὁ αὐτὸς σχηματισμὸς ταὐτοῦ ἐπ' ἄλλου καὶ αὖ ἄλλων τὴν αὐτὴν σημασίαν ἢ ποίησιν ἐργάζεται· ἐπεὶ καὶ καθ' αὑτὸν ἕκαστος διάφορον ἔχειν τὴν φύσιν δοκεῖ. Ἢ ὀρθῶς ἔχει λέγειν τὴν τούτων σχημάτισιν ταδὶ καὶ τοιάνδε διάθεσιν εἶναι, τὴν δὲ ἄλλων τὴν αὐτὴν οὖσαν ἐν σχηματισμῷ ἄλλην. Ἀλλ' εἰ τοῦτο, οὐκέτι τοῖς σχήμασιν, ἀλλ' αὐτοῖς τοῖς σχηματιζομένοις δώσομεν, ἢ συναμφοτέροις, τοῖς γοῦν αὐτοῖς διάφορον σχέσιν λαβοῦσιν, ἀλλὰ καὶ τῷ αὐτῷ μόνῳ διάφορον τόπον ἄλλα. Ἀλλὰ τί; ποιήσεις, ἢ σημασίας; ἢ τῷ συναμφοτέρῳ τῷ σχηματισμῷ τῷ τούτων ἄμφω, καὶ ποιήσεις καὶ σημασίας ἐν πολλοῖς; ἀλλαχοῦ δὲ σημασίας μόνον. Οὗτος τοίνυν ὁ λόγος δυνάμεις μὲν δίδωσι τοῖς σχήμασι, δυνάμεις δὲ καὶ τοῖς σχηματιζομένοις· ἐπεὶ καὶ τῶν ὀρχουμένων ἔχει μὲν δύναμίν τινα καὶ χεὶρ ἑκατέρα καὶ τὰ ἄλλα μέλη, ἔχει δὲ καὶ τὰ σχήματα πολλήν· τρίτα δέ ἐστι τὰ συνεπόμενα, αὐτῶν τε τῶν εἰς τὴν ὄρχησιν παραλαμβανομένων τὰ μέρη, καὶ ἐξ ὧν ταῦτα, οἷον χειρὸς τὰ συνθλιβόμενα, καὶ νεῦρα καὶ φλέβες συμπαθοῦντα.

XXXIV. Judicandum est præterea, nos, quando id duntaxat ex his, quæ in nobis sunt, quod pars est corporis universi, tanquam passurum illi concedimus, neque totum, quod est in nobis, illius esse censemus, tunc ab illo moderata pati: quemadmodum prudentissimi quique ministrantium, partim quidem concedentes dominis, partim vero sui juris esse volentes, modestiora ob hoc ipsum a dominis mandata reportant: utpote qui neque mancipia sint, neque alieni juris omnino. Differentiam vero figurationum necessarium erat fieri, ut nunc efficitur, propterea quod et currunt, neque pari velocitate percurrunt. Proinde, cum ratione ferantur differentesque habitus animalis evadant, ac deinde, quæ apud nos fiunt, illis compatiantur, rationi consentaneum est perquirere, utrum asserendum sit, hæc illis consequi consonantia illis, an figuras habere vires efficientium, atque utrum figuras simpliciter, an potius horum figuras. Non enim eadem figuratio in alio rursusque in aliis eandem significationem vel effectum affert: quoniam quilibet etiam per se ipsum differentem naturam habere videtur. Fortasse vero recte dicetur, horum quidem figurationem, hanc talia esse dispositionemque ejusmodi; aliorum vero eandem existentem in figuratione aliam. Verum si ita sit, non figuris ulterius, sed ipsis potius figuratis auctoritatem dabimus, vel simul ambobus, naturis videlicet eisdem nactis habitum differentem: sed etiam eidem solum per locum differenti, alia concedemus. Sed quidnam dabimus? effectionesne, an significationes? Fortasse ipsi conjuncto, scilicet figurationi horum proprio ambo, cum effectiones, tum significationes in multis, alibi vero significationes tantum. Hæc itaque ratio vires quidem præstat figuris, vires et figuratis: quoniam et saltantium ludentiumque in chorea habent quidem vim quandam et manus ambæ, et cetera membra, habent quoque figuræ permultam. Tertio vero in loco sunt, quæ consequuntur, cum partes in tripudium assumptorum, tum ea ex quibus fiunt, vel quæ ex iis eveniunt, velut quæ attrectando conficiantur, et nervi ac venæ compatientes.

Anima mundi in ipsa idearum serie universum hoc ab ævo contemplata una semel communi elegit electione totum mundi cursum, ita fere complectens : interea natura vegetalis ejus imago sibi subdita absque electione sic totum transigit mundi cursum. Singulæ quoque sphærarum stellarumque animæ se similiter habent ad deum atque mundum ; et usque adeo cum anima mundi, quum voluntate, tum natura consentiunt, ut omnes in mundo actiones earum recte possint animæ mundanæ actio nominari. Omnes ergo res corporeæ sunt animalis mundani partes : omnes rerum naturalium actiones sunt animalis hujus motus : omnes revolutiones mundanæ sunt gestus et quasi sermones ejusdem. Nihil vel in eo vel ex eo est aut fit fortuitum : ad rationes enim omnia referuntur inde insitas seminales, vel altius exemplares. Singula igitur vel ordine proficiscuntur, vel statim rediguntur in ordinem. Sol mundi cor plus admodum vitæ naturalis habet atque affert, quam ceteræ mundi partes. In hoc igitur nonnulli ipsam mundi animam posuerunt per radios ejus usquequaque diffusam. Virtutes rerum naturalium omnes primo sunt in seminalibus rationibus naturæ communis. Hinc mox traducuntur in mundi sphæras, earumque figuras tam volubiles, quam firmas. Hinc in rerum naturalium species, in quibus inde latent vires super elementa mirabiles, atque ex ipsis cœli figuris in figuras inferiores vires quoque mirifice. Habent et vultuum nostrorum figuræ proprias quasdam alliciendi vel deterrendi virtutes, unde apparet vim propriam figuris non minus quam coloribus inesse posse.

ΛΕ'. Πῶς δὴ οὖν αὗται αἱ δυνάμεις; (σαφέστερον γὰρ πάλιν λεκτέον) τί τὸ τρίγωνον παρὰ τὸ τρίγωνον διάφορον ἔχει; τί δὲ ὁδὶ πρὸς τονδὶ, καὶ κατὰ τί τοδὶ ἐργάζεται, καὶ μέχρι τίνος; ἐπειδὴ οὔτε τοῖς σώμασιν αὐτῶν οὔτε ταῖς προαιρέσεσιν ἀπέδομεν τὰς ποιήσεις· τοῖς μὲν σώμασιν, ὅτι μὴ μόνον σώματος ἦν ποιήματα τὰ γιγνόμενα· ταῖς δὲ προαιρέσεσιν, ὅτι ἄτοπον ἦν προαιρέσει θεοὺς ποιεῖν ἄτοπα. Εἰ δὲ μνημονεύοιμεν, ὅτι ζῶον ἓν ὑπεθέμεθα εἶναι, καὶ ὅτι οὕτως ἔχον συμπαθὲς αὐτὸ ἑαυτῷ ἐξ ἀνάγκης ἔδει εἶναι, καὶ δὴ καὶ ὅτι κατὰ λόγον ἡ διέξοδος τῆς ζωῆς σύμφωνος ἑαυτῇ ἅπασα, καὶ ὅτι τὸ εἰκῇ οὐκ ἔστιν ἐν τῇ ζωῇ, ἀλλὰ μία ἁρμονία καὶ τάξις, καὶ οἱ σχηματισμοὶ κατὰ λόγον,*καὶ κατ' ἀριθμοὺς δὲ ἕκαστα, καὶ τὰ χορεύοντα ζώου μέρη ἄμφω ἀνάγκη ὁμολογεῖν τὴν ἐνέργειαν τοῦ παντὸς εἶναι, τά τε ἐν αὐτῷ γιγνόμενα σχήματα, καὶ τὰ σχηματιζόμενα μέρη αὐτοῦ, καὶ τὰ τούτοις ἑπόμενα· καὶ οὕτω καὶ τοῦτον τὸν τρόπον ζῆν τὸ πᾶν, καὶ τὰς δυνάμεις εἰς τοῦτο συμβάλλειν, ὥσπερ καὶ ἔχουσαι ἐγένοντο ὑπὸ τοῦ ἐν λόγοις πεποιηκότος· καὶ τὰ μὲν σχήματα οἷον λόγους εἶναι, ἢ διαστάσεις ζώου, καὶ ῥυθμοὺς καὶ σχέσεις ζώου κατὰ λόγον, τὰ δὲ διεστηκότα καὶ ἐσχηματισμένα μέλη ἄλλα· καὶ εἶναι τοῦ ζώου δυνάμεις χωρὶς τῆς προαιρέσεως ἄλλας τὰς ὡς ζώου μέρη, ἐπεὶ τὸ τῆς προαιρέσεως αὐτοῖς ἔξω, καὶ οὐ συντελοῦν πρὸς τοῦ ζώου τοῦδε τὴν φύσιν. Μία γὰρ ἡ προαίρεσις ἑνὸς ζώου, αἱ δὲ δυνάμεις αἱ ἄλλαι αὐτοῦ πρὸς αὐτὸ πολλαί. Ὅσαι δ' ἐν αὐτῷ προαιρέσεις, πρὸς τὸ αὐτὸ [εἰσι], πρὸς ὃ καὶ ἡ τοῦ παντὸς ἡ μία· ἐπιθυμία μὲν γὰρ ἄλλου πρὸς ἄλλο τῶν ἐν αὐτῷ. Λαβεῖν γάρ τι τῶν ἑτέρων ἐθέλει μέρος τὸ ἄλλο μέρος, ἐνδεὲς ὂν αὐτοῦ· καὶ θυμὸς πρὸς ἕτερον, ὅταν τι παραλυπῇ, καὶ ἡ αὔξησις παρ' ἄλλου, καὶ ἡ γένεσις εἰς ἄλλο τῶν μερῶν· τὸ δ' ὅλον καὶ ἐν τούτοις μὲν ταῦτα ποιεῖ, αὐτὸ δὲ τὸ ἀγαθὸν ζητεῖ, μᾶλλον δὲ βλέπει. Τοῦτο τοίνυν καὶ ἡ ὀρθὴ προαίρεσις, ἡ ὑπὲρ τὰ πάθη, ζητεῖ, καὶ εἰς τὸ αὐτὸ ταύτῃ συμβάλλει· ἐπεὶ καὶ τῶν παρ' ἄλλων θητευόντων πολλὰ μὲν τῶν ἔργων αὐτοῖς βλέπει πρὸς τὰ ἐπιταχθέντα ὑπὸ τοῦ δεσπότου· ἡ δὲ τοῦ ἀγαθοῦ ὄρεξις πρὸς τὸ αὐτό, πρὸς ὃ καὶ ὁ δεσπότης. Εἰ δὴ δρᾷ τι ὁ ἥλιος, καὶ τὰ ἄλλα ἄστρα εἰς τὰ τῇδε, χρὴ νομίζειν αὐτὸν μὲν ἄνω βλέποντα εἶναι· ἐφ' ἑνὸς γὰρ τὸν λόγον ποιητέον· ποιεῖσθαι δὲ παρ' αὐτοῦ, ὥσπερ τὸ

XXXV. Quo igitur modo hæ vires se habent? Planius enim iterum dicendum est, quidnam differentiæ habeat triangulus ad triangulum comparatus, quidve hic habeat agatve ad illum, et secundum quid hoc agat, et quousque, postquam neque corporibus neque consiliis cœlestium attribuimus actiones : non corporibus, quoniam, quæ fiunt, non corporis tantum esse effectus apparuit ; non consiliis, quia nefas esset deos consiliis turpia facere. Ad hanc igitur quæstionem meminisse debemus, nos supra proposuisse, mundum esse animal unum, cumque tale sit, ipsum oportuisse compatiens sibimet necessario fore : item secundum rationem vitæ ejus agi discursum sibimet omnino consentientem : rursus in ipsa vita nihil esse fortuitum, sed concentum unum atque ordinem : præterea figurationes omnes secundum rationem fieri, certisque singulas numeris : atque animalis mundani partes utrasque quasi choream agentes esse procul dubio quosdam mundi ipsius actus, cum figuras, quæ in eo fiunt, et figuratas ipsius partes, tum quæ hæc ipsa sequuntur : atque ita et hac ratione universum vivere viresque suas ad hoc ipsum conferre, quemadmodum se habentes factæ sunt ab eo, qui omnia rationibus efficit. Existimandum est præterea figuras esse quasi rationes sive sermones, aut animalis ipsius intervalla modosque numerosos et habitus gestusque animalis ratione perfectos : ipsa vero, quæ distant et figurantur, esse alia membra : esse quinetiam animalis vires alias seorsum ab electione tanquam animalis ipsius partes : quoniam electionis munus illis quasi accedit extrinsecus, neque ad animalis hujus conducit naturam. Una enim electionis institutio est animalis unius, vires autem aliæ ejus ad se ipsum multæ. Quotcunque vero in eo electiones sunt, eodem tendunt, quo tendit et una totius : appetitus enim in his, quæ in eo sunt, aliorum est ad alia. Accipere enim aliquid aliorum student, pars videlicet alia partem aliam, illius scilicet indiga : quin etiam ira quædam naturalis insurgit in aliud, quando aliquid lædit. Tum vero augmentum fit ex alio, et generatio in aliam partium : ipsum vero totum in his etiam hæc quidem agit, sed ipsum bonum ipsum quærit, imo vero suspicit. Hoc igitur et optio recta, quæ passiones antecedit, exoptat, atque in idem cum hac ipsa conspirat : quoniam et in his, qui ministrant aliis, multa quidem opera ad domini mandata respiciunt : appetitio vero boni eodem, quo et dominus ipse, spectat. Si ergo sol et aliæ stellæ in hæc aliquid agunt, existimandum est, solem ipsum superna suspicere : in hoc enim uno exempli causa de aliis dictum puta. in-

θερμαίνεσθαι τοῖς ἐπὶ γῆς, οὕτω καί, εἴ τι μετὰ τοῦτο ψυχῆς διαδόσει, ὅσον ἐν αὐτῷ, φυσικῆς ψυχῆς πολλῆς οὔσης· καὶ ἄλλο δὲ ὁμοίως οἷον ἐλλάμπον δύναμιν παρ' αὐτοῦ ἀπροαίρετον διδόναι, καὶ πάντα δὴ ἕν τι οὕτως ἐσχηματισμένον γενόμενα τὴν διάθεσιν ἄλλην καὶ ἄλλην αὖ διδόναι, ὥστε καὶ τὰ σχήματα δυνάμεις ἔχειν. Παρὰ γὰρ [τὸ] οὕτως ἢ οὕτως, ἄλλως καὶ ἄλλως, καὶ δι' αὐτῶν τῶν ἐσχηματισμένων γίγνεσθαί τι· παρὰ γὰρ [τὸ] τούτους ἄλλο, καὶ ἄλλο αὖ παρ' ἄλλους, ἐπεὶ καὶ καθ' αὑτὰ τὰ σχήματα ὡς δυνάμεις ἔχει καὶ ἐπὶ τῶν τῇδε ἄν τις ἴδοι. Διὰ τί γὰρ τὰ μὲν φοβερὰ τοῖς ὁρῶσι τῶν σχημάτων, μηδέν τι προπεπονθότων τῶν φοβουμένων, τὰ δὲ οὐ φοβεῖ ὀφθέντα; καὶ ἄλλους μὲν ταδί, ἄλλους δὲ ταδί; ἢ ὅτι εἰς μὲν τὸ τοιόνδε ταδὶ ἐργάζεται, εἰς δὲ τοῦτον ἄλλα, οὐκ ἂν μὴ δυναμένων εἰς τὸ πεφυκὸς ποιεῖν· καὶ οὑτωσὶ μὲν σχηματισθὲν ἐκίνησε τὴν ὄψιν, οὑτωσὶ δὲ οὐ τὸν αὐτόν. Καὶ γὰρ εἴ τις λέγοι τὸ κάλλος εἶναι τὸ κινοῦν, διὰ τί τὸν μὲν τοῦτο, τὸν δὲ ἄλλο ἐκίνησε, μὴ τῆς κατὰ τὸ σχῆμα διαφορᾶς τὴν δύναμιν ἐχούσης; διὰ τί γὰρ τὰς μὲν χρόας φήσομεν δύναμιν ἔχειν καὶ ποιεῖν, τὰ δὲ σχήματα οὐ φήσομεν; ἐπεὶ καὶ ὅλως ἄτοπον εἶναι μέν τι ἐν τοῖς οὖσι, μὴ μέντοι ἔχειν τι, ὃ δύναται. Τὸ γὰρ ὄν, τοιοῦτον, οἷον ἢ ποιεῖν ἢ πάσχειν· καὶ ἐν μὲν τοῖς δοτέον τὸ ποιεῖν, ἐπὶ δὲ τῶν ἄλλων ἄμφω· καὶ ἐν τοῖς ὑποκειμένοις δὲ δυνάμεις, καὶ παρὰ τὰ σχήματα· καὶ ἐν τοῖς παρ' ἡμῖν εἰσὶ πολλαί, ἃς οὐ θερμὰ ἢ ψυχρὰ παρέχεται, ἀλλὰ γενόμενα ποιότησι διαφόροις, καὶ λόγοις εἰδοποιηθέντα, καὶ φύσεως δυνάμεως μεταλαβόντα, οἷον καὶ λίθων φύσεις καὶ βοτανῶν ἐνέργειαι θαυμαστὰ πολλὰ παρέχονται.

terea vero sub ipsa terrena calescere hac conditione, ut si quid deinceps traductione quadam animam, quoad fieri potest: plurima enim illic est anima naturalis: similiter et cœlestia reliqua in hæc agere quasi collustrando vim suam absque electione præstantia: atque omnia unum aliquid ita figuratum effecta dispositionem aliam rursusque aliam exhibere, adeo ut ipsæ quoque figuræ vim habeant. Nam secundum ipsum, quod ita vel ita se habent, aliter agit, aliterve agitur; atque per ipsa figurata fieri aliquid est putandum: ad hos enim aliud et ad illos iterum fit et aliud: quandoquidem et figuras secundum se vires habere in rebus quoque nostris licet aspicere. Cur enim aliæ quidem figuræ cernentibus sunt terribiles, ubi etiam nihil passi antea fuerint, qui terrentur, aliæ vero nihil terrent? Item alios quidem hæ figuræ, alios autem illæ perterrefaciunt? Forsan quia in illum, qui sic est affectus, figuræ tales agunt, in alium vero aliæ, cum non possint non in id agere, quod natura ita est comparatum: quin etiam spectaculum ita figuratum aspectum ad se trahit, ita vero non trahit eundem. Etenim si quis dixerit pulchritudinem esse, quod provocat, objiciemus, curnam hunc quidem pulchrum hominem tunc, illud vero alliciat illum, nisi differentia figurarum in se vim habeat? Qua enim ratione fatebimur colores quidem habere vim atque facere, figuras vero non confitebimur? Absurdum enim prorsus dictu est, esse quidem aliquid in rerum ordine constitutum, nihil tamen habere, quod possit: ipsum namque ens tale est naturaliter, ut agat aliquid vel patiatur. Et quibusdam sane attribuendum est agere solum; aliis vero utraque. Sunt et in subjectis vires ultra figuras, atque in rebus inferioribus multæ sunt vires, quas neque calor præstat, neque frigus: sed substantiæ differentibus præditæ qualitatibus, et in specie rationibus conformatæ, virtutisque jam ipsius naturæ participes: quales sunt naturæ lapidum, et effectus herbarum multa nobis mirabilia demonstrantes.

Sicut vegetalis vita nostra singulis membris, quamvis aliis aliter, se impertit, viresque articulis alias aliis mirabiles inserit: sic multoque excellentius una mundi anima omnes, licet aliter alias, vegetat mundi partes, atque ipsa innumerabilium mirabiliumque plena virtutum quasi gravida tumensque exundat in totum: singula quidem, sed præcipue superiora mundi membra viribus ubique mirificis implens: quas nec elementares vires æmulari ullo modo valent, neque nos effari facile possumus. Sunt autem ejusmodi vires quasi propria propagines quædam animæ mundanæ per corporis universi membra diffusæ, quas quidem vota supplicum operaque magorum conciliare sibi et quasi per insitionem quandam inserere quandoque possunt.

ΛϚʹ. Ποικιλώτατον γὰρ τὸ πᾶν, καὶ λόγοι πάντες ἐν αὐτῷ καὶ δυνάμεις ἄπειροι καὶ ποικίλαι· οἷον δὲ φασι καὶ ἐπ' ἀνθρώπου, ἄλλην μὲν δύναμιν ἔχειν ὀφθαλμὸν καὶ ὀστοῦν τόδε, τοδὶ δ' ἄλλην· χειρὸς μὲν τοδί, καὶ δακτύλου τοῦ ποδός, καὶ οὐδὲν μέρος εἶναι, ὃ μὴ ἔχει, καὶ οὐ τὴν αὐτὴν δὲ ἔχει· ἀγνοοῦμεν δὲ ἡμεῖς, εἰ μή τις τὰ τοιαῦτα μεμάθηκεν· οὕτω, καὶ πολὺ μᾶλλον· μᾶλλον δὲ ἴχνος ταῦτα ἐκείνων ἐν τῷ παντί· ἀδιήγητον δὲ καὶ θαυμαστὴν ποικιλίαν εἶναι δυνάμεων, καὶ δὴ καὶ ἐν τοῖς κατ' οὐρανὸν φερομένοις. Οὐ γὰρ δή, ὥσπερ ἄψυχον οἰκίαν μεγάλην ἄλλως καὶ πολλήν, ἔκ τινων εὐαριθμήτων κατ' εἶδος, οἷον λίθων καὶ ξύλων, εἰ δὲ βούλει καὶ ἄλλων τινῶν εἰς κόσμον, ἔδει αὐτὸ γεγονέναι, ἀλλ' εἶναι αὐτὸ ἐγρηγορὸς πανταχῇ, καὶ ζῶν ἄλλῃ ἄλλως, καὶ μηδὲν δύνασθαι εἶναι, ὃ μή ἐστιν αὐτῷ. Διὸ καὶ ἐνταῦθα λύοιτο ἂν ἡ ἀπορία, ἡ πῶς ἐν ζῴῳ ἐμψύχῳ ἄψυχον; οὕτω γὰρ ὁ λόγος φησίν,

XXXVI. Profecto universum hoc quam plurima est varietate refertum: huic omnes rationes insunt, huic innumerabiles variæque virtutes: nempe quemadmodum in homine tradunt, aliam vim in se oculum continere, aliam vero vim ossa, et diversam: os enim manus hoc hanc habet vim, sed digiti os in pede possidet differentem, neque ulla omnino pars est virtute penitus destituta, quamvis non eandem unaquæque pars habeat: id vero nos latet, nisi quis forte talia diligenter fuerit perscrutatus. Sic certe, atque multo magis, res se habet in mundo: imo vero hæc nostra illorum vestigia sunt. Consentaneum igitur est inexplicabilem inesse mundo atque mirandam virtutum varietatem, præsertim cœlestibus naturis atque progressibus. Non enim oportuit universum hoc esse factum velut ædificium inanimatum, præcipue ingens atque multiplex, ex quibusdam velut lapidibus atque lignis et aliis quibuscumque placet secundum speciem numeralis, congruoque numero ad mundanum ornamentum una constructis, sed esse ipsum ubique vigilans, ubique vivens, quamvis aliter alibi: neque quicquam esse posse, quod non sit et in eo. Quapropter hinc dubitatio illa solvetur, qua quæritur, quomodo in vivente penitus animato sit quicquam inanimatum. Sic enim præsens ratio dictat,

ἄλλο ἄλλως ζῆν ἐν τῷ ὅλῳ, ἡμᾶς δὲ τῷ μὴ αἰσθητῶς παρ' αὐτοῦ κινουμένους ζῆν μὴ λέγειν. Τὸ δέ ἐστιν ἕκαστον ζῶν λανθάνον καὶ τὸ αἰσθητῶς ζῶν, συγκείμενον ἐκ τῶν μὴ αἰσθητῶς μὲν ζώντων, θαυμαστὰς δὲ δυνάμεις εἰς τὸ ζῆν τῷ τοιούτῳ ζώῳ παρεχομένων· μὴ γὰρ ἂν κινηθῆναι ἐπὶ τοσαῦτα ἄνθρωπον ἐκ πάντη ἀψύχων τῶν ἐν αὐτῷ δυνάμεων κινούμενον· μηδ' αὖ τὸ πᾶν οὕτω ζῆν, μὴ ἑκάστου τῶν ἐν αὐτῷ ζώντων τὴν οἰκείαν ζωὴν, κἂν προαίρεσις αὐτῷ μὴ παρῇ. Ποιεῖ γὰρ καὶ προαιρέσεως οὐ δεηθὲν, ἅτε προαιρέσεως ὂν προγενέστερον· διὸ καὶ πολλὰ δουλεύει αὐτῶν ταῖς δυνάμεσιν.

aliud aliter in toto vivere : nos autem negare id vivere, quod non manifeste ab eo moveri nobis videtur. Tametsi quodvis tale clam vivit : et quod manifeste vivit, ex his componitur, quæ occulte quidem vivunt, mirabiles tamen vires animali huic largiuntur ad vitam. Non enim fieri *potest, ut homo ad tot tantaque moveatur, si vires ipsius,* quibus movetur, sint prorsus inanimes. Impossibile rursus, totum ita vivere, nisi in eo singula propriam vitam vivant, etiam si non insit electio. Nam in agendo electione non indiget, utpote quod electione antiquius est : itaque sæpe vires partium sequitur.

Sicut membra nostra, tam interna quam externa, vires ad actionem atque motum habent ab anima nostra, sic omnia mundi *membra* ab ipsa mundi anima. Mirabiles supra naturam elementarem actiones in lapillis, metallis, herbis, animam esse testantur in mundo, a qua minima quæque vires ubique maximas habeant. Item, quod exiguus ignis tam procul agat, tam facile cuncta in se absumat, quod luceat, habet ab anima : imo singula, quod aliquid generent. Et ipse ordo motuum atque formarum ab anima regitur, *contrariorumque connexio*, et *motus cælestis machinæ tam ingentis*, in quam velut animæ proximam genitalis anima potissimum propagatur : per hanc in ignem, per hunc in aerem, per hunc in cetera. Atque genitalis *hæc* mundi vita non electione quasi practica, nec actionis suæ animadversione in hanc : sed ita naturaliter agit, ut sol et ignis ; imo ut et in nobis anima vegetalis. Naturalis autem actio est antiquior, quam electio practica, quamvis contemplativa et universalis ipsa excelsæ mentis electio antiquior sit, quam actio naturalis.

ΛΖ'. Οὐδὲν οὖν τῷ παντὶ ἀπόβλητον αὐτοῦ, ἐπεὶ καὶ πῦρ, καὶ ὅσα τῶν τοιούτων λέγομεν ποιεῖν, εἴ τις τὸ ποιεῖν αὐτῶν ζητήσειε, τί ποτέ ἐστι, τῶν νῦν δοκούντων εἰδέναι, ἀπορήσειεν ἂν, εἰ μὴ δύναμιν ταύτην αὐτῷ ἀποδοίη ἐν τῷ παντὶ εἶναι, καὶ τοῖς ἄλλοις δὲ τὸ τοιοῦτον τοῖς ἐν χρήσει λέγοι. Ἀλλ' ἡμεῖς τὰ μὲν συνήθη οὔτ' ἀξιοῦμεν ζητεῖν, οὔτ' ἀπιστοῦμεν· περὶ δὲ τῶν ἄλλων τῶν ἔξω τοῦ συνήθους δυνάμεων ἀπιστοῦμέν τε, ὡς ἔχει ἕκαστον, καὶ τῷ ἀσυνήθει τὸ θαυμάζειν προστίθεμεν· θαυμάσαντες ἂν καὶ ταῦτα, εἰ ἀπείροις αὐτῶν οὖσιν ἕκαστόν τις προσφέρων ἐξηγοῖτο αὐτῶν τὰς δυνάμεις. Ἔχειν μὲν οὖν ἕκαστον δύναμίν τινα ἄλογον φατέον ἐν τῷ παντὶ πλασθὲν καὶ μορφωθὲν καὶ μεταιληφός πως ψυχῆς παρὰ τοῦ ὅλου ὄντος ἐμψύχου, καὶ περιειλημμένον ὑπὸ τοιούτου, καὶ μόριον ὂν ἐμψύχου· οὐδὲν γὰρ ἐν αὐτῷ, ὅ τι μὴ μέρος· ἄλλα δὲ ἄλλων πρὸς τὸ δρᾷν δυνατώτερα, καὶ τῶν ἐπὶ γῆς καὶ τῶν οὐρανίων μᾶλλον, ἅτε ἐναργεστέρᾳ φύσει χρώμενα, καὶ γίγνεσθαι πολλὰ κατὰ τὰς δυνάμεις ταύτας οὐ τῇ προαιρέσει, ἀφ' ὧν δοκεῖ ἰέναι τὸ δρώμενον. Ἔστι γὰρ καὶ ἐν τοῖς προαίρεσιν οὐκ ἔχουσιν, οὐδὲ ἐπιστραφέντος τῇ δόσει τῆς δυνάμεως, κἂν ψυχῆς τι ἀπ' αὐτῶν ἴῃ. Γένοιτο γὰρ ἂν καὶ ζῷα ἐκ ζώου, οὐ τῆς προαιρέσεως ποιούσης, οὐδ' αὖ ἐλαττουμένου, οὐδ' αὖ παρακολουθοῦντος· αὐτὸς γὰρ ἦν ἡ προαίρεσις, εἰ ἔχοι, ἢ οὐχ ἦν ἡ ποιοῦσα· εἰ δὲ μὴ ἔχοι τι προαίρεσιν ζῷον, ἔτι μᾶλλον τὸ μὴ παρακολουθεῖν.

XXXVII. Nihil igitur universo ex suis est rejectum vel destitutum. Nempe si quis eorum, qui nunc videntur sapere, de igne vel de alio quovis talium, quæ dicimus facere, indagaverit, quidnam sit ipsum facere, non prius se a dubitationibus explicabit, quam vim ipsam efficiendi in singulis agnoscat ex universo, idemque dicat omnino de omnibus, quæ sunt in usu. At nos de consuetis quidem neque investigandum quicquam, neque dubitandum esse censemus : de viribus autem insolitis dubitamus, quomodo unaquæque se habeat, et nova tantum admiramur : admiraturi similiter, quæ nunc consueta sunt nobis, *si ad hæc ipsa nondum assuefactis eorum quispiam vires* exponendas adduceat in medium. Existimandum igitur, unumquodque occultam quandam in se vim habere in universo fictum atque formatum, et quodammodo mundanæ ipsius animæ particeps, ab universo comprehensum *animato animatique membrum : quippe cum nihil in eo sit,* quod non sit pars ejus : alia vero aliis valentiora sunt ad agendum cum quæ in terra sunt, tum quæ in cælo. Et profecto cælestia omnium validissima, utpote quæ expressiori natura fruuntur : proinde multa per has vires fieri judicandum, *nulla electione ad hæc accedente, vel in his, quorum* opera sæpe fieri electione videntur. Est enim actus ejusmodi virium in his quoque, quæ nullam habent electionem : quin etiam neque vigoris sui traditione vis ipsa natura in suum convertitur actum, etiamsi quid ipsius animæ in effectum a causis traducatur. *Gignuntur enim ab animalibus* animalia, electione interim hæc minime faciente : neque rursus genitore interim comminuto, neque converso tunc in actum : alioquin ipsa electio ipsa foret, si eam haberet velut generationis originem, alioquin ipsa non foret effectrix. Si quod vero animal non habet electionem, multo minus habebit, ut in se ipsum convertatur agendo.

Intellectualis anima mundi et sphaerae cujuslibet atque stellae subjunctam habet vegetalem vitam suo infusam corpori: per quam non electione, sed naturaliter generantur moventurque sequentia, et beneficia capacibus conferuntur. Quicquid usquam ex ejusmodi vita profluit, vitale hinc affluit et beneficum: sed evadit alicubi noxium, vel quia materia non est capax, sicut infirmus ad solis lumen se habet atque calorem: vel quia ex diversorum mixtione aliud quiddam inde resultat, et aureum solis lumen in nube rubrum evadit et viride atque fuscum. Vegetalis vita nostra vitae superius dictae admodum est conformis, similiter spiritus noster radiis illius, tam occultis quam manifestis, omnia penetrantibus. Evadit etiam longe cognatior, quando erga vitam illam vehementer afficimur, consentaneum illi beneficium exoptantes, atque ita spiritum nostrum in illius radios transferentes amore: praesertim si cantum et lumen adhibeamus, odoremque mundi consentaneum, quales Orpheus hymnos mundanis numinibus consecravit. Item caelo incensi thuris odorem, aetheri ferventem crocum, stellis aromata, Soli thus et mannam, Lunae et Naturae aromata, Saturno et Jovi styracem, Neptuno myrrham, Mercurio thus. Spiritus enim per affectum, cantum, odorem, lumen, cognatior effectus mundi, uberiorem haurit illinc influxum.

ΛΗ'. Ἅτε οὖν ἐξ αὐτοῦ μηδενὸς κινήσαντος, ἐκ τῆς ἄλλης αὐτοῦ ζωῆς γίγνεται, καὶ ὅλως ὅσα ἐξ αὐτοῦ, ὅσα δὲ κινήσαντος ἄλλου, οἷον εὐχαῖς, ἢ ἁπλαῖς, ἢ τέχνῃ ᾀδομέναις, ταῦτα οὐκ εἰς ἐκείνων ἕκαστον, ἀλλ' εἰς τὴν τοῦ δρωμένου φύσιν ἀνενεκτέον. Καὶ ὅσα μὲν χρηστὰ πρὸς ζωὴν ἤ τινα ἄλλην χρείαν συμβάλλεται, τῇ δόσει ἀνενεκτέον, ἐξ ἄλλου μέρους μείζονος, εἰς ἄλλο ἔλαττον ἰόν. Ὅ τι δ' ἂν δυσχερὲς ἐξ αὐτῶν λέγηται εἰς τὰς γενέσεις τῶν ζῴων ἰέναι, ἢ τῷ μὴ δύνασθαι τὸ εὔχρηστον δέξασθαι τὸ ὑποκείμενον. Οὐ γὰρ ἁπλῶς γίγνεται τὸ γιγνόμενον, ἀλλ' εἰς τοδὶ, καὶ ὡδί. Καὶ δεῖ καὶ τὸ πάσχον καὶ τὸ πεισόμενον ὑποκειμένην τινὰ καὶ τοιάνδε φύσιν ἔχειν. Πολλὰ δὲ καὶ αἱ μίξεις ποιοῦσιν, ἑκάστου τι εὔχρηστον εἰς τὸ ζῆν διδόντος. Γίγνοιτο δ' ἄν τῳ καὶ μὴ συμφερόντων τῶν λυσιτελῶν τὴν φύσιν. Καὶ ἡ σύνταξις ἡ τῶν ὅλων οὐ δίδωσιν ἑκάστῳ ἀεὶ, ὃ βούλεται· πολλὰ δὲ καὶ προστίθεμεν αὐτοὶ τοῖς δοθεῖσι. Πάντα δ' ὅμως εἰς ἓν συμπλέκεται, καὶ θαυμαστὴν τὴν συμφωνίαν ἔχει, καὶ ἀπ' ἄλλων ἄλλα, κἂν ἀπ' ἐναντίων ᾖ· πάντα γὰρ ἑνός. Καὶ εἴ τι δὲ ἐλλεῖπον πρὸς τὸ βέλτιον τῶν γιγνομένων, μὴ εἰδοποιηθὲν εἰς τέλος, μὴ κρατηθείσης τῆς ὕλης, οἷον ἐλλεῖπον τῷ γενναίῳ, οὗ στερηθὲν πίπτει εἰς αἰσχρότητα, ὥστε τὰ μὲν ποιεῖσθαι ὑπ' ἐκείνων, τὰ δὲ τὴν ὑποκειμένην φύσιν εἰσφέρεσθαι, τὰ δὲ παρ' αὐτῶν προστιθέναι.

XXXVIII. Quaecumque igitur nullo movente ab universo fiunt, ab altera vita ejus efficiuntur, atque omnino quaecumque ab ipso proveniunt: sed quaecumque alio movente contingunt, velut votis, sive simplicibus sive arte cantandi compositis, haec sane non in quemlibet superorum, sed in ejus, quod fit, naturam est referendum. Jam vero, quae tanquam utilia ad vitam aliumque usum conferunt, illorum muneri attribuenda censentur. Quod quidem munus ex alia majori parte in minorem aliam transfunditur. Quod vero noxium ab illis dicitur in generationes animalium devenire, id propterea tale est perpendendum, quod subjectum nequeat, quod salutare est, suscipere. Non enim simpliciter, quod fit, efficitur: sed in hoc tale, et tali quadam conditione. Tum vero oportet, quod patitur atque passurum est, subjectam quandam ac certam habere naturam. Multa quoque mistiones ipsae conficiunt, quolibet prosperum quiddam ad vitam in medium conferente. Accidit quoque quiddam alicui etiam non conferentibus suapte natura utilibus. Atqui et communis omnium ordo non praestat unicuique ubique, quod optat. Multa etiam nos datis adjungimus. Cuncta nihilo minus simul contexuntur in unum, concordiamque pariunt admirandam: quia etiam ab aliis alia, quamvis a contrariis, prodeunt. Omnia enim animalis unius sunt membra. Ac si quid eorum, quae fiunt, ab optimo deficit, quasi non ad finem usque formatum, certe non superata materia, velut a generoso degenerans et generositate privatum, in turpitudinem labitur. Quam ob rem alia quidem efficiuntur a superis, alia vero a subjecta natura in medium afferuntur, alia denique ab ipsismet rebus adduntur.

Super vegetalem mundi vitam, quae et natura et rerum naturalium seminarium appellatur, est intelligentia omnia latius ordinans, quam natura. Ex intentione seminali est, quaecumque ex ipso nascuntur, formosa nasci efficaciaque ad motum: praeterea solito quodam et duntaxat naturali ad suum profectum tenore procedere. Quod ergo deformia debiliaque contingant ob materialem quandam necessitatem, et alia interimantur ab aliis, impedianturque solitum peragere ordinem, et crescere summumque tempus implere, ac suo vicissim semine alia propagare: id, inquam, totum ex nulla est intentione naturae. Neque igitur id contingens ordinari potest intentione naturae, cum sit ejus ordini inimicum. Ordinandum tamen est, omnia enim sub uno rediguntur in unum. Per intelligentiam igitur natura superiorem accidentia ejusmodi in ordinem revocantur: per eandem arbitrii quoque liberi motus et effectus pro meritis ordine disponuntur: anticipantur nostrae preces, ut ait Iamblichus, et implentur, nobis interim libere obsecrantibus, nec divina voluntate mutata, nec rerum ordine perturbato. Dispositio itaque rerum latior est in mente, quam in ipsa natura: in mente, inquam, non solum prima, sed etiam mundanae caelestisque animae: dispositionem vero rerum in mente prima legem Saturni Plato nominat in Politico: eandem in intellectu animali legem appellat Jovis in Politico atque Legibus: eandem in natura legem fatalem vocat in Politico et Timaeo. Quandam vero ubique firma est inevitabiliterque procedit, in Phaedro nominat Adrastiae legem. Tum vero quomodo simul cum lege liberam conservat efficaciam animorum, in Legibus ait, in animis quidem existere principium actionum, in lege vero terminum: atque in Phaedro Timaeoque legis edictum introducit semper cum conditione quadam hunc in modum: Si anima perpetraverit talia quaedam, reportet et talia. Quod autem inquit in Timaeo, animas non prius fatales audivisse leges, quam vehiculis jungerentur, declarat animas ex se liberas esse, fatum vero ad corpora pertinere. Pertinet vero fatalis necessitas non solum ad corpus, sed ad vitam quoque corpoream. Qualis utique vita in mundanis caelestibusque corporibus latens, non electione libera, sed necessitate fatali vim suam ad inferiora diffundit, quae quidem vis evadit inde benefica etiam a Marte, vel Saturno, stellisque similibus. Potest tamen magus maleficam reddere, non aliter atque ille, qui e concavo speculo collectos solis radios conjicit in oppositum atque comburit. Si quis enim decem Saturni vires mundo undique necessarias atque sparsas in materiis decem una conjunctas cogat in unum, perdet eum, videlicet non toleraturum, in cujus perniciem congregaverit. Innocen-

interim est Saturnus. Venus varias fœcunditatis conciliationisque proprietates variis passim rebus inseruit. Magus igitur materias eligens omnes virium ejusmodi quomodocumque capaces, adhibensque regnante Venere collectas in unum homini huic et illi, immoderatos inter eos conflat amores, Venere non peccante. Dotes quoque Jovis similiter accumulat aliis, Jove interim animali non advertente. Joviale vero animal et Saturnium et Venereum appellamus stellæ corpus vegetali virtute vivum : qualia quidem corpora excogitavit Pythagoras, ubi ait, invocatos deos influere nobis quadam necessitate compulsos.

ΛΘʹ. Συνταττομένων δὲ ἀεὶ πάντων, καὶ ἐν συντελούντων πάντων, σημαίνεσθαι πάντα· ἀρετὴ δὲ ἀδέσποτον· συνυφαίνεσθαι δὲ καὶ τὰ αὐτῆς ἔργα τῇ συντάξει, ἅτε καὶ τῶν τῇδε ἐκεῖθεν ἐξηρτημένων, τῶν ἐν τῷδε τῷ παντὶ τοῖς θειοτέροις, καὶ μετέχοντος καὶ τοῦδε ἐκείνων. Γίγνεται τοίνυν τὰ ἐν τῷ παντὶ οὐ κατὰ σπερματικούς, ἀλλὰ κατὰ λόγους περιληπτικοὺς καὶ τῶν προτέρων, ἢ κατὰ τοὺς τῶν σπερμάτων λόγους. Οὐ γὰρ ἐν σπερματικοῖς λόγοις ἔνι καὶ τῶν γιγνομένων παρὰ τοὺς σπερματικοὺς αὐτοὺς λόγους, οὐδὲ τῶν παρὰ τῆς ὕλης εἰς τὸ ὅλον συντελούντων, οὐδὲ τῶν δρωμένων εἰς ἄλληλα παρὰ τῶν γενομένων· ἀλλὰ μᾶλλον ἂν ἐοίκοι ὁ λόγος τοῦ παντὸς κατὰ λόγον τιθέντα κόσμον πόλεως καὶ νόμον ἤδη, εἰδότα ἃ πράξουσιν οἱ πολῖται, καὶ δι' ἃ πράξουσι, καὶ πρὸς ταῦτα πάντα νομοθετοῦντος καὶ συνυφαίνοντος τοῖς νόμοις τὰ πάθη πάντα αὐτῶν καὶ τὰ ἔργα, καὶ τὰς ἐπὶ τοῖς ἔργοις τιμὰς καὶ ἀτιμίας, πάντων ὁδῷ οἷον αὐτομάτῃ εἰς συμφωνίαν χωρούντων. Ἡ δὲ σημασία οὐ τούτου χάριν, ἵνα σημαίνῃ προηγουμένως, ἀλλ' οὕτω γιγνομένων σημαίνεται ἐξ ἄλλων ἄλλα· ὅτι γὰρ ἓν καὶ ἑνός, καὶ ἀπ' ἄλλου ἄλλο γιγνώσκοιτ' ἄν, καὶ ἀπὸ αἰτιατοῦ δὲ τὸ αἴτιον, καὶ τὸ ἑπόμενον ἐκ τοῦ προηγησαμένου, καὶ τὸ σύνθετον ἐπὶ θατέρου, ὅτι θάτερον καὶ θάτερον ὁμοῦ ποιῶν. Εἰ δὴ ταῦτα ὀρθῶς λέγεται, λύοιντο ἂν ἤδη αἱ ἀπορίαι, ἥ τε πρὸς τὸ κακῶν δόσιν παρὰ θεῶν γίγνεσθαι, τῷ μήτε προαιρέσεις εἶναι τὰς ποιούσας, φυσικαῖς δὲ ἀνάγκαις γίγνεσθαι, ὅσα ἐκεῖθεν, ὡς μερῶν πρὸς μέρη, καὶ ἑπόμενα ἑνὸς ζωῇ, καὶ τῷ πολλὰ παρ' αὐτῶν τοῖς γιγνομένοις προστιθέναι, καὶ τῷ τῶν διδομένων παρ' ἑκάστων, οὐ κακῶν ὄντων, ἐν τῇ μίξει γίγνεσθαι ἄλλο *, καὶ τῷ μὴ ἕνεκα ἑκάστου, ἀλλ' ἕνεκα τοῦ ὅλου τὴν ζωήν, καὶ τὴν ὑποκειμένην δὲ φύσιν ἄλλο λαβοῦσαν, ἄλλο πάσχειν, καὶ μηδὲ δύνασθαι κρατῆσαι τοῦ δοθέντος.

XXXIX. Cum igitur omnia simul ordinata sint semper, ad unumque conducant, nihil mirum est singula indiciis *quibusdam significari : sed virtus interea servit nulli :* attamen hujus officia una cum communi rerum ordine contexuntur : quippe cum, quæ hic sunt, inde pendeant, ab his videlicet, quæ his universi rebus *divinoira sunt, atque* id universum particeps sit illorum. Fiunt igitur, quæ in mundo fiunt, non secundum rationes duntaxat seminales, sed secundum rationes alios ampliores, quæ in se comprehendunt vires rationibus seminariis longe priores. Non enim in seminariis rationibus inest quicquam eorum, quæ præter ipsas seminarias rationes alicubi fiant, neque rursus eorum aliquid, quæ ex ipsa materia mundo conferri censentur, neque etiam quicquam eorum, quæ a rebus genitis invicem inferuntur : quin potius ipsa totius ratio *rationi similis est* civitatem aliquam exornanti legesque condenti, et certo cognoscenti, quæ facturi sint cives, quibusve de causis sint acturi, atque ad hæc omnia insti*tuta singula disponenti, connectentique legibus passiones* omnes actionesque illorum ; præterea merita singularum actionum, præmia passim atque supplicia, omnibus interim quasi sponte in communem concordiam procedentibus. Significatio vero in natura contingit, non quidem hujus præcipue ipsius gratia, ut significatio fiat, sed rebus ita dispositis atque nascentibus alia significantur ex aliis : nempe quodcumque hic est, unum quodammodo inter se est, et unius. Itaque ab alio cognoscitur aliud, ab effectu causa, ab antecedente consequens, compositum ab alterutro : quoniam alterum simul alterumque conficit. Si hæc igitur recte dicuntur, dubitationes jam illæ solventur : et illa quidem imprimis, quæ cavendum admonebat, ne *forte cogeremur fateri, deos mala facere. Huic igitur re*spondemus, primo quidem hæc omnia non electionibus, sed naturalibus necessitatibus fieri, quæcumque inde proveniunt, *quasi a partibus transferantur in partes vitam*que sequantur unius : deinde, multa rebus, quæ fiunt, ex ipsismet rebus adjungi : tertio, quæ dantur desuper, penes ipsos datores singulatim non esse mala, sed in mistione aliud quiddam contingere : quarto, non uniuscujusque, sed totius gratia dari vitam atque conferi : quinto, subjectam naturam aliud quidem accipere, aliud vero pati, neque posse usque ab ipso munere superari vel vim illius propriam retinere.

Quodlibet animalis membrum vim habet ad portionem nutrimenti propriam attrahendam, et cor ad aromata, jecur ad dulcia, venæ ad sanguinem, ad spiritum arteriæ, ad semen vero testiculi. Sunt et medicinæ, quæ certos adsciscant humores, et membra quædam petere videantur. Eadem est animalis mundani conditio : in quo passim dispersa sunt, quæ rem hanc aut illam ad se rapere possint, si congregata in unum admoveantur. Per sua enim retia vel illicia homines, per sua equi, et per propria similiter homines hi vel illi clam illaqueari possunt : quemadmodum oblectamentis formarum atque musicæ palam inescantur. Denique, sicut ferro paleisque compertum est, quod trahat magnes scilicet atque succinum : sic diligens et fortu*natus perscrutator inveniet escam omnibus attrahendis. Singulis enim animalis mundani membris coaguli vis est insita, con*nectens in unum cuncta vivum, temperate quidem simplo natura : intemperate vero, quotiens undique congregata in aliquid transferatur, mundo nec patiente interim, neque peccante. Sunt et differentes in hoc animali vires inter se a natura disjunctæ, quæ *frequenter a mago conjunctæ*, et in membrum hoc *conjectæ*, vel illud violentius agant, atque perdant in his, (ut dixi) non peccante mundo. Nominat Plotinus quattuor, quibus mirabilis insit virtus, scilicet qualitates specierum occultas et figuras concentusque et vota : quippe cum qualitates illæ propagines quædam sint virium in vita mundi latentium, et figuræ concentusque inferiores cœlestium figuras sæpe referant et concentus. Votum vero motus quidam est animæ nostræ vehemens erga numen, quod obsecramus. Si contrito sulphure subtilissimum ejus pulverem projicias versus ignem, ignis in longum producta flamma se pulveri huic protinus applicabit. Similiter, qui stellam obsecrat opportune paratus ad stellam, spiritum suum projicit in radios stellæ manifestos pariter et occultos, ubique diffusos atque vivificos, per quos vitalia sibi stellæ munera vindicat. Denique, sicut omnes stellæ fixæ connexæ sunt firmamento, sic omnium stellarum mundanorumque mundanorum vitæ connexæ

sunt vitae mundanae, cui et connexa est vita nostra: ut non mirum sit, vehementes animae nostrae motus effusos per communem vitam ubique vigentem usque ad numina mundana produci, vicissimque motus horum numinum per eandem vitam ad nos usque deduci.

Β'. Εἰ οὖν μὴ οὕτως, τίς ὁ τρόπος; ἢ λέγει, περὶ ὧν οὐκ ἔχει; τοῦτο γὰρ δυνάμεως, οὐ τὸ παθεῖν τι, ἀλλὰ τὸ δυνηθῆναι, καὶ, ἐφ' ᾧ τέτακται, ἐργάσασθαι. Οὕτω γὰρ ἄν, οἶμαι, καὶ διακριθείη τῇ ψυχῇ καὶ τὸ ὁρατὸν καὶ τὸ ἀκουστὸν, οὐκ εἰ τύποι ἄμφω, ἀλλ' εἰ μὴ τύποι, μηδὲ πείσεις, ἀλλ' ἐνέργειαι, περὶ ὃ ἔνεισι, πεφύκασιν. Ἡμεῖς δὲ ἀπιστοῦντες, μὴ οὐ δύνηται, ἐὰν μὴ πληγῇ, τὸ αὐτῆς γιγνώσκειν δύναμις ἑκάστη, πάσχειν, ἀλλ' οὐ γιγνώσκειν τὸ ἐγγὺς, ποιοῦμεν, οὗ κρατεῖν δέδοται, ἀλλ' οὐ κρατεῖσθαι. Τὸν αὐτὸν δὴ τρόπον καὶ ἐπ' ἀκοῆς δεῖ νομίζειν γίγνεσθαι· τὸν μὲν τύπον εἶναι ἐν τῷ ἀέρι, πληγήν τινα οὖσαν διηρθρωμένην, οἷον γραμμάτων ἐγγεγραμμένων ὑπὸ τοῦ τὴν φωνὴν πεποιηκότος, τὴν μέντοι δύναμιν καὶ τὴν τῆς ψυχῆς οὐσίαν οἷον ἀναγνῶναι τοὺς τύπους ἐν τῷ ἀέρι γεγραμμένους, ἐλθόντας πλησίον, εἰς ὃ ἐλθόντες πεφύκασιν ὁρᾶσθαι. Γεύσεως δὲ καὶ ὀσφρήσεως τὰ μὲν πάθη, τὰ δ', ὅσα αἰσθήσεις αὐτῶν καὶ κρίσεις, τῶν παθῶν εἰσι γνώσεις, ἄλλαι τῶν παθῶν οὖσαι· τῶν δὲ νοητῶν ἡ γνῶσις, ἀπαθὴς καὶ ἀτύπωτός ἐστι μᾶλλον. Ἀνάπαλιν γὰρ, ἔσωθεν οἷον προπίπτει, τὰ δὲ ἔξωθεν θεωρεῖται· καὶ ἔστιν ἐκεῖνα μᾶλλον ἐνέργειαι καὶ κυριώτεραι· αὐτῆς γὰρ, καὶ ἔστιν αὐτὴ ἐνεργοῦσα ἕκαστον. Πότερα δὲ αὑτὴν μὲν ἡ ψυχὴ δύο καὶ ὡς ἕτερον ὁρᾷ, νοῦν δὲ ἓν, καὶ ἄμφω τὰ δύο ἓν, ἐν ἄλλοις.

II. Si ergo non ita fit sensus, reliquum est, quomodo fiat, inquirere. An forte de his dicit animus, quæ non habet? De his profecto. Hoc enim potestatis est proprium, non quidem pati aliquid, sed valere, et opus sibi proprium exsequi. Sic, arbitror, discernetur ab animo visibile scilicet atque audibile : non quidem, si figuræ quædam utraque sint, imo si non figuræ, neque passiones ullæ, sed actiones, circa quod naturaliter sunt institutæ. Nos autem diffidentes, vim quamlibet objectum suum, nisi pulsetur ab eo, posse cognoscere, interea facimus admovendo, ut patiatur proximum, non cognoscat : quod quidem superare debet naturæ munere animus, non superari. Eadem ratione de auditu etiam est judicandum : figuram scilicet in aere fieri velut pulsationem quandam distinctam articulatim, quasi literarum illic scriptarum ab eo, qui protulit vocem : vim vero essentiamque animæ, quasi figuras legere scriptas in aere, proximo illuc accedentes, quæ tandem profectæ naturaliter percipi possunt. Proinde circa gustum et odoratum alia quidem passiones sunt, alia vero passionum cognitiones, scilicet sensus et judicia passionum, quæ quidem a passionibus differunt : intelligibilium vero cognitio multo etiam magis passionis formationisque est expers. Hæc enim e converso velut ab intimo prodeunt, sensibilia vero attinguntur extrinsecus, ideoque illa magis actiones sunt actionesque præcipuæ. Ipsius enim animæ sunt, ipsaque anima horum quodlibet agit. Utrum vero anima se ipsam quidem duo quædam videat, et velut alterum, intellectum autem velut unum, et ambo duo unum, alibi disputandum.

Meminisse et reminisci non est conservare atque repetere rerum formas aliquando impressas animo.

Quando dicunt, animam tanquam rerum incorporearum atque corporearum mediam utrarumque in se formas habere, non intelligimus, has formas tanquam accidentia quædam jacere in anima, sicut literas in tabella, sive aliquando inscriptæ sint, sive ingenitæ. Nam animæ divinæ natura neque novas subit impressiones, neque rationes rerum, quas habet ab initio, tam diversas habet ab ipsa sui natura, ut accidentia referant : sed, ut alibi diximus, sicut sunt in anima naturales substantiæ vires, intellectus, ratio, imaginatio, sensus et potentiæ vegetales, ita rerum quoque cognoscendarum rationes habet, quasi vires essentiales, quemadmodum et membrorum seminales possidet rationes. Quando igitur anima aliquid meditatur, se ipsam ex naturali virtute in actum naturalem circa id ipsum educit. Quodsi attentius diutiusque meditatur idem, in hoc ipsum valentius se conformat, idque est meminisse : hinc et facilius reminiscitur.

Γ'. Νῦν δὲ τούτων εἰρημένων περὶ μνήμης ἐφεξῆς λεκτέον, εἰποῦσι πρότερον, ὡς οὐ θαυμαστὸν· μᾶλλον δὲ θαυμαστὸν μὲν, ἀπιστεῖν δὲ οὐ δεῖ τῇ τοιαύτῃ δυνάμει τῆς ψυχῆς, εἰ μηδὲν λαβοῦσα εἰς αὐτὴν, ἀντίληψιν, ὧν οὐκ ἔσχε, ποιεῖται. Λόγος γάρ ἐστι πάντων, καὶ λόγος ἔσχατος μὲν τῶν νοητῶν, καὶ τῶν ἐν τῷ νοητῷ ψυχῆς φύσις, πρῶτος δὲ τῶν ἐν τῷ αἰσθητῷ

III. Post hæc autem de memoria dicendum est : et ante omnia, non esse mirandum, imo vero mirandum quidem, non tamen incredibile, quod tali potestati animæ attribuimus : eam scilicet, nihil in se accipientem, ea tamen, quæ non accipit, animadvertere. Animæ namque natura est omnium ratio : ratio, inquam, intelligibilium, et eorum, quæ illic sunt, ultima : eorum vero, quæ sunt in universo

παντί. Διὸ δὴ καὶ πρὸς ἄμφω ἔχει· ὑπὸ μὲν τῶν εὖ παθοῦσα καὶ ἀναβιωσκομένη, ὑπὸ δὲ τῶν τῇ ὁμοιότητι ἀπατωμένη, καὶ κατιοῦσα ὥσπερ θελγομένη. Ἐν μέσῳ δὲ οὖσα αἰσθάνεται ἀμφοῖν, καὶ τὰ μὲν νοεῖν λέγεται εἰς μνήμην ἐλθοῦσα, εἰ πρὸς αὐτοῖς γίγνοιτο. Γιγνώσκει γὰρ τῷ αὐτά πως εἶναι· γιγνώσκει γὰρ οὐ τῷ ἐνιζάνειν αὐτά, ἀλλὰ τῷ πως ἔχειν αὐτά, καὶ ὁρᾷν αὐτά, καὶ εἶναι αὐτὰ ἀμυδρότερον, καὶ γίγνεσθαι ἐκ τοῦ ἀμυδροῦ, τῷ οἷον ἐγείρεσθαι ἐναργεστέρα, καὶ ἐκ δυνάμεως εἰς ἐνέργειαν ἰέναι. Τὰ δ' αἰσθητὰ τὸν αὐτὸν τρόπον οἷον συναψαμένη καὶ ταῦτα παρ' αὐτῆς οἷον ἐκλάμπειν ποιεῖ, καὶ πρὸ ὀμμάτων εἶναι ἐργάζεται, ἑτοίμης οὔσης καὶ οἷον ὠδινούσης πρὸς αὐτὰ τῆς δυνάμεως. Ὅταν τοίνυν ῥωσθῇ πρὸς ὁτιοῦν τῶν φανέντων, ὥσπερ πρὸς παρὸν διάκειται ἐπὶ πολὺν χρόνον, καὶ ὅσῳ μᾶλλον, τόσῳ ἀεί. Διὸ καὶ τὰ παιδία μνημονεύειν λέγεται μᾶλλον, ὅτι μὴ ἀφίσταται, ἀλλὰ κεῖται αὐτοῖς πρὸ ὀμμάτων, ὡς ἂν ὁρῶσιν οὔπω εἰς πλῆθος, ἀλλὰ πρὸς ὀλίγα· οἷς δὲ ἐπὶ πολλὰ ἡ διάνοια καὶ ἡ δύναμις, ὥσπερ παραθέουσι καὶ οὐ μένουσιν. Εἰ δέ γε ἔμενον οἱ τύποι, οὐκ ἂν ἐποίησε τὸ πλῆθος ἧττον μνήμας. Ἔτι εἰ τύποι μένοντες, οὐδὲν ἔδει σκοπεῖν, ἵνα ἀναμνησθῶμεν, οὐδὲ πρότερον ἐπιλαθομένους ὕστερον ἀναμιμνήσκεσθαι κειμένων. Καὶ αἱ εἰς ἀνάληψιν δὲ μελέται δηλοῦσι δυνάμωσιν ψυχῆς τὸ γιγνόμενον ὑπάρχον, ὥσπερ χειρῶν ἢ ποδῶν τὰ γυμνάσια εἰς τὸ ποιεῖν ῥᾳδίως, ἃ μὴ ἐν ταῖς χερσὶν ἢ ποσὶ κεῖται, ἀλλὰ πρὸς ἃ τῇ συνεχείᾳ ἡτοίμασται. Διὰ τί γὰρ ἅπαξ μὲν ἀκούσας ἢ δεύτερον οὐ μέμνηται, ὅταν δὲ πολλάκις, καὶ ὃ πρότερον ἀκούσας οὐκ ἔσχε, πολλῷ ὕστερον χρόνῳ μέμνηται ἤδη; Οὐ γὰρ δὴ τῷ μέρη ἐσχηκέναι πρότερον τοῦ τύπου (ἔδει γὰρ τούτων μεμνῆσθαι), ἀλλ' οἷον ἐξαίφνης γίνεται τοῦτο, ἐκ τινος τῆς ὑστέρας ἀκροάσεως ἢ μελέτης. Ταῦτα γὰρ μαρτυρεῖ πρόκλησιν τῆς δυνάμεως, καθ' ἣν μνημονεύομεν, τῆς ψυχῆς, ὡς ῥωσθεῖσαν, ἢ ἁπλῶς, ἢ πρὸς τοῦτο. Ὅταν δὲ δὴ οὐ μόνον, πρὸς ἃ ἐμελετήσαμεν, τὸ τῆς μνήμης ἡμῖν παρῇ, ἀλλ' εἴπερ πολλὰ ἀνειλήφασιν, ἐκ τοῦ εἰθίσθαι ἀπαγγελίαις χρῆσθαι, ῥᾳδίας ἤδη καὶ τῶν ἄλλων τὰς λεγομένας ἀναλήψεις ποιῶνται, τί ἄν τις ἐπαιτιῷτο τῆς μνήμης, ἢ τὴν δύναμιν τὴν ῥωσθεῖσαι εἶναι; οἱ μὲν γὰρ τύποι μένοντες ἀσθένειαν μᾶλλον ἢ δύναμιν κατηγοροῖεν. Τὸ γὰρ ἐντυπώτατον τῷ εἴκειν ἐστὶ τοιοῦτον, καὶ πάθους ὄντος τοῦ τύπου, τὸ μᾶλλον πεπονθός, τοῦτό ἐστι τὸ μνημονεῦον μᾶλλον, τούτου δὲ τοὐναντίον φαίνεται συμβαῖνον· οὐδαμοῦ γὰρ ἡ πρὸς ὁτιοῦν γυμνασία εὐπαθὲς τὸ γυμνασάμενον ποιεῖ, ἐπεὶ καὶ ἐπὶ τῶν αἰσθήσεων οὐ τὸ ἀσθενὲς ὁρᾷ, οἷον ὀφθαλμός, ἀλλ' ὅτῳ δύναμίς ἐστιν εἰς ἐνέργειαν πλείων. Διὸ καὶ οἱ γεγηρακότες καὶ πρὸς τὰς αἰσθήσεις ἀσθενέστεροι καὶ πρὸς τὰς μνήμας ὡσαύτως. Ἰσχὺς ἄρα τις καὶ ἡ αἴσθησις καὶ ἡ μνήμη. Ἔτι τῶν αἰσθήσεων τυπώσεων οὐκ οὐσῶν, πῶς οἷόν τε τὰς μνήμας κατοχὰς τῶν οὐκ ἐντεθέντων, οὐδὲ τὴν ἀρχήν,

sensibili, prima. Quapropter ad utraque vergit: et a superioribus quidem bene afficitur, atque reviviscit, ab inferioribus autem quadam similitudine fallitur et tanquam delinita prolabitur. *Cum igitur sit in medio constituta*, utrumque percipit utraque, et superiora quidem dicitur intelligere, in memoriam videlicet revocata, si quidem illis incumbat. Cognoscit autem propterea, quod quodammodo est hæc ipsa: nempe non cognoscit ea collocando eadem in se, velut in sede, sed quodammodo hæc habendo atque intuendo: atque ex eo, quod anima hæc ipsa est obscurius, et ex habitu quodam obscuriore velut experrecta evadit lucidius eadem, et ex potentia prodit in actum. Sensibilia quoque similiter, quasi coaptans hæc ipsa secum, *efficit, ut effulgeant, et ante oculos* ponit: quippe cum vis animæ etiam prius ad id præparata sit, eademque parturiat. Quando igitur ad aliquid eorum, quæ offeruntur, corroboratur, diu ad idem, *quasi ad præsens, afficitur, et* quo magis corroboratur, eo diutius. Quam ob rem pueri magis memores esse dicuntur, quoniam non cito desistunt, sed rem ipsam diu ante oculos habent: quippe cum nondum distrahantur in multa, sed paucis vehementer incumbant: quorum vero cogitatio visque circa multa versatur, hi quasi percurrunt nusquamque insistunt. Si autem formæ rerum in animo impressæ manerent, multitudo memoriam non minueret. Præterea, si residerent formæ, consideratione ad reminiscendum nequaquam indigeremus: neque, cum *prius essemus obliti, subinde reminisci nos oporteret, ubi* figuræ manerent. Præterea meditationes ipsæ, quæ conducunt ad recolendum atque resumendum, declarant, id ipsum, quod hinc acquiritur, nihil aliud esse, quam animæ corroborationem quandam atque vigorem: quemadmodum exercitationes manuum aut pedum adhibitæ ad nonnulla facilius peragenda, quæ neque in manibus neque pedibus sita sunt, sed ad quæ membra hæc continua quadam consuetudine promptiora redduntur. Præterea cur nam, cum semel aut bis tantum audiveris, non recordaris, *sed cum sæpius jam audiveris, et quod prius auditum non* tenebas, deinde post longum tempus jam tenes? Non enim hoc ideo fit, quia partes figuræ prius acceperis (nam et harum recordareris); sed velut repente hoc efficitur ex ultima quadam auditione sive meditatione id peragente. Hæc sane testantur, vim animæ provocari, per quam recordamur, et quasi corroborari vel simpliciter vel ad aliquid. Tum vero, quando memoria nobis suppeditat non illa solum, quæ meditati sumus, sed multa etiam suggerit sive reddit, indiciis videlicet quibusdam assuefacta, unde ex *unius resumptione alia quoque multa facilius resumuntur,* quam aliam ejusmodi memoriæ causam afferre quis potest, quam ipsam animæ vim jam esse corroboratam? *Nempe rerum formæ* insidentes animo debilitatem potius, quam potentiam, indicarent. Quod enim formis est plurimis insignitum, cedendo factum est tale. Cumque figuræ impressio sit quædam passio, sequitur, ut, quod maxime passum est, sit et maxime memor: hujus autem contrarium manifeste contingit. Nusquam enim ad opus quoddam exercitatio id ipsum, quod exercitatur, reddit magis passioni subjectum: quoniam et in sensibus non, quod est debile, cernit, velut oculus, sed cui vis inest uberior ad agendum. Quare senes et ad sensus debiliores et ad memoriam quoque similiter. *Sensus igitur et memoria vigor* aliquis est et valor. Proinde cum sensus non sint quædam figurarum impressiones in animo, quonam pacto memoria *esse conservatio potest rerum, quæ nec omnino penes eam*

εἶναι; Ἀλλ' εἰ δύναμίς τις καὶ παρασκευὴ πρὸς τὸ ἕτοιμον, πῶς οὐχ ἅμα, ἀλλ' ὕστερον εἰς ἀνάπόλησιν τῶν αὐτῶν ἐρχόμεθα; ἢ ὅτι τὴν δύναμιν δεῖ οἷον ἐπιστῆσαι καὶ ἑτοιμάσασθαι. Τοῦτο γὰρ καὶ ἐπὶ τῶν ἄλλων δυνάμεων ὁρῶμεν, εἰς τὸ ποιῆσαι, ὃ δύνανται, ἑτοιμαζομένων, καὶ τὰ μὲν εὐθὺς, τὰ δὲ εἰ συλλέξαιντο ἑαυτὰς ἐργαζομένων. Γίγνονται δὲ ὡς ἐπὶ τὸ πολὺ οὐχ οἱ αὐτοὶ μνήμονες καὶ ἀγχίνοι πολλάκις, ὅτι οὐχ ἡ αὐτὴ δύναμις ἑκατέρου, ὥσπερ οὐδ' ὁ αὐτὸς πυκτικὸς καὶ δρομικός· ἐπικρατοῦσι γὰρ ἄλλαι ἐν ἄλλῳ ἰδέαι. Καίτοι οὐκ ἐκώλυε τὸν ἀστινασοῦν ἔχοντα πλεονεξίας ψυχῆς ἀναγιγνώσκειν τὰ κείμενα, οὐδὲ τὸν ταύτῃ ῥυέντα τὴν τοῦ πάσχειν καὶ ἔχειν τὸ πάθος ἀδυναμίαν κεκτῆσθαι, καὶ τὸ τῆς ψυχῆς δὲ ἀμέγεθες καὶ ὅλως ψυχὴν μαρτυρεῖ δύναμιν εἶναι· καὶ ὅλως τὰ περὶ ψυχὴν πάντα θαυμαστὸν ἄλλον τρόπον ἔχειν, ἢ ὡς ὑπειλήφασιν ὑπὸ τοῦ μὴ ἐξετάζειν ἄνθρωποι, ἢ ὡς πρόχειροι αὐτοῖς ἐπιβολαὶ ἐξ αἰσθητῶν ἐγγίγνονται, δι' ὁμοιοτήτων ἀπατῶσαι. Οἷον γὰρ ἐν πίναξιν ἢ δέλτοις γεγραμμένων γραμμάτων, οὕτω περὶ τῶν αἰσθήσεων καὶ τοῦ μνημονεύειν διάκεινται. Καὶ οὔτε οἱ σῶμα αὐτὴν τιθέμενοι ὁρῶσιν, ὅσα ἀδύνατα τῇ ὑποθέσει αὐτῶν συμβαίνει, οὔτε οἱ ἀσώματον.

deposita sunt? Verum si memoria facultas quaedam est praeparatioque ad promptum, cur non simul et subito, sed deinceps, resumimus eadem? quia videlicet vim ipsam adhibere oportet atque intendere. Id enim in aliis quoque viribus videmus accidere, quae quidem ad id, quod possunt, parantur efficiendum, et partim quidem subito, partim vero, si se ipsas ante collegerint, suum munus expediunt. Plurimum vero non iidem acuti videntur et memores, quoniam non eadem est utriusque potestas: sicut neque idem est pugil et cursor: aliae namque in alio dominantur ideae [*i. e. virium genera*]. Tametsi nihil prohibet, hominem habentem excessus quosdam animae, quasi quaedam alta relegere, neque hominem hac parte profluentem non esse expositum passioni: denique quod constat animam magnitudini non esse subjectam, ostendit omnino, quicquid est in anima, non passionem esse, sed efficaciam: et omnino, quaecunque sunt circa animam, mirabili quadam ratione alia se habere, quam suspicentur homines, qui talia nunquam diligenter indagaverunt: et aliter, quam significent manifesto accessiones ab his, quae sentiuntur, transeuntes ad eos, similitudine quadam decipientes. Unde velut in tabellis quibusdam sive libellis inscribuntur litterae: similiter de sensibus et memoria opinantur. Et profecto, qui sic arbitrantur, sive corpus animam ponant, sive incorpoream, quot ex illa suppositione absurda sequantur, prorsus ignorant.

| ΕΝΝΕΑΔΟΣ Δ | ENNEADIS QUARTÆ |
| --- | --- |
| ΛΟΓΟΣ Ζ. | LIBER VII. |
| ΠΕΡΙ ΑΘΑΝΑΣΙΑΣ ΨΥΧΗΣ. | DE ANIMI IMMORTALITATE. |
| (456, 457.) | [841—846.] |

Unusquisque nostrûm totus est immortalis, si quidem est ipse animus immortalis.

Anima dupliciter se habet ad corpus, partim quidem ut substantialis quædam species ad materiam; quoniam per ejus præsentiam certa quædam humorum temperatura spiritusque vitalis in corpore nascitur : partim vero tanquam utens ad instrumentum, quantum pro arbitrio movet corpus : atque est a corpore separabilis et jam quodammodo separata.

Α'. Εἰ δέ ἐστιν ἀθάνατος ἕκαστος ἡμῶν, ἢ φθείρεται πᾶς, ἢ τὰ μὲν αὐτοῦ ἄπεισιν εἰς σκέδασιν καὶ φθοράν, τὰ δὲ μένει εἰς ἀεί, ἅπερ ἐστὶν αὐτός, ὧδ' ἄν τις μάθοι κατὰ φύσιν ἐπισκοπούμενος. Ἁπλοῦν μὲν δή τι οὐκ ἂν εἴη ἄνθρωπος, ἀλλ' ἔστιν ἐν αὐτῷ ψυχή· ἔχει δὲ καὶ σῶμα, εἴτ' οὖν ὡς ὄργανον ἡμῖν, εἴθ' ἕτερον τρόπον προσηρτημένον. Ἀλλ' οὖν διῃρήσθω γε ταύτῃ, καὶ ἑκατέρου τὴν φύσιν τε καὶ οὐσίαν καταθεατέον. Τὸ μὲν δὴ σῶμα καὶ αὐτὸ συγκείμενον, οὔτε παρὰ τοῦ λόγου δύναται μένειν, ἥ τε αἴσθησις ὁρᾷ λυόμενόν τε καὶ τηκόμενον, καὶ παντοίους ὀλέθρους δεχόμενον, ἑκάστου τε τῶν ἐνόντων πρὸς τὸ αὐτοῦ φερομένου, φθείροντός τε ἄλλου ἕτερον, καὶ μεταβάλλοντος εἰς ἄλλο καὶ ἀπολλύντος, καὶ μάλιστα ὅταν ψυχή, ἡ φίλα ποιοῦσα, μὴ παρῇ τοῖς ὄγκοις· κἂν μονωθῇ δὲ ἕκαστον γιγνόμενον, ἓν οὐκ ἔστι, λύσιν δεχόμενον εἴς τε μορφὴν καὶ ὕλην, ἐξ ὧν ἀνάγκη καὶ τὰ ἁπλᾶ τῶν σωμάτων τὰς συστάσεις ἔχειν. Καὶ μὴν καὶ μέγεθος ἔχοντα, ἅτε σώματα ὄντα, τεμνόμενά τε καὶ εἰς μικρὰ θραυόμενα, καὶ ταύτῃ φθορὰν ἂν ὑπομένοι· ὥστ', εἰ μὲν μέρος ἡμῶν τοῦτο, οὐ τὸ πᾶν ἀθάνατοι, εἰ δὲ ὄργανον, ἔδει γε αὐτὸ εἰς χρόνον τινὰ δοθὲν τοιοῦτον τὴν φύσιν εἶναι. Τὸ δὲ κυριώτατον καὶ αὐτὸς ὁ ἄνθρωπος εἴη ἄν, ἢ κατὰ τὸ εἶδος, ὡς πρὸς ὕλην τὸ σῶμα, ἢ κατὰ τὸ χρώμενον, ὡς πρὸς ὄργανον· ἑκατέρως δὲ ἡ ψυχὴ αὐτός.

I. Utrum vero immortalis sit unusquisque nostrûm, an totus intereat, an partim quidem sit caducus, partim vero perpetuus, quæ quidem ipse sit, hunc in modum aliquis discere poterit ordine quodam naturæ contemplans. Homo profecto non est aliquid simplex omnino, sed habet animam, habet et corpus, sive tanquam instrumentum, sive alia quavis conditione nobis adjunctum. Omnino vero proponendum est atque concedendum, ita potissimum utriusque naturam essentiamque distingui. Corpus igitur cum ipsum quoque compositum sit, tum ratione monstratur perpetuo permanere non posse, tum sensu deprehenditur dissolvi prorsus et dissipari, cum quodlibet eorum, quæ in eo sunt, revertatur ad suum, et aliud interimat aliud commuteturque in aliud atque disperdat : præsertim quando anima, quæ conciliare solet, molibus jam non adsit. Atqui, si corpus quodlibet relinquatur solum, nondum tamen prorsus est unum, cum solvi adhuc possit in formam atque materiam, ex quibus necessarium est simplicia etiam corpora esse composita. Præterea corpora omnia, cum necessario habeant quantitatem, consequenter in minima quæque redacta dispereunt. Quam ob rem, si corpus pars est nobis, non sumus undique immortales : sin autem nostrum est instrumentum, oportet ipsum ad tempus tributum nobis tale esse natura. Ipsum vero principale, ipse homo erit utique, vel ut species est ad corpus ceu materiam : vel erit velut utens corpore tanquam instrumento quodam. Utroque denique modo anima præcipue est ipse homo.

Nullum corpus, qua ratione corpus, propriam et insitam habet vitam : anima vero habet. Igitur anima non est corpus : ergo neque fit ex corpore vel corporibus, cum sit natura præstantior.

Corpus sua proprietate dissolubile est : anima proprietate sua connectit corpus conciliatque contraria, dum certa quadam ratione commiscet. Neque igitur dissolubilis est, neque corpus, neque ex certa corporum mixtura concipitur : imo vero vicissim ordinata ratio mixtionis in corporibus procedit ab anima. Erimus in hoc libro brevissimi : cum circa eadem in Theologia latissimi simus.

Β'. Τοῦτο οὖν τίνα φύσιν ἔχει; ἢ σῶμα μὲν ὂν πάντως ἀναλυτόν· σύνθετον γὰρ πᾶν γε σῶμα· εἰ δὲ μὴ σῶμα εἴη, ἀλλὰ φύσεως ἄλλης, κἀκείνην ἢ τὸν αὐτὸν τρόπον ἢ κατ' ἄλλον σκεπτέον. Πρῶτον δὲ σκεπτέον, εἰς ὅ τι δεῖ [σῶμα] τοῦτο τὸ σῶμα, ὃ λέγουσι ψυχήν, ἀναλύειν. Ἐπεὶ γὰρ ζωὴ ψυχῇ πάρεστιν ἐξ ἀνάγκης, ἀνάγκη τοῦτο τὸ σῶμα τὴν ψυχήν, εἰ μὲν ἐκ δύο σωμάτων ἢ πλειόνων εἴη, ἤτοι ἑκάτερον αὐτῶν ἢ ἕκαστον ζωὴν σύμφυτον ἔχειν, ἢ τὸ μὲν ἔχειν, τὸ δὲ μή, ἢ μηδὲν ἔχειν. Εἰ μὲν δὴ ἑνὶ αὐτῶν προσείη τὸ ζῆν, αὐτὸ τοῦτο ἂν εἴη ψυχή· τί ἂν οὖν εἴη σῶμα ζωὴν παρ' αὐτοῦ ἔχον;

II. Hoc ipsum igitur, quod nomine animæ nuncupamus, quam potissimum naturam habere dicendum. Profecto, si corpus est, omnino est resolubile. Omne namque corpus compositum est : sin autem non est corpus, sed naturæ diversæ, oportet hanc quoque naturam vel eodem modo vel alio perscrutari. Principio quærendum est, in quodnam corpus [*corr.* in quibusnam] resolvere corpus hoc, quod vocant animam, debeamus. Nempe cum ubique animæ insit necessario vita, necessarium est, si id corpus, quod fingitur anima, ex duobus pluribusve corporibus componatur, aut ambo vel cuncta simul, aut etiam quodlibet singulatim vitam insitam possidere, aut hoc quidem habere vitam, illud vero nequaquam, aut nullum hanc habere. Si igitur uni tantum insit vita, unicum hoc erit anima. Sed quodnam corpus hoc est, quod vitam possidet ex se

πῦρ γὰρ καὶ ἀὴρ καὶ ὕδωρ καὶ γῆ, ἄψυχα παρ' αὐτῶν, καὶ ὅτῳ παρέστι τούτων ψυχή, τοῦτο ἐπακτῷ κέχρηται τῇ ζωῇ, ἄλλα δὲ παρὰ ταῦτα σώματα οὐκ ἔστι· καὶ οἷς γε δοκεῖ εἶναι καὶ στοιχεῖα τούτων ἕτερα, σώματα οὐ ψυχαὶ ἐλέχθησαν εἶναι, οὐδὲ ζωὴν ἔχοντα. Εἰ δὲ, μηδενὸς αὐτῶν ζωὴν ἔχοντος, ἡ σύνοδος πεποίηκε ζωήν, ἄτοπον. Εἰ δὲ ἕκαστον ζωὴν ἔχει, καὶ ἓν ἀρκεῖ. Μᾶλλον δὲ ἀδύνατον συμφόρησιν σωμάτων ζωὴν ἐργάζεσθαι, καὶ νοῦν γεννᾶν τὰ ἀνόητα. Καὶ δὴ καὶ οὐχ ὁπωσοῦν κραθέντα ταῦτα φήσουσι γίγνεσθαι. Δεῖ ἄρα εἶναι τὸ τάξον, καὶ τὸ τῆς κράσεως αἴτιον· ὥστε τοῦτο τάξιν ἂν ἔχοι ψυχῆς. Οὐ γὰρ ὅτι σύνθετον, ἀλλ' οὐδὲ ἁπλοῦν ἂν εἴη σῶμα ἐν τοῖς οὖσιν, ἄνευ ψυχῆς οὔσης ἐν τῷ παντί· εἴπερ λόγος προσελθὼν τῇ ὕλῃ σῶμα ποιεῖ, οὐδαμόθεν δ' ἂν προσέλθοι λόγος, ἢ παρὰ ψυχῆς.

ipso? Sane ignis, aer, aqua, terra suapte natura carent anima, et, cuicumque horum adest anima, hoc vita utitur peregrina: alia vero præter hæc nulla sunt corpora. Tum vero, quicumque præterea elementa quædam horum introduxerunt alia corpora, ea tamen esse animas non dixerunt, neque vitam eis attribuerunt. Si quis autem dixerit, nullo eorum habente vitam, congressum tamen cunctorum vitam constituisse, absurda loquetur. Item, si unumquodque vitam habet, unum jam sufficit. Omnino vero impossibile est, confluentiam corporum vitam facere, et, quæ intellectu carent, facere intellectum. Atqui nec quomodocumque mista hæc dicent fieri. Oportet itaque esse, quod ordinet mixtionisque sit causa. Hoc igitur potius auctoritatem gradumque animæ obtinebit. Jam vero nedum corpus compositum, sed ne simplex quidem corpus erit in ordine rerum, nisi in universo sit anima: siquidem ratio seminalis accedens materiæ facit corpus, ratio vero ipsa non potest aliunde, quam ab anima, proficisci.

Omne corpus efficit distantia partium, ut parte alia patiente non statim compatiantur et aliæ: per ipsam vero animam corpus vivum habet, ut ad partis unius motionem passionemque cunctæ statim commoveantur: anima igitur nec est corpus, neque forma distenta per corpus.

Non est corpus crassum, alioquin non facile penetrabit totum. Non est corpus labile, alioquin labilissimum corpus non continebit. Non est impressa corpori forma, alioquin nec expedite corpori dominabitur ad vivificandum et movendum et continendum, et a forma præstantiore pendebit in se ipsa manente vitamque effundente per corpus. Atque hæc ipsa forma præstantior potius erit anima;-quæ cum individua sit ubique tota, et extra contrariarum qualitatum genus facile contraria inter se conciliat, et distenta dissipabiliaque connectit in unum.

Γ'. Εἰ δέ τις μὴ οὕτως, ἀλλ' ἀτόμους ἢ ἀμερῆ συνελθόντα ψυχὴν ποιεῖν τῇ ἑνώσει λέγοι, καὶ ὁμοπαθείᾳ ἐλέγχοιτ' ἂν καὶ τῇ παραθέσει, μὴ δι' ὅλου δὴ οὐ γιγνομένου ἑνός, οὐδὲ συμπαθοῦς ἐξ ἀπαθῶν, καὶ μὴ ἑνοῦσθαι δυναμένων σωμάτων, ψυχὴ δὲ αὑτῇ συμπαθής· ἐκ δὲ ἀμερῶν οὐ σῶμα οὐδὲ μέγεθος ἂν γένοιτο. Καὶ μήν, εἰ ἁπλοῦ ὄντος τοῦ σώματος, τὸ μὲν ὅσον ὑλικὸν παρ' αὐτοῦ ζωὴν ἔχειν οὐ φήσουσιν· (ὕλη γάρ, ἄποιον·) τὸ δὲ κατὰ τὸ εἶδος τεταγμένον ἐπιφέρειν τὴν ζωήν. Εἰ μὲν οὐσίαν φήσουσι τὸ εἶδος τοῦτο εἶναι, οὐ τὸ συναμφότερον, θάτερον δὲ τούτων ἔσται ἡ ψυχή, καὶ οὐκ ἔστ' αὖ σῶμα· οὐ γὰρ ἐξ ὕλης καὶ τοῦτο, ἢ πάλιν τὸν αὐτὸν τρόπον ἀναλύσομεν. Εἰ δὲ πάθημα τῆς ὕλης, ἀλλ' οὐκ οὐσίαν, φήσουσιν εἶναι, ἀφ' οὗ τὸ πάθημα καὶ ἡ ζωὴ εἰς τὴν ὕλην ἐλήλυθε, λεκτέον αὐτοῖς· οὐ γὰρ δὴ ἡ ὕλη αὑτὴν μορφοῖ, οὐδὲ αὑτῇ ψυχὴν ἐντίθησι. Δεῖ ἄρα τι εἶναι τὸ χορηγὸν τῆς ζωῆς, εἴτε τῇ ὕλῃ ἡ χορηγία, εἴθ' ὁτῳοῦν τῶν σωμάτων, ἔξω ὄν, καὶ ἐπέκεινα σωματικῆς φύσεως ἁπάσης. Ἐπεὶ οὐδ' ἂν εἴη σῶμα οὐδὲν ψυχικῆς δυνάμεως οὐκ οὔσης· ῥεῖ γάρ, καὶ ἐν φορᾷ αὐτοῦ ἡ φύσις, καὶ ἀπόλοιτο ἂν ὡς τάχιστα, εἰ πάντα σώματα εἴη, κἂν εἰ ὄνομα ἑνὶ αὐτῶν ψυχήν τις θεῖτο. Ταὐτὰ γὰρ ἂν πάθοι τοῖς ἄλλοις σώμασιν, ὕλης μιᾶς οὔσης αὐτοῖς· μᾶλλον δὲ οὐδ' ἂν γένοιτο, ἀλλὰ στήσεται ἐν ὕλῃ τὰ πάντα, μὴ ὄντος τοῦ μορφοῦντος αὐτήν. Τάχα δ' ἂν οὐδ' ἂν ἡ ὕλη τὸ παράπαν εἴη, λυθήσεταί τε καὶ τόδε τὸ ξύμπαν, εἴ τις αὐτὸ πιστεύσειε σώματος συνέρξει, διδοὺς αὐτῷ ψυχῆς τάξιν μέχρι τῶν ὀνομάτων, ἀέρι καὶ πνεύματι σκεδαστοτάτῳ, καὶ τὸ ἓν εἶναι ἔχοντι οὐ παρ' αὑτοῦ. Πῶς γὰρ τεμνομένων τῶν πάντων σωμάτων, ᾑτινιοῦν τις ἀναθεὶς

III. Si quis autem non ita dicat, sed atomos vel individua quædam concurrentia corpora animam unione conficere, is profecto ipsa passionis consensione naturaque copula (appositione) refelletur: quippe cum non ita fiat per totum unum vel compatiens ex corporibus non patientibus, nec ullam admittentibus unionem; ipsa vero anima sibimet compatiens est omnino; quinetiam ex individuis neque corpus neque magnitudo fieri potest. Præterea, si corpus simplex adducant in medium, certe, quantum in ipso est materiale, non dicent ex se ipso vitam habere; materia enim qualitatis est expers: sed asserent potius, quod in eo vicem gerit formæ, vitam afferre. Si ergo speciem hanc esse dicant essentiam, certe non utrumque, sed horum alterum erit animus: nec erit rursum corpus. Non enim hoc est etiam ex materia; alioquin eodem rursus modo resolvere compellemur. Sin autem subjiciat, ejusmodi speciem non essentiam quidem esse, sed quandam materiæ passionem, reliquum erit, ut nobis assignet, undenam hæc passio vitaque descenderit in materiam. Non enim ipsa materia se ipsam format, neque sibimet comparat animam: oportet igitur aliquid esse, quod huic suppeditet vitam, sive ipsi materiæ, sive cuivis corporum vita suppeditetur: suppeditet, inquam, foris existens corporeaque omni natura superius. Jam vero neque corpus omnino erit ullum, nisi animæ vis extiterit: nam fluit semper et in motu ipsa corporis natura versatur, citoque peritum est universum, si, quæcumque sunt, sint corpora, quamvis etiam alicui corporum quis animæ nomen accommodaverit. Sic enim anima eadem prorsus atque alia corpora patietur, cum eadem cunctis materia insit; imo vero nihil alicubi fiet, sed omnia in materia residebunt, ubi non adsit formator ipse materiæ. Fortasse etiam nec ipsa quidem materia erit omnino. Solvetur et hoc universum, si quis salutem ejus corporis connexioni committat, huic attribuens ipsum animæ ordinem, videlicet usque ad nomina solum, aeri cuidam et spiritui penitus dissipabili, unionemque ex se ipso nullam prorsus habenti. Cum enim corpora omnia sint divisa, si quis alicui corporum com-

τόδε τὸ πᾶν, οὐκ ἀνόητον τε καὶ φερόμενον εἰκῇ ποιήσει; τίς γὰρ τάξις ἐν πνεύματι δεομένῳ παρὰ ψυχῆς τάξεως, ἢ λόγος, ἢ νοῦς; ἀλλὰ ψυχῆς μὲν οὔσης, ὑπουργὰ ταῦτα πάντα αὐτῇ εἰς σύστασιν κόσμου καὶ ζώου ἑκάστου, ἄλλης παρ' ἄλλου δυνάμεως εἰς τὸ ὅλον συντελούσης· ταύτης δὲ μὴ παρούσης ἐν τοῖς ὅλοις, οὐδὲν ἂν εἴη ταῦτα, οὐχ ὅτι ἐν τάξει.

mittat hoc universum, necessario fateri cogetur, demens id totum esse ac temere pimium agitari. Quisnam ordo esse potest in spiritu, ceu vento quodam, tantum ab anima ordinem expetente, vel ratio, vel intellectus? Cæterum, si adsit anima, hæc omnia huic protinus subministrant ad constitutionem mundi animaliumque reliquorum, dum alia passim ab alio vis conducit ad totum: absente vero hinc anima, hæc reliqua nedum ordine careant, sed neque omnino consistere poterunt.

Stoici et Epicurei animam esse spiritum suspicabantur, id est, subtilissimum corpus; illi quidem potius igneum, hi vero magis aerium; et utrique non quemlibet spiritum, sed certa quadam proprietate affectum, animam nominabant.

Hæc ipsa certa proprietas et quodammodo incorporea corporeque excellentior non a corpore generatur, sed a substantia potius incorporea, quæ potius anima judicabitur. Quæ quidem, cum ad opposites in corpore qualitates et motiones tam edendas quam regendas æque se habeat, merito neque certum aliquod corpus vel corporeum est, neque ex corpore quodam corporibusve pendet.

Δ'. Μαρτυροῦσι δὲ καὶ αὐτοὶ ὑπὸ τῆς ἀληθείας ἀγόμενοι, ὡς δεῖ τι πρὸ τῶν σωμάτων εἶναι κρεῖττον αὐτῶν ψυχῆς εἶδος, ἔννουν τὸ πνεῦμα, καὶ πῦρ νοερὸν τιθέμενοι, ὥσπερ ἄνευ πυρὸς καὶ πνεύματος οὐ δυναμένης τῆς κρείττονος μοίρας ἐν τοῖς οὖσιν εἶναι, τόπον δὲ ζητούσης εἰς τὸ ἱδρυθῆναι, δέον ζητεῖν ὅπου τὰ σώματα ἱδρύσουσιν, ὡς ἄρα δεῖ ταῦτα ἐν ψυχῆς δυνάμεσιν ἱδρύσθαι. Εἰ δὲ μηδὲν παρὰ τὸ πνεῦμα τὴν ζωὴν καὶ τὴν ψυχὴν τίθενται, τί τὸ πολυθρύλλητον αὐτοῖς « πως ἔχον », εἰς ὃ καταφεύγουσιν ἀναγκαζόμενοι τίθεσθαι ἄλλην παρὰ τὰ σώματα φύσιν δραστήριον. Εἰ οὖν οὐ πᾶν μὲν πνεῦμα ψυχὴ, ὅτι μυρία πνεύματα ἄψυχα, τὸ δέ πως ἔχον πνεῦμα φήσουσι, τό πως ἔχον τοῦτο καὶ ταύτην τὴν σχέσιν ἢ τῶν ὄντων τι φήσουσιν, ἢ μηδέν· ἀλλ' εἰ μὲν μηδὲν, πνεῦμα ἂν εἴη μόνον· τὸ δέ πως ἔχον, ὄνομα· καὶ οὕτω συμβήσεται αὐτοῖς, οὐδὲ ἄλλο οὐδὲν εἶναι λέγειν, ἢ τὴν ὕλην· καὶ ψυχὴν, καὶ θεὸν, καὶ τὰ πάντα ὄνομα, ἐκεῖνο δὲ μόνον. Εἰ δὲ τῶν ὄντων ἡ σχέσις, καὶ ἄλλο παρὰ τὸ ὑποκείμενον καὶ τὴν ὕλην, ἐν ὕλῃ μὲν, ἄϋλον δὲ αὐτὸ, τῷ μὴ πάλιν αὖ συγκεῖσθαι ἐξ ὕλης, λόγος ἂν εἴη τις, καὶ οὐ σῶμα, καὶ φύσις ἑτέρα. Ἔτι δὲ καὶ ἐκ τῶνδε οὐχ ἧττον φαίνεται ἀδύνατον ὂν τὴν ψυχὴν εἶναι σῶμα ὁτιοῦν· ἢ γὰρ θερμόν ἐστιν ἢ ψυχρὸν, ἢ σκληρὸν ἢ μαλακὸν, ὑγρόν τε ἢ πεπηγὸς, μέλαν τε ἢ λευκὸν, καὶ πάντα ὅσα ποιότητες σωμάτων ἄλλαι ἐν ἄλλοις. Καὶ εἰ μὲν θερμὸν μόνον, θερμανεῖ· ψυχρὸν δὲ μόνον, ψύξει· καὶ κοῦφα ποιήσει τὸ κοῦφον προσγενόμενον καὶ παρὸν, καὶ βαρυνεῖ τὸ βαρὺ, καὶ μελανεῖ τὸ μέλαν,* καὶ τὸ λευκὸν λευκὸν ποιήσει. Οὐ γὰρ πυρὸς τὸ ψύχειν, οὐδὲ τοῦ ψυχροῦ θερμὰ ποιεῖν· ἀλλ' ἥ γε ψυχὴ καὶ ἐν ἄλλοις μὲν ζώοις ἄλλα, τὰ δ' ἄλλα ποιεῖ, καὶ ἐν τῷ δὲ αὐτῷ τὰ ἐναντία, τὰ μὲν πηγνῦσα, τὰ δὲ χέουσα· καὶ τὰ μὲν πυκνὰ, τὰ δὲ ἀραιὰ, μέλανα, λευκὰ, κοῦφα, βαρέα· καίτοι ἓν ἔδει ποιεῖν κατὰ τὴν τοῦ σώματος ποιότητά τε τὴν ἄλλην, καὶ δὴ καὶ χρόαν· νῦν δὲ πολλά.

IV. Ipsi etiam naturæ corporeæ assertores veritate compulsi *fatentur atque testantur, oportere speciem quandam* rerum ad animam pertinentem præcedere corpora, corporibus cunctis præstantiorem, quando spiritum intelligentiæ compotem et intellectualem adducunt in medium, quasi gradus ipse naturæ summus absque igne atque spiritu in ordine rerum esse non possit, et locum quendam, quo stabiliatur, naturaliter exigat, cum deceret potius locum quærere, ubi corpora collocarent: quippe cum hæc re vera sint in ipsis animæ viribus collocanda. Proinde, si vitam et animam nihil aliud esse dicant præter spiritum seu ventum, quærendum est ab eis, quidnam sibi velit illud apud eos tritum, quando scilicet dicunt: anima est spiritus certo modo se habens. Ad id enim confugere solent, quotiens naturam aliam præter corpora efficacem introducere compelluntur. Si ergo non omnis spiritus est anima, quoniam innumeri spiritus sint inanimes, sed spiritus quidam certo modo se habens, interrogabimus, utrum, quod dicitur certo modo se habens et ejusmodi habitudo, res aliqua sit, an nulla. Si enim res nulla sit, certe solus exstabit spiritus. Quod vero adjungitur se habens, nomen erit solum. Ex quo efficietur, ut nihil aliud præter materiam esse concedant: animam vero et deum, et similia omnia esse duntaxat nomen fateantur, sed re vera tantum corpus exsistere. Sin autem habitudo illa res quædam est, et aliud quiddam præter subjectum atque materiam, quod quidem sit in materia, sit tamen immateriale, propterea quod ex materia rursus non componatur, certe non erit corpus, sed altera prorsus natura et ratio quædam. Præterea non minus ex his apparebit, animam corpus esse non posse: sic enim aut calidum esset aut frigidum, aut durum aut molle, aut compactum aut fluidum atque laxum: item vel nigrum vel album, similiterque de cæteris corporum qualitatibus proponetur. Et profecto, si calidum tantum est, calefacit solum; si frigidum, frigefacit tantum; si leve, solum elevat redditque levia, ubicumque adest; ac si grave, gravat ponderosaque facit. Similiter nigrum nigra, et album alba proprie parit. Neque enim ignis est frigefacere, neque frigidi calefacere. Verum anima cum in aliis animalibus alia facit et alia, tum in eodem contraria parit: partim quidem cogens, partim vero fundens atque liquefaciens; item alia densa, alia rara, alba, nigra, levia, gravia pariter efficit: tametsi non alia per aliam, sed unum duntaxat secundum qualitatem corporis unam *fieri oporteret, atque colorem* similiter: nunc vero multa pariter affert.

Anima motus effectusque multiformes tam vegetali virtute per rationes seminales, quam electione perficit. Et corpus certo quodam ordine ad certum auget terminum, permanetque ipsa interea eadem. Item, tota anima est in qualibet vel ficta portione animæ, vel vera corporis portione: totaque virtus animæ in qualibet seminis gutta servatur.

Hæc autem munera ad molem vel qualitatem corpoream pertinere non possunt. Anima igitur est incorporea.

Ε'. Τὰς δὲ δὴ κινήσεις πῶς διαφόρους, ἀλλ' οὐ μίαν, μιᾶς οὔσης παντὸς σώματος κινήσεως; εἰ δὲ τῶν μὲν προαιρέσεις, τῶν δὲ λόγους αἰτιάσονται, ὀρθῶς μὲν τοῦτο· ἀλλ' οὐ σώματος ἡ προαίρεσις, οὐδὲ οἱ λόγοι διάφοροί γε ὄντες, ἑνὸς ὄντος καὶ ἁπλοῦ τοῦ σώματος· καὶ οὐ μετὸν αὐτῷ τοιούτου γε λόγου, ἢ ὅσος δέδοται αὐτῷ παρὰ τοῦ ποιήσαντος θερμὸν αὐτὸ ἢ ψυχρὸν εἶναι. Τὸ δὲ καὶ ἐν χρόνοις αὔξειν, καὶ μέχρι τοσούτου μέτρου, πόθεν ἂν τῷ σώματι αὐτῷ γένοιτο; ᾧ προσήκει μὲν αὔξεσθαι, αὐτῷ δὲ ἀμοίρῳ τοῦ αὔξειν εἶναι, ἢ ὅσον παραληφθείη ἂν ἐν ὕλης ὄγκῳ ὑπηρετοῦν τῷ δι' αὐτοῦ τὴν αὔξην ἐργαζομένῳ. Καὶ γὰρ εἰ ἡ ψυχὴ σῶμα οὖσα αὔξοι, ἀνάγκη καὶ αὐτὴν αὔξεσθαι, προσθήκῃ δηλονότι ὁμοίου σώματος, εἰ μέλλει εἰς ἴσον ἰέναι τῷ αὐξομένῳ ὑπ' αὐτῆς, καὶ ἢ ψυχὴ ἔσται τὸ προστιθέμενον ἢ ἄψυχον σῶμα. Καὶ εἰ μὲν ψυχή, πόθεν καὶ πῶς εἰσιούσης, καὶ πῶς προστιθεμένης; Εἰ δὲ ἄψυχον τὸ προστιθέμενον, πῶς τοῦτο ψυχώσεται, καὶ τῷ πρόσθεν ὁμογνωμονήσει, καὶ ἓν ἔσται, καὶ τῶν αὐτῶν δοξῶν τῇ πρόσθεν μεταλήψεται; Ἀλλ' οὐχ ὥσπερ ξένη ψυχὴ αὕτη ἐν ἀγνοίᾳ ἔσται, ὧν ἡ ἑτέρα οἶδε, καὶ ὥσπερ ὁ ἄλλος ὄγκος ἡμῶν, τὸ μέν τι ἀποῤῥεύσεται αὐτοῦ, τὸ δέ τι προσελεύσεται, οὐδὲν δὲ ἔσται τὸ αὐτό; Πῶς οὖν ἡμῖν αἱ μνῆμαι, πῶς δὲ ἡ γνώρισις οἰκείων οὐδέποτε τῇ αὐτῇ ψυχῇ χρωμένων; Καὶ μήν, εἰ σῶμά ἐστι, φύσις δὲ σώματος μεριζόμενον εἰς πλείω, ἕκαστον μὴ τὸ αὐτὸ εἶναι τῶν μερῶν τῷ ὅλῳ. Εἰ τοσόνδε μέγεθος ψυχή, ὃ ἂν ἔλαττον ᾖ, ψυχὴ οὐκ ἔσται, ὥσπερ πᾶν ποσὸν ἀφαιρέσει τὸ εἶναι τὸ πρόσθεν ἠλλάξατο. Εἰ δέ τι τῶν μέγεθος ἐχόντων τὸν ὄγκον ἐλαττωθὲν τῇ ποιότητι ταὐτὸν μένοι, ᾗ μὲν σῶμα ἕτερόν ἐστι, καὶ ᾗ ποσόν, τῇ δὲ ποιότητι ἑτέρᾳ τῆς ποσότητος οὔσῃ τὸ ταὐτὸν ἀποσῴζειν δύναται. Τί τοίνυν φήσουσιν οἱ τὴν ψυχὴν σῶμα εἶναι λέγοντες; πρῶτον μὲν περὶ ἑκάστου μέρους τῆς ψυχῆς τῆς ἐν τῷ αὐτῷ σώματι, πότερον ἕκαστον ψυχὴν οἷα ἐστὶ καὶ ἡ ὅλη; καὶ πάλιν τοῦ μέρους τὸ μέρος; οὐδὲν ἄρα τὸ μέγεθος συνεβάλλετο τῇ οὐσίᾳ αὐτῆς· καίτοι ἔδει γε ποσοῦ τινος ὄντος· ἀλλὰ καὶ ὅλον πολλαχῇ, ὅπερ σώματι παρεῖναι ἀδύνατον ἐν πλείοσι τὸ αὐτὸ ὅλον εἶναι, καὶ τὸ μέρος, ὅπερ τὸ ὅλον, ὑπάρχειν. Εἰ δὲ ἕκαστον τῶν μερῶν οὐ ψυχὴν φήσουσιν, ἐξ ἀψύχων ψυχὴ αὐτοῖς ὑπάρξει· καὶ προσέτι, εἰ ψυχῆς ἑκάστης τὸ μέγεθος ὡρισμένον ἔσται ἐφ' ἑκάτερα, ἢ ἐπὶ τὸ ἔλαττόν γε ἢ ἐπὶ τὸ μεῖζον, ψυχὴ οὐκ ἔσται. Ὅταν τοίνυν ἐκ συνόδου μιᾶς καὶ ἑνὸς σπέρματος δίδυμα γένηται γεννήματα, ἢ καί, ὥσπερ καὶ ἐν τοῖς ἄλλοις ζῴοις, πλεῖστα, τοῦ σπέρματος εἰς πολλοὺς τόπους μεριζομένου, οὗ δὴ ἕκαστον ὅλον ἐστί, πῶς οὐ διδάσκει τοῦτο τοὺς βουλομένους μανθάνειν, ὡς, ὅπου τὸ μέρος τὸ αὐτό ἐστι τῷ ὅλῳ, τοῦτο ἐν τῇ αὐτοῦ

V. Motus autem quonam pacto non unum tantum, sed differentes asserere poterunt, cum una corporis uniuscujusque sit motio? Si autem causas motionum partim quidem ad electiones, partim vero ad rationes referant seminales, recte quidem hoc ipsum asseverabunt. Sed neque corporis propria est electio, neque rationes, præsertim cum differentes sint, corpus autem hic unum sit atque simplex, neque corpus omnino rationis ejusmodi compos esse queat, nisi quantum concessum est ab eo, quod reddit ipsum calidum aut frigidum. Augere vero certis temporibus et ad certum terminum quanam virtute conveniet corpori? Cui quidem naturaliter convenit augeri, augere vero nequaquam, nisi forte, quantum in mole materiæ simul assumitur, velut ministrans ei, quod per ipsum perficit augmentum. Etenim, si anima corpus existens augeat, necesse est ipsam quoque pariter augeri, quadam scilicet corporis similis adjunctione: si modo tanta penitus evasura sit, quantum, quod augetur ab ea: tum vero, quod adjungitur, aut anima erit, vel inanimatum corpus. Ac si anima sit, quærendum erit, undenam et quomodo ingrediatur, et qua conditione admoveatur. Sin autem, quod adjungitur, inanimatum sit, quonam modo hoc animabitur et præcedenti consentiet, venietque in unum et priori animæ in opinionibus congruet? Ac non potius hæc anima velut peregrina ignorabit ea, quæ altera novit. Et quemadmodum altera nostra patitur moles, partim quidem ab ea defluet, partim etiam influet, nihilque in nobis idem penitus permanebit. Quonam igitur pacto in nobis erit memoria et agnitio propriorum, nunquam eadem utentibus anima? Præterea, si anima corpus est, sicut natura corporis consuevit, in plures distribuitur partes, quarum nulla idem est atque totum. Si [ergo] anima tanta quædam fuerit magnitudo, quæ, si minor aliquanto fuerit, non ulterius futura sit anima, certe sicut et omne quantum, per quandam partium detractionem ex priori essentia permutabitur. Si quid autem eorum, quæ magnitudine protenduntur, aliquando comminutum mole, interim idem permaneat qualitate, profecto, qua ratione corpus est, et quantum jam evasit alterum, qualitate vero, quæ differt a quantitate, idem servare interea potest. Quid ergo dicent, qui animam corpus esse putant? Numquid quamlibet animæ partem in eodem viventis corpore esse animam perinde, atque tota est, fatebuntur? ac rursus partis uniuscujusque partem? Quodsi id fateantur, nihil utique magnitudo ad essentiam animæ conferebat: tametsi conferre oportuit, ubi anima sit quantum quiddam: verumtamen et totum ipsius animæ hic erit multis in locis: quod corpori convenire non potest, scilicet ut queat idem totum simul in pluribus esse, atque pars idem penitus esse valeat, quod et totum. Sin autem partium quamlibet animam esse negent, certe ex inanimatis apud illos componetur anima. Præterea, si hunc in modum uniuscujusque animæ magnitudo definita erit, neque consequenter ad utrumque tracta, sive ad majus sive ad minus, erit amplius anima. Quando igitur ex uno coitu unoque semine fœtus gemini procreantur, vel, quemadmodum in cæteris animalibus, etiam plures concipiuntur, semine videlicet in plures particulas distributo, ubi unumquodque est totum, cur non eventus ejusmodi eos, qui discere volunt, admoneat, ubi pars idem est atque totum hoc ipsum in essen-

οὐσίᾳ τὸ ποσὸν εἶναι ὑπερβέβηκεν, ἄποσον δὲ αὐτὸ εἶναι δεῖ ἐξ ἀνάγκης; Οὕτω γὰρ ἂν μένοι τὸ αὐτὸ τοῦ ποσοῦ κλεπτομένου, ἅτε μὴ μέλον αὐτῷ ποσότητος καὶ ὄγκου, ὡς ἂν τῆς οὐσίας αὐτοῦ ἕτερόν τι οὔσης. Ἄποσον ἄρα ἡ ψυχὴ καὶ οἱ λόγοι.

illa sua conditionem quantæ molis excedere, ipsumque oportere esse prorsus a quantitate semotum? Nam ita duntaxat idem permanere potest quanto quovis subtracto, utpote cui nihil opus sit quantitate vel mole: quippe cum ejus essentia aliud quiddam prorsus existat. Anima igitur quantitatis est expers, rationesque similiter.

Necesse est, diversa per sensus varios influentia ad intimum et unum individuumque sensum colligi omnia inter se comparantem. Nisi ad individuum denique colligantur, non poterunt comparari per judicium ac sensum prorsus eundem: colligi vero ibi sic *apparet, quoniam colliguntur ferme similiter in pupilla. Sensus hic intimus neque dividi ad sensibilium divisionem potest,* neque quantitate illis æquari, neque esse humidus, alioquin cessaret memoria; neque durus, periret namque docilitas. Et omnino, si est corporeus, formæ ibi rerum se invicem impedient atque confundent.

Ϛ'. Ὅτι δέ, εἰ σῶμα εἴη ἡ ψυχή, οὔτε τὸ αἰσθάνεσθαι, οὔτε τὸ νοεῖν, οὔτε τὸ ἐπίστασθαι, οὔτε ἀρετή, οὔτε τι τῶν καλῶν ἔσται, ἐκ τῶνδε δῆλον. Εἴ τι μέλλει αἰσθάνεσθαί τινος, ἓν αὐτὸ δεῖ εἶναι καὶ τῷ αὐτῷ παντὸς ἀντιλαμβάνεσθαι. Καὶ εἰ διὰ πολλῶν αἰσθητηρίων πλείω τὰ εἰσιόντα εἴη, ἢ πολλαὶ περὶ ἓν ποιότητες, κἂν δι' ἑνὸς ποικίλον, οἷον πρόσωπον· (οὐ γὰρ ἄλλο μὲν ῥινός, ἄλλο δὲ ὀφθαλμῶν, ἀλλὰ ταὐτὸν ὁμοῦ πάντων·) καὶ εἰ τὸ μὲν δι' ὀμμάτων, τὸ δὲ δι' ἀκοῆς, ἕν τι δεῖ εἶναι εἰς ὃ ἄμφω· (ἢ πῶς ἂν εἴποι ὅτι ἕτερα ταῦτα, μὴ εἰς τὸ αὐτὸ ὁμοῦ τῶν αἰσθημάτων ἐλθόντων;) δεῖ τοίνυν τοῦτο ὥσπερ κέντρον εἶναι, γραμμὰς δὲ συμβαλλούσας ἐκ περιφερείας κύκλου, τὰς πανταχόθεν αἰσθήσεις πρὸς τοῦτο περαίνειν, καὶ τοιοῦτον τὸ ἀντιλαμβανόμενον εἶναι ἓν ὄντως. Εἰ δὲ διεστὸς τοῦτο γένοιτο, καὶ οἷον γραμμῆς ἐπ' ἄμφω τὰ πέρατα αἱ αἰσθήσεις προσβάλλοιεν, ἢ συνδραμεῖται εἰς ἓν καὶ τὸ αὐτὸ πάλιν, οἷον τὸ μέσον, ἢ ἄλλο, τὸ δὲ ἄλλο, ἑκάτερον ἑκατέρου αἴσθησιν ἕξει, ὥσπερ ἂν εἰ ἐγὼ μὲν ἄλλου, σὺ δὲ ἄλλου αἴσθοιο, καὶ εἰ ἓν εἴη τὸ αἴσθημα, οἷον πρόσωπον, ἢ εἰς ἓν συναιρεθήσεται· ὅπερ καὶ φαίνεται, (συναιρεῖται γὰρ καὶ ἐν αὐταῖς ταῖς κόραις· ἢ πῶς ἂν τὰ μέγιστα διὰ ταύταιν ὁρῷτο;) ὥστε ἔτι μᾶλλον εἰς τὸ ἡγεμονοῦν ἰόντα οἷον ἀμερῆ νοήματα γίγνεσθαι, καὶ ἔσται ἀμερὲς τοῦτο, ἢ μεγέθει ὄντι τούτῳ συμμερίζοιτο ἄν, ὥστε ἄλλον ἄλλου μέρος, καὶ μηδένα ἡμῶν ὅλου τοῦ αἰσθητοῦ τὴν ἀντίληψιν ἴσχειν. Ἀλλὰ γὰρ ἕν ἐστι τὸ πᾶν· πῶς γὰρ ἂν καὶ διαιροῖτο; οὐ γὰρ δὴ τὸ ἴσον τῷ ἴσῳ ἐφαρμόσει, ὅτι οὐκ ἴσον τὸ ἡγεμονοῦν παντὶ αἰσθητῷ. Κατὰ πηλίκα οὖν ἡ διαίρεσις; ἢ εἰς τοσαῦτα διαιρεθήσεται, καθ' ὅσον ἂν ἀριθμοῦ ἔχῃ εἰς ποικιλίαν τὸ εἰσιὸν αἴσθημα; καὶ ἕκαστον δὴ ἐκείνων τῶν μερῶν τῆς ψυχῆς ἄρα καὶ τοῖς μορίοις αὐτοῦ αἰσθήσεται, ἢ ἀναίσθητα τὰ μέρη τῶν μορίων ἔσται· ἀλλὰ ἀδύνατον. Εἰ δὲ ὁτιοῦν παντὸς αἰσθήσεται, εἰς ἄπειρα διαιρεῖσθαι τοῦ μεγέθους πεφυκότος, ἀπείρους καὶ αἰσθήσεις καθ' ἕκαστον αἰσθητὸν συμβήσεται γίγνεσθαι ἑκάστῳ· οἷον τοῦ αὐτοῦ ἀπείρους ἐν τῷ ἡγεμονοῦντι ἡμῶν εἰκόνας. Καὶ μὴν σώματος ὄντος τοῦ αἰσθανομένου οὐκ ἂν ἄλλον τρόπον γένοιτο τὸ αἰσθάνεσθαι, ἢ οἷον ἐν κηρῷ ἐνσημανθεῖσαι ἀπὸ δακτυλίων σφραγῖδες, εἴτ' οὖν εἰς αἷμα, εἴτ' οὖν εἰς ἀέρα, τῶν αἰσθητῶν ἐνσημαινομένων. Καὶ εἰ μὲν ὡς ἐν σώμασιν ὑγροῖς, ὅπερ καὶ εὔλογον,

VI. Quod autem, si anima corpus sit, neque sentire nobis dabitur, neque intelligere, neque scire, neque virtus omnino, neque quicquam egregium nobis inerit, ex his apparebit: si quidem enim sentire quicquam debet, unum esse ipsum oportet, et uno quodam eodemque omne percipere. *Et si per plura sensuum instrumenta ingrediantur plura*, vel multæ circa unum sint qualitates, atque etiam per unum videatur varium aliquid, ceu vultus: (non enim aliud quidem videt nares, aliud autem oculos, sed idem cuncta simul): ac si aliud per oculos penetret, aliud per auditum, unum tamen oportet esse, ad quod perveniunt utraque; alioquin non posset animus horum inter se differentiam judicare, nisi intentiones sensuum sensibiliumque in unum æque confluerent. Oportet igitur hoc esse quasi centrum, sensus vero singulos undique non aliter ad hoc ipsum, quam lineas a circumferentia ad centrum usque protendi, atque vim ejusmodi cuncta comprehendentem re vera unum aliquid esse. Nam si dividuum aliquid esset, et quasi ad extrema lineæ utraque intentiones sensuum pertinerent, aut rursus in unum idemque concurrerent quasi medium, aut aliud ibi esset, et aliud, atque alterum alterius tantum haberet sensum: ceu si ego aliud sentiam, tu vero sentias aliud, etiam si unum sit spectaculum ceu vultus, aut potius in unum congregabuntur. Quod et apparet: congregantur enim et in pupillis; alioquin non possent per eas maxima quæque videri. Quam ob rem, quæ ad ipsum animæ principale perveniunt, multo magis velut notiones quædam sunt individuæ: ideoque id quoque erit indivisibile: alioquin si habeat magni*tudinem, una cum re sensibili dividetur. Atque ita partem* alius aliam, nemoque in nobis sentiendam rem totam percipiet. At enim unum est id totum: quo enim pacto dividi potest? Nam si dividatur, nequit tanquam æquale *æquali prorsus accommodari: quoniam principale nostrum* cum omni re sentienda æquale esse non potest. In quot igitur divisio fiet? numquid in tot secabitur, in quot partes numero, quod incidit sensibile, distribuitur? et quælibet partium animæ particula sentiet idem? An forte particulæ partium sensu carebunt? At vero id fieri nequit. Sin autem quodlibet totum sentiat, cum magnitudo dividi queat in infinitum, nimirum innumerabiles quoque sensus circa unumquodque sensibile in unoquoque contingent; quasi innumerabiles in principali nostro rei ejusdem sint imagines. Præterea, si corpus sit, quod sentit, non alio modo sentire contingat, quam si quædam ab annulo in cera imprimantur imagines, sive in sanguine, sive in aere sensibilia imprimantur. Ac si tanquam corporibus hu-

ὥσπερ εἰς ὕδωρ συγχυθήσεται, καὶ οὐκ ἔσται μνήμη. Εἰ δὲ μένουσιν οἱ τύποι, ἢ οὐκ ἔστιν ἄλλους ἐνσημαίνεσθαι ἐκείνων κατεχόντων, ὥστε ἄλλαι αἰσθήσεις οὐκ ἔσονται, ἢ γιγνομένων ἄλλων ἐκεῖνοι οἱ πρότεροι ἀπολοῦνται, ὥστε οὐδὲν ἔσται τὸ μνημονεύειν. Εἰ δὲ ἔστι τὸ μνημονεύειν καὶ ἄλλων αἰσθάνεσθαι ἐπ' ἄλλοις, οὐκ ἐμποδιζόντων τῶν πρόσθεν, ἀδύνατον τὴν ψυχὴν σῶμα εἶναι.

mollis, quod et probabile est, certe tanquam in aqua confundentur imagines, neque memoria erit ulla. Quodsi figuræ permaneant, aut non licebit alias ibi fingi prioribus permanentibus, ideoque sensus alii minime fient: aut, si fiant alii, priores protinus delebuntur, quapropter memoria jam cessabit. Si autem possumus meminisse, ac præter alia sentire rursus et alia, prioribus nequaquam impedientibus, impossibile est animam esse corpus.

Principalis sensus passionum judex passiones cujuslibet membri subito percipit, in qua particula membri sint, distincte discernit, huc oculos manusque statim admovet. Id autem efficere non valeret, nisi esset ubique totus. Non est ergo corporeus.

Ζ'. Ἴδοι δ' ἄν τις καὶ ἐκ τοῦ ἀλγεῖν καὶ ἐκ τῆς τοῦ ἀλγεῖν αἰσθήσεως τὸ αὐτὸ τοῦτο. Ὅταν δάκτυλον λέγηται ἀλγεῖν ἄνθρωπος, ἡ μὲν ὀδύνη περὶ τὸν δάκτυλον δήπουθεν, ἡ δ' αἴσθησις τοῦ ἀλγεῖν, δῆλον ὅτι ὁμολογήσουσιν, ὡς περὶ τὸ ἡγεμονοῦν γίγνεται· ἄλλου δὴ ὄντος τοῦ πονοῦντος μέρους, τοῦ πνεύματος, τὸ ἡγεμονοῦν αἰσθάνεται, καὶ ὅλη ἡ ψυχὴ τὸ αὐτὸ πάσχει. Πῶς οὖν τοῦτο συμβαίνει; διαδόσει, φήσουσι, παθόντος μὲν πρώτως τοῦ περὶ τὸν δάκτυλον ψυχικοῦ πνεύματος, μεταδόντος δὲ τῷ ἐφεξῆς, καὶ τούτου ἄλλῳ, ἕως οὗ πρὸς τὸ ἡγεμονοῦν ἀφίκοιτο. Ἀνάγκη τοίνυν, εἰ τὸ πρῶτον πονοῦν ᾔσθετο, ἄλλην τὴν αἴσθησιν τοῦ δευτέρου εἶναι, εἰ κατὰ διάδοσιν ἡ αἴσθησις, καὶ τοῦ τρίτου ἄλλην, καὶ πολλὰς αἰσθήσεις καὶ ἀπείρους περὶ ἑνὸς ἀλγήματος γίγνεσθαι, καὶ τούτων ἁπασῶν ὕστερον τὸ ἡγεμονοῦν αἰσθέσθαι, καὶ τῆς ἑαυτοῦ παρὰ ταύτας· τὸ δὲ ἀληθὲς, ἑκάστην ἐκείνων μὴ τοῦ ἐν τῷ δακτύλῳ ἀλγήματος, ἀλλὰ τὴν μὲν ἐφεξῆς τῷ δακτύλῳ, ὅτι ὁ ταρσὸς ἀλγεῖ, τὴν δὲ τρίτην, ὅτι ἄλλο τὸ πρὸς τὸ ἄνωθεν, καὶ πολλὰς εἶναι ἀλγηδόνας, τό τε ἡγεμονοῦν, μὴ τοῦ πρὸς τῷ δακτύλῳ ἀλγήματος αἰσθάνεσθαι, ἀλλὰ τοῦ πρὸς αὐτῷ, καὶ τοῦτο γινώσκειν μόνον, τὰ δ' ἄλλα χαίρειν ἐᾶν, μὴ ἐπιστάμενον ὅτι ἀλγεῖ ὁ δάκτυλος. Εἰ τοίνυν κατὰ διάδοσιν οὐχ οἷόν τε τὴν αἴσθησιν τοῦ τοιούτου γίγνεσθαι, μηδὲ σώματος, ὄγκου ὄντος, ἄλλου παθόντος ἄλλου γνῶσιν εἶναι· (παντὸς γὰρ μεγέθους εἰ τὸ μὲν ἄλλο, τὸ δὲ ἄλλο ἐστί,) δεῖ τοιοῦτον τίθεσθαι τὸ αἰσθανόμενον, οἷον πανταχοῦ αὐτὸ ἑαυτῷ τὸ αὐτὸ εἶναι. Τοῦτο δὲ ἄλλῳ τινὶ τῶν ὄντων, ἢ σώματι, ποιεῖν προσήκει.

VII. Idem præterea ex dolore dolorisque sensu declarari potest, utpote quando quis dicitur dolere digitum: tunc dolor quidem est in digito, sensum vero doloris circa ipsum animæ principale contingere fatebuntur, ubi pars quædam spiritus animalis (quæ alia est) dolet, principale vero id percipit, atque anima tota idem tunc quodammodo patitur. Quonam igitur modo id accidit? Respondebunt, arbitror: Successoria quadam traductione, dum videlicet primo patitur spiritus animalis circa digitum, atque hinc deinceps ad partem continuam rursusque ad aliam traducitur passio, donec ad principale perveniat. Necessarium est igitur, si primo patiens sensit, alium sensum esse secundi, si modo per successionem quandam sensus amplificatur: tertii quoque patientis tertium esse sensum, multosque sensus atque innumeros in eodem dolore contingere, ipsumque principale postremo sentire suam duntaxat passionem: et profecto singulos sentiendi actus non passionem quidem digiti persentire, sed eam, quæ sequitur citra digitum: ut puta tarson (palmam) digito proximam percipere sequentem mox post digitum passionem: partem vero tertiam passionem quoque remotiorem, multosque dolores accidere. Tunc certe principale non passionem, quæ premit digitum, sed propriam sentiet, feretque de hac sola judicium, ceteris omnino dimissis, digitum dolere prorsus ignorans. Si ergo sensus passionis ejusmodi per successionem fieri nequit, et corpus, cum sit moles, non id habet, ut in eo patiente alio id persentiat aliud: (in omni enim magnitudine hoc quidem aliud est, illud rursus est aliud:) utrum oportet, quod sentit, esse tale, ut ipsum ubique sibi ipsi sit idem. Id autem assequi ad aliud quiddam in ordine rerum pertinet potius, quam ad corpus.

Intelligentia frequenter attingit et penetrat incorporea, formasque separat a corporibus. Fit igitur absque corpore: intellectus ergo non est corporeus.
Cum indivisibile non aliter, quam per indivisibile, possit attingi, intellectus attingens individua est individuus: et ubi separatis se conjungit, est a corpore separatus: et quando conjuncta separat, maxime separatum se esse declarat.

Η'. Ὅτι δὲ οὐδὲ νοεῖν οἷόν τε, εἰ σῶμα ἡ ψυχὴ ὁτιοῦν εἴη, δεικτέον ἐκ τῶνδε. Εἰ γὰρ τὸ αἰσθάνεσθαί ἐστι τὸ σώματι προσχρωμένην τὴν ψυχὴν ἀντιλαμβάνεσθαι τῶν αἰσθητῶν, οὐκ ἂν εἴη καὶ τὸ νοεῖν τὸ διὰ σώματος καταλαμβάνειν, ἢ ταὐτὸν ἔσται τῷ αἰσθάνεσθαι. Εἰ οὖν τὸ νοεῖν ἐστι τὸ ἄνευ σώματος ἀντιλαμβάνεσθαι, πολὺ πρότερον δεῖ μὴ σῶμα αὐτὸ τὸ νοῆσον εἶναι· ἔτι, εἰ αἰσθητῶν μὲν ἡ αἴσθησις, νοητῶν δὲ ἡ νόησις. Εἰ δὲ μὴ βούλονται, ἀλλ' οὖν ἔσονταί γε

VIII. Quod autem anima, si corpus quoquo modo sit, intelligere nequeat, per hæc nobis est demonstrandum. Profecto, si sentire est animam utentem corpore percipere sensibilia, intelligere non erit per corpus apprehendere: alioquin idem futurum est intelligere atque sentire. Si ergo intelligere est absque corpore comprehendere, multo prius oportet ipsum, quod intellecturum est, non esse corpus. Præterea si sensibilium sensus est, consequenter intelligibilium est intellectio. Quod si non omnino receperint, erunt tamen intelligibilium quorundam intellectiones

καὶ νοητῶν τινων νοήσεις καὶ ἀμεγέθων ἀντιλήψεις. Πῶς οὖν μέγεθος ὂν τὸ μὴ μέγεθος νοήσει, καὶ τῷ μεριστῷ τὸ μὴ μεριστὸν νοήσει; ἢ μέρει τινὶ ἀμερεῖ αὐτοῦ; εἰ δὲ τοῦτο, οὐ σῶμα ἔσται τὸ νοῆσον· οὐ γὰρ δὴ τοῦ ὅλου χρεία πρὸς τὸ θιγεῖν· ἀρκεῖ γὰρ καθ' ἕν τι. Εἰ μὲν οὖν συγχωρήσονται τὰς πρώτας νοήσεις, ὅπερ ἀληθές ἐστιν, εἶναι τῶν πάντη σώματος καθαρωτάτων, αὐτὸ ἑκάστου, ἀνάγκη, καὶ τὸ νοοῦν, σώματος καθαρὸν ὂν ἢ γιγνόμενον, γιγνώσκειν. Εἰ δὲ τῶν ἐν ὕλῃ εἰδῶν τὰς νοήσεις φήσουσιν εἶναι, ἀλλὰ χωριζομένων γε τῶν σωμάτων γίγνονται, τοῦ νοῦ χωρίζοντος· οὐ γὰρ δὴ μετὰ σαρκῶν ἢ ὅλως ὕλης ὁ χωρισμὸς κύκλου, καὶ τριγώνου, καὶ γραμμῆς, καὶ σημείου. Δεῖ ἄρα καὶ τὴν ψυχὴν σώματος αὑτὴν ἐν τῷ τοιούτῳ χωρίσαι. Δεῖ ἄρα μηδὲ αὐτὴν σῶμα εἶναι. Ἀμέγεθες δὲ, οἶμαι, καὶ τὸ καλὸν καὶ τὸ δίκαιον καὶ ἡ τούτων ἄρα νόησις· ὥστε καὶ προσιόντα τῷ ἀμερεῖ αὐτῆς ὑποδέξεται, καὶ ἐν αὐτῇ ἐν ἀμερεῖ κείσεται. Πῶς δ' ἂν καὶ, σώματος ὄντος τῆς ψυχῆς, ἀρεταὶ αὐτῆς, σωφροσύνη καὶ δικαιοσύνη, (σωζομένης, καθ' ὅσον ἂν αὐτοῦ μεταλαμβάνῃ,) ἀνδρία τε καὶ ἄλλαι; πνεῦμά τι γὰρ, ἢ αἷμά τι τὸ σωφρονεῖν εἴη ἢ δικαιοσύνη, ἢ ἀνδρία· εἰ μὴ ἄρα ἡ ἀνδρία τὸ δυσπαθὲς τοῦ πνεύματος εἴη, καὶ ἡ σωφροσύνη ἡ εὐκρασία, τὸ δὲ κάλλος εὐμορφία τις ἐν τύποις, καθ' ἣν λέγομεν ἰδόντες ὡραίους καὶ καλοὺς τὰ σώματα· ἰσχυρῷ μὲν οὖν καὶ καλῷ ἐν τύποις πνεῦμά τι εἶναι προσήκοι ἄν· σωφρονεῖν δὲ τί δεῖ πνεύματι; ἀλλ' οὖν τοὐναντίον, ἐν περιπτύξεσι καὶ ἁφαῖς εὖ παθεῖν, ὅπου ἢ θερμανθήσεται, ἢ συμμέτρως ψύχεος ἱμερεῖ, ἢ μαλακοῖς τισι καὶ ἁπλοῖς καὶ λείοις πελάσει. Τὸ δὲ κατ' ἀξίαν νεῖμαι τί ἂν αὐτῷ μέλοι; Πότερον δὲ ἀϊδίων ὄντων τῶν τῆς ἀρετῆς θεωρημάτων καὶ τῶν ἄλλων τῶν νοητῶν ἡ ψυχὴ ἐφάπτεται, ἢ γίνεται ἡ ἀρετὴ, καὶ ὀφείλει πάλιν φθείρεσθαι; ἀλλὰ τίς ὁ ποιῶν, καὶ πόθεν; οὕτω γὰρ ἂν ἐκεῖνο πάλιν μένοι. Δεῖ ἄρα ἀϊδίων εἶναι καὶ μενόντων, οἷα καὶ τὰ ἐν γεωμετρίᾳ· εἰ δὲ ἀϊδίων καὶ μενόντων, οὐ σωμάτων. Καὶ δεῖ ἄρα καὶ ἐν ᾧ ἔσται, τοιοῦτον εἶναι· δεῖ ἄρα μὴ σῶμα εἶναι· οὐ γὰρ μένει, ἀλλὰ ῥεῖ ἡ σώματος φύσις πᾶσα.

Εἰ δὲ τὰς τῶν σωμάτων ποιήσεις ὁρῶντες θερμαινούσας, καὶ ψυχούσας, καὶ ὠθούσας, καὶ βαρυνούσας, ἐνταῦθα τάττουσι τὴν ψυχὴν, οἷον ἐν δραστηρίῳ τόπῳ ἱδρύοντες αὐτήν· πρῶτον μὲν ἀγνοοῦσιν, ὡς καὶ ταῦτα τὰ σώματα δυνάμεσι ταῖς ἐν αὐτοῖς ἀσωμάτοις ταῦτα ἐργάζεται· ἔπειτα, ὅτι οὐ ταύτας τὰς δυνάμεις περὶ ψυχὴν εἶναι ἀξιοῦμεν, ἀλλὰ τὸ νοεῖν, αἰσθάνεσθαι, λογίζεσθαι, ἐπιθυμεῖν, ἐπιμελεῖσθαι ἐμφρόνως καὶ καλῶς, ἅπαντα ἄλλην οὐσίαν ζητεῖ· τὰς οὖν δυνάμεις τῶν ἀσωμάτων μεταβιβάσαντες εἰς τὰ σώματα οὐδεμίαν ἐκείνοις καταλείπουσιν. Ὅτι δὲ καὶ τὰ σώματα ἀσωμάτοις δυνάμεσι δύναται, ἃ δύναται, ἐκ τῶνδε δῆλον. Ὁμολογήσουσι γὰρ ἕτερον ποιότητα καὶ ποσότητα εἶναι, καὶ πᾶν σῶμα ποσὸν εἶναι, καὶ ἔτι οὐ πᾶν

*et indivisibilium apprehensiones in nobis. Quonam igitur* pacto intellectus, si fuerit magnitudo, intelliget, quod est a magnitudine liberum, et cum natura dividua individuum apprehendet? An forte parte quadam ipsius indivisibili? quod quidem si ita sit, id ipsum, quod intelligit, non erit corpus. Non enim opus est toto ad attingendum: nam satis est uno quodam attingere. Si ergo concedent, primas intelligentias, quod et verum est, esse rerum a corpore prorsus absolutarum, scilicet ipsius uniuscujusque, ut dici solet, abstracti, necessarium est naturam quoque intelligentem eatenus intelligere, quatenus vel est vel fit a corpore libera. Si autem intelligentias dixerint versari circa formas materiæ adhærentes, fatebuntur tamen, *eas tunc duntaxat intelligi, quando a corporibus* segregantur, intellectu scilicet segregante. Non enim cum his carnibus vel omnino cum materia, ipse circulus et triangulus lineaque et punctum, eo ipso, quo a mente segregantur, gradu consistunt: quam ob rem animam quoque necesse est se ipsam a corpore in hoc habitu sevocare: oportet igitur neque ipsam corpus existere. Profecto ab omni magnitudine exemptum est ipsum pulchrum ipsumque justum, similiterque horum intelligentia. Quapropter *accedentia nobis impartibili quodam animi apprehendentur*, atque in hoc ipso impartibili sita manebunt. Denique, si anima corpus sit, non video, quomodo temperantia et justitia virtutes ejus sint, (quæ et hanc eatenus servent, quatenus capiuntur ab ipsa,) fortitudo ac ceteræ? Quippe spiritus videlicet aut sanguinis aliquid virtutes illæ essent. Nisi forte spiritus molestia quædam fortitudo sit, temperantia ejusdem commoda temperatio, et vera illa pulchritudo formosa quædam ac figuris adumbrata species, quam in nonnullis dum videmus, elegantes illos corporeque pulchros vocamus. Et sane, quod umbratilem tantum aliquam et figura tenus aut fortitudinem aut pulchritudinem habeat, spiritus conditio naturaque conveniat. *Temperantia vero quid opus spiritui?* Imo certe contra, in complexu tactuque commoditatem potius aliquam sequetur, sicubi aut calefiat aut frigus moderate capiet, aut mollibus, teneris ac lævibus adhæreat. Suum vero cuique pro dignitate tribuere ad ipsum quid attinet? *Utrum porro sempiternæ sunt virtutis illæ notiones* ceteraque id genus spiritalia, in quibus animus occupatur? an contra nascitur virtus, eademque rursus interibit? At quis eam aut qua ex re tandem efficiat? Tum enim hæc adhuc quæstio maneat necesse est. Sempiterna profecto illa esse oportet semperque manentia, cujusmodi ea sunt quæ ad geometriam pertinent. Quodsi sempiterna sunt, perpetuoque manentia, corpora igitur certe non sunt. Et id præterea, in quo versabuntur, simile quid esse oportebit, adeoque corpus non esse. Nec enim permanet, sed fluit assidue corporis natura quævis.

Quodsi, dum corporum ipsi functiones vident, quæ calefaciant, refrigerent, propellant ac deprimant, ibidem animum constituunt, eum velut actuoso quodam in loco defigentes: ignorant illi primum, ipsamet corpora suis quibusdam incorporeis facultatibus hæc omnia perficere: deinde ne hoc quidem a nobis facultatum genus animo tribui, sed potius ita statui, ut intelligere, sentire, ratiocinari, concupiscere, cuncta denique sapienter ac rite moderari, aliam hæc omnia quam corporis essentiam requirant. Isti vero, rerum incorporearum facultates ad corpora *transtulisse contenti, incorporeis ipsis nullam relinquunt.* Ceterum ipsa etiam corpora incorporeis facultatibus ea posse, quæ possint, ita planum efficio. Fatebuntur utique quantitatem esse a qualitate diversam: quippe corpus enim omne quantitate, nec omne tamen qualitate instructum

σῶμα ποσὸν εἶναι, ὥσπερ τὴν ὕλην. Ταῦτα δὲ ὁμολογοῦντες τὴν ποιότητα ὁμολογήσουσιν, ἕτερον οὖσαν ποσοῦ, ἕτερον σώματος εἶναι. Πῶς γὰρ μὴ ποσὸν οὖσα σῶμα ἔσται, εἴπερ πᾶν σῶμα ποσόν; καὶ μὴν καί, ὅπερ ἄνω που ἐλέγετο, εἰ πᾶν σῶμα μεριζόμενον καὶ ὄγκος πᾶς ἀφαιρεῖται, ὅπερ ἦν, κερματιζομένου δὲ τοῦ σώματος, ἐφ' ἑκάστῳ μέρει ἡ αὐτὴ ὅλη ποιότης μένει· οἷον γλυκύτης ἡ τοῦ μέλιτος οὐδὲν ἔλαττον γλυκύτης ἐστὶν ἐφ' ἑκάστῳ· οὐκ ἂν εἴη σῶμα γλυκύτης, ὁμοίως καὶ αἱ ἄλλαι. Ἔπειτα, εἰ σώματα ἦσαν αἱ δυνάμεις, ἀναγκαῖον ἦν τὰς μὲν ἰσχυρὰς τῶν δυνάμεων μεγάλους ὄγκους, τὰς δὲ ὀλίγον δρᾶν δυναμένας ὄγκους μικροὺς εἶναι. Εἰ δὲ μεγάλων μὲν τῶν ὄγκων μικραί, ὀλίγοι δὲ [ καὶ ] μικρότατοι ὄγκων μεγίστας ἔχουσι τὰς δυνάμεις, ἄλλῳ τινί, ἢ μεγέθει, τὸ ποιεῖν ἀναθετέον· ἀμεγέθει ἄρα. Τὸ δὲ ὕλην μὲν τὴν αὐτὴν εἶναι σῶμα, ὥς φασιν, οὖσαν, διάφορα δὲ ποιεῖν ποιότητας προσλαβοῦσαν, πῶς οὐ δῆλον ποιεῖ, τὰ προσγενόμενα λόγους αὐτοὺς καὶ ἀσωμάτους εἶναι; Μηδ', ὅτι πνεύματος ἢ αἵματος ἀποστάντων ἀποθνήσκει τὰ ζῶα, λεγόντων· οὐ γάρ ἐστιν ἄνευ τούτων εἶναι, οὐδ' ἄνευ πολλῶν ἄλλων, οὐδὲ ἂν ἡ ψυχὴ εἴη· καὶ μὴν οὔτε πνεῦμα διὰ πάντων οὔτε αἷμα.

Ἔτι δέ, εἰ σῶμα οὖσα ἡ ψυχὴ διῆλθε διὰ παντός, κἂν κραθεῖσα εἴη, ὃν τρόπον τοῖς ἄλλοις σώμασιν ἡ κρᾶσις· εἰ δὲ ἡ τῶν σωμάτων κρᾶσις, οὐδὲν ἐνεργείᾳ εἰσεῖναι τῶν κραθέντων· οὐδ' ἂν ἡ ψυχὴ ἔτι ἐνεργείᾳ ἐνείη τοῖς σώμασιν, ἀλλὰ δυνάμει μόνον, ἀπολέσασα τὸ εἶναι ψυχή· ὥσπερ, εἰ γλυκὺ καὶ πικρὸν κραθείη, τὸ γλυκὺ οὐκ ἔστιν· οὐκ ἄρα ἔχομεν ψυχήν. Τὸ δὲ δὴ σῶμα ὂν σώματι κεκρᾶσθαι, ὅλον δι' ὅλου, ὡς, ὅπου ἂν ᾖ θάτερον, εἶναι ἴσον ὄγκον ἀμφοτέρων, καὶ τὸ πᾶν κατεχόντων, καὶ μηδεμίαν αὔξησιν γεγονέναι ἐπεμβληθέντος τοῦ ἑτέρου, οὐδὲν ἀπολείψει, ὃ μὴ τέμῃ. Οὐ γὰρ κατὰ μεγάλα μέρη παραλλὰξ ἡ κρᾶσις· ( οὕτω γάρ φασι παράθεσιν ἔσεσθαι· ) διεληλυθὸς δὲ διὰ παντὸς τὸ ἐπεμβληθὲν ἐπὶ σμικρότερον· ( ὅπερ ἀδύνατον, τὸ ἔλαττον ἴσον γενέσθαι τῷ μείζονι· ) ἀλλ' οὖν διεληλυθός, πᾶν τέμνει κατὰ πᾶν· ἀνάγκη τοίνυν, εἰ καθ' ὁτιοῦν σημεῖον, καὶ μὴ μεταξὺ σῶμα ἔσται, ὃ μὴ τέτμηται, εἰς σημεῖα τὴν διαίρεσιν τοῦ σώματος γεγονέναι, ὅπερ ἀδύνατον· εἰς δὲ ἄπειρον τῆς τομῆς οὔσης, ( ὃ γὰρ ἂν λάβῃς σῶμα, διαιρετόν ἐστιν, ) οὐ δυνάμει μόνον, ἐνεργείᾳ δὲ τὰ ἄπειρα ἔσται· οὐ τοίνυν ὅλον δι' ὅλου χωρεῖν δυνατὸν τὸ σῶμα· ἡ δὲ ψυχὴ δι' ὅλων· ἀσώματος ἄρα.

Τὸ δὲ καὶ φύσει μὲν προτέραν τὸ αὐτὸ πνεῦμα λέγειν, ἐν δὲ ψυχρῷ γενομένην καὶ στομωθεῖσαν ψυχὴν γίγνεσθαι, λεπτοτέραν ἐν ψυχρῷ γενομένην, ὧδε καὶ αὐτὸ ἄτοπον· πολλὰ γὰρ ζῶα ἐν θερμῷ γίγνεσθαι, καὶ ψυχὴν ἔχειν οὐ ψυχθεῖσαν· ἀλλ' οὖν φασί γε προτέραν φύσιν ψυχῆς εἶναι κατὰ συντυχίας τὰς ἔξω γιγνομένην. Συμβαίνει οὖν αὐτοῖς τὸ χεῖρον πρῶτον ποιεῖν, καὶ πρὸ τούτου ἄλλο ἔλαττον, ἣν λέγουσιν ἕξιν· ὁ δὲ νοῦς ὕστα-

esse, uti de materia certo constat. Siquidem hoc utrumque dum fatentur, fatentur una qualitatem cum a quanto, tum etiam a corpore diversam esse. Quomodo enim, quæ quantitate careat, corpus esse possit, cum omne corpus quantitate sit præditum? Præterea, quod supra jam attigimus, si corpus molesque omnis, dum in partes secatur, id desinit esse, quod erat; si, corpore in minutissima quæque diviso, qualitas eadem singulis in partibus integra perseverat; uti mellis dulcedo nihilo minus qualibet ejus in parte dulcedo est: certe nec dulcedo illa nec similes aliæ qualitates corpora fuerint. Deinde, si corpora essent facultates illæ, valentiores utique facultates majori, imbecilliores minori mole præditas esse oporteret. Sin autem et vastæ molis vires exiguæ sunt, et immensæ (sunt) molis perexiguæ; alteri sane rei, quam magnitudini, efficiendi vis tribuenda erit: illi ergo tantum, quæ magnitudine careat. Quid? hoc ipsum quod ajunt, eandem omnino materiam et corpus esse, et susceptis deinde qualitatibus diversitatem efficere, nonne claro satis ostendit, quæ ad materiam accesserint, ea principes ipsas rationes et corpore carentes esse? Neque vero nobis objiciant, spiritu sanguineve dilapso animantes interire. Licet enim sine illis esse non possint, certe nec sine permultis aliis, ut ipsemet adsit animus, esse non possunt. Quanquam nec spiritus ipse nec sanguis partes per omnes usquequaque diffusus est.

Jam vero, si corporeus animus totum corpus undique pervaderet, cum eo penitus permixtus esset, quomodo ceteris in corporibus mixtio fieri consuevit. Quare cum ejusmodi corporum mixtio sit, ut ex iis, quæ commixta sunt, nullum actu insit, ne animus quidem actu in corporibus, sed potentia tantum inesset, animique naturam et rationem amitteret: quemadmodum, si cum acerbo dulce misceretur, dulce amplius non esset: ita nullum jam animum haberemus. Enimvero, si corpus cum corpore totum cum toto misceatur, ita ut, ubicunque alterutrum erit, ibidem amborum toto illo spatio diffusorum æqualis moles existat, nec ullum incrementum ex alterius accessione consequatur: nihil ab eo, quod non secet ac dividat, relinquetur. Nec enim in majoribus duntaxat partibus alterna quadam vicissitudine mixtio fit: (sic enim adjunctionem potius futuram aiunt:) sed totum alterum permeans, majus licet injectum in minus; (quod quidem fieri non potest, ut minus æquale majori fiat:) sed permeans tamen, totum ubique secat. Itaque necesse est, si hoc ipsum quovis in puncto fiet, nec medium corpus ullum erit, quod non secetur; ut in puncta corpus integrum dividatur, quod fieri nullo modo potest. Sin autem divisionis illius infinita ratio futura est (quodcunque enim corpus acceperis, dividuum semper est;) tunc vero non potentia duntaxat, sed etiam actu infinita erunt. Totum ergo corpus totum illud permeare non potest. Atqui totum animus permeat. Corpore ergo caret animus.

Quod autem priorem illam etiam natura spiritum proprie et peculiariter esse dicunt, quæ ψυχρῷ, hoc est frigido in loco posita atque aciem adepta majorem, ψυχή, hoc est, animus, frigoris vi tenuior subtiliorque factus evadat; hoc ipsum quidem absurdum est, cum pleræque animantes et calidis nascantur in locis, et animum habeant hujusmodi refrigerationis carentem. At priorem quoque animo naturam ex multiplici rerum ex ternarum casu existere ac pendere volunt. Illi ergo, quod deterius est, id primum faciunt, quo ipso præterea quiddam aliud, minus licet, prius tamen constituunt, quem habitum nominant.

τος, ἀπὸ τῆς ψυχῆς δηλονότι γενόμενος, ἢ εἰ πρὸ πάντων νοῦς, ἐφεξῆς ἔδει ψυχὴν ποιεῖν, εἶτα φύσιν· καὶ ἀεὶ τὸ ὕστερον χεῖρον, εἴπερ πέφυκεν. Εἰ οὖν καὶ ὁ θεὸς αὐτοῖς κατὰ τὸν νοῦν ὕστερος καὶ γεννητὸς, καὶ ἐπακτὸν τὸ νοοῦν ἔχων, ἐνδέχοιτο ἂν μηδὲ ψυχὴν, μηδὲ νοῦν, μηδὲ θεὸν εἶναι· εἰ τὸ δυνάμει, μὴ ὄντος πρότερον τοῦ ἐνεργείᾳ, [καὶ νοῦ,] γένοιτο, οὐδὲ ἥξει εἰς ἐνέργειαν· τί γὰρ ἔσται τὸ ἄγον, μὴ ὄντος ἑτέρου παρ' αὐτὸ προτέρου; εἰ δ' ἑαυτὸ ἄξει εἰς ἐνέργειαν, ὅπερ ἄτοπον, ἀλλὰ βλέπον γε πρός τι ἄξει, ὃ οὐ δυνάμει, ἐνεργείᾳ δὲ ἔσται. Καίτοι τὸ ἀεὶ μένειν τὸ αὐτὸ, εἴπερ τὸ δυνάμει ἕξει, καθ' ἑαυτὸ εἰς ἐνέργειαν ἥξει, καὶ τοῦτο κρεῖττον ἔσται τοῦ δυναμένου, οἷον ὀρεκτὸν ὂν ἐκείνου. Πρότερον ἄρα τὸ κρεῖττον, καὶ ἑτέραν φύσιν ἔχον σώματος, καὶ ἐνεργείᾳ ὂν ἀεί· πρότερον ἄρα καὶ νοῦς καὶ ψυχὴ φύσεως· οὐκ ἄρα οὕτως ψυχὴ ὡς πνεῦμα, οὐδ' ὡς σῶμα· ἀλλ' ὅτι μὲν οὐ σῶμα, λέγοιτ' ἂν, καὶ εἴρηται καὶ ἄλλοις ἕτερα, ἱκανὰ δὲ καὶ ταῦτα.

Ἐπεὶ δὲ καὶ ἄλλης φύσεως δεῖ ζητεῖν, τίς αὕτη. Ἆρ' οὖν ἕτερον μὲν σώματος, σώματος δέ τι, οἷον ἁρμονία; τοῦτο γὰρ ἁρμονίαν τῶν ἀμφὶ Πυθαγόραν λεγόντων ἕτερον τρόπον, ᾠήθησαν αὐτὸ τοιοῦτόν τι εἶναι, οἷον καὶ ἡ περὶ χορδὰς ἁρμονία. Ὡς γὰρ ἐνταῦθα ἐντεταμένων τῶν χορδῶν ἐπιγίνεταί τι οἷον πάθημα ἐπ' αὐταῖς, ὃ λέγεται ἁρμονία· τὸν αὐτὸν τρόπον καὶ τοῦ ἡμετέρου σώματος, ἐν *κράσει ἀνομοίων γινομένων*, τὴν ποιὰν κρᾶσιν ζωήν τε ἐργάζεσθαι καὶ ψυχὴν, οὖσαν τὸ ἐπὶ τῇ κράσει πάθημα. Ὅτι δὲ ἀδύνατον, πολλὰ ἤδη πρὸς ταύτην τὴν δόξαν εἴρηται· καὶ γὰρ, ὅτι μὲν πρότερον ἡ ψυχὴ, ἡ δ' ἁρμονία ὕστερον· καὶ ὡς τὸ μὲν ἄρχει καὶ ἐπιστατεῖ τῷ σώματι, καὶ μάχεται πολλαχῇ, ἁρμονία δὲ οὐκ ἂν οὖσα ταῦτα ποιοῖ· καὶ ὡς τὸ μὲν οὐσία, ἡ δὲ ἁρμονία οὐκ οὐσία· καὶ ὅτι ἡ κρᾶσις τῶν σωμάτων, ἐξ ὧν συνέσταμεν, ἐν λόγῳ οὖσα, ὑγεία ἂν εἴη· καὶ ὅτι καθ' ἕκαστον μέρος ἄλλως κραθὲν εἴη ἂν ψυχὴ ἑτέρα, ὥστε πολλὰς εἶναι· καὶ τόδε μέγιστον, ὡς ἀνάγκη πρὸ τῆς ψυχῆς ταύτης ἄλλην ψυχὴν εἶναι, τὴν ποιοῦσαν τὴν ἁρμονίαν ταύτην, οἷον ἐπὶ τῶν ὀργάνων τὸν μουσικὸν, τὸν ἐντιθέντα ταῖς χορδαῖς τὴν ἁρμονίαν, λόγον ἔχοντα παρ' αὐτῷ, καθ' ὃν ἁρμόσει. Οὔτε γὰρ ἐκεῖ αἱ χορδαὶ παρ' αὐτῶν, οὔτ' ἐνταῦθα τὰ σώματα ἑαυτὰ εἰς ἁρμονίαν ἄγειν δυνήσεται· ὅλως δὲ καὶ οὗτοι ἐξ ἀψύχων ἔμψυχα ποιοῦσι, καὶ ἐξ ἀτάκτων κατὰ συντυχίαν τὰ τεταγμένα τὴν τάξιν καὶ τὴν ὑπόστασιν εἰληφέναι· τοῦτο δὲ οὔτε ἐν *τοῖς κατὰ μέρος, οὔτε ἐν τοῖς ἄλλοις δυνατὸν γενέσθαι.* Οὐκ ἄρα ἡ ψυχὴ ἁρμονία.

Mens autem postremo ab iis loco numeratur, ab anima scilicet profecta. Nam si princeps omnium mens ponitur, secundo in gradu animum, naturam denique in tertio collocare oporteat; itaque semper, quod deterius sit, habere posterius, siquidem eo modo natum est. Si ergo deus ipse quoque, pro eo ac mente præditus est, posterior idem ac genitus sit, atque adventitiam mentem ipsam habeat; concludi fortasse possit, neque animum, neque mentem, neque deum esse. Numquam enim, quod potentia tantummodo est, nisi prius id fuerit, quod actu sit, actu ipso futurum est. Cujus enim vi exsistat aliquando, si aliud præter ipsum nihil eoque prius fuerit? Sin autem se proferet producetque per sese in actum (quod ipsum tamen absurdum est), certe dum se ita proferet, aliquid intuebitur, quod non potentia, sed actu erit. Quanquam id, quod potentia est, si habeat idem, ut sui semper simile maneat, exsistet actu per sese, atque id erit solam exsistendi potestatem habente præstantius, cum ab illo appetitur. Maneat igitur, prius id esse, quod præstantius sit, itemque quod diversam a corpore naturam habeat, quodque actu semper exsistat. Inde enim, mentem et animum natura priores esse, nec spiritus aut corporis similem animum esse, conficitur. Et quidem ad animum corporeæ naturæ subducendum ab aliis cum et proferri alia possunt, et prolata jam sunt, tum hæc quoque nostra satis erunt.

At quærendum porro, cujusnam alterius naturæ fuerit. Num igitur ita diversus a corpore est, ut tamen aliquid sit, quod eidem corpori maxime conveniat, cujusmodi harmonia est? Cum enim Pythagoras longe aliter hoc de harmoniæ genere disputaret, id isti ejus, quæ in fidibus sit, harmoniæ simile quid esse putaverunt. Ut enim hic, dum fides intenduntur, quædam illis accedit affectio; quam harmoniam vocamus, ita plane, cum inter sese mutuo dissidentia temperantur, certam hanc corporis nostri temperationem vitam simul et animam efficere, quæ aliud nihil sit, quam illa ex temperatione profecta singularis quædam et peculiaris affectio. Verum adversus hanc opinionem tanquam omni probabilitate carentem multa quoque disputata jam sunt: principio, animam prius esse aliquid, harmoniamque posterius; deinde, animam non corpori præesse tantum ac moderari, sed etiam cum eo pugnare sæpe, quod factura nunquam esset, si esset harmonia: tum, *animam esse substantiam, qualis harmonia* non sit: ad hæc, illam ipsam corporum, ex quibus concreti sumus, certam justamque temperationem valetudinis potius integritatem esse: hoc, partibus in singulis diversa quadam ratione temperatis animam quoque diversam, proindeque plures uno in corpore futuras esse: postremo, quod hoc in genere potissimum est, ante hanc ipsam animam aliam inesse quandam oportere, quæ harmoniam illam efficeret; qualem organis præesse musicum hominem videmus, qui harmoniam fidibus immittat, eamque rationem penes sese habeat, qua illam omnem rite moderetur. Nec enim aut fides illic per se ipsas, aut corpora hic eam ad harmoniam se ipsa perducere unquam poterunt. Ceterum, uti hoc universe dicatur, ex inanimis isti animata constituunt, atque ex inordinatis ordinata suum hunc ordinem propriamque naturam casu quodam accepisse volunt. Quod tamen nec singulis in partibus, nec *ullo in toto evenire potest. Non est igitur animus harmonia.*

Essentia corporea tanquam imperfecta, pendet ab incorporea perfecta, quæ quidem, cum ex se ipsa primoque sit et vivat, semper est et vivit, in cujus genere anima continetur.

Anima quoniam in genere divinorum est ultima, ideo cum caducis videtur inire commercium, ex quo optimus ejus habitus intermittitur. At quoniam in divinorum genere comprehenditur, naturam assidue servat, seque potest in dignitatem pristinam revocare.

Θ'. Ἡ δὲ ἑτέρα φύσις, ἡ παρ' αὑτῆς ἔχουσα τὸ εἶναι πᾶν τὸ ὄντως ὂν, ὃ οὔτε γίγνεται, οὔτε ἀπόλλυται,

IX. Omnino vero necesse est, alteram quandam esse naturam præter corpora, quæ esse habeat ex se ipsa, taleque esse omne, quod vere ens judicatur, quod quidem ne-

ἢ τὰ ἄλλα πάντα οἰχήσεται, καὶ οὐκ ἂν ὕστερον γένοιτο τούτου ἀπολωλότος, ὃ παρέχει αὐτοῖς σωτηρίαν τοῖς τε ἄλλοις καὶ τῷδε τῷ παντὶ, διὰ ψυχῆς σωζομένῳ καὶ κεκοσμημένῳ. Ἀρχὴ γὰρ κινήσεως ἥδε χορηγοῦσα τοῖς ἄλλοις κίνησιν, αὐτὴ δὲ ἐξ ἑαυτῆς κινουμένη καὶ ζωὴν τῷ ἐμψύχῳ σώματι διδοῦσα· αὐτὴ δὲ παρ' ἑαυτῆς ἔχουσα, ἣ οὔποτε ἀπόλλυσιν, ἅτε παρ' ἑαυτῆς ἔχουσα. Οὐ γὰρ δὴ πάντα ἐπακτῷ ζωῇ χρῆται, ἢ εἰς ἄπειρον εἶσιν· ἀλλὰ δεῖ τινα φύσιν πρώτως ζῶσαν εἶναι, ἀνώλεθρον καὶ ἀθάνατον εἶναι δεῖ ἐξ ἀνάγκης, ἅτε ἀρχὴν ζωῆς καὶ τοῖς ἄλλοις οὖσαν. Ἔνθα δὴ καὶ τὸ θεῖον ἅπαν καὶ τὸ μακάριον ἱδρύσθαι δεῖ, ζῶν παρ' αὐτοῦ καὶ ὂν παρ' αὐτοῦ, πρώτως ὂν, καὶ ζῶν πρώτως, μεταβολῆς κατ' οὐσίαν ἄμοιρον, οὔτε γιγνόμενον οὔτε ἀπολλύμενον. Πόθεν γὰρ ἂν καὶ γένοιτο, ἢ εἰς τί ἀπόλοιτο; καὶ εἰ δεῖ ἐπαληθεύειν τὴν τοῦ ὄντος προσηγορίαν, αὐτὸ οὐ ποτὲ μὲν εἶναι, ποτὲ δὲ οὐκ εἶναι δεήσει· ὡς καὶ τὸ λευκὸν αὐτὸ τὸ χρῶμα, οὐ ποτὲ μὲν λευκὸν, ποτὲ δὲ οὐ λευκόν. Εἰ δὲ καὶ ὂν ἦν τὸ λευκὸν, μετὰ τοῦ λευκὸν εἶναι ἦν ἂν ἀεί· ἀλλὰ μόνον ἔχει τὸ λευκόν· ᾧ δ' ἂν τὸ ὂν ᾖ παρὸν, παρ' αὐτοῦ καὶ πρώτως ὂν ἀεὶ ἔσται. Τοῦτο τοίνυν τὸ ὂν πρώτως καὶ ἀεὶ ὂν οὐχὶ νεκρὸν, ὥσπερ λίθον ἢ ξύλον, ἀλλὰ ζῶν εἶναι δεῖ, καὶ ζωῇ καθαρᾷ κεχρῆσθαι, ὅσον ἂν αὐτοῦ μένῃ μόνον· ὃ δ' ἂν συμμιχθῇ χείρονι, ἐμπόδιον μὲν ἔχειν πρὸς τὰ ἄριστα, οὔτοι γε μὴν τὴν αὐτοῦ φύσιν ἀπολωλέναι, ἀναλαβεῖν δὲ τὴν ἀρχαίαν κατάστασιν, ἐπὶ τὰ αὐτοῦ ἀναδραμόν.

quae fit neque perit: alioquin caetera omnia dilaberentur, neque gignerentur iterum, si quando ejusmodi natura perierit: quae profecto his omnibus salutem praebet, et ipsi etiam universo servato per animam atque exornato. Haec enim motus principium est, aliis exhibens motionem, movens interim semet ipsam, et vitam animato corpori praestans: ipsa vero ex se ipsa possidens, amissura nunquam, utpote quae hanc habeat a se ipsa. Non enim omnia peregrina utuntur vita, alioquin in infinitum progressio fiet: sed oportet naturam quandam existere primo viventem, quam incorruptibilem immortalemque esse necessarium est: utpote quae aliis sit vitae principium. Hoc sane in gradu omne divinum atque beatum oportet consistere, ex se ipso vivens atque existens, primo existens primoque vivens, mutationis secundum essentiam expers, neque oriens neque occidens. Nam unde nascatur, vel in quid resolvatur? ac si oportet veram huic ipsius entis appellationem inesse, non debet alias quidem esse, alias vero non esse: quemadmodum color ipse per se albus non tum quidem albus est, tum vero non albus. Si autem ipsum album esset ipsum ens, nimirum una cum eo, quod album est, esset et semper: nunc vero solum hoc habet, ut sit album. At illud, cui ens ipsum adsit ex se ipso primumque ens, procul dubio semper existit. Hoc itaque primo ens semperque ens non decet vita carere instar lapidis aut ligni: sed oportet esse vivens puraque vita frui; quantum videlicet ipsius manet solum: quod autem ex ipso miscetur deteriori, impedimentum quidem subire ad optima, neque tamen naturam suam amittere, sed antiquum habitum, quando recurrit in sua, quandoque resumere.

Duae sunt mentium divinarum dotes: una quidem claritas intellectus omnia cernens; altera vero optimus vitae habitus. Ejusmodi dotes maxime consequitur animus, quando se ipsum ab omni labe corporea segregans revertitur in se ipsum. Ex quo apparet eum esse divinis mentibus natura cognatum.

Duo sunt apud nos argumenta divinitatis: alterum prophetia; alterum prodigiosorum operum demonstratio. Quicunque vero divina haec munera reportarunt, ex hoc uno duntaxat officio haec sibi vindicavisse videntur, quod animam a corpore revocaverint ad se ipsam. Unde constat, ipsam animae naturam per se esse cum divinitate conjunctam.

Ι΄. Ὅτι δὲ τῇ θειοτέρᾳ φύσει συγγενὴς ἡ ψυχὴ καὶ τῇ ἀιδίῳ, δῆλον μὲν ποιεῖ καὶ τὸ μὴ σῶμα αὐτὴν δεδεῖχθαι, καὶ μὴν οὔτε σχῆμά ἔχει, οὔτε χρῶμα, ἀναφής τε. Οὐ μὴν ἀλλὰ καὶ ἐκ τῶνδε ἔστι δεικνύναι· ὁμολογουμένου δὴ ἡμῖν παντὸς τοῦ θείου καὶ τοῦ ὄντως ὄντος ζωῇ ἀγαθῇ κεχρῆσθαι καὶ ἔμφρονι, σκοπεῖν δεῖ τὸ μετὰ τοῦτο ἀπὸ τῆς ἡμετέρας ψυχῆς, οἷόν ἐστι τὴν φύσιν. Λάβωμεν δὲ ψυχὴν, μὴ τὴν ἐν σώματι, ἐπιθυμίας ἀλόγους καὶ θυμοὺς προσλαβοῦσαν, καὶ πάθη ἄλλα ἀναδεξαμένην, ἀλλὰ τὴν ταῦτα ἀποτριψαμένην, καὶ καθ' ὅσον οἷόν τε μὴ κοινωνοῦσαν τῷ σώματι, ἥτις καὶ δῆλον ποιεῖ, ὡς προσθῆκαι τὰ κακὰ τῇ ψυχῇ, καὶ ἄλλοθεν, καθηραμένῃ δὲ αὐτῇ ἐνυπάρχει τὰ ἄριστα, φρόνησις καὶ ἡ ἄλλη ἀρετὴ, οἰκεῖα ὄντα. Εἰ οὖν τοιοῦτον ἡ ψυχὴ, ὅταν ἐφ' ἑαυτὴν ἀνέλθῃ, πῶς οὐ τῆς φύσεως ἐκείνης, οἵαν φαμὲν τὴν τοῦ θείου καὶ ἀιδίου παντὸς εἶναι; φρόνησις γὰρ καὶ ἀρετὴ ἀληθὴς θεῖα ὄντα οὐκ ἂν ἐγγένοιτο φαύλῳ τινὶ καὶ θνητῷ πράγματι, ἀλλ' ἀνάγκη θεῖον τὸ τοιοῦτον εἶναι, ἅτε θείων μετὸν αὐτῷ διὰ συγγένειαν, καὶ τὸ ὁμοούσιον. Διὸ καὶ

X. Animam vero cognatam esse divinioris sempiternaeque naturae, ex eo patet, quod non sit corpus, ut nobis est demonstratum, neque figuram habeat neque colorem, neque molem vel qualitatem ullo pacto tractabilem. Idem praeterea per haec licet ostendere. Profecto cum nobis constet, omne divinum vereque ens vita frui bona atque sapiente: considerandum est deinceps de anima nostra, qualis potissimum sit natura. Accipiamus vero animam non in corpore irrationales concupiscentias et iras concipientem, perturbationesque alias admittentem: sed quae haec expulerit omnia, neque cum corpore commercium habeat ullum, nisi quantum summa cogat necessitas. Quae quidem anima nobis procul dubio patefaciet, vitia et mala ipsius animae additamenta quaedam esse, et ab extrinseco nobis injecta: neque purificato jam animo inesse comperiuntur optima, scilicet sapientia et reliqua virtus, tanquam familiaria. Si ergo tale quiddam est anima, quoties revertitur in se ipsam, quidnam obstat, quominus in gradu sit ejus naturae, quam divini omnis sempiternique esse fatemur? Sapientia enim veraque virtus, cum divinae res sint, non possunt alicui unquam vili mortalique inesse naturae, sed necesse est, tale quiddam esse divinum: quippe cum compos sit divinorum ob cognationem quandam communionemque substantiae. Quam ob

ὅστις τοιοῦτος ἡμῶν, ὀλίγον ἂν παραλλάττοι τῶν ἄνω τῇ ψυχῇ αὐτῇ, μόνον τοῦτο, ὅσον ἐστὶν ἐν σώματι, ἐλαττούμενος. Διὸ καὶ, εἰ πᾶς ἄνθρωπος τοιοῦτος ἦν, ἢ πλῆθός τι τοιαύταις ψυχαῖς κεχρημένον, οὐδεὶς οὕτως
b ἦν ἄπιστος, ὡς μὴ πιστεύειν τὸ τῆς ψυχῆς αὐτοῖς πάντη ἀθάνατον εἶναι. Νῦν δὲ πολλαχοῦ λελωβημένην τὴν ἐν τοῖς πλείστοις ψυχὴν ὁρῶντες, οὔτε ὡς περὶ θείου, οὔτε ὡς περὶ ἀθανάτου χρήματος διανοοῦνται. Δεῖ δὲ τὴν φύσιν ἑκάστου σκοπεῖσθαι, εἰς τὸ καθαρὸν αὐτοῦ ἀφορῶντα, ἐπείπερ τὸ προστεθὲν ἐμπόδιον ἀεὶ πρὸς γνῶσιν τοῦ, ᾧ προσετέθη, γίγνεται. Σκόπει δὴ ἀφελὼν, μᾶλλον δὲ ὁ ἀφελὼν ἑαυτὸν ἰδέτω, καὶ πιστεύσει ἀθάνατος εἶναι, ὅταν ἑαυτὸν θεάσηται ἐν τῷ νοητῷ καὶ ἐν τῷ καθαρῷ γεγενημένον. Ὄψεται γὰρ νοῦν ὁρῶντα οὐκ αἰσθητόν τι, οὐδὲ τῶν θνητῶν τούτων, ἀλλ' ἀϊδίῳ τὸ ἀΐδιον κατανοοῦντα, πάντα τὰ ἐν τῷ νοητῷ κόσμῳ, καὶ αὐτὸν νοητὸν καὶ φωτεινὸν γεγενημένον, ἀληθείᾳ καταλαμπόμενον τῇ παρὰ τοῦ ἀγαθοῦ, ὃ πᾶσιν ἐπιλάμπει τοῖς νοητοῖς ἀλήθειαν· ὡς πολλάκις αὐτῷ δόξαι τοῦτο δὴ καλῶς εἰρῆσθαι· Χαίρετ', ἐγὼ δ' ὑμῖν θεὸς ἄμβροτος, πρὸς τὸ θεῖον ἀναβὰς, καὶ τὴν πρὸς αὐτὸ ὁμοιότητα ἀτενίσας. Εἰ δ' ἡ κάθαρσις ποιεῖ ἐν γνώσει τῶν ἀρίστων εἶναι, καὶ αἱ ἐπιστῆμαι ἔνδον οὖσαι ἀναφαίνονται, αἳ δὴ καὶ ὄντως ἐπιστῆμαί εἰσιν. Οὐ γὰρ δὴ ἔξω που δραμοῦσα ἡ ψυχὴ σωφροσύνην καθορᾷ καὶ δικαιοσύνην, ἀλλ' αὐτὴ παρ' αὐτῇ ἐν τῇ κατανοήσει ἑαυτῆς καὶ τοῦ, ὃ πρότερον ἦν, ὥσπερ ἀγάλματα ἐν αὐτῇ ἱδρυμένα ὁρῶσα, οἷα ὑπὸ χρόνου ἰοῦ πεπληρωμένα καθαρὰ ποιησαμένη· οἷον εἰ χρυσὸς ἔμψυχος εἴη, εἶτα ἀποκρουσάμενος, ὅσον γεηρὸν αὐτῷ, ἐν ἀγνοίᾳ πρότερον ἑαυτοῦ ὢν, ὅτι μὴ χρυσὸν ἑώρα, τότε δὴ αὐτὸν ἤδη τοῦ χρήματος θαυμάσειεν, ὁρῶν μεμονωμένον, καὶ ὡς οὐδὲν ἄρα ἔδει αὐτῷ κάλλους ἐπακτοῦ, ἐνθυμοῖτο αὐτὸς κρατιστεύων, εἴ τις αὐτὸν ἐφ' ἑαυτοῦ ἐῴη εἶναι.

rem, quicumque nostrûm sic est affectus, exiguo quodam secundum animam a supernis distare videtur: in hoc videlicet duntaxat *cedens, quod est in corpore. Quapropter,* si vel omnes homines, vel plurimi talibus essent præditi animis, nullus adeo foret incredulus, ut aliquando diffideret, *animæ ipsorum naturam esse penitus immortalem.* Nunc vero, cum homines animam in plurimis deprehendant vitiis inquinatam, nimirum neque rem divinam neque *immortalem esse facile judicant. Oportet autem naturam* uniuscujusque considerare ad ipsum ejus purum respicientes. Nam quod adjunctum est, cognitionem ejus, *cui est additum, semper impedire solet. Considera igitur* auferendo: imo vero ille ipse, qui aufert, se ipsum intueatur, seque immortalem esse facile credet: quando scilicet *se ipsum in mundo intelligibili puroque loco perspexerit* habitantem. Cernet enim intellectum videntem, non sensibile quicquam, neque ex his mortalibus aliquid, sed vi *sempiterna sempiternum rite considerantem: et omnia in* mundo intelligibili, seque ipsum intelligibilem lucidumque effectum: veritate videlicet illustratum, quæ quidem ab *ipso bono coruscat, quod intelligibilia omnia veritate col*lustrat. Jam igitur huic animo dictum illud valde conveniet: Valete vos: ego vero immortalis jam deus, profectus *ad divinum, divinæ similitudini totus incumbo. Si ergo* purificatio ipsa efficit, ut animus optima quæque cognoscat, nimirum scientiæ latentes intus effulgent, quæ et re vera *scientiæ sunt. Anima enim non extra currens temperan*tiam perspicit et justitiam: sed penes se ipsam in sui ipsius animadversione, ejusque, quod prius erat, agnitione, velut *divinas imagines in se sitas jam intuetur,* quas ante per tempus rubigine obsitas jam rite detersit: velut si aurum forte animatum foret, et quia terra obsitum, ideo non se *intuens aurum, se ipsum penitus ignoraret: ali*quando vero a se terram excutiens, cernensque purum, se ipsum admiraretur, cognosceretque non sibi opus esse extrinseca pulchritudine, optime *secum agi putans, si quis* ipsum in se tantum manere permittat.

Corpus animatum ipsius animæ beneficio habet, ut ex se quodammodo moveatur. Igitur anima potissimum habet idem: igitur et vitam ex se habet: igitur et in se a corpore non pendentem: semper ergo vivit etiam a corpore separata.
Animam ex se et in se moveri, vivereque etiam sine corporis sustentaculo apparet, præterea maxime, quando contra inclinationes corporis sese movet, et quando se ad incorporea transfert: si quod vero accidentale vitæ vestigium corpori est impressum, *redigendum est ad substantialem animæ vitam in se existentem, sicut calor vel pallor nobis ad lumen: atqui, ut lumen ad* solem, sic anima refertur ad mentem.

ΙΑ'. Περὶ τοιούτου χρήματος τίς ἂν ἀμφισβητοίη νοῦν ἔχων, ὡς οὐκ ἀθάνατον, ᾧ πάρεστι μὲν ἐξ ἑαυτοῦ ζωὴ, ἣν οὐχ οἷόν τε ἀπολέσθαι; πῶς γὰρ οὐκ ἐπίκτητόν γε οὖσαν, οὐδ' αὖ οὕτως ἔχουσαν, ὡς τῷ πυρὶ ἡ θερμότης πάρεστι; λέγω δὲ οὐχ ὡς ἐπακτὸν ἡ θερμότης τῷ πυρὶ, ἀλλ' ὅτι, εἰ καὶ μὴ τῷ πυρὶ, ἀλλὰ τῇ ὑποκειμένῃ τῷ πυρὶ ὕλῃ· ταύτῃ γὰρ καὶ διαλύεται τὸ πῦρ· ἡ δὲ ψυχὴ οὐχ οὕτω τὴν ζωὴν ἔχει, ὡς ὕλην μὲν οὖσαν ὑποκεῖσθαι, ζωὴν δὲ ἐπ' αὐτῇ γενομένην τὴν ψυχὴν ἀποδεῖξαι· ἢ γὰρ οὐσία ἐστὶν ἡ ζωὴ, καὶ ἔστιν οὐσία ἡ τοιαύτη παρ' αὑτῆς ζῶσα, ὅπερ ἐστὶν, ὃ ζητοῦμεν, ἡ ψυχὴ, καὶ τοῦτο ἀθάνατον ὁμολογοῦσι, ἢ ἀναλύσουσιν ὡς σύνθετον· καὶ τοῦτο πάλιν, ἕως ἂν εἰς ἀθάνατον ἔλθωσι παρ' αὑτοῦ κινούμενον, ᾧ μὴ

XI. Nemo igitur sanæ mentis rem talem intuitus dubitabit, quin sit immortalis, cui ex se inest vita, quæ interire non potest: quo enim pacto interibit, cum non sit adventitia? neque ita se habeat, ut calor ad ignem? Non equidem hoc ideo dico, quod calorem igni adventitium esse *putem, sed quia calor non tam igni, quam materiæ ignis* insit. Ob hoc itaque etiam dissolvitur ignis, anima vero non sic habet vitam, ut ibi quidem materia sit subjecta, vita vero illi accedens effectam præstet animam: *aut enim* essentia est ipsa vita, atque est essentia talis ex se ipsa vivens, quod quidem est id, quod quærimus, anima: idque sane esse immortale confitebuntur: aut resolvent velut *compositum, idque rursus, quousque ad immortale per*veniant, se ipsum movens, quod nefas est mortem subire:

θέμις θανάτου μοῖραν δέχεσθαι· ἢ πάθος ἐπακτὸν τῇ ὕλῃ λέγοντες τὴν ζωὴν, παρ' ὅτου τοῦτο τὸ πάθος ἐλήλυθεν εἰς τὴν ὕλην, αὐτὸ ἐκεῖνο ἀναγκασθήσονται ὁμολογεῖν ἀθάνατον εἶναι, ἄδεκτον ὂν τοῦ ἐναντίου ᾧ ἐπιφέρει· ἀλλὰ γάρ ἐστι μία φύσις, ἐνεργείᾳ ζῶσα.

aut si forte vitam esse dicant affectionem quandam materiae accidentem, illud tandem, a quo talis affectio tradita est materiae, fateri immortale cogentur: quippe cum contrarium ejus, quod affert, suscipere nequeat, sed revera est una natura actu vivens.

Anima nostra mundi animam motu rerumque intelligentia imitans sempiterna est, sicut et illa praesertim: quoniam dum, revocando se ad intima sui, res intelligit, declarat absolutas rerum formas sibi ingenitas se habere.

Denique, cum anima sit forma simplex, individua, non alligata materiae, neque dissolvi potest, neque dividi, neque disperdi.

ΙΒ'. Ἔτι, εἰ πᾶσαν ψυχὴν φήσουσι φθαρτὴν, πάλαι ἂν ἔδει πάντα ἀπολωλέναι· εἰ δὲ τὴν μὲν, τὴν δ' οὔ, οἷον τὴν τοῦ παντὸς ἀθάνατον εἶναι, τὴν δ' ἡμετέραν μὴ, λεκτέον αὐτοῖς τὴν αἰτίαν. Ἀρχή τε γὰρ κινήσεως ἑκατέρα, καὶ ζῇ παρ' αὐτῆς ἑκατέρα, καὶ τῶν αὐτῶν τῷ αὐτῷ ἐφάπτεται, νοοῦσα τά τε ἐν τῷ οὐρανῷ, τά τε οὐρανοῦ ἐπέκεινα, καὶ πᾶν, ὅ ἐστι κατ' οὐσίαν, ζητοῦσα, καὶ μέχρι τῆς πρώτης ἀρχῆς ἀναβαίνουσα. Ἥ τε δὴ παρ' αὐτῆς ἐκ τῶν ἐν αὐτῇ θεαμάτων κατανόησις αὐτοεκάστου, καὶ ἐξ ἀναμνήσεως γιγνομένη, πρὸ σώματός τε αὐτῇ δίδωσι τὸ εἶναι, καὶ ἀϊδίοις ἐπιστήμαις κεχρημένην, ἀΐδιον καὶ αὐτὴν εἶναι. Πᾶν τε τὸ λυόμενον, σύνθεσιν εἰς τὸ εἶναι εἰληφὸς, ταύτῃ διαλύεσθαι πέφυκεν, ᾗ συνετέθη· ψυχὴ δὲ μία καὶ ἁπλῆ ἐνέργεια οὖσα ἐν τῷ ζῆν φύσις, οὐ τοίνυν ταύτῃ φθαρήσεται· ἀλλ' ἆρα μερισθεῖσα κερματιζομένη ἀπόλοιτο ἄν; Ἀλλ' οὐκ ὄγκος τις οὐδὲ ποσὸν, ὡς ἐδείχθη, ἡ ψυχή. Ἀλλ' ἀλλοιωθεῖσα ἥξει εἰς φθοράν; ἀλλ' ἡ ἀλλοίωσις φθείρουσα τὸ εἶδος ἀφαιρεῖ, τὴν δὲ ὕλην ἐᾷ. Τοῦτο δὴ συνθέτου πάθος· εἰ οὖν κατὰ μηδὲν τούτων οἷόν τε φθείρεσθαι, ἄφθαρτον εἶναι ἀνάγκη.

XII. Proinde, si omnem animam esse caducam dicant, jam diu oportuerat omnia funditus deperiisse: sin autem aliam quidem animam esse caducam, aliam vero nequaquam, ceu universi animam immortalem, nostram vero mortalem: differentiae hujus causa illis est assignanda. Utraque sane motionis principium est, et utraque ex se ipsa vivit, atque eadem attingit eadem, intelligens cum quae in caelo sunt, tum quae supra caelum, et omne, quod secundum essentiam est, perquirens, et denique usque ad summum principium omnium proficiscens. Praeterea ex eo, quod per se ipsam ex notionibus intimis, quod ipsum unumquodque sit, invenit, quodam scilicet reminiscentiae munere, constat animam ante corpus vivere, scientiisque sempiternis utentem ipsam esse pariter sempiternam. Accedit ad haec, quod omne solubile, cum ex compositione susceperit esse, hac conditione naturaliter dissolvi potest, qua est et compositum. Anima vero una est et simplex actus, et natura in vivendo consistens: non igitur hac ratione poterit interire. Sed numquid divisa quandoque in partes et dissipata peribit? At anima, ut demonstratum est, neque moles est, neque quantum quicquam. Num forte permutata et (ut dici solet) alterata perdetur? Verum alteratio quidem cum interimit, speciem aufert relicta materia. Haec autem est compositi passio. Si ergo nullo ex his modo corrumpi potest, incorruptibilem esse necessarium est.

Anima nostra etsi est in genere divinorum, tamen, quia in eo genere ultimum tenet gradum, merito descendit in corpus, et id quidem caducum, ad divinum gradum iterum reversura.

Natura intellectus longe diversa est a corpore: agit enim in se ipsa fugiens interim a corporeis. Igitur inter puros intellectus et corpora sunt naturae habentes partem quidem intellectualem, partem etiam animalem, id est, ad corpora sibi conformanda vergentem. Sunt in his tres gradus: nam in animis quidem caelestibus intellectio superat animalem: in nostris vero vicissim: in daemoniis aeque se habent: nihil ergo mirum est animam nostram, quamvis divinam, in corpus mortale descendere, quando in se ipsa descendit ad tertia, id est, sub intellectu per rationem et imaginationem ad potentiam vegetalem.

ΙΓ'. Πῶς οὖν, τοῦ νοητοῦ χωριστοῦ ὄντος, ἥδε εἰς σῶμα ἔρχεται; ὅτι, ὅσος μὲν νοῦς μόνος ἀπαθὴς ἐν τοῖς νοητοῖς, ζωὴν μόνον νοερὰν ἔχων, ἐκεῖ ἀεὶ μένει. Οὐ γὰρ ἔνι ὁρμὴ, οὐδ' ὄρεξις· ὃ δ' ἂν ὄρεξιν προσλάβῃ, ἐφεξῆς ἐκείνῳ τῷ νῷ ὂν, τῇ προσθήκῃ τῆς ὀρέξεως οἷον πρόεισιν ἤδη ἐπὶ πλέον, καὶ κοσμεῖν ὀρεγόμενον καθὰ ἐν νῷ εἶδεν, ὥσπερ κυοῦν ἀπ' αὐτῶν, καὶ ὠδῖνον γεννῆσαι, ποιεῖν σπεύδει καὶ δημιουργεῖ, καὶ τῇ σπουδῇ ταύτῃ περὶ τὸ αἰσθητὸν τεταμένη, μετὰ μὲν πάσης τῆς τῶν ὅλων ψυχῆς ὑπερέχουσα τοῦ διοικουμένου εἰς τὸ ἔξω, καὶ τοῦ παντὸς συνεπιμελουμένη, μέρος δὲ διοικεῖν βουληθεῖσα, μονουμένη, καὶ ἐν ἐκείνῳ γιγνομένη, ἐν ᾧ ἐστιν, οὐχ ὅλη οὐδὲ πᾶσα τοῦ σώματος γενομένη, ἀλλά τι καὶ ἔξω σώματος ἔχουσα· οὔκουν οὐδὲ ὁ ταύτης νοῦς ἐμπαθής· αὕτη δὲ ὁτὲ μὲν ἐν σώματι, ὁτὲ δὲ σώματος ἔξω, ὁρμηθεῖσα μὲν ἀπὸ τῶν πρώτων, εἰς δὲ τὰ τρίτα προελθοῦσα, εἰς τὰ ἐπὶ τάδε, νοῦ ἐνεργείᾳ, νοῦ μένοντος ἐν τῷ αὐτῷ, καὶ διὰ ψυχῆς

XIII. Cum igitur ipsum intelligibile sit separatum, quanam ratione anima procedit in corpus? Quoniam, quantum intellectus est solus passionis expers in gradu intelligibilium, intellectualem solam vitam habens, semper ibi permanet. Non enim inest impetus ullus nec appetitus: quod autem appetitum adhibet, proxime deinceps intellectum illum comitans, appetitus adjunctione quasi jam longe progreditur, atque exornare appetens ad exemplar eorum, quae in intellectu vidit, ac velut inde praegnans atque parturiens affectat facere, et denique fabricat. Hoc itaque studio se ipsam anima circa sensibilia protrahens jam gubernat, ac, dum una cum communi universorum anima gubernacula gerit, collega ejus vivens in communi totius gubernatione, tanquam extrinsecus praesidet superans gubernatum. At, cum gubernare partem affectat, jam gubernat sola, eique infusa, in quo vivit, non tota neque omnis ipsa fit corporis, sed interim aliquid possidet extra corpus: igitur neque etiam hujus intellectus est passioni subjectus. Haec autem alias quidem in corpore, alias autem vivit extra corpus, nempe impetu quodam exorditur a primis, et ad tertia usque progressa descendit ad nostra quodam intellectus actu: dum intellectus ipse permanet in se ipso, interea per animam pulchris omnia

πάντα καλῶν πληροῦντος, καὶ διακοσμοῦντος ἀθανάτου δι' ἀθανάτου, εἴπερ ἀεὶ καὶ αὐτὸς ὢν ἔσται δι' ἐνεργείας ἀπαύστου.

complet, exornator immortalis per animam immortalem: siquidem ipse quoque semper existens per actum incessabilem cuncta disponat.

Omnes animæ proprias immortalesque vitas habent.

Quicquid vitæ ab anima nostra in nostrum corpus emicat, abeuntem hinc animam comitatur. Quod vero in feta vitale cœlitus impressum fuerat, cœlitus conservatur, circa quod est noster animus hinc impurus emigrans amore se versat, purus vero relinquit.

ΙΔ'. Περὶ δὲ τῆς τῶν ἄλλων ζώων ψυχῆς, ὅσαι μὲν αὐτῶν σφαλεῖσαι καὶ μέχρι θηρίων ἧκον σωμάτων, ἀνάγκη καὶ ταύτας ἀθανάτους εἶναι. Εἰ δὲ ἔστιν ἄλλο τι εἶδος ψυχῆς, οὐκ ἄλλοθεν, ἢ ἀπὸ τῆς ζώσης φύσεως, δεῖ καὶ ταύτην εἶναι, καὶ αὐτὴν οὖσαν ζωῆς τοῖς ζώοις αἰτίαν, καὶ δὴ καὶ τὴν ἐν τοῖς φυτοῖς. Ἅπασαι γὰρ ὡρμήθησαν ἀπὸ τῆς αὐτῆς ἀρχῆς, ζωὴν ἔχουσαι οἰκείαν, ἀσώματοί τε καὶ αὗται καὶ ἀμερεῖς καὶ οὐσίαι. Εἰ δὲ τὴν ἀνθρώπου ψυχὴν τριμερῆ οὖσαν τῷ συνθέτῳ λυθήσεσθαι, καὶ ἡμεῖς φήσομεν τὰς μὲν καθαρὰς ἀπαλλαττομένας τὸ προσπλασθὲν ἐν τῇ γενέσει ἀφήσειν, τὰς δὲ τούτῳ συνέσεσθαι ἐπὶ πλεῖστον, ἀφειμένον δὲ τὸ χεῖρον οὐδὲ αὐτὸ ἀπολεῖσθαι, ἕως ἂν ᾖ, ὅθεν ἔχει τὴν ἀρχήν· οὐδὲν γὰρ ἐκ τοῦ ὄντος ἀπολεῖται.

XIV. Quæritur præterea de anima etiam animalium reliquorum: et profecto, quæcunque inter ea tales sunt, ut a *superioribus degenerantes usque ad brutorum corpora* sint prolapsæ, hæ quoque necessario sunt immortales: si autem est alia quædam animæ species, oportet hanc insuper non aliunde pendere, quam a natura vivente: quippe *cum ipsa etiam animalibus vitæ sit causa: similiter et* plantarum animam se oportet habere. Omnes enim ab eodem principio processerunt propriam habentes vitam, atque hæ quoque sunt incorporeæ indivisibilesque et es*sentiæ. Si autem oporteat animam hominis existentem* trimembrem composito solvi, et nos dicemus, animas quidem, quæ puræ abeunt, quod adjunctum in generatione fuerat, dimissuras: alias autem concretam ejusmodi labem longis temporum curriculis abstersuras: dimissum vero id, quod est deterius, dicemus neque ipsum quidem perdi, quamdiu sit, unde ducit originem. Nihil enim ex eo, quod ens censetur, unquam disperditur.

Animæ defunctorum nostra hæc memoriter tenent, sentiunt, curant, malefaciunt, benefaciunt.

Quamdiu corpus habent qualecunque, vel aerium, vel ætherium, proprios habent et sensus: sin omne corpus exuant, eminentia quadam intelligentiæ ad singula discernenda uti pro sensibus judicantur. Nam et imaginatio præsertim perfecta sensus præfert, et ratio imaginationem agit, atque sensus et intellectus rationem atque sequentia modo quodam præstantiore.

ΙΕ'. Ἃ μὲν οὖν πρὸς τοὺς ἀποδείξεως δεομένους ἐχρῆν λέγεσθαι, εἴρηται· ἃ δὲ καὶ πρὸς τοὺς δεομένους πίστεως αἰσθήσει κεχραμένης, ἐκ τῆς ἱστορίας τῆς περὶ τὰ τοιαῦτα πολλῆς οὔσης ἐκλεκτέον, ἔκ τε ὧν θεοὶ ἀνεῖλον, κελεύοντες μῆνιν ψυχῶν ἠδικημένων ἱλάσκεσθαι, τιμάς τε νέμειν τεθνηκόσιν, ὡς ἐν αἰσθήσει οὖσι, καθ' ἃ καὶ πάντες ἄνθρωποι ποιοῦσιν εἰς τοὺς ἀπεληλυθότας. Πολλαὶ δὲ ψυχαί, πρότερον ἐν ἀνθρώποις οὖσαι, σωμάτων ἔξω γενόμεναι, οὐκ ἀπέστησαν τοῦ εὐεργετεῖν ἀνθρώπους· αἳ δὴ καὶ μαντεῖα ἀποδειξάμεναι εἴς τε τὰ ἄλλα χρῶσαι ὠφελοῦσι, καὶ δεικνύουσι δι' αὐτῶν καὶ περὶ τῶν ἄλλων ψυχῶν, ὅτι μὴ εἰσὶν ἀπολωλυῖαι.

XV. Hactenus dicta sunt, quæ ad illos, qui demonstrationem exigunt, *dicenda erant: quæ vero opportune di*cenda sint illis, qui fide quadam sensu permixta potius indigent, eligenda sunt ex historia, quæ ejusmodi rebus abundat: præsertim ex his, quæ dii oraculis mandaverunt, jubentes, indignationem animorum, qui injuria quondam sunt affecti, placari, meritosque honores reddi defunctis, tanquam talia sentientibus, quemadmodum et omnes erga defunctos observant. Animæ præterea multæ, quæ quondam vitam egerunt humanam, deinde a corpore segregatæ non destiterunt beneficiis humanum genus afficere: quæ profecto *vaticiniis et oraculis*, cum ad alia nobis conferunt, tum etiam per se ipsas demonstrant, nec aliorum animas extinctas esse.

Desideras, magnanime Laurenti, brevem tandem longæ disputationis summam, disputationis, inquam, de immortalitate, et in Theologia, et in præsentia in longum jam productæ. Desiderabat et idem noster ille Bernardus, cum Veneti senatus hic orator nos hac de re latissime disputantes audiret. Bernardus, inquam, Bembus, vir apprime doctus, doctorumque patronus atque meus in sidere genioque frater. Tibi igitur atque illi pariter hæc erit summa quatuor distincta capitibus: primo quidem, quod anima rebus caducis dominari potest incitamentisque corporeis repugnare: secundo, quod multa a corporibus separata frequenter excogitat, sive res ipsas attingat per se separatas, sive separet ipsa: tertio, quod naturaliter æterna desiderat, ac sæpe *æternorum fiducia negligit temporalia: quarto, quod* æternum colit Deum vitæ sempiternæ gratia. Tota denique religio naturalis homini firmissimum immortalitatis est fundamentum.

# ΕΝΝΕΑΔΟΣ Δ

## ΛΟΓΟΣ Η.

### ΠΕΡΙ ΤΗΣ ΕΙΣ ΤΑ ΣΩΜΑΤΑ ΚΑΘΟΔΟΥ ΤΗΣ ΨΥΧΗΣ.

# ENNEADIS QUARTÆ

## LIBER VIII.

### DE ANIMÆ DESCENSU IN CORPORA.

(468,469.) [872—874.]

Animæ nostræ intellectuales in corpus descendunt per naturam vivificam intelligentiæ suæ subjunctam et corpus naturaliter adsciscentem, sicut flamma sulphur: similiter et cœlestium intellectuales animæ corporibus suis per ejusmodi medium copulantur.

Voluit deus ad sui intellectus exemplar in qualibet mundi sphæra et in cœlo et infra cœlum animalia quædam intellectualia fore: ac, ne intellectus quasi per violentiam forent ad corpora protrahendi per naturam animalem, id est vegetalem, eis adnatam quasi plantam, corporibus libenter adsciscendis conciliavisse videtur.

Α'. Πολλάκις ἐγειρόμενος εἰς ἐμαυτὸν ἐκ τοῦ σώματος, καὶ γιγνόμενος τῶν μὲν ἄλλων ἔξω, ἐμαυτοῦ δὲ εἴσω, θαυμαστὸν ἡλίκον ὁρῶν κάλλος, καὶ τῆς κρείττονος μοίρας πιστεύσας τότε μάλιστα εἶναι, ζωήν τε ἀρίστην ἐνεργήσας, καὶ τῷ θείῳ εἰς ταὐτὸν γεγενημένος, καὶ ἐν αὐτῷ ἱδρυθεὶς εἰς ἐνέργειαν ἐλθὼν ἐκείνην, ὑπὲρ πᾶν τὸ ἄλλο νοητὸν ἐμαυτὸν ἱδρύσας, μετὰ ταύτην τὴν ἐν τῷ θείῳ στάσιν εἰς λογισμὸν ἐκ νοῦ καταβὰς, ἀπορῶ, πῶς ποτε καὶ νῦν καταβαίνω, καὶ ὅπως ποτέ μοι ἔνδον ἡ ψυχὴ γεγένηται τοῦ σώματος, τοῦτο οὖσα οἷον ἐφάνη καθ' ἑαυτὴν, καίπερ οὖσα ἐν σώματι. Ὁ μὲν γὰρ Ἡράκλειτος, ὃς ἡμῖν παρακελεύεται ζητεῖν τοῦτο, (ἀμοιβάς τε ἀναγκαίας τιθέμενος ἐκ τῶν ἐναντίων, ὁδόν τε ἄνω καὶ κάτω εἰπὼν, καὶ τὸ μεταβάλλον ἀναπαύεσθαι καὶ κάματον εἶναι τοῖς αὐτοῖς μοχθεῖν καὶ ἄρχεσθαι,) εἰκάζειν ἔδωκεν, ἀμελήσας σαφῆ ἡμῖν ποιῆσαι τὸν λόγον· ὡς δέον ἴσως παρ' αὐτῷ ζητεῖν, ὥσπερ καὶ αὐτὸς ζητήσας εὗρεν. Ἐμπεδοκλῆς τε εἰπὼν ἁμαρτανούσαις νόμον εἶναι ταῖς ψυχαῖς πεσεῖν ἐνταῦθα, καὶ αὐτὸς φυγὰς θεόθεν γενόμενος ἥκειν πίσυνος μαινομένῳ νείκει, τοσοῦτον παρεγύμνου, ὅσον καὶ Πυθαγόρας, οἶμαι, καὶ οἱ ἀπ' ἐκείνου ᾐνίττοντο περί τε τούτου, περί τε πολλῶν ἄλλων. Τῷ δὲ παρῆν καὶ διὰ ποίησιν οὐ σαφεῖ εἶναι. Λείπεται δὲ ἡμῖν ὁ θεῖος Πλάτων, ὃς πολλά τε καὶ καλὰ περὶ ψυχῆς εἶπε, περί τε ἀφίξεως αὐτῆς πολλαχῆ εἴρηκεν ἐν τοῖς αὐτοῦ λόγοις, ὥστε ἐλπίδα ἡμῖν εἶναι λαβεῖν παρ' αὐτοῦ σαφές τι. Τί οὖν λέγει ὁ φιλόσοφος οὗτος; οὐ ταὐτὸν λέγων πανταχῆ φανεῖται, ἵνα ἄν τις ἐκ ῥᾳδίας τὸ τοῦ ἀνδρὸς βούλημα ἴδῃ, ἀλλὰ τὸ αἰσθητὸν πᾶν πανταχοῦ ἀτιμάσας, καὶ τὴν πρὸς τὸ σῶμα κοινωνίαν τῆς ψυχῆς μεμψάμενος, ἐν δεσμῷ τε εἶναι καὶ τεθάφθαι ἐν αὐτῷ τὴν ψυχὴν λέγει, καὶ τὸν ἐν ἀπορρήτοις λεγόμενον λόγον μέγαν εἶναι, ὃς ἐν φρουρᾷ τὴν ψυχήν φησιν εἶναι· καὶ τὸ σπήλαιον αὐτῷ, ὥσπερ Ἐμπεδοκλεῖ τὸ ἄντρον, τόδε τὸ πᾶν δοκεῖ μοι λέγειν, ὅπου γε λύσιν τῶν δεσμῶν καὶ ἄνοδον ἐκ τοῦ σπηλαίου τῇ ψυχῇ φησιν εἶναι τὴν πρὸς τὸ νοητὸν πορείαν· ἐν δὲ Φαίδρῳ πτερορρύησιν αἰτίαν τῆς ἐνταῦθα ἀφίξεως, καὶ περίοδοι αὐτῷ ἀνελθοῦσαν πάλιν φέρουσι τῇδε, καὶ κρίσεις δὲ κατα-

I. Sæpe quidem expergefactus e corpore ad me ipsum et extra cetera positus, intraque me receptus, pulchritudinem intueor admirandam: ideoque tunc confido quam maxime, sortis me esse præstantioris: quippe cum vitam tunc optimam agam, et in idem cum divinitate conspirem, in qua etiam situs ad illam pervenio actionem, per quam me ipsum super omne aliud intelligibile jam constituam. Verum, post hanc in divinitate quietem in ratiocinationem ex mente delapsus, ambigo equidem, quonam pacto in præsentia quoque descendam, et quomodo mihi quandoque anima corpori se ipsam insinuaverit, quippe cum talis sit, qualis apparuit per se ipsam, quamvis in corpore vivat. Etenim Heraclitus, qui nobis præcepit istud anquirere (vicissitudines necessarias ponens ex contrariis, viamque et supra et infra dicens, et commutans acquiescere, et fatigationem esse iisdem laborare et angi), divinandi materiam exhibet, negligens planam nobis facere rationem; ut fortasse apud ipsum quærendum sit, quemadmodum et ipse anquirens invenerit. Empedocles præterea, cum dixerit, legem exstare constituentem, animas, quæ peccaverunt, ad hæc nostra corruere, atque ipse sic a deo profugus furiosæ discordiæ crediturus atque serviturus, tantum (ut arbitror) pertractavit, quantum Pythagoras sectatoresque illius cum de hoc, tum de plerisque aliis per involucra quædam significaverunt. Sed hic quoque propter poesim evasit obscurior. Reliquus vero nobis est Plato divinus, qui et alia multa præclaraque de anima tradidit, et de adventu ejus ad nostra in libris suis multa disseruit: ita ut sperare possimus, nos ab eo manifesti aliquid accepturos. Quid ergo hic philosophus ait? Profecto non idem ubique videtur dicere, ut facile aliquis sensum ejus percipere valeat. Principio sensibile totum ubique contemnit, et commercium animæ cum corpore damnat, asserens, eam hic includi vinculis et in corpore esse sepultam: item arcanum illud oraculum veneratur, quo traditur, animam hic in custodia quadam et carcere sitam esse. Rursus spelunca apud Platonem, sicut et antrum apud Empedoclem, universum hoc (ut arbitror) nobis significat: ubi etiam solutionem ex vinculis et ascensum e spelunca in anima esse ait ipsam ad intelligibile progressionem. In Phædro quinetiam alarum sive pennarum casum sive jacturam, causam esse descensionis ad hæc arbitratur: ubi et circuitus quidam animam illuc profectam iterum ad hæc nostra retorquent: alias item

πέμπουσιν ἄλλας ἐνταῦθα, καὶ κλῆροι, καὶ τύχαι, καὶ ἀνάγκαι, καὶ ἐν τούτοις ἅπασι μεμψάμενος τὴν τῆς ψυχῆς ἄφιξιν πρὸς σῶμα· ἐν Τιμαίῳ περὶ τοῦδε τοῦ παντὸς λέγων τόν τε κόσμον ἐπαινεῖ, καὶ θεὸν λέγει εἶναι εὐδαίμονα, τήν τε ψυχὴν παρὰ ἀγαθοῦ τοῦ δημιουργοῦ πρὸς τὸ ἔννουν τόδε τὸ πᾶν εἶναι δεδόσθαι, ἐπειδὴ ἔννουν μὲν αὐτὸ ἔδει εἶναι, ἄνευ δὲ ψυχῆς οὐχ οἷόν τε ἦν τοῦτο γενέσθαι. Ἥ τε οὖν ψυχὴ ἡ τοῦ παντὸς τούτου χάριν εἰς αὐτὸ παρὰ τοῦ θεοῦ ἐπέμφθη, ἥ τε ἑκάστου ἡμῶν πρὸς τὸ τέλεον αὐτὸ εἶναι· ἐπειδὴ ἔδει, ὅσα ἐν νοητῷ κόσμῳ, τὰ αὐτὰ ταῦτα γένη ζώων καὶ ἐν τῷ αἰσθητῷ ὑπάρχειν.

animas judicia hinc divina demittunt, et sortes, et Fortunæ *atque Necessitates: denique in his omnibus adventum* animæ ad corpus criminari videtur. Verum in Timæo de *hoc universo disputans et mundum laudat, et deum* appellat beatum; animamque ab opifice bono huic ideo traditam esse, *ut mundus posset intellectualis evadere*: quando intellectualem quidem hunc oportebat esse, sed absque anima mundanum corpus intellectum *assequi non* valebat. Igitur et ipsa totius anima hanc ob causam a deo infusa est universo, et uniuscujusque nostrûm anima similiter ad ipsam denique totius mundi perfectionem. Oportebat enim, quot sunt in mundo intelligibili, totidem similiaque animalium genera in mundo sensibili contineri.

*Conjunctio animæ cum corpore, etsi est secundum quandam animæ naturam atque etiam ad universi perfectionem, tamen* duplici ratione animis nostris obest, quia et intelligentiam quodammodo impedit, et animum perturbationibus implet: animis vero cœlestibus hæc impedimenta non accidunt.

Hanc quoque refutat: nam anima est substantia incorporea, individua, in se consistens. Non potest igitur una communis anima in plures derivari, sicut vel continuum in partes, vel albedo in plures albedines divisione continui, vel sicut ex uno sigillo plures in multis ceris fiunt impressiones.

Δ΄. Ταῦτα μὲν οὖν εἴρηται, ὡς μὴ θαυμάζειν τὴν εἰς ἓν ἀναγωγήν. Ἀλλὰ γὰρ ζητεῖ ὁ λόγος, πῶς μία; ἆρα γὰρ ὡς ἀπὸ μιᾶς, ἢ μία αἱ πᾶσαι; καὶ εἰ ἀπὸ μιᾶς μεριζομένης ταύτης, ἢ μενούσης μὲν ὅλης, ποιούσης δὲ παρ' αὐτῆς οὐδὲν ἧττον πολλάς, καὶ πῶς ἂν μένουσα οὐσία πολλὰς ποιοῖ ἐξ αὐτῆς; λέγωμεν οὖν θεὸν συλλήπτορα ἡμῖν γενέσθαι παρακαλέσαντες, ὡς δεῖ μὲν εἶναι μίαν πρότερον, εἴπερ πολλαί, καὶ ἐκ ταύτης τὰς πολλὰς εἶναι. Εἰ μὲν οὖν σῶμα εἴη, ἀνάγκη μεριζομένου τούτου τὰς πολλὰς γίγνεσθαι, ἄλλην πάντη οὐσίαν, τὴν δὲ ἄλλην γιγνομένην, καὶ ὁμοιομεροῦς οὔσης ὁμοειδεῖς πάσας γενέσθαι, εἶδος ἓν ταὐτὸν φερούσας ὅλον, τοῖς δὲ ὄγκοις ἑτέρας. Καὶ εἰ μὲν κατὰ τοὺς ὄγκους εἶχον τοὺς ὑποκειμένους τὸ ψυχαὶ εἶναι, ἄλλας ἀλλήλων εἶναι, εἰ δὲ κατὰ τὸ εἶδος, μίαν τῷ εἴδει ψυχὰς εἶναι. Τοῦτο δέ ἐστι τὸ μίαν καὶ τὴν αὐτὴν ἐν πολλοῖς σώμασι ψυχὴν ὑπάρχειν, καὶ πρὸ ταύτης τῆς μιᾶς τῆς ἐν πολλοῖς ἄλλην αὖ εἶναι μὴ ἐν πολλοῖς, ἀφ' ἧς ἡ ἐν πολλοῖς μία, ὥσπερ εἴδωλον οὖσα πολλαχοῦ φερόμενον τῆς ἐν ἑνὶ μιᾶς· οἷον εἰ ἐκ δακτυλίου ἑνὸς πολλοὶ κηροὶ τὸν αὐτὸν τύπον ἀπομαξάμενοι φέροιεν, ἐκείνως μὲν οὖν ἀνηλίσκετο ἂν εἰς πολλὰ σημεῖα. Ὡς δὲ τὸ δεύτερον, ἀσώματον μὲν ἡ ψυχὴ ἐγίγνετο, καὶ πάθημα μὲν ὂν θαυμαστὸν οὐδὲν εἶχε, μίαν ποιότητα γενομένην ἐξ ἑνός τινος ἐν πολλοῖς εἶναι. Καὶ εἰ κατὰ τὸ συναμφότερον δὲ ἡ ψυχή, θαυμαστὸν οὐδέν· νῦν δὲ ἀσώματόν τε αὐτὸ τιθέμεθα καὶ οὐσίαν.

IV. Hæc igitur ideo dicta sunt, ne quis miretur ipsam ad unum reductionem. Sed enim disputandi ratio exigit, quonam modo sit una? numquid omnes sint una tanquam procedentes ab una, an ipsæ omnes penitus una? Quodsi tanquam ab una, numquid illa divisa, vel tota quidem permanente, sed nihilo minus multas ex se faciente? tum vero, quo modo essentia manens ex se ipsa multas efficiat? Dicamus igitur divino imprimis auxilio invocato, oportere profecto unam prius existere, si quidem multæ sint animæ, atque ex hac una procedere multas. Si ergo hæc una sit corpus, necessarium est, hac divisa fieri multas, et aliam omnino essentiam sic aliamque fieri, ac, si similibus sit partibus constituta, conformes quoque fieri cunctas, speciem unam eandemque totam ferentes, molibus vero diversas. Quodsi secundum subjectas moles hoc ipsum habeant, ut sint animæ, alias inter se esse: si autem secundum formam id potius habeant, unam specie animas esse. Hoc autem est unam eandemque inesse multis corporibus animam, et ante unam hanc insitam multis rursus aliam esse in multis non existentem: a qua, quæ in multis est una, pendet, tanquam simulacrum passim delatum unius existentis in uno: quemadmodum, si ex uno quodam sigillo multæ ceræ figura eadem imprimerentur: illo igitur modo in multa signa dispensaretur. Si autem secundo modo res se habet, incorporeum quidem aliquid anima est: ac si passio quædam sit, nihil mirum erit, qualitatem unam ex una quadam factam multis inesse. Ac si secundum utrumque simul junctum anima judicetur, nihil id mirum fuerit: nunc vero animam cum incorpoream esse, tum etiam essentiam arbitramur.

Animæ quamvis per essentias inter se distinctæ sint, omnes tamen quodammodo una sunt anima, tribus videlicet modis. Primo, quia omnibus præest una animarum generalis idea, et tota singulis inest. Secundo, quia quælibet anima est forma penitus omniformis, ideo quælibet anima ceteras complectitur animas. Differt tamen hæc ab illa, quoniam sub differenti actu proprietateque hæc et illa sunt omniformes, sicut conveniunt et differunt propositiones inter se geometricæ. Tertio quia omnes in eodem puncto esse possunt, sicut lumina imaginesque colorum absque confusione. Non esse unicam in singulis animam aut mentem, satis in Theologia probavimus. Hæc ergo tibi sit summa. Cave suspiceris, suspicari Plotinum, non distingui inter se essentias animarum: id enim omnibus ejus libris, et hujus etiam libri, adversaretur: quin etiam disputationem propriam fecit in hac ennéade contra eos, qui animam esse unicam opinantur. Sed memento, Plotinum ubique conari omnia, quantum fieri potest, ad unum quiddam redigere, servata interim proprietate naturæ. Ad unum quiddam dico, id est, ad communionem affectionis actionisque et passionis; ut concors in universo harmonia servetur, et traductio virtutis et actionis mutuo facileque per singula fiat: quod quidem fieri non posset, nisi singulæ animæ, quamvis servata essentiæ distinctione, continuantur et regantur ab una, ferme sicut virtutes omnes membrorum a virtute cerebri et a cervice nervi. Adducit igitur multa ad unionem ejusmodi signa, quæ ut tanquam validissima confirmet: concedere videtur etiam, tanti vigoris videri posse, ut

valeant adducere non solum ad eandem unionem, sed ad majorem etiam suspicandam. quasi dicat, si posset quispiam per hæc signa *suspicari unionem essentiæ, quod tamen ego non probo, multo magis nos possumus per eadem signa unionem inter* animas affectionis et actionis consensionisque et compassionis asseverare.

Ε΄. Πῶς οὖν οὐσία μία ἐν πολλαῖς; ἢ γὰρ ἡ μία ἐν πᾶσιν ὅλη, ἢ ἀπὸ ὅλης καὶ μιᾶς αἱ πολλαί, ἐκείνης μενούσης. Ἐκείνη μὲν οὖν μία, αἱ δὲ πολλαὶ εἰς ταύτην ὡς μίαν, δοῦσαν ἑαυτὴν εἰς πλῆθος καὶ οὐ δοῦσαν. Ἱκανὴ γὰρ πᾶσι παρασχεῖν ἑαυτὴν καὶ μένειν μία. Δύναται γὰρ εἰς πάντα ἅμα, καὶ ἑκάστου οὐκ ἀποτέτμηται πάντη· τὸ αὐτὸ οὖν ἐν πολλοῖς· μὴ δή τις ἀπιστείτω· καὶ γὰρ ἡ ἐπιστήμη ὅλη καὶ τὰ μέρη αὐτῆς, ὡς μένειν τὴν ὅλην, καὶ ἀπ' αὐτῆς τὰ μέρη· καὶ τὸ σπέρμα ὅλον, καὶ ἀπ' αὐτοῦ τὰ μέρη, ἐν οἷς πέφυκε μερίζεσθαι, καὶ ἕκαστον ὅλον, καὶ μένει ὅλον, οὐκ ἠλαττωμένον τὸ ὅλον· ἡ δ' ὕλη ἐμέρισε, καὶ πάντα ἕν. Ἀλλ' ἐν τῇ ἐπιστήμῃ, εἴποι τις ἄν, τὸ μέρος οὐχ ὅλον· ἢ κἀκεῖ ἐνεργείᾳ μὲν μέρος τὸ προχειρισθέν, οὗ χρεία, καὶ τοῦτο προτέτακται. Ἕπεται μέντοι καὶ τὰ ἄλλα δυνάμει λανθάνοντα, καὶ ἔστι πάντα ἐν τῷ μέρει, καὶ ἴσως ταύτῃ ἡ ὅλη λέγεται, τὸ δὲ μέρος ἐκεῖ μὲν οἷον ἐνεργείᾳ ἅμα πάντα. Ἕτοιμον οὖν ἕκαστον, ὃ προχειρίσασθαι θέλεις· ἐν δὲ τῷ μέρει τὸ ἕτοιμον, ἐνδυναμοῦται δέ, οἷον πλησιάσαν τῷ ὅλῳ. Ἔρημον δὲ τῶν ἄλλων θεωρημάτων οὐ δεῖ νομίζειν· εἰ δὲ μή, ἔσται οὐκέτι τεχνικόν, οὐδὲ ἐπιστημονικόν, ἀλλ' ὥσπερ ἂν καὶ εἰ παῖς λέγοι. Εἰ οὖν ἐπιστημονικόν, ἔχει δυνάμει καὶ τὰ πάντα. Ἐπιστήσας γοῦν ὁ ἐπιστήμων ἐπάγει τὰ ἄλλα οἷον ἀκολουθίᾳ. Καὶ ὁ γεωμέτρης δὲ ἐν τῇ ἀναλύσει δηλοῖ, ὥστε τὸ ἓν ἔχει τὰ πρὸ αὐτοῦ πάντα, δι' ὧν ἡ ἀνάλυσις, καὶ τὰ ἐφεξῆς δέ, ἃ ἐξ αὐτοῦ γεννᾶται. Ἀλλὰ ταῦτα διὰ τὴν ἡμετέραν ἀσθένειαν ἀπιστεῖται, καὶ διὰ τὸ σῶμα ἐπισκοτεῖται· ἐκεῖ δὲ φανὰ πάντα, καὶ ἕκαστον.

V. Quonam igitur modo una in multis essentia? aut enim una in omnibus tota, aut a tota unaque sunt multæ, illa manente. Illa igitur una est: multæ vero ad hanc referuntur ut unam, *dantem se multitudini rursusque non dantem*. Sufficit enim omnibus exhibere se ipsam, et nihilo minus una perseverare. Potest enim in omnia simul, et ab unoquoque non omnino sejungitur: idem ergo servatur in multis. Neque in hoc diffidere quisquam debet, nam scientia quoque tota est et partes ejus, adeo ut tota permaneat, et partes ab ipsa. Item semen est totum et partes ab eo, in quas naturaliter dividi potest, et unaquæque totum, manetque totum nihilo alicubi deminutum. Materia vero divisionis præbet occasionem: attamen omnia unum. Sed in scientia quidem, dicat aliquis, partem non esse totum: sed hic quoque actu quidem pars est, quod præ ceteris est exprómptum, quatenus usus exigit, idque aliis est præpositum. Sequuntur tamen et reliqua, *potentia quadam ibi latentia, suntque in parte omnia*, et fortasse hac conditione ipsa tota dicitur: pars autem ibi quidem tanquam actu, sed simul omnia. Est igitur præsto paratum, quicquid aggredi expedireque velis. In ipsa vero parte inest, quod dicimus præparatum, sed esse in potentia judicatur, quatenus toti cohæret. Nec existimandum est, notionem hanc, quam dicimus scientiæ partem, esse aliarum vacuam notionum: alioquin non erit notio quædam artificiosa, nec scientiæ propria, sed perinde ac si puer aliquis forte loquatur. Si ergo scientiæ accommodata est, omnes potentia possidet. Sciens itaque vir cum propensior ad hæc incumbit, uno quodam inprimis posito, deinceps per consequentiam quandam reliqua quoque producit. Hinc et geometra in ipsa resolutione declarat, unumquodque *præcedentia in se cuncta complecti*, per quæ agitur resolutio, complecti etiam consequentia, quæ inde quodam ordine deducuntur. Verum hæc ob debilitatem nostram non creduntur, et mole corporis obscurantur: illic autem clara omnia sunt, atque etiam unumquodque perspicuum.

# ΕΝΝΕΑΔΟΣ Ε.

## ΛΟΓΟΣ Α.

### ΠΕΡΙ ΤΩΝ ΤΡΙΩΝ ΑΡΧΙΚΩΝ ΥΠΟΣΤΑΣΕΩΝ.

# ENNEADIS QUINTÆ

## LIBER I.

### DE TRIBUS PRINCIPALIBUS SUBSTANTIIS, HABENTIBUS PRINCIPII RATIONEM.



Anima in patria sub ipsa mentis divinae forma potius, quam sua, vivit et agit, sicut corpus, nunc sub animae forma: sed cum primum confert se ad vivendum agendumque sub propria forma per discursionem scilicet rationalem, deinceps prolabitur paulatim in discursionem imaginalem et actionem sensualem atque vegetalem, ut jam quasi sub forma corporea vivat.
Hinc postremo contingit, ut se corpoream opinetur, ac de sua divinitate diffidens divina nec quaerat unquam, nec veneretur.

Α'. Τί ποτε ἄρα ἐστὶ τὸ πεποιηκὸς τὰς ψυχὰς πατρὸς θεοῦ ἐπιλαθέσθαι, καὶ μοίρας ἐκεῖθεν οὔσας, καὶ ὅλως ἐκείνου, ἀγνοῆσαι καὶ ἑαυτὰς καὶ ἐκεῖνον; ἀρχὴ μὲν οὖν αὐταῖς τοῦ κακοῦ ἡ τόλμα, καὶ ἡ γένεσις, καὶ ἡ πρώτη ἑτερότης, καὶ τὸ βουληθῆναι δὲ ἑαυτῶν εἶναι. Τῷ δὴ αὐτεξουσίῳ ἐπειδήπερ ἐφάνησαν ἡσθεῖσαι, πολλῷ τῷ κινεῖσθαι παρ' αὐτῶν κεχρημέναι, τὴν ἐναντίαν δραμοῦσαι, καὶ πλείστην ἀπόστασιν πεποιημέναι, ἠγνόησαν καὶ ἑαυτὰς ἐκεῖθεν εἶναι· (ὥσπερ παῖδες εὐθὺς ἀποσπασθέντες ἀπὸ πατέρων, καὶ πολὺν χρόνον πόῤῥω τραφέντες, ἀγνοοῦσι καὶ ἑαυτοὺς καὶ πατέρας·) οὔτ' οὖν ἔτι ἐκεῖνον, οὔτε ἑαυτὰς ὁρῶσαι, ἀτιμάσασαι ἑαυτὰς ἀγνοίᾳ τοῦ γένους, τιμήσασαι τ' ἄλλα, καὶ πάντα μᾶλλον ἢ ἑαυτὰς θαυμάσασαι, καὶ πρὸς αὐτὰ ἐκπλαγεῖσαι, καὶ ἀγασθεῖσαι, καὶ ἐξηρτημέναι τούτων, ἀπέῤῥηξαν ὡς οἷόν τε ἑαυτάς, ὧν ἀπεστράφησαν ἀτιμάσασαι· ὥστε συμβαίνει τῆς παντελοῦς ἀγνοίας ἐκείνου ἡ τῶνδε τιμὴ καὶ ἡ ἑαυτῶν ἀτιμία εἶναι αἰτία. Ἅμα γὰρ διώκεται ἄλλο, καὶ θαυμάζεται, καὶ τὸ θαυμάζον καὶ διῶκον ὁμολογεῖ χεῖρον εἶναι· χεῖρον δὲ αὐτό τι θέμενον γιγνομένων καὶ ἀπολλυμένων, ἀτιμότατόν τε καὶ θνητότατον πάντων ὧν τιμᾷ ὑπολαμβάνον, οὔτε θεοῦ φύσιν οὔτε δύναμιν ἄν ποτε ἐν θυμῷ βάλοιτο. Διὸ δεῖ διττὸν γίγνεσθαι τὸν λόγον πρὸς τοὺς οὕτω διακειμένους, εἴπερ τις ἐπιστρέψοι αὐτοὺς εἰς τὰ ἐναντία καὶ τὰ πρῶτα, καὶ ἀνάγοι μέχρι τοῦ ἀκροτάτου καὶ ἑνὸς καὶ πρώτου. Τίς οὖν ἑκάτερος; ὁ μὲν δεικνὺς τὴν ἀτιμίαν τῶν νῦν ψυχῇ τιμωμένων, ὃν ἐν ἄλλοις δίιμεν ἐπιπλέον· ὁ δὲ διδάσκων καὶ ἀναμιμνήσκων τὴν ψυχήν, οἷον τοῦ γένους καὶ τῆς ἀξίας· ὃς πρότερός ἐστιν ἐκείνου, καὶ σαφηνισθεὶς κἀκεῖνον δηλώσει, περὶ οὗ νῦν λεκτέον. Ἐγγὺς γὰρ οὗτος τοῦ ζητουμένου, καὶ πρὸ ἔργου πρὸς ἐκεῖνον· τὸ γὰρ ζητοῦν ἐστι ψυχή, καὶ τί ὂν ζητεῖ, γνωστέον αὐτῇ, ἵνα αὑτὴν πρότερον μάθῃ, εἰ δύναμιν ἔχει τοῦ τὰ τοιαῦτα ζητεῖν, καὶ εἰ ὄμμα τοιοῦτον ἔχει, οἷον ἰδεῖν, καὶ εἰ προσήκει ζητεῖν. Εἰ μὲν γὰρ ἀλλότρια, τί δεῖ; εἰ δὲ συγγενῆ, καὶ προσήκει καὶ δύναται εὑρεῖν.

I. Quidnam in causa est, ut animae, quae divinae sortis sunt, deique omnino, tamen dei patris obliviscantur, ignorantes et se ipsas et illum? Principium igitur mali est animis audacia, generatio, prima diversitas, et quia volunt sui juris esse. Postquam igitur libertate hac sive licentia delectari coeperunt, freto plurimum suo quodam ex se ipsis movendi munere, et iter contrarium ineuntes, factaeque jam remotissimae, jam se ipsas illinc exortas esse prorsus ignorant: velut pueri statim nati a parentibus segregati, proculque diutius educati, et se et parentes ignorant. Cum igitur neque patrem neque se ipsas videant, suique generis ignorantia se parvi faciant, honorantes alia, et, quicquid occurrit, magis, quam se, admirantes, atque stupidae hinc et admirabunde pendentes, nimium se jam longissime projecerunt, disjunxeruntque a patre atque se ipsis, dum scilicet ea, a quibus nimium aversae sunt, parvi facerent. Quamobrem extrema divinitatis inscitia ex inferiorum honore suique ipsius contemptu animae videtur accidere. Simul enim prosequitur admiraturque aliud, et interim confitetur se admirantem et prosequentem hoc ipso deteriorem esse. Cum igitur deteriorem se ipsam rebus nascentibus et occidentibus existimet, ideoque abjectissimum quiddam maximeque caducum omnium, quae honorat, esse se putet, merito neque dei naturam neque potentiam animo concipit. Quapropter geminum ad eos, qui sic affecti sunt, sermonem habere debemus, si modo conversuri eos simus ad opposita quaedam atque prima, et usque ad summum unumque et primum denique reducturi. Quisnam igitur est uterque? Alter profecto, qui demonstrat ignominiam harum rerum, quae ab animo honorantur; quam rem alibi longe percurrimus: alter vero, qui docet atque commemorat, quam generosa stirpe sit animus procreatus, et quanta praeditus dignitate. Qui certe sermo prior est, quam ille, atque declaratus declarabit et illum, de quo sane nunc est dicendum. Proxime enim hic ad naturam ejus, quod quaerimus, videtur accedere, atque illi opportune praeponitur. Ipsum enim, quod quaerit, est anima, cui profecto cognoscendum est, quid existens jam ipsa in se perquirat, ut discat imprimis, num ipsa vim habeat ad talia quaedam investiganda, et numquid eum habeat oculum, qui perspicere valeat, et omnino, num haec conveniat indagare. Si enim aliena nobis sunt, curnam haec indagemus? Sin autem cognata, merito decet expeditque perquirere, et potest quandoque animus invenire.

Quanta sit mundanæ animæ dignitas, ostendit ex eo, quod, nisi in mundo sit ipsa, mundus nihil aliud, quam materia quædam informis erit.

Anima rerum formas gignit, motiones omnium et actiones ipsa ciet, vitam omnibus inserit et progressum, est ubique tota, mutu regit: atque ita se habet ad mundanum corpus accedens, sicut sol exoriens ad aerem tenebrosum. Similes anima nostra vires similemque formæ dignitatem habet, præsertim, si corporeis sordibus expurgata redierit in se ipsam.

Β'. Ἐνθυμείσθω τοίνυν πρῶτον ἐκεῖνο πᾶσα ψυχή, ὡς αὐτὴ μὲν ζῷα ἐποίησε πάντα, ἐμπνεύσασα αὐτοῖς ζωήν, ἅ τε γῆ τρέφει, ἅ τε θάλασσα, ἅ τε ἐν ἀέρι, ἅ τε ἐν οὐρανῷ ἄστρα θεῖα· αὐτὴ δὲ ἥλιον, αὐτὴ δὲ τὸν μέγαν τοῦτον οὐρανόν, αὐτὴ δὲ ἐκόσμησεν, αὐτὴ δὲ ἐν τάξει περιάγει, φύσις οὖσα ἑτέρα ὧν κοσμεῖ, καὶ ὧν κινεῖ, καὶ ἃ ζῆν ποιεῖ, καὶ τούτων ἀνάγκη εἶναι τιμιωτέραν· γιγνομένων μὲν τούτων, καὶ φθειρομένων, ὅταν αὐτὰ ψυχὴ ἀπολείπῃ, ἢ χορηγῇ τὸ ζῆν, αὐτὴ δὲ οὖσα ἀεὶ τῷ μὴ ἀπολείπειν ἑαυτήν. Τίς δὴ τρόπος τῆς χορηγίας τοῦ ζῆν ἔν τε τῷ σύμπαντι, ἔν τε τοῖς ἑκάστοις, ὧδε λογιζέσθω. Σκοπείσθω δὲ τὴν μεγάλην ψυχὴν ἄλλη ψυχή, οὐ σμικρά, ἀξία τοῦ σκοπεῖν γενομένη, ἀπαλλαγεῖσα ἀπάτης, καὶ τῶν γεγοητευκότων τὰς ἄλλας, ἡσύχῳ τῇ καταστάσει· ἥσυχον δὲ αὐτῇ ἔστω μὴ μόνον τὸ περικείμενον σῶμα, καὶ ὁ τοῦ σώματος κλύδων, ἀλλὰ καὶ πᾶν τὸ περιέχον· ἥσυχος μὲν γῆ, ἥσυχος δὲ θάλασσα καὶ ἀήρ, καὶ αὐτὸς οὐρανὸς ἀμείνων· νοείτω δὲ πάντοθεν εἰς αὐτὸν ἑστῶτα ψυχὴν ἔξωθεν οἷον εἰσρέουσαν καὶ εἰσχυθεῖσαν, καὶ πάντοθεν εἰσιοῦσαν καὶ εἰσλάμπουσαν, οἷον σκοτεινὸν νέφος ἡλίου βολαὶ φωτίσασαι λάμπειν ποιοῦσι, χρυσοειδῆ ὄψιν διδοῦσαι· οὕτω τοι καὶ ψυχὴ ἐλθοῦσα εἰς σῶμα οὐρανοῦ ἔδωκε μὲν ζωήν, ἔδωκε δὲ ἀθανασίαν, ἤγειρε δὲ κείμενον. Ὁ δὲ κινηθεὶς κίνησιν ἀΐδιον ὑπὸ ψυχῆς ἔμφρονος ἀγούσης ζῷον εὔδαιμον ἐγένετο, ἔσχε τε ἀξίαν οὐρανὸς ψυχῆς εἰσοικισθείσης, ὢν πρὸ ψυχῆς σῶμα νεκρόν, γῆ καὶ ὕδωρ, μᾶλλον δὲ σκότος ὕλης καὶ μὴ ὄν, καὶ ὃ στυγέουσιν οἱ θεοί, φησί τις. Γένοιτο δ' ἂν φανερωτέρα αὐτῆς καὶ ἐναργεστέρα ἡ δύναμις καὶ ἡ φύσις, εἴ τις ἐνταῦθα διανοηθείη, ὅπως περιέχει καὶ ἄγει ταῖς αὐτῆς βουλήσεσι τὸν οὐρανόν. Παντὶ μὲν γὰρ τῷ μεγέθει τούτῳ, ὅσος ἐστίν, ἔδωκεν ἑαυτήν, καὶ πᾶν διάστημα, καὶ μέγα καὶ μικρόν, ἐψύχωται, ἄλλου μὲν ἄλλῃ κειμένου τοῦ σώματος, καὶ τοῦ μὲν ὡδί, τοῦ δὲ ὡδὶ ὄντος, καὶ τῶν μὲν ἐξ ἐναντίας, τῶν δὲ ἄλλων ἀπάρτησιν ἀπ' ἀλλήλων ἐχόντων. Ἀλλ' οὐχ ἡ ψυχὴ οὕτως, οὐδὲ μέρη αὐτῆς ἑκάστῳ κατακερματισθεῖσα μορίῳ ψυχῆς ζῆν ποιεῖ, ἀλλὰ τὰ πάντα ζῇ τῇ ὅλῃ, καὶ πάρεστι πᾶσα πανταχοῦ, τῷ γεννήσαντι πατρὶ ὁμοιουμένη καὶ κατὰ τὸ ἕν, καὶ κατὰ τὸ πάντῃ. Καὶ πολὺς ὢν ὁ οὐρανός, καὶ ἄλλος ἄλλῃ, ἕν ἐστι τῇ ταύτης δυνάμει· καὶ θεός ἐστι διὰ ταύτην ὁ κόσμος ὅδε. Ἔστι δὲ καὶ ἥλιος θεός, ὅτι ἔμψυχος, καὶ τὰ ἄλλα ἄστρα· καὶ ἡμεῖς, εἴπερ τι, διὰ τοῦτο· νέκυες γὰρ κοπρίων ἐκβλητότεροι. Τὴν δὲ θεοῖς αἰτίαν τοῦ θεοῖς εἶναι ἀνάγκη πρεσβυτέραν θεὸν αὐτῶν εἶναι· ὁμοειδὴς δὲ καὶ ἡ ἡμετέρα. Καὶ ὅταν ἄνευ τῶν προσελθόντων σκοπῇς, λαβὼν κεκαθαρμένην,

II. Cogitare debet imprimis omnis anima, animam ipsam animalia omnia effecisse, inspirantem eis vitam: fecisse, inquam, viventia omnia, quæ nutrit tellus, et quæ mare, quæ in aere sunt, et quæ in cœlo stellæ divinæ. *Anima solem, anima ingens hoc cœlum exornavit*, ordineque perpetuo ducit, existens profecto natura quædam ab his diversa, quæ ornat, quæ movet, quibus suggerit vitam: ideoque necesse est his omnibus esse præstantiorem: quippe cum hæc et oriantur, quando anima suppeditat vitam, et occidant, quando destituit: ipsa vero sit semper, propterea, quod nunquam deserit semet ipsam. Quis *autem modus sit vitæ suppeditandæ* cum universo, tum singulis animantibus, ita potissimum cogitetur. Consideret itaque ingentem animam alia quædam anima, *non parvam* in considerando dignitatem adepta, a deceptione videlicet libera, et ab his omnibus, quæ ceteras animas fascinare consueverunt, ideoque in habitu quodam quietissimo constituta: non solum vero quiescat illi *circumfusum corpus corporisque procella*, verum etiam, quicquid extrinsecus ambit, undique conquiescat. Torpeat ergo terra et mare aerque, et ipsum cœlum præstantissimum. Excogitet mox in torpentem ejusmodi molem undique animam extrinsecus influentem penitusque infusam et omnia penetrantem nec aliter illustrantem, quam solis radii obscuram caliginem illuminare soleant, nubesque sæpe aspectu aureas reddere: sic itaque anima cœleste corpus ingressa dedit vitam, dedit immortalitatem, torpens protinus excitavit. Hoc autem motu perpetuo agitatum sapientis animæ ductu beatum animal est effectum, omnemque cœlum adeptum est dignitatem, cum primum *habitavit anima, cum prius esset corpus vita vacuum, terra* scilicet atque aqua: imo vero materiæ tenebrositas, atque non ens, quodque (ut inquit Homerus) dii odio habent. Fiet autem clarior atque perspectior vis animæ atque natura, si quis in his animadvertat, quemadmodum ipsa sua *voluntate cœlum complectatur et ducat. Omni namque* huic moli, quantacumque est, tradidit semet ipsam. Unde totum hoc intervallum cum magnum, tum parvum, est animatum, ubi corporis aliud atque aliud est alibi situm: et hoc quidem sic, illud vero aliter est dispositum: et alia ex opposito sita, alia vero connexa invicemque pendentia. At anima non ita se habet. Non enim in partes particulasque divisa vitam inserit singulatim: sed omnia se tota vivificat, totaque ubique adest, similis effecta patri, cum secundum ipsum unum, tum secundum quandam per omnia amplitudinem. Et profecto cœlum, etsi multiplex aliudque sit alibi, est tamen animæ ipsius potentia unum. Jam *vero propter ipsam* hic mundus est deus. Sol quoque deus est, quoniam animatus, stellæque similiter omnes. Nos quoque quicquid habemus egregii, ob hoc ipsum duntaxat habemus. Orbati namque anima sterquilinio abjectiores esse dicuntur [ab Heraclito]. Necessarium vero est, *animam ipsam, quandoquidem diis, ut dii sint, causa est*, antiquiorem iis deum existere: conformis quoque huic est et nostra. Itaque si quando absque adjunctis eam consideraveris, puram inspiciens, invenies profecto idem ipsum,

εὑρήσεις τὸ αὐτὸ τίμιον, ὃ ἦν ψυχή, καὶ τιμιώτερον παντὸς τοῦ ὃ ἂν σωματικὸν ᾖ· γῆ γὰρ πάντα. Κἂν πῦρ δὲ ᾖ, τί ἂν εἴη τὸ καῖον αὐτοῦ; καὶ ὅσα ἐκ τούτων σύνθετα· κἂν ὕδωρ αὐτοῖς προσθῇς, κἂν ἀέρα. Εἰ δ' ὅτι ἔμψυχον, διωκτὸν ἔσται, τί παρείς τις ἑαυτὸν ἄλλον διώκει; τὴν δὲ ἐν ἄλλῳ ψυχὴν ἀγάμενος, σεαυτὸν ἄγασαι.

quod est anima, venerandum omnique corporeo admodum pretiosius. Etenim sine ipsa anima fortasse terra sint omnia. Ac si interest et ignis, quidnam erit vehementia ejus adurens? et quæcunque ex his composita fuerint: tametsi aquam his æremque addideris, nondum tamen nactus fueris aliquid venerandum. Quodsi ex eo, quod animetur, prosecutione dignum corpus evadet, cur, quæso, te ipsum, id est animum tuum, dimittis, aliud vero quicquam prosequeris? Sed age, animam ipsam admiratus in alio, admirare te ipsum.

Facultas nostra rationalis tanquam mobilis et ab otio migrans in actum, atque vicissim, pendet ab intellectu nostro stabiliter semperque agente; atque hic tanquam proprius animæ particularisque pendet ab intellectu communi in se ipso simpliciter consistente.

Intellectus noster se habet ad rationem, et intellectus communis ad nostrum, sicut lumen ad aerem, formaque ad materiam. Sed ratio quidem quotidie formatur ab intellectu nostro, noster autem intellectus a communi semper formatus est, semper illuminatus. Intellectus igitur communis excellentiam ex ipsa intellectus animalis præstantia possumus conjectare.

Γ'. Οὕτω δὴ τιμίου καὶ θείου ὄντος χρήματος τῆς ψυχῆς, πιστεύσας ἤδη τῷ τοιούτῳ θεὸν μετιέναι, μετὰ τοιαύτης αἰτίας ἀνάβαινε πρὸς ἐκεῖνον. Πάντως που οὐ πόρρω βαλεῖς, οὐδὲ πολλὰ τὰ μεταξύ. Λάμβανε τοίνυν τὸ τοῦ θείου τούτου θειότερον τὸ ψυχῆς πρὸς τὸ ἄνω γειτόνημα, μεθ' ὃ καὶ ἀφ' οὗ ἡ ψυχή. Καίπερ γὰρ οὖσα χρῆμα, οἷον ἔδειξεν ὁ λόγος, εἰκών τίς ἐστι νοῦ, οἷον λόγος ὁ ἐν προφορᾷ λόγου τοῦ ἐν ψυχῇ, οὕτω τοι καὶ αὐτὴ λόγος νοῦ· καὶ ἡ πᾶσα ἐνέργεια, καὶ ἣν προΐεται ζωὴν εἰς ἄλλου ὑπόστασιν, οἷον πυρός, τὸ μὲν ἡ συνοῦσα θερμότης, ἡ δὲ ἣν παρέχει. Δεῖ δὲ λαβεῖν ἐκεῖ, οὐκ ἐκρέουσαν, ἀλλὰ μένουσαν μὲν τὴν ἐν αὐτῷ, τὴν δὲ ἄλλην ὑφισταμένην. Οὖσα οὖν ἀπὸ νοῦ νοερά ἐστι, καὶ ἐν λογισμοῖς ὁ νοῦς αὐτῆς· καὶ ἡ τελείωσις ἀπ' αὐτοῦ πάλιν, οἷον πατρὸς ἐκθρέψαντος, ὃν οὐ τέλειον ὡς πρὸς αὐτὸν ἐγέννησεν. Ἥ τε οὖν ὑπόστασις αὐτῇ ἀπὸ νοῦ, ὅ τε ἐνεργείᾳ λόγος νοῦ αὐτῇ ὁρωμένου· ὅταν γὰρ ἐνίδῃ εἰς νοῦν, ἔνδοθεν ἔχει καὶ οἰκεῖα, ἃ νοεῖ καὶ ἐνεργεῖ· καὶ ταύτας μόνας δεῖ λέγειν ἐνεργείας ψυχῆς, ὅσα νοερῶς, καὶ ὅσα οἴκοθεν, τὰ δὲ χείρω, ἄλλοθεν, καὶ πάθη ψυχῆς τῆς τοιαύτης. Νοῦς οὖν ἐπὶ μᾶλλον θειοτέραν ποιεῖ, καὶ τῷ πατὴρ εἶναι, καὶ τῷ παρεῖναι· οὐδὲν γὰρ μεταξύ, ἢ τὸ ἑτέροις εἶναι, ὡς ἐφεξῆς μέντοι καὶ ὡς τὸ δεχόμενον, τὸ δὲ ὡς εἶδος· καλὴ δὲ καὶ ἡ νοῦ ὕλη, νοοειδὴς οὖσα καὶ ἁπλῆ. Οἷον δὲ ὁ νοῦς, καὶ ταυτῷ μὲν τούτῳ δῆλον, ὅτι κρείττων ψυχῆς τοιᾶσδε οὔσης.

III. Cum igitur anima sit res tam veneranda tanquam divina, confisus jam tali quodam vehiculo ad deum te accessurum, hoc ipso ad illum jam ascende. Neque enim es longius vagaturus: nam neque sunt intermedia multa. Sume itaque, quod est hujus divini divinius, vicinitatem, inquam, animæ ad supernum, post quod vicinum et a quo est anima. Etsi enim tanta res sit, quantam ratio demonstravit, imago tamen quædam est intellectus ipsius: quemadmodum verbum in prolatione verbi existentis in animo. Sic ergo et anima mentis est verbum, et tota est actus, atque vita, quam producit in alterius existentiam, velut altera quidem est in igne caliditas, altera quam ignis exhibet alteri. Oportet autem illic accipere non effluentem duntaxat, sed partim quidem in ipso manentem, partim aliam subsequentem. Quamobrem cum anima sit ab intellectu, intellectualis existit, intellectusque ipsius animæ in discursione versatur: tum vero hujus perfectio rursus ab intellectu, velut a patre atque iterum nutritore: siquidem hanc primo non omnino perfectam, si cum ipso conferatur, procreavit. Itaque cum hæc ipsa substantia est a mente, tum actu ratio, et quasi intellectuale verbum, dum mens ipsi perspicitur: quando enim intuetur mentem, tunc, quæ intelligit agitque, intus habet et propria, hasque solas appellare decet animæ actiones, quæcunque intellectuales sunt atque domesticæ: quæ vero deteriores sunt, aliunde proveniunt, suntque tales animæ passiones. Intellectus igitur diviniorem insuper efficit animam, cum quia pater est, tum quia semper adest: non enim intervenit medium præter id, quod alterum inter se sunt et alterum: ita tamen, ut subsequatur anima et suscipiat, intellectus autem sit tanquam species. Pulchra vero est et intellectus ipsius materia: quippe cum sit intellectualis quiddam et simplex. Quam igitur excellens sit intellectus, ex hoc quoque constat, quod excellentior est anima re admodum excellente.

Mundus cum sit ab intellectu divino, certe totus est in eo. Et quoniam illic est ens, vita, intellectus perfectissimo modo, ideo, quicquid mundanum est in eo, perfectum est, atque est ens, et vita, et intellectus.

Partes temporis pertinentes ad mundana referuntur ad totum tempus, quod passivo est in mundo; atque hoc ad tempus, quod in anima est activo, et illud ad ipsam divinæ mentis æternitatem: in ipsa tamen mente differunt inter se, quadam ratione formali, intelligere atque intelligi. Item, quod intelligit et quod intelligitur, substantia tamen conveniunt. Ibi rursum intelligere ipsum metaphorice est moveri, intelligi vero quasi movere atque stare. Cum igitur intellectus ille et omniformis sit et differentiam in se aliquam et quasi compositionem habeat, merito redigendus est ad superius aliquid simplicissimum.

Δ'. Ἴδοι δ' ἄν τις καὶ ἐκ τῶνδε, κόσμον αἰσθητὸν τόνδε εἴ τις θαυμάζει, εἴς τε τὸ μέγεθος καὶ τὸ κάλλος καὶ τὴν τάξιν τῆς φορᾶς τῆς ἀϊδίου ἀποβλέπων, καὶ θεοὺς τοὺς ἐν αὐτῷ, τοὺς μὲν ὁρωμένους, τοὺς δὲ καὶ ἀφανεῖς ὄντας, καὶ δαίμονας, καὶ ζῷα, φυτά τε πάντα· ἐπὶ τὸ ἀρχέτυπον αὐτοῦ καὶ τὸ ἀληθινώτερον ἀναβάς, κἀκεῖ πάντα ἰδέτω νοητά, καὶ παρ' αὐτῷ ἀΐδια, ἐν οἰκείᾳ συνέσει καὶ ζωῇ, καὶ τούτων τὸν ἀκήρατον νοῦν

IV. Cognoscere idem præterea per hæc aliquis poterit, si quis mundum hunc sensibilem admiretur, intuitus magnitudinem ejus et pulchritudinem, motusque ordinem sempiterni: item deos in ipso partim quidem conspicuos, partim vero latentes: dæmones quoque et animalia, et omnes denique plantas, mox ad ipsum mundi hujus principium et exemplar mundanoque verius prorsus ascendat, ibique intelligibilia cuncta conspiciat, ac penes ipsum sempiterna in propria intelligentia atque vita, horumque omnium præsidem intellectum prorsus intemeratum, et

προστάτην, καὶ σοφίαν ἀμήχανον, καὶ τὸν ὡς ἀληθῶς ἐπὶ Κρόνου βίον, θεοῦ κόρου καὶ νοῦ ὄντος. Πάντα γὰρ ἐν αὐτῷ τὰ ἀθάνατα περιέχει, νοῦν πάντα, θεὸν πάντα, ψυχὴν πᾶσαν, ἑστῶτα ἀεί. Τί γὰρ ζητεῖ μεταβάλλειν εὖ ἔχων; ποῦ δὲ μετελθεῖν πάντα παρ' αὐτῷ ἔχων; ἀλλ' οὐδὲ αὔξην ζητεῖ, τελειότατος ὤν. Διὸ καὶ τὰ παρ' αὐτῷ πάντα τέλεια, ἵνα πάντῃ ᾖ τέλειος, οὐδὲν ἔχων ὅτι μὴ τοιοῦτον, οὐδὲν ἔχων ἐν αὐτῷ, ὃ μὴ νοεῖ· νοεῖ δὲ οὐ ζητῶν, ἀλλ' ἔχων, καὶ τὸ μακάριον αὐτῷ οὐκ ἐπίκτητον, ἀλλ' ἐν αἰῶνι πάντα, καὶ ὁ ὄντως αἰών, ὃν μιμεῖται χρόνος περιθέων ψυχήν, τὰ μὲν παριείς, τοῖς δὲ ἐπιβάλλων. Καὶ γὰρ ἄλλα καὶ ἄλλα αὖ περὶ ψυχήν· ποτὲ μὲν Σωκράτης, ποτὲ δὲ ἵππος, ἕν τι ἀεὶ τῶν ὄντων, ὁ δὲ νοῦς πάντα· ἔχει οὖν ἐν τῷ αὐτῷ πάντα ἑστῶτα ἐν τῷ αὐτῷ, καὶ ἔστι μόνον, καὶ τὸ ἔστιν ἀεί, καὶ οὐδαμοῦ τὸ μέλλον (ἔστι γὰρ καὶ τότε), οὐδὲ τὸ παρεληλυθός· οὐ γάρ τι ἐκεῖ παρελήλυθεν, ἀλλ' ἐνέστηκεν ἀεί, ἅτε τὰ αὐτὰ ὄντα, οἷον ἀγαπῶντα ἑαυτὰ οὕτως ἔχοντα· ἕκαστον δὲ αὐτῶν νοῦς καὶ ὄν ἐστι, καὶ τὸ σύμπαν πᾶς νοῦς, καὶ πᾶν ὄν. Ὁ μὲν νοῦς κατὰ τὸ νοεῖν ὑφιστὰς τὸ ὄν, τὸ δὲ ὄν, τῷ νοεῖσθαι τῷ νῷ διδὸν τὸ νοεῖν καὶ τὸ εἶναι· τοῦ δὲ νοεῖν αἴτιον ἄλλο, ὃ καὶ τῷ ὄντι. Ἀμφοτέρων οὖν ἅμα αἴτιον ἄλλο· ἅμα μὲν γὰρ ἐκεῖνα, καὶ συνυπάρχει καὶ οὐκ ἀπολείπει ἄλληλα. Ἀλλὰ δύο ὄντα, τοῦτο τὸ ἓν ὁμοῦ νοῦς, καὶ ὄν, καὶ νοοῦν, καὶ νοούμενον· ὁ μὲν νοῦς, κατὰ τὸ νοεῖν· τὸ δὲ ὄν, κατὰ τὸ νοούμενον· οὐ γὰρ ἂν γένοιτο τὸ νοεῖν ἑτερότητος μὴ οὔσης καὶ ταυτότητος δέ. Γίγνεται οὖν τὰ πρῶτα νοῦς, ὄν, ἑτερότης, ταυτότης. Δεῖ δὲ καὶ κίνησιν λαβεῖν καὶ στάσιν· καὶ κίνησιν μέν, εἰ νοεῖ, στάσιν δέ, ἵνα τὸ αὐτό· τὴν δὲ ἑτερότητα, ἵν' ᾖ νοοῦν καὶ νοούμενον· ἢ ἐὰν ἀφέλῃς τὴν ἑτερότητα, ἓν γενόμενον σιωπήσεται. Δεῖ δὲ καὶ τοῖς νοηθεῖσιν ἑτέροις πρὸς ἄλληλα εἶναι· ταὐτὸν δέ, ἐπεὶ ἓν ἑαυτῷ, καὶ κοινὸν δέ τι ἐν πᾶσι, καὶ ἡ διαφορά, ἑτερότης. Ταῦτα δὲ πλείω γενόμενα ἀριθμὸν καὶ τὸ ποσὸν ποιεῖ· καὶ τὸ ποιὸν δὲ ἡ ἑκάστου τούτων ἰδιότης, ἐξ ὧν ὡς ἀρχῶν τἆλλα.

inæstimabilem sapientiam, et revera vitam auream sub Saturno: nempe Saturnus ipse intellectus est prorsus [quasi juvenis] immaculatus. Omnia enim in se immortalia comprehendit, intellectum omnem, deum omnem, animam omnem, et hæc omnia penitus consistentia. Quid enim permutare quærat, cum bene se habeat? quove pertransire, cum penes se cuncta possideat? Sed neque exigit incrementum, cum sit perfectissimus. Quapropter et quæcunque sunt, apud ipsum perfecta sunt, ut sit omnino perfectus, non habens, quod non sit tale; neque quicquam in se habens, quod non intelligat: intelligit autem non quærendo, sed possidendo. Neque peregrinam habet felicitatem, sed omnia habet in ævo, atque vera est æternitas, quam imitatur tempus circa animam sese versans, alia quidem dimittens, alia vero attingens. Etenim alia rursusque alia sunt circa animam: nam aliquando Socrates, aliquando equus, et unum aliquid semper eorum, quæ sunt; intellectus autem omnia. Habet igitur in eodem omnia consistentia in eodem, atque est duntaxat, semperque præsens, neque ullo modo futurum; est enim jam tunc, quicquid esse potest: neque habet præteritum. Non enim ibi quicquam præteriit, sed ibi cuncta in præsenti consistunt; utpote quæ sunt semper eadem, tanquam quæ præsenti habitu sunt contenta: proinde quodlibet illorum est intellectus atque ens. Et universum omnis est intellectus ensque omne: intellectus quidem propterea, quod intelligit, atque ita ens sibi vindicat: ens autem propterea, quod intelligitur, atque hoc ipsum, quod intelligitur, intelligere et esse exhibet intellectui. Intelligendi vero causa aliud est: quod quidem enti quoque causa est essendi: amborum igitur simul aliud causa est. Ipsa enim et simul existunt, et nunquam se mutuo deserunt. Sed cum duo sint, hoc ipsum unum simul est intellectus, et ens, et intelligens simul et intellectum. Intellectus quidem, quatenus intelligit; ens autem, quatenus intelligitur. Non enim esse posset actus intelligendi, nisi esset (ut ita loquar) alteritas, atque identitas. Sunt ergo prima intellectus, ens, alteritas et identitas. Oportet autem motum quoque statumque adjungere: et motum quidem, si intelligit; statum vero, ut idem: sed alteritatem, ut sit intelligens atque intellectum: alioquin, si diversitatem hanc abstuleris, unum jam prorsus evadens silebit omnino. Oportet autem, quæ intelligunt et quæ intelliguntur, inter se sic esse diversa: esse quoque idem, quatenus unum sibimet ipsi et commune unum aliquod omnibus. Atqui differentia ipsa alteritas est. Hæc autem, dum plura fiunt, numerum quantitatemque faciunt; ac denique tale aliquid uniuscujusque horum proprietas efficit, ex quibus velut principiis cætera quoque proficiscuntur.

Pythagorici fingunt in quadam quasi processione ipsius unius oriri binarium, in quodam binarii termino ternarium suboriri, similiterque deinceps: Platonici similiter de prima essentia judicant.

*Hæc enim cum perfectissima sit, ideoque similiter vivat, vitali quodam quasi motu progreditur intus.* Cum vero progressio sit opposita regressioni vel termino, reditum aliunde, et id quidem desuper habet, ut regrediatur vel terminetur: sicut cœlum, ut moveatur, habet ab anima; ut in orbem, habet ab intellectu, vel anima jam intellectuali. Terminatur autem vitalis ille actus in intellectum, et hunc clarissimum omniformemque, vigore scilicet interim accepto divinitus, sicut et oculus nativo quodam nixu aspicit, sed virtute luminis fit actu videns atque formatus. Denique cum in ipso intellectu primo se ipsum intelligente ratio quidem formalis ipsius intelligentis sit, quasi procedentis atque formabilis, ratio autem intellecti sit, quasi terminantis atque formantis: ideoque inter se opponantur, merito ibi est numerus aliquis, non accidentalis ille quidem, sed prorsus essentialis. Est et ille numerus idearum ratione formali inter se differentium, si modo per eas intelliguntur et fiunt formæ rerum re ipsa invicem discrepantium. Ideo intellectus adeo multiplex a principio pendet penitus simplicissimo.

Ε'. Πολὺς οὖν οὗτος ὁ θεὸς ἐπὶ τῇ ψυχῇ τῇδε ὑπάρχει ἐν τούτοις εἶναι συναφθείσῃ, εἰ μὴ ἀποστατεῖν ἐθέλοι. Πελάσασα οὖν αὐτῷ, καὶ οἷον ἓν γενομένη, ζητεῖ· τίς οὖν ὁ τοῦτον γεννήσας; ὁ ἁπλοῦς καὶ ὁ πρὸ τοιούτου πλήθους, ὁ αἴτιος τοῦ καὶ εἶναι, καὶ πολὺν εἶναι τοῦτον, ὁ τὸν ἀριθμὸν ποιῶν. Ὁ γὰρ ἀριθμὸς οὐ πρῶτος· καὶ γὰρ πρὸ δυάδος τὸ ἕν· δεύτερον δὲ δυάς· καὶ παρὰ τοῦ

V. Hic itaque deus plurimus in anima hac existit rebus ejusmodi copulata, nisi forte hinc velit abire. Propinquans ergo ipsi et quasi unum effecta ita perquirit: Quisnam igitur ille est, qui hunc genuit? qui simplex et ante ejusmodi multitudinem: qui auctor huic est, ut et sit, sitque multiplex: qui procreat numerum. Numerus enim non est primus. Nam ante dualitatem est ipsum unum: secundum vero dualitas, quæ ab uno facta, ipsum habet definitorem:

ἑνὸς γεγενημένη ἐκεῖνο ὁριστὴν ἔχει, αὐτὴ δὲ ἀόριστον παρ' αὑτῆς. Ὅταν δὲ ὁρισθῇ, ἀριθμὸς ἤδη· ἀριθμὸς δὲ ὡς οὐσία· ἀριθμὸς δὲ καὶ ἡ ψυχή. Οὐ γὰρ ὄγκοι τὰ πρῶτα, οὐδὲ μεγέθη· τὰ γὰρ παχέα ταῦτα ὕστερα, ἃ ὄντα ἡ αἴσθησις οἴεται· οὐδὲ ἐν σπέρμασι δὲ τὸ ὑγρὸν τὸ τίμιον, ἀλλὰ τὸ μὴ ὁρώμενον, τοῦτο δὲ ἀριθμὸς καὶ λόγος. Ὁ οὖν ἐκεῖ λεγόμενος ἀριθμὸς καὶ ἡ δυάς, λόγοι καὶ νοῦς· ἀλλὰ ἀόριστος μὲν ἡ δυάς, τῷ οἷον ὑποκειμένῳ λαμβανομένη· ὁ δὲ ἀριθμὸς ὁ ἐξ αὐτῆς καὶ τοῦ ἑνὸς, εἶδος ἕκαστος, οἷον μορφωθέντος τοῖς γενομένοις εἴδεσιν ἐν αὐτῷ. Μορφοῦται δὲ ἄλλον μὲν τρόπον παρὰ τοῦ ἑνὸς, ἄλλον δὲ παρ' αὑτοῦ, οἷον ὄψις ἡ κατ' ἐνέργειαν. Ἔστι γὰρ ἡ νόησις ὅρασις ὁρῶσα, ἄμφω τὸ ἕν.

Ipsa vero simpliciter dualitas est quiddam indefinitum. Quando vero definita est, jam est numerus: numerus autem ut essentia: unde et anima quoque numerus est. Non enim moles sunt prima naturae, neque magnitudines ullae. Crassa enim haec posteriora sunt, quae sensus existimat entia. Jam vero nec in seminibus hoc ipsum humidum est, quod dignum aestimatione censetur, sed quod sensibus non apparet: id autem numerus est atque ratio. Qui ergo numerus illic dicitur atque etiam dualitas, intellectus est et rationes quaedam: sed indefinita quidem dualitas est, quatenus subjecto consideratur: numerus autem, qui ex ipsa est atque uno, jam est species unaquaeque, quasi sic intellectus ipsius essentia per species in eo factas formata jam fuerit. Formatur autem alio quidem modo ab ipso uno, alio autem a se ipso, velut visio, quae est jam actu videns. Est enim intelligentia visio videns, et ambo unum.

Deus summus absque ullo voluntatis vel naturae motu divinum generat intellectum, tanquam verbum suum, sola alteritate quadam a patre differens. Intellectus similiter immobilis verbum suum generat, ipsam scilicet mundi animam.

Si primum principium esset ullo modo mutabile, omnino mutarent omnia. Item, si fingatur per motum quasi medium generare mentis substantiam, motum tandem generabit sine motu accidens tam imperfectum, ut sit accidentium omnium imperfectissimum, cum partes in se suas simul possidere nunquam possit. Itaque ratio dictat, sine ejusmodi accidente perfectissimam illam a deo substantiam generari, cum agentia partim natura, partim voluntate faciant, et in primo agente omnis agendi facultas contineatur, et, quae in sequentibus sunt divisa, in primo sint unita: summum deus voluntate res facit pariter atque natura; idemque in eo natura est atque voluntas. Ab illo igitur nec per voluntatem nec per naturam mutato emicat intellectus quasi lumen, et cum primum emicat naturali quodam instinctu vergens ad patrem, idearum splendore repletur. Evadit igitur intellectus hinc absolute formatus: similiter ad intellectum divinum anima mundi se habet. Notabis, orationem tunc efficacissimam fore, quando animus, ad intellectum suum omnino se revocans, solum se offert soli deo, ad solum videlicet illum amore flagrans.

ϛ'. Πῶς οὖν ὁρᾷ, καὶ τίνα, καὶ πῶς ὅλως ὑπέστη καὶ ἐξ ἐκείνου γέγονεν, ἵνα καὶ ὁρᾷ; νῦν μὲν γὰρ τὴν ἀνάγκην τοῦ εἶναι ταῦτα ἡ ψυχὴ ἔχει. Ἐπιποθεῖ δὲ τὸ θρυλλούμενον δὴ τοῦτο καὶ παρὰ τοῖς πάλαι σοφοῖς, πῶς ἐξ ἑνὸς τοιούτου ὄντος, οἷον λέγομεν τὸ ἓν εἶναι, ὑπόστασιν ἔσχεν ὁτιοῦν, εἴτε πλῆθος, εἴτε δυὰς, εἴτε ἀριθμὸς, ἀλλ' οὐκ ἔμεινεν ἐκεῖνο ἐφ' ἑαυτοῦ, τοσοῦτον δὲ πλῆθος ἐξεῤῥύη, ὃ ὁρᾶται μὲν ἐν τοῖς οὖσιν, ἀνάγειν δὲ αὐτὸ πρὸς ἐκεῖνο ἀξιοῦμεν; Ὧδε οὖν λεγέσθω θεὸν αὐτὸν ἐπικαλεσαμένοις, οὐ λόγῳ γεγωνῷ, ἀλλὰ τῇ ψυχῇ ἐκτείνασιν ἑαυτοὺς εἰς εὐχὴν πρὸς ἐκεῖνον, εὔχεσθαι τὸν τρόπον τοῦτον δυναμένους, μόνους πρὸς μόνον. Δεῖ τοίνυν θεατὴν ἐκείνου ἐν τῷ εἴσω, οἷον νεῷ, ἐφ' ἑαυτοῦ ὄντος, μένοντος ἡσύχου ἐπέκεινα ἁπάντων, τὰ οἷον πρὸς τὰ ἔξω ἤδη ἀγάλματα ἑστῶτα, μᾶλλον δὲ ἄγαλμα τὸ πρῶτον ἐκφανὲν θεᾶσθαι πεφηνὸς τοῦτον τὸν τρόπον. Παντὶ τῷ κινουμένῳ δεῖ τι εἶναι, πρὸς ὃ κινεῖται· μὴ ὄντος δὲ ἐκείνῳ μηδενὸς, μὴ τιθώμεθα αὐτὸ κινεῖσθαι· ἀλλ' εἴ τι μετ' αὐτὸ γίγνεται, ἐπιστραφέντος ἀεὶ ἐκείνου πρὸς αὐτὸ, ἀναγκαῖόν ἐστι γεγονέναι. Ἐκποδὼν δὲ ἡμῖν ἔστω γένεσις ἡ ἐν χρόνῳ, τὸν λόγον περὶ τῶν ἀεὶ ὄντων ποιουμένοις· τῷ δὲ λόγῳ τὴν γένεσιν προσάπτοντας αὐτοῖς, αἰτίας καὶ τάξεως αὐτοῖς ἀποδώσει. Τὸ οὖν γιγνόμενον ἐκεῖθεν οὐ κινηθέντος φατέον γίγνεσθαι· εἰ γὰρ κινηθέντος αὐτοῦ τι γίγνοιτο, τρίτον ἀπ' ἐκείνου τὸ γιγνόμενον μετὰ τὴν κίνησιν ἂν γίγνοιτο, καὶ οὐ δεύτερον. Δεῖ οὖν ἀκινήτου ὄντος, εἴ τι δεύτερον μετ' αὐτὸ, οὐ προσνεύσαντος οὐδὲ βουληθέντος, οὐδὲ ὅλως κινηθέντος ὑποστῆναι αὐτό. Πῶς οὖν καὶ τί δεῖ νοῆσαι περὶ ἐκεῖνο μένον; περίλαμψιν

VI. Quomodo igitur videt? quidve videt? et quomodo prorsus exstitit et processit ab illo, ut et videat? Nunc enim necessitatem ipsam, per quam haec fiant, animus tenet. Affectat autem iterum intelligere, quod etiam inter antiquos sapientes est divulgatum, quonam pacto ex uno existente tali, quale dicimus unum ipsum exsistere, habuerit unumquodque substantiam, sive multitudo, sive dualitas, sive numerus: neque illud in se ipso quieverit, sed tanta illinc effluxerit multitudo, quanta conspicitur quidem in medio rerum, reducendam vero censemus ad illud. Sic itaque dicendum nobis est, deum ipsum invocantibus, non oratione quidem ad aures pertinente, sed animo se ipsum ad deum voti gratia impensissime revocante: quippe cum hac tantum conditione vovere precarique possimus, si soli accedamus ad solum. Oportet igitur dei contemplatorem in ipso penetrali, velut templo quodam, intra se ipsum, inquam, tranquillo quiescere super omnia prorsus exstantem, ibique velut statuas extra universum constitutas, imo vero statuam primo effulgentem, hoc modo, quo naturaliter inspici potest, inspicere. Circa omne, quod movetur, oportet aliquid esse, ad quod moveatur: nam, si illi nihil ejusmodi fuerit, moveri minime affirmabimus: sed si quid post efficiens ipsum fiat, id omne ipso semper ad se converso effici necessarium est. Procul esto nunc a nobis generatio temporalis, verba de sempiternis in praesentia facientibus, et, si quando inter loquendum generationem eis attribuimus, ratione causae ordinisque cujusdam generationem in medium adducentibus. Quod igitur inde gignitur, dicendum est superiore non agitato gigni: alioquin, si moto illo aliquid generetur, certe id, quod gignitur, non secundum, sed tertium erit ab illo post motum. Quamobrem necessarium est, cum illud sit prorsus immobile, si quid secundum post ipsum nascitur, id profecto illo neque annuente, neque voluntate decernente, neque ullo pacto commoto subsistere. Quonam igitur pacto quidve nobis est circa illud stabile cogitandum? Lumen undique circumfusum ex ipso pendens,

ἐξ αὐτοῦ μὲν, ἐξ αὐτοῦ δὲ μένοντος, οἷον ἡλίου τὸ περὶ αὐτὸ λαμπρὸν, ὥσπερ περιθέον, ἐξ αὐτοῦ ἀεὶ γεννώμενον μένοντος. Καὶ πάντα τὰ ὄντα, ἕως μένει, ἐκ τῆς αὐτῶν οὐσίας ἀναγκαίαν τὴν περὶ αὐτὰ πρὸς τὸ ἔξω αὐτῶν ἐκ τῆς παρούσης δυνάμεως δίδωσιν αὐτῶν ἐξηρτημένην ὑπόστασιν, εἰκόνα οὖσαν οἷον ἀρχετύπων, ὧν ἐξέφυ· πῦρ μὲν τὴν παρ' αὐτοῦ θερμότητα, καὶ χιὼν οὐκ εἴσω μόνον τὸ ψυχρὸν κατέχει· μάλιστα δὲ ὅσα εὐώδη μαρτυρεῖ τοῦτο. Ἕως γάρ ἐστι, πρόεισί τι ἐξ αὐτῶν, περὶ αὐτὰ ὧν ἀπολαύει ὑποστάντων ὅ τι πλησίον· καὶ πάντα δὲ ὅσα ἤδη τέλεια, γεννᾷ, τὸ δὲ ἀεὶ τέλειον, ἀεὶ καὶ ἀΐδιον γεννᾷ, καὶ ἔλαττον δὲ ἑαυτοῦ γεννᾷ. Τί οὖν χρὴ περὶ τοῦ τελειοτάτου λέγειν; μηδὲν ἀπ' αὐτοῦ, ἢ τὰ μέγιστα μετ' αὐτόν· μέγιστον δὲ μετ' αὐτὸν νοῦς, καὶ δεύτερον· καὶ γὰρ ὁρᾷ ὁ νοῦς ἐκεῖνον, καὶ δεῖται αὐτοῦ μόνου, ἐκεῖνος δὲ τούτου οὐδὲν, καὶ τὸ γεννώμενον ἀπὸ κρείττονος νοῦ νοῦν εἶναι, καὶ κρείττων ἁπάντων ὁ νοῦς, ὅτι τἆλλα μετ' αὐτόν· οἷον καὶ ἡ ψυχὴ λόγος νοῦ, καὶ ἐνέργειά τις, ὥσπερ αὐτὸς ἐκείνου. Ἀλλὰ ψυχῆς μὲν ἀμυδρὸς ὁ λόγος· ὡς γὰρ εἴδωλον νοῦ, ταύτῃ καὶ εἰς νοῦν βλέπειν δεῖ· νοῦς δὲ ὡσαύτως πρὸς ἐκεῖνον, ἵνα ᾖ νοῦς· ὁρᾷ δὲ αὐτὸν οὐ χωρισθεὶς, ἀλλ' ὅτι μετ' αὐτόν· καὶ μεταξὺ οὐδὲν, ὡς οὐδὲ ψυχῆς καὶ νοῦ. Ποθεῖ δὲ πᾶν τὸ γεννῆσαν τὸ γεννηθὲν, καὶ τοῦτο ἀγαπᾷ, καὶ μάλιστα, ὅταν ὦσι μόνοι τὸ γεννῆσαν καὶ τὸ γεγεννημένον. Ὅταν δὲ καὶ τὸ ἄριστον ᾖ τὸ γεννῆσαν, ἐξ ἀνάγκης σύνεστιν αὐτῷ, ὡς τῇ ἑτερότητι μόνον κεχωρίσθαι.

ex ipso, inquam, penitus quiescente, ceu fulgorem circa solem, quasi circumcurrentem, ex ipso semper manente progenitum. Jam vero res omnes, quatenus naturaliter perseverant, ex ipsa sui essentia praesenteque virtute necessariam circa se foras naturam producunt ab ipsis pendentem, quae quidem imago sit velut exemplaris, scilicet virtutis illius, unde manavit. Ignis quidem ex se foras emittit calorem, nix quoque frigus non intrinsecus tantum cohibet, sed et aliis exhibet: praecipue vero id res odoratae testantur. Quamdiu enim sunt, nonnihil ab eis circum effunditur: cujus inde fit particeps, quod est propinquum. Atqui quaecumque perfecta jam sunt, aliquid generant. Quod autem semper est perfectum, semper gignit et sempiternum, minus autem genitum genitore. Quidnam igitur de perfectissimo est dicendum? Numquid nihil prodit ab eo, an potius ab eo prodeunt, quae omnium maxima sunt post ipsum? Maximum vero post ipsum est intellectus atque secundum. Inspicit enim intellectus illud, soloque illo indiget: illud vero primum hoc minime indiget. Oportet profecto, quod fit ab eo, quod est mente melius, esse mentem: melius vero omnium, quae fiunt, est intellectus, quoniam alia sunt post ipsum. Jam vero et anima mentis est verbum et actus quidam, sicut mens est dei verbum. Verum obscurum est animae verbum. Quatenus enim est imago mentis, hoc ipso ei aspiciendum est in mentem: eadem ratione deum suspicit mens imago dei, ut ita sit intellectus: videt vero deum minime inde separata; sed quoniam est post ipsum, nihilque est medium, quemadmodum nihil medium est inter animam atque mentem. Omne vero genitum appetit genitorem, in cujus consecutione sit contentum, praecipue autem, quando soli sunt genitor atque genitus. At ubi, quod genuit, est omnium optimum, necessario genitum ipsi cohaeret usque adeo, ut alteritate (ut ita dixerim) quadam solum videatur inde secretum.

Quemadmodum intellectualis anima pendet ab intellectu puro, qui non est anima: ita et hic intellectus emanat ab ipso bono, quod non est intellectus, sed supereminet intellectum.

Intellectus hic primo quidem a patre manat, tanquam essentia vivens, mox vero naturaliter illuc aspiciens intellectus evadit. Intellectus enim est ipsa substantialis visio ex aspectu sive affectu naturali resultans: hujus quidem pater est ipsum simpliciter unum. Hic autem unum essentiale sive vitale, ubi videtur esse binarius, sed aspectu addito jam ternarius. In ternario est par et impar omnisque numerus. Similiter hic per aspectum sive affectum naturalem jam ternarius, simul numerus omnis efficitur. Aspiciendo enim sive naturaliter ascicendo corroboratur a patre: confirmatus viventem essentiam suam jam comprehendit, in qua fecunda viget virtus essentiarum omnium genitrix. Sic igitur in se ipso in formas omnium se derivat, dum suam hanc intelligendo in se explicat potestatem. Effectus est igitur omniformis, et omnia fomento patris: qui, cum nulla rerum forma definiatur, merito vel nihil agit, quod dictu nefas, aut pariter omnia, dum ex se uno super omnia existente unum generat omniforme. Hic Caelo genitus Saturnus est appellatus, conceptus suos ipse deglutiens a Rhea, id est natura et materia, segregatos. Hujus filius Jupiter, mundi anima, filios, id est formas, generat in natura, atque per hanc ad materiam postremo producit.

Ζ'. Εἰκόνα δὲ ἐκείνου λέγομεν εἶναι τὸν νοῦν· δεῖ γὰρ σαφέστερον λέγειν. Πρῶτον μὲν, ὅτι δεῖ πως εἶναι ἐκεῖνο τὸ γεννώμενον, καὶ ἀποσώζειν πολλὰ αὐτοῦ, καὶ εἶναι ὁμοιότητα πρὸς αὐτὸ, ὥσπερ καὶ τὸ φῶς τοῦ ἡλίου· ἀλλ' οὐ νοῦς ἐκεῖνο. Πῶς οὖν νοῦν γεννᾷ; ἢ ὅτι τῇ ἐπιστροφῇ πρὸς αὐτὸ ἑώρα· ἡ δὲ ὅρασις αὕτη νοῦς· τὸ γὰρ καταλαμβάνον ἄλλο, ἢ αἴσθησις ἢ νοῦς· αἴσθησιν γραμμὴν καὶ τὰ ἄλλα· ἀλλ' ὁ κύκλος τοιοῦτος, οἷος μερίζεσθαι, τοῦτο δὲ οὐχ οὕτως· ἢ καὶ ἐνταῦθα ἓν μὲν, ἀλλὰ τὸ ἓν δύναμις πάντων. Ὧν οὖν ἐστι δύναμις, ταῦτα ἀπὸ τῆς δυνάμεως οἷον σχιζομένη ἡ νόησις καθορᾷ· ἢ οὐκ ἂν ἦν νοῦς· ἐπεὶ καὶ παρ' αὐτοῦ ἔχει ἤδη οἷον συναίσθησιν τῆς δυνάμεως, ὅτι δύναται, οὐσίαν. Αὐτός γ' οὖν δι' αὐτὸν καὶ ὁρίζει τὸ εἶναι αὐτῷ, τῇ παρ' ἐκείνου δυνάμει, καὶ ὅτι οἷον μέρος ἕν τι τῶν ἐκείνου.

VII. Imaginem vero illius esse dicimus intellectum: oportet enim apertius explicare. Primo quidem: oportere id genitum esse, servareque multa in se genitoris, similitudinemque talem fermo ad ipsum habere, qualem lumen habet ad solem: genitorem vero illum non esse mentem. Quomodo igitur gignit mentem? Quia videlicet genitum conversione quadam ad genitorem inspicit: haec autem ipsa visio est intellectus. Quod enim percipit aliud, vel sensus est, vel intellectus. Comparari vero solet sensus quidem lineae, quod vero reliquum est in cognoscendo, circulo. Verum ejusmodi circulus est quasi partibilis, ipsum vero non ita se habet. Fortasse vero hic quoque est unum, sed unum potestas omnium. Quorum igitur est potestas, haec ab ipsa potestate velut partita intelligentia conspicit; alioquin intellectus minime foret: quandoquidem et ipse per se habet jam velut potestatis suae consensum animadvertentem quantum valeat, in quo quidem ipsius consistit essentia. Ipse igitur per se ipsum et definit esse sibimet potestate quadam ab illo prorsus accepta: ubi sane animadvertitur essentiam esse velut

καὶ ἐξ ἐκείνου ἡ οὐσία, καὶ ῥώννυται παρ' ἐκείνου, καὶ τελειοῦται εἰς οὐσίαν παρ' ἐκείνου καὶ ἐξ ἐκείνου. Ὁρᾷ δὲ αὐτῷ ἐκεῖθεν, οἷον μεριστῷ ἐξ ἀμερίστου, καὶ τὸ ζῆν καὶ τὸ νοεῖν, καὶ πάντα, ὅτι ἐκεῖνος μηδὲν τῶν πάντων. Ταύτῃ γὰρ πάντα ἐξ ἐκείνου, ὅτι μή τινι μορφῇ κατείχετο ἐκεῖνος· μόνον γὰρ ἓν ἐκεῖνο, καὶ ὁ μὲν πάντα ἐν τοῖς οὖσιν ἂν ἦν. Διὰ τοῦτο ἐκεῖνο οὐδὲν μὲν τῶν ἐν τῷ νῷ· ἐξ αὐτοῦ δὲ πάντα ἐν τοῖς οὖσιν ἂν ἦν· διὸ καὶ οὐσίαι ταῦτα. Ὥρισται γὰρ ἤδη, καὶ οἷον μορφὴν ἕκαστον ἔχει· τὸ δὲ ὂν δεῖ οὐκ ἐν ἀορίστῳ οἷον θεωρεῖσθαι, ἀλλ' ὅρῳ πεπῆχθαι καὶ στάσει· στάσις δὲ τοῖς νοητοῖς ὁρισμὸς καὶ μορφή, οἷς καὶ τὴν ὑπόστασιν λαμβάνει. Ταύτης τοι γενεᾶς ὁ νοῦς οὗτος ἄξιος νοῦ τοῦ καθαρωτάτου, μὴ ἄλλοθεν ἢ ἐκ τῆς πρώτης ἀρχῆς φῦναι· γενόμενον δὲ ἤδη τὰ ὄντα πάντα σὺν αὐτῷ γεννῆσαι· πᾶν μὲν τὸ τῶν ἰδεῶν κάλλος, πάντας δὲ θεοὺς νοητούς, πλήρη δὲ ὄντα ὧν ἐγέννησε, καὶ ὥσπερ καταπιόντα πάλιν τῷ ἐν αὐτῷ ἔχειν, μηδὲ ἐκπεσεῖν εἰς ὕλην, μηδὲ τραφῆναι παρὰ τῇ Ῥέᾳ, ὡς τὰ μυστήρια καὶ οἱ μῦθοι οἱ περὶ θεῶν αἰνίττονται, Κρόνον μὲν θεὸν σοφώτατον πρὸ τοῦ Διὸς γενέσθαι, ἃ γεννᾷ, πάλιν ἐν ἑαυτῷ ἔχειν, ᾗ καὶ πλήρης, καὶ νοῦς ἐν κόρῳ· μετὰ δὲ ταῦτα φασὶ Δία γεννᾶν κόρον ἤδη ὄντα. Ψυχὴν γὰρ γεννᾷ νοῦς, νοῦς ὢν τέλειος· καὶ γὰρ τέλειον ὄντα γεννᾶν ἔδει, καὶ μὴ δύναμιν οὖσαν τοσαύτην ἄγονον εἶναι. Κρεῖττον δὲ οὐχ οἷόν τε ἦν εἶναι οὐδ' ἐνταῦθα τὸ γεννώμενον, ἀλλ' ἔλαττον ὄν, εἴδωλον εἶναι αὐτοῦ, ἀόριστον μὲν ὡσαύτως, ὁριζόμενον δὲ ὑπὸ τοῦ γεννήσαντος, καὶ οἷον εἰδοποιούμενον. Νοῦ δὲ γέννημα λόγος τις καὶ ὑπόστασις τὸ διανοούμενον· τοῦτο δ' ἐστὶ τὸ περὶ νοῦν κινούμενον, καὶ νοῦ φῶς, καὶ ἴχνος ἐξηρτημένον ἐκείνου, κατὰ θάτερα μὲν συνηγμένον ἐκείνῳ, καὶ ταύτῃ ἀποπιμπλάμενον καὶ ἀπολαῦον καὶ μεταλαμβάνον αὐτοῦ, καὶ νοοῦν, κατὰ θάτερα δὲ ἐφαπτόμενον τῶν μετ' αὐτό, μᾶλλον δὲ γεννῶν καὶ αὐτό, ἃ ψυχῆς ἀνάγκη εἶναι χείρονα· περὶ ὧν ὕστερον λεκτέον· καὶ μέχρι τούτων τὰ θεῖα.

II. Si igitur, quod generat ipsum, intellectus esset, oporteret sane, quod inde primo gignitur, esse inferius intellectu, propinquius tamen atque similius. At quoniam, quod primo gignit, est intellectu superius, idcirco, quod primo gignitur, necessario est intellectus. Sed cur nam primus ille genitor non est intellectus? quoniam intellectus ipsius actio intelligentia est, intelligentia, inquam, spectans intelligibile ad ipsumque conversa, et ab eo velut definita atque consummata, suapte quidem natura indefinita, tanquam visus, sed ab intelligibili definita. Quam ob rem, sicut traditum est, ex indefinita dualitate atque uno species numerique gignuntur. Id autem est intellectus. Itaque non simplex est, sed multiplex, compositionem quandam præ se ferens, quamvis intelligibilem, multaque jam conspiciens. Jam vero et ipse est rursus intelligibile, sed et intelligens: ideoque jam est duo. Est et aliud præter hoc rursus intelligibile. Sed quonam pacto ab intelligibili intellectus hic pendet? Nempe intelligibile in se ipso consistens neque sic egenum, sicut esse solet, quod videt atque intelligit: egenum, inquam, quod intelligit, quantum ad intelligibile spectat: illud, inquam, in se quiescens non est quasi sensu vacuum, sed sunt ipsius omnia, et in eo et una cum eo, sui ipsius omnino discernendi compos. Item vita in se ipso cunctaque in eo, atque animadversio sui ipsiusmet existit, tanquam cum quodam sensu suique consensu in statu perpetuo et intelligentia quadam aliter se habente, quam intellectus ipsius intelligentia. Si quid igitur illo in se manente gignitur, id prorsus generatum ab illo, quando illud potissimum id ipsum, quod est, existit. Manente itaque illo in habitu proprio, ex ipso quidem, quod oritur, generatur: manente, inquam, gignitur. Quoniam igitur illud intelligibile permanet, ideo, quod fit, evadit intelligentia. Proinde, cum intelligentia sit, idque, a quo generetur, intelligat, (neque enim habet aliud,) nimirum fit intellectus tanquam intelligibile aliud, taleque quale illud existit, imitatio quædam et illius imago. Sed quonam modo fit illo manente? Actus sane alter quidem est essentiæ, alter autem ex ipsa uniuscujusque essentia pendens, et qui essentiæ ipsius actus est, ita se habet, ut unumquodque tale ipsum ipse actus existat. Actus autem ab essentia manans ille est, quem necessarium est ex unoquoque sequi differentem ab illo, a quo effluxit: quemadmodum et in igne altera quidem caliditas est ignis essentiam complectens, altera vero ab ipsa procedens, exercente interim igne calorem essentiæ insitum, quatenus permanet ignis. Sic ergo illic multoque prius, manente quidem illo in habitu proprio, ex ipsa sibi insita perfectione et comitante intrinsecus actu, prodit actus genitus accipiens substantiam, utpote qui ex ingenti nascitur potestate, nempe ex potestate potentiarum omnium maxima in esse essentiamque processit. Illud namque superius est, quam essentia, omniumque potestas existit. Hoc au

καὶ ἐκεῖνο μὲν δύναμις πάντων, τὸ δὲ ἤδη τὰ πάντα. Εἰ δὲ τοῦτο τὰ πάντα, ἐκεῖνο ἐπέκεινα τῶν πάντων· ἐπέκεινα ἄρα οὐσίας· καὶ εἰ τὰ πάντα, πρὸ δὲ πάντων τὸ ἕν, οὐ τὸ ἴσον ἔχον τοῖς πᾶσι, καὶ ταύτῃ δεῖ ἐπέκεινα εἶναι τῆς οὐσίας, τοῦτο δὲ καὶ νοῦ· ἐπέκεινα ἄρα τι νοῦ. Τὸ γὰρ ὂν οὐ νεκρὸν, οὐδὲ οὐ ζωὴ, οὐδὲ οὐ νοοῦν, νοῦς δὴ καὶ ὂν ταὐτόν· οὐ γὰρ τῶν πραγμάτων ὁ νοῦς, ὥσπερ ἡ αἴσθησις τῶν αἰσθητῶν προόντων, ἀλλ' αὐτὸς νοῦς τὰ πράγματα, εἴπερ μὴ εἴδη αὐτῶν κομίζεται. Πόθεν γάρ; ἀλλ' ἐνταῦθα μετὰ τῶν πραγμάτων καὶ ταὐτὸν αὐτοῖς καὶ ἕν· καὶ ἡ ἐπιστολὴ [ἐξ ἐπιπολῆς?·], μηδὲ τῶν ἄνευ ὕλης τὰ πράγματα.

tem jam est omnia. Si autem hoc est omnia, nimirum illud est super omnia: igitur et super essentiam exstat. *Atqui si hoc, inquam, est omnia, ante omnia vero exsistit* unum, non aequalem una cum omnibus admittens conditionem; hac quoque ratione necessarium est, illud essentia superius esse, id est, mente superius: aliquid igitur est antiquius intellectu. Ipsum namque ens non est quasi quiddam mortuum, neque velut vita intelligentiaque orbatum: ideoque intellectus et ens est idem: neque enim, sicut sensus se habet ad sensibilia, tanquam ad praecedentia quaedam, sic se habet ad res ipsas intelligendas intellectus, tanquam similiter praecedentes: imo vero ipse intellectus ipse res exsistit, si quidem species rerum intelligendo non haurit. Unde enim has hauriat? Sed una cum rebus ipsis prodit, idemque est una cum ipsis et unum, atque vicissim [*corr.* nimirum *s.* manifesto] neque res ipsae quidem intelligibiles omnino sunt absque materia scilicet sua, id est intellectu.

# ΕΝΝΕΑΔΟΣ Ε.

## ΛΟΓΟΣ Ε.

### ΟΤΙ ΟΥΚ ΕΞΩ ΤΟΥ ΝΟΥ ΤΑ ΝΟΗΤΑ ΚΑΙ ΠΕΡΙ ΤΑΓΑΘΟΥ.

(619,620.)

# ENNEADIS QUINTÆ

## LIBER V.

### QUOD INTELLIGIBILIA NON SUNT EXTRA INTELLECTUM: ITEM DE IPSO BONO.

[902—904.]

Sicut sensus, qui est cognitio infima, prospicit solum extima: sic intellectus, qui est cognitio summa, inspicit tantum intima. Sicut ergo in sensu sunt tantum imagines rerum, quæ sentiuntur, sic in intellectu sunt res ipsæ, quas intelligit: alioqui si a rebus intelligendis sit imagines acceptimus, neque res ipsas adæquabit cognitione facta per imagines rebus ipsis valde deteriores, neque certus erit, sincerum de rebus se habere judicium: quandoquidem imagines in naturam suscipientis translatæ non meram afferunt objecti naturam. Super rationem discurrentem positus intellectus stabiliter agens præsentia pro arbitrio habet objecta. Intus itaque possidet, non solum principia quædam actionum atque rerum, sed etiam in principiis, quæcunque necessario inde sequuntur. Neque putare debes, ipsa intelligibilia esse propositiones et quasi dictiones quasdam, sed rationes et formas essentiales: neque esse spectacula quædam inter se disjuncta, sed formas in una quadam immateriali forma: quemadmodum formæ sensibiles unitæ in eadem informi materia: denique formas intelligibiles multo magis unitas esse cum intellectu, quam sensibiles cum materia, et cœlestes cum substantia cœli. Esse vero rerum formas naturaliter animis nostris infusas, in Theologia latius disputamus.

Α'. Τὸν νοῦν, τὸν ἀληθῆ νοῦν καὶ ὄντως, ἆρ' ἄν τις φαίη ψεύσεσθαί ποτε, καὶ μὴ τὰ ὄντα δοξάσειν; οὐδαμῶς. Πῶς γὰρ ἂν ἔτι νοῦς ἀνοηταίνων εἴη; Δεῖ ἄρα αὐτὸν ἀεὶ εἰδέναι, καὶ μηδ' ἂν ἐπιλαθέσθαι ποτὲ, τὴν δὲ εἴδησιν αὐτῷ μήτε εἰκάζοντι εἶναι, μήτε ἀμφίβολον, μηδ' αὖ παρ' ἄλλου, οἷον ἀκούσαντι. Οὐ τοίνυν οὐδὲ δι' ἀποδείξεως. καὶ γὰρ εἴ τινά τις φαίη δι' ἀποδείξεως, ἀλλ' οὖν αὐτόθεν αὐτῷ ἐναργῆ τι εἶναι, καίτοι ὁ λόγος φησὶ πάντα. Πῶς γὰρ καὶ διοριεῖ τις τά τε αὐτόθεν, τά τε μή; ἀλλ' οὖν, ἃ συγχωροῦσιν αὐτόθεν, πόθεν φήσουσι τούτων τὸ ἐναργὲς αὐτῷ παρεῖναι; πόθεν αὐτῷ πίστιν, ὅτι οὕτως ἔχει, παρέξεται; ἐπεὶ καὶ τὰ ἐπὶ τῆς αἰσθήσεως, ἃ δὴ δοκεῖ πίστιν ἔχειν ἐναργεστάτην, ἀπιστεῖται μή ποτε οὐκ ἐν τοῖς ὑποκειμένοις, ἀλλ' ἐν τοῖς πάθεσιν ἔχῃ τὴν δοκοῦσαν ὑπόστασιν, καὶ νοῦ δεῖ ἢ διανοίας τῶν κρινόντων· ἐπεὶ καὶ συγκεχωρημένου ἐν τοῖς ὑποκειμένοις εἶναι αἰσθητοῖς, ὧν ἀντίληψιν ἡ αἴσθησις ποιήσεται, τό γε γιγνωσκόμενον δι' αἰσθήσεως τοῦ πράγματος εἴδωλόν ἐστι, καὶ οὐκ αὐτὸ τὸ πρᾶγμα ἡ αἴσθησις λαμβάνει· μένει γὰρ ἐκεῖνο ἔξω· ὁ δὴ νοῦς γιγνώσκων, καὶ τὰ νοητὰ γιγνώσκων, εἰ μὲν ἕτερα ὄντα γιγνώσκει, πῶς μὲν ἂν συντύχοι αὐτοῖς; ἐνδέχεται γὰρ μὴ, ὥστε ἐνδέχεται μὴ γινώσκειν, ἢ τότε, ὅτε συνέτυχε, καὶ οὐκ ἀεὶ ἕξει τὴν γνῶσιν. Εἰ δὲ συνεζεῦχθαι φήσουσι, τί τὸ συνεζεῦχθαι τοῦτο; ἔπειτα καὶ αἱ νοήσεις τύποι ἔσονται· εἰ δὲ τοῦτο, καὶ ἐπακτοὶ καὶ πληγαί. Πῶς δὲ καὶ τυπώσεται, ἢ τίς τῶν τοιούτων ἡ μορφή; καὶ ἡ νόησις τοῦ ἔξω, ὥσπερ καὶ ἡ αἴσθησις. Καὶ τί διοίσει; ἢ τῷ σμικροτέρων ἀντιλαμβάνεσθαι; πῶς δὲ καὶ γνώσεται, ὅτι ἀντελάβετο ὄντως; πῶς δὲ, ὅτι ἀγαθὸν τοῦτο, ἢ ὅτι καλὸν, ἢ δίκαιον; ἕκαστον γὰρ τούτων ἄλλο αὐτοῦ, καὶ οὐκ ἐν αὐτῷ αἱ τῆς κρίσεως ἀρχαὶ, αἷς πιστεύσει, ἀλλὰ καὶ αὗται ἔξω, καὶ ἡ ἀλήθεια ἐκεῖ· εἶτα εἰκόνας ἀναλήψεται,

1. An fore quemquam putamus, qui mentem veram vereque existentem existimet aliquando mentituram, eaque quæ vera non existentia opinaturam? Certe neminem. Qua enim ratione mens illa foret, si quando (ut ita dixerim) dementiret? Oportet igitur eam semper cognoscere, neque hanc, tanquam obliviosam, aliquando quicquam latere: cognitionem vero huic inesse non tanquam imaginanti, vel ambigenti, vel rursus tanquam ab alio mutuanti. Non igitur quasi per demonstrationem quandam perpendere debet. Nam etsi quidem quis nonnulla per demonstrationem comparare concesserit, idem tamen non negabit aliquid interea menti per se notum esse, tametsi ratio vera dictat, hæc omnia simpliciter natura esse perspecta. Jam vero quærendum est, quo pacto quispiam distinguere possit: quænam sint, quæ per se naturaliter ei nota sint, quæ vero quæsita. Item quæ concedunt aliqui menti per se cognita esse, undenam dicent horum certitudinem adesse menti? undenam mens ejusmodi perspicue hinc credere poterit, ita potissimum se habere? quoniam et circa illa, quæ sensibus offeruntur, quorum fides certior esse videtur, dubitari solet, ne forte non tam in subjectis rebus, quam in passionibus quibusdam naturam habeant apparentem: ubi certe mentis judicium vel saltem cogitationis exigitur. Nam et si forte concedatur naturas eorum, quæ sentiuntur, rebus subjectis inesse, quas percipit sensus, quod tamen cognitum est per sensum, imago quædam rei est, neque rem ipsam sensus apprehendit: foris enim res ipsa manet. Intellectus autem cognoscens, et intelligibilia ipsa cognoscens, si hæc tanquam alia quædam præter ipsum existentia novit, quonam pacto in hæc incidit? Fieri enim potest, ut in ea non incidat? ideoque, ut non cognoscat, incidere potest: vel forsan tunc demum, quando incidit, statim novit, neque sic quidem notitiam semper habebit. Proinde, si qui forte dixerint, intelligibilia esse intellectui conjugata, reliquum erit quærere, quidnam sibi conjugium sibi velit. Præterea ipsæ intelligentiæ figuræ quædam erunt: quod quidem si ita sit, erunt et adventitiæ et pulsationes quædam. Quo autem modo figurabitur intellectus? aut quæ potissimum talium erit forma? Intelligentia denique, sicut et sensus, erit perceptio externorum. Quo igitur duo hæc inter se discrepabunt? An forte in eo, quod horum alterum minora percipiat? Item quonam modo intellectus agnoscet, re vera se aliquid percepisse? quove pacto judicare poterit, hoc esse bonum, aut pulchrum, aut justum? Horum enim quodlibet erit ab ipso diversum, neque in ipso erunt ipsa judicandi principia, quibus credat, sed hæc quoque extra erunt, et veritas erit ibidem. Rursus in-

καὶ ἄμοιρα ζωῆς καὶ νοῦ, ἢ νοῦν ἔχει. Καὶ εἰ νοῦν ἔχει, ἅμα ἐνταῦθα ἄμφω, καὶ τὸ ἀληθὲς ὧδε, καὶ ὁ πρῶτος νοῦς οὗτος· καὶ ἐπὶ τούτου ζητήσομεν, πῶς ἔχει ἡ ἐνταῦθα ἀλήθεια, καὶ τὸ νοητὸν καὶ ὁ νοῦς, εἰ ἐν τῷ αὐτῷ μὲν καὶ ἅμα, δύο δὲ καὶ ἕτερα, ἢ πῶς; εἰ δ' ἀνόητα καὶ ἄνευ ζωῆς, τί ὄντα; οὐ γὰρ δὴ προτάσεις, οὐδὲ ἀξιώματα, οὐδὲ λεκτά· ἤδη γὰρ ἂν καὶ αὐτὰ περὶ ἑτέρων λέγοι, καὶ οὐκ αὐτὰ ὄντα εἴη, οἷον τὸ δίκαιον καλόν, ἄλλου τοῦ δικαίου καὶ τοῦ καλοῦ ὄντος. Εἰ δ' ἁπλᾶ φήσουσι, δίκαιον χωρὶς καὶ καλόν, πρῶτον μέν, οὐχ ἕν τι οὐδ' ἐν ἑνὶ τὸ νοητὸν ἔσται, ἀλλὰ διεσπασμένον ἕκαστον. Καὶ ποῦ καὶ κατὰ τίνας διέσπασται τόπους; πῶς δὲ αὐτοῖς συντεύξεται ὁ νοῦς περιθέων; πῶς δὲ μενεῖ; ἢ ἐν τῷ αὐτῷ πῶς μενεῖ; τίνα δ' ὅλως μορφὴν ἢ τύπον ἕξει; εἰ μὴ ὥσπερ ἀγάλματα ἐγκείμενα χρυσᾶ, ἢ ἄλλης τινὸς ὕλης ὑπό τινος πλάστου ἢ γραφέως πεποιημένα. Ἀλλ' εἰ τοῦτο, ὁ θεωρῶν νοῦς αἴσθησις ἔσται. Διὰ τί δὲ τὸ μέν ἐστι τῶν τοιούτων δικαιοσύνη, τὸ δ' ἄλλο τι; μέγιστον δὲ πάντων ἐκεῖνο· εἰ γὰρ καὶ ὅτι μάλιστα δοίη τις ταῦτα ἔξω εἶναι, καὶ τὸν νοῦν αὐτὰ οὕτως ἔχοντα θεωρεῖν, ἀναγκαῖον αὐτῷ, μήτε τὸ ἀληθὲς αὐτῶν ἔχειν, διεψεῦσθαί τε ἐν ἅπασιν, οἷς θεωρεῖ. Τὰ μὲν γὰρ ἀληθινὰ ἂν εἴη ἐκεῖνα· θεωρήσει τοίνυν αὐτά, οὐκ ἔχων αὐτά, εἴδωλα δὲ αὐτῶν ἐν τῇ γνώσει τῇ τοιαύτῃ λαβών. Τὸ τοίνυν ἀληθινὸν οὐκ ἔχων, εἴδωλα δὲ τοῦ ἀληθοῦς παρ' αὐτῷ λαβών, τὰ ψευδῆ ἕξει, καὶ οὐδὲν ἀληθές. Εἰ μὲν οὖν εἰδήσει ὅτι τὰ ψευδῆ ἔχει, ὁμολογήσει ἄμοιρος ἀληθείας εἶναι· εἰ δὲ καὶ τοῦτο ἀγνοήσει, καὶ οἰήσεται τὸ ἀληθὲς ἔχειν οὐκ ἔχων, διπλάσιον ἐν αὐτῷ τὸ ψεῦδος γενόμενον πολὺ τῆς ἀληθείας αὐτὸν ἀποστήσει. Διὰ τοῦτο γὰρ καὶ ἐν ταῖς αἰσθήσεσιν, οἶμαι, οὐκ ἔστιν ἀλήθεια, ἀλλὰ δόξα, ὅτι παραδεχομένη, καὶ διὰ τοῦτο δόξα οὖσα, ἄλλο παραδέχεται, ἄλλου ὄντος ἐκείνου, ἐξ οὗ τοῦτο, ὃ παραδέχεται, ἔχει. Εἰ οὖν μὴ ἀλήθεια ἐν τῷ νῷ, οὗτος μὲν ὁ τοιοῦτος νοῦς, οὔτε ἀλήθεια ἔσται, οὔτε ἀληθείᾳ νοῦς οὔτε ὅλως νοῦς ἔσται· ἀλλ' οὐδὲ ἄλλοθί που ἡ ἀλήθεια ἔσται.

intelligibilia ipsa vel sensu, vita et intellectu carent, vel intellectum habent. Si intellectum habent, in eis pariter erunt ambo, et ipsum verum hic existet, primusque erit hic intellectus. Atqui et de hoc ipso quæremus, quanam conditione hic se veritas habeat, et intelligibile ipsum et intellectus: numquid in eodem atque simul, duo autem atque diversa, an alio quodam pacto? Sic autem ipsa intelligibilia intellectu vitaque careant, quidnam sint, inquiremus. Neque enim propositiones quædam sunt, neque regulæ, quæ dignitates appellantur, neque velut dictiones, quæ proferuntur: *sic enim hæc de aliis quidem dicent* aliquid, neque ipsæ res erunt: velut si dicant, quod justum est, esse pulchrum, cum aliud quiddam sit justum ipsum atque pulchrum. Sin autem simplicia hæc esse dixerint, justum ipsum seorsum atque pulchrum, primo quidem intelligibile neque unum quiddam erit, neque erit in uno, sed unumquodque ab aliis segregatum. Ubi certe quærendum erit, ubinam sint, et per quæ loca potissimum seorsum disposita sint: deinde quonam modo intellectus passim circumcurrens, hæc reperiet vel inveniet: et quo pacto manebit in eis: item quomodo in eodem perseverabit: præterea quam formam omnino figuramque habebunt? Nisi forte velut imagines quædam sitæ sint aureæ, vel ex alia quadam materia a fictore quodam vel pictore compositæ. Verum si hoc ita se habeat, mens talia contuens erit sensus. Proinde, quanam ratione inter hæc hoc quidem est justitia, illud vero potius aliud quiddam? Illud denique omnium validissimum est: nempe, si quis prorsus admiserit, hæc extrinsecus esse, mentemque ea sic se habentia contemplari, necessario sequitur, mentem veritatem horum non possidere, sed in singulis contemplandis falli atque mentiri. Vera namque res erunt externæ: prospiciet ergo eas, neque ipsas habebit, sed earum imagines in cognitione ejusmodi possidebit. Cum igitur verum ipsum non habeat, sed veri quasdam imagines penes se teneat; *nimirum non accumulabit vera, sed falsa* potius reportabit. Si ergo cognoscat, se falsa duntaxat habere, procul dubio confitebitur, se esse veritatis expertem: sin autem et hoc ignoret, cumque particeps veri non sit, esse tamen se veri compotem opinetur, mendacio jam duplo falletur, longissimeque a veritate distabit: ob hoc enim (ut arbitror) et in sensibus non est veritas, sed opinio: quoniam conditio sensus in accipiendo versatur [unde opinio, *doxa*, Græce ab accipiendo nomen accepit]: ideoque præter se aliud accipit, cum aliud sit et illud, a quo possidet, quod accepit. Si igitur veritas in mente non sit, mens quidem hæc talis neque veritas erit, neque re vera mens, *neque omnino mens erit: imo vero* neque usquam alibi veritas habitabit.

Objecta intellectus non sunt imagines rerum vel imaginamenta quædam, sed vere res existunt; quippe cum etiam objecta sensus sint res quædam.

Quo enim intellectus præstantior et verior est, quam sensus, eo intellectus objecta præstantiora veroraque sunt, quam sensus objecta, ut Thomas ait. Sunt autem intelligibilia in ipsa intellectus essentia, siquidem non quærit argumentando, neque vagatur extra, sed intro convertitur et stabiliter intuetur, quasi possidens: et ipsam uniuscujusque substantiam penetrat et definit. At vero per imagines rerum non posset aliud, quam qualitates et externa, conjicere.

Β'. Οὐ τοίνυν δεῖ οὔτε ἔξω τὰ νοητὰ ζητεῖν, οὔτε τύπους ἐν τῷ νῷ τῶν ὄντων λέγειν εἶναι, οὔτε τῆς ἀληθείας ἀποστεροῦντας αὐτόν, ἀγνωσίαν τε τῶν νοητῶν ποιεῖν καὶ ἀνυπαρξίαν, καὶ ἔτι αὐτὸν τὸν νοῦν ἀναιρεῖν. Ἀλλ', εἴπερ καὶ γνῶσιν δεῖ καὶ ἀλήθειαν εἰσάγειν, καὶ τὰ ὄντα τηρεῖν, καὶ γνῶσιν τοῦ τί ἕκαστόν ἐστιν, ἀλλὰ μὴ τοῦ ποιόν τι ἕκαστον, ἅτε εἴδωλον αὐτοῦ καὶ ἴχνος ἴσχοντας, ἀλλὰ μὴ αὐτὰ ἔχοντας καὶ συνόντας, καὶ συγκραθέντας αὐτοῖς, τῷ ἀληθινῷ νῷ δοτέον τὰ πάντα. Οὕτω γὰρ ἂν καὶ εἰδείη, καὶ ἀληθι-

II. Igitur neque extra intellectum perquirere decet intelligenda, neque fateri, menti rerum figuras inesse, neque eam veritate privare, dum videlicet et hanc intelligibilia ipsa nescire, et ipsa, quæ offeruntur intelligenda, concedimus in rerum ordine non existere, atque ita mentem ipsam e medio tollimus. Sed necessarium est, omnia vere menti tribuere, si modo oportet cognitionem veritatemque inducere, entiaque ipsa servare, et notitiam illam, qua, quid sit unumquodque, cognoscitur, neque illi notitiæ acquiescere, quæ, quale unumquodque sit, duntaxat apprehendit, quando scilicet solum rei cognoscendæ simulacrum vestigiumque habemus, neque tenemus ipsam, neque habitamus una, neque cum ea conspiramus in unum. Nam illa quidem ratione mens cognoscet, et re vera cogno-

νοις εἰδείη, καὶ οὐδ' ἂν ἐπιλάθοιτο, οὐδ' ἂν περιέλθοι ζητῶν, καὶ ἡ ἀλήθεια ἐν αὐτῷ καὶ ἕδρα ἔσται τοῖς οὖσι, καὶ ζήσεται καὶ νοήσει. Ἃ δὴ πάντα περὶ τὴν μακαριωτάτην φύσιν δεῖ ὑπάρχειν· ἢ ποῦ τὸ τίμιον καὶ σεμνὸν ἔσται; καὶ γὰρ αὖ οὕτως οὐδ' ἀποδείξεως δεῖ, οὐδὲ πίστεως, ὅτι οὕτως· αὐτὸς γὰρ οὕτως, καὶ ἐναργὴς αὐτὸς αὑτῷ, καὶ εἴ τι πρὸ αὐτοῦ, ὅτι ἐξ αὐτοῦ, καὶ εἴ τι μετ' ἐκεῖνο, ὅτι αὐτός, καὶ οὐδεὶς πιστότερος αὐτῷ περὶ αὐτοῦ, καὶ ὅτι ἐκεῖ τοῦτο, καὶ ὄντως. Ὥστε καὶ ἡ ὄντως ἀλήθεια οὐ συμφωνοῦσα ἄλλῳ, ἀλλ' ἑαυτῇ, καὶ οὐδὲν παρ' αὐτὴν ἄλλο λέγει, καὶ ἔστι, καὶ ὃ ἔστι, τοῦτο καὶ λέγει. Τίς ἂν οὖν ἐλέγξειε; καὶ πόθεν οἴσει τὸν ἔλεγχον; εἰς γὰρ ταὐτὸν ὁ φερόμενος ἔλεγχος τῷ προειπόντι, κἂν κομίσῃ ὡς ἄλλο, φέρεται εἰς τὸν ἐξ ἀρχῆς εἰπόντα, καὶ ἕν ἐστιν· οὐ γὰρ ἄλλο ἀληθέστερον ἂν εὕροι τοῦ ἀληθοῦς.

sciet, neque quicquam latebit eum, neque unquam obliviscetur, neque passim indagando vagabitur: sed erit in eo veritas sedesque verum, vivetque atque intelliget. Quae quidem omnia beatissimae naturae oportet inesse: alioquin ubinam honorandum quicquam erit et venerandum? Tum vero hac ratione neque indigebit demonstratione, neque fide sic esse persuasum. Ipse namque intellectus est, qui sic omnino se habet: ipse sibimet prorsus est manifestus, et si quid ante ipsum similiter est compertum, quod ipse sit ab illo: item, si quid est post illud, quod ipse sit hoc ipsum, nullusque ipsi quam ipsemet fide sit dignior, et profecto exploratum habet, hoc ibi esse vereque existere. Ita vera igitur illic ipsa veritas habitat, non alteri cuiquam, sed sibimet consonans, neque, praeter se, aliud quicquam dicit atque existit: et quod existit, id prorsus et dicit. Quisnam igitur redarguere poterit? et undenam redargutionem inferet? Nempe argumentum, quod adducetur, revolvetur eodem, quo et prior argumentator. Et quamvis inferatur velut diversum, referetur tamen ad argumentatoris primi propositum, unumque erit omnino: nihil enim potest veritate verius inveniri.

Sicut lux intima solis effundit circa se lumen, radiis innumeris virtutibusque refertum, ita principium omnium omniformem penes se procreat intellectum, hic animam similiter omniformem.

Illud antiqui Coelum (s. Caelum, Uranum) nominaverunt, hunc vero Saturnum, hanc denique Jovem. Omnes intellectuales animae per intellectum suum ad intellectum divinum ascendere quandoque possunt. Possunt quinetiam atque debent, tum per unitatem suam, tum etiam per divinum intellectum ad principium omnium quandoque progredi.

Γ'. Μία τοίνυν φύσις αὕτη ἡμῖν, νοῦς, τὰ ὄντα πάντα, ἡ ἀλήθεια· ἡ δὲ θεός τις μέγας· μᾶλλον δὲ οὐ τίς, ἀλλὰ πᾶς ἀξιοῖ ταῦτα εἶναι. Καὶ θεὸς αὕτη ἡ φύσις, καὶ θεὸς δεύτερος προφαίνων ἑαυτὸν, πρὶν ὁρᾶν ἐκεῖνον· ὁ δὲ ὑπερκάθηται καὶ ὑπερίδρυται ἐπὶ καλῆς οὕτως οἷον κρηπῖδος, ἣ ἐξ αὐτοῦ ἐξήρτηται. Ἔδει γὰρ ἐκεῖνον βαίνοντα μὴ ἐπ' ἀψύχου τινός, μηδ' αὖ ἐπὶ ψυχῆς εὐθὺς βεβηκέναι, ἀλλ' εἶναι αὐτῷ κάλλος ἀμήχανον πρὸ αὐτοῦ προϊόν, οἷον πρὸ μεγάλου βασιλέως. Πρόσεισι μὲν πρῶτα ἐν ταῖς προόδοις τὰ ἐλάττω, ἀεὶ δὲ τὰ μείζω καὶ τὰ σεμνότερα ἐπ' αὐτοῖς, καὶ τὰ περὶ βασιλέα ἤδη μᾶλλον βασιλικώτερα, εἶτα τὰ μετ' αὐτὸν τίμια. Ἐφ' ἅπασι δὲ τούτοις βασιλεὺς προφαίνεται ἐξαίφνης αὐτὸς ὁ μέγας, οἱ δ' εὔχονται καὶ προσκυνοῦσιν, ὅσοι μὴ προαπῆλθον, ἀρκεσθέντες τοῖς πρὸ τοῦ βασιλέως ὀφθεῖσιν. Ἐκεῖ μὲν οὖν ὁ βασιλεὺς ἄλλος, οἵ τε πρὸ αὐτοῦ προϊόντες, ἄλλοι αὐτοῦ. Ὁ δὲ ἐκεῖ βασιλεὺς οὐκ ἀλλοτρίων ἄρχων, ἀλλ' ἔχων τὴν δικαιοτάτην καὶ φύσει ἀρχὴν καὶ τὴν ἀληθῆ βασιλείαν, ἅτε τῆς ἀληθείας βασιλεύς, καὶ ὢν κατὰ φύσιν κύριος τοῦ αὐτοῦ ἀθρόου γεννήματος καὶ θείου συντάγματος· βασιλεὺς βασιλέως καὶ βασιλέων, καὶ πατὴρ δικαιότερον ἂν κληθεὶς θεῶν, ὃν ὁ Ζεὺς καὶ ταύτῃ ἐμιμήσατο, τὴν τοῦ ἑαυτοῦ πατρὸς οὐκ ἀνασχόμενος θεωρίαν, ἀλλὰ τὴν τοῦ προπάτορος οἷον ἐνέργειαν εἰς ὑπόστασιν οὐσίας.

III. Una igitur haec natura, intellectus, est entia cuncta est et veritas: est et magnus quidam deus, imo vero non aliquis deus, sed omnis: nec indigne existimat se haec omnia esse. Natura igitur haec est deus: deus, inquam, secundus, se ipsum praeferens indagantibus, antequam superiorem illum intueantur: nempe superior ille eminentius sedet in praeclara hac ejus sella ab ipso pendente. Decebat enim illum non in curru quodam inanimato, neque rursus in anima statim incedentem nobis occurrere, sed pulchritudinem quandam inaestimabilem ante conspectum ejus mirabiliter praefulgere, quemadmodum ante magni regis aspectum. Sic enim natura comparatum est, ut ad illum progredientibus minora prius occurrant, et majora deinceps praestantioraque gradatim se ultra procedentibus offerant, et, quae circa regem adstant, magis regia sint, deincepsque similiter quaedam ordine reliqua (honorata). Post haec autem omnia magnus ille rex subito fulget: reliqui vero regem ipsum supplices venerantur, quicumque viderit et non prius inde retrogressi sunt, quam ad ultimum usque progressi, sicut illi solent, quibus, quae coram rege praefulgent, satisfactura putantur. Illic igitur rex alius imperat, et, qui coram ipso deinceps occurrunt, alii prorsus sunt, quam ille. Veruntamen rex ille supernus non tanquam alienis imperat, sed justissimum naturaleque habet imperium, habet et regnum verum: quippe cum ipse sit rex veritatis, atque suapte natura sit universi simul fetus sui, divinique collegii dominus: rex certe regis atque regum, atqui et pater deorum justiori nomine nuncupatus. Quem quidem Jupiter hac quoque ratione imitatus est, quod patris sui contemplationi non penitus acquievit, sed ultra processit ad avum, velut ad illius actum in ipsam (ut ita dixerim) essentiam subsistentiam

Principium omnium, quod propter inaestimabilem simplicitatem eminentiamque ipsum unum cognominatur, neque ullum in se aestimabilem habet numerum, neque cum rebus in aliquo convenit.

Si qua enim conditio sit huic cum re alia communis, duo sequentur absurda. Primum, quod hoc erit ex communi conditione et sua quadam proprietate compositum. Secundum, quod haec ipsa natura communis, tanquam simplicior universaliorque, erit ipso superior. Praeterea nec numerum in se habet essentialem, qualem Plotinus excogitat in essentia prima, videlicet multitudinem rationum formalium absolute inter se distinctarum etiam absque intelligentiae actu. Nec numerum habet in se in quantitatis genere comprehensum: numerum pertinentem ad quantitatem, qui constat ex unitatibus, reducit ad ipsum

unum proprium principium quantitatis, numero quovis excelsius. Numerum quoque formarum essentialium ad unum similiter *reducit essentiale*: hoc denique ad ipsum simpliciter unum.

Δ'. Ὅτι μὲν οὖν δεῖ τὴν ἀναγωγὴν ποιήσασθαι εἰς ἕν, καὶ ἀληθῶς ἕν, ἀλλὰ μὴ ὥσπερ τὰ ἄλλα ἕν, ἃ πολλὰ ὄντα μετοχῇ ἑνὸς ἕν· δεῖ δὲ τὸ μὴ μετοχῇ ἓν λαβεῖν, μηδὲ τὸ οὐ μᾶλλον ἕν, ἢ πολλά· καὶ ὅτι ὁ μὲν νοητὸς κόσμος καὶ ὁ νοῦς μᾶλλον ἓν τῶν ἄλλων, καὶ οὐδὲν ἐγγυτέρω αὐτοῦ τοῦ ἑνὸς, οὐ μὴν τὸ καθαρῶς ἕν, εἴρηται. Τί δὲ τὸ καθαρῶς ἓν καὶ ὄντως καὶ οὐ κατ' ἄλλο, νῦν θεάσασθαι ποθοῦμεν εἴ πῃ δυνατόν. Χρὴ τοίνυν ἐνταῦθα ᾄξαι πρὸς ἕν, καὶ μηδὲν αὐτῷ ἔτι προσθεῖναι, ἀλλὰ στῆναι παντελῶς, δεδιότα αὐτοῦ ἀποστατῆσαι μηδὲ τοὐλάχιστον, μηδὲ εἰς δύο προελθεῖν. Εἰ δὲ μή, ἔσχες δύο, οὐκ ἐν οἷς τὸ ἕν, ἀλλ' ἄμφω ὕστερα. Οὐ γὰρ θέλει μετ' ἄλλου, οὔτε ἑνὸς, οὔτε ὁποσουοῦν συναριθμεῖσθαι, οὐδ' ὅλως ἀριθμεῖσθαι· μέτρον γὰρ αὐτὸ, καὶ οὐ μετρούμενον, καὶ τοῖς ἄλλοις δὲ οὐκ ἴσον, ἵνα σὺν αὐτοῖς ᾖ· εἰ δὲ μή, κοινόν τι ἔσται ἐπ' αὐτοῦ καὶ τῶν συναριθμουμένων· κἀκεῖνο πρὸ αὐτοῦ, δεῖ δὲ μηδέν· οὐδὲ γὰρ οὐδ' ὁ οὐσιώδης ἀριθμὸς κατ' αὐτοῦ, οὐ δέ γε ὁ ὕστερος τούτου, ὁ τοῦ ποσοῦ· οὐσιώδης μὲν ὁ τῷ νοεῖν τὸ εἶναι ἀεὶ παρέχων· τοῦ δὲ ποσοῦ, ὁ τὸ ποσὸν μετ' ἄλλων, ἢ ὅ τι μὴ μετ' ἄλλων, εἴπερ ἀριθμὸς τοῦτο. Ἐπεὶ καὶ ἡ ἐν τοῖς τοῦ ποσοῦ ἀριθμοῦ πρὸς τὸ ἓν τὴν ἀρχὴν αὐτῶν ἀπομιμουμένη τὴν ἐν τοῖς προτέροις ἀριθμοῖς φύσις, πρὸς τὸ ὄντως ἕν, οὐκ ἀναλίσκουσα τὸ ἓν οὐδὲ κερματίζουσα τὴν ὑπόστασιν ἔχει, ἀλλὰ δυάδος γενομένης ἔστι μονὰς ἡ πρὸ τῆς δυάδος, καὶ οὐχ ἡ ἐν τῇ δυάδι μονὰς ἑκατέρα, οὐδ' ἑτέρα ἐκείνη. Τί γὰρ μᾶλλον ὁποτεραοῦν; εἰ οὖν μηδετέρα αὐτῶν, ἀλλ' ἐκείνη, καὶ μένουσα οὐ μένει. Πῶς οὖν ἕτεραι ἐκεῖναι; καὶ πῶς ἡ δυὰς ἕν, καὶ εἰ ταὐτὸ ἕν, ὅπερ ἐν ἑκατέρᾳ τῇ περιεχομένῃ, ἢ μετέχειν τῆς πρώτης φατέον, ἄλλας δὲ ἧς μετέχουσι, καὶ τὴν δυάδα δὲ, καθ' ὃ ἕν, μετέχειν, οὐχ ὡσαύτως δὲ, ἐπεὶ οὐδὲ ὁμοίως στρατὸς ἓν καὶ οἰκία, καὶ αὕτη πρὸς τὸ συνεχὲς οὔτε κατὰ τὸ ὡς εἶναι ἕν, οὔτε κατὰ τὸ ποσὸν ἕν. Ἆρ' οὖν αἱ μὲν μονάδες ἄλλως αἱ ἐν πεντάδι καὶ δεκάδι, τὸ δὲ ἓν τὸ ἐν τῇ πεντάδι, πρὸς τὸ ἓν τὸ ἐπὶ τῆς δεκάδος τὸ αὐτό; ἤ, εἰ ναῦς πᾶσα πρὸς πᾶσαν, μικρὰ πρὸς μεγάλην, καὶ πόλις πρὸς πόλιν, καὶ στρατὸς πρὸς στρατόν, ταὐτὸ ἓν καὶ ἐνταῦθα. Εἰ δὲ μηδ' ἐκεῖ, οὐδ' ἐνταῦθα· εἰ γάρ τινες περὶ τούτων ἀπορίαι, ὕστερον.

IV. Satis jam dictum est, ascendendum esse tandem ad *ipsum unum, quod quidem vere sit unum*, neque sicut alia unum, quæ cum in se multa sint, unius tamen participatione sunt unum. Accipiendum namque esse unum ipsum, quod non participatione sit unum, quale solet esse, quod non magis unum est, quam multa. Dictum quoque, mundum intelligibilem intellectumque magis unum esse, quam cetera, nihilque hoc esse propinquius uni: non tamen purum hoc unum existere. In præsentia vero contemplari desideramus, si quo modo possimus, quidnam sit purum ipsum verumque unum: quod quidem non secundum aliud, sed secundum se sit unum. Operæ pretium est igitur, *hic ad unum ipsum undique nos transferre*: neque quicquam illi ulterius addere, sed in eo penitus conquiescere, caventes prorsus, ne vel minimo quodam spatio ab ipso digrediamur, ideoque ex uno prolabamur in duo. Sin minus caveris, duo protinus reportabis, neque in duobus unum ipsum habebis: ambo enim posteriora sunt uno. Unum namque non sustinet cum alio quopiam, sive uno quovis, sive quantocumque alio se usquam connumerari, neque omnino numerari se patitur: ipsum enim mensura est, minime mensuratum: neque aliis est ullis æquale, adeo ut una cum eis in aliquo congruat: alioquin *commune aliquid erit in eo, atque simul in his, quæ una* cum ipso connumerantur; atqui commune illud uno superius erit, tametsi nihil debet esse superius. Proinde neque essentialis numerus, neque numerus hoc posterior ad quantitatem proprie pertinens de uno prædicari potest: neque essentialis, inquam, qui ei, quod dicitur intelligere, semper exhibet esse: neque qui spectat ad quantitatem, qui eam cum aliis una complectitur: neque etiam, si non cum aliis concurrat generibus, si quidem hic est ipse numerus. Quandoquidem et natura numero pertinenti ad quantum insita imitans naturam numeris prioribus inditam, ipsumque vero *unum respicientem, procul dubio similiter ipsa, respiciendo* unum numerorum principium, substantiam sibi vindicat, neque dispendens ipsum, neque alicubi dividens, imo vero, binario jam exorto, exstat adhuc unitas ipsa ante binarium, neque unitas utraque binario comprehensa, neque alterutra est unitas ipsa. Cur enim vel binarius sit ipsa unitas? vel altera binarii unitas potius, quam altera ejusdem unitas, ipsa sit unitas? Si igitur neque utraque simul, neque alterutra est unitas ipsa, certe unitas, quæ numeri est totius origo, ab his omnibus est diversa, ac, re vera manens, quodammodo etiam non manere videtur. Quo igitur modo *unitates illæ aliæ sunt, quam ipsa? et quo pacto dua*litas quodammodo unum est? et numquid idem unum est, quod in utraque comprehensa unitate servatur? Fortasse dicendum est, unitates utrasque primæ unitatis participes esse, *sed ab illa, cujus participes sunt, esse diversas: atque* dualitatem, quatenus unum quiddam est, unitatis ipsius esse participem, non tamen eodem ubique modo, nempe non similiter exercitus atque domus est unum: atque hæc quidem eadem ratione ad continuum comparata, neque quoad spectat ad esse unum, neque quoad pertinet ad quantum unum. Numquid igitur aliter quidem unitates, *quæ sunt in quinario*, aliter vero, quæ in denario se ad unum habent? Ipsum vero unum, quod in quinario, ad unum, quod est in denario, prorsus est idem? Forsan etiam, si tota quædam navis parva ad totam alteram, sed magnam, et civitas ad civitatem, *et exercitus ad exercitum comparetur*, idem in his quoque erit unum. Quodsi neque illic, neque hic etiam. Si quæ vero de his dubitationes reliquæ sunt, in sequentibus absolventur.

Ens, essentiam, esse procedere ab ipso uno Græca etiam appellatio declarat, rei ipsius naturam sequens.
Cogitare potest aliquis *ens quasi compositum quiddam atque binarium*, in quo essentia sit et esse, atque id, quod dicitur esse, in actum essentiæ nominari. Ens ergo natum ab uno essentiam quidem habere tanquam unius umbram, esse vero velut unius imaginem. Quoniam vero ipsum unum est superius ente, ideoque latius ultra proprietatem entis suam dilatat potentiam, factum est, ut materia, etsi propter privationem extremam formarum ens non dicitur, tamen dicatur una. Non enim et

propter informitatem minus unum sit in mundo materia. Factum etiam, ut privatio quaelibet non minus una dicatur, quam habitus unus : eas tamen minus privatio, quam habitus judicatur. Sed haec alibi diximus.

Ε'. Ἀλλ' ἐπ' ἐκεῖνο ἐπανιτέον λέγουσιν, ὅτι μένει τὸ πρῶτον τὸ αὐτό, κἂν ἐξ αὐτοῦ γίγνηται ἕτερα. Ἐν μὲν οὖν τοῖς ἀριθμοῖς μένοντος μὲν τοῦ ἕν, ποιοῦντος δὲ ἄλλου, ὁ ἀριθμὸς γίγνεται κατ' αὐτό, ἐν δὲ τῷ, ὅ ἐστι πρὸ τῶν ὄντων, μένει μὲν πολὺ μᾶλλον τὸ ἕν· μένοντος δὲ αὐτοῦ ἐνταῦθα οὐκ ἄλλο ποιεῖ [, εἰ] κατ' αὐτὸ τὰ ὄντα, ἀλλ' ἀρκεῖ αὐτὸ γεννῆσαι τὰ ὄντα. Καὶ ὥσπερ ἐκεῖ ἐπὶ τῶν ἀριθμῶν ἦν τοῦ πρώτου τῆς μονάδος ἐπὶ πᾶσιν εἶδος πρώτως καὶ δευτέρως, καὶ οὐκ ἐπ' ἴσης ἑκάστου μεταλαμβάνοντος τῶν ὑστέρων αὐτῆς, οὕτω καὶ ἐνταῦθα ἕκαστον μὲν τῶν μετὰ τὸ πρῶτον ἔχει τι ἐκείνου οἷον εἶδος ἐν αὐτῷ. Κἀκεῖ μὲν ἡ μετάληψις τὸ ποσὸν ὑπέστησεν αὐτῶν· ἐνταῦθα δὲ τὸ ἴχνος τοῦ ἑνὸς τὴν οὐσίαν αὐτοῖς ὑπεστήσατο, ὥστ' εἶναι τὸ εἶναι ἴχνος ἑνός. Καὶ τὸ εἶναι δὲ τοῦτο, ἡ τῆς οὐσίας δηλωτικὴ ὀνομασία, ἀπὸ τοῦ ἓν εἴ τις λέγοι γεγονέναι, τάχα ἂν τύχοι τοῦ ἀληθοῦς. Τὸ γάρ τοι λεγόμενον ὄν, τοῦτο πρῶτον, ἐκεῖθεν οἷον ὀλίγον προβεβηκός, οὐκ ἠθέλησεν ἔτι πρόσω ἐλθεῖν· μεταστραφὲν δὲ εἰς τὸ εἴσω ἔστη, καὶ ἐγένετο οὐσία, καὶ ἔστιν ἁπάντων, οἷον ἐναπερείσαντος ἐν φθόγγῳ αὐτὸν τοῦ φωνοῦντος, ὑφίσταται τὸ ἕν, δηλοῦν τὸ ἀπὸ τοῦ ἑνός, καὶ τὸ ὂν σημαῖνον τὸ φθεγξάμενον, ὡς δύναται. Οὕτω τοι τὸ μὲν γενόμενον, ἡ οὐσία, καὶ τὸ εἶναι μίμησιν ἔχοντα, ἐκ τῆς δυνάμεως αὐτοῦ ῥυέντα· ἡ δὲ ἰδοῦσα καὶ ἐπικινηθεῖσα τῷ θεάματι, μιμουμένη, ὃ εἶδεν, ἔρρηξε φωνὴν τὴν ὂν καὶ τὸ εἶναι, καὶ οὐσίαν, καὶ ἑστίαν. Οὗτοι γὰρ οἱ φθόγγοι θέλουσι σημῆναι τὴν ὑπόστασιν γεννηθέντος ὠδῖνι τοῦ φθεγγομένου, ἀπομιμούμενοι, ὡς οἷόν τε αὐτοῖς, τὴν γένεσιν τοῦ ὄντος.

V. Sed ad primum illud nobis regrediendum, asseverantibus, ipsum manere semper idem, quamvis ex illo cetera profluant. In numeris quidem manente uno, secundum ipsum fit numerus alio faciente : in eo autem, quod est super entia, manet multo magis ipsum unum. Illo vero hic manente, non aliud secundum ipsum entia facit : illud namque est ad entia facienda sufficiens. Atqui, quemadmodum illic in numeris species unitatis principii numerorum servatur in omnibus primo quodam secundoque gradu, neque singuli sequentes numeri unitatem aeque participant : sic et in ordine rerum unumquodque sequentium primum habet in se illius aliquid velut speciem. Et in numeris quidem participatio unitatis quantitatem producit in numeris. Hic autem ipsius unius vestigium essentiam rebus instituit, adeo ut ipsum esse vestigium sit unius. Unde hoc ipsum *ina* [εἶναι], id est esse, quae quidem denominatio est declarans *usiam*, id est essentiam, si quis dicat derivari ab ipso *hen*, id est uno, a veritate forsan non aberrabit. Jam vero quod dicitur *on*, id est ens, hoc certe primum inde micans et quasi non longo progrediens noluit ultra procedere ; sed ad interiora conversum constitit, ubi facta jam est essentia, existitque essentia omnium, et qui pronuntiat haec, quasi in sono nitens se ipsum continet : natumque est *on hen*, id est ens unum, ipsa prolatione declarans se ab ipso *hen*, id est uno, profluere : et certe ipsum *on*, id est ens, ita pronuntiatum id ipsum significat, quoad potest. Sic utique, quod factum est *usia*, id est essentia, atque *ina*, id est esse, imitantur pro viribus auctorem ex ejus virtute manantia. Mens vero haec animadvertens, et spectaculo ipso perducta, et imitata quod novit, voces ejusmodi subito protulit, *on*, *ina*, *usian*, *hestian*. Hi namque soni substantiam geniti conantur exprimere, ipso pronuntiatore ad id enitente, imitantes profecto, quoad possunt, entis ipsius originem.

Quoniam, dicendo speciem vel essentiam, concipis et definis aliquid intellectu, scito, id non esse rerum principium : illud enim nullo modo comprehendi potest.

Ipsum unum vel unitas nomen est a Pythagoricis adinventum, quo principii rerum simplicitatem eminentiamque pro viribus designarent, negantes quidem multitudinem compositionemque et determinationem prorsus omnem, ab ipso nihil interim affirmantes, quod et Apollinis nomine confirmabant. Sicut sensibile genus cum sensu proportionem habet, ita intelligibile cum intellectu. Principium ergo rerum non habens cum intellectu proportionem, supereminet genus intelligibile : igitur est ente superius.

Ϛ'. Ἀλλὰ ταῦτα μέν, ὡς τις ἐθέλει, λελέχθω. Τῆς δὲ γενομένης οὐσίας εἴδους οὔσης, (οὐ γὰρ δή τι ἄλλο ἄν τις εἴποι τὸ ἐκεῖθεν γενόμενον,) καὶ εἴδους οὐ τινός, ἀλλὰ παντός, ὡς μὴ ἂν ὑπολιπεῖν τι ἄλλο, ἀνάγκη ἀνείδεον ἐκεῖνο εἶναι· ἀνείδεον δὲ ὂν οὐκ οὐσία· τόδε γάρ τι δεῖ τὴν οὐσίαν εἶναι, τοῦτο δέ, ὡρισμένον, τὸ δὲ οὐκ ἔστι λαβεῖν ὡς τόδε· ἤδη γὰρ οὐκ ἀρχή, ἀλλ' ἐκεῖνο μόνον, ὃ τόδε εἴρηκας εἶναι. Εἰ οὖν τὰ πάντα ἐν τῷ γενομένῳ, τί τῶν ἐν τούτῳ ἐκεῖνο ἐρεῖς; οὐδὲν δὲ τούτων ὂν μόνον ἂν λέγοιτο ἐπέκεινα τούτων. Ταῦτα δὲ τὰ ὄντα καὶ τὸ ὄν· ἐπέκεινα ἄρα ὄντος· τὸ γὰρ ἐπέκεινα ὄντος οὐ τόδε λέγει· οὐ γὰρ τίθησιν· οὐδὲ ὄνομα αὐτοῦ λέγει, ἀλλὰ φέρει μόνον τὸ οὐ τοῦτο. Τοῦτο δὲ ποιοῦν οὐδαμοῦ αὐτὸ περιλαμβάνει· γελοῖον

VI. Sed haec quidem, ut cuique placet, accipiantur. Cum vero essentia genita species sit (neque enim aliud quicquam, quod inde gignitur, quispiam appellaverit) : sit, inquam, non species quaedam, sed species omnis, adeo ut nihil aliud speciei reliquum sit, necessarium est, ipsum unum speciem non habere. Cum vero a specie sit alienum, neque etiam esse potest essentia : oportet enim essentiam hoc aliquid esse : id autem determinatum jam est, illud vero non licet tanquam hoc aliquid cogitare : alioquin jam non esset principium, sed illud duntaxat, quod hoc aliquid appellabas. Si igitur in eo, quod inde genitum est, omnia sunt, nihil eorum, quae in hoc ipso sunt, esse re vera dices ipsum omnium auctorem. Cumque horum nihil sit omnino, solum dici potest esse, quod super haec existit. Haec autem sunt entia atque ens ipsum : illud igitur ente superius. Jam vero, quod est ente superius, non dicit hoc aliquid : neque enim ponit aliquid, neque nomen ipsius dicit, sed affert solum hoc ipsum, scilicet non hoc. Id autem neque usquam comprehendit ipsum : ridiculum est enim,

γὰρ ζητεῖν ἐκείνην τὴν ἄπειρον φύσιν περιλαμβάνειν. Ὁ γὰρ τοῦτο βουλόμενος ποιεῖν ἀπέστησεν αὑτὸν καὶ τοῦ ὁπωσοῦν καὶ κατὰ βραχὺ εἰς ἴχνος αὐτοῦ ἰέναι· ἀλλ' ὥσπερ τὴν νοητὴν φύσιν βουλόμενος ἰδεῖν, οὐδὲ μίαν φαντασίαν αἰσθητοῦ ἔχων θεάσεται, ὅ ἐστιν ἐπέκεινα τοῦ αἰσθητοῦ, οὕτω καὶ ὁ θεάσασθαι θέλων τὸ ἐπέκεινα τοῦ νοητοῦ, τὸ νοητὸν πᾶν ἀφεὶς, θεάσεται, ὅτι μέν ἐστι διὰ τούτου μαθὼν, οἷον δέ ἐστι τοῦτο, ἀφείς. Τὸ δὲ οἷον σημαίνοι ἂν τὸ οὐχ οἷον· οὐ γὰρ ἔνι οὐδὲ τὸ οἷον, ὅτῳ μηδὲ τὸ τί. Ἀλλὰ ἡμεῖς ταῖς ἡμετέραις ὠδῖσιν ἀποροῦμεν ὅ τι χρὴ λέγειν, καὶ λέγομεν περὶ οὐ ῥητοῦ καὶ ὀνομάζομεν, σημαίνειν ἑαυτοῖς θέλοντες ὡς δυνάμεθα. Τάχα δὲ καὶ τὸ ἓν ὄνομα τοῦτο ἄρσιν ἔχει πρὸς τὰ πολλά. Ὅθεν καὶ Ἀπόλλωνα οἱ Πυθαγορικοὶ συμβολικῶς πρὸς ἀλλήλους ἐσήμαινον, ἀποφάσει τῶν πολλῶν. Εἰ δὲ θέσις τις τὸ ἓν, τό τε ὄνομα, τό τε δηλούμενον, ἀσαφέστερον ἂν γίγνοιτο τοῦ εἰ μή τις ὄνομα ἔλεγεν αὐτοῦ· τάχα γὰρ τοῦτο ἐλέγετο, ἵνα ὁ ζητήσας ἀρξάμενος ἀπ' αὐτοῦ, ὃ πάντων [ἢ] μάλιστα ἁπλότητός ἐστι σημαντικὸν, ἀποφήσῃ τελευτῶν καὶ τοῦτο, ὡς τεθὲν μὲν, ὅσον οἷόν τε, καλῶς τῷ θεμένῳ· οὐκ ἄξιον μὴν οὐδὲ τοῦτο εἰς δήλωσιν τῆς φύσεως ἐκείνης, ὅτι μηδὲ ἀκουστὸν ἐκεῖνο, μηδὲ τῷ ἀκούοντι δεῖ συνετὸν εἶναι, ἀλλ', εἴπερ τινὶ, τῷ ὁρῶντι. Ἀλλ' εἰ τὸ ὁρῶν εἶδος ζητεῖ βλέπειν, οὐδὲ τοῦτο εἴσεται.

moliri immensam illam complecti naturam. Quisquis autem id molitur, se ipsum vel a minimo quoque illius vestigio procul admodum amovet. Profecto, quemadmodum cognoscere naturam intelligibilem cupiens tunc demum cognoscet, quod est super sensibile genus, quando nullam prorsus rei sentiendæ tenebit imaginem: sic etiam, qui naturam intelligibili natura superiorem contemplari desiderat, si modo intelligendum omne dimiserit, contemplabitur: per hoc, inquam, discens illam existere, qualis vero sit, omnino dimittens. Hoc ipsum vero, quod dicitur quale, significat re vera non quale: cui enim non inest, quod dicere *quid* consuevimus, neque convenit etiam, quod *quale* appellare solemus. At nos nostris quasi cujusdam parturientis angustiis laborantes, quid potissimum dicere deceat, ignoramus: et de illo, quod dici non potest, dicimus atque nominamus, significare aliquid nobis ipsis, quoad possumus, affectantes. Forsan vero et nomen hoc, quod dicitur unum, per respectum quendam ad multa negationem elevationemque significat. Quapropter Pythagorici quoque Apollinem secretiori quadam significatione inter se nominabant, ipsa scilicet negatione multorum. Si autem nomen hoc unum significatione sua ponat aliquid et affirmet, cum nomen, tum etiam nominatum, erit obscurius, quam si quis nomen illius esse minime dixerit: nam fortasse nomen id dictum est, ut indagator exordiens ab eo, quod maxime omnium significare potest simplicitatem, eo tandem perveniat, ut hoc ipsum præterea neget, quasi quanto melius a nominante poni potuit, impositum fuerit: neque tamen et hoc dignum sit, quo natura illa significetur: nempe illud auditu attingi non potest, neque ab audiente ullo potest intelligi: sed si cui patere potest, occurrit potius intuenti. Verum si intuens ipse contendat speciem intueri, neque hoc tanquam speciem intuebitur.

Sicut per ipsum lumen et oculus est perspicax, et colores sunt conspicui, in quibus oculus videt lumen, quod in se ipso non videt: sic per primum principium et mens intelligere potest, et vera fiunt intelligenda, in quibus mens ipsius principii lumen intelligit, in se ipso vero nequaquam.

Potest tamen intentionem a singulis veris retrahere, convertereque ad principii lumen, quo et hæc vera sunt, et hic intelligens; atque ita ipso quoque modo tanquam lumine frui. Similiter, si voluntatem a singulis bonis amandis revoces ad amandum ipsum bonum, quo et tu amas, et illa sunt amabilia, frueris statim ipso bono, videlicet insolito quodam gaudio.

Ζ'. Ἡ ἐπειδὴ διττὸν καὶ τὸ ἐνεργείᾳ βλέπειν, οἷον ἐπὶ ὀφθαλμοῦ· τὸ μὲν γάρ ἐστιν ὅραμα αὐτῷ τὸ εἶδος τὸ τοῦ αἰσθητοῦ, τὸ δὲ, δι' οὗ ὁρᾷ τὸ εἶδος αὐτοῦ, ὃ καὶ αὐτὸ αἰσθητόν ἐστιν αὐτῷ, ἕτερον ὂν τοῦ εἴδους, αἴτιον δὲ τῷ εἴδει τοῦ ὁρᾶσθαι, ἐν μὲν τῷ εἴδει καὶ ἐπὶ τοῦ εἴδους συνορώμενον· διὸ οὐκ ἐναργῆ τότε δίδωσι τὴν αἴσθησιν αὐτοῦ, ἅτε τοῦ ὄμματος τετραμμένου πρὸς τὸ πεφωτισμένον. Ὅταν δὲ μηδὲν ἄλλο ᾖ παρ' αὐτὸ, ἀθρόᾳ εἶδε προσβολῇ, καίτοι καὶ τότε εἶδεν ἐπερειδόμενον ἄλλῳ, μόνον δὲ αὐτὸ γενόμενον, μὴ πρὸς ἑτέρῳ, οὐ δύναται ἡ αἴσθησις λαβεῖν, ἐπεὶ καὶ τοῦ ἡλίου τὸ φῶς τὸ ἐν αὐτῷ τάχ' ἂν τὴν αἴσθησιν ἐξέφυγεν, εἰ μὴ ὄγκος ἐπέκειτο αὐτῷ στερεώτερος. Εἰ δέ τις φῶς πᾶν εἶναι αὐτὸν λέγοι, τοῦτο ἄν τις λάβοι πρὸς δήλωσιν τοῦ λεγομένου· ἔσται γὰρ φῶς ἐν οὐδενὶ εἴδει τῶν ἄλλων ὁρωμένων, καὶ ἴσως ὁρατὸν μόνον· τὰ γὰρ ἄλλα ὁρατὰ οὐ φῶς μόνον. Οὕτω τοίνυν καὶ ἡ τοῦ νοῦ ὄψις ὁρᾷ μὲν καὶ αὐτὴ δι' ἄλλου φωτὸς τὰ πεφωτισμένα ἐκείνῃ τῇ πρώτῃ φύσει, καὶ ἐν ἐκείνοις ὄντως ὁρᾷ, νεύουσα μέντοι πρὸς τὴν τῶν καταλαμπομένων φύσιν ἧττον αὐτοῦ ὁρᾷ. Εἰ δ' ἀφήσει τὰ ὁρώμενα, καὶ, δι' οὗ εἶδεν, εἰς αὐτὸ βλέπει, φῶς ἂν καὶ φωτὸς ἀρχὴν ἂν

VII. Proinde duobus modis secundum actum videre contingit, quemadmodum accidit circa oculum. Sane aliud quidem oculo spectaculum est, ipsius scilicet rei sentiendæ species: aliud autem illud est, per quod speciem illius videt: quod quidem ipsum quoque ei sensibile est, diversum certe ab ipsa specie: causa vero, per quam species ipsa perspicitur, atque existens in specie, et mox cum ea conspectum: quapropter tunc non admodum clare perspicitur, quippe cum oculus ad illuminatum intentius sese dirigat. Quando vero nihil sit aliud, præter ipsum, subito quodam totoque simul intuitu contuebitur, quamvis et tunc ipsum adhærens alteri sentiet: sin autem solum ipsum sit nulli prorsus adjunctum, non poterit sensus accipere: quandoquidem solis lumen in solo ipso vigens fortasse sensum effugeret, nisi moles ipsa solis esset subjuncta solidior. Si quis autem totum solem lumen esse dicat, id aliquis forsitan pro illius, quod dicitur, declaratione suscipiet: erit namque lumen in nulla aliorum specie, quæ videntur, ac forte visibile solum atque lucidum; alia enim visibilia non solum lumen existunt. Simili ratione mentis aspectus videt quidem et ipse per lumen aliud res illuminatas prima illa natura, atque in illis re vera videt et illud: veruntamen ad naturam rerum illuminatarum impensius se convertens, minus ipsum interea cernit. At si visas quandoque res dimiserit et tamen illud, per quod videt, attente perspexerit, lumen jam ipsum luminisque prin-

βλέποι· ἀλλ' ἐπεὶ μὴ ἔξω ὂν ἔδει τὸν νοῦν τοῦτο τὸ φῶς βλέπειν, πάλιν ἐπὶ τὸν ὀφθαλμὸν ἰτέον, ὃς ποτὲ καὶ αὐτὸς οὐ τὸ ἔξω φῶς οὐδὲ τὸ ἀλλότριον εἴσεται, ἀλλὰ πρὸ τοῦ ἔξω οἰκεῖόν τι καὶ μᾶλλον στιλπνότερον ἐν ἀκαρεῖ θεᾶται, ἢ νύκτωρ ἐν σκότῳ πρὸ αὐτοῦ ἐξ αὐτοῦ προπηδήσαντος· ἢ ὅταν μηδὲν ἐθελήσας τῶν ἄλλων βλέπειν προβάλληται πρὸ αὐτοῦ τὴν τῶν βλεφάρων φύσιν, τὸ φῶς ὅμως προφέρων, ἢ καὶ πιέσαντος τοῦ ἔχοντος τὸ ἐν αὐτῷ φῶς ἴδοι· τότε γὰρ οὐχ ὁρῶν ὁρᾷ, καὶ μάλιστα τότε ὁρᾷ, φῶς γὰρ ὁρᾷ· τὰ δ' ἄλλα φωτοειδῆ μὲν ἦν, φῶς δὲ οὐκ ἦν. Οὕτω δὴ καὶ νοῦς αὑτὸν ἀπὸ τῶν ἄλλων καλύψας καὶ συναγαγὼν εἰς τὸ εἴσω μηδὲν ὁρῶν θεάσεται οὐκ ἄλλο ἐν ἄλλῳ φῶς, ἀλλ' αὐτὸ καθ' ἑαυτὸ μόνον, καθαρὸν ἐφ' ἑαυτοῦ ἐξαίφνης φανέν.

cipium pervidebit. Quoniam vero mentem oportet alius modi lumen non tanquam extrinsecum aliquid intueri, rursus ad illum oculum accedamus, qui ipse quoque quandoque non extrinsecum lumen nec alienum videat, sed ante lumen externum intueatur proprium aliquod et lucidius intra momentum temporis perlucens, aut nocte in tenebris coram se ex se prosilientem quendam aspiciat radium, aut quando nihil volens aspicere aliorum, se ipsum cohibeat tegmine palpebrarum, atque interim proferat ex se lumen: vel cum premens aliquis angulos palpebrarum, lumen, quod latebat, intus inspiciat, tunc sane non videndo videt, et tunc maxime videt: videt namque lumen: cetera vero, quae ante viderat, lucida quidem erant, lumen vero non erant. Sic itaque mens, se ab aliis segregans atque colligens ad interiora, nihilque videns, cernit protinus lumen, non in alio aliud, sed ipsum secundum se ipsum solum purum ex se ipso repente coruscans.

Expelle ab animo tria, motum, multiplicitatem, determinationem, scilicet per quam certae cuidam rei se addicit vel cogitando vel affectando.

Statim, animus factus principio proximus immobili, simplici, absoluto, impletur novo ejusdem lumine, mox se ipsum animadvertit mirabiliter solito pulchriorem. Quod sane novae pulchritudinis lumen inspicit tanquam intimum: subinde animadvertit hoc ipsum sibi ex principio provenire, sibi etiam lumen agnoscit ut extimum.

Η'. Ὥστε ἀπορεῖν, ὅθεν ἐφάνη, ἔξωθεν ἢ ἔνδον, καὶ ἀπελθόντος εἰπεῖν, ἔνδον ἄρα ἦν, καὶ οὐκ ἔνδον αὖ· ἢ οὐ δεῖ ζητεῖν, πόθεν, οὐ γάρ ἐστι τὸ πόθεν· οὔτε γὰρ ἔρχεται, οὔτε ἄπεισιν οὐδαμοῦ, ἀλλὰ φαίνεταί τε καὶ οὐ φαίνεται· διὸ οὐ χρὴ διώκειν, ἀλλ' ἡσυχῇ μένειν, ἕως ἂν φανῇ, παρασκευάσαντα ἑαυτὸν θεατὴν εἶναι, ὥσπερ ὀφθαλμὸς ἀνατολὰς ἡλίου περιμένει, ὁ δὲ ὑπερφανεὶς τοῦ ὁρίζοντος, ἐξ ὠκεανοῦ φασὶν οἱ ποιηταί, ἔδωκεν ἑαυτὸν θεάσασθαι τοῖς ὄμμασιν· οὑτοσὶ δέ, ὃν μιμεῖται ὁ ἥλιος, ὑπερσχήσει πόθεν; καὶ τί ὑπερβαλὼν φανήσεται; ἢ αὐτὸν ὑπερσχὼν τὸν νοῦν τὸν θεώμενον· ἑστήξεται μὲν γὰρ ὁ νοῦς πρὸς τὴν θέαν, εἰς οὐδὲν ἄλλο ἢ πρὸς τὸ καλὸν βλέπων, ἐκεῖ ἑαυτὸν πᾶς τρέπων καὶ διδούς, στὰς δὲ καὶ οἷον πληρωθεὶς μένους, εἶδε μὲν τὰ πρῶτα καλλίω γενόμενον ἑαυτὸν καὶ ἐπιστίλβοντα, ὡς ἐγγὺς ὄντος αὐτοῦ. Ὁ δὲ οὐχ ἧκεν ὥς τις προσεδόκα, ἀλλ' ἦλθεν ὡς οὐκ ἐλθών· ὤφθη γὰρ ὡς οὐκ ἐλθών, ἀλλὰ πρὸ ἁπάντων παρών, πρὶν καὶ τὸν νοῦν ἐλθεῖν· εἶναι δὲ τὸν νοῦν τὸν ἐλθόντα, καὶ τοῦτον εἶναι καὶ τὸν ἀπιόντα, ὅτι μὴ οἶδε, ποῦ μένειν δεῖ, καὶ ποῦ ἐκεῖνος μένει, ὅτι ἐν οὐδενί· καὶ εἰ οἷόν τε ἦν καὶ αὐτῷ τῷ νῷ μένειν μηδαμοῦ, οὐχ ὅτι ἐν τόπῳ· οὐδὲ γὰρ οὐδ' αὐτὸς ἐν τόπῳ, ἀλλ' ὅλως οὐδαμοῦ, ἦν ἂν ἀεὶ ἐκεῖνον βλέπων· καίτοι οὐδὲ βλέπων, ἀλλ' ἐν ἐκείνῳ ὤν, καὶ οὐ δύο. Νῦν δέ, ὅτι ἐστὶ νοῦς, οὕτω βλέπει, ὅτε βλέπει, τῷ ἑαυτοῦ μὴ νῷ· θαῦμα δή, πῶς οὐκ ἐλθὼν πάρεστι, καὶ πῶς οὐκ ὢν οὐδαμοῦ οὐκ ἔστιν, ὅπου μὴ ἔστιν. Ἔστι μὲν οὖν οὑτωσὶ αὐτόθεν θαυμάσαι, τῷ δὲ γνόντι, τὸ ἐναντίον εἴπερ ἦν, θαυμάσαι, μᾶλλον δὲ οὐδὲ δυνατὸν εἶναι, ἵνα τις καὶ θαυμάσῃ· ἔχει δὲ ὧδε.

VIII. Id autem ita fit, ut dubitari contingat, undenam hoc effulgeat: utrum ab extrinseco aliquo, an potius ab intrinseco: et cum discesserit, accidat dicere, intimum erat hoc, rursusque non intimum; sed profecto non est quaerendum, unde contingat, nempe non datur hic unde: neque enim huc accedit, vel alio rursus hinc abit, sed vel apparet nobis, vel non apparet: quapropter non decet prosequi, sed potius requiescere, donec nobis effulgeat, ita nos ad id spectaculum praeparantibus, sicut et oculus ortum solis exspectat, cui sol ipse ex horizonte resurgens, et, ut poetae aiunt, ex oceano exhibet se spectandum. Ille autem, ille inquam, quem sol imitatur, undenam superne fulgebit? quidve transcendens nobis perspicue rutilabit? Profecto mentem desuper occupans suspicientem illuminabit. Intellectus itaque in suspiciendo se sistet, nihil aliud quam pulchrum ipsum spectans, seque totum illuc convertens, eique omnino se dedicans. Itaque consistens ac velut vigore repletus primo quidem se ipsum respicit pulchriorem jam effectum jamque fulgentem, quippe cum jam sit summo propinquus. Deus autem non accedit, ut forsan aliquis exspectaverit, sed venit quasi non veniens. Apparet enim non veniens, sed ante superque omnia praesens, priusquam intellectus accesserit: intellectus autem est proprie, qui accedit et qui discedit: discedit, inquam, quando non novit ubi sit permanendum, et ubi ille permaneat: quoniam videlicet re vera manet in nullo, ac si posset et intellectus esse nusquam, non in loco duntaxat, inquam: nam et ipse non est in loco, sed omnino nusquam, procul dubio illum semper aspiceret: tametsi non aspiciens attingeret illum, sed in illo consistens: neque id quidem tanquam duo. Nunc vero, quoniam est intellectus, ita videt, quando videt, eo scilicet, quod in ipso non est intellectus: et profecto mirum est, quonam modo adsit non accedens, quove modo, dum existit nusquam, ob id ipsum interim sit ubique. Accidit sane id illico temereque mirari, sed apud eum, qui rem ipsam cognoverit, admirationi potius foret, si quando contrarium diceretur: imo vero neque potest aliter se habere, adeo ut quis vehementius admiretur. Ita vero se habet.

Quoniam omnia pendent a deo, ipse vero a nullo: ideo omnia sunt in ipso, sed ipse est in nullo: continet omnia, non continetur. Quia continetur a nullo, nusquam est: quia vero continet omnia, omnibus adest. Sic mundi corpus est in anima mundi, haec in mente, haec in bono, neque vicissim. Sicut igitur anima tanquam libera singulis corporis partibus tota simul adest, ita bonum

... omnibus limitibus absolutum abest omnibus. Omnino vero quod ad suam existentiam non pendet a certo subjecto, vel loco, nec a certa natura, ubique est et nusquam, sicut anima, et mens, et deus.

VI. Videntur vero mihi sapientes Ægyptiorum, sive consummata quadam sapientia, sive naturali etiam mentis instinctu, ubi constituerunt sapientiæ mysteria nobis significare, non usi fuisse figuris literarum significaturis sermonis discursiones et propositiones quasdam, et imitaturis voces pronuntiationesque regularum, sed potius describentes imagines rerum singulas singularum, easque depingentes, in sacris etiam rei ipsius discursum significavisse : quod videlicet scientia et sapientia quædam sit unaquæque imago sive exemplar, et subjectum illud spectaculum totum una collectum, neque sit excogitatio quædam, neque consilium. Postea vero ab ipsa imagine, exemplari sive sapientia simul tota, simulacrum in alio quodam fiat jam evolutum, atque loquens in discursione quadam, et causas, propter quas ita res institutæ sint, inveniens, dum videlicet dispositio rerum, quod ita bene se habeat, movet admirationem. Hinc fit eum admiraturum sapientiam, qui consideraverit, quomodo ipsa, non habens essentiæ suæ causas, propter quas ita se habeat, sive agat, sic se habere præbeat, ut se habent his, quæ secundum ipsam efficiuntur. Hoc ipsum igitur, quod dici potest, dispositionem rerum, ita ut est, bene se habere, quod quidem ex inquisitione vix tandem aut nullo modo fit manifestum, quod videlicet sic habere se res oporteat, si quis modo inveniat, hoc ipsum, inquam, oportet in mundo intelligibili ante omnem inquisitionem et argumentationem ita se habere atque constare : sed accipiamus jam in uno, quod loquor, magno, quod omnibus quoque sit consentaneum.

Scientia dei non est argumentationi vel consilio similis, sed dispositioni potius naturali.

Non enim vel posito principio deinceps per media conclusionem colligit, vel constituto fine consequenter vias modosque ad finem consequendum eligit, deinde agit, sicut deliberavit : sed quoniam ipsa est sua sponte natura omnifariam ita disposita, ideo naturaliter sic et agit : quemadmodum semen multiformiter sic affectum prodeunt ita generat multiformem. Sed omniformis illa natura dei ipsa ejus intelligentia est ideis omnibus insignita, non sicut tabella figuris, sed sicut cœlum stellis, quæ et ipsæ sunt cœlum. Facillime vero facit, quoniam sua sponte natura facit, atque ipsa est universum. Fere similiter agit anima nostra, quando ad habitum se revocat omniformem.

Ζ'. Τοῦτο δὴ τὸ πᾶν, ἐπείπερ συγχωροῦμεν παρ' ἄλλου αὐτὸ εἶναι, καὶ τοιοῦτον εἶναι, ἆρα οἰόμεθα τὸν ποιητὴν αὐτοῦ ἐπινοῆσαι παρ' αὐτῷ γῆν, καὶ ταύτην ἐν μέσῳ δεῖν στῆναι, εἶτα ὕδωρ, καὶ ἐπὶ τῇ γῇ τοῦτο, καὶ τὰ ἄλλα ἐν τάξει μέχρι τοῦ οὐρανοῦ, εἶτα ζῷα πάντα, καὶ τούτοις μορφὰς τοιαύτας ἑκάστῳ, ὅσαι νῦν εἰσι, καὶ τὰ ἔνδον ἑκάστοις σπλάγχνα, καὶ τὰ ἔξω μέρη, εἶτα διατιθέντα ἕκαστα παρ' αὐτῷ οὕτως ἐπιχειρεῖν τῷ ἔργῳ; ἀλλ' οὔτε ἡ ἐπίνοια δυνατὴ ἡ τοιαύτη· πόθεν γὰρ ἐπῆλθεν οὐ πώποτε ἑωρακότι; οὔτε ἐξ ἄλλου λαβόντι δυνατὸν ἦν ἐργάσασθαι, ὅπως νῦν οἱ δημιουργοὶ ποιοῦσι, χερσὶ καὶ ὀργάνοις χρώμενοι· ὕστερον γὰρ καὶ χεῖρες καὶ πόδες. Λείπεται τοίνυν εἶναι μὲν πάντα ἐν ἄλλῳ· οὐδενὸς δὲ μεταξὺ ὄντος, τῇ ἐν τῷ ὄντι πρὸς ἄλλο γειτονίᾳ οἷον ἐξαίφνης ἀναφανῆναι ἴνδαλμα καὶ εἰκόνα ἐκείνου, εἴτε αὐτόθεν, εἴτε ψυχῆς διακονησαμένης (διαφέρει γὰρ οὐδὲν ἐν τῷ παρόντι), ἢ ψυχῆς τινός· ἀλλ' οὖν ἐκεῖθεν ἦν σύμπαντα ταῦτα, καὶ κάλλιον ὡς ἐκεῖ· τὰ γὰρ τῇδε καὶ μέμικται, καὶ οὐκ ἐκεῖνα μέμικται, ἀλλ' οὖν εἴδεσι κατέχεται ἐξ ἀρχῆς εἰς τέλος. Πρῶτον μὲν ἡ ὕλη τοῖς τῶν στοι-

VII. Numquid putemus, hoc universum, quod ab alio continemur esse, taleque existere, eo pacto a fabro suo fuisse compositum, ut ille excogitaverit apud se terram, eamque in medio quiescere oportere? deinde aquam terræ continuam, cæteraque deinceps usque ad cœlum ordinate disposita? tum vero animalia omnia, talesque et tot singulorum viventium formas, quales et quot nunc habent singula, dispositionemque tum viscerum, tum exteriorum partium atque membrorum? deinde sicut apud se singula disposuerat, sic aggressum fuisse opere jam ipso disponere? Sed profecto consideratio apud illum talis esse non potuit : unde enim incidisset in eum, qui nondum talia viderat? neque vero fieri poterat, ut ille ab alio quodam accipiens fabricaret, quemadmodum nunc artifices nostri fabricant, manibus et instrumentis utentes : posterius enim manus et pedes accedunt. Reliquum est igitur, omnia in alio esse, et cum nihil se medium interponat, ipsa propinquitate ipsius entis ad aliud, velut subito illius imaginem et similitudinem emicare, sive ex ipso per se duntaxat, sive per animam ministrantem (nihil enim in præsentia interest), sive per animam propriè quandam : sed enim cuncta hæc omnino inde manarunt, et pulchrius utpote illa (se habent). Hic enim permixta sunt, ibi vero sunt pura. Universum vero hoc inde profectum a principio ad finem comprehenditur speciebus. Primo quidem

χείων εἴδεσιν, εἶτα ἐπὶ εἴδεσιν εἴδη ἄλλα, εἶτα πάλιν ἕτερα· ὅθεν καὶ χαλεπὸν εὑρεῖν τὴν ὕλην, ὑπὸ πολλοῖς εἴδεσι κρυφθεῖσαν. Ἐπεὶ δὲ καὶ αὕτη εἶδός τι ἔσχατον, πᾶν εἶδος, τὸ δὲ καὶ πάντα εἴδη (τὸ γὰρ παράδειγμα εἶδος ἦν) ἐποίει, τὸ δὲ ἀψοφητὶ, ὅτι πᾶν τὸ ποιῆσαν καὶ οὐσία καὶ εἶδος· διὸ καὶ ἄπονος καὶ οὕτως ἡ δημιουργία, καὶ παντὸς δὲ ἦν, ὡς ἂν πᾶν· οὐ τοίνυν ἦν τὸ ἐμποδίζον, καὶ νῦν δὲ ἐπικρατεῖ, καίτοι ἄλλων ἄλλοις ἐμποδίων γιγνομένων, ἀλλ' οὐχ αὐτῇ οὐδὲ νῦν· μένει γὰρ ὡς πᾶν. Ἐδόκει δέ μοι, ὅτι καὶ, εἰ ἡμεῖς ἀρχέτυπα καὶ οὐσία καὶ εἴδη ἅμα, εἶδος καὶ τὸ τὸ ποιοῦν ἐνταῦθα, ἦν ἡμῶν οὐσία, ἐκράτησεν ἂν ἄνευ πόνου ἡ ἡμετέρα δημιουργία, καίτοι καὶ ἄνθρωπος δημιουργεῖ εἶδος αὐτοῦ ἄλλο, ὃ ἔστι γενόμενος. Ἀπέστη γὰρ τοῦ εἶναι τὸ πᾶν νῦν ἄνθρωπος γενόμενος· παυσάμενος δὲ τοῦ ἄνθρωπος εἶναι μετεωροπορεῖ, φησὶ, καὶ πάντα τὸν κόσμον διοικεῖ· γενόμενος γὰρ τοῦ ὅλου τὸ ὅλον ποιεῖ. Ἀλλ' οὗ χάριν ὁ λόγος, ὅτι ἔχεις μὲν σὺ αἰτίαν εἰπεῖν, δι' ἣν ἐν μέσῳ ἡ γῆ; καὶ διὰ τί στρογγύλη, καὶ ὁ λοξὸς διὰ τί ὡδί; ἐκεῖ δὲ, οὐ διότι οὕτως ἐχρῆν, διὰ τοῦτο οὕτω βεβούλευται, ἀλλ' ὅτι οὕτως ἔχει, ὡς ἔστι, διὰ τοῦτο καὶ ταῦτα ἔχει καλῶς· οἷον εἰ πρὸ τοῦ συλλογισμοῦ τῆς αἰτίας τὸ συμπέρασμα, οὐ παρὰ τῶν προτάσεων· οὐδὲ γὰρ ἐξ ἀκολουθίας, οὐδ' ἐξ ἐπινοίας, ἀλλὰ πρὸ ἀκολουθίας, καὶ πρὸ ἐπινοίας· ὕστερα γὰρ ταῦτα πάντα καὶ λόγος καὶ ἀπόδειξις καὶ πίστις. Ἐπεὶ γὰρ ἀρχὴ αὐτόθεν, πάντα ταῦτα καὶ ὧδε, καὶ τὸ μὴ ζητεῖν αἰτίας ἀρχῆς οὕτω καλῶς λέγεται, καὶ τῆς τοιαύτης ἀρχῆς τῆς τελείας, ἥτις ταὐτὸν τῷ τέλει· ἥτις δὲ ἀρχὴ καὶ τέλος, αὕτη τὸ πᾶν ὁμοῦ καὶ ἀνελλιπής.

materia formis elementorum, quibus et aliæ accedunt formæ, formisque aliis similiter aliæ, adeo ut difficile sit invenire materiam, multis sub formis occultam. Quoniam vero et ipsa speciem quandam habet ultimam, omnem speciem subire facile potest. Ille vero faber, penes quem exemplar operis species est, omnes efficit species, et has quidem absque difficultate et violentia ulla, quoniam agens ibi est universum essentiaque et species. Quam ob rem hac quoque ratione facilis et sine labore fabricatio fuit, et fabrica totius exstitit, sicut et ipse faber est universum; nihil igitur erat impedimenti, et nunc etiam in fabricando libere dominatur. Et quamvis alia passim aliis impedimento sint, ipsi tamen universi fabricæ ne nunc quidem obstare quicquam potest: nam tanquam universum constat. Arbitror equidem, si nos essemus prima ipsa exemplaria rerum essentiæque simul et species, atque species ipsa, quæ hic facit, nostra esset essentia, fabricationem nostram absque labore dominaturam: tametsi homo, utpote quod nunc est effectus, speciem fabricat a se ipso diversam? Nunc enim factus homo, esse destitit universum: at quando desinit esse homo, ut Plato inquit, ad sublimia se attollit totumque gubernat mundum. Factus enim totius facit et totum. Verum ut ad institutum nostrum regrediamur, potes tu quidem afferre causam ob quam terra sit in medio posita, et cur rotunda: curve obliquus circulus in certa plaga sit institutus: in mente vero divina non, quia sic oportebat, idcirco sic deliberatum fuit, imo vero, quia sic se habet sicut exsistit, propterea et hæc ita bene se habent: veluti si ante argumentationem per causas discurrentem conclusio ipsa absque ullis propositionibus certa consisteret. Nihil enim illic ex consequentia pendet, nihil ex consideratione fit certum, sed ante consequentiam, ante considerationem totum constat. Hæc namque omnia posteriora sunt, ratio, demonstratio, fides. Eo enim ipso, quod exsistit principium, inde suapte natura hæc omnia sunt, atque ita disposita. Jam vero, quod dicitur, non esse quærendas principii causas, sic recte dicitur, præcipue de tali quodam principio, quod est perfectum, quod idem est atque finis: nempe quod principium simul est et finis, hoc universum simul est, nulla parte deficiens.

Cum ipsa pulchritudo sit forma quædam multiformis, aspectui accommodata, merito principium primum pulchritudine superius est.

Mens divina est primum totum, ergo in qualibet sui parte totum: est et pulchritudo prima, igitur in quavis sui parte pulchritudo tota. Tria sunt sub ipso bono pulcherrima: mens divina, anima mundi, mundi corpus: quemadmodum in cœlo Sol, Jupiter, Venus. Venere capti nesciunt, quid patiantur, quoniam non advertunt pulchritudinem inferiorem propter superiorem se admirari.

Η'. Καλὸν οὖν πρώτως, καὶ ὅλον δὲ, καὶ πανταχοῦ ὅλον, ἵνα μηδὲ μέρει ἀπολείπηται τῷ καλῷ ἐλλείπειν. Τίς οὖν οὐ φήσει καλόν; οὐ γὰρ δὴ ὁ μὴ ὅλον αὐτὸ, ἀλλ' ὁ μέρος ἔχων, ἢ μηδέ τι αὐτοῦ ἔχων· ἢ εἰ μὴ ἐκεῖνο καλὸν, τί ἂν ἄλλο; τὸ γὰρ πρὸ αὐτοῦ οὐδὲ καλὸν ἐθέλει εἶναι· τὸ γὰρ πρώτως εἰς θέαν παρελθὸν, τῷ εἶδος εἶναι καὶ θέαμα νοῦ, τοῦτο καὶ ἀγαστὸν ὀφθῆναι· διὸ καὶ Πλάτων τοῦτο σημῆναι θέλων εἴς τι τῶν ἐναργεστέρων ὡς πρὸς ἡμᾶς ἀποδεξάμενον ποιεῖ τὸν δημιουργὸν τὸ ἀποτελεσθὲν, διὰ τούτου ἐνδείξασθαι θέλων τὸ τοῦ παραδείγματος καὶ τῆς ἰδέας κάλλος ὡς ἀγαστόν. Πᾶν γὰρ τὸ κατ' ἄλλο ποιηθὲν ὅταν τις θαυμάσῃ, ἐπ' ἐκεῖνο ἔχει τὸ θαῦμα, καθ' ὃ ἔστι πεποιημένον· εἰ δ' ἀγνοεῖ ὃ πάσχει, θαῦμα οὐδὲν, ἐπεὶ καὶ οἱ ἐρῶντες, καὶ ὅλως οἱ τὸ τῇδε κάλλος τεθαυμακότες ἀγνοοῦσιν, ὅτι δι' ἐκεῖνο· δι' ἐκεῖνο γάρ· ὅτι δὲ εἰς τὸ παράδειγμα ἀνάγει τὸ ἠγάσθη, δῆλον ποιεῖ ἐπίτηδες τὸ ἑξῆς τῆς λέξεως λαβών· εἶπε γὰρ ἠγάσθη τε καὶ ἔτι

VIII. Hoc igitur primo pulchrum est: est totum: est ubique totum, ne vel in parte quidem ulla sit pulchri defectus. Quis ergo dicet (definiet) pulchrum? Non certe quisquam, qui non habeat ipsum totum, sed vel partem habeat tantum, vel nihil ipsius habeat. Profecto nisi illud sit ipsum pulchrum, quidnam aliud id esse potest? Quod enim est ante ipsum, pulchrum esse non vult: nam quod primo in aspectum venit, propterea quod species sit, mentisque spectaculum, hoc aspectu amabile est atque jucundum. Quam ob rem Plato id nobis significare volens, inducit architectum mundi perfectum suum opus approbantem ad quiddam aliquanto nostris ingeniis manifestius, per hoc ostendere volens ipsam exemplaris ideæque pulchritudinem velut amabilem. Quoties enim aliquis admiratur opus ad exemplar aliud fabricatum, exemplar ipsum potissimum admiratur. Neque mirum videri debet, si interim, quid patiatur, ignoret: quandoquidem et amatores, et omnino quicunque hanc nostram pulchritudinem admirantur, ignorant se propter supernam pulchritudinem sic affectos esse: et profecto propter illam ita sunt affecti. Quod autem ad divinum exemplar Plato referat, quod dicit architectum mundi opus suum amavisse, ipso spectaculo delectatum declarat, ubi dedita opera ita subjungit: dicit enim, Delectatus quidem est opificio suo, atque

μᾶλλον πρὸς τὸ παράδειγμα αὐτὸ ἐβουλήθη ἀφομοιῶσαι, τὸ κάλλος τοῦ παραδείγματος, οἷόν ἐστιν, ἐνδεικνύμενος, διὰ τὸ ἐκ τούτου τὸ γενόμενον καλὸν καὶ αὐτὸ ὡς εἰκόνα ἐκείνου εἰπεῖν· ἐπεὶ καὶ εἰ μὴ ἐκεῖνο ἦν τὸ ὑπέρκαλον κάλλει ἀμηχάνῳ, τί ἂν τούτου τοῦ ὁρωμένου ἦν κάλλιον; ὅθεν οὐκ ὀρθῶς οἱ μεμφόμενοι τούτῳ, εἰ μὴ ἄρα καθ᾽ ὅσον μὴ ἐκεῖνό ἐστι.

etiam magis ad exemplar ipsum reddere simile voluit: hoc ipso demonstrans, qualis pulchritudo sit exemplaris, propterea quod id, opus hoc, ex illo pulchrum esse, quia sit illius imago: nempe nisi illud esset mirifice pulchrum, inaestimabili pulchritudine pollens, quidnam universo hoc oculis manifesto pulchrius esse posset? Quam ob rem non recte sentiunt, qui mundi hujus pulchritudini detrahunt, nisi forte in detrahendo id sentiant, videlicet mundum hunc non esse supremum.

Cum acceperis totam hanc simul formarum mundanarum varietatem, statim conservatis formis earumque motibus dimensionem localem deme. Habes ergo mundi animam, penes quam in qualibet forma sunt cuncta, deme deinde motus, formis in statu servatis, mentem jam divinam vides, ubi quaevis idea omnes continet. Denique, idearum diversitate in lucem unicam resoluta, primum es principium consecutus.

Corporeus mundus non est re vera magnus, quoniam ubique pendet ex parvis. Incorporeus mundus est infinitus. Infinite enim licet dicere, in hac idea sunt omnes. Atque, his omnibus computatis, in qualibet rursum omnes, similiterque deinceps: cum essentia et pulchritudo prima sit idem merito, quatenus aliquid est particeps pulchritudinis, eatenus et essentiae, atque vicissim: item cum prima essentia sit ipsa simpliciter species, utrumque speciei participatione essentiam habent omnia.

Θ΄. Τοῦτον τοίνυν τὸν κόσμον, ἑκάστου τῶν μερῶν μένοντος, ὅ ἐστι καὶ συγχεομένου, λάβωμεν τῇ διανοίᾳ, εἰς ἓν ὁμοῦ πάντα, ὡς οἷόν τε, ὥστε ἑνὸς ὁτουοῦν προφαινομένου, οἷον τῆς ἔξω σφαίρας οὔσης, ἀκολουθεῖν εὐθὺς καὶ τὴν ἡλίου καὶ ὁμοῦ τῶν ἄλλων ἄστρων τὴν φαντασίαν, καὶ γῆν καὶ θάλασσαν καὶ πάντα τὰ ζῶα ὁρᾶσθαι, οἷον ἐπὶ σφαίρας διαφανοῦς, καὶ ἔργῳ ἂν γένοιτο πάντα ἐνορᾶσθαι. Ἔστω οὖν ἐν τῇ ψυχῇ φωτεινή τις φαντασία σφαίρας, ἔχουσα πάντα ἐν αὐτῇ, εἴτε κινούμενα, εἴτε ἑστηκότα, ἢ τὰ μὲν κινούμενα, τὰ δὲ ἑστηκότα. Φυλάττων δὲ ταύτην, ἄλλην παρὰ σαυτῷ, ἀφελὼν τὸν ὄγκον, λαβέ· ἄφελε δὲ καὶ τοὺς τόπους, καὶ τὸ τῆς ὕλης ἐν σοὶ φάντασμα, καὶ μὴ πειρῶ αὐτῆς ἄλλην σμικροτέραν λαβεῖν τῷ ὄγκῳ, θεὸν δὲ καλέσας, τὸν πεποιηκότα ἧς ἔχεις τὸ φάντασμα, εὔξαι ἐλθεῖν. Ὁ δὲ ἥκοι τὸν αὐτοῦ κόσμον φέρων μετὰ πάντων τῶν ἐν αὐτῷ θεῶν, εἷς ὢν καὶ πάντες, καὶ ἕκαστος πάντες, συνόντες εἰς ἕν, καὶ ταῖς μὲν δυνάμεσιν ἄλλοι, τῇ δὲ μιᾷ ἐκείνῃ τῇ πολλῇ πάντες εἷς· μᾶλλον δὲ ὁ εἷς πάντες, οὐ γὰρ ἐπιλείπει αὐτός, ἢν πάντες ἐκεῖνοι γένωνται, ὁμοῦ δέ εἰσι, καὶ ἕκαστος χωρὶς αὖ ἐν στάσει ἀδιαστάτῳ, οὐ μορφὴν αἰσθητὴν οὐδεμίαν ἔχων· ἤδη γὰρ ἂν ὁ μὲν ἄλλοθι, ὁ δέ που ἀλλαχόθι ἦν, καὶ ἕκαστος δέ, οὐ πᾶς ἐν αὐτῷ, οὐδὲ μέρη ἄλλα ἔχων ἄλλοις, ἢ αὐτῷ, οὐδὲ ἕκαστον ὅλον δύναμις κερματισθεῖσα καὶ τοσαύτη οὖσα, ὅσα τὰ μέρη μετρούμενα. Τόδε ἐστὶ τὸ πᾶν δύναμις πᾶσα, εἰς ἄπειρον μὲν ἰοῦσα, εἰς ἄπειρον δὲ δυναμένη· καὶ οὕτως ἐστὶν ἐκεῖνος μέγας, ὡς καὶ τὰ μέρη αὐτοῦ ἄπειρα γεγονέναι. Ποῦ γάρ τι ἔστιν εἰπεῖν, ὅπου μὴ φθάνει; μέγα μὲν οὖν καὶ ὅδε ὁ οὐρανός, καὶ αἱ ἐν αὐτῷ πᾶσαι δυνάμεις ὁμοῦ, ἀλλὰ μείζων ἂν ἦν, καὶ ὁπόσος οὐδ᾽ ἂν εἰπεῖν, εἰ μή τις αὐτῷ συνῆν σώματος δύναμις μικρά· καίτοι μεγάλας ἄν τις φήσειε πυρὸς καὶ τῶν ἄλλων σωμάτων τὰς δυνάμεις· ἀλλὰ ἤδη ἀπειρίᾳ δυνάμεως ἀληθινῆς φαντάζονται καίουσαι, καὶ φθείρουσαι καὶ θλίβουσαι, καὶ πρὸς γένεσιν τῶν ζώων ὑπουργοῦσαι. Ἀλλὰ ταῦτα μὲν φθείρει, ὅτι καὶ φθείρεται, καὶ συγγεννᾷ, ὅτι καὶ αὐτὰ γίγνεται. Ἡ δὲ δύναμις ἡ ἐκεῖ μόνον τὸ εἶναι ἔχει, καὶ μόνον τὸ καλὸν εἶναι. Ποῦ

IX. Accipiamus igitur nostrum hunc mundum cogitatione sic se habentem, ut pars unaquaeque maneat quidem, quod est, sed singulae sibi invicem insint. Fingamus, inquam, in unum cuncta simul pro viribus congregata, adeo ut, quodcunque singulorum prius sese oculis offert, velut si sphaera sit exterior, continuo sequatur solis quoque spectaculum, simulque reliquarum stellarum imago, intusque videantur terra, mare, animalia omnia, velut in sphaera quadam ubique perspicua: et denique re ipsa contingat cuncta in unoquoque conspicere. Esto igitur in animo lucida quaedam imaginatio sphaerae, in se habens omnia, sive agitata, sive manentia, aut partim quidem mobilia, partim vero stabilia. Tu vero hanc *animo servans alteram praeterea finge, hinc auferendo* molem: detrahe quoque locum, simulque prorsus omnem imaginationem materiae abs te procul expelle: neque tamen interea alteram finge altera in mole minorem: tum vero deum ipsum invocans, qui eam fecit, cujus nunc habes imaginem, suppliciter, ut veniat, obsecra. Veniat ille subito, mundum ornatumque suum secum ferens una cum diis omnibus, qui in eo sunt omnes: veniat unus existens simul atque omnes: occurrat unusquisque omnes una secum ferens congredientes in unum. Ibi sane dii omnes viribus quidem inter se varii sunt, sed una illa potestate complurima omnes sunt deus unus, imo vero deus unus est omnes: neque enim unus ipse deficit, si omnes illi nascantur. Simul vero sunt cuncti, et unusquisque rursus seorsum est ab alio in statu quodam nullo modo distante, nullam subjectam sensibus formam praeferens: alioquin alius quidem alibi, alius autem alibi foret, nec unusquisque in se existeret omnis: neque rursus illorum aliquis partes alias habet aliis vel sibi ipsi: neque iterum unumquodque illic totum est potestas divisa tantaque duntaxat existens, quot partes sunt mensuratae: imo vero est universum hoc universa potestas, procedens quidem in infinitum, in infinitum vero virtute. Atqui mundus ille usque adeo ingens est, ut et partes ejus infinitae rursus evadant. Ubi enim esse quicquam dici potest, quo non ille praecurrerit? Magnus hic quoque mundus est, omnesque in eo simul potentiae sunt: sed major insuper foret, et quantus *explicari non posset, si nulla in eo corporis* foret potentia parva. Etsi magnas quispiam dixerit ignis reliquorumque corporum vires, tamen vero potentiae ignorantione videntur agere urendo, interimendo, confringendoque, et ad genituram animalium ministrando. Sed haec quidem interimunt, quoniam ipsa quoque interimuntur, et vicissim generant, quoniam generantur. Potentia vero, quae viget illic, esse solum habet, solumque esse pulchrum.

γὰρ ἂν εἴη τὸ καλὸν ἀποστερηθὲν τοῦ εἶναι; ποῦ δ' ἂν ἡ οὐσία τοῦ καλὸν εἶναι ἐστερημένη; ἐν τῷ γὰρ ἀπολειφθῆναι τοῦ καλοῦ ἐλλείπει καὶ τῇ οὐσίᾳ. Διὸ καὶ τὸ εἶναι ποθεινόν ἐστιν, ὅτι ταὐτὸν τῷ καλῷ, καὶ τὸ καλὸν ἐράσμιον, ὅτι τὸ εἶναι. Πότερον δὲ ποτέρου αἴτιον, τί χρὴ ζητεῖν, οὔσης τῆς φύσεως μιᾶς; ἥδε μὲν γὰρ ἡ ψευδὴς οὐσία δεῖται ἐπακτοῦ εἰδώλου καλοῦ, ἵνα καὶ καλὸν φαίνηται, καὶ ὅλως ᾖ· καὶ κατὰ τοσοῦτόν ἐστι, καθ' ὅσον μετείληφε κάλλους τοῦ κατὰ τὸ εἶδος, καὶ λαβοῦσα ὅσῳ ἂν λάβῃ μᾶλλον τελειοτέρα· μᾶλλον γὰρ οἰκεία ἡ καλή.

Ubi enim pulchrum esset quicquam, quod ipso esse privatum foret? Ubi rursus esse potest essentia, si pulchritudinis præsentia careat? Dum enim tollitur pulchritudo, aufertur essentia. Quapropter esse ipsum desiderabile est, quoniam idem est esse atque pulchrum: ac vicissim pulchrum est amabile, quoniam est et esse. Utrum vero utrius causa sit, non expedit indagare, cum una sit utriusque natura. Hæc igitur falsa essentia corporum indiget quadam imagine pulchri extrinsecus accedente, ut et pulchra videatur, et omnino sit aliquid. Et eatenus est, quatenus particeps facta est pulchritudinis specie ipsa constantis: et, quo plus speciosæ accipit pulchritudinis, eo perfectior: sic enim magis ei propria fit essentia pulchra et ipsa denique pulchritudo.

Una cum Jove, id est anima mundi, omnes animæ cœlestes dæmonicæque et humanæ jam purgatæ toto fruuntur mundo divino.

Etsi ibi singuli cunctas contemplantur ideas, alii tamen alias attentius et avidius, ad quas præcipue ceteras quodammodo referunt. Ipsa pulchritudo ibi potissimum est universus ille splendor ex cuncta idearum, quasi stellarum, serie micans. Tota intelligentiæ potestas, nisi ardentissimus amor accesserit, hucusque fortasse pervenit, ut pulchritudinem illam prospiciat ut externam. Accedens amor contemplantem in eam transfert, ac vicissim: usque adeo, ut contemplator amator jam se ipsum inspiciat pulchrum, imo pulchritudinem evasisse. Annuit Plotinus, quod ait Plato, philosophos cum Jove solos incedere, ab Jove missos. Ceteri enim homines singulis proprie sunt addicti: solus philosophus universum ambit, universi vero anima Jupiter.

Γ'. Διὰ τοῦτο καὶ ὁ Ζεύς, καίπερ ὢν πρεσβύτατος τῶν ἄλλων θεῶν, ὧν αὐτὸς ἡγεῖται, πρῶτος πορεύεται ἐπὶ τὴν τούτου θέαν· οἱ δὲ ἕπονται θεοὶ ἄλλοι, καὶ δαίμονες, καὶ ψυχαί, αἳ ταῦτα ὁρᾷν δύνανται. Ὁ δὲ ἐκφαίνεται αὐτοῖς ἔκ τινος ἀοράτου τόπου, καὶ ἀνατείλας ὑψοῦ ἐπ' αὐτῶν κατέλαμψε μὲν πάντα, καὶ ἔπλησεν αὐγῆς, καὶ ἐξέπληξε μὲν τοὺς κάτω, καὶ ἐστράφησαν ἰδεῖν οὐ δεδυνημένοι, οἷα ἥλιον· οἱ μὲν ὑπ' αὐτοῦ ἀνέχονταί τε καὶ βλέπουσιν, οἱ δὲ ταράττονται, ὅσῳ ἂν ἀφεστήκωσιν αὐτοῦ. Ὁρῶντες δὲ οἱ δυνηθέντες ἰδεῖν εἰς αὐτὸν μὲν πάντες βλέπουσι καὶ εἰς τὸ αὐτοῦ· οὐ ταὐτὸν δὲ ἕκαστος ἀεὶ θέαμα κομίζεται, ἀλλ' ὁ μὲν ἀτενὲς ἰδὼν ἐκλάμπουσαν εἶδε τὴν τοῦ δικαίου πηγὴν καὶ φύσιν, ἄλλος δὲ τῆς σωφροσύνης ἐπλήσθη τοῦ θεάματος, οὐχ οἵαν ἄνθρωποι παρ' αὐτοῖς, ὅταν ἔχωσι. Μιμεῖται γὰρ αὕτη ἀμηγέπη ἐκείνην, ἡ δὲ ἐπὶ πᾶσι περὶ πᾶν τὸ οἷον μέγεθος αὐτοῦ ἐπιθέουσα τελευταία ὁρᾶται οἷς πολλὰ ἤδη ὤφθη ἐναργῆ θεάματα, οἱ θεοὶ καθ' ἕνα, καὶ πᾶς ὁμοῦ, αἱ ψυχαὶ αἱ πάντα ἐκεῖ ὁρῶσαι, καὶ ἐκ τῶν πάντων γενόμεναι, ὥστε πάντα περιέχειν καὶ αὐταὶ ἐξ ἀρχῆς εἰς τέλος, καὶ εἰσὶν ἐκεῖ, καὶ ὅσον ἂν αὐτῶν πεφύκει εἶναι ἐκεῖ, πολλάκις δὲ αὐτῶν καὶ τὸ πᾶν ἐκεῖ, ὅταν μὴ ὦσι διειλημμέναι. Ταῦτα οὖν ὁρῶν ὁ Ζεύς, καὶ εἴ τις ἡμῶν αὐτῷ συνεραστής, τὸ τελευταῖον ὁρώμενον ἐπὶ πᾶσιν ὅλον τὸ κάλλος, καὶ κάλλους μετασχὼν τοῦ ἐκεῖ. Ἀποστίλβει γὰρ πάντα, καὶ πληροῖ τοὺς ἐκεῖ γενομένους, ὡς καλοὺς καὶ αὐτοὺς γενέσθαι, ὁποῖα πολλάκις ἄνθρωποι, εἰς ὑψηλοὺς ἀναβαίνοντες τόπους, τὸ ξανθὸν χρῶμα ἐχούσης τῆς γῆς τῆς ἐκεῖ, ἐπλήσθησαν ἐκείνης τῆς χρόας, ὁμοιωθέντες τῇ ἐφ' ἧς ἐβεβήκεσαν. Ἐκεῖ δὲ χρόα ἡ ἐπανθοῦσα κάλλος ἐστί, μᾶλλον δὲ πᾶν χρόα καὶ κάλλος ἐκ βάθους· οὐ γὰρ ἄλλο τὸ καλὸν ὡς ἐπανθοῦν· ἀλλὰ τοῖς μὴ ὅλον ὁρῶσιν ἡ προσβολὴ μόνη ἐνομίσθη· τοῖς δὲ διὰ παντὸς οἷον οἰνωθεῖσι καὶ πληρωθεῖσι

X. Superioribus de causis Jupiter ipse, etsi aliorum antiquissimus deorum, quos ipse ducit, primus incedit ad mundum intelligibilem contemplandum. Hunc deinde sequuntur ceteri dii, dæmones, animi, quicumque hæc cernere possunt. Divinus autem ille mundus desuper illis effulget ex occulto quodam loco, et ab excelso illis exoriens illustrat omnia numina, implens singula lumine: tum vero ad se inferiores animos excitat, qui deinceps convertuntur ad ipsum cernere non valentes ceu solem. Sed alii quidem perspiciunt erecti ab ipso, ejusque intuitum facile perferentes, alii vero turbantur, quotcumque longius ab ipsius natura distant. Cum vero, quicumque possunt, singuli videant, omnes quidem ipsum, et quod ipsius est, suspiciunt, neque tamen specimen semper idem unusquisque reportat: sed dum attenti conspiciunt, alius quidem splendentem cernit ipsius justi fontem atque naturam, alius autem abunde temperantiam intuetur, non qualem penes se homines, quando habent. Imitatur enim hæc nostra quodammodo illam: illa vero in omnibus circa omnem quasi magnitudinem ipsius se diffundens postrema discernitur, et quidem ab illis, qui spectacula jam multa perspicua perviderunt. Proinde dii cum unusquisque seorsum, tum simul cuncti conspiciunt: conspiciunt et animæ, quæ illic omnia vident, ex omnibusque tales evadunt, ut ipsæ quoque cuncta a principio ad finem usque contineant. Hæ quidem illic habitant, et quantum inest eis, quod illic naturaliter valent habitare, et sæpe totum, quod est in eis, ibidem habitat, quotiens inde minime segregantur. Hæc igitur et ipse Jupiter, et quicumque nostrûm una cum Jove hæc amat, feliciter contemplatur, postremamque omnium pulchritudinem universam ex omnibus effulgentem, et qui pulchritudinis illius est particeps. Rutilant enim illic omnia, spectatoresque illos splendore collustrant, adeo, ut ipsi quoque pulchri prorsus efficiantur: quemadmodum sæpe accidit his qui altissimos montes ascendunt, ubi flavum terra colorem habeat: colore namque illo statim inficiuntur, facti similes terræ, ad quam ascenderant. In mundo vero divino florens ille color ipsa est pulchritudo, imo vero, quicquid ibi est, totum color est et funditus pulchritudo. Non enim aliud quiddam pulchritudo illic exstat, quasi superficie florens: verum apud illos, qui non inspiciunt totum, solum, quod in superficie micat aspectui, censetur nominaturque pulchritudo. Qui vero per totum, quasi mero perfusi nectare, prorsus implen-

τοῦ νέκταρος, ἅτε δι' ὅλης τῆς ψυχῆς τοῦ κάλλους ἐλθόντος, οὐ θεαταῖς μόνον ὑπάρχει γενέσθαι. Οὐ γὰρ ἔτι τὸ μὲν ἔξω, τὸ δ' αὐτὸ θεώμενον ἔξω, ἀλλ' ἔχει τὸ ὀξέως ὁρῶν ἐν αὐτῷ τὸ ὁρώμενον, καὶ ἔχων τὰ πολλὰ ἀγνοεῖ, ὅτι ἔχει, καὶ ὡς ἔξω ὂν βλέπει, ὅτι ὡς ὁρώμενον βλέπει, καὶ ὅτι θέλει βλέπειν. Πᾶν δέ, ὅ τις ὡς θεατὸν βλέπει, ἔξω βλέπει, ἀλλὰ χρὴ εἰς αὐτὸν ἤδη μεταφέρειν, καὶ βλέπειν ὡς ἕν, καὶ βλέπειν ὡς αὐτόν, ὥσπερ εἴ τις ὑπὸ θεοῦ κατασχεθεὶς φοιβόληπτος, ἢ ὑπό τινος Μούσης, ἐν αὐτῷ ἂν ποιοῖτο τοῦ θεοῦ τὴν θέαν, εἰ δύναμιν ἔχοι ἐν αὐτῷ θεὸν βλέπειν.

tur, cum per totam animam se infuderit pulchritudo, non solum spectatores evadunt. Non enim ulterius hic quidem spectator extra est, illic vero spectaculum similiter extra: sed qui acute perspicit, rem habet in se ipso perspectam; atqui et habens saepe habere se nescit: nam qui tanquam externum aliquid aspicit, idcirco velut externum, quia tanquam visibile respicit, et quia sic videre constituit. Quicquid autem aliquis intuetur ut spectandum, extra videt; verum operae pretium est in se ipsum jam spectaculum transferre, divinum ac velut unum prorsus inspicere, et tanquam se ipsum penitus intueri: ceu si quis occupatus a deo, seu Phoebo, sive Musa potissimum aliqua raptus, in se ipso dei ipsius intuitum jam efficiat, si quidem in se ipso deum valeat intueri.

Tres gradus in contemplatione divina, ac tres ad eam praeparationes.

Deo fruiturus debet per communem dei notionem atque fidem se ipsum in primis divina quadam similitudine conformare; deinde tota ad deum cogitationis intentione contendere; tertio tota deum solum voluntate ardenter amare. Huic igitur sic affecto deus influit, ut perspicuo statim facto lumen ubique praesens. Tum vero animus occupatus deo, quamdiu adhuc deo minus est copulatus, desuper afflari et impleri se persentit et cogitat. Quando vero arctius copulatur, deum ipsum inspirantem suspicit, et qua ratione afflat, jam excogitat. Denique quando deo penitus est unitus, non ultra occupatum occupantemve discreta conditione considerat; sed actu potius simplici unum aliquid intuetur. Nec intuetur proprie, aut audit, vel simili cogitatione cognoscit; imo per sensum quemdam universum intimum occultum fruitur se ipso pariter atque deo, tanquam uno, consciusque sibi est, tunc demum se valere quam optime. Quae quidem conscientia aut non discreta quaedam perceptio est, sed ferme idem est atque haec ipsa valitudo quam optima.

ΙΑ'. Εἰ δέ τις ἡμῶν ἀδυνατῶν ἑαυτὸν ὁρᾶν, ὑπ' ἐκείνου τοῦ θεοῦ ἐπὰν καταληφθεὶς εἰς τὸ ἰδεῖν προφέρῃ τὸ θέαμα, ἑαυτὸν προφέρει, καὶ εἰκόνα αὐτοῦ καλλωπισθεῖσαν βλέπει. Ἀφεὶς δὲ τὴν εἰκόνα καίπερ καλὴν οὖσαν, εἰς ἓν αὐτῷ ἐλθών, καὶ μηκέτι σχίσας, ἓν ὁμοῦ πάντα ἐστὶ μετ' ἐκείνου τοῦ θεοῦ, ἀψοφητὶ παρόντος, καὶ ἔστι μετ' αὐτοῦ, ὅσον δύναται καὶ θέλει. Εἰ δὲ ἐπιστραφείη εἰς δύο, καθαρὸς μὲν ὤν, ἐφεξῆς ἐστιν αὐτῷ, ὥστε αὐτῷ παρεῖναι ἐκείνως πάλιν, εἰ πάλιν ἐπ' αὐτὸν στρέφοι. Ἐν δὲ τῇ ἐπιστροφῇ κέρδος τοῦτ' ἔχει· ἀρχόμενος αἰσθάνεται αὐτοῦ, ἕως ἕτερός ἐστι· δραμὼν δὲ εἰς τὸ εἴσω, ἔχει πᾶν, καὶ ἀφεὶς τὴν αἴσθησιν εἰς τοὐπίσω, τοῦ ἕτερος εἶναι φόβῳ, εἷς ἐστιν ἐκεῖ· κἂν ἐπιθυμήσῃ ὡς ἕτερον ὂν ἰδεῖν, ἔξω αὐτὸν ποιεῖ. Δεῖ δὲ καταμανθάνοντα μέν, ἔν τινι τύπῳ αὐτοῦ μένοντα, μετὰ τοῦ ζητεῖν γνωματεύειν αὐτόν· εἰς οἷον δὲ εἴσεισιν οὕτω μαθόντα καὶ πίστιν, ὡς ἐπὶ χρῆμα μακάριστον εἴσεισιν, ἤδη αὐτὸν δοῦναι εἰς τὸ εἴσω, καὶ γενέσθαι ἀντὶ ὁρῶντος ἤδη θέαμα ἑτέρου θεωμένου, οἷς ἐκεῖθεν ἥκει ἐκλάμποντα τοῖς νοήμασι. Πῶς οὖν ἔσται τις ἐν καλῷ, μὴ ὁρῶν αὐτό; ἢ ὁρῶν αὐτὸ ὡς ἕτερον οὐδέπω ἐν καλῷ, γενόμενος δὲ αὐτὸ οὕτω μάλιστα ἐν καλῷ. Εἰ οὖν ὅρασις τοῦ ἔξω, ὅρασιν μὲν οὐ δεῖ εἶναι, ἢ οὕτως, ὡς ταὐτὸν τῷ ὁρατῷ· τοῦτο δὲ οἷον σύνεσις καὶ συναίσθησις αὐτοῦ εὐλαβουμένου, μὴ τῷ μᾶλλον αἰσθάνεσθαι θέλειν ἑαυτοῦ ἀποστῆναι. Δεῖ δὲ κἀκεῖνο ἐνθυμεῖσθαι, ὡς τῶν μὲν κακῶν αἱ αἰσθήσεις τὰς πληγὰς ἔχουσι μείζους, ἥττους δὲ τὰς γνώσεις, τῇ πληγῇ ἐκκρουομένας. Νόσος γὰρ μᾶλλον ἔκπληξιν, ὑγίεια δέ, ἠρέμα συνοῦσα, μᾶλλον ἂν σύνεσιν δοίη αὐτῆς· προΐζει γὰρ ἅτε οἰκεῖον καὶ ἑνοῦται· ἡ δ' ἔστιν ἀλλότριον καὶ οὐχ οἰκεῖον, καὶ ταύτῃ διάδηλος τῷ σφόδρα ἕτερον ἡμῶν εἶναι δοκεῖν, τὰ δὲ ἡμῶν καὶ ἡμεῖς, ἀναίσθητοι. Οὕτω δ' ὄντες μάλι-

XI. Si quis vero nostrum non potens videre se ipsum ab illo deo penitus comprehensus, in aspectum spectamen sive spectaculum proferat, profert sane se ipsum, atque imaginem ipsius videt factam jam pulchriorem. Dimittens vero imaginem quamvis pulchram, et una secum conspirans in unum, nihilque ultra secernens, unum simul existit cuncta una cum illo deo, qui tacitus influit et quietus; praeterea cum ipso est, quoad potest atque vult. Si autem revertatur in duo, et interea purus sit, deinceps ipsi proximus habitat, adeo ut illo rursus modo adesse quandoque possit, si quando rursus convertatur ad ipsum. In ipsa vero conversione id lucri reportat: nempe cum primum id aggreditur, sentit se ipsum, quamdiu est alter; cum vero ad intima penetraverit, possidet universum, sensuque retro dimisso, metuens videlicet, ne fiat alter, ibi unus existit: ac si cupiat ut alterum quicquam cernere, se ipsum extra ponit. Oportet autem animum nunc ejusmodi percepturum figuram quandam illius habere, atque ita perseverare, dum perspicue ipsum nosse molitur, atque ita cognoscens, qualem quantamque rem ingrediatur, certoque confidens, se rem beatissimam intraturum, sic denique sese prorsus immergere usque adeo, ut evadat pro spectatore jam specimen alterius spectantis, iis, quae inde veniunt, notionibus abunde refulgens. Sed quonam pacto erit quispiam in ipso pulchro, nisi videat ipsum? Profecto, si videat ipsum tanquam alterum, nondum erit in pulchro: verum si pulchrum ipsum sit effectus, ita erit in pulchro potissimum. Si igitur visio ad rem spectat externam, non expedit visionem illic esse, vel ita esse, ut idem cum eo, quod videtur, existat. Id autem est velut conscientia quaedam atque consensus, caventis, ne forte, si magis persentire velit, a se ipso discedat. Neque latere nos debet malorum quidem sensus pulsationes habere majores, cognitiones vero minores, utpote quae vi quadam pulsationum excutiantur. Morbus enim vehementius pulsat et excitat; sanitas autem quietior nobiscum habitans notitiam sui exhibet pleniorem; silens profecto praesidet et tranquilla, tanquam familiaris, nobisque conspirat in unum. At morbus nihil habet domesticum, sed est penitus alienus, et propterea manifestior incidit, quia maxime diversus nobis occurrit: quae vero nostra nosque ipsi sunt, vel absque manifesto sensu nobis

στα πάντων ἐσμὲν αὐτοῖς συνετοί, τὴν ἐπιστήμην ἡμῶν καὶ ἡμᾶς ἓν πεποιηκότες· κἀκεῖ τοίνυν, ὅτε μάλιστα ἴσμεν κατὰ νοῦν, ἀγνοεῖν δοκοῦμεν, τῆς αἰσθήσεως ἀναμένοντες τὸ πάθος, ἣ φησι μὴ ἑωρακέναι· οὐ γὰρ εἶδεν, οὐδ' ἂν τὰ τοιαῦτα ποτὲ ἴδοι. Τὸ οὖν ἀπιστοῦν ἡ αἴσθησίς ἐστιν, ὁ δὲ ἄλλος ἐστὶν ὁ ἰδών· ἤ, εἰ ἀπιστοῖ, κἀκεῖνος οὐδ' ἂν αὐτὸν πιστεύσειεν εἶναι· οὐδὲ γὰρ οὐδ' αὐτὸς δύναται ἔξω θεὶς ἑαυτόν, ὡς αἰσθητὸν ὄντα, ὀφθαλμοῖς τοῖς τοῦ σώματος βλέπειν.

insunt. Sic vero nos habentes maxime omnium nobismet noti sumus : quippe cum scientiam nostram atque nos unum sic effecerimus. Igitur in mundo divino quando mente scientes summopere utimur, quodammodo ignorare videmur, sustinentes videlicet sensus passionem : qui profecto ait nequaquam vidisse : neque enim vidit, neque talia videre unquam potest. Quod ergo vidisse diffidit, sensus est : alter vero est, qui vidit. Aut si ille quoque diffidat, neque etiam se ipsum esse est crediturus. Neque enim et ipse potest, quando se ipsum extra posuerit, velut sensibilem oculis corporis se intueri.

Quicumque intellectum suum totus ingreditur, per hunc ingreditur et divinum, qui boni quidem ipsius filius est, pater autem animæ mundi.

Generatur vero intellectus a bono, et anima mundusque simul ab intellectu, non consilio deliberante, sed natura fecunda : natura vero cum in bono voluntas est, sive voluptas, tum in intellectu primo ipsa ejus intelligentia. De voluntaria creatione mundi alibi.

ΙΒ'. Ἀλλὰ εἴρηται, πῶς ὡς ἕτερος δύναται τοῦτο ποιεῖν, καὶ πῶς ὡς αὐτός, πλὴν τοῦ ἰδών· ἰδὼν δή, εἴτε ὡς ἕτερος, εἴτε ὡς μείνας αὐτός, τί ἀπαγγέλλει; ἢ θεὸν ἑωρακέναι τόκον ὠδίνοντα καλόν, καὶ πάντα δὴ ἐν αὐτῷ γεγεννηκότα, καὶ ἄλυπον ἔχοντα τὴν ὠδῖνα ἐν αὐτῷ· ἡσθεὶς γὰρ οἷς ἐγέννα, καὶ ἀγασθεὶς τῶν τόκων, κατέσχε πάντα παρ' αὐτῷ, τὴν αὑτοῦ καὶ τὴν αὐτῶν ἀγλαΐαν ἀσμενίσας· ὁ δέ, καλῶν ὄντων, καὶ καλλιόνων τῶν εἰς τὸ εἴσω μεμενηκότων, μόνος ἐκ τῶν ἄλλων Ζεὺς παῖς ἐξεφάνη εἰς τὸ ἔξω. Ἀφ' οὗ καὶ ὑστάτου παιδὸς ὄντος ἔστιν ἰδεῖν οἷον ἐξ εἰκόνος τινὸς αὐτοῦ, ὅσος ὁ πατὴρ ἐκεῖνος, καὶ οἱ μείναντες παρὰ τῷ πατρὶ ἀδελφοί. Ὁ δὲ οὔ φησι μάτην ἐλθεῖν παρὰ τοῦ πατρός· εἶναι γὰρ δὴ αὐτοῦ ἄλλον κόσμον γεγονότα καλόν, ὡς εἰκόνα καλοῦ· μηδὲ γὰρ εἶναι θεμιτόν, εἰκόνα καλὴν μὴ εἶναι μήτε καλοῦ μήτε οὐσίας· μιμεῖται δὴ τὸ ἀρχέτυπον πανταχῇ. Καὶ γὰρ ζωὴν ἔχει, καὶ τὸ τῆς οὐσίας, ὡς μίμημα, καὶ τὸ κάλλος εἶναι, ὡς ἐκεῖθεν· ἔχει δὲ καὶ τὸ ἀεὶ αὐτοῦ, ὡς εἰκών· ἢ ποτὲ μὲν ἕξει εἰκόνα, ποτὲ δὲ οὔ, οὐ τέχνῃ γενομένης τῆς εἰκόνος. Πᾶσα δὲ φύσει εἰκών ἐστιν, ὅσον ἂν τὸ ἀρχέτυπον μένῃ. Διὸ οὐκ ὀρθῶς, οἳ φθείρουσι τοῦ νοητοῦ μένοντος, καὶ γεννῶσιν οὕτως, ὡς ποτὲ βουλευσαμένου τοῦ ποιοῦντος ποιεῖν. Ὅστις γὰρ τρόπος ποιήσεως τοιαύτης, οὐκ ἐθέλουσι συνιέναι, οὐδ' ἴσασιν, ὅτι, ὅσον ἐκεῖνο ἐλλάμπει, οὐ μήποτε τὰ ἄλλα ἐλλείπῃ, ἀλλ' ἐξ οὗ ἐστι, καὶ ταῦτά ἐστιν· ἦν δ' ἀεὶ καὶ ἔσται· χρηστέον γὰρ τούτοις τοῖς ὀνόμασι τῇ τοῦ σημαίνειν ἐθέλειν ἀνάγκῃ.

XII. Dictum est autem, quomodo tanquam alter id agere possit, et quomodo tanquam idem ipse, præterquam videns. Ipse vero igitur videns sive tanquam alter, sive tanquam ipse idem manens, quidnam potissimum nuntiat? nempe se deum vidisse pulchrum filium et omnia in filio [ corr. se ipso ] generantem, conceptumque absque labore in se habentem. Deus enim delectatus his, quæ genuit, suosque partus amans, penes se ipsum cuncta continuit, cum sui ipsius, tum suorum splendore congratulans. Cum vero hæc omnia pulchra sint, et quæ intus permanent, pulchriora, solus omnium Jupiter filius foras emicuit. Ex quo etiam ultimo filio videre licet, tanquam ex quadam illius imagine, quantus sit ille pater, quantive Jovis fratres apud patrem perseverantes. Hic autem non frustra dixerit se a patre venisse. Esse namque se alterum ab eo mundum, qui pulcher sit effectus, velut pulchri ipsius imago : nefas enim esse, imaginem pulchri ipsius atque essentiæ non esse pulchram. Imitatur itaque exemplar ubique. Vitam namque habet et essentiæ donum, tanquam imitationem quandam : habet et pulchritudinem, quatenus inde prodit : habet etiam, ut sit semper tanquam æternitatis illius imago : alioquin quonam pacto alias quidem illius imaginem præferet, alias vero nequaquam? quippe cum imago ejusmodi facta non sit per artem. Imago vero omnis natura constans tam diu est, quam diu manet exemplar. Quam ob rem non recte sentiunt, qui mundum hunc interiturum putant manente divino, atque ita genitum opinantur, ut ejus auctor quandoque de mundi fabrica consultaverit. Hi sane, quisnam effectionis hujusmodi modus sit, neque intelligere volunt, neque sciunt, quatenus divinus ille lucet mundus, eatenus inde mundum hunc emicare, neque defecturum unquam, sed ex quo ille est, et reliqua insuper esse. Erat autem mundus ille semper et erit. His utique nobis interea nominibus uti licet significandi nonnihil voluntate compulsis.

Intellectus divinus, qui et Saturnus cognominatur, castrat Cœlum, id est ipsum bonum.

*Dividit enim penes se in plures formas uniforme patris donum : permanet vero in se absque motu, et a commercio corporis* segregatus : nam mundanam dispensationem molitus generationes Jovi, id est animæ mundi, concessit, cujus natura genitalis appellatur Venus. Pulchritudo mundi corporei umbra quædam est ad ipsam mundi incorporei pulchritudinem. Illa rursum mundanæ animæ pulchritudo imago quædam est ad miram primæ intelligentiæ pulchritudinem. Hæc tandem est primæ lucis splendor foras exuberans.

ΙΓ'. Ὁ οὖν θεὸς ὁ εἰς τὸ μένειν ὡσαύτως δεδεμένος, καὶ συγχωρήσας τῷ παιδὶ τοῦδε τοῦ παντὸς ἄρχειν, (οὐ γὰρ ἦν αὐτῷ πρὸς τρόπου, τὴν ἐκεῖ ἀρχὴν ἀφέντι, νεωτέραν αὑτοῦ καὶ ὑστέραν μεθέπειν, κόρον ἔχοντι τῶν καλῶν·) ταῦτ' ἀφεὶς ἔστησέ τε τὸν αὑτοῦ

XIII. Deus igitur ille Saturnus, qui ligatus fingitur, propterea quod penes se ipsum eodem semper habitu perseveret ; qui et traditur mundi hujus imperium Jovi filio concessisse, (neque ei consentaneum erat illud imperium dimittenti juniorem posterioremque se prosequi principatum : quippe cum pulchrorum omnium plenitudinem complectatur :) Saturnus, inquam, his omissis, patrem

πατέρα εἰς ἑαυτόν, καὶ μέχρις αὐτοῦ πρὸς τὸ ἄνω· ἔστησε δ' αὖ καὶ τὰ εἰς θάτερα ἀπὸ τοῦ παιδὸς ἀρξάμενα εἶναι μετ' αὐτόν, ὥστε μεταξὺ ἀμφοῖν γενέσθαι τῇ τε ἑτερότητι τῆς πρὸς τὸ ἄνω ἀποτομῆς καὶ τῷ ἀνέχοντι ἀπὸ τοῦ μετ' αὐτόν, πρὸς τὸ κάτω δεσμῷ, μεταξὺ ὢν πατρός τε ἀμείνονος καὶ ἥττονος υἱέος. Ἀλλ' ἐπειδὴ ὁ πατὴρ αὐτῷ μείζων, ἢ κατὰ κάλλος ἦν, πρώτως αὐτὸς ἔμεινε καλός, καίτοι καλῆς καὶ τῆς ψυχῆς οὔσης· ἀλλ' ἔστι καλλίων καὶ ταύτης, ὅτι ἴχνος αὐτὴ αὐτοῦ, καὶ τούτῳ ἐστὶ καλὴ μὲν τὴν φύσιν, καλλίων δέ, ὅταν ἐκεῖ βλέπῃ. Εἰ οὖν ἡ ψυχὴ ἡ τοῦ παντός, ἵνα γνωριμώτερον λέγωμεν, καὶ ἡ Ἀφροδίτη αὐτὴ καλή, τίς ἐκεῖνος; εἰ μὲν γὰρ παρ' αὑτῆς, πόσον ἂν εἴη ἐκεῖνο; εἰ δὲ παρ' ἄλλου, παρὰ τίνος ψυχὴ καὶ τὸ ἐπακτὸν καὶ τὸ συμφυὲς τῇ οὐσίᾳ αὐτῆς κάλλος ἔχει; ἐπεὶ καί, ὅταν καὶ αὐτοὶ καλοί, τῷ αὐτῶν εἶναι, αἰσχροὶ δέ, ἐπ' ἄλλην μεταβαίνοντες φύσιν· καὶ γιγνώσκοντες μὲν ἑαυτούς, καλοί, αἰσχροὶ δέ, ἀγνοοῦντες. Ἐκεῖ οὖν κἀκεῖθεν τὸ καλόν. Ἆρ' οὖν ἀρκεῖ τὰ εἰρημένα εἰς ἐναργῆ σύνεσιν ἀγαγεῖν τοῦ νοητοῦ τόπου; ἢ κατ' ἄλλην ὁδὸν πάλιν αὖ δεῖ ἐπελθεῖν ὧδε;

suum Cœlum in se ipso firmavit, et illuc usque se erexit in altum. Firmavit rursus, quæ deinceps inde sequuntur a filio jam exordium nacta post ipsum. Sic itaque tenet inter utrumque medium, cum quia alteritate quadam posteriora secat, tum quia ab inferioribus abstinet in sublime consurgens, dum fingitur ab inferiori crura vinculis cohiberi, medium certe gradum obtinens inter majorem patrem filiumque minorem. Quoniam vero Cœlus Saturni Jovisque progenitor major admodum est, quam ut esse pulchritudo dicatur, idcirco Saturnus, id est intellectus, primo pulcher exstat, quamvis anima quoque sit pulchra: ille tamen hac est pulchrior, quoniam hæc vestigium est illius, atque hoc ipso naturaliter exsistit pulchra; pulchrior autem, quando illuc intuetur. Si anima igitur universi (ut notioribus aliquando verbis utamur) et ipsa Venus pulchra est, qualisnam est intellectus? Si enim anima Venusque a se ipsa id habet, quantusnam est ille? Sin ab alio, a quonam potissimum anima cum accedentem, tum essentiæ naturaliter insitam pulchritudinem habet? Jam vero quotiens nos pulchri sumus, propterea quod nostri juris facti simus, sumus et pulchri: turpes vero, quando in naturam inferiorem præcipitamur. Atqui, cum nos ipsos agnoscimus, pulchri sumus: turpes vero, cum ignoramus. Illic ergo pulchritudo lucet, illinc emicat pulchritudo. Sed numquid hactenus dicta sufficiunt ad divinum mundum perspicue cognoscendum? An potius altera rursus ad idem via nobis sic est incedendum?

# ΕΝΝΕΑΔΟΣ Ε

## ΛΟΓΟΣ Θ

### ΠΕΡΙ ΝΟΥ, ΚΑΙ ΤΩΝ ΙΔΕΩΝ, ΚΑΙ ΤΟΥ ΟΝΤΟΣ.

# ENNEADIS QUINTÆ

## LIBER IX.

### DE INTELLECTU ET IDEIS ET ENTE.

(666,666.) [1026—1028.]

Animus divinorum contemplator jam est in patria. Activi homines et voluptuosi sunt exules : sed activi facilius, quam voluptuosi, in patriam revertuntur.

Α'. Πάντες ἄνθρωποι ἐξ ἀρχῆς γενόμενοι αἰσθήσει πρὸ νοῦ χρησάμενοι, καὶ τοῖς αἰσθητοῖς προσβαλόντες πρώτοις ἐξ ἀνάγκης, οἱ μὲν ἐνταυθοῖ καταμείναντες διέζησαν ταῦτα πρῶτα καὶ ἔσχατα νομίσαντες, καὶ τὸ ἐν αὐτοῖς λυπηρόν τε καὶ ἡδὺ, τὸ μὲν κακὸν, τὸ δὲ ἀγαθὸν ὑπολαβόντες, ἀρκεῖν ἐνόμισαν, καὶ τὸ μὲν διώκοντες, τὸ δ' ἀποικονομούμενοι διεγένοντο. Καὶ σοφίαν ταύτην οἵ γε λόγου μεταποιούμενοι αὐτῶν ἔθεντο, οἷα οἱ βαρεῖς τῶν ὀρνίθων, οἳ πολλὰ ἐκ γῆς λαβόντες καὶ βαρυνθέντες ὑψοῦ πτῆναι ἀδυνατοῦσι, καίπερ πτερὰ παρὰ τῆς φύσεως λαβόντες. Οἱ δὲ ἤρθησαν μὲν ὀλίγον ἐκ τῶν κάτω, κινοῦντος αὐτοὺς πρὸς τὸ κάλλιον ἀπὸ τοῦ ἡδέος τοῦ τῆς ψυχῆς κρείττονος. Ἀδυνατήσαντες δὲ ἰδεῖν τὸ ἄνω, ὡς οὐκ ἔχοντες ἄλλο, ὅπου στήσονται, κατηνέχθησαν σὺν τῷ τῆς ἀρετῆς ὀνόματι ἐπὶ πράξεις καὶ ἐκλογὰς τῶν κάτω, ἀφ' ὧν ἐπεχείρησαν τὸ πρῶτον αἴρεσθαι. Τρίτον δὲ γένος θείων ἀνθρώπων δυνάμει τε κρείττονι καὶ ὀξύτητι ὀμμάτων εἶδέ τε ὥσπερ ὑπὸ ὀξυδορκίας τὴν ἄνω αἴγλην, καὶ ἤρθη τε ἐκεῖ, οἷον ὑπὲρ νεφῶν καὶ τῆς ἐνταῦθα ἀχλύος, καὶ ἔμεινεν ἐκεῖ, τὰ τῇδε ὑπεριδὸν πάντα, ἡσθὲν τῷ τόπῳ ἀληθινῷ καὶ οἰκείῳ ὄντι, ὥσπερ ἐκ πολλῆς τινος πλάνης εἰς πατρίδα εὔνομον ἀφικόμενος ἄνθρωπος.

I. Cum omnes homines statim nati sensu prius, quam mente, utantur, rebusque ad sensum spectantibus necessario prius incidant affectumque applicent, alii quidem eodem in habitu perseverantes ita vitam transigunt : hæc et prima existimantes et ultima, et quod in eis molestum est, malum, quod vero jucundum, bonum esse censentes : atque ita demum satis sibi factum arbitrantur, si per omnem vitam jucunda prosequantur et contraria respuant. Proinde, quicumque inter eos rationem sibi aliquam vindicant, hanc esse judicant sapientiam : ita prorsus affecti, quemadmodum graviores aves, quæ, cum e terra multa rapuerint, quorum pondere prægraventur, per sublimia ultra volare non possunt, quamvis a natura pennas acceperint. Alii vero aliquantum ab inferioribus elevantur, quos ipsa animi natura melior a voluptate revocat ad honestum. Cum vero non possint intueri supernum, ideoque nihil aliud habeant, ubi quiescant, transferuntur una cum ipso virtutis nomine ad actiones inferiorumque delectus, a quibus attollere se ab initio conabantur. Tertium denique genus hominum est divinum, in quo quidem illi sunt, qui et majore potentia et perspicacia oculorum freti supernam lucem acute suspiciunt, ad eamque perspectam se prorsus attollunt, inferiores nebulas et caliginem transcendentes, et, cum transcenderint, ibi permanent, hæc omnia prorsus despicientes, nec aliter regione superna tanquam vera et propria delectantur, quam peregrinus post longos errores legitimæ tandem patriæ restitutus.

Quod est primo pulchrum, id pulchrum est se ipso, se toto, semper.

Non est igitur prima in corpore pulchritudo. Hoc enim non per se totum, sed per formam pulchrum, atque mutabiliter, nec rursus in anima. Nam hæc intellectuali participatione mutabiliterque fit pulchra : sed prima in intellectu primo pulchritudo est splendor quidam et figura boni. Plotinus Apostoli Joannis et Pauli mysteria sæpe tangit, mysterium tamen Trinitatis non tam assecutus videtur, quam perscrutatus et pro viribus imitatus.

Β'. Τίς οὖν οὗτος ὁ τόπος; καὶ πῶς ἄν τις εἰς αὐτὸν ἀφίκοιτο; ἀφίκοιτο μὲν ἂν ὁ φύσει ἐρωτικὸς, καὶ ὄντως τὴν διάθεσιν ἐξ ἀρχῆς φιλόσοφος. Ὠδίνων μὲν ἅτε ἐρωτικὸς περὶ τὸ καλὸν, οὐκ ἀνασχόμενος δὲ τοῦ ἐν σώματι κάλλους, ἀλλ' ἔνθεν ἀναφυγὼν ἐπὶ τὰ τῆς ψυχῆς κάλλη, ἀρετὰς καὶ ἐπιστήμας καὶ ἐπιτηδεύματα καὶ νόμους· πάλιν αὖ ἐπαναβαίνει ἐπὶ τὴν τῶν ἐν ψυχῇ καλῶν αἰτίαν, καὶ εἴ τι ἂν πάλιν αὖ πρὸ τούτου, ἕως ἐπ' ἔσχατον ἥκῃ τὸ πρῶτον, ὃ παρ' αὐτοῦ καλόν. Ἔνθα καὶ ἐλθὼν ὠδῖνος παύσεται, πρότερον δὲ οὔ. Ἀλλὰ πῶς ἀναβήσεται, καὶ πόθεν ἡ δύναμις αὐτῷ, καὶ τίς λόγος τοῦτον τὸν ἔρωτα παιδαγωγήσεται; ἢ ὧδε· τοῦτο τὸ κάλλος τὸ ἐπὶ τοῖς σώμασιν ἐπακτόν ἐστι τοῖς σώμασι· μορφαὶ γὰρ αὗται σωμάτων, ὡς ἐπὶ ὕλῃ αὐτοῖς. Μεταβάλλει γοῦν τὸ ὑποκείμενον, καὶ ἐκ καλοῦ αἰσχρὸν γίγνεται·

II. Quænam igitur hæc regio est? et quo pacto ad eam quis ascendere potest? Profecto huc ille potest ascendere, qui natura potissimum ad amandam trahitur pulchritudinem, et natus est re vera philosophus. Qui sane velut amator circa pulchrum ipsum quodam quasi partus labore vexatur, neque tamen pulchritudine corporis est contentus, sed ab hac confugit ad animi pulchritudinem, virtutes videlicet, scientias, officia, leges. Atque inde rursus ad causam ascendit eorum, quæ in anima sunt, pulchrorum : et si quid adhuc superius exstat, quousque tandem ad primum usque pervenerit, quod a se ipso sit pulchrum. Quo sane perveniens vexari jam desinit, prius vero nequaquam. Verum quonam pacto illuc ascendet, et unde facultas ejusmodi dabitur? et quænam potissimum ratio amorem hunc quasi manu perducet ad finem? Forsan ejusmodi ratio : pulchritudo hæc corporibus indita corporibus adventitia est : hæ namque formæ corporum in eis sunt ceu in materia. Subjectum igitur permutatur, et ex pulchro fit turpe :

μεθέξει ἄρα, φησὶν ὁ λόγος. Τί οὖν τὸ ποιῆσαν σῶμα καλόν; ἄλλως μὲν κάλλους παρουσία, ἄλλως δὲ ψυχή, ἣ ἔπλασέ τε, καὶ μορφὴν τοιάνδε ἐνῆκε. Τί οὖν; ψυχὴ παρ' αὑτῆς καλόν, ἢ οὔ; οὐ γὰρ ἡ μὲν ἦν φρόνιμός τε καὶ καλή, ἡ δὲ ἄφρων τε καὶ αἰσχρά. Φρονήσει ἄρα τὸ καλὸν περὶ ψυχήν. Καὶ τίς οὖν ὁ φρόνησιν δοὺς ψυχῇ; ἢ νοῦς ἐξ ἀνάγκης· νοῦς δέ, οὐ ποτὲ μὲν νοῦς, ποτὲ δὲ ἄνους, ὅ γε ἀληθινός, παρ' αὑτοῦ ἄρα καλός. Καὶ πότερον δὴ ἐνταῦθα δεῖ στῆναι, ὡς πρῶτον, ἢ καὶ νοῦ ἐπέκεινα δεῖ ἰέναι; νοῦς δὲ προέστηκε μὲν ἀρχῆς τῆς πρώτης ὡς πρὸς ἡμᾶς, ὥσπερ ἐν προθύροις τἀγαθοῦ ἀπαγγέλλων ἐν αὑτῷ τὰ πάντα, ὥσπερ ἐκείνου τύπος μᾶλλον ἐν πλήθει, ἐκείνου πάντη μένοντος ἐν ἑνί.

unde ratio corpus participatione quadam pulchrum esse convincit. Quidnam igitur illud est, quod corpus effecit pulchrum? aliter quidem id pulchrum facit praesentia pulchritudinis, aliter autem anima, quae finxit, talemque fingendo corpori formam adhibuit. Quid ergo? numquid anima suapte natura pulchrum ipsum est? minime: alioquin non alia quidem sapiens foret et pulchra, alia vero insipiens atque turpis. Per sapientiam igitur animae pulchritudo contingit. Sed quisnam est potissimum, qui tradit animae sapientiam? Ille profecto necessario est intellectus: intellectus, inquam, qui non alias quidem intellectus sit, alias vero expers intelligentiae, sed verus potius intellectus, qui hanc ob causam ex se ipso sit pulcher. Sed numquid in hoc, velut primo, nobis est quiescendum? an potius super mentem quoque progrediendum? Nempe mens ipsa nobis in altum progredientibus prior occurrit quam principium omnium primum, quasi in ipsius boni vestibulo constituta omnia in se ipsa nuntians et significans, velut quaedam ipsius boni figura in multitudinem potius distributa, cum illud prorsus in unitate consistat.

Formae, quae sunt in materia tanquam subjecto, dependent a formis, quae sunt in anima mundi velut earum fonte: atque hae rursus a formis, quae sunt in mente prima, tanquam fonte formarum animae.

Si anima suapte natura intellectualis foret, animae omnes, tunc pariter intellectuales forent: cum vero non sint ita, merito anima vel prima intellectualis evadit participatione quadam intellectus excelsioris.

III. Ἐπισκεπτέον δὲ ταύτην τὴν νοῦ φύσιν, ἣν ἐπαγγέλλεται ὁ λόγος εἶναι τὸ ὂν ὄντως καὶ τὴν ἀληθῆ οὐσίαν, πρότερον βεβαιωσαμένους, κατ' ἄλλην ὁδὸν ἰόντας, ὅτι δεῖ εἶναι τινὰ τοιαύτην. Ἴσως μὲν οὖν γελοῖον ζητεῖν, εἰ νοῦς ἐστιν ἐν τοῖς οὖσι· τάχα δ' ἄν τινες καὶ περὶ τούτου διαμφισβητοῖεν, μᾶλλον δὲ εἰ τοιοῦτος οἷον φαμέν, καὶ εἰ χωριστός τις, καὶ εἰ οὗτος τὰ ὄντα, καὶ εἰ ἡ τῶν εἰδῶν φύσις ἐνταῦθα, περὶ οὗ καὶ τὰ νῦν εἰπεῖν πρόκειται. Ὁρῶμεν δὴ τὰ λεγόμενα εἶναι πάντα σύνθετα, καὶ ἁπλοῦν αὐτῶν οὐδὲ ἕν, ἅ τε τέχνη ἐργάζεται ἕκαστα, ἅ τε συνέστηκε φύσει· τά τε γὰρ τεχνητὰ ἔχει χαλκὸν ἢ ξύλον ἢ λίθον, καὶ παρὰ τούτων οὔπω τετέλεσται, πρὶν ἂν ἡ τέχνη ἑκάστη, ἡ μὲν ἀνδριάντα, ἡ δὲ κλίνην, ἡ δὲ οἰκίαν ἐργάσηται εἴδους τοῦ παρ' αὐτῇ ἐνθέσει· καὶ μὴν καὶ τὰ φύσει συνεστῶτα, τὰ μὲν πολυσύνθετα αὐτῶν καὶ συγκρίματα καλούμενα, ἀναλύσεις εἰς τὸ ἐπὶ πᾶσι τοῖς συγκριθεῖσιν εἶδος, οἷον ἄνθρωπον εἰς ψυχὴν καὶ σῶμα, καὶ τὸ σῶμα εἰς τὰ τέσσαρα. Ἕκαστον δὲ τούτων σύνθετον εὑρὼν ἐξ ὕλης καὶ τοῦ μορφοῦντος (ὕλη γὰρ παρ' αὑτῆς ἡ τῶν στοιχείων ἄμορφος) ζητήσεις τὸ εἶδος, ὅθεν τῇ ὕλῃ· ζητήσεις δ' αὖ καὶ τὴν ψυχήν, πότερα τῶν ἁπλῶν ἤδη, ἢ ἔνι τι ἐν αὐτῇ, τὸ μὲν ὡς ὕλη, τὸ δὲ ὡς εἶδος, ὁ νοῦς ὁ ἐν αὐτῇ, ὁ μὲν ὡς ἡ ἐπὶ τῷ χαλκῷ μορφή, ὁ δὲ οἷος ὁ τὴν μορφὴν ἐν τῷ χαλκῷ ποιήσας. Τὰ αὐτὰ δὲ ταῦτα καὶ ἐπὶ τοῦ παντὸς μεταφέρων τις ἀναβήσεται καὶ ἐνταῦθα ἐπὶ νοῦν, ποιητὴν ὄντως καὶ δημιουργὸν τιθέμενος, καὶ φήσει τὸ ὑποκείμενον δεξάμενον μορφὰς τὸ μὲν πῦρ, τὸ δὲ ὕδωρ, τὸ δὲ ἀέρα καὶ γῆν γενέσθαι, τὰς δὲ μορφὰς ταύτας παρ' ἄλλου ἥκειν, τοῦτο δὲ εἶναι ψυχήν, ψυχὴν δ' αὖ καὶ ἐπὶ τοῖς τέτρασι τὴν κόσμου μορφὴν δοῦναι, ταύτῃ δὲ νοῦν χορηγὸν τῶν λόγων γεγονέναι, ὥσπερ καὶ ταῖς τῶν τεχνιτῶν ψυχαῖς παρὰ τῶν τεχνῶν τοὺς εἰς τὸ ἐνεργεῖν λόγους, νοῦν δὲ τὸν μὲν ὡς εἶδος τῆς ψυχῆς τὸν κατὰ τὴν μορφήν, τὸν δὲ τὸν τὴν μορφὴν παρέχοντα, ὡς τὸν ποιητὴν τοῦ ἀν-

Γ'. Ἀλλ' ἄρα μίαν τινὰ κατηγορίαν λεκτέον ὁμοῦ συλλαβοῦσι τὴν νοητὴν οὐσίαν, τὴν ὕλην, τὸ εἶδος, τὸ ἐξ ἀμφοῖν; οἷον εἴ τις τὸ τῶν Ἡρακλειδῶν γένος ἕν τι λέγοι, οὐχ ὡς κοινὸν κατὰ πάντων, ἀλλ' ὡς ἀφ' ἑνός. Πρώτως γὰρ ἡ οὐσία ἐκείνη, δευτέρως δὲ καὶ ἧττον καὶ τὰ ἄλλα. Ἀλλὰ τί κωλύει μίαν κατηγορίαν τὰ πάντα εἶναι; καὶ γὰρ τὰ ἄλλα πάντα ἀπὸ τῆς οὐσίας τὰ λεγόμενα εἶναι· ἢ ἐκεῖνα μὲν πάθη, αἱ δ' οὐσίαι ἐφεξῆς ἄλλως. Ἀλλὰ γὰρ καὶ οὕτως οὔπω ἔχομεν ἐπερείσασθαι τῇ οὐσίᾳ, οὐδὲ τὸ κυριώτατον λαβεῖν, ἵν' ἀπὸ τούτου καὶ τὰς ἄλλας. Συγγενεῖς μὲν δὴ οὕτως ἔστωσαν πᾶσαι αἱ λεγόμεναι οὐσίαι, ἔχουσαί τι παρὰ τὰ ἄλλα γένη. Τί ἄρα γε αὐτὸ τοῦτο τὸ τί, καὶ τὸ τόδε, καὶ τὸ ὑποκείμενον, καὶ μὴ ὑποκείμενον, μηδ' ἐν ἄλλῳ ὡς ἐν ὑποκειμένῳ, μηδ' ὅ ἐστιν ἄλλου ὄν, οἷον λευκόν, ποιότης σώματος, καὶ ποσὸν οὐσίας, καὶ χρόνος κινήσεώς τι, καὶ κίνησις τοῦ κινουμένου; ἀλλ' ἡ δευτέρα οὐσία, κατ' ἄλλου· ἢ ἄλλον τρόπον τὸ κατ' ἄλλου ἐνταῦθα, ὡς γένος ἐνυπάρχον, καὶ ἐνυπάρχον ὡς μέρος, καὶ τὸ τί ἐκείνου, τὸ δὲ λευκὸν κατ' ἄλλου, ὅτι ἐν ἄλλῳ. Ἀλλὰ ταῦτα μὲν ἴδια ἄν τις λέγοι πρὸς τὰ ἄλλα, καὶ διὰ τοῦτο εἰς ἓν οὕτω συνάγοι, καὶ οὐσίας λέγοι, ἓν δέ τι γένος οὐκ ἂν λέγοι, οὐδὲ δηλοῖ πως τὴν ἔννοιαν τῆς οὐσίας καὶ τὴν φύσιν. Καὶ ταῦτα μὲν ἐνταῦθα κείσθω· ἐπὶ τὴν τοῦ ποσοῦ δὲ ἴωμεν φύσιν.

III. Verum numquid unum quiddam prædicamentum esse dicendum est, sub quo communiter comprehendamus intelligibilem substantiam, et formam, et materiam, atque compositum? perinde ac si quis Heraclidarum genus unum aliquid dixerit, non tanquam commune quiddam sit cunctis, sed tanquam ab uno descendant. Primo namque substantia est illa : secundo vero gradu atque minus, reliqua. Verum quidnam prohibet omnia prorsus esse unum prædicamentum? Etenim et reliqua omnia, quæ esse dicuntur, a substantia esse quid prohibet? An forte reliqua quidem passiones quædam ipsius substantiæ sunt, ipsæ vero substantiæ alio quodam pacto deinceps dispositæ sunt? Sed enim nequedum hoc pacto in substantia gradum sistere possumus, neque, quod ejus potissimum sit, accipere, adeo ut ab illo substantias quoque alias capiamus. Proinde cognatæ jam quidem ita sint inter se omnes, quæ substantiæ nominantur, habentes aliquid præter reliqua genera. Quidnam igitur sibi vult hoc ipsum, quod dicitur quid atque hocce, et subjectum, et non subjectum, neque esse in alio velut subjecto, neque id ipsum, quod est, alicujus alterius ita esse, sicut albedo est corporis qualitas, et quantitas essentiæ aliquid? item motionis tempus, et motio ipsius mobilis aliquid? At vero substantia secunda de alio prædicatur. Sed forsan alio modo hoc de alio dicitur, quam reliqua soleant, videlicet tanquam genus, quod velut pars quædam insit, atque ad illius, in quo est, substantiam attineus : albedo vero sic de alio prædicatur, ut in alio jaceat. Ceterum hæc quidem propria dicet quis ad alia, ideoque ita congregabit in unum, et substantias appellabit. Unum vero quoddam genus non ita dicet, neque notionem et naturam substantiæ declarabit. Sed hæc quidem hic jam finem habeant : ad quantitatis naturam proficiscamur.

Numerus, continuum, locus, tempus, quæ Peripatetici in uno quantitatis genere collocant, non videntur habere unam naturam cunctis æque communem, sed potius in communi quadam serie deinceps disponi per gradus reductos ad quantitatem primam. Numerus quidem solus videtur esse per se quantus, ipsaque quantitas in hoc ipso unitas aditatem deinceps unum primumque definit, ad hunc comparata dimensio, quanta sit, perpenditur : ad dimensionem, locus atque corpus.

Δ'. Ἀριθμὸν δὴ πρῶτον ποσὸν λέγουσι, καὶ τὸ συνεχὲς ἅπαν μέγεθος, καὶ τόπον, καὶ χρόνον, τὰ δ' ἄλλα εἰς ταῦτα ἀναφέρουσιν, ὅσα ποσὰ λέγουσι, καὶ τὴν κίνησιν ποσὸν τῷ τὸν χρόνον, καίτοι ἴσως ἀνάπαλιν τοῦ χρόνου τὸ συνεχὲς παρὰ τῆς κινήσεως λαβόντος. Εἰ μὲν δὴ τὸ συνεχὲς ᾗ συνεχὲς ποσὸν φήσουσιν εἶναι, τὸ διωρισμένον οὐκ ἂν εἴη ποσόν· εἰ δὲ κατὰ συμβεβηκὸς τὸ συνεχές, τί κοινὸν ἀμφοτέροις ἔσται τῷ ποσοῖς εἶναι; τοῖς μὲν γὰρ ἀριθμοῖς τὸ ποσοῖς εἶναι ὑπαρχέτω· καίτοι τοῦτο τὸ λέγεσθαι ποσοῖς ὑπάρχει· οὔπω δέ, τίς ἡ φύσις, καθ' ὃ λέγεται, δηλοῦται. Ἀλλὰ γραμμή γε καὶ

IV. Numerum profecto primum quantum dicunt, et omnem continuam magnitudinem, locumque et tempus : reliqua vero, quæcunque quanta dicunt, ad hæc omnia referunt. Sic motum quantum esse aiunt, quantum et tempus, quo transigitur : quamvis fortasse vicissim videatur agendum : quippe cum tempus continuitatem a motu suscipiat. Jam vero, si continuum, qua ratione continuum est, quantum esse dixerint, sequetur, quod discretum est, non esse quantum : si autem secundum accidens continuum quantum sit, quid commune ambobus erit in hoc ipso, quod sint quanti? Numeris quidem ipsis id communiter insit, ut quanti sint : tametsi hoc ipsum, quod quanti dicantur, satis constat, nondum tamen constat, quæ potissimum sit ipsa natura, per quam quanti dicuntur : verum

ἐπίπεδον καὶ σῶμα οὐδὲ λέγεται, ἀλλὰ μεγέθη μὲν λέγεται, ποσὰ δὲ οὐ λέγεται, εἴπερ τότε προσλαμβάνει τὸ ποσὸν λέγεσθαι, ὅταν εἰς ἀριθμὸν ἀχθῇ δίπηχυ ἢ τρίπηχυ· ἐπεὶ καὶ τὸ σῶμα τὸ φυσικὸν μετρηθὲν γίγνεται ποσόν τι, καὶ ὁ τόπος κατὰ συμβεβηκὸς, οὐχ ᾗ τόπος. Δεῖ δὲ μὴ τὸ κατὰ συμβεβηκὸς ποσὸν λαμβάνειν, ἀλλὰ τὸ καθ' αὑτὸ, οἷον ποσότητα· ἐπεὶ οὐδὲ τοὺς τρεῖς βοῦς ποσὸν, ἀλλὰ τὸν ἐπ' αὐτοῖς ἀριθμόν. Βόες γὰρ τρεῖς δύο κατηγορίαι ἤδη. Οὕτως οὖν καὶ γραμμὴ τοσήδε δύο κατηγορίαι, καὶ ἐπιφάνεια τοσήδε δύο, καὶ ἡ ποσότης μὲν αὐτῆς ποσὸν, αὐτὴ δὲ ἡ ἐπιφάνεια διὰ τί ποσόν; περατωθεῖσα γοῦν οἷον τρισὶ γραμμαῖς ἢ τέσσαρσι λέγεται εἶναι ποσόν. Τί οὖν, μόνον τοὺς ἀριθμοὺς φήσομεν ποσόν; ἀλλ' εἰ μὲν τοὺς καθ' αὑτοὺς ἀριθμοὺς, οὐσίαι λέγονται οὗτοι, καὶ μάλιστα τῷ καθ' αὑτοὺς εἶναι. Εἰ δὲ τοὺς ἐν τοῖς μετέχουσιν αὐτῶν, καθ' οὓς ἀριθμοῦμεν, οὐ μονάδας, ἀλλὰ ἵππους δέκα καὶ βοῦς δέκα, πρῶτον μὲν ἄτοπον δόξει εἶναι, εἰ ἐκεῖνοι οὐσίαι, μὴ καὶ τούτους· ἔπειτα δὲ, εἰ μετροῦντες τὰ ὑποκείμενα ἐνυπάρχουσιν ἐν αὐτοῖς, ἀλλὰ μὴ ἔξω ὄντες, ὥσπερ οἱ κανόνες καὶ τὰ μέτρα μετροῦσιν. Ἀλλ' εἰ ἐφ' ἑαυτῶν ὄντες λαμβάνονται εἰς τὸ μετρεῖν, καὶ μὴ ἐν τοῖς ὑποκειμένοις, οὔτε ἐκεῖνα ποσὰ τὰ ὑποκείμενα, μὴ μετέχοντα ποσότητος. Αὐτοί τε διὰ τί ποσόν; μέτρα γάρ. Τὰ δὲ μέτρα διὰ τί ποσὰ ἢ ποσότης; ἢ ὅτι ἐν τοῖς οὖσιν ὄντες, εἰ μηδεμιᾷ τῶν ἄλλων ἁρμόττουσι, τοῦτο, ὃ λέγονται, ἔσονται, καὶ ἐν τῇ λεγομένῃ ποσότητι κείσονται. Καὶ γὰρ ἡ μονὰς αὐτῶν ὁρίζει ἓν, εἶτ' ἔπεισι καὶ ἐπ' ἄλλο, καὶ ὁ ἀριθμὸς ὅσα μηνύει, καὶ μετρεῖ τὸ πλῆθος ἡ ψυχὴ προσχρωμένη. Μετροῦσα οὖν οὐ τὸ τί ἐστι μετρεῖ, ἓν γὰρ λέγει καὶ δύο, κἂν ὁποιαοῦν καὶ ἐναντία ᾖ, ἀλλ' οὐδὲ ἥντινα διάθεσιν ἔχει, οἷον θερμὸν, ἢ καλὸν, ἀλλ' ὅσα τοῦ ποσοῦ. Ἆρα εἴτε καθ' αὑτὸ, εἴτ' ἐν τοῖς μετέχουσι θεωροῖτο αὐτὸς, οὐ τὰ μετέχοντα, οὐ τὸ τρίπηχυ τοίνυν, ἀλλὰ τὰ τρία. Διὰ τί οὖν καὶ τὰ μεγέθη; ἆρα ὅτι ἐγγὺς τοῦ ποσοῦ, καὶ οἷς ἂν ἐγγίγνηται, ποσὰ αὐτὰ λέγομεν, οὐ τῷ κυρίως ποσῷ, ἀλλὰ μέγα λέγομεν, ὥσπερ πολλοῦ μετέχον ἀριθμοῦ, καὶ μικρὸν, ὅτι ὀλίγου; Ἀλλὰ τὸ μέγα αὐτὸ καὶ τὸ μικρὸν οὐκ ἀξιοῦται ποσὰ εἶναι, ἀλλὰ πρός τι· ἀλλ' ὅμως πρός τι λέγουσι, καθ' ὅσον ποσὰ δοκεῖ εἶναι. Σκεπτέον δὲ ἀκριβέστερον. Ἔσται τοίνυν οὐχ ἕν τι γένος ἄλλο ἀριθμὸς μόνος, τὰ δὲ δευτέρως· οὐ κυρίως τοίνυν ἓν γένος, ἀλλὰ κατηγορία μία, συνάγουσα καὶ τὰ ἐγγὺς πρὸς τὰ πρώτως καὶ δευτέρως. Ἡμῖν δὲ ζητητέον, πῶς οἱ καθ' αὑτοὺς ἀριθμοὶ οὐσίαι, ἢ καὶ αὐτοὶ ποσόν τι· ὁποτέρως δ' ἂν ἔχωσιν, οὐκ ἂν κοινόν τι ἔχοιεν πρὸς τούτους ἐκεῖνοι, ἀλλ' ἢ ὄνομα μόνον.

lineæ et superficies et corpus non ita dicuntur, sed magnitudines dicuntur quidem, quanta vero nequaquam. Siquidem tunc demum assequuntur, ut quanta dicantur, quando ad numerum rediguntur, per quem bicubitum tricubitumve perpenditur: quoniam et corpus naturale, cum redigitur ad mensuram, quantum quiddam jam evadit, atque locus per accidens, non qua locus, est quantus. Oportet autem non secundum accidens quantum accipere, sed quod quantum sit per se ipsum, ipsam scilicet quantitatem. Quoniam neque tres boves velut quantum admittere decet, sed ipsum, qui in eis est, numerum. Boves enim tres duo prædicamenta jam sunt. Sic et linea tanta prædicamenta duo. Tanta quinetiam superficies similiter duo quædam prædicamenta, et quantitas quidem superficiei, ipsum quantum est: ipsa vero superficies curnam sit quantum? Quam ob rem, cum jam determinata est velut tribus lineis aut quatuor, quantum esse censetur. Quid ergo? solosne numeros esse quantum ipsum asseverabimus? Verum, si numeros seorsum per se existentes ad id admittimus, hi certe substantiæ judicantur: præsertim quia secundum se ipsos existant. Si autem numeros acceperimus, qui suis participantibus insunt, secundum quos numeramus, non quidem unitates, sed decem equos, decemque boves: primo quidem absurdum esse videbitur, si illi substantiæ sunt, non hos quoque substantias esse: deinde rursus absurdum, si, metientes subjecta, eis insint, neque extra sic existant, dum metiuntur, quemadmodum regulæ quædam atque mensuræ, quando metiri videntur. At si, in se ipsis interim existentes, ad metiendum accipiantur, neque tanquam subjectis alicubi inhærentes, nimirum neque illa sunt quanta, quæ subjecta sunt, cum per se non participent quantitatem. Ipsi vero curnam quantum esse censentur? mensuræ enim sunt. Mensuræ vero cur quanta sunt, vel quantitas? An forsan, quia, in rerum ordine existentes, etiamsi nulli aliorum naturæ accommodentur, hoc ipsum tamen, quod dicuntur, erunt, atque in ea, quæ quantitas dicitur, locabuntur? Etenim unitas ipsa eorum determinat unum: deinde se confert ad aliud, et numerus, quanta sint, ibi designat, et anima utens numero multitudinem ipsa metitur. Dum ergo metitur, non, quid sit unumquodque, mensurat: unum namque dicit et duo, qualiacumque sint illa, etiam si contraria sint: neque rursus, qualem res quæque affectionem habeat, velut num calida pulchrave sit; sed quoad quantum proprie spectat. Quam ob rem, sive secundum se ipsum, sive in participantibus numerus assumatur, non participantia quantum sunt, sed ipse. Neque igitur tricubitum erit quantum, sed tria potius hoc ipsum erunt. Si ita est, curnam magnitudines quoque quanta dicuntur? An forte, quia ipsi quanto sunt proxima, et, quibuscumque adsunt, ea quanta dicimus? tametsi non ipso principali quanto sic illa perpendimus. Sed magnum quidem dicimus, tanquam multi numeri particeps: parvum vero, quoniam pauci sit particeps numeri. Veruntamen magnum ipsum atque parvum non censentur esse quanta proprie, sed ad aliquid: sed tamen ad aliquid sunt, quatenus quanta esse videntur. Considerandum vero est de his insuper diligentius. Non igitur erit unum aliquod genus aliud solus numerus: hæc autem secundo loco. Non ergo principaliter genus unum, sed unum prædicamentum, congregans quoque propinqua inter se quodammodo, et quæ primo et quæ secundo loco se habent. Nobis autem investigandum est, quomodo numeri, qui secundum se ipsos existunt, substantiæ sint: an forte et ipsi quantum quiddam sint. Utro autem modo se habeant, non unum aliquid commune illi cum his habebunt, nisi forte duntaxat nomen.

Ipsa quantitas est, quæ non per aliud quanta fit, sed per quam cetera fiunt quanta. Sermo igitur et motus et tempus cum id numeris non habeant, non sunt quantitas, nec etiam in sua formali ratione quantitatem includunt, quamvis quantitatis participia fiant.

Ε'. Ὁ δὲ λόγος καὶ ὁ χρόνος καὶ ἡ κίνησις, πῶς; πρῶτον δὲ περὶ τοῦ λόγου, εἰ βούλει· μετρεῖται μὲν

V. Proinde sermo, et tempus, et motus quomodo se habent ad quantum? Primum vero de sermone, si placet,

γάρ. Ἀλλὰ λόγος ὢν τοσόνδε ἐστίν· ᾗ δὲ λόγος, οὐ ποσόν· σημαντικὸν γάρ, ὥσπερ τὸ ὄνομα καὶ τὸ ῥῆμα· ὕλη δ' αὐτοῦ ὁ ἀήρ, ὥσπερ καὶ τούτων, καὶ γὰρ σύγκειται ἐξ αὐτῶν. Ἡ δὲ πληγὴ μᾶλλον ὁ λόγος, καὶ οὐχ ἡ πληγὴ ἁπλῶς, ἀλλ' ἡ τύπωσις ἡ γιγνομένη, ὥσπερ μορφοῦσα· μᾶλλον οὖν ποίησις, καὶ ποίησις σημαντική. Τὴν δὴ κίνησιν ταύτην καὶ τὴν πληγὴν ποίησιν μᾶλλον ἂν εὐλόγως τις θεῖτο, τὴν δὲ ἀντικειμένως, πάθος, ἢ ἑκάστην ἄλλου μὲν ποίησιν, ἄλλου δὲ πάθος, ἢ ποίησιν εἰς τὸ ὑποκείμενον, πάθημα δ' ἐν τῷ ὑποκειμένῳ. Εἰ δὲ μὴ κατὰ τὴν πληγὴν ἡ φωνή, ἀλλὰ κατὰ τὸν ἀέρα, δύο ἂν εἴη καὶ οὐ μία ἡ κατηγορία ἐκ τῆς σημαντικῆς εἰς συσσημαντικὸν ἐκείνης τῆς κατηγορίας. Ὁ δὲ χρόνος εἰ μὲν κατὰ τὸ μετροῦν λαμβάνοιτο, τί ποτε τὸ μετροῦν ληπτέον; ἢ γὰρ ψυχὴ ἢ τὸ νῦν. Εἰ δὲ κατὰ τὸ μετρούμενον, κατὰ μὲν τὸ τοσόνδε εἶναι, οἷον ἐνιαύσιος, ἔστω ποσόν, κατὰ μέντοι τὸ χρόνος εἶναι, φύσις τις ἄλλη. Τὸ γὰρ τοσόνδε ἄλλο ὂν τοσόνδε ἐστίν· οὐ γὰρ δὴ ποσότης ὁ χρόνος, ἡ δὲ ποσότης οὐκ ἐφαπτομένη ἄλλου· αὐτὸ τοῦτο ἂν εἴη τὸ κυρίως ποσόν. Εἰ δὲ τὰ μετέχοντα πάντα τοῦ ποσοῦ ποσὰ θεῖτο, καὶ ἡ οὐσία ἔσται τὸ αὐτὸ καὶ ποσόν. Τὸ δὲ ἴσον καὶ ἄνισον ἴδιον εἶναι τοῦ ποσοῦ ἐπ' αὐτοῦ ληπτέον, οὐ τῶν μετεχόντων, ἀλλ' ἢ κατὰ συμβεβηκός, οὐχ ᾗ αὐτὰ ἐκεῖνα, ὥσπερ ὁ τρίπηχυς ποσός· συνηρημένος καὶ οὗτος οὐκ εἰς γένος ἕν, ἀλλ' ὑφ' ἓν καὶ μίαν κατηγορίαν.

*interrogemus: mensuratur enim.* At sermo quidem existens tantus est: sed qua ratione sermo est, non est quantum: vim namque significandi habet sicut nomen atque verbum. Materia vero ejus est aer, sicut nominis atque verbi, ex quibus sermo componitur. At verberatio ipsa potius sermo est, neque simpliciter verberatio, sed figuratio quædam facta velut formans: actio itaque potius, actio, inquam, significatrix. Motionem utique verberationemque hujusmodi rectius aliquis actionem asseverabit: opposito vero se modo habentem esse asseret passionem, vel unamquamque dicet alterius quidem actionem, alterius vero potius passionem: aut actionem in subjectum, passionem denique in subjecto. Si autem non secundum verberationem vox, sed secundum aerem videatur accipienda, duo jam erunt, neque unum prædicamentum, aliquid scilicet ex significante verberatione collectum consignificans illud prædicamentum. Post hæc tempus si secundum ipsum mensurans accipiatur, quærendum erit, quid putandum sit esse mensurans: aut enim animus, aut momentum hic mihi videtur. Si autem tempus secundum ipsum mensuratum accipiatur, esto quantum ipsum, qua ratione proprie tantum est, velut annuum: sed qua tempus est, natura quædam est diversa. Quod enim tantum est, aliud quidem existens, est interea tantum: non enim tempus est quantitas. Quantitas autem, etiamsi non attingat aliud, hoc tamen ipso, quod est simpliciter, est præcipue quantum. Si quis autem, quæcunque quanti participia sunt, quanta proprie asserat, sequetur statim, substantiam et quantum idem prorsus existere. Præterea, quod dicitur æquale et inæquale proprium esse quanti, in hoc ipso proprie accipiendum est, non tamen *in iis, quæ participant, nisi forte per accidens quispiam* id adsumpserit, videlicet non qua ratione illa ipsa sunt: quemadmodum tricubitum quantum dicitur quasi collectum, neque tamen in genus unum, sed in aliud quiddam unum, atque unum quoddam prædicamentum.

Ambigit contra Peripateticos: utrum omnia, quæ ipsi collocant in prædicamento relationis, in una natura generica univocaque conveniant.

Ait in nonnullis, quæ invicem relativa dicuntur, præter ipsa subjecta fieri inter se aliquid aliud, scilicet actum motumque aliquem, ut, inter scientem et scitum, agens et patiens. In plerisque vero videri nihil ultra subjecta aliud fieri vel existere, præter cogitationem nostram illa invicem comparantem, ut simile ad simile, æquale ad æquale. Denique non putat, relativa hæc et illa, atque ipsa simpliciter relativa in eadem natura congruere

Ϛʹ. Τὸ δὲ πρός τι οὕτως ἐπισκεπτέον. Εἴ τις κοινότης γενικὴ ἐν αὐτῷ ὑπάρχει, ἢ ἄλλον τρόπον εἰς ἕν, καὶ μάλιστα ἐπὶ τούτου, εἰ ὑπόστασίς τις ἡ σχέσις ἐστὶν αὕτη, ὥσπερ ὁ δεξιὸς καὶ ὁ ἀριστερὸς καὶ τὸ διπλάσιον καὶ τὸ ἥμισυ, ἢ ἐπὶ μὲν τῶν ἔστιν ὥσπερ ἐπὶ τοῦ ὕστερον λεχθέντος, ἐπὶ δὲ τοῦ πρότερον λεχθέντος οὐδὲ μία, ἢ οὐδαμοῦ τοῦτο. Τί δὴ ἐπὶ διπλασίου καὶ ἡμίσεος, καὶ ὅλως ὑπερέχοντος καὶ ὑπερεχομένου, καὶ αὖ ἕξεως καὶ διαθέσεως, ἀνακλίσεως, καθίσεως, στάσεως, καὶ αὖ πατρός, υἱέος, δεσπότου, δούλου, καὶ πάλιν ὁμοίου, ἀνομοίου, ἴσου, ἀνίσου, ποιητικοῦ τε αὖ καὶ παθητικοῦ, καὶ μέτρου, καὶ μετρουμένου; καὶ ἐπιστήμη, καὶ αἴσθησις, ἡ μὲν πρὸς ἐπιστητόν, ἡ δὲ πρὸς αἰσθητόν. Ἡ μὲν γὰρ ἐπιστήμη ἔχοι ἂν πρὸς ἐπιστητὸν μίαν τινὰ κατ' ἐνέργειαν ὑπόστασιν πρὸς τὸ τοῦ ἐπιστητοῦ εἶδος, καὶ ἡ αἴσθησις πρὸς αἰσθητὸν ὡσαύτως, τό τε ποιητικὸν πρὸς τὸ παθητικόν, κἂν ἔργον ἓν ἀπεργάσαιτο, καὶ τὸ μέτρον πρὸς τὸ μετρούμενον τὴν μέτρησιν. Ὅμοιον δὲ πρὸς ὅμοιον τί ἂν ἔχοι ἀπογεννώμενον; ἢ οὐκ ἀπογεννώμενον, ἀλλὰ ὑπάρχον, τὴν ταυτότητα τὴν ἐν τῷ ποιῷ. Ἀλλὰ παρὰ τὸ ἐν ἑκατέρῳ ποιὸν οὐδέν, οὐδὲ τὰ ἴσα· τὸ γὰρ ταὐτὸν

VI. Post hæc autem de prædicamento relationis videtur considerandum. Si qua videlicet communio generica sit in ipso, vel alio quodam pacto ad unum quiddam communio redigens: et de hoc ipso in primis, utrum hæc ipsa propria sit subsistentia sive habitudo quædam, quemadmodum dexter atque sinister, et duplum atque dimidium: vel in quibusdam quidem hæc ipsa sit, sicut in eo, quod posterius modo dicebam: in eo autem, quod dicebam prius, nulla prorsus existat, vel potius existat nusquam. Quid enim existit in duplo atque dimidio? item in superante atque superato? rursus in habitu, dispositione, accubitu, sessione, patre quoque et filio, domino, servo: simili rursus atque dissimili, æquali inæquali, agente patiente, mensura mensurato, scientia denique atque sensu? Scientia enim ad ipsum, quod sciendum est, dicitur; similiter sensus ad sentiendum: nempe scientia quidem habere potest ad ipsum, quod scibile dicitur, unam quandam subsistentiam secundum actum erga ipsam rei sciendæ speciem, sensus quoque similiter ad sensibile. Præterea quod activum dicitur ad passivum, sic ferme se habet, et opus unum efficere potest, et mensura ad mensuratum mensurationem agit. Simile vero adversus simile quidnam habet tunc affectum? An forte non habet, quod tunc fiat, sed quod jam existat, ipsam videlicet in qualitate identitatem? Verumtamen, præter qualitatem in utroque jacentem, nihil adhibet similiter nec æqualia. Identitas enim

ἐν τῷ ποσῷ προϋπάρχει πρὸ τῆς σχέσεως· ἡ δὲ σχέσις τί ἄλλο, ἢ ἡμετέρα κρίσις, παραβαλλόντων τὰ ἐφ' ἑαυτῶν ὄντα, ἅ ἐστι, καὶ λεγόντων, Τοῦτο καὶ τοῦτο τὸ αὐτὸ μέγεθος ἔχει καὶ τὴν αὐτὴν ποιότητα, καὶ Οὗτος πεποίηκε τοῦτον, καὶ οὗτος κρατεῖ τούτου. Κάθισίς τε καὶ στάσις παρὰ τὸ καθήμενον καὶ ἑστηκὸς τί ἂν εἴη; ἡ δὲ ἕξις καὶ διάθεσις ἡ μὲν κατὰ τὸ ἔχον λεγομένη, ἔχειν ἂν μᾶλλον σημαίνοι, ἡ δὲ κατὰ τὸ ἐχόμενον ποιόν ἂν εἴη· καὶ ἐπὶ διαθέσεως ὡσαύτως. Τί οὖν ἂν εἴη παρὰ ταῦτα τὰ πρὸς ἄλληλα, ἢ ἡμῶν τὴν παράθεσιν νοούντων; τὸ δ' ὑπερέχον τὸ μὲν τοσόνδε μέγεθος, τὸ δὲ τοσόνδε· ἄλλο δὲ τόδε, τὸ δὲ ἄλλο· ἡ δὲ παραβολὴ παρ' ἡμῶν, οὐκ ἐν αὐτοῖς· ὁ δὲ δεξιὸς πρὸς ἀριστερὸν, καὶ ἔμπροσθεν, καὶ ὄπισθεν, μᾶλλον ἂν ἴσως ἐν τῷ κεῖσθαι, ὁ μὲν ὡδὶ, ὁ δὲ ὡδί. Ἡμεῖς δὲ τὸ δεξιὸν καὶ τὸ ἀριστερὸν ἐνοήσαμεν, ἐν δὲ αὐτοῖς οὐδέν. Τό τε πρότερον καὶ ὕστερον χρόνοι δύο· τὸ δὲ πρότερον καὶ ὕστερον ἡμεῖς ὡσαύτως.

in ipso quanto mutuam habitudinem antecedit: habitudo vero quidnam aliud est, præter animi nostri judicium? dum videlicet comparamus, quæ in se ipsis existunt id, quod sunt, dicimusque, Hoc atque hoc magnitudinem eandem habent, eandemque qualitatem: item Ille progenuit illum, hic superat illum. Sessio quoque et status præter ipsum sedentem, atque stantem quidnam aliud habet? Habitus autem, qui secundum id, quod habet, dicitur, habere ipsum potius videtur significare: qui autem secundum id, quod habetur, quale quiddam potius est dicendum. Eadem de dispositione ratio est. Quidnam igitur præter hæc erunt, quæ invicem referuntur? quid ultra comparationem quandam nostra intelligentia factam? Præterea, quando superans refertur ad superatum, hæc quidem tanta magnitudo est, illa vero tanta. At hoc aliud, illud vero aliud: sed comparatio apud nos est, nec est in eis. Item ubi dexter ad sinistrum, et anterior ad posteriorem, præstat forsan hæc in situ quodam consistere, prout ille quidem hic est, ille vero ibi. Nos autem dextrum et sinistrum excogitavimus: at in ipsis est nihil. Item, quod prius dicitur et posterius, revera duo sunt tempora: sed quod prius et posterius nominatur, item in nostro est judicio positum.

Concedit tandem in omnibus, quæ invicem relative dicuntur, esse veram aliquam et mutuam habitudinem, et præter nostræ comparationis affectum, quamvis alicubi sit firmior, infirmior alibi. Sed valde obscurum esse dicit, quidnam sit hæc habitudo communis, et naturam univocam esse difficili.

Concedit, relationem esse proprie nonnihil, cujus existentia, si qua est, in ipsa mutua rerum habitudine consistat, ut in habitudine bicubiti ad cubitale consistit relatio dupli ad dimidium, et vicissim.

Ζ'. Εἰ μὲν οὖν οὐδὲν λέγομεν, ἀλλὰ λέγοντες ψευδόμεθα, οὐδὲν ἂν εἴη τούτων, ἀλλὰ κενὸν ἡ σχέσις· εἰ δ' ἀληθεύομεν λέγοντες πρότερος ὅδε τοῦδε, ὁ δ' ὕστερος, χρόνους δύο παραβάλλοντες, ἕτερα παρὰ τὰ ὑποκείμενα αὐτῶν λέγοντες τὸ πρότερον, καὶ ἐπὶ δεξιοῦ καὶ ἐπὶ ἀριστεροῦ ὡσαύτως, καὶ ἐπὶ μεγεθῶν παρὰ τὸ ποσὸν αὐτῶν τὴν σχέσιν, καθὸ τὸ μὲν ὑπερβάλλει, τὸ δ' ὑπερβάλλεται. Εἰ δὲ καὶ μὴ λεγόντων ἡμῶν μηδὲ νοούντων ἔστιν οὕτως, ὥστε διπλάσιον εἶναι τόδε τοῦδε, καὶ ἔχει, τὸ δ' ἔχεται, καὶ πρὶν ἡμᾶς ἐπιστῆσαι, καὶ ἴσα πρὸ ἡμῶν πρὸς ἄλληλα, καὶ ἐπὶ τοῦ ποιὰ εἶναι ἔστιν ἐν ταὐτότητι τῇ πρὸς ἄλληλα, καὶ ἐπὶ πάντων, ὧν λέγομεν πρός τι, μετὰ τὰ ὑποκείμενα, ἔστι πρὸς ἄλληλα ἡ σχέσις· ἡμεῖς δὲ οὖσαν θεωροῦμεν, καὶ ἡ γνῶσις πρὸς τὸ γινωσκόμενον, οὗ δὴ καὶ φανερώτερον τὸ τῆς ὑποστάσεως, τὸ ἐκ τῆς σχέσεως· παυστέον μὲν τὸ ζητεῖν εἰ ἔστι σχέσις· ἐπισημηναμένους δὲ, ὅτι τῶν τοιούτων ἐπὶ μὲν τῶν, ἕως μένει τὰ ὑποκείμενα, ὅπως εἶχε, κἂν χωρὶς γένηται, ὑπάρχει ἡ σχέσις· ἐπὶ δὲ τῶν, ὅταν συνέλθῃ, γίγνεται· ἐπὶ δὲ τῶν καὶ μενόντων παύεται ἡ σχέσις ἢ ὅλως, ἢ ἄλλη γίγνεται, οἷον ἐπὶ δεξιοῦ καὶ πλησίον, ἐξ ὧν καὶ μάλιστα ἡ ὑπόνοια τοῦ μηδὲν εἶναι ἐν τοῖς τοιούτοις. Τοῦτο οὖν ἐπισημηναμένους χρὴ ζητεῖν τί ταὐτὸν ἐν πᾶσι, καὶ εἰ ὡς γένος, ἀλλὰ μὴ συμβεβηκός· εἶτα, εὑρεθὲν τὸ ταὐτὸν ποίαν ὑπόστασιν ἔχει. Λεκτέον δὴ τὸ πρός τι, οὐχ εἴ τι ἁπλῶς ἑτέρου λέγεται, οἷον ἕξις ψυχῆς ἢ σώματος, οὐδ' ὅτι ψυχὴ τοῦδέ ἐστιν, ἢ ἐν ἑτέρῳ, ἀλλ' οἷς ἡ ὑπόστασις οὐδαμόθεν ἢ ἐκ τῆς σχέσεως παραγίνεται· ὑπόστασις δὲ οὐχ ἡ τῶν ὑποκειμένων, ἀλλ' ἣ πρός τι λέγεται, οἷον τὸ διπλάσιον πρὸς ἥμισυ τὴν ὑπόστασιν δίδωσιν,

VII. Si igitur nihil dicimus, sed dicendo mentimur, nihil utique horum erit, sed habitudo vanum quiddam: sin autem vera loquimur, quando dicimus, Ille prior est illo, ille vero posterior, duo inter se tempora comparantes, aliud quiddam, præter subjecta, intelligimus esse ipsum prius ac posterius. Similiter de dextro atque sinistro, et circa magnitudines præter ipsum earum quantum habitudinem quandam esse volumus, quatenus hoc quidem superat, superatur illud. Jam vero si nobis etiam nihil dicentibus, nihil intelligentibus, ita se res habet, ut hoc duplum sit ad illud, hoc habeat, illud habeatur, antequam nos id advertamus, et æqualia inter se sint ante cognitionem nostram, et quantum ad qualitatem spectat, mutuam unionem habeant, et in omnibus, quæ ad aliquid referri dicimus, præter subjecta mutua quædam habitudo constat, quam nos jam existentem animadvertimus, similiterque se habeat cognitio ad rem cognoscendam: quæ quidem in re etiam manifestius est, esse quandam ex habitudine subsistentiam: si hæc, inquam, ita se habent, non est ulterius inquirendum, utrum in his habitudo quædam existat nec ne: sed concedendum ex talium numero, in aliis quidem, quamdiu manent subjecta, in se ipsis, quomodo se habebant, quamvis inter se interim separentur, habitudinem ipsam perseverare: in aliis autem, quando congrediuntur, habitudinem fieri: in aliis iterum etiam manentibus desinere habitudinem vel omnino, vel aliam fieri: quemadmodum in dextro accidit [et sinistro], atque propinquo: ex quibus potissimum orta suspicio est, in talibus nihil existere. Hoc itaque concesso perscrutandum est, quidnam sit in omnibus idem, et numquid sit ibi commune ipsum tanquam genus, non autem accidens. Deinde, postquam in his idem aliquid inventum fuerit, indagandum est, quam habeat subsistentiam. Jam vero dicendum est aliquid relativum (quod et ad aliquid nominatur), non si simpliciter dicatur alterius, velut aliquis animæ vel corporis habitus, neque perinde atque ex eo, quod anima alicujus sit, vel in aliquo: sed illa proprie dicenda sunt talia, quibus subsistentia sua non aliunde, quam ex habitudine, nascitur. Subsistentiam vero hanc dico, non quæ subjectorum sit, sed quæ ad aliquid proprie dicitur: quemadmodum duplum ad dimidium subsistentiam tradit, neque tamen bicubito vel omnino duobus, neque cubitali,

οὔτε τῷ διπήχει, ἢ ὅλως δυσὶν, οὔτε τῷ πηχυαίῳ, ἢ ὅλως ἑνί. Ἀλλὰ τούτων ὄντων κατὰ τὴν σχέσιν αὐτῶν πρὸς τὸ δύο, τὸ δὲ ἓν εἶναι, ἔσχε τὸ μὲν διπλάσιον λέγεσθαί τε καὶ εἶναι, τὸ δὲ ἓν ἥμισυ ἔσχεν αὐτό· συνεγέννησεν οὖν ἄμφω ἐξ αὐτῶν ἄλλο εἶναι διπλάσιον καὶ ἥμισυ, ἃ πρὸς ἄλληλα ἐγεννήθη, καὶ τὸ εἶναι οὐκ ἄλλο τι, ἢ τὸ ἀλλήλοις εἶναι· τῷ μὲν διπλασίῳ παρὰ τοῦ ὑπερέχειν τὸ ἥμισυ, τῷ δὲ ἡμίσει παρὰ τοῦ ὑπερέχεσθαι. Ὥστε οὐκ ἔστι τὸ μὲν αὐτῶν πρότερον, τὸ δὲ ὕστερον, ἀλλ' ἅμα ὑφίσταται· εἰ δὲ καὶ ἅμα μένει, ἢ ἐπὶ πατρὸς καὶ υἱοῦ καὶ τῶν παραπλησίων πατρὸς ἀπελθόντος υἱός ἐστι, καὶ ἀδελφοῦ, ἀδελφὸς, ἐπεὶ καὶ τὸ ὅμοιος οὗτος τῷ τεθνηκότι λέγομεν.

vel prorsus uni: sed his existentibus, illico secundum eorum habitudinem, præter id, quod hoc quidem est duo, illud autem unum, ipsum quidem duo, consequitur, ut duplum dicatur et sit, ipsum vero unum assequitur, ut dimidium sit vicissim, atque dicatur. Ambo igitur una conficiunt, ex se ipsis aliud esse duplum atque dimidium: quæ quidem ad se invicem facta sunt, eorumque esse nihil aliud est, quam ad se invicem esse. Duplo quidem esse inest, ex eo, quod excedat dimidium: dimidio autem, ex eo, quod excedatur. Quapropter non est aliud quidem illorum prius, aliud vero posterius, sed ambo simul subsistunt. Quæri præterea posset, numquid et reliqua simul exsistant, an quædam potius non simul sint, sicut de patre filioque accidit atque similibus. Nam postquam decessit pater, filius superest: et obeunte fratre, restat frater: quandoquidem etiam solemus dicere, hunc aut illum similem esse defuncto.

Communis descriptio relationis est mutua duorum habitudo. Sed hæc in differentiis relativis tam diversa est, ut non sit univoca. Inter aliqua relativa una cum habitudine est actio quædam, ut inter generantem atque genitum: alicubi nulla, ut inter similia et æqualia.

Η'. Ἀλλὰ ταῦτα μὲν παρεξέβημεν· ἐκεῖθεν δὲ ζητητέον τὸ διὰ τί ἐπὶ τούτων οὐχ ὁμοίως; ἀλλὰ τὸ εἶναι τοῦτο τὸ παρ' ἀλλήλων τίνα ἔχει κοινὴν τὴν ὑπόστασιν εἰπάτωσαν; σῶμα μὲν οὖν τι τοῦτο τὸ κοινὸν οὐκ ἂν εἴη. Λείπεται δὲ, εἴπερ ἐστὶν, ἀσώματον, καὶ ἢ ἐν αὐτοῖς ἢ ἔξωθεν· καὶ εἰ μὲν ἡ αὐτὴ σχέσις, συνώνυμος, εἰ δὲ μὴ, ἀλλ' ἄλλη ἄλλων, ὁμώνυμος· οὐ γὰρ δὴ, ὅτι σχέσις λέγεται, καὶ τὴν οὐσίαν τὴν αὐτὴν ἂν ἔχοι. Ἆρ' οὖν τὰς σχέσεις ταύτῃ διαιρετέον, ᾗ τὰ μὲν ἔχει ἀργὸν τὴν σχέσιν, οἷον κειμένην θεωρεῖν, καὶ ἅμα πάντῃ ἡ ὑπόστασις, τὰ δὲ μετὰ δυνάμεως καὶ ἔργου, ᾗ ἀεί πως τὴν σχέσιν, καὶ εἶχε καὶ πρὸ τοῦ τὴν ἑτοιμότητα, ἐν δὲ τῇ συνόδῳ καὶ ἐνεργείᾳ ὑπέστη; Ἢ καὶ ὅλως τὰ μὲν πεποίηκε, τὰ δ' ὑπέστη, καὶ τὸ ὑποστὰν ὄνομα μόνον παρέσχε τῷ ἑτέρῳ, τὸ δὲ τὴν ὑπόστασιν· τοιοῦτον γὰρ καὶ ὁ πατὴρ καὶ ὁ υἱός· καὶ τὸ ποιητικὸν δὲ καὶ τὸ παθητικὸν ἔχει τινὰ οἷον ζωὴν καὶ ἐνέργειαν. Ἆρ' οὖν ταύτῃ διαιρετέον τὴν σχέσιν, καὶ διαιρετέον οὐχ ὡς ταὐτόν τι καὶ κοινὸν ἐν διαφοραῖς, ἀλλ' ὅλως ὡς ἑτέραν φύσιν τὴν σχέσιν ἐν ἑκατέρῳ, καὶ λεκτέον ὁμώνυμον τὴν μὲν ποιοῦσαν ποίησιν καὶ πάθησιν, ὡς μίαν ἄμφω, τὴν δὲ οὐ ποιοῦσαν, ἀλλ' ἐπ' ἀμφοῖν τὸ ποιοῦν, ἄλλο, οἷον ἰσότητα, τὴν τὰ ἴσα; ἰσότητι γὰρ ἴσα, καὶ ὅλως ταὐτότητί τινι ταὐτά· τὸ δὲ μέγα καὶ μικρὸν, τὸ μὲν μεγέθους παρουσίᾳ, τὸ δὲ μικρότητος· ὅταν δὲ τὸ μὲν μεῖζον, τὸ δὲ μικρότερον, οἱ μὲν μεταλαβόντες ὁ μὲν μείζων, ἐνεργείᾳ φανέντος τοῦ ἐν αὐτῷ μεγέθους, ὁ δὲ μικρὸς, τῆς σμικρότητος.

VIII. Cæterum ad hæc quodammodo digressi sumus: inde vero in primis quærendum est, quam ob causam hæc se dissimiliter habeant. Sed jam igitur hoc ipsum, quod dicitur ad se invicem esse, declarare debent, quam communem habeat existentiam. Profecto id ipsum commune non potest esse corpus. Consequens est igitur, si modo est, incorporeum esse: et id quidem vel in ipsis esse subjectis vel extra: ac si eadem sit habitudo, univocam esse: sin minus, sed alia aliarum, esse æquivocam judicandam. Non enim ex eo, quod dicitur habitudo, statim eamdem habet essentiam. Num igitur habitudines ita partiri debemus? dicentes videlicet, alia quidem habere habitudinem otiosam, quasi jacentem, si contempleris, atque simul omnino subsistentiam inter se habere: alia vero una cum potentia simul et opere semper quodammodo habitudinem possidere, et antea quidem paratam potentiam habuisse, deinde in congressu etiam actu subsistere? An vero summatim ita dicendum, alia quidem efficere, alia vero subsistere? atque, quod subsistit, nomen solum alteri exhibere; at illud, quod efficit, etiam subsistentiam alteri tradere? Tale utique est pater et filius, agens et patiens. Habent enim hæc quamdam velut vitam et actionem. Num igitur ita habitudinem distinguere decet: dividere, inquam, non tanquam idem in differentiis aliquid et commune, sed omnino, tanquam habitudo in utroque altera sit natura, quam dicere æquivocam debeamus: et illam quidem, quæ efficit, nominare actionem et passionem, quasi utraque una sit motio? aliam vero ponere, quæ non faciat ipsa, sed aliud quiddam sit in ambobus efficiens, velut æqualitas, quæ æqualia faciat? Æqualitate enim æqualia fiunt, et omnino identitate quadam fiunt eadem. Ubi autem magnum dicitur atque parvum, illud præsentia magnitudinis, hoc vicissim parvitatis præsentia sic appellatur. Sed ubi hoc majus perpenditur, illud minus, quantum ad illos, qui participant, ita censetur: major quidem actu jam apparente, quæ in ipso est, magnitudine; minor autem parvitate sic apparente.

Relatio est nonnihil incorporeum et ratio quædam, quæ consistit vel in actione, ut inter movens ac motum, vel in specie, ut hic pulchrior illo, vel in privatione speciei, ut turpior illo. Aliquando in specie eadem, ut similia et æqualia: aliquando in oppositis speciebus, ut dissimilia et inæqualia. Difficile est in eodem genere collocare rationes adeo diversas, item habitus et privationes eorum, item abstracta et concreta.

Θ'. Χρὴ οὖν ἐπὶ μὲν τῶν πρόσθεν εἰρημένων, οἷον ποιοῦντος καὶ ἐπιστήμης, ἐνεργῆ τὴν σχέσιν καὶ τὴν ἐνέργειαν καὶ τὸν ἐπὶ τῇ ἐνεργείᾳ λόγον τίθεσθαι, ἐπὶ δὲ τῶν ἄλλων εἴδους καὶ λόγου μετάληψιν εἶναι. Καὶ γὰρ, εἰ μὲν σώματα ἔδει τὰ ὄντα εἶναι, οὐδὲν ἔδει λέγειν εἶναι ταύτας τὰς τοῦ πρός τι λεγομένας σχέσεις. Εἰ

IX. Igitur operæ pretium est in illis quidem, quæ prius narrabamus, velut in efficiente atque scientia, habitudinem ponere certam et efficacem, atque actum, in actuque rationem, in reliquis autem participationem quamdam speciei rationisque asserere. Etenim, si oporteret res omnes esse tantum corpora, deceret dicere, habitudines ejusmodi, quæ invicem relative dicuntur, nihil esse. Si autem rebus

δὲ καὶ ἀσωμάτοις δίδομεν τὴν κυρίαν χώραν καὶ τοῖς λόγοις, λόγους λέγοντες τὰς σχέσεις καὶ εἰδῶν μεταλήψεις αἰτίας· τοῦ γὰρ διπλάσιον εἶναι, τὸ διπλάσιον αὐτὸ αἴτιον, τῷ δὲ, τὸ ἥμισυ, καὶ τὰ μὲν τῷ αὐτῷ εἴδει, τὰ δὲ τοῖς ἀντικειμένοις εἶναι, ἃ λέγεται· ἅμα οὖν τῷδε μὲν προσῆλθε τὸ διπλάσιον, ἄλλῳ δὲ τὸ ἥμισυ, καὶ τῷδε μὲν τὸ μέγεθος, τῷδε δὲ ἡ σμικρότης, ἢ ἀμφότερά ἐστιν ἐν ἑκάστῳ, καὶ ὁμοιότης, καὶ ἀνομοιότης, καὶ ὅλως ταὐτὸν καὶ θάτερον, διὸ καὶ ὅμοιον καὶ ἀνόμοιον τὸ αὐτὸ καὶ ταὐτὸν καὶ θάτερον. Τί οὖν, εἰ ὁ μὲν αἰσχρὸς, ὁ δὲ αἰσχίων; εἴδους τοῦ αὐτοῦ μετουσίᾳ. Ἢ εἰ μὲν παντάπασιν αἰσχροὶ, ἴσοι εἴδους ἀπουσίᾳ· εἰ δ' ἐν τῷ μὲν τὸ μᾶλλον, τῷ δὲ τὸ ἧττον, μεταλήψει εἴδους τοῦ οὐ κρατοῦντος, ὁ ἧττον αἰσχρὸς, ὁ δὲ μᾶλλον, ἔτι μᾶλλον οὐ κρατοῦντος· ἢ τῇ στερήσει εἴ τις βούλοιτο τὴν παραβολὴν ἔχειν, οἷον εἴδους αὐτοῖς ὄντος. Αἴσθησις δὲ εἶδός τι ἐξ ἀμφοῖν, καὶ γνῶσις ὡσαύτως ἐξ ἀμφοῖν τι εἶδος, ἡ δὲ ἕξις πρὸς τὸ ἐχόμενον ἐνέργειά τις οἷον συνέχουσα, ὥσπερ ποίησίς τις· ἡ δὲ μέτρησις τοῦ μετροῦντος ἐνέργεια πρὸς τὸ μετρούμενον λόγος τις. Εἰ μὲν οὖν ὡς εἶδος γενικῶς τὴν τοῦ πρός τι σχέσιν ὡς ἕν τις θήσεται, γένος ἓν καὶ ὑπόστασις ὡς λόγος τις πανταχοῦ· εἰ δὲ οἱ λόγοι καὶ ἀντικείμενοι καὶ διαφορὰς ἔχοντες τὰς εἰρημένας, τάχα οὐκ ἂν ἓν γένος εἴη, ἀλλ' εἰς ὁμοιότητά τινα πάντα ἀνάγεται καὶ κατηγορίαν μίαν. Ἀλλ' εἰ καὶ εἰς ἓν δύναιτο ἀνάγεσθαι τὰ εἰρημένα, ἀλλ' εἰς γένος ἓν ἀδύνατον, τὰ ὑπὸ τὴν αὐτὴν κατηγορίαν αὐτοῖς τεθέντα. Καὶ γὰρ τὰς ἀποφάσεις αὐτῶν εἰς ἓν ἀνάγουσι, καὶ τὰ παρονομαζόμενα ἀπ' αὐτῶν, οἷον καὶ τὸ διπλάσιον καὶ ὁ διπλάσιος. Πῶς ἂν οὖν ὑφ' ἓν γένος αὐτό τι καὶ ἡ ἀπόφασις, διπλάσιον καὶ οὐ διπλάσιον, καὶ πρός τι καὶ οὐ πρός τι; ὥσπερ ἂν εἰ ζῷόν τις γένος θεὶς καὶ τὸ οὐ ζῷον γένος ἐκεῖ τιθείη, καὶ τὸ διπλάσιον καὶ ὁ διπλάσιος, ὥσπερ ἡ λευκότης καὶ ὁ λευκὸς, οὐχ ὅπερ ταὐτόν.

incorporeis rationibusque principalem tribuimus essendi provinciam, atque habitudines esse rationes quasdam specierumque participationes asseveramus: nimirum causas sic assignare consentaneum est: hujus videlicet, quod duplum est, ipsum duplum causa est, ut sit duplum: atque vicissim, quod aliquid sit dimidium, causa est dimidium. Jam vero alia eadem specie, alia speciebus oppositis esse hæc ipsa, quæ dicuntur. Simul igitur huic quidem contigit duplum ipsum, illi vero dimidium: huic magnitudo, illi parvitas: vel utraque sunt in quolibet, similitudo scilicet atque dissimilitudo, rursus idem et alterum: quapropter idem aliquid passim est simile simul atque dissimile, idemque et alterum. Quid igitur, si hic quidem turpis est, sed ille turpior? Numquid participatione speciei ejusdem sic appellantur? Fortasse vero dicendum, si turpes sint omnino, æquales esse inter se absentia speciei: si autem in hoc quidem magis sit, in illo vero minus, dicendum, sic se habere, ut participatione speciei materiam parum superantis hic minus sit turpis, ille vero magis turpis, ubi species etiam minus materiam superat: vel etiam privatione quadam ita sunt judicandi, si quis velit eos invicem comparare, perinde ac si species illis inesset. Proinde sensus species quædam est ex ambobus, et cognitio similiter species ex utrisque resultans: tum vero habitus erga id, quod habetur, est actus quidam quasi continens, tanquam effectio quædam. Præterea mensuratio, quæ est actio metientis ad mensuratum, ratio quædam est. Si quis igitur habitudinem ipsam relativorum velut formam quamdam ratione generica tanquam unum quiddam ponat, haud ab re in his unum genus erit, et ubique substantia erit velut ratio quædam: sin autem rationes oppositæ sunt, differentiasque habent, quas diximus, fortasse genus unum esse non poterit, sed ad quamdam similitudinem unumque prædicamentum omnia redigentur. Verum si quo modo, quæ dicta sunt, in unum redigi possint, non tamen in genus unum colligi possunt cuncta, quæ ab illis sub eodem prædicamento ponuntur. Etenim negationes quoque ipsorum in unum una cum ipsis congregant, et quæ ab eis ita denominantur, ut ab ipso duplo hic vel ille duplus. Sed quonam pacto in unum idemque genus cum uniuscujusque natura, tum ejusdem negatio colligi potest? duplum et non duplum, ad aliquid et non ad aliquid? perinde ac si quis, cum animal genus posuerit, ibidem quoque non animal audeat collocare. Item quomodo ipsum duplum, et hic duplus eodem in genere numerantur, similiterque albedo simul et albus, cum hoc et illud idem sic esse non possit?

Posita descriptione qualitatis apud Peripateticos scilicet, qualitas est id, quo quale aliquid nominatur, non possunt, quæcunque qualitates dicuntur, sub uno quodam genere ratione univoca contineri.

Nec facile possumus explicare, quidnam id secundum se sit, per quod alia denominantur qualia. Nam per potentiam pariter atque impotentiam: item per habitum æqualiter privationemque quale aliquid appellatur, ac passim similiter per opposita.

Ι'. Τὴν δὲ ποιότητα, ἀφ' ἧς ὁ λεγόμενος ποιὸς, δεῖ λαμβάνειν πρῶτον τίς οὖσα τοὺς λεγομένους ποιοὺς παρέχεται, καὶ εἰ μία καὶ ἡ αὐτὴ κατὰ τὸ κοινὸν, ταῖς διαφοραῖς τὰ εἴδη παρέχεται, ἢ εἰ πολλαχῶς αἱ ποιότητες, οὐχ ἓν ἂν εἴη γένος. Τί οὖν τὸ κοινὸν ἐπί τε ἕξεως καὶ διαθέσεως, καὶ παθητικῆς ποιότητος, καὶ σχήματος, καὶ μορφῆς; καὶ λεπτὸν, παχὺ, ἰσχνόν; Εἰ μὲν γὰρ τὸ κοινὸν δύναμιν ἐροῦμεν, ἢ ἐφαρμόττει καὶ ταῖς ἕξεσι καὶ ταῖς διαθέσεσι καὶ ταῖς φυσικαῖς δυνάμεσιν, ἀφ' ἧς τὸ ἔχον δύναται, ἃ δύναται, οὐκέτι αἱ ἀδυναμίαι ἁρμόσουσιν. Ἔπειτα τὸ σχῆμα καὶ ἡ μορφὴ ἡ περὶ ἕκαστον, πῶς δύναμις; εἶτα καὶ τὸ ὄν, ᾗ ὄν, δύναμιν οὐδεμίαν ἕξει, ἀλλ' ὅταν αὐτῷ προσέλθῃ τὸ ποιόν, αἱ δὲ ἐνέργειαι τῶν οὐσιῶν, ὅσαι μάλιστά εἰσιν ἐνέργειαι τοῦ ποιοῦ καθ' ἑαυτὰς ἐνεργοῦσαι, καὶ

X. Posthac autem considerare decet qualitatem, a qua rite qualis aliquis nominatur; et in primis investigandum, quidnam existens ipsa alia reddat qualia: et numquid una eadem existens ratione communi, species exhibeat differentiis, an potius adeo inter se diversæ qualitates sint, ut unum earum genus esse non possit? Verum quidnam commune esse potest in habitu et dispositione, passivaque qualitate, figuraque et forma? Quid dicam de crasso ac tenui, de pingui et macilento? Si enim ipsum commune dicamus potentiam, quæ conveniat habitibus et dispositionibus potentiisque naturalibus, a qua id ipsum, quod habet eam, potest quæcunque potest, non amplius impotentiæ cum his genere congruent. Deinde figura et quæ circa quodlibet forma est, quonam modo potentia est? Præterea si ita sit, ens, qua ens est, potentiam nullam habebit, sed quando ei quale accesserit; ipsi vero actus essentiarum, qui potissimum actus sunt, secundum se ipsos agentes, et actus virium propriarum, quatenus sunt id, quod sunt, ad quale sic pertinebunt. Verum secundum potentias illas, quæ

τῶν οἰκείων δυνάμεων, ὅ εἰσιν. Ἀλλ' ἄρα κατὰ τὰς ἐπ' αὐτὰς τὰς οὐσίας δυνάμεις, οἷον ἡ πυκτικὴ δύναμις, οὐ τοῦ ἀνθρώπου ᾗ ἄνθρωπος, ἀλλὰ τὸ λογικόν, ὥστε οὐ ποιότης τὸ οὕτω λογικόν, ἀλλὰ μᾶλλον, ὃ ἐξ ἀρετῆς κτήσαιτο ἄν τις, ὥστε ὁμώνυμον τὸ λογικόν· ὥστε εἴη ἂν ἡ ποιότης δύναμις προστιθεῖσα ταῖς οὐσίαις μεθ' ἑαυτὰς τὸ ποιαῖς εἶναι· αἱ δὲ διαφοραὶ αἱ πρὸς ἀλλήλας τὰς οὐσίας διϊστᾶσαι ὁμωνύμως ποιότητες, ἐνέργειαι οὖσαι μᾶλλον καὶ λόγοι, ἢ μέρη λόγων, τὸ τί οὐδὲν ἧττον δηλοῦσαι, κἂν δοκῶσι τὴν ποιὰν οὐσίαν λέγειν. Αἱ δὲ ποιότητες αἱ κυρίως, καθ' ἃς ποιοί, ἃς δὴ λέγομεν δυνάμεις εἶναι, τὸ κοινὸν εἶεν ἂν λόγοι τινές, καὶ οἷον μορφαί, περί τε ψυχὴν κάλλη καὶ αἴσχη, καὶ περὶ σῶμα ὡσαύτως. Ἀλλὰ πῶς δυνάμεις πᾶσαι; κάλλος μὲν γὰρ ἔστω καὶ ὑγίεια ἑκατέρα, αἶσχος δὲ καὶ νόσος, καὶ ἀσθένεια, καὶ ἀδυναμία ὅλως [πῶς]; ἢ ὅτι καὶ κατὰ ταύτας ποιοὶ λέγονται; ἀλλὰ τί κωλύει λεγομένους ποιοὺς ὁμωνύμως λέγεσθαι, καὶ μὴ καθ' ἕνα λόγον, καὶ μὴ μόνον τετραχῶς, ἀλλὰ καὶ καθ' ἕκαστον τῶν τεττάρων, τοὐλάχιστον διχῶς; Ἢ πρῶτον μὲν οὐ κατὰ τὸ ποιῆσαι, ἢ παθεῖν ἡ ποιότης, ὥστε ἄλλως μὲν τὸ δυνάμενον ποιεῖν, ἄλλως δὲ τὸ πάσχον, ἀλλὰ καὶ τὴν ὑγίειαν καὶ τὴν διάθεσιν καὶ τὴν ἕξιν ποιόν, καὶ τὴν νόσον ὡσαύτως καὶ τὴν ἰσχὺν καὶ τὴν ἀσθένειαν. Ἀλλ' εἰ τοῦτο, οὐκέτι κοινὸν ἡ δύναμις, ἀλλὰ ἄλλο τι δεῖ τὸ κοινὸν ζητεῖν, οὐδ' αὖ λόγους πάσας. Πῶς γὰρ ἡ νόσος ἡ ἐν ἕξει λόγος; ἀλλ' ἄρα τὰς μὲν ἐν εἴδεσι καὶ δυνάμεσι ποιότητας, ταύτας δὲ στερήσεις; ὥστε μὴ ἓν γένος, ἀλλὰ εἰς ἕν, ὡς μίαν κατηγορίαν, οἷον ἐπιστήμην μὲν εἶδος καὶ δύναμιν, ἀνεπιστημοσύνην δὲ στέρησιν καὶ ἀδυναμίαν. Ἢ μορφή τις καὶ ἡ ἀδυναμία καὶ ἡ νόσος; καὶ δύναται δὲ καὶ ποιεῖ πολλά, ἀλλὰ φαύλως, καὶ ἡ νόσος καὶ ἡ κακία· ἢ ἔκπτωσις τοῦ σκοποῦ οὖσα πῶς δύναμις; ἢ τὸ αὐτῆς ἑκάστη πράττει, οὐ πρὸς τὸ ὀρθὸν βλέπουσα· οὐ γὰρ ἂν ἐποίησέ τι, ὃ μὴ δύναται. Καὶ τὸ κάλλος δὲ δύναμιν ἔχει τινός· ἆρ' οὖν καὶ τὸ τρίγωνον; ἢ ὅλως οὐδὲ πρὸς δύναμιν δεῖ βλέπειν, ἀλλὰ μᾶλλον πρὸς ὃ διάκειται; ὥστε κατὰ τὰς οἷον μορφὰς καὶ χαρακτῆρας καὶ κοινὸν ἡ μορφή, καὶ τὸ εἶδος τὸ ἐπὶ τῇ οὐσίᾳ μετὰ τὴν οὐσίαν. Ἀλλὰ πάλιν πῶς αἱ δυνάμεις; ἢ καὶ ὁ φύσει πυκτικὸς τῷ διακεῖσθαί πως ἔχει τοῦτο, καὶ ὁ ἀδύνατος πρός τι, καὶ ὅλως χαρακτήρ τις ἡ ποιότης οὐκ οὐσιώδης. Ὃ δ' ἂν τὸ αὐτὸ δοκῇ καὶ εἰς οὐσίαν συμβάλλεσθαι, καὶ εἰς μὴ οὐσίαν, οἷον θερμότης καὶ λευκότης καὶ ὅλως χρόα, τὸ μὲν τῆς οὐσίας ἄλλο, οἷον ἐνέργεια αὐτῆς, τὸ δὲ δευτέρως καὶ ἀπ' ἐκείνου καὶ ἄλλο ἐν ἄλλῳ, εἴδωλον αὐτοῦ καὶ ὅμοιον. Ἀλλ' εἰ κατὰ τὴν μόρφωσιν καὶ χαρακτῆρα καὶ λόγον, πῶς τὰ κατὰ ἀδυναμίαν καὶ αἴσχη; ἢ λόγους ἀτελεῖς λεκτέον, οἷον ἐν τῷ αἰσχρῷ, καὶ ἐν τῇ νόσῳ πῶς ὁ λόγος; ἢ καὶ ἐνταῦθα λόγον κινούμενον τὸν τῆς ὑγιείας· ἢ οὐκ ἐν λόγῳ πάντα, ἀλλὰ ἀρκεῖ τὸ κοινὸν παρὰ τὸ πῶς διακεῖσθαι, εἶναι ἔξωθεν τῆς οὐσίας, καὶ τὸ ἐπιγιγνόμενον μετὰ τὴν οὐσίαν ποιότης τοῦ ὑποκειμένου, τὸ δὲ

post essentias sunt, qualitas censenda dicetur, seu facultas pugilis, non hominis judicatur, ut homo, sed vis ipsa rationalis: quæ facultas idcirco non est qualitas, sed illa potius, quam aliquis industria comparaverit. Quam ob rem rationalis potentia æquivoca qualitas appellatur. Erit itaque qualitas vis quædam essentiis addita post ipsam essentiæ rationem, per quam deinde quales cognominantur. Differentiæ vero, per quas inter se invicem essentiæ discrepant, qualitates æquivoce nuncupantur: quæ quidem sunt actus potius rationesque, vel partes aliquæ rationum, nihilo minus ipsam rei substantiam declarantes, tametsi essentiam qualem dicere videantur. At illæ, quæ qualitates præcipue judicantur, per quas quales efficimur, quas et ratione communi potentias appellamus, forsan erunt rationes quædam, et tanquam formæ, cum circa animam, tum circa corpus pulchritudo quædam, vel turpitudo. Sed quonam pacto qualitates omnes erunt potentiæ? Esto sane pulchritudo et sanitas proprie qualitas: at vero turpitudo, morbus, infirmitas, impotentia, quomodo qualitas? An, quia secundum hæc quoque quales aliqui nominantur? *Sed quidnam prohibet, quominus, qui appellantur qua*les, non unica ratione, sed æquivoca nuncupentur? neque solum modis quatuor appellentur aliqui quales, sed quolibet etiam quatuor modorum, saltem dupliciter appellentur? Forsan vero non secundum ipsum agendi vel patiendi motum qualitas judicatur. Quapropter aliter quidem id, quod potest facere, censetur et dicitur, aliter vero patiens: tum vero sanitatem, dispositionem, habitum, similiterque morbum: item robur pariterque debilitatem appellare qualitatem consueverunt. Verum si ita sit, non amplius commune ipsum in ejusmodi rebus erit ipsa potentia, sed oportebit commune quiddam aliud indagare: neque rursus sic qualitates omnes atque rationes nominare licebit. Quo enim pacto morbus, qui est habitu confirmatus, ratio ulla erit? Num igitur affectiones, quæ in speciebus viribusque consistunt, qualitates cognominabimus? oppositas vero privationes? ideoque non unum genus, sed unum aliquid dicemus semper, velut unum prædicamentum: velut scientiam quidem speciem quandam atque potentiam, inscitiam vero privationem et impotentiam appellamus. An forte impotentia insuper et infirmitas forma quædam est? atque ita et morbus et pravitas potest facitque multa, sed male. Sed enim, cum nihil aliud hæc sint, quam ab intentione finis excidere, quonam modo potentiæ rite cognominantur? Fortasse quoniam unumquodque eorum suum quiddam agit, non ad rectum ipsum spectans: nec profecto quicquam faceret, quod minime potuisset. Pulchritudo certe alicujus vim habet: num igitur et triangulus? An forte neque ad potentiam quidem in judicanda qualitate decet aspicere, sed potius ad id, quod aliquo modo disponitur, vel afficitur? Quam ob rem secundum quasdam quasi formas et characteres nobis est qualitas perpendenda: atque in ejus ordine ipsum commune omnium forma quædam est, et species in essentia quidem jacens, sed veniens post essentiam. Sed rursus, quomodo ad id se habeant potentiæ, perquirendum. Fortasse et qui natura est pugil, ex eo, quod afficiatur quodammodo, id ipsum habet: similiterque qui nascitur ad aliquid impotens: et omnino character quidam qualitas est, sive signaculum atque nota, ad essentiam minime pertinens. Quod autem videtur idem cum conferre ad essentiam, tum accedere præter essentiam, sicut calor et albedo omnisque color, ita se habet, ut, quod ad essentiam confert, aliud sit, velut actus essentiæ: quod vero non conducit, secundo loco se habeat, sitque ab illo, aliudque in alio, imago similitudoque illius. Cæterum, si qualitas secundum formationem et notam rationemque judicatur, quonam pacto ad qualitatem attinent, quæ impotentiam turpitudinemque significant? Fortasse respondendum est, talia quædam rationes imperfectas esse, sicut patet in turpi. Sed in morbo quomodo ratio? Fortasse in hoc etiam rationem ponimus sanitatis, quodammodo a suo statu permotam: fortasse vero non omnia hæc in ratione ponenda sunt. Sufficit autem communis quædam conditio secundum affectionem et dispositionem extra essentiam sic quodam modo se habentem, et post essentiam accedentem, adeo

τρίγωνον ποιότης τοῦ ἐν ᾧ οὐχ ἁπλῶς τρίγωνον, ἀλλὰ τὸ ἐν τούτῳ, καὶ καθ' ὅσον ἐμόρφωσεν. Ἀλλὰ καὶ ἡ ἀνθρωπότης ἐμόρφωσεν ἢ οὐσίωσεν.

ut qualitas quaedam sit subjecti. Triangulus vero ejus, in quo est, qualitas judicatur, non quidem triangulus ipse simpliciter, sed et qui in hoc est, et quatenus format. Sed et humanitas forsan format, imo vero praestat essentiam.

**Admissa Peripateticorum descriptione, difficillimum est, quae qualitates dicuntur, inter se rite dividere: et impossibile, dividendo eas sub eodem genere univoca ratione colligere.**

ΙΑ'. Ἀλλ' εἰ ταῦτα οὕτως, διὰ τί πλείω εἴδη ποιότητος, καὶ ἕξεις καὶ διαθέσεις ἄλλο; οὐ γὰρ διαφορὰ ποιότητος τὸ μόνιμον καὶ τὸ μή, ἀλλ' ἀρκεῖ ἡ διάθεσις ὁπωσοῦν ἔχουσα πρὸς τὸ παρασχέσθαι ποιόν· προσθήκη δ' ἔξωθεν τὸ μένειν, εἰ μή τις λέγοι τὰς μὲν διαθέσεις μόνον ἀτελεῖς, οἷον μορφάς, τὰς δὲ ἕξεις τελείας. Ἀλλ' εἰ ἀτελεῖς, οὔπω ποιότητες· εἰ δ' ἤδη ποιότητες, προσθήκη τὸ μόνιμον. Αἱ δὲ φυσικαὶ δυνάμεις πῶς ἕτερον εἶδος; εἰ μὲν γὰρ κατὰ τὰς δυνάμεις ποιότητες, οὐκ ἐφαρμόττει πάσαις τὸ τῆς δυνάμεως, ὡς εἴρηται· εἰ δὲ τῷ διακεῖσθαι τὸν φύσει πυκτικὸν ποιὸν λέγομεν, οὐδὲν ἡ δύναμις προστεθεῖσα ποιεῖ, ἐπεὶ καὶ ἐν ταῖς ἕξεσι δύναμις. Ἔπειτα διὰ τί ὁ κατὰ δύναμιν τοῦ κατὰ ἐπιστήμην διοίσει; ἢ εἰ ποιοί, οὐδὲ διαφοραὶ ποιότητος αὗται, εἰ ὁ μὲν μελετήσας ἔχοι, ὁ δὲ φύσει, ἀλλ' ἔξωθεν ἡ διαφορά. Κατ' αὐτὸ δὲ τὸ εἶδος τῆς πυκτικῆς πῶς; καὶ εἰ αἱ μὲν ἐκ πάθους, αἱ δὲ οὔ; οὐ γὰρ διαφέρει ὁπόθεν ἡ ποιότης· λέγω δὲ ποιότητος παραλλαγαῖς καὶ διαφοραῖς. Ἔχοι δ' ἂν ζήτησιν καὶ εἰ ἐκ πάθους αἵδε, αἱ μὲν οὕτως, αἱ δὲ μὴ τῶν αὐτῶν, πῶς ἐν εἴδει τῷ αὐτῷ, καὶ εἰ αἱ μὲν τῷ γεγονέναι, αἱ δὲ τῷ ποιεῖν, ὁμωνύμως ἂν εἶεν. Τί δὲ ἡ περὶ ἕκαστον μορφή; εἰ μὲν γάρ, καθ' ὃ εἶδός ἐστιν ἕκαστον, οὐ ποιόν· εἰ δὲ καθ' ὃ καλὸν, μετὰ τὸ τοῦ ὑποκειμένου εἶδος, ἢ αἰσχρὸν, λόγον ἂν ἔχοι. Τὸ δὲ τραχὺ καὶ τὸ λεῖον καὶ τὸ ἀραιὸν καὶ τὸ πυκνὸν οὐκ ὀρθῶς ἂν λέγοιτο ποιά, οὐ γὰρ δὴ ταῖς διαστάσεσι ταῖς ἀπ' ἀλλήλων, καὶ ἐγγὺς τὸ μανὸν καὶ τὸ πυκνὸν καὶ τραχύτης, καὶ οὐ πανταχοῦ ἐξ ἀνωμαλίας θέσεως καὶ ὁμαλότητος. Εἰ δὲ καὶ ἐκ τούτων, οὐδὲν κωλύει καὶ ὡς ποιὰ εἶναι. Τὸ δὲ κοῦφον καὶ βαρὺ γνωσθὲν δηλώσει, ὅπου δεῖ αὐτὰ θεῖναι. Εἴη δ' ἂν καὶ ὁμωνυμία περὶ τὸ κοῦφον, εἰ μὴ τῷ σταθμῷ λέγοιτο τοῦ πλείονος καὶ ἐλάττονος, ἐν ᾧ καὶ τὸ ἰσχνὸν καὶ τὸ λεπτὸν, ὃ ἐν ἄλλῳ εἴδει παρὰ τὰ τέτταρα.

XI. Caeterum, si haec ita se habent, curnam plures sunt species qualitatis? atque habitus aliud quiddam est, et aliud dispositio? Non enim in permanendo vel non manendo consistit differentia qualitatis, sed sufficit affectio quaedam, quomodocumque se habeat, ad quale reddendum: permanendi vero munus extrinsecus additum: nisi quis forte dixerit, ipsas quidem duntaxat dispositiones quasi formas imperfectas esse, habitus vero perfectos. At si imperfectae sunt, nondum qualitates existunt: sin autem jam sunt qualitates, permanendi munus est quaedam extrinsecus adjecta conditio. Naturales vero potentiae quonam pacto speciem aliam praestant? Si enim secundum id ipsum, quod potentiae sunt, qualitates existunt, profecto conditio ista potentiae non convenit omnibus, ut est dictum: sin autem pugilem natura pugilem ex eo, quod certo modo sit dispositus vel affectus, qualem esse dicimus, nihil efficit potentia insuper addita: quandoquidem et in ipsis habitibus potentia continetur. Proinde cur nam ille, qui secundum naturalem potentiam pugil est, ab eo differet, qui scientia pugil evaserit? Forlasse qua ratione sunt quales, nimirum hae non sunt differentiae qualitatis, si hic quidem industria comparavit, ille vero est natura sortitus, sed ab extrinseco accidit differentia. At vero secundum ipsam pugilis facultatis speciem quomodo differunt? Quin etiam, si aliae quidem ex quadam passione proveniunt, aliae vero nequaquam, quam ex hoc differentiam habent? Neque enim interest, unde qualitas oriatur: quantum, inquam, ad permutationem qualitatis et discrepantiam pertinet. Quaerere praeterea licet, etiam si, quae ex passione fiunt, partim quidem sic, partim vero aliter aliamque fiant, quomodo possint in eadem specie collocari. Ac si dicatur, alias quidem ex passione fieri, alias vero facere passionem, aequivoce simul qualitates appellabuntur. Praeterea quidnam sibi vult, quod dicitur circa unumquodque forma? Si enim, qua ratione species est unumquodque, ita dicitur, id ad qualitatem minime pertinet: sin autem, qua unumquodque post ipsam subjecti speciem, pulchrum vel turpe dicitur quale dictum intelligatur, rationem aliquam habere potest. Jam vero asperum et leve, rarum atque densum, non recte qualia nuncupantur. Non enim ob quasdam inter se distantias, vel propinquitatem quamdam, rarum, densum, levitas, asperitas judicatur: nec ubique haec ex inaequalitate positionis vel aequalitate proveniunt. Quod si ex his quoque proveniant, nihil prohibebit, quominus qualia judicentur. Si denique levis ipsius et gravis conditio cognoscatur, patebit jam nobis, ubi haec sint potissimum collocanda. Licet praeterea circa leve naturam aequivocam invenire: nisi forte libratione quadam et ipsa nimis pauciorisve pensatione leve aliquid perpendatur: in qua quidem ordine macilentum quoque et tenue reperitur, quod sane in alia quadam specie praeter quatuor numeratur.

**Non licet qualitates Peripatetico ritu partiri: neque fas est qualitates corporis, animae, mentis sub eodem genere collocare.**

ΙΒ'. Ἀλλ' εἰ μὴ οὕτω τις ἀξιώσειε τὸ ποιὸν διαιρεῖν, τίνι ἂν διέλοι; ἐπισκεπτέον οὖν, εἰ δεῖ τὰς μὲν σώματος λέγοντα, τὰς δὲ ψυχῆς, τοῦ δὲ σώματος μερίζειν κατὰ τὰς αἰσθήσεις, τὰς μὲν ὄψει λέγοντα, τὰς δ' ἀκοῇ ἢ γεύσει, ἄλλας ὀσφρήσει ἢ ἁφῇ. Τὰς δὲ τῆς ψυχῆς, πῶς; ἐπιθυμητικοῦ, θυμοειδοῦς, λογιστικοῦ; ἢ ταῖς διαφοραῖς τῶν ἐνεργειῶν, αἳ γίγνονται κατ' αὐτάς, ὅτι γεννητικαὶ αὗται τούτων; ἢ τῷ ὠφελίμῳ καὶ βλαβερῷ; καὶ πάλιν διαιρετέον τὰς ὠφελείας καὶ τὰς βλάβας, τὰ αὐτὰ δὲ καὶ ἐπὶ τῶν σωματικῶν τῷ

XII. Verum si quis non ita qualitatem existimet dividendam, quanam ratione dividere poterit? Considerandum igitur, num deceat alias quidem corporis, alias autem animae qualitates asserere: deinde corporis qualitates pro sensuum distributione dividere, ut aliae ad visum pertineant, ad auditum aliae, vel ad gustum, aliae ad olfactum, aut tactum. Qualitates autem animae quomodo partiemur? numquid per concupiscendi, irascendi, consulandi virtutes? Aut per differentias actionum, quae secundum eas aguntur, quoniam hae harum sint effectrices? An secundum utile noxiumque dividemus? rursusque utilitates et damna? Similiter qualitates corporeas dividemus per id ipsum, quod differentia faciant, vel secundum utilitatem aut damnum? propriae namque sunt ejusmodi differentiae

ποιεῖν διάφορα, ἢ τῷ ὠφελίμῳ καὶ βλαβερῷ; οἰκεῖαι γὰρ διαφοραὶ ποιότητος. Ἢ γὰρ δοκεῖ ἡ ὠφέλεια καὶ τὸ βλάβος ἀπὸ τῆς ποιότητος καὶ ποιοῦ, ἢ ζητητέον τρόπον ἄλλον. Ἐπισκεπτέον δὲ, πῶς καὶ ὁ ποιὸς ὁ κατὰ τὴν ποιότητα, ἐν τῇ αὐτῇ ἔσται· οὐ γὰρ δὴ ἓν γένος ἀμφοῖν· καὶ εἰ ὁ πυκτικὸς ἐν ποιότητι, πῶς οὐ καὶ ὁ ποιητικός; καὶ εἰ τοῦτο, καὶ τὸ ποιητικόν; ὥστε οὐδὲν δεῖ εἰς τὸ πρός τι τὸ ποιητικόν, οὐδ' αὖ τὸ παθητικόν, εἰ ὁ παθητικὸς ποιός. Καὶ ἴσως βέλτιον ἐνταῦθα ὁ ποιητικὸς, εἰ κατὰ δύναμιν λέγεται· ἡ δὲ δύναμις ποιότης· εἰ δὲ κατ' οὐσίαν ἡ δύναμις, ἥ τις δύναμις, οὐδ' οὕτω πρός τι, οὐδὲ ποιὸν ἔτι. Οὐδὲ γὰρ ὡς τὸ μεῖζον τὸ ποιητικόν. Τὸ γὰρ μεῖζον τὴν ὑπόστασιν, καθ' ὃ μεῖζον, πρὸς τὸ ἔλαττον· τὸ δὲ ποιητικὸν τῷ τοιόνδε εἶναι ἤδη. Ἀλλ' ἴσως κατὰ μὲν τὸ τοιόνδε ποιὸν, ᾗ δὲ δύναται εἰς ἄλλο ποιητικὸν λεγόμενον, πρός τι. Διὰ τί οὖν οὐ καὶ ὁ πυκτικὸς πρός τι καὶ ἡ πυκτικὴ αὐτή; πρὸς ἄλλον γὰρ ὅλως ἡ πυκτική· καὶ γὰρ οὐδὲν αὐτῆς θεώρημα, ὃ μὴ πρὸς ἄλλο. Καὶ περὶ τῶν ἄλλων δὲ τεχνῶν ἢ τῶν πλείστων ἐπισκεπτέον, καὶ λεκτέον ἴσως, ᾗ μὲν διατιθεῖσι τὴν ψυχὴν ποιότητες, ᾗ δὲ ποιοῦσι, ποιητικαὶ, καὶ κατὰ τοῦτο πρὸς ἄλλον, καὶ πρός τι· ἐπεὶ καὶ ἄλλον τρόπον πρός τι, καθ' ὃ ἕξεις λέγονται. Ἆρ' οὖν ἄλλη τις ὑπόστασις κατὰ τὸ ποιητικὸν, τοῦ ποιητικοῦ οὐκ ἄλλου τινὸς ὄντος, ἢ καθ' ὅσον ποιόν; τάχα μὲν γὰρ ἄν τις ἐπὶ τῶν ἐμψύχων, καὶ ἔτι μᾶλλον ἐπὶ τῶν προαίρεσιν ἐχόντων, τῷ νενευκέναι πρὸς τὸ ποιόν, ὑπόστασιν εἶναι καὶ κατὰ τὸ ποιητικόν· ἐπὶ δὲ τῶν ἀψύχων δυνάμεων, ἃς ποιότητας εἴπομεν, τί τὸ ποιητικόν; ἢ ὅταν συντύχῃ αὐτῷ ἄλλο, ἀπέλαυσε καὶ μετέλαβε παρ' ἐκείνου οὗ ἔχει. Εἰ δὲ τὸ αὐτὸ καὶ ποιεῖ εἰς ἄλλο καὶ πάσχει, πῶς ἔτι τὸ ποιητικόν; ἐπεὶ καὶ τὸ μεῖζον τρίπηχυ ὂν καθ' αὑτὸ, καὶ μεῖζον καὶ ἔλαττον ἐν τῇ συντυχίᾳ τῇ πρὸς ἄλλο. Ἀλλ' ἐρεῖ τις, τὸ μεῖζον καὶ ἔλαττον μεταλήψει μεγέθους καὶ σμικρότητος· ἢ καὶ τοῦτο μεταλήψει ποιητικοῦ καὶ παθητικοῦ. Ζητητέον δὲ καὶ ἐνταῦθα, καὶ εἰ αἱ τῇδε ποιότητες καὶ αἱ ἐκεῖ ὑφ' ἕν. Τοῦτο δὲ πρὸς τοὺς τιθεμένους κἀκεῖ. Ἢ κἂν μὴ εἴδη τις διδῷ, ἀλλὰ νοῦν λέγων εἰ ἕξιν λέγοι, ἢ κοινόν τι ἐπ' ἐκείνης καὶ ταύτης τῆς ἕξεως; καὶ σοφία δὲ συγχωρεῖται. Ἢ εἰ ὁμωνύμως πρὸς τὴν ἐνταῦθα, οὐκ ἠρίθμηται δηλονότι ἐν τούτοις· εἰ δὲ συνωνύμως, ἔσται τὸ ποιὸν κοινὸν ἐνταῦθα κἀκεῖ, εἰ μή τις τὰ ἐκεῖ λέγοι πάντα οὐσίας, καὶ τὸ νοεῖν τοίνυν. Ἀλλὰ τοῦτο κοινὸν καὶ πρὸς τὰς ἄλλας κατηγορίας, ἢ εἰ τὸ διττὸν ὧδε κἀκεῖ, ἢ ὑφ' ἓν ἄμφω.

qualitatis. An enim utilitas et damnum a qualitate et quali videntur accidere, vel modum adhuc alium et aliter indagare debemus. Investigandum vero, quo pacto fieri possit, ut, qui secundum qualitatem qualis est, in ea ipsa proprie sit qualitate: non enim genus unum est utriusque. Item, si pugil in qualitatis est ordine, quomodo non etiam in eodem sit effectivus? atque, si ita sit, quomodo non rursus et ipsum efficiens? Quapropter nequaquam oportet ipsum efficiens ad ordinem relationis traducere, neque rursus ipsum patiens, si hic aut ille patiens in qualitatis ordine continetur. At forsan præstat effectorem hic collocare, si secundum potentiam existimatur effector. Est autem potentia qualitas: sin autem secundum essentiam ipsa potentia est, quæcumque potentia sit, neque sic quidem relatum ad aliquid, neque etiam ad ordinem redigitur qualitatis. Non enim efficiens ipsum ita se habet, sicut majus. Ipsum namque majus, subsistentiam, quatenus majus est, habet ad id, quod minus esse perpenditur: efficiens autem ex eo, quod jam tale est, judicatur efficiens. Sed forsan, quatenus quidem tale est, in qualitatis ordine collocatur: quatenus vero potest in aliud, ideoque dicitur effectivum, inter relativa merito numeratur. Cur igitur non etiam pugil inter relativa censetur? similiterque perita pugillis? Facultas namque pugillis omnino refertur ad aliud. Nec enim ulla ejus consideratio est, quæ non ad aliud referatur. Jam vero et de ceteris artibus, aut certe pluribus cogitandum est, atque fortasse dicendum: quatenus quidem disponunt et afficiunt animam, qualitates existere: quatenus autem nonnihil efficiunt, effectrices existimari; atque ex hoc ipso referri ad aliud et in relativorum ordine collocari: quandoquidem alio quoque modo ad aliud referuntur, prout habitus appellantur. Sed numquid alia quædam subsistentia est secundum ipsum, quod dicitur effectivum, cum effectivum non ob aliud, quam quia quale est, sit effectivum? Fortasse enim aliquis in rebus animatis, præsertim consilio quodam utentibus, ex eo, quod declinant ad faciendum, subsistentiam esse concedet etiam secundum effectivæ virtutis conditionem: in viribus autem inanimatis, quas diximus qualitates, quidnam est ipsum effectivum? Fortasse quando tali cuidam occurrit aliud, accipit ab eo, evaditque sui muneris particeps. At si idem agit in aliud, atque patitur, quomodo amplius effectivum proprie ipsum subsistit? Quandoquidem et majus ipsum, quod fortasse secundum se est tricubitum, majus et minus in concursu ad aliud evadere consuevit. Sed dicet aliquis, majus ac minus participatione quadam magnitudinis parvitatisque fieri. Fortasse etiam hoc, quod patitur simul et agit, participationem quandam habet effectivi simul atque passivi. Quærendum hic quoque videtur, numquid qualitates, quæ in hoc mundo sunt una cum illis, quæ sunt in mundo divino, sub eodem genere numerentur. Id autem erga eos dicatur, qui et ibi talia quædam ponunt. An forte similiter quærendum est, etiamsi quis species non admiserit? nempe, si interim intellectum admiserit, habitumque in eo aliquem esse concesserit, interrogabitur, numquid commune aliquid huic habitui sit simul et illi? conceditur saltem sapientiam illic existere. Atqui si illa æquivoce se habet ad nostram, merito inter ejusmodi qualitates non numeratur: si autem se habet univoce, ipsa certe ratio qualitatis nostris erit illisque communis: nisi quispiam omnia, quæ illic sunt, esse affirmet essentias, ideoque intelligentiam ipsam similiter esse concedat essentiam. Verum ejusmodi quæstio de ceteris quoque prædicamentis agi potest: numquid, quod hic et quod ibi est, diversa sint genere, an potius ambo sub eodem genere collocentur.

Quod apud Peripateticos nominatur prædicamentum quando, id est, heri, cras, et similia, tempus proprie temporisve partem formali ratione comprehendi.

Si ergo nihil aliud significat, non debent in alio prædicamento ipsum quando, in alio tempus ponere: sin autem præter tempus significat aliud, non unum hoc jam prædicamentum erit, sed ex pluribus congregatum.

ΙΓʹ. Περὶ δὲ τοῦ ποτὲ ὧδε ἐπισκεπτέον· εἰ τὸ χθὲς καὶ αὔριον καὶ πέρυσι καὶ τὰ τοιαῦτα μέρη χρόνου, διὰ τί οὐκ ἐν τῷ αὐτῷ ἔσται, καὶ ταῦτα ἐν ᾧπερ καὶ ὁ

XIII. De illo autem prædicamento, quod ipsum aliquando, sive quando nominant, deinceps ita considerandum. Profecto si heri et cras et anno præterito, sive jam diu, et talia quædam temporis partes sunt, quidnam pro-

χρόνος; ἐπεὶ καὶ τὸ ἦν, καὶ τὸ ἔστι, καὶ τὸ ἔσται, εἴδη ὄντα χρόνου, δίκαιον δήπου, ἐν ᾧ ὁ χρόνος, τετάχθαι· λέγεται δὲ τοῦ ποσοῦ ὁ χρόνος· ὥστε τί δεῖ κατηγορίας ἄλλης; εἰ δὲ λέγοιεν ὡς οὐ μόνον χρόνος τὸ ἦν καὶ ἔσται, καὶ τὸ χθὲς καὶ τὸ πέρυσι τὰ ὑπὸ τὸ ἦν, ὑποβεβλῆσθαι γὰρ δεῖ ταῦτα τῷ ἦν, ἀλλ' οὐ νῦν μόνον χρόνος, ἀλλὰ ποτὲ χρόνος· πρῶτον μὲν ἔσται, εἰ τὸ ποτὲ χρόνος, χρόνος· ἔπειτα, εἰ χρόνος παρεληλυθὼς τὸ χθὲς, σύνθετόν τι ἔσται, εἰ ἕτερον τὸ παρεληλυθὸς, καὶ ἕτερον ὁ χρόνος· δύο οὖν κατηγορίαι, καὶ οὐχ ἁπλοῦν. Εἰ δὲ τὸ ἐν χρόνῳ φήσουσι τὸ ποτὲ εἶναι, ἀλλ' οὐ χρόνον, τοῦτο τὸ ἐν χρόνῳ, εἰ μὲν τὸ πρᾶγμα λέγουσιν, οἷον Σωκράτης ὅτι πέρυσιν ἦν, ὁ μὲν Σωκράτης ἔξωθεν ἂν εἴη, καὶ οὐχ ἕν τι λέγουσιν. Ἀλλὰ Σωκράτης, ἢ ἡ πρᾶξις ἐν τούτῳ τῷ χρόνῳ, τί ἂν εἴη; ἢ ἐν μέρει τοῦ χρόνου; εἰ δ' ὅτι μέρος χρόνου λέγουσι, καὶ, καθ' ὅ τι μέρος ἀξιοῦσι μὴ χρόνον ἁπλῶς τι λέγειν, ἀλλὰ μέρος χρόνου παρεληλυθὸς, πλείω ποιοῦσι· καὶ τὸ μέρος ᾗ μέρος, πρός τι ὂν προσλαμβάνουσι, καὶ τὸ παρεληλυθὸς ἐγκείμενόν τι αὐτοῖς ἔσται, ἢ τὸ αὐτὸ τῷ ἦν, ὃ ἦν εἶδος χρόνου. Ἀλλ' εἰ τῷ ἀόριστον μὲν εἶναι τὸ ἦν, τὸ δὲ χθὲς καὶ τὸ πέρυσιν ὡρίσθαι, πρῶτον μὲν τὸ ἦν που τάξομεν· ἔπειτα τὸ χθὲς ἔσται ἦν ὡρισμένον, ὥστε ἔσται ὡρισμένος χρόνος τὸ χθές. Τοῦτο δὲ ποσός τις χρόνος, ὥστε εἰ χρόνος ποσὸν, ποσὸν ὡρισμένον ἕκαστον τούτων ἔσται. Εἰ δὲ, ὅταν λέγωσι χθὲς, τοῦτο λέγομεν, ὡς ἐν χρόνῳ παρεληλυθότι ὡρισμένῳ γέγονε τόδε, ἔτι πλείω καὶ μᾶλλον λέγουσιν· ἔπειτα, εἰ δεῖ ἐπεισάγειν ἄλλας κατηγορίας, τῷ ἕτερον ἐν ἑτέρῳ ποιεῖν, ὡς ἐνταῦθα τὸ ἐν χρόνῳ, ἄλλας πολλὰς ἀνευρήσομεν, ἀπὸ τοῦ ποιεῖν ἄλλο ἐν ἄλλῳ. Λεχθήσεται δὲ σαφέστερον ἐν τοῖς ἑξῆς τοῖς περὶ τοῦ ποῦ.

libet, quominus haec in eodem sint, in quo est et tempus? Siquidem ipsum erat, et est, et erit, cum species temporis sint, non injuria in eodem, in quo tempus ponitur, collocentur: tempus autem esse in quantitatis genere dicitur. Quapropter quidnam opus est novo quodam prædicamento? Si autem dixerint, hæc non solum tempus esse, scilicet erat et erit: item heri, et jam diu, quæ sub ipso erat, ponuntur: subjici enim talia oportet ipsi, quod dicitur erat: si, inquam, id ipsum dixerint non solum esse tempus, sed aliquando tempus, ita protinus respondebitur. Primo quidem, si est aliquando tempus, certe est et tempus: deinde, si heri tempus præteritum est, compositum quiddam erit: si modo aliud quiddam sit ipsum præteritum, aliud vero tempus: duo ergo prædicamenta hæc erunt, neque simplex aliquid. Sin autem ipsum aliquando dicant non esse tempus, sed in tempore, hoc ipsum, quod dicitur in tempore, si rem ipsam significent, quasi dicant, Socrates jam diu erat, sane Socrates extrinsecus erit, neque unum aliquid dicent. Verum Socrates, vel actio in hoc ipso tempore, quidnam erit potissimum? An forsan in parte temporis? Sin autem, quoniam partem temporis dicunt, et qua ratione pars est, existimant non tempus quiddam, vel partem ejus simpliciter, sed præteritam temporis partem dicere, plura conficiunt: nempe partem, quatenus pars est, ad aliquid se habentem adsumunt. Atque ipsum præteritum apud illos adjectum aliquid erit, vel idem cum ipso, quod dicitur erat, quod est temporis species. Verum, si hoc interesse dicant; quod ipsum erat indefinitum sit, sed ipsum heri et anno superiori sit definitum, nos quidem primo ipsum erat constituemus alicubi: deinde heri, consebitur ipsum erat jam definitum: unde sequitur, ut heri tempus sit definitum. Hoc autem est temporis quantitas, vel quantum quiddam tempus. Quapropter, si tempus est in quantitatis ordine constitutum, horum quodlibet erit quantum jam definitum: at si, quotiens dicunt heri, id dictum intelligamus, quasi id in tempore præterito definito sit factum, multo adhuc magis multa simul adducent in medium. Denique, si oportet alia inferre prædicamenta, ex eo, quod aliud sit fiatve in alio, quemadmodum in præsentia de hoc ipso accidit, quod in tempore sit vel fiat, multa insuper alia prædicamenta eadem conditione inveniemus, quia videlicet aliud quoque modo existat in alio. Sed de hoc apertius in sequentibus, ubi de hoc ipso, quod ipsum ubi dicitur, disputabimus.

Supervacuum est, propter id, quod dicitur aliquid alicubi esse, novum inferre prædicamentum. Nam hoc ipsum ubi proprie locus est. Si quid autem huic adjectum consideratur, non novum prædicamentum affert, sed relationem aliquam vel substantiam.

ΙΔ'. Τὸ δὲ ποῦ, ἐν Λυκείῳ καὶ ἐν Ἀκαδημίᾳ· ἡ μὲν οὖν Ἀκαδημία καὶ τὸ Λύκειον πάντως τόποι καὶ μέρη τόπου, ὥσπερ τὸ ἄνω καὶ τὸ κάτω, καὶ τὸ ὧδε, εἴδη ἢ μέρη· διαφέρει δὲ, ὅτι ἀφωρισμένως μᾶλλον. Εἰ οὖν τὸ ἄνω καὶ τὸ κάτω καὶ τὸ μέσον τόποι, οἷον Δελφοὶ τὸ μέσον, καὶ τὸ παρὰ τὸ μέσον, οἷον Ἀθῆναι καὶ Λύκειον δὴ καὶ τὰ ἄλλα, τί δεῖ ἔτι παρὰ τὸν τόπον ζητεῖν ἡμᾶς, καὶ ταῦτα λέγοντας τόπον ἐφ' ἑκάστου τούτων σημαίνειν; εἰ δὲ ἄλλο ἐν ἄλλῳ λέγομεν, οὐχ ἓν λέγομεν, οὐδὲ ἁπλοῦν λέγομεν. Ἔπειτα εἰ τοῦτον ἐνταῦθα λέγομεν, σχέσιν τινὰ γεννῶμεν τοῦδε ἐν τῷδε, καὶ τοῦ δεξαμένου πρὸς ὃ ἐδέξατο· διὰ τί οὖν οὐ πρός τι, εἰ ἐκ τῆς ἑκατέρου πρὸς ἑκάτερον σχέσεως ἀπεγεννήθη τι; Εἶτα [τί] διαφέρει τὸ ὧδε τοῦ Ἀθήνησιν; Ἀλλὰ τὸ ὧδε τὸ δεικτικὸν τόπον φήσουσι σημαίνειν, ὥστε καὶ τὸ Ἀθήνησιν· ὥστε τοῦ τόπου τὸ Ἀθήνησιν. Εἶτα εἰ τὸ Ἀθήνησι τοῦτ' ἔστι τὸ ἐν Ἀθήναις ἐστὶ, πρὸς τῷ τόπῳ καὶ τὸ ἔστι προσκατηγορεῖται, δεῖ δὲ οὔ· ὥσπερ οὐδὲ τὸ ποιότης ἐστὶν, ἀλλὰ τὸ ποιότης μόνον. Πρὸς

XIV. Solent de prædicamento Ubi tractantes dicere: Ubi est, ac si dicatur, in Lyceo vel Academia. Academia igitur Lyceumque loca sunt omnino, partesque loci, sicut sursum, deorsum, hic, species sunt loci, vel partes: interest autem, quod alia aliis magis determinata sunt. Si igitur sursum, deorsum, medium sunt loca, velut Delphica regio media est, et prope medium Attica, et Lyceum et reliquæ regiones, quidnam oportet ulterius præter locum quærere, præsertim cum dicamus hæc singulatim locum significare? Si autem aliud in alio dicimus, quando dicimus ubi, non unum dicimus neque simplex. Præterea si, quotiens hunc esse hic affirmamus, non simplicem esse dicimus, sed habitudinem aliquam procreamus, cum hujus in hoc, tum ejus, quod suscipitur ad id, quod suscipit: cur non hoc ipsum in relativorum genere ponimus? siquidem ex utriusque habitudine ad utrumque aliquid generatur. Item nihilo differt, si Athenis habitans dicas, Hic sum, aut Sum Athenis. Sed hoc ipsum, quod dicitur hic, cum signum demonstrativum sit, locum significare concedunt, ideoque et illud, quod dictum est Athenis, designare locum contendunt. Quapropter Athenis ad ipsum proprie locum pertinet. Rursus, si Athenis idem est atque in urbe Atheniensi esse, nimirum ultra locum, ipsum quoque esse etiam prædicatur: non tamen ita decebat, quemadmodum neque pro genere qualitatis fas est assignare, qualitas est, sed qualitas ipsa duntaxat. Accedit ad hæc, quod si opor-

δὲ τούτοις, εἰ δεῖ τὸ ἐν χρόνῳ ἄλλο καὶ τὸ ἐν τόπῳ ἄλλο παρὰ χρόνον καὶ τόπον, διὰ τί οὐ καὶ τὸ ἐν ἀγγείῳ ἄλλην κατηγορίαν ποιήσει; καὶ τὸ ἐν ὕλῃ ἄλλο; καὶ τὸ ἐν ὑποκειμένῳ ἄλλο; καὶ τὸ ἐν ὅλῳ μέρος καὶ τὸ ὅλον ἐν μέρεσι, καὶ γένος ἐν εἴδεσι καὶ εἶδος ἐν γένει; καὶ οὕτως ἡμῖν πλείους αἱ κατηγορίαι ἔσονται.

tet, quod in tempore vel loco dicitur, aliud afferre praedicamentum, praeter tempus atque locum, cur non etiam, quod est in vase, aliud inducat praedicamentum? Item, quod in materia, aliud? rursus aliud, quod est in subjecto? item, quod, ut pars in toto, vel sicut totum in partibus, genus in speciebus, speciesve in genere similiter aliud? atque ita plura adhuc nobis praedicamenta numerabuntur.

Rectius fortasse pro praedicamento poneretur effectio, aut actus, aut motus, quam facere.

ΙΕ'. Ἐν δὲ τῷ ποιεῖν λεγομένῳ τάδ' ἄν τις ἐπισκέψαιτο. Λέγεται γάρ, ὡς, ἐπεὶ μετὰ τὴν οὐσίαν τὰ περὶ τὴν οὐσίαν ἦν ποσότης καὶ ἀριθμός, τὸ ποσὸν γένος ἕτερον ἦν, καὶ ποιότητος οὔσης περὶ αὐτήν, ἄλλο γένος τὸ ποιόν, οὕτω καὶ ποιήσεως οὔσης, ἄλλο γένος τὸ ποιεῖν. Ἆρ' οὖν τὸ ποιεῖν, ἢ ἡ ποίησις, ἀφ' ἧς τὸ ποιεῖν; ὥσπερ καὶ ποιότης, ἀφ' ἧς τὸ ποιόν, ἢ ἐνταῦθα ποίησις, ποιεῖν, ποιῶν [l. ποιοῦν], ἢ ποιεῖν καὶ ποίησις, εἰς ἓν ληπτέα. Ἐμφαίνει δὲ μᾶλλον τὸ ποιεῖν καὶ τὸν ποιοῦντα, ἡ δὲ ποίησις, οὔ· καὶ τὸ ποιεῖν ἐν ποιήσει εἶναί τινι· τοῦτο δὲ ἐνεργείᾳ· ὥστε ἐνέργειαν μᾶλλον εἶναι τὴν κατηγορίαν, ἣ περὶ τὴν οὐσίαν λέγεται θεωρεῖσθαι, ὡς ἐκεῖ ποιότης, καὶ αὐτὴ περὶ τὴν οὐσίαν ὥσπερ κίνησις, καὶ ἓν γένος ἡ κίνησις τῶν ὄντων. Διὰ τί γὰρ ποιότης μὲν ἕν τι περὶ τὴν οὐσίαν, καὶ ποσότης ἕν τι, καὶ πρός τι διὰ τὴν σχέσιν ἄλλου πρὸς ἄλλο; κινήσεως δὲ περὶ τὴν οὐσίαν οὔσης οὐκ ἔσται τι καὶ κίνησις ἓν γένος;

XV. In eo autem praedicamento, quod facere nominant, haec considerare licet. Traditur sane, post substantiam ponenda esse, quae sunt circa substantiam, quemadmodum quantitas numerusque se habent: ideoque quantitas apud illos aliud genus asseritur. Item, quia qualitas circa substantiam est, idcirco ipsum quale genus aliud ponitur: sic itaque, cum circa eandem sit et effectio, aliud quoque genus esse hoc ipsum facere arbitrantur. Num igitur ipsum facere ponendum est, an factio potius, a qua facere proficiscitur? quemadmodum et qualitas ponenda est, a qua fit quale similiter. An potius hic factio, facere, faciens, vel facere atque factio in unum accumulanda sunt? Jam vero ipsum facere magis designat efficientem, factio vero nequaquam. Atqui et facere plane significat in quadam effectione versari: id autem est in actu se habere. Ex quo efficitur, ut actus praedicamentum potius sit. Qui sane actus considerari circa essentiam affirmatur, quemadmodum ibi qualitas: qui rursum actus versatur circa essentiam, tanquam motus. Et profecto motus unum aliquod rerum genus exstitit. Cur enim qualitas quidem unum aliquid est circa essentiam, et quantitas similiter unum quiddam, item relatio propter quandam alterius ad alterum habitudinem; motus autem, qui similiter circa essentiam est, non sit similiter unum genus?

Rectius fortasse pro praedicamento poneretur actus: atque sub eo actus alter quidem perfectus, ut habitus atque forma; alter autem imperfectus, ut motus ad habitum atque formam.

Motus non ratione sui dicitur imperfectus actus: quo enim momento incipit, jam actus est et motus; sed ratione alicujus alterius post motum perficiendi. Sicut actus ac saepe mutatio fit momento, ita motus exordiens in momento simpliciter jam est motus: subit vero tempus, quatenus subit et quantitatem.

ΙϚ'. Εἰ δέ τις λέγοι τὴν κίνησιν ἀτελῆ ἐνέργειαν εἶναι, οὐδὲν ἐκώλυε τὴν μὲν ἐνέργειαν προτάττειν, εἶδος δὲ τὴν κίνησιν ὡς ἀτελῆ οὖσαν ὑποβάλλειν, κατηγοροῦντά γε αὐτῆς τὴν ἐνέργειαν, προστιθέντα δὲ τὸ ἀτελές. Τὸ γὰρ ἀτελὲς λέγεται περὶ αὐτῆς, οὐχ ὅτι οὐδὲ ἐνέργεια, ἀλλὰ ἐνέργεια μὲν πάντως, ἔχει δὲ καὶ τὸ πάλιν· καὶ τὸ πάλιν, οὐχ ἵνα ἀφίκηται εἰς ἐνέργειαν (ἔστι γὰρ ἤδη), ἀλλ' ἵνα ἐργάσηταί τι, ὃ ἕτερόν ἐστι μετ' αὐτήν· καὶ οὐκ αὐτὴ τελειοῦται τότε, ἀλλὰ τὸ πρᾶγμα, οὗ ἐστοχάζετο, οἷον βάδισις ἐξ ἀρχῆς βάδισις ἦν. Εἰ δὲ δεῖ στάδιον διανύσαι, οὔπω δὲ ἦν διανύσας, τὸ ἐλλεῖπον οὐ τῆς βαδίσεως οὐδὲ τῆς κινήσεως ἦν, ἀλλὰ τῆς ποσῆς βαδίσεως· βάδισις δὲ ἦν καὶ ὁποσηοῦν, καὶ κίνησις ἤδη. Ὁ γοῦν κινούμενος καὶ ἤδη κεκίνηται, καὶ ὁ τέμνων ἤδη ἔτεμε. Καὶ ὡς ἡ λεγομένη ἐνέργεια οὐ δεῖται χρόνου, οὕτως οὐδ' ἡ κίνησις, ἀλλ' ἡ εἰς τοσοῦτον κίνησις· καὶ εἰ ἐν ἀχρόνῳ ἡ ἐνέργεια, καὶ ἡ κίνησις ἡ ὅλως κίνησις· εἰ δ', ὅτι τὸ συνεχὲς προσλαβοῦσα, πάντως ἐν χρόνῳ, καὶ ἡ ὅρασις μὴ διαλείπουσα τὸ ὁρᾶν, ἐν συνεχείᾳ ἂν εἴη καὶ ἐν χρόνῳ. Μαρτυρεῖ δὲ τούτῳ καὶ ἡ ἀναλογία, ἡ λέγουσα ἀεὶ οἷόν τε εἶναι λαμβάνειν ἡστινοσοῦν κινήσεως, καὶ μὴ εἶναι μήτε τοῦ χρόνου ἀρχὴν ἐν ᾧ καὶ ἀφ' οὗ

XVI. Si quis autem objiciat, motum esse actum imperfectum; nihil adhuc prohibere videbitur, actum quidem primo loco ponere, motum vero, tanquam speciem ejus ut imperfectum quiddam, illi subjicere: praedicando quidem de motu actum, addendo vero pro differentia imperfectum: nam imperfectum de motu dicitur, non quia non sit actus, sed actus quidem est omnino, sortitur autem repetitam quandam successionem, non quidem, ut motus ipse ad actum quandoque perveniat: jam enim actus exstitit: sed ut efficiat aliquid, quod aliud quiddam est ultra motum: neque tunc motus ipse perficitur, sed res ipsa potius, ad quam motor animum intendebat: sicut incessus statim ab initio erat incessus. Si autem oporteat stadium pertransire, necdum transactum fuerit, certe hoc ipsum, quod deest, neque incessui neque motui deest, sed potius incessui tanto: incessus autem erat etiam, quantuscunque fuerit, atque jam motus. Profecto, qui movetur, jam est motus, et qui dividit, jam divisit. Et sicut, qui actus dicitur, non indiget tempore, ita neque etiam motus, sed motus proprie eo usque productus: atqui, si actus fit in non tempore, certe et motus, qui omnino motus est atque simpliciter: sin autem motum dicant idcirco prorsus in tempore fieri, quia continuitatem sibi vindicat: respondebitur, visionem quoque non intermissam habere continuitatem, atque in tempore. Argumentum vero huic praebet facultas quoque proportionis: quae quidem tradit, posse semper ex quocunque motu aliud aliudque accipere, neque esse initium temporis, in quo et

ἤρξατο, μήτε αὐτῆς ἀρχὴν τῆς κινήσεως, ἀλλ' εἶναι αὐτὴν διαιρεῖν ἐπὶ τὸ ἄνω, ὥστε ἐξ ἀπείρου συμβαίνοι ἂν τοῦ χρόνου κεκινῆσθαι τὴν ἄρτι ἀρξαμένην, καὶ αὐτὴν ἄπειρον εἰς τὸ ἀρξάμενον εἶναι. Τοῦτο γὰρ συμβαίνει διὰ τὸ χωρίζειν ἐνέργειαν κινήσεως, καὶ τὴν μὲν ἐν ἀχρόνῳ φάσκειν γενέσθαι, τὴν δὲ χρόνου δεῖσθαι λέγειν, μὴ τὴν τοσὴν μόνον, ἀλλ' ὅλως τὴν φύσιν αὐτῆς ἀναγκάζεσθαι ποσὴν λέγειν, καίτοι ὁμολογοῦντας καὶ αὐτοὺς, κατὰ συμβεβηκὸς τὸ ποσὸν αὐτῇ παρεῖναι, εἰ ἡμερησία εἴη, ἢ ὁποσουοῦν χρόνου. Ὥσπερ οὖν ἐνέργεια ἐν ἀχρόνῳ, οὕτως οὐδὲν κωλύει καὶ κίνησιν ἦρχθαι ἐν ἀχρόνῳ, ὁ δὲ χρόνος, τῷ τοσήνδε γεγονέναι, ἐπεὶ καὶ μεταβολαὶ ἐν ἀχρόνῳ ὁμολογοῦνται γίγνεσθαι, ἐν τῷ λέγεσθαι, ὥσπερ οὐ καὶ ἀθρόας γινομένης μεταβολῆς. Εἰ οὖν μεταβολὴ, διὰ τί οὐχὶ καὶ κίνησις; εἴληπται δὲ μεταβολὴ οὐκ ἐν τῷ μεταβεβληκέναι· οὐ γὰρ τῆς ἐν τῷ μεταβεβληκέναι ἐδεῖτο.

a quo inceperit: neque rursus motionis exordium, sed liceat semper altius motum dividere, adeo, ut contingat motum nuper inchoatum jam etiam ex infinito tempore processisse, ipsumque motum similiter infinitum, quantum spectat ad exordium, exstitisse. Id autem ideo accidit, quoniam actum a motu separant: et actum quidem fieri in non tempore dicunt, motum vero tempore indigere fatentur: motum, inquam, non solum tantum proprie aut tantum, sed omnino motus ipsius naturam necessario esse quantam: tametsi ipsi fatentur, tantum aut tantum per accidens motioni contingere, si quidem motus sit diurnus, vel quanticunque sit temporis. Sicut igitur actus fit in non tempore, ita nihil prohibet motum quoque in non tempore incepisse, tempus autem ob id motui contigisse, quoniam motus tantus evaserit: quandoquidem mutationes quoque in non tempore fieri conceduntur, quando dici solet, mutationem partim quidem peragi simul totam, partim vero nequaquam. Si ergo mutatio, cur non etiam motus agitur in non tempore? Assumpta vero mutatio est, non in eo, quod jam facta fuerit permutatio: non enim mutatione illa indigebat, quæ propria in esse quodam permutato consisteret.

Probabilius sub motu, tanquam genere, ponerent actionem et passionem, quam duo hæc tanquam prædicamenta duo. Esse relativum non est simpliciter esse alicujus, vel ad aliquid vergere, sed hoc ipsum, quod est, ex mutua duorum habitudine conficit.

ΙΖ'. Εἰ δέ τις λέγοι μήτε τὴν ἐνέργειαν μήτε τὴν κίνησιν γένους δεῖσθαι καθ' αὑτὰ, ἀλλ' εἰς τὸ πρός τι ἀνάγειν, τῷ τὴν μὲν ἐνέργειαν δυνάμει εἶναι ἐνεργητικοῦ, τὴν δὲ τοῦ δυνάμει κινητικοῦ ᾗ κινητικοῦ, λεκτέον ὡς τὰ μὲν πρός τι αὐτὴ ἡ σχέσις ἐγέννα, ἀλλ' οὐ τῷ πρὸς ἕτερον μόνον λέγεσθαι· ὅταν δὲ ᾖ τις ὑπόστασις, κἂν ἑτέρου ᾖ, κἂν πρὸς ἕτερον τήν γε πρὸ τοῦ πρός τι εἴληχε φύσιν· αὕτη τοίνυν ἡ ἐνέργεια καὶ ἡ κίνησις καὶ ἡ ἕξις δὲ ἑτέρου οὖσα οὐκ ἀφῄρηται τοῦ πρὸ τοῦ πρός τι εἶναί τε καὶ νοεῖσθαι καθ' αὑτά· ἢ οὕτως πάντα ἔσται πρός τι. Πάντως γὰρ ἔχει ὁτιοῦν σχέσιν πρὸς ὁτιοῦν, ὡς καὶ ἐπὶ τῆς ψυχῆς. Αὐτή τε ἡ ποίησις καὶ τὸ ποιεῖν, διὰ τί εἰς τὸ πρός τι οὐκ ἀναχθήσεται; ἢ γὰρ κίνησις, ἢ ἐνέργεια πάντως ἔσται. Εἰ δὲ τὴν μὲν ποίησιν εἰς τὸ πρός τι ἀνάξουσι, τὸ δὲ ποιεῖν ἓν γένος θήσονται, διὰ τί οὐ καὶ τὴν μὲν κίνησιν εἰς τὸ πρός τι, τὸ δὲ κινεῖσθαι ἕν τι γένος θήσονται; καὶ διαιρήσονται τὸ κινεῖσθαι ὡς ἓν διχῆ, ἐν εἴδεσι τοῦ ποιεῖν καὶ τοῦ πάσχειν· ἀλλ' οὐχ ὡς νῦν τὸ μὲν ποιεῖν λέγουσι, τὸ δὲ πάσχειν.

XVII. Si quis autem attulerit, neque actum neque motum esse per se genera, sed in relativorum genere computari, propterea quod actus quidem sit alicujus potentia quadam activi, motus autem sit alicujus potentia motivi, qua ratione sit motivum, dicendum est: relativa semper ipsa habitudine generari, non autem ex eo duntaxat, quod dicantur ad aliud. Quando vero sit subsistentia quædam, quæ sive alterius, sive ad alterum sit, naturam tamen ipsam sortitur ante relationem: hic utique actus et motus et habitus insuper existens alterius, non caret interea ea facultate, per quam ante relationem sit in ipsa atque intelligatur: alioquin sic omnia pariter ad aliud referentur. Quodlibet enim habitudinem quandam ad aliquid habet, quod quidem animæ quoque contingit. Jam vero ipsa factio et ipsum facere cur non in relativorum numerum referantur? Aut enim motus, aut actus quidam erit omnino. Sin autem effectionem quidem in relativorum ordine collocent, ipsum vero facere genus unum constituant, quidnam prohibet, quominus et motum ad aliquid referant, ipsum vero moveri unum esse genus affirment? Atqui moveri eis dividere licet, tanquam unum, in species præcipue duas, in ipsum scilicet facere atque pati; non tamen sicut nunc efficiunt, dicentes videlicet, hoc quidem genus esse facere, illud autem genus esse pati.

Motus ipse non tam, ut simpliciter sit, quam ut sit longus, indiget tempore. Item non omnis actio refertur ad passionem, qualis incessus et intelligentia est. Præterea motus, actio, passio, sensus, intelligentia, præter id, quod sunt alicujus actus, et dirigunturque ad aliquid, existunt absolute aliquid in se ipsis.

ΙΗ'. Ἐπισκεπτέον δὲ, εἰ ἐν τῷ ποιεῖν τὰς μὲν ἐνεργείας φήσουσι, τὰς δὲ κινήσεις, τὰς μὲν ἐνεργείας λέγοντες εἶναι τὰς ἀθρόας, τὰς δὲ κινήσεις, οἷον τὸ τέμνειν· ἐν χρόνῳ γὰρ τὸ τέμνειν· ἢ πάσας κινήσεις, ἢ μετὰ κινήσεως; καὶ εἰ πάσας πρὸς τὸ πάσχειν τὰς ποιήσεις, ἢ τινὰς καὶ ἀπολύτους, οἷον τὸ βαδίζειν, καὶ τὸ λέγειν; καὶ εἰ τὰς πρὸς τὸ πάσχειν πάσας κινήσεις, τὰς δὲ ἀπολύτους ἐνεργείας, ἢ ἐν ἑκατέροις ἑκάτερον; τὸ γοῦν βαδίζειν ἀπολελυμένον ὂν, κίνησιν ἂν εἴποιεν· τὸ δὲ νοεῖν οὐκ ἔχον τὸ πάσχον καὶ αὐτὸ ἐνέργειαν,

XVIII. Considerandum est præterea, num illo dicturi sint, in ipso facere alios quidem esse actus, alios autem esse motus: et actus simul totos expleri, motus autem tales esse, quale est et dividere: dividere namque versatur in tempore: an forte actus omnes dicturi sint esse motus, vel certe cum motu? Item, utrumquid effectiones omnes ad ipsum pati sint relaturi, an potius quasdam absolutas affirmaturi, sicut incedere atque loqui? Rursus, num omnes impetus ad passionem relatos motus nominaturi sint, absolutos autem simpliciter actus, vel forsan in utrisque pariter utrumque collocaturi? Jam vero incedere quidem ipsum, quod et absolutum quiddam est, motum facile appellabunt: intelligere vero, cui patiens non re-

εἶναι, ἢ οὐδὲ ποιεῖν φατέον τὸ νοεῖν καὶ τὸ βαδίζειν. Ἀλλ' εἰ μὴ ἐν τῷ ποιεῖν ταῦτα, ποῦ, λεκτέον. Τάχα δὲ τὸ νοεῖν πρὸς τὸ νοητὸν, ὥσπερ τὴν νόησιν· καὶ γὰρ τὴν αἴσθησιν πρὸς τὸ αἰσθητόν. Ἀλλ' εἰ κἀκεῖ τὴν αἴσθησιν πρὸς τὸ αἰσθητὸν, διὰ τί αὐτὸ τὸ αἰσθάνεσθαι οὐκέτι πρὸς τὸ αἰσθητόν; καὶ ἡ αἴσθησις δὲ, ἡ πρὸς ἕτερον σχέσιν, ἔχει μὲν πρὸς ἐκεῖνο· ἔχει δέ τι παρὰ τὴν σχέσιν, τὸ ἢ ἐνέργεια ἢ πάθος εἶναι. Εἰ οὖν τὸ πάθος παρὰ τὸ τινὸς εἶναι καὶ ὑπό τινος, ἔστι τι ἕτερον· καὶ ἡ ἐνέργεια, ἡ δὲ δὴ βάδισις ἔχουσα καὶ αὐτὴ τὸ τινὸς εἶναι καὶ ποδῶν εἶναι καὶ ὑπό τινος, ἔχει τὸ κίνησις εἶναι. Ἔχοι ἂν οὖν καὶ ἡ νόησις παρὰ τὸ πρός τι τὸ ἢ κίνησις εἶναι ἢ ἐνέργεια.

spondet, actum vel actionem (ut arbitror) nuncupabunt: alioquin intelligere et incedere non dicendum erit aliquid facere. Verum si haec in genere faciendi non sint, ubi? dicendum. Forsan vero intelligere ad intelligibile sicut et intelligentiam referent: nam et sensum ad sensibile dirigunt. Quod si et sensum dirigunt ad sensibile, cur non ipsum quoque sentire ad sensibile referant? Atqui sensus, qui ut refertur ad alterum, habitudinem quidem habet ad illud: sed habet interea nihilominus praeter habitudinem aliquid, hoc ipsum scilicet actum quemdam esse vel passionem. Si igitur passio praeter id, quod alicujus vel sub aliquo sit, est et aliquid aliud, similiter sicut actus atque actio: tum vero incessus, cum ipse quoque alicujus sit, atque pedum, atque sub aliquo, habet tamen in se ipso interim, ut sit motus. Quod si ita est, intelligentia quoque praeter id, quod spectat ad aliquid, id in se muneris habet, ut aut motus quidam sit aut actus.

Probabiliter motum ponemus pro genere: quem dividemus in motum exorientem intrinsecus atque in motum extrinsecus incidentem.

Primum quidem nominabimus actionem, sive maneat intus, sive etiam in aliud exeat. Secundum vero passionem: sive quis putet hos inter se motus actionemque et passionem re ipsa discrepare, sive tantum ratione differre.

ΙΘ'. Ἐπισκεπτέον δὲ, εἰ καί τινες ἐνέργειαι δόξουσιν ἀτελεῖς εἶναι, μὴ προσλαβοῦσαι χρόνον, ὥστε εἰς ταὐτὸν ταῖς κινήσεσιν ἐλθεῖν, οἷον τὸ ζῆν καὶ ἡ ζωή. Ἐν χρόνῳ γὰρ τελείῳ τὸ ζῆν ἑκάστου καὶ ἡ εὐδαιμονία ἐνέργεια, οὐκ ἐν ἀμερεῖ, ἀλλὰ οἷον ἀξιοῦσι καὶ τὴν κίνησιν εἶναι, ὥστε κινήσεις ἄμφω λεκτέον, καὶ ἕν τι τὴν κίνησιν, καὶ γένος ἓν θεωροῦντας παρὰ τὸ ποσὸν τὸ ἐν τῇ οὐσίᾳ καὶ τὸ ποιὸν, καὶ κίνησιν οὖσαν περὶ αὐτὴν, καὶ, εἰ βούλει, τὰς μὲν σωματικὰς, τὰς δὲ ψυχικὰς, ἢ τὰς μὲν παρ' αὐτῶν, τὰς δὲ ὑπ' ἄλλων εἰς αὐτὰ, ἢ τὰς μὲν ἐξ αὐτῶν, τὰς δὲ ἐξ ἄλλων, καὶ τὰς μὲν ἐξ αὐτῶν ποιήσεις, εἴτε εἰς ἄλλα, εἴτε ἀπολελυμένας, τὰς δὲ ἐξ ἄλλων πείσεις· καίτοι καὶ αἱ εἰς ἄλλα κινήσεις αἱ αὐταὶ ταῖς ἐξ ἄλλων. Ἡ γὰρ τμῆσις ἥ τε παρὰ τοῦ τέμνοντος, ἥ τε ἐν τῷ τεμνομένῳ, μία, ἀλλὰ τὸ τέμνειν ἕτερον καὶ τὸ τέμνεσθαι. Τάχα δὲ οὐδὲ μία ἡ τμῆσις, ἡ ἀπὸ τοῦ τέμνοντος καὶ ἡ ἐν τῷ τεμνομένῳ· ἀλλ' ἔστι τὸ τέμνειν τὸ ἐκ τῆς τοιᾶσδε ἐνεργείας καὶ κινήσεως, ἑτέραν ἐν τῷ τεμνομένῳ διάδοχον κίνησιν γίγνεσθαι· ἢ ἴσως οὐ κατ' αὐτὸ τὸ τέμνεσθαι τὸ διάφορον, ἀλλὰ κατ' ἄλλο τὸ ἐπιγιγνόμενον κίνημα, οἷον τὸ ἀλγεῖν· καὶ γὰρ τὸ πάσχειν ἐν τούτῳ. Τί οὖν, εἰ μή τι ἀλγοῖ; τί ἄλλο, ἢ ἡ ἐνέργεια τοῦ ποιοῦντος ἐν τῷδε οὖσα; οὕτω γὰρ καὶ τὸ οὕτω λεγόμενον ποιεῖν, καὶ διττὸν οὕτως εἶναι τὸ ποιεῖν, τὸ μὲν μὴ ἐν ἄλλῳ, τὸ δὲ ἐν ἄλλῳ συνιστάμενον· καὶ οὐκέτι τὸ μὲν ποιεῖν, τὸ δὲ πάσχειν, ἀλλὰ τὸ ποιεῖν ἐν ἄλλῳ πεποίηκε δύο νομίζειν εἶναι, τὸ μὲν ποιεῖν, τὸ δὲ πάσχειν· οἷον καὶ τὸ γράφειν, καίτοι ὂν ἐν ἄλλῳ, οὐκ ἐπιζητεῖ τὸ πάσχειν, ὅτι μὴ ἄλλο τι ἐν τῷ γραμματείῳ ποιεῖ, παρὰ τὴν ἐνέργειαν τοῦ γράφοντος, οἷον τὸ ἀλγεῖν. Εἰ δέ τις λέγοι γεγράφθαι, οὐ τὸ πάσχειν λέγει. Καὶ ἐπὶ τοῦ βαδίζειν, καίτοι οὔσης γῆς, ἐφ' ἧς, οὐ προσποιεῖται τὸ πεπονθέναι. Ἀλλ' ὅταν ἐπὶ σώματος ζῴου βαίνῃ, τὸ πάσχειν ἐπινοεῖ, ὃ ἐπιγίγνεται ἄλγημα συλλογιζόμενος, οὐ τὸ βαδίζειν, ἢ ἐπενόησεν ἂν καὶ πρότερον. Οὕτω καὶ ἐπὶ πάντων κατὰ μὲν

XIX. Post haec autem considerandum est, numquid actus aliqui videantur imperfecti fore, nisi tempus assumpserint, adeo, ut cum motibus una conspirent, velut vivere atque vita. In tempore namque perfecto consistere videtur suum cujusque vivere: ipsa quinetiam beatitudo actus quidam esse, non in aliquo individuo consistens; sed tanquam motum quemdam esse putant. Ex quo dicendum sit, utraque motus esse, atque motum ipsum genus unum existere: quod quidem perspicere licet unum secundum se genus ultra quantitatem, quae in substantia est, et ultra qualitatem; adeo, ut motus similiter sit unum quiddam circa substantiam: quem quidem communem motum, si placet, in duas dividas motiones, quarum aliae quidem ad corpus, aliae vero pertinere ad animam videantur: aut aliae penes ipsa moventia sint, aliae sub aliis aliunde in ipsa perveniant: vel aliae ex ipsis propria, aliae autem ex alienis. Tum vero, quae sunt ex ipsis, actiones sint, sive in alia transeant, sive sint absolutae. Quae vero pendent ex aliis, passiones, quamvis motus etiam in alia transeuntes, iidem esse videantur, atque motus, qui ex aliis pendere dicuntur. Divisio namque, sive penes dividentem, sive in re divisa consideretur, est una: sed dividere aliud est, quam dividi. Forsan vero neque una quidem est ipsa divisio, quae infertur a dividente, et quae in diviso suscipitur: sed dividere ipsum [atque dividi] nihil aliud est, quam ex tali quadam actione et motione, alteram in re divisa succedentem fieri motionem: aut forsan non secundum hoc ipsum, quod dividi dicitur, differentia ipsa perpenditur, sed secundum aliud ex motione resultans, velut dolere: in hoc enim consistit pati. Quid ergo dicendum, ubi nihil doleat? Quidnam aliud, nisi quod actus efficientis in hoc existens sit loco doloris vel passionis? Sic enim accidit, et tale quiddam est, quod dicitur aliquid facere: atque ita duplex videtur esse, quod facere nominatur: aliud quidem non in alio, aliud autem in alio collocatum. Neque sic ulterius dividetur, ut aliud quidem facere sit, aliud vero pati: sed ipsum, quod est in alio facere, occasionem praestitit, ut duo quaedam esse hic apparerent, quorum aliud sit facere, aliud contra sit pati. Jam vero scribendi munus, quamvis admittatur in alio, non affert praeterea passionem sibi e contrario respondentem, quandoquidem nihil aliud efficit in scribendo, praeter scribentis ipsius actum, quod quidem perinde se habeat, atque dolere. Si quis autem dixerit tale quiddam afferri praeterea, quale sit, quod litera scriptum dicatur, non propterea passionem aliquam in medium introduxit. Atque et in ipso incessu, quamvis terra subsit, quae incessu calcatur, non tamen hic addi debet, terram aliquid inde laesa perpessam. Sed quando quis super corpus animalis progreditur, passio jam perpenditur, dum videlicet quivis excogitat dolorem insuper inde provenientem, dolorem, inquam, reputans, non incessum: alioquin id ipsum prius etiam perpendisset. Sic

τὸ ποιεῖν ἓν λεκτέον μετὰ τοῦ λεγομένου πάσχειν, τοῦ ἀντιθέτου. Ὃ δὲ πάσχειν λέγεται, τὸ γενόμενον ὕστερον, οὐ τὸ ἀντίθετον, οἷον τῷ καίειν τὸ καίεσθαι· ἀλλὰ τὸ ἐκ τοῦ καίειν καὶ καίεσθαι ἑνὸς ὄντος, τὸ ἐπ' αὐτῷ γιγνόμενον, ἢ ἄλγημα ἤ τι ἄλλο, οἷον μαραίνεσθαι. Τί οὖν, εἴ τις αὐτὸ τοῦτο ἐργάζοιτο, ὥστε λυπεῖν; οὐχ ὁ μὲν ποιεῖ, ὁ δὲ πάσχει; καὶ ἐκ μιᾶς ἐνεργείας τὰ δύο, καὶ ὁ μὲν ποιεῖ, ὁ δὲ πάσχει. Ἢ ἐν τῇ ἐνεργείᾳ οὐκέτι τὸ τῆς βουλήσεως τοῦ λυπεῖν, ἀλλὰ ποιεῖ τι ἕτερον, δι' οὗ λυπεῖ, ὃ ἐν τῷ λυπησομένῳ γενόμενον ἓν ὂν καὶ ταὐτὸν πεποίηκεν ἄλλο, τὸ λυπεῖσθαι. Τί οὖν αὐτὸ τὸ ἓν γενόμενον πρὶν καὶ λύπην ποιῆσαι; ἢ ὅλως λύπην οὐκ ἐμποιοῦν οὐ πάθος ἐστὶ τοῦ εἰς ὅν, οἷον τὸ ἀκοῦσαι; ἢ οὐ πάθος τὸ ἀκοῦσαι, οὐδ' ὅλως τὸ αἰσθάνεσθαι, ἀλλὰ τὸ λυπηθῆναί ἐστι γενέσθαι ἐν πάθει, ὃ μὴ ἀντίθετον τῷ ποιῆσαι.

et in omnibus secundum ipsum facere unum quoddam genus dicendum est una cum eo, quod pati dicitur ut oppositum. Quod autem pati dicitur, id ipsum est, quod factum est posterius, non quidem, quod sit oppositum perinde atque ei, quod est comburere, ipsum, quod est comburi: sed passio potius dicitur atque pati, id ipsum, quod ex comburere comburique, velut uno quodam existente, in re ipsa resultat, sive dolor id sit, sive aliud quiddam, quasi consumptio quaedam. Quid ergo? si quis hoc ipsum sic agat, ut dolorem inferat? nonne hic quidem agit, ille vero patitur? atque ex uno quodam actu duo conficiuntur, ubi hic facit, ille patitur. Forsan vero in ipsa actione non amplius computatur doloris inferendi propositum: sed facit aliud quiddam, per quod afficit dolore. Quod quidem in ipso dolituro factum, unumque et idem existens efficit, ut aliud praeterea sit dolore quodam affici. Quid igitur de illo dicendum? quod unum quiddam fit prius, quam etiam dolore afficiat? vel etiam ubi dolor nullus infertur, nonne passio est, illius ipsius, in quod infertur? velut audire. Sed fortasse ipsum audire non est passio, neque omnino sentire ulla passio est: at dolore premi est in passione constitui, quod quidem affectioni non est oppositum judicandum.

Aliquam actionem passio non comitatur, ut intelligentiam atque sensum: aliquam comitatur intus, ut conterere conterentem vicissim, et calefacere mutuo frigefacientem: aliquam comitatur extrinsecus, et hoc quidem dupliciter. Aut enim actionem manifesta passio comitatur foris, ut secantem: aut occulta, ut incedentem: imo et occultissima, et augeri, et formari corpus ab anima.

Κʹ. Ἀλλ' ἔστω μὴ ἀντίθετον· ὅμως δὲ ἕτερον ὂν τοῦ ποιεῖν, οὐκ ἐν τῷ αὐτῷ γένει τῇ ποιήσει, εἰ ἡ κίνησις ἄμφω, ἐν τῷ αὐτῷ, οἷον ἀλλοίωσις, κίνησις κατὰ τὸ ποιόν. Ἆρ' οὖν ὅταν μὲν ἀπὸ τοῦ ποιοῦ ἴῃ ἡ ἀλλοίωσις, ποίησις, καὶ τὸ ποιεῖν ἀπαθοῦς αὐτοῦ ὄντος; ἢ ἐὰν μὲν ἀπαθὴς ᾖ, ἐν τῷ ποιεῖν ἔσται. Ἐὰν δὲ ἐνεργοῦν εἰς ἄλλο, οἷον τύπτον, καὶ πάσχῃ, οὐκέτι ποιεῖ· ἢ οὐδὲν κωλύει ποιοῦντα καὶ πάσχειν. Εἰ οὖν κατ' αὐτὸ τὸ πάσχειν, οἷον τὸ τρίβειν, διὰ τί ποιεῖν μᾶλλον ἢ πάσχειν; ἢ ὅτι ἀντιτρίβεται καὶ πάσχει; ἆρ' οὖν, ὅτι ἀντικινεῖται, καὶ δύο κινήσεις φήσομεν περὶ αὐτόν; καὶ πῶς δύο; ἀλλὰ μία; καὶ πῶς ἡ αὐτὴ καὶ ποίησις καὶ πεῖσις; καὶ οὕτω μὲν ποίησις τῷ ἀπ' ἄλλου, εἰς ἄλλον δὲ πεῖσις ἡ αὐτὴ οὖσα. Ἀλλὰ ἄλλην φήσομεν; καὶ πῶς ἄλλο τι διατίθησι τὸν πάσχοντα ἀλλοιοῦσα, καὶ ὁ ποιῶν ἀπαθὴς ἐκείνου; Πῶς γὰρ ἂν πάθοι, ὃ ποιεῖ ἐν ἄλλῳ; ἆρ' οὖν τὸ ἐν ἄλλῳ τὴν κίνησιν εἶναι ποιεῖ τὸ πάσχειν; ὃ ἦν οὐ πάσχειν κατὰ τὸν ποιοῦντα. Ἀλλ' εἰ τὸ μὲν λευκαίνει ὁ λόγος ὁ τοῦ κύκνου, τὸ δὲ λευκαίνεται ὁ γιγνόμενος κύκνος, πάσχειν φήσομεν ἰόντα εἰς οὐσίαν; εἰ δὲ καὶ ὕστερον λευκαίνοιτο γενόμενος, καὶ εἰ τὸ μὲν αὔξοι, τὸ δὲ αὔξοιτο, τὸ αὐξόμενον πάσχειν, ἢ μόνον ἐν τῷ ποιῷ τὴν πεῖσιν; ἀλλ' εἰ τὸ μὲν καλὸν ποιοῖ, τὸ δὲ καλλύνοιτο, τὸ καλλυνόμενον πάσχειν; εἰ οὖν τὸ καλλῦνον χεῖρον γίγνοιτο, ἢ καὶ ἀφανίζοιτο, οἷον ὁ καττίτερος, τὸ δὲ βέλτιον γίγνοιτο ὁ χαλκός, πάσχειν τὸν χαλκὸν φήσομεν, τὸν δὲ ποιεῖν; τὸν δὲ μανθάνοντα πῶς πάσχειν, τῆς τοῦ ποιοῦντος ἐνεργείας εἰς αὐτὸν ἰούσης; ἢ πάθησις πῶς ἂν εἴη, μία γε οὖσα; ἀλλ' αὐτὴ μὲν οὐ πάθησις, ὁ δὲ ἔχων πάσχων ἔσται, τοῦ πάσχειν τινὸς λαμβανομένου· οὐδὲ γὰρ τῷ μὴ ἐνηργηκέναι αὐτόν· οὐ

XX. Sed esto, si placet, non sit oppositum: veruntamen cum aliud quiddam sit, quam facere, non in eodem genere una cum effectione locatur: vel fortasse, si ambo sunt motus, sunt in eodem, velut alteratio ipsa secundum qualitatem motio. Num igitur, quando ab ipso quali progreditur alteratio, est ibi factio atque facere, cum ipsum quale sit passionis expers? aut fortasse, si sit a passione remotum, in faciendo versatur. Sin autem in aliud agens, velut verberando, mutuo patitur, non amplius facit: an potius nihil prohibet faciendo pati? Si igitur secundum ipsum pati, velut atterere, id habet, cur nam facere magis, quam pati censetur? An quia vicissim atterendo conteritur atque patitur? Numquid ergo, quoniam mutuo agitatur, geminos circa ipsum motus esse dicemus? At quomodo duos? Num igitur unum? Sed quonam pacto motio eadem actio simul est atque passio? et ita quidem actio dicetur, quatenus ab alio manat, passio vero, quatenus inde fluit in aliud, dum tamen una motio est. An igitur motionem aliam esse dicemus? Et quonam pacto aliud quiddam disponat aut afficiet patientem alterans ipsa motio, atque ipsum agens non patietur ab illo secundum idem? Quo enim pacto patiatur hoc ipsum, quod in alio facit? Num ergo hoc ipsum, scilicet in alio motum esse, in causa nobis est, ut passio sit? quae quidem penes efficientem passio minime fuerat. Verum si hoc quidem album efficit ceu seminaria cygni ratio, hoc autem efficitur album, nascens videlicet cygnus, an pati dicemus cygnum in essentiam interim procedentem? Sin autem deinde etiam natus efficiatur albus: item, si hoc quidem augeat, illud autem augeatur, auctum ipsum pati asseverabimus? an potius in ipso quali quodam locabimus passionem? Praeterea, si hoc quidem pulchrum facit, hoc vero fit pulchrum, an quod pulchrum efficitur, pati interea confitebimur? Si igitur, quod pulchrum reddit, interea fit deterius, vel obscuratur, velut stannum, aliud autem evadit melius, velut aes, numquid aes pati dicemus, stannum vero facere? Denique discentem quomodo dicemus pati? videlicet ipso efficientis actu in ipsum jam prodeunte. At vero quomodo haec erit passio, cum unus sit actus? Fortasse ipsa quidem non est passio: qui autem habet, est patiens: quippe cum ipsum pati, perinde tanquam sit alicujus, accipiatur. Neque enim ex eo, quod, qui addiscit, nihil ipse egerit, pati dicitur. Nam discere

γὰρ τὸ μανθάνειν, ὥσπερ τὸ πληγῆναι ἐν ἀντιλήψει ὂν καὶ γνωρίσει, ὥσπερ οὐδὲ τὸ ὁρᾶν.

non est tanquam pulsari vel percelli: quippe cum in quadam apprehensione discretioneque consistat: sicut neque videre perinde se habet atque pulsari.

Tam actionem, quam passionem per motum quendam vel actum definire possumus. Sed illud quidem agere dicitur, cujus motus ex ipso sumit exordium, sive hinc aliquid in alio fiat, sive nihil: illud vero pati, cujus motus solum incidit aliunde, sive ad deterius est, sive ad melius. Item, seu ab agente separato incidat, ut verberatio, sive a conjuncto, ut alteratio in corpore ab opinione affectuque animi suo, et affectus ipsi extrinsecus incitati.

ΚΑ'. Τίνι οὖν γνωριοῦμεν τὸ πάσχειν; οὐ γὰρ δὴ τῇ ἐνεργείᾳ τῇ παρ' ἄλλου, εἰ ὁ τὴν ἐνέργειαν παραδεξάμενος αὐτοῦ ἐποιήσατο διαδεξάμενος· ἀλλ' ἄρα ὅπου μὴ ἐνέργεια, πεῖσις δὲ μόνον; Τί οὖν, εἰ κάλλιον γίγνοιτο, ἡ δὲ ἐνέργεια τὸ χεῖρον ἔχοι; ἢ εἰ κατὰ κακίαν ἐνεργοῖ τις, καὶ ἄρχοι εἰς ἄλλον ἀκολάστως; ἢ οὐδὲν κωλύει ἐνέργειαν εἶναι φαύλην, καὶ πεῖσιν καλήν; τίνι οὖν διοριοῦμεν; ἆρα τῷ τὸ μὲν εἰς ἄλλον παρ' αὐτοῦ, τὸ δὲ ἀφ' ἑτέρου ἐν ἄλλῳ τὸ πάσχειν; τί οὖν εἰ ἐξ αὐτοῦ μέν, μὴ εἰς ἄλλον δέ, οἷον τὸ νοεῖν, τὸ δοξάζειν; τὸ δὲ θερμανθῆναι παρ' αὐτοῦ διανοηθέντος ἢ θυμωθέντος ἐκ δόξης, μηδενὸς ἔξωθεν προσελθόντος· ἢ τὸ μὲν ποιεῖν, εἴτε ἐν αὐτῷ, εἴτε εἰς ἄλλο τι ὄν, κίνημα ἐξ αὐτοῦ. Ἡ οὖν ἐπιθυμία τί, καὶ πᾶσα ὄρεξις; εἰ ἡ ὄρεξις κινεῖται ἀπὸ τοῦ ὀρεκτοῦ, εἰ μή τις μὴ προσποιοῖ τὸ ἀφ' οὗ κεκίνηται, ὅτι δὲ μετ' ἐκεῖνο ἐγήγερται. Τί οὖν διαφέρει τοῦ πεπλῆχθαι ἢ ὠσθέντα κατενεχθῆναι; ἀλλ' ἆρα διαιρετέον τὰς ὀρέξεις λέγοντα, τὰς μὲν ποιήσεις, ὅσαι νῷ ἑπόμεναι, τὰς δὲ ὁλκὰς οὔσας, πείσεις, τὸ δὲ πάσχειν οὐ τῷ παρ' ἑτέρου ἢ παρ' ἑαυτοῦ; καὶ ποιοῖ γὰρ ἄν τι ἐν ἑαυτῷ· ἀλλ' ὅταν μηδὲν συμβαλλόμενον αὐτὸ ὑπομείνῃ ἀλλοίωσιν τὴν μὴ εἰς οὐσίαν ἄγουσαν, ἥτις ἐξίστησι πρὸς τὸ χεῖρον, ἢ μὴ πρὸς τὸ βέλτιον, τὴν τοιαύτην ἀλλοίωσιν πεῖσιν καὶ τὸ πάσχειν ἔχειν. Ἀλλ' εἰ τὸ θερμαίνεσθαι θερμότητά ἐστιν ἴσχειν, εἴη δὲ τὸ μὲν εἰς οὐσίαν συντελοῦν, τὸ δὲ μή, τὸ αὐτὸ πάσχειν καὶ οὐ πάσχειν ἔσται. Καὶ πῶς οὐ τὸ θερμαίνεσθαι διττόν; ἢ τὸ θερμαίνεσθαι, ὅταν εἰς οὐσίαν συντελῇ, καὶ τότε ἄλλου πάσχοντος εἰς οὐσίαν συντελέσει, οἷον θερμαινομένου τοῦ χαλκοῦ καὶ πάσχοντος, ἡ δὲ οὐσία ὁ ἀνδριάς, ὃς οὐκ αὐτὸς ἐθερμαίνετο, ἀλλ' ἢ κατὰ συμβεβηκός. Εἰ οὖν καλλίων ὁ χαλκὸς ἀπὸ τοῦ θερμαίνεσθαι ἢ κατὰ τὸ θερμαίνεσθαι, οὐδὲν κωλύει πάσχειν λέγειν· διττὸν γὰρ εἶναι τὸ πάσχειν· τὸ μὲν ἐν τῷ χεῖρον γίγνεσθαι, τὸ δ' ἐν τῷ βέλτιον ἢ οὐδέτερον.

XXI. Quanam igitur notione ipsum pati proprie designabimus? Non certe discernemus actu quodam, qui ab alio pendeat: siquidem qui actum susceperit, sibimet ipsum velut proprium vindicaverit: sed numquid, ubi non actus quidem sit, sed tantum passio? Quid ergo, si id, quod pati dicitur, melius fiat, actus autem se deterius habeat? aut si per pravitatem agat quispiam, et intemperate alteri dominetur? an forte nihil prohibet, actionem quidem esse pravam, passionem vero honestam? Quonam ergo potissimum distinguemus? Numquid definiemus ipsum facere per actum quendam ab ipso quolibet in aliud transeuntem, pati vero per effectum aliunde in alio resultantem? Quid ergo dicemus, si ab ipso quovis exstet quidem, in aliud autem minime transeat? qualis certe est actus intelligendi atque opinandi. Quid item, quando quis ex se ipso protinus incalescit? sive ex cogitatione vehementi id accidat, sive ira potius, quam nullo prorsus alicubi lacessente opinio propria suscitaverit. Fortasse vero ipsum facere est, sive in se ipso maneat, sive in aliud agat, impetus quidam ex se ipso quovis erumpens. Cupiditas ergo et appetitus omnis quidnam est? Fortasse si appetitus incitatur ab appetibili, passio quaedam est, etiam si nullus adjecerit, a quo incitetur, sed id ipsum duntaxat, quod post illud fuerit excitatus. Haec igitur appetitio non aliter se habet, quam si quis impulsus fuerit vel etiam impulsu quasi praecipitatus. An igitur appetitus dividere debemus, dicentes, illos quidem actiones esse, quicumque menti pareant: alios autem passiones, videlicet quod in illis rapiatur animus atque trahatur? ipsum vero pati non ex eo, quod ab alio inferatur potius, quam ex se ipso? Agere namque posset nonnihil etiam in se ipso: sed quando nihil ipsum conferens alterationem sustineat, quae quidem ad essentiam non perducat, sed deducat potius ad deterius, vel saltem ad melius non conducat: ejusmodi, inquam, alterationem in se passionem et pati habere dicamus. Verum, si calefieri nihil aliud est, quam accipere calorem atque habere; est autem calefactio partim ad essentiam conferens, partim contra: nimirum idem pati erit atque non pati. Et quidnam prohibet calefactionem esse geminam? Fortasse vero ipsum calefieri, quando ad essentiam confert, tunc etiam alio quodam patiente ad essentiam confert, velut quando aere calefacto atque patiente essentia quaedam fit, quam statuam nominant, quae quidem ipsa non est calefacta, nisi forte per accidens. Si ergo aes evadat pulchrius ex eo, quod ipsum calefiat, vel secundum ipsam calefactionem, nihil prohibet, quominus pati fateamur. Duobus enim modis passionem accipere solent, dicentes aut ad deterius, aut ad melius ducere, vel ad neutrum.

Motus idem potest, si referatur ad agens, dici actio: si ad patiens, passio nominari. Ubi proprie loquimur, actionem ab affectione distinguimus: dicentes, post actionem opus inde processum aliud non exstare, quale per affectionem fieri exstareque consuevit.

ΚΒ'. Οὐκοῦν γίγνεται τὸ πάσχειν τῷ ἔχειν ἐν αὐτῷ κίνησιν τὴν ἀλλοίωσιν, τὴν κατὰ τὸ ἀλλοιοῦσθαι ὁποσοῦν, καὶ τὸ ποιεῖν ἢ ἔχειν ἐν αὐτῷ κίνησιν τὴν ἀπόλυτον παρ' αὐτοῦ, ἢ τὴν τελευτῶσαν εἰς ἄλλο ἀπ' αὐτοῦ, ὁρμωμένην ἀπὸ τοῦ λεγομένου ποιεῖν. Καὶ κίνησις μὲν ἐπ' ἀμφοῖν, ἡ δὲ διαφορὰ ἡ διαιροῦσα τὸ ποιεῖν καὶ τὸ πάσχειν, τὸ μὲν ποιεῖν, καθ' ὅσον ποιεῖν, ἀπαθὲς τηροῦσα, τὸ δὲ πάσχειν ἐν τῷ διατίθεσθαι ἑτέρως, ἢ πρότε-

XXII. Fortasse igitur pati quidem accidit ex eo, quod aliquid in se motum habeat, motum, inquam, alterationis, per quam quoquo modo alteretur; agere vero est vel habere in se et a se ipso motum absolutum, vel edere motum a se in aliud transeuntem, qui et incipiat ab eo ipso, quod agere dicitur. Atqui motus quidem est in utrisque: differentia vero distinguens agere inter se et pati, talis est, ut agere ipsum servet, qua agere est passionis expers; pati vero in eo, quod aliquis aliter, quam prius affectum, dum

ρονεῖ χε, τῆς τοῦ πάσχοντος οὐσίας οὐδὲν εἰς οὐσίαν προσλαμβανούσης, ἀλλὰ ἄλλου ὄντος τοῦ πάσχοντος, ὅταν τις οὐσία γίγνηται. Γίγνεται τοίνυν τὸ αὐτὸ ἐν σχέσει τινὶ ποιεῖν, ἐν ἄλλῃ δὲ πάσχειν. Παρὰ μὲν γὰρ τῷδε θεωρούμενον ποιεῖν ἔσται, κίνησις οὖσα ἡ αὐτή· παρὰ δὲ τῷδε πάσχειν, ὅτι τάδε οὕτως διατίθεται, ὥστε κινδυνεύειν ἄμφω πρός τι εἶναι, ὅσα τοῦ ποιεῖν πρὸς τὸ πάσχειν· εἰ μὲν παρὰ τούτῳ τὸ αὐτὸ ποιεῖν, εἰ δὲ παρὰ τῷδε πάσχειν, καὶ θεωρούμενον ἑκάτερον οὐ καθ' αὑτὸ, ἀλλὰ μετὰ τοῦ ποιοῦντος καὶ πάσχοντος, οὗτος κινεῖ καὶ οὗτος κινεῖται, καὶ δύο κατηγορίαι ἑκάτερον· καὶ οὗτος δίδωσι τῷδε κίνησιν, οὗτος δὲ λαμβάνει, ὥστε λῆψις καὶ δόσις κἂν πρός τι· ἢ εἰ ἔχοι ὁ λαβὼν, ὥσπερ λέγεται ἔχειν χρῶμα, διὰ τί οὐ καὶ ἔχει κίνησιν; καὶ ἡ ἀπόλυτος κίνησις, οἷον ἡ τοῦ βαδίζειν, ἔχει βάδισιν καὶ ἔχει δὲ νόησιν. Ἐπισκεπτέον δὲ, εἰ τὸ προνοεῖν ποιεῖν, εἰ καὶ τὸ προνοίας τυγχάνειν πάσχειν· εἰς ἄλλο γὰρ καὶ περὶ ἄλλου ἡ πρόνοια· ἢ οὐδὲ τὸ προνοεῖν ποιεῖν, καὶ εἰ περὶ ἄλλου τὸ νοεῖν, ἢ ἐκεῖνο πάσχειν· ἢ οὐδὲ τὸ νοεῖν ποιεῖν· οὐ γὰρ εἰς αὐτὸ τὸ νοούμενον, ἀλλὰ περὶ αὐτοῦ· οὐδὲ ποίησις ὅλως, οὐδὲ δεῖ πάσας ἐνεργείας ποιήσεις λέγειν, οὐδὲ ποιεῖν τι· κατὰ συμβεβηκὸς δὲ ἡ ποίησις. Τί οὖν, εἰ βαδίζων ἴχνη εἰργάσατο, οὐ λέγομεν πεποιηκέναι; ἀλλ' ἐκ τοῦ εἶναι αὐτὸν ἄλλο τι ἢ ποιεῖν κατὰ συμβεβηκὸς καὶ τὴν ἐνέργειαν κατὰ συμβεβηκὸς, ὅτι μὴ πρὸς τοῦτο ἑώρα· ἐπεὶ καὶ ἐπὶ τῶν ἀψύχων ποιεῖν λέγομεν, οἷον τὸ πῦρ θερμαίνειν καὶ ἐνήργησε τὸ φάρμακον. Ἀλλὰ περὶ μὲν τούτων ἅλις

Ipsa patientis essentia nihil ad essentiam pertinens adipiscitur, sed aliud quiddam interea patitur, quando aliqua essentia generatur. Quam ob rem idem aliquid in habitudine quadam facere est, in alia vero habitudine pati. Nam penes quidem hoc consideratum erit facere, cum idem sit motus: penes autem illud erit pati, quoniam illud jam sic afficitur. Utraque igitur ad aliquid referri videntur, quatenus ipsa faciendi conditio se habet ad ipsam patiendi proprietatem: nempe aliquid idem penes hoc quidem est facere, sed penes illud pati, et utrumque sane consideratur non tam secundum se ipsum, quam una cum ipso faciente atque patiente, ubi hic quidem movet, ille vero movetur, et utrumque est duo quædam prædicamenta. Atqui et hic illi tradit motum, ille vicissim motum recipit: quapropter traditio et acceptio relatioque ibi contingit. Aut certe, si ille, qui accipit, habet, ut dicitur colorem habere, cur non dicatur et habere motum? Jam vero et absolutus motus, velut incedere, habet incessum, et intelligere habet intelligentiam. Proinde considerare operæ pretium est, utrum providere sit facere, ac vicissim providentia gubernari sit pati: in aliud enim atque de alio quodam providentia esse videtur. Fortasse vero providere non est facere, tametsi de alio quodam sit intelligere: neque regi providentia pati est. Forsan etiam nec intelligere quidem est facere. Non enim in ipsum, quod intelligitur, sese transfert, sed potius est de ipso: neque prorsus est effectio: neque oportet actiones omnes esse effectiones asserere, aut quicquam facere: potest autem ibi secundum accidens esse factio. Quid ergo dicendum? Si quis incedens vestigia signet, nonne fecisse aliquid confitebimur? Sed enim ex eo, quod ille aliud quid sit, vel agat, aut decernat, sequi inde ex contingenti quodam facere, actionemque per accidens: quoniam ad hoc ipsum animum minime advertebat: quandoquidem et in rebus inanimatis etiam facere dicimus, velut ignem calefacere et fecisse aliquid medicinam. Sed de his hactenus.

Peripatetici rationem sufficientem assignare non possunt, cur habere quidem vestes novum prædicamentum faciat; habere vero qualitates in se, et habere pecunias, non faciat prædicamentum novum. Item habere vestes armaque, non unum, sed duo prædicamenta significat

ΚΓ'. Περὶ δὲ τοῦ ἔχειν, εἰ τὸ ἔχει πολλαχῶς, διὰ τί οὐ πάντες οἱ τρόποι τοῦ ἔχειν εἰς ταύτην τὴν κατηγορίαν ἀναχθήσονται, ὥστε καὶ τὸ ποσὸν, ὅτι ἔχει μέγεθος, καὶ τὸ ποιὸν, ὅτι ἔχει χρῶμα, καὶ ὁ πατὴρ καὶ τὰ τοιαῦτα, ὅτι ἔχει υἱὸν καὶ υἱὸς πατέρα, καὶ ὅλως κτήματα. Εἰ δὲ τὰ μὲν ἄλλα ἐν ἐκείναις, ὅπλα δὲ καὶ ὑποδήματα καὶ τὰ περὶ τὸ σῶμα, πρῶτον μὲν ζητήσειεν ἄν τις, διὰ τί, καὶ διὰ τί ἔχων μὲν αὐτὰ μίαν ἄλλην κατηγορίαν ποιεῖ, καίων δὲ ἢ τέμνων ἢ κατορύττων ἢ ἀποβάλλων, οὐκ ἄλλην ἢ ἄλλας; εἰ δ', ὅτι περίκειται, κἂν ἱμάτιον κέηται ἐπὶ κλίνης, ἄλλη κατηγορία ἔσται, κἂν κεκαλυμμένος ᾖ τις. Εἰ δὲ κατὰ τὴν κάθεξιν αὐτὴν καὶ τὴν ἕξιν, δηλονότι καὶ τὰ ἄλλα πάντα κατὰ τὸ ἔχειν λεγόμενα, καὶ εἰς ἕξιν αὐτὰ, ὅπου ποτὲ ἡ ἕξις, ἀνακτέον, οὐ γὰρ διοίσει κατὰ τὸ ἐχόμενον. Εἰ μέν τοι ποιότητα ἔχειν οὐ δεῖ λέγειν, ὅτι ἤδη ποιότης εἴρηται, οὐδὲ ποσότητα ἔχειν, ὅτι ποσότης, οὐδὲ μέρη ἔχειν, ὅτι οὐσία εἴρηται· διὰ τί δὲ

XXIII. Reliquum est de prædicamento, quod habere nominant, disputare. Profecto si habere multipliciter aiunt, quidnam prohibet, quominus omnes habendi modi in hoc prædicamentum pariter redigantur? Quapropter et quantum ipsum huc facile reducetur, quoniam habeat magnitudinem: item quale eodem pariter referetur, quia colorem habeat. Rursus pater atque similia: quia et pater habet filium, et filius habet patrem: atque summatim possessiones omnes et supellectilia, quæ habentur. Si dixerint, alia quidem, quæcunque habentur, in suis illis prædicamentis esse, arma vero et calceos atque vestes in proprio hoc habendi prædicamento: primo quidem quæret aliquis, quam ob causam ita fiat: deinde curnam habens quidem ipsa aliud quoddam unum prædicamentum efficiat; comburens vero illa, vel dividens, vel abscondens, aut abjiciens, non aliud rursus prædicamentum, aut alia faciat. Si respondeant idcirco prædicamentum fieri, quoniam corpori circumdantur, sequetur, si quando vestis in lectica ponatur, prædicamentum inde aliud fieri, aliudque rursus, si veste quispiam prorsus fuerit adopertus. Quodsi prædicamentum ipsum fieri asserant secundum ipsum proprie continendi et habendi actum, profecto sic cetera omnia, quæ secundum hoc ipsum habere cognominantur, huc eadem referri conditione necessarium erit, atque ad ipsum habitum illa omnia, ubicumque sit ipse habitus, redigenda erunt: nihil enim interfuerit, quidnam id sit, quod habeatur. Proinde si in prædicamento ejusmodi describendo non est dicendum habere qualitatem, quoniam qualitas ipsa jam suo loco sit dicta: rursus, nec habere quantitatem, quoniam quantitas locum suum antea obtinuerit: item, nec habere partes, quia jam substantia descripta proprie fuerit, cur igitur

ὅπλα ἔχειν, εἰρημένης οὐσίας, ἐν ᾗ ταῦτα, οὐσία γὰρ ὑπόδημα καὶ ὅπλα. Πῶς δ᾽ ὅλως ἁπλοῦν καὶ μιᾶς κατηγορίας, ὅδε ὅπλα ἔχει; τοῦτο γὰρ σημαίνει τὸ ὡπλίσθαι. Ἔπειτα πότερον ἐπὶ ζῶντος μόνον, ἢ κἂν ἀνδριὰς ᾖ, ὅτῳ ταῦτα; ἄλλως γὰρ ἑκάτερον ἔχειν δοκεῖ, καὶ ἴσως ὁμωνύμως, ἐπεὶ καὶ τὸ ἕστηκεν ἐπ᾽ ἀμφοῖν οὐ ταὐτόν. Ἔτι καὶ τὸ ἐν ὀλίγοις πῶς εὔλογον ἔχειν κατηγορίαν γενικὴν ἄλλην;

dicere licet, habere arma, cum jam definita substantia fuerit, cujus in genere arma proprie continentur? Nam calcei, vestes, arma substantiæ sunt. Præterea quonam pacto simplex aliquid est hoc ipsum, uniusque duntaxat prædicamenti, quando videlicet dicimus, Hic habet arma? Id namque significat, quod dicitur armari vel armatum esse. Deinde, utrumquid in vivente solum id habendi prædicamentum habet locum, an etiam, si statua quædam habeat eadem? Aliter enim vivens quam statua videtur habere, ac fortasse æquivoca quadam conditione: quoniam et quando dicimus de utrisque, Stat ille vivens, Stat ejus statua, non eadem ratione stare utrumque volumus. Denique, quod consistit in paucis et differentia minima, quonam admittit ratio generale aliud prædicamentum efficere?

**Poni sic aut aliter in tali quadam figura vel loco non videtur novum afferre prædicamentum præter figuram, locum, actionem, passionem, relationem.**

ΚΔʹ. Ἐπὶ δὲ τοῦ κεῖσθαι, ἐν ὀλίγοις καὶ αὐτὸ ὄν, ἀνακεῖσθαι, καθῆσθαι· καίτοι οὐ κεῖσθαι ἁπλῶς λεγόμενον, ἀλλὰ πῶς κεῖνται, καὶ κεῖται ἐν σχήματι τοιῷδε, καὶ τὸ μὲν σχῆμα ἄλλο, τοῦ δὲ κεῖσθαι ἄλλο τι σημαίνοντος, ἢ ἐν τόπῳ ἐστίν· εἰρημένου τοῦ σχήματος καὶ τοῦ τόπου, τί δεῖ εἰς ἓν δύο κατηγορίας συνάπτειν; ἔπειτα, εἰ μὲν τὸ κάθηται ἐνέργειαν σημαίνει, ἐν ταῖς ἐνεργείαις τακτέον, εἰ δὲ πάθος, ἐν τῷ πεπονθέναι ἢ πάσχειν. Τὸ δὲ ἀνάκειται, τί ἄλλο, ἢ ἄνω κεῖται; ὥσπερ καὶ τὸ κάτω κεῖται, ἢ μεταξὺ κεῖται. Διὰ τί δὲ, ἀνακλίσεως οὔσης ἐν τῷ πρός τι, οὐχὶ καὶ ὁ ἀνακείμενος ἐκεῖ; ἐπεὶ καὶ τοῦ δεξιοῦ ὄντος ἐκεῖ, καὶ ὁ δεξιὸς ἐκεῖ καὶ ὁ ἀριστερός. Ταῦτα μὲν οὖν ἐπὶ τούτων.

XXIV. Sequitur postremo prædicamentum illud, quod poni vel in situ quodam esse nominant, quod quidem et ipsum in paucis consistit et differentia minima, ubi solent dicere, accumbere, discumbere, sedere: tametsi non simpliciter, sed modo quodam poni vel obtinere situm prædicamentum esse novum velint: velut quando dicitur, in tali quadam figura positus est, ubi aliud quidem est figura, positio vero ipsa vel poni significat aliud. Et profecto, cum id significet in figura quadam esse vel loco, atque figura alibi descripta jam sit et locus, quidnam oportet ulterius prædicamenta duo in unum accumulare? Præterea si, quod dicitur sedet, actum actionemve significat, in actionum genere collocandum: sin vero passionem, in genere passionum: deinde, quod dicitur suspendi, quidnam aliud significat, quam poni sursum? quemadmodum et oppositum significat positum esse deorsum, et aliud in medio positum. Præterea, cum accubitus fuerit in relationum genere collocatus, cur non ibidem sit et qui dicitur sursum positus? quandoquidem, cum ibi sit ipsum dextrum, ibidem est hic dexter atque sinister. Sed de his jam satis fuerit disputatum.

**Non sunt ponenda prædicamenta quatuor sub uno genere, quemadmodum plerique Stoicorum Cynicorumque posuerunt. Lusit hactenus contra decem Aristotelis et Archytæ prædicamenta exercitandi forsitan ingenii gratia. Deinceps vero severius agit adversus illos, qui materiam loco principii posuerunt, deinde una cum sequentibus sub eodem genere collocarunt.**

ΚΕʹ. Πρὸς δὲ τοὺς τέτταρας τιθέντας, καὶ τετραχῇ διαιροῦντας εἰς ὑποκείμενα, καὶ ποιὰ, καὶ πὼς ἔχοντα, καὶ πρός τι πὼς ἔχοντα, καὶ κοινόν τι ἐπ᾽ αὐτῶν τιθέντας, καὶ ἑνὶ γένει περιλαμβάνοντας τὰ πάντα, ὅτι μὲν κοινόν τι καὶ ἐπὶ πάντων ἓν γένος λαμβάνουσι, πολλὰ ἄν τις λέγοι. Καὶ γὰρ ὡς ἀσύνετον αὐτοῖς καὶ ἄλογον τὸ τὶ τοῦτο, καὶ οὐκ ἐφαρμόττον ἀσωμάτοις καὶ σώμασι, καὶ διαφορὰς οὐ καταλελοίπασιν, αἷς τὸ τὶ διαιρήσουσι· καὶ τὸ τὶ τοῦτο, ἢ ὂν ἢ μὴ ὄν ἐστιν· εἰ μὲν οὖν ὄν, ἕν τι τῶν εἰδῶν ἐστιν· εἰ δὲ μὴ ὄν, ἔστι τὸ ὂν μὴ ὄν, καὶ μυρία ἕτερα. Ταῦτα μὲν οὖν ἐν τῷ παρόντι ἐατέον, αὐτὴν δὲ τὴν διαίρεσιν ἐπισκεπτέον· ὑποκείμενα μὲν γὰρ πρῶτα τάξαντες, καὶ τὴν ὕλην ἐνταῦθα τῶν ἄλλων προτάξαντες, τὴν πρώτην αὐτοῖς δοκοῦσαν ἀρχὴν συντάττουσι τοῖς μετὰ τὴν ἀρχὴν αὐτῶν. Καὶ πρῶτον μὲν τὰ πρότερα τοῖς ὑστέροις εἰς ἓν ἄγουσιν, οὐχ οἷόν τε ὂν ἐν γένει τῷ αὐτῷ τὸ μὲν πρότερον, τὸ δὲ ὕστερον εἶναι. Ἐν μὲν γὰρ τοῖς, ἐν οἷς τὸ πρότερον καὶ τὸ ὕστερον, τὸ ὕστερον παρὰ τοῦ προτέρου λαμβάνει τὸ εἶναι· ἐν δὲ τοῖς ὑπὸ τὸ αὐτὸ γένος τὸ ἴσον εἰς τὸ εἶναι ἕκαστον ἔχει παρὰ τοῦ γένους, εἴπερ τοῦτο δεῖ γένος εἶναι, τὸ ἐν

XXV. Post hæc autem adversus eos, qui prædicamenta quatuor introducunt, res videlicet ipsas quadrupliciter dividentes in subjecta, et qualia, et quodammodo se habentia, et ad aliquid quodammodo se habentia; atque unum quiddam commune cunctis attribuentes, dum videlicet cuncta uno quodam genere complectuntur: adversus eos, inquam, multa licet afferre, contra id præsertim, quod aiunt commune genus unum omnibus convenire. Etenim inconsiderate admodum et absque ratione introductum est apud eos, quod solent hoc aliquid appellare: neque incorporeis corporibusque simul accommodari potest: sed neque differentias reliquerunt, quibus hoc aliquid distinguere valeant. Atqui id ipsum hoc aliquid aut est, aut non est: si ens esse dicitur, una quædam est e numero specierum: sin vero non ens, sequitur ens fore non ens, et quam plurima generis ejusdem. Hæc ergo missa in præsentia faciamus. Ipsam vero divisionem consideremus. Principio subjecta in primo gradu ponentes, ibidemque materiam anteponentes aliis, absurde admodum id ipsum, quod primum putant esse principium, in uno quodam ordine cum his connumerant, quæ post ipsorum principium collocantur. Et in primis quidem priora una cum posterioribus in unum aliquod congregant, cum alioquin fieri nequeat, ut in eodem genere aliud quidem prius sit, aliud vero posterius. In illis enim, in quibus prius est atque posterius, id certe, quod posterius est, a priore habet essentiam: at in eis, quæ sub eodem genere sunt, quodlibet genus idem genus æqualitatem habet essendi: siquidem hoc esse genus oportet, quod in eo, quod quid

τῷ τί ἐστι τῶν εἰδῶν κατηγορούμενον· ἐπεὶ καὶ αὐτοὶ φήσουσι παρὰ τῆς ὕλης, οἶμαι, τοις ἄλλοις τὸ εἶναι ὑπάρχειν. Ἔπειτα τὸ ὑποκείμενον ἓν ἀριθμοῦντες οὐ τὰ ὄντα ἐξαριθμοῦνται, ἀλλ' ἀρχὰς τῶν ὄντων ζητοῦσι· διαφέρει δὲ ἀρχὰς λέγειν καὶ αὐτά. Εἰ δὲ ὂν μὲν μόνον τὴν ὕλην φήσουσι, τὰ δ' ἄλλα πάθη τῆς ὕλης, οὐκ ἐχρῆν τοῦ ὄντος καὶ τῶν ἄλλων ἕν τι γένος προτάττειν· μᾶλλον δ' ἂν βέλτιον αὐτοῖς ἐλέγετο, εἰ τὸ μὲν οὐσίαν, τὰ δ' ἄλλα πάθη, καὶ διῃροῦντο ταῦτα. Τὸ δὲ καὶ λέγειν τὰ μὲν ὑποκείμενα, τὰ δὲ τὰ ἄλλα, ἑνὸς ὄντος τοῦ ὑποκειμένου καὶ διαφορὰν οὐκ ἔχοντος, ἀλλ' ἢ τῷ μεμερίσθαι, ὥσπερ ὄγκον εἰς μέρη, καίτοι οὐδὲ μεμερίσθαι τῷ συνεχῆ λέγειν τὴν οὐσίαν· βέλτιον λέγειν ἦν τὸ μὲν ὑποκείμενον.

est, prædicatum de speciebus : quandoquidem et ipsi cetera omnia habere essentiam a materia, ut arbitror, fatebuntur. Deinde, ubi subjectum in numerando unicum introducunt, non res quidem ipsas enumerant, sed rerum principia quærunt : interest autem, rerum principia, atque res dicere. Sin autem materiam quidem solam ens esse velint, cetera vero quasdam materiæ passiones, certe non oportebat entis ipsius et aliorum genus unum proponere : sed melius forlasse dixissent, si hoc quidem velut essentiam posuissent, reliqua vero tanquam passiones illius aliquas posuissent, ea in posterum partiturí. Denique absurdum est, quod aiunt, alia quidem esse subjecta, et alia reliqua : quippe cum unicum sit subjectum, neque ullam in se differentiam habeat, nisi forte ita dividi possit, sicut aliqua moles in partes : quamvis neque dividere quidem liceat, propterea, quod continuam esse substantiam arbitrantur. Melius itaque dixissent, si non subjecta nobis, sed subjectum introduxissent.

Materiam per se informem aliunde formabilem nefas est pro rerum principio ponere : præsertim quia omnia actum appetunt tanquam bonum : actum dico formam et actionem. Actus igitur ipse summus et simplicissimus, cui nihil potentiæ materialis inest, est finis ultimus et principium. Actum dico etiam forma superiorem. Omnia enim actum aliquem appetunt ultra formam. Ridiculum est, postquam simplicem materiam loco principii posuerunt, addere materiam continuam, inquam, et extensam. Hæc enim non jam foret simplex, sed cum quantitate et qualitate permista. Denique, quicquid constat ex multis, cum fiat participatione unum, pendet ab aliquo per se ipsum uno ideoque penitus individuo.

ΚϚ'. Ὅλως δὲ τὸ προτάττειν ἁπάντων τὴν ὕλην, ὃ δυνάμει ἐστίν, ἀλλὰ μὴ ἐνέργειαν πρὸ δυνάμεως τάττειν παντάπασιν ἀτοπώτατον. Οὐδὲ γάρ ἐστι τὸ δυνάμει εἰς ἐνέργειαν ἐλθεῖν ποτε, τάξεως ἀρχὴν ἔχοντος ἐν τοῖς οὖσι τοῦ δυνάμει· οὐ γὰρ δὴ αὐτὸ ἑαυτὸ αὔξει, ἀλλὰ δεῖ ἢ πρὸ αὐτοῦ εἶναι τὸ ἐνεργείᾳ, καὶ οὐκέτι τοῦτο ἀρχή, ἤ, εἰ ἅμα λέγοιεν, ἐν τύχαις θήσονται τὰς ἀρχάς· ἔπειτα εἰ ἅμα, διὰ τί οὐκ ἐκεῖνο προτάττουσι; καὶ διὰ τί τοῦτο μᾶλλον ὄν, ἡ ὕλη, ἀλλ' οὐκ ἐκεῖνο; εἰ δὲ ὕστερον ἐκεῖνο, πῶς; οὐ γὰρ δὴ ἡ ὕλη τὸ εἶδος γεννᾷ ἡ ἄποιος τὸ ποιόν, οὐδ' ἐκ τοῦ δυνάμει ἐνέργεια· ἐνυπῆρχε γὰρ ἂν τὸ ἐνεργείᾳ· καὶ οὐχ ἁπλοῦν ἔτι, καὶ ὁ θεὸς δεύτερος αὐτοῖς τῆς ὕλης· καὶ γὰρ σῶμα ἐξ ὕλης ὂν καὶ εἴδους, καὶ πόθεν αὐτῷ τὸ εἶδος; εἰ δὲ καὶ ἄνευ τοῦ ὕλην ἔχειν ἀρχοειδὴς ὢν καὶ λόγος, ἀσώματος ἂν εἴη ὁ θεός, καὶ τὸ ποιητικὸν ἀσώματον. Εἰ δὲ καὶ ἄνευ τῆς ὕλης ἐστὶ τὴν οὐσίαν σύνθετος, ἅτε σῶμα ὤν, ἄλλην ὕλην, τὴν τοῦ θεοῦ, εἰσάξουσιν. Ἔπειτα πῶς ἀρχὴ ἡ ὕλη, σῶμα οὖσα; οὐ γάρ ἐστι σῶμα μὴ οὐ πολλὰ εἶναι· καὶ πᾶν σῶμα ἐξ ὕλης καὶ ποιότητος. Εἰ δὲ ἄλλως τοῦτο τὸ σῶμα, ὁμωνύμως λέγουσι σῶμα τὴν ὕλην· εἰ δὲ κοινὸν ἐπὶ σώματος τὸ τριχῆ διάστατον, μαθηματικὸν λέγουσιν· εἰ δὲ μετὰ ἀντιτυπίας τὸ τριχῆ, οὐχ ἓν λέγουσιν. Ἔπειτα ἡ ἀντιτυπία ποιόν, ἢ παρὰ ποιότητος· καὶ πόθεν ἡ ἀντιτυπία; πόθεν δὲ τὸ τριχῆ διάστατον; ἢ τίς διέστησεν; οὐ γὰρ ἐν τῷ λόγῳ τοῦ τριχῆ διαστάτου ἡ ὕλη, οὐδ' ἐν τῷ τῆς ὕλης τὸ τριχῆ διάστατον. Μετασχοῦσα τοίνυν μεγέθους οὐκέτ' ἂν ἁπλοῦν εἴη. Ἔπειτα πόθεν ἡ ἕνωσις; οὐ γὰρ δὴ αὐτὸ ἕνωσις, ἀλλὰ μετοχὴ ἑνότητος. Ἐχρῆν δὴ λογίσασθαι, ὡς οὐκ ἔστι δυνατὸν προτάττειν ἁπάντων ὄγκον, ἀλλὰ τὸ ἄογκον καὶ τὸ ἕν, καὶ ἐκ τοῦ ἑνὸς ἀρξαμένους εἰς τὰ

XXVI. Præ ceteris autem absurdissimum esse videtur, materiam, quæ in potentia est, omnibus anteponere, neque actum ipsum potius potentiæ anteferre. Neque enim fieri potest, ut, quod est in potentia, ad actum aliquando prodeat, si modo id, quod est in potentia, ordinem in rebus principii teneat. Non enim ipsum, quod in potentia tantum est, se ipsum unquam perducet in melius, sed oportet vel ante ipsum esse, quod est in actu, atque ita non amplius id ipsum erit principium, aut certe, si simul esse dixerint, in fortuita quadam sorte rerum principia collocabunt. Item, si simul ponant, cur non et illud præferunt? Curve hoc, id est materia, potius, quam illud, esse ens judicatur? At si illud esse posterius asserant, quærendum erit, qua conditione id fieri possit. Nempe materia speciem minime generat, quia nec informe formosum, neque ex eo, quod in potentia solum est, id, quod est actu, vel actus quandoque procedit; alioquin prius etiam tanquam actu quodam illic extitisset : neque amplius subjectum apud eos illud atque materia foret simplex : atqui et deus apud illos materia posterior est. Corpus enim est apud eos ex materia et specie constans. Ubi certe quærendum est, undenam ei species adsit : sin autem absque materia deus existit, quippe cum ratio quædam sit, principii obtinens proprietatem, nimirum est incorporeus, atque principium efficax est incorporeum. Quodsi etiam sine materia compositam habet essentiam, utpote qui corpus sit, consequens est, ut aliam materiam, quæ deo conveniat, introducant. Præterea quonam pacto materia principium est, cum ipsa sit corpus? Fieri namque non potest, quin corpus sit multa. Atqui omne corpus ex materia et qualitate componitur. Si autem corpus hoc se aliter habet, æquivoce materiam corpus appellant : at si communem corporis proprietatem trinam esse dicant dimensionem, certe corpus afferent mathematicum. Verum si dimensionem triplicem cum resistentia quadam conjungant ad ipsam corporis plenitudinem, non unum aliquid dicent. Præterea resistendi proprietas quale quiddam est, vel a qualitate proveniens : jam vero quærendum est, unde sit resistentia : unde distantia triplex : quis distare compulerit? Non enim in ipsa ratione trinæ dimensionis materia continetur, neque vicissim in ratione materiæ dimensio trina. Quapropter, cum ita materia magnitudinis sit particeps, haud amplius erit simplex. Præterea undenam unitas? Non enim subjectum hoc est ipsa unitas, sed unitatis participatione consistit. Operæ pretium erat considerare, non posse molem omnibus anteponi, sed anteponendum aliquid a mole secretum, ipsumque unum : atque decere ab uno exordientes in multa descendere, et ab eo incipientes, quod est a

πολλὰ τελευτᾷν, καὶ ἐξ ἀμεγέθους εἰς μεγέθη, εἴ γε οὐκ ἔστι πολλὰ εἶναι, μὴ ἑνὸς ὄντος, οὐδὲ μέγεθος, μὴ ἀμεγέθους· εἴ γε τὸ μέγεθος ἕν, οὐ τῷ αὐτὸ ἕν, ἀλλὰ τῷ μετέχειν τοῦ ἓν καὶ κατὰ σύμβασιν. Δεῖ τοίνυν εἶναι τὸ πρώτως καὶ κυρίως πρὸ τοῦ κατὰ σύμβασιν· ἢ πῶς ἡ σύμβασις; καὶ ζητεῖν, τίς ὁ τρόπος τῆς συμβάσεως· τάχα γὰρ ἂν εὗρον τὸ μὴ κατὰ συμβεβηκὸς ἕν. Λέγω δὲ κατὰ συμβεβηκός, ὅτῳ μὴ αὐτὸ ἕν, ἀλλὰ παρ' ἄλλου.

magnitudine segregatum, in magnitudines devenire; siquidem neque multa esse possunt, nisi sit unum; neque magnitudo potest esse, nisi sit aliquid a magnitudine liberum: quippe cum magnitudo ita sit unum, non ex eo, quod sit ipsum unum, sed propterea, quod unius sit particeps, et secundum quandam congressionem. Est itaque necessarium, esse ipsum, quod primo præcipueque tale est, ante illud; quod fit tale secundum quandam congressionem fortasse etiam contingentem: alioquin quonam pacto conventus fieri potest? Tum vero quærendum est, quænam conveniendi conditio sit. Quod quidem si quæsivissent, forte unum ipsum, *quod non secundum contingentiam unum est*, invenissent. Dico autem secundum contingentiam illud, cui non per se inest, ut sit unum, sed ab alio quodam unum esse contingit.

Materia prima, si omnibus tam moventibus, quam formis, subjecta est, non potest esse rerum principium. Nec materia per se informis parit formas, nec ulla forma in materia jacens potest ex se existere, quando in se ipsa consistere nunquam potest: nec earum principium est forma quædam materiæ mista; alioquin non poterit dominari materiæ. Oportet vero motorem tandem efficacissimum esse ab impedimentis materialibus expeditum. Si quis vero fingat, materiam esse formarum principium, negaturus est eam esse subjectam, affirmaturusque, hanc per essentiam suam formas omnes existere: ac tandem, quicquid re vera est in mundo, esse materiam, formas vero imaginamenta quædam. Sed re vera, cum ex materia naturaliter informi effici forma non possit, multo minus vita, quæ est forma præstantior: minime vero mens, præstantissima forma. Denique, principium materialis formæ vita quædam est non pullulans ex materia, quamvis sit infusa materiæ. Atque hujus vitæ principium ipsa vita est, materiam longius supereminens.

ΚΖ'. Ἐχρῆν δὲ καὶ ἄλλως τηροῦντας τὴν ἀρχὴν τῶν πάντων ἐν τῷ τιμίῳ, μὴ τὸ ἄμορφον, μηδὲ τὸ παθητόν, μηδὲ τὸ ζωῆς ἄμοιρον καὶ ἀνόητον καὶ σκοτεινὸν καὶ τὸ ἀόριστον τίθεσθαι ἀρχήν, καὶ τούτῳ ἀναφέρειν καὶ τὴν οὐσίαν. Ὁ γὰρ θεὸς αὐτοῖς εὐπρεπείας ἕνεκεν ἐπεισάγεται, παρά τε τῆς ὕλης ἔχων τὸ εἶναι, καὶ σύνθετος καὶ ὕστερος, μᾶλλον δὲ ὕλη πως ἔχουσα· ἔπειτα εἰ ὑποκείμενον, ἀνάγκη ἄλλο εἶναι, ὃ ποιοῦν εἰς αὐτήν, ἔξω ὂν αὐτῆς, παρέχει αὐτὴν ὑποκεῖσθαι τοῖς παρ' αὐτοῦ πεμπομένοις εἰς αὐτήν. Εἰ δ' ἐν τῇ ὕλῃ καὶ αὐτὸς εἴη ὑποκείμενος καὶ αὐτὸς σὺν αὐτῇ γενόμενος, οὐκέτι ὑποκείμενον τὴν ὕλην παρέξεται, οὐδὲ μετὰ τῆς ὕλης αὐτὸς ὑποκείμενον· τίνι γὰρ ὑποκείμενα ἔσται, οὐκέτι ὄντος τοῦ παρέξοντος ὑποκείμενα αὐτά, ἁπάντων καταναλωθέντων εἰς τὸ λεγόμενον ὑποκείμενον; πρός τι γὰρ τὸ ὑποκείμενον, οὐ πρὸς τὸ ἐν αὐτῷ, ἀλλὰ πρὸς τὸ ποιοῦν εἰς αὐτὸ κείμενον. Καὶ τὸ ὑποκείμενον ὑπόκειται πρὸς τὸ οὐχ ὑποκείμενον, εἰ τοῦτο, πρὸς τὸ ἔξω, ὥστε παραλελειμμένον ἂν εἴη τοῦτο. Εἰ δὲ οὐδὲν δέονται ἄλλου ἔξωθεν, αὐτὸ δὲ πάντα δύναται γίγνεσθαι σχηματιζόμενον, ὥσπερ ὁ τῇ ὀρχήσει πάντα αὑτὸν ποιῶν, οὐκέτ' ἂν ὑποκείμενον εἴη, ἀλλ' αὐτὸ τὰ πάντα. Ὡς γὰρ ὁ ὀρχηστὴς οὐχ ὑποκείμενον τοῖς σχήμασιν, (ἐνέργεια γὰρ αὐτοῦ τὰ ἄλλα,) οὕτως οὐδὲ ἣν λέγουσιν ὕλην ἔσται τοῖς πᾶσιν ὑποκείμενον, εἰ τὰ ἄλλα παρ' αὐτῆς εἴη· μᾶλλον δὲ οὐδὲ τὰ ἄλλα ὅλως ἔσται, εἴ γε πως ἔχουσα ὕλη τὰ ἄλλα, ὥς πως ἔχων ὁ ὀρχούμενος τὰ σχήματα. Εἰ δὲ τὰ ἄλλα οὐκ ἔσται, οὐδὲ ὅλως ὑποκείμενον αὕτη, οὐδὲ τῶν ὄντων ἡ ὕλη, ἀλλὰ ὕλη μόνον οὖσα, τούτῳ αὐτῷ οὐδὲ ὕλη· πρός τι γὰρ ἡ ὕλη· τὸ γὰρ πρός τι πρὸς ἄλλο, καὶ ἐκ τοῦ αὐτοῦ γένους οἷον διπλάσιον πρὸς ἥμισυ, οὐκ οὐσία πρὸς διπλάσιον· ὂν δὲ πρὸς μὴ ὄν, πῶς πρός τι, εἰ μὴ κατὰ συμβεβηκός; τὸ δὲ καθ' αὑτὸ ὂν καὶ ἡ ὕλη, ὂν πρὸς ὄν· εἰ γὰρ δύναμίς ἐστιν, ὃ μέλλει ἔσεσθαι, ἐκεῖνο δὲ μὴ οὐσία, οὐδ'

XXVII. Fas autem erat, ipsum omnium principium in sede admodum veneranda aliter observantes, nullo modo principium affirmare, quod informe sit, quod obnoxium passioni, quod vita carens, mente captum, tenebrosum, indefinitum, atque huic ipsius essentiæ munus adscribere. Nempe deus ipse apud illos honesti et decori cujusdam gratia est introductus, habens essentiam a materia, et *compositus et posterior, imo vero existens materia ipsa* quodammodo sese habens. Proinde, si materia subjectum est, necessarium est aliud quiddam esse extra ipsam, quod quidem in eam agens adhibet eam muneribus ab ipso traditis subditam. Sin autem et ipse, qui materiam dicitur agitator, in ipsa materia sit velut subjectus una cum ipsa, haud amplius materiam subditam adhibebit: sed certe non potest ipse una cum materia esse subjectum: alioquin cuinam subjecta hæc erunt, cum non ulterius adsit aliquis, qui ea faciat esse subjecta? quippe cum omnia in hoc ipsum, quod subjectum dicitur, absumpta jam fuerint. Nempe subjectum ad aliquid necessario pertinet, non quidem ad illud, quod sit in ipso, sed ad illud potius, quod in ipsum agat expositum. Sane subjectum exponitur ad illud, quod non est subjectum: si hoc, igitur ad externum. Quapropter prætermissum hoc fuisse videtur. Cæterum, si nihilo illi egent externo quodam, sed subjectum ipsum per se potest omnia fieri, quasi vario figuratum illius more, qui tripudio se format in omnia transfigurat, certo non amplius subjectum erit, sed hoc ipsum potius omnia. Sicut enim tripudiator ipse non figuris subjectus est, nam gestus quidam *ipsius figuræ sunt: ita neque*, quam materiam nominant, subjectum omnibus erit, si ab ipsa omnia fuerint. Imo vero neque omnino quidem erunt alia: siquidem reliqua nihil aliud sunt, præter materiam ipsam quodammodo se habentem, quemadmodum et saltator in ipso tripudio certo se ipsum modo habens figuræ ipse omnes existit. Sin autem alia non sint, nec omnino ipsa materia subjectum erit: neque erit materia rerum, sed materia tantum: ideoque nec etiam ipsa materia: ad aliquid enim materia referri videtur: et quod refertur ad aliquid, spectat ad aliud, atque ex eodem genere ducitur velut duplum ad dimidium, nec substantia quidem ad duplum. Ens autem ad non ens quonam modo refertur, nisi forte per accidens? Quod autem secundum se ens existit, atque ipsa materia, tanquam ens refertur ad ens. Si enim potentia quædam est, quod est futurum, illud autem non

ἂν αὐτὴ οὐσία. Ὥστε συμβαίνει αὐτοῖς, αἰτιωμένοις τοὺς ἐκ μὴ οὐσιῶν οὐσίας ποιοῦντας, αὐτοὺς ποιεῖν ἐξ οὐσίας μὴ οὐσίαν. Ὁ γὰρ κόσμος καθ' ὅσον κόσμος οὐκ οὐσία. Ἄτοπον δὲ τὴν μὲν ὕλην τὸ ὑποκείμενον οὐσίας, τὰ δὲ σώματα μὴ μᾶλλον οὐσίας, καὶ τούτων μᾶλλον, μὴ τὸν κόσμον οὐσίαν, ἀλλ' ἢ μόνον, καθ' ὅσον μόριον αὐτοῦ, οὐσίαν· καὶ τὸ ζῷον μὴ παρὰ τῆς ψυχῆς ἔχειν τὴν οὐσίαν, παρὰ δὲ τῆς ὕλης μόνον, καὶ τὴν ψυχὴν πάθημα ὕλης καὶ ὕστερον. Παρὰ τίνος οὖν ἔσχεν ἡ ὕλη τὸ ἐψυχῶσθαι, καὶ ὅλως τῆς ψυχῆς ἡ ὑπόστασις; πῶς δὲ ἡ ὕλη; ὅτε μὲν σώματα γίγνεται, ἄλλο δὲ αὐτῆς ψυχή. Καὶ γὰρ, εἰ ἄλλοθεν προσίοι τὸ εἶδος, οὐδαμῇ ψυχὴ ἂν γένοιτο ποιότητος προσελθούσης τῇ ὕλῃ, ἀλλὰ σώματα ἄψυχα. Εἰ δέ τι αὐτὴν πλάττοι καὶ ψυχὴν ποιοῖ, πρὸ τῆς γιγνομένης ψυχῆς ἔσται ἡ ποιοῦσα ψυχή.

est essentia, neque ipsa etiam essentia est. Quam ob rem illis accidit, ut, dum illos vituperant, qui ex non essentiis essentias procreant, ipsi interim ex essentia faciant non essentiam. Mundus enim, quantum mundus est, apud eos non erit essentia. Nefas autem dictu est, materiam quidem, quæ subjectum est, essentiam esse, corpora vero non esse magis essentias: multoque magis absurdum est, mundum ipsum essentiam non existere, sed aliquid solum, quantum pars ejus est, essentiam esse: tum vero animal non ab anima habere substantiam, sed a materia tantum, atque ipsam animam passionem quandam esse materiæ, posterioremque materia. A quonam igitur materia, ut animaretur, accepit? Et omnino animæ ipsius substantia undenam est? Item, quomodo materia subsistit atque formatur? Nempe quando hæc ipsa fit corpora, anima aliud quiddam est, quam ipsa. Etenim, aliunde, quam ab anima, species proveniret, nullo modo anima fieret accedente materiæ qualitate, sed corpora prorsus inanimata. Si quid autem materiam format et procreat animam, consequens est, ut ante animam procreatam sit et anima procreans.

Materia, quanto magis sub formarum mutationibus permanet, tanto magis patitur, et idcirco est omnium infima. Mens si posterior esset, quam materia, nec materiam posset transcendere, nec materialia etiam perfecte comprehendere.

ΚΗ'. Ἀλλὰ γὰρ πολλῶν ὄντων τῶν λεγομένων πρὸς τὴν ὑπόθεσιν ταύτην, τούτων μὲν παυστέον, μὴ καὶ ἄτοπον ᾖ τὸ πρὸς οὕτω φανερὰν ἀτοπίαν φιλονεικεῖν, δεικνύντα, οἳ τὸ μὴ ὂν ὡς τὸ μάλιστα ὂν προτάττουσι, καὶ τὸ ὕστατον πρῶτον· αἴτιον δὲ ἡ αἴσθησις αὐτοῖς ἡγεμὼν γενομένη καὶ πιστὴ εἰς ἀρχῶν καὶ τῶν ἄλλων θέσιν. Τὰ γὰρ σώματα νομίσαντες εἶναι τὰ ὄντα, εἶτα αὐτῶν τὴν μεταβολὴν εἰς ἄλληλα φοβηθέντες, τὸ μένον ὑπ' αὐτὰ τοῦτο ᾠήθησαν τὸ ὂν εἶναι, ὥσπερ ἂν εἴ τις μᾶλλον τὸν τόπον ἢ τὰ σώματα νομίσειεν εἶναι τὸ ὄν, ὅτι οὐ φθείρεται ὁ τόπος νομίσας. Καίτοι καὶ οὗτος αὐτοῖς μένει, ἔδει δὲ οὐ τὸ ὁπωσοῦν μένον νομίσαι τὸ ὄν, ἀλλὰ ἰδεῖν πρότερον, τίνα δεῖ προσεῖναι τῷ ἀληθῶς ὄντι, οἷς οὖσιν ὑπάρχειν καὶ τὸ ἀεὶ μένειν. Οὐδὲ γὰρ, εἰ σκιὰ ἀεὶ μένοι παρακολουθοῦσα ἀλλοιουμένῳ ἄλλῳ, μᾶλλόν ἐστιν ἢ ἐκεῖνο· τό τε αἰσθητὸν μετ' ἐκείνου καὶ ἄλλων πολλῶν τῷ πλήθει, μᾶλλον ἂν τὸ ὅλον ὂν εἴη, ἢ ἕν τι τῶν ἐν ἐκείνῳ. Εἰ δὲ δὴ καὶ τὸ ὅλον ὑποβάθρα ἐκεῖνο, μὴ ὄν, πῶς ἂν ἐκεῖνο; πάντων τε θαυμαστότατον τὸ τῇ αἰσθήσει πιστουμένους ἕκαστα, τὸ μὴ τῇ αἰσθήσει ἁλωτὸν τίθεσθαι ὄν· οὐδὲ γὰρ ὀρθῶς τὸ ἀντιτυπὲς αὐτῇ διδόασι· ποιότης γὰρ τοῦτο. Εἰ δὲ τῷ νῷ λέγουσι λαβεῖν, ἄτοπος ὁ νοῦς οὗτος ὁ τὴν ὕλην αὐτοῦ προτάξας καὶ τὸ ὂν αὐτῇ δεδωκώς, ἀλλ' οὐχ αὑτῷ. Οὐκ ὢν οὖν ὁ νοῦς αὐτοῖς πῶς ἂν πιστὸς εἴη περὶ τῶν κυριωτέρων αὐτοῦ λέγων, καὶ οὐδαμῇ αὐτοῖς συγγενὴς ὤν; ἀλλὰ περὶ μὲν ταύτης τῆς φύσεως καὶ τῶν ὑποκειμένων ἱκανῶς καὶ ἐν ἄλλοις.

XXVIII. Verum cum multa sint opinioni huic palam repugnantia, quæ afferri in medium facile possint, jam dictis contenti esse debemus: ne forte nobis etiam turpe sit contra tam apertos errores obnixius decertare. Satis vero fuerit ostendisse, quinam et quemadmodum non ens, tanquam maxime ens, affirment atque constituant, et, quod infimum est, tanquam primum collocare non dubitent. Causa vero tanti erroris hæc exstitit, quoniam illi sensum velut ducem secuti sunt, cui fidem in principiis et reliquis statuendis nimiam adhibuerunt. Nempe cum corpora duntaxat esse res veras existimarent, ac deinde corporum commutationem mutuam in se invicem formidarent, nimirum, quod sub eis manet, id ipsum esse ens putaverunt: perinde ac si quis locum magis, quam corpora, ens esse putaret, existimans videlicet locum minime destrui. Et quamvis hic apud eos maneat, oportebat tamen non quomodocumque manens esse ipsum ens arbitrari, sed considerare prius, quænam entis veri sint dotes, quibus jam præsentibus adsit simul semper manendi facultas. Jam vero et si umbra quædam maneat, semper aliud quiddam comitans continue permutatum, non tamen magis erit umbra quam illud. Atqui et ipsum sensibile una cum illo aliisque numero multis, magis utique ens, cum et totum sit, videbitur judicandum, quam unum aliquid eorum, quæ continentur in ipso. Sin autem et totum subjectum illud non ens, quonam modo illud? Omnium vero maxime mirandum esse videtur, illos, qui sensui de omnibus præstabant fidem, non etiam affirmavisse, ens ipsum sensu posse comprehendi. Sed neque etiam recte soliditatem vel resistentiam illi tribuunt: id enim qualitas quædam est. Sin autem mente id se percipere dicant, absurda mens hæc erit, quæ materiam sibi præfecerit, verumque essendi munus non sibi, sed materiæ dederit. Cum igitur mens apud illos non sit ens, quanam conditione ullam habebit fidem, cum [ubique] de his, quæ præstantiora sunt, quam ipsa, loquatur et judicet, neque ullam cum eis cognationem habeat? Sed de hac ipsa natura subjectisque satis etiam alibi disputatum.

Posuerant prædicamenta quatuor, scilicet subjectum primo, deinde quale, tertio quodammodo se habens, quarto quodammodo se ad aliquid habens.

Hoc ipsum, quod additur, quale, si simplex quiddam est, sicut esse debet, si seorsum facit prædicamentum, certe est incorporeum, quod quidem ipsi nolunt: sin autem compositum significat, vana est divisio, dividens videlicet res in subjectum, atque iterum in subjectum quale. Et omnino, quando dicunt quale et quodammodo se habens, aut rem nullam addunt, præter materiam sic se habentem, aut addunt: si nullam, unicum re vera prædicamentum erit: si aliquam, quidnam hæc ipsa sit, interrogati nunquam explicant: nec discernunt unquam inter materiam qualem, atque materiam quodammodo se habentem, hac

videlicet discretione plura praedicamenta facturi. Denique si nihil in natura sit praeter materiam sic se habentem, mens ipsa materialis erit, neque de materia, neque de separatis expedite poterit judicare.

ΚΘʹ. Τὰ δὲ ποιὰ αὐτοῖς ἕτερα μὲν δεῖ εἶναι τῶν ὑποκειμένων καὶ λέγουσιν· οὐ γὰρ ἂν αὐτὰ δεύτερα κατηρίθμουν. Εἰ τοίνυν ἕτερα, δεῖ αὐτὰ καὶ ἁπλᾶ εἶναι· εἰ τοῦτο, μὴ σύνθετα· εἰ τοῦτο, μηδ' ὕλην ἔχειν, ᾗ ποιά· εἰ τοῦτο, ἀσώματα εἶναι καὶ δραστήρια· ἡ γὰρ ὕλη πρὸς τὸ πάσχειν αὐτοῖς ὑπόκειται· εἰ δὲ σύνθετα, πρῶτον μὲν ἄτοπος ἡ διαίρεσις, ἁπλᾶ καὶ σύνθετα ἀντιδιαστέλλουσα, καὶ ταῦτα ὑφ' ἓν γένος, ἔπειτα ἐν θατέρῳ τῶν εἰδῶν τὸ ἕτερον τιθεῖσα, ὥσπερ ἂν τις διαιρῶν τὴν ἐπιστήμην τὴν μὲν γραμματικὴν λέγοι, τὴν δὲ γραμματικὴν καὶ ἄλλο τι. Εἰ δὲ τὰ ποιὰ ὕλην ποιὰν λέγοιεν, πρῶτον μὲν οἱ λόγοι αὐτοῖς ἔνυλοι, ἀλλ' οὐκ ἐν ὕλῃ γενόμενοι, σύνθετόν τι ποιήσουσιν, ἀλλὰ πρὸ τοῦ συνθέτου, ὃ ποιοῦσιν, ἐξ ὕλης καὶ εἴδους ἔσονται· οὐκ ἄρα αὐτοὶ εἴδη οὐδὲ λόγοι. Εἰ δὲ λέγοιεν μηδὲν εἶναι τοὺς λόγους, ἢ ὕλην πως ἔχουσαν, τὰ ποιὰ δηλονότι πως ἔχοντα ἐροῦσι, καὶ ἐν τῷ τετάρτῳ γένει τακτέον. Εἰ δὲ ἥδε ἡ σχέσις ἄλλη, τίς ἡ διαφορά; ἢ δηλονότι τὸ πως ἔχειν ἐνταῦθα ὑπόστασις μᾶλλον· καίτοι εἰ μὴ κἀκεῖ ὑπόστασις, τί καταριθμοῦσιν ὡς ἓν γένος ἢ εἶδος; οὐ γὰρ δὴ ὑπὸ τὸ αὐτὸ τὸ μὲν ὂν τὸ δὲ οὐκ ὂν δύναται εἶναι. Ἀλλὰ τί τοῦτο τὸ ἐπὶ τῇ ὕλῃ πως ἔχον; ἢ γὰρ ὂν ἢ οὐκ ὄν. Καὶ εἰ ὄν, πάντως ἀσώματον· εἰ δὲ οὐκ ὄν, μάτην λέγεται, καὶ ὕλη μόνον· τὸ δὲ ποιὸν οὐδέν, ἀλλ' οὐδὲ τὸ πως ἔχον· ἔτι γὰρ μᾶλλον οὐκ ὄν. Τὸ δὲ τέταρτον λεχθὲν καὶ πολλῷ μᾶλλον· μόνον ὂν ἄρα ὕλη. Τίς οὖν τοῦτο φησίν; οὐ γὰρ δὴ αὐτὴ ἡ ὕλη, εἰ μὴ ἄρα αὐτὴ πως ἔχουσα ὁ νοῦς· καίτοι τὸ πως ἔχουσα προσθήκη κενή· ἡ ὕλη ἄρα λέγει ταῦτα καὶ καταλαμβάνει. Καὶ εἰ μὲν ἔλεγεν ἔμφρονα, θαῦμα ἂν ἦν, πῶς καὶ νοεῖ καὶ ψυχῆς ἔργα ποιεῖ, οὔτε νοῦν οὔτε ψυχὴν ἔχουσα· εἰ δ' ἀφρόνως λέγοι αὐτήν, τιθεῖσα ὃ μή ἐστι μηδὲ δύναται, τίνι ταύτην δεῖ ἀνατιθέναι τὴν ἀφροσύνην; ἢ εἰ ἔλεγεν αὐτή· νῦν δὲ οὔτε λέγει ἐκείνη, ὅ τε λέγων πολὺ τὸ παρ' ἐκείνης ἔχων λέγει, ὅλος μὲν ὢν ἐκείνης, εἰ καὶ μόνον ψυχὴν ἔχοι, ἀγνοίᾳ δὲ αὑτοῦ καὶ δυνάμεως τῆς λέγειν τἀληθῆ περὶ τῶν τοιούτων δυναμένης.

XXIX. Quae vero qualia dicuntur apud illos, alia quaedam oportet esse praeter ipsa subjecta, quod quidem et ipsi fatentur; alioquin nunquam ipsa velut secunda numeravissent. Si igitur alia sunt, necesse est insuper ea esse simplicia : si hoc, nequaquam composita : si et hoc, nec habere materiam, qua ratione sunt qualia : si denique hoc, incorporea efficaciaque existere. Materia namque apud illos ad passiones suscipiendas exposita est. Sin autem qualia ipsa dicant esse composita, primo quidem divisio erit absurda, quae simplicia et composita ex opposito dividit, eaque in unum genus accumulat : deinde ob hoc ipsum quoque non recta, quoniam in altera specierum collocat alteram : quemadmodum si quis, scientiam dividens, alteram quidem asserat esse grammaticam, alteram vero grammaticam quoque et aliquid insuper. Verum si qualia ipsa dicant materiam esse qualem, primo seminales rationes apud illos materiales quidem, neque duntaxat in materia positae compositum quiddam efficient, sed, ante compositum ab eis factum, ex materia specieque constabunt : neque igitur ipsae species erunt, neque etiam rationes. Quodsi objecerint, rationes nihil aliud esse, praeter materiam ipsam quodammodo se habentem, ipsa videlicet qualia esse quodammodo se habentia fatebuntur, atque erunt in quarto genere collocanda. Sin autem aliam quamdam habitudinem introducant, interrogandum erit, quaenam sit differentia : an videlicet ipsum, quod dicitur quodammodo se habere, in hoc gradu potius est subsistentia quaedam? quanquam nisi et ibi subsistentia sit, quidnam enumerant tanquam unum genus vel speciem? Non enim sub eodem aliud quiddam ens, aliud vero non ens numerari potest. Caeterum quidnam est hoc, quod in materia dicitur quodammodo sese habens? Aut enim ens, aut non ens judicatur. Atqui si ens, est penitus incorporeum : sin vero non ens, frustra dicitur, solumque materia est : ipsum vero quale nihil prorsus existit : sed neque etiam quod dici solet quoquo modo se habens. Id namque multo magis non ens videri alicui potest. Quod denique numeratur quartum, multo minus ens esse videtur : sola igitur materia ens. Quisnam igitur hoc ipsum ait? Non enim ipsa materia, nisi forte ipsa sit mens, videlicet quodammodo sese habens : tametsi hoc ipsum, quod dicitur aliquo modo se habens, est inanis adjunctio : materia igitur dicit haec atque comprehendit. Et profecto si recta sanaque diceret, mirandum foret, quonam modo intelligat, animaeque officia peragat, cum neque mentem, neque animam habeat : sin vero insipienter dicit, quando se id, quod ipsa neque est neque potest esse, esse asserit, cuinam potissimum insipientiam hanc attribuere decet? Et profecto nulli praeterquam ipsi, si modo eloqui posset. Nunc autem nec ipsa loquitur, et, qui talia loquitur, idcirco sic ait, quoniam hausit jam ex materia plurimum, et quidem totus addictus, etiam si solam habeat animam. Ita nempe loquitur ignorantia sui atque potentiae, quae vera de hujusmodi rebus exprimere possit.

Non recte distinguunt quale et quodammodo se habens. Nam et quale re vera est materia quodammodo se habens, atque vicissim quodammodo se habens, est materia qualis. Praeterea nec ipsum quodammodo se habens potest esse genus unicum, nec, quicquid est praeter materiam qualem, potest hoc nomine scilicet quodammodo se habens cognominari.

Λʹ. Ἐν δὲ τοῖς πως ἔχουσιν ἄτοπον μὲν ἴσως, τὰ πως ἔχοντα τρίτα τίθεσθαι, ἢ ὁποσοῦν τάξεως ἔχει, ἐπειδὴ περὶ τὴν ὕλην πως ἔχοντα πάντα. Ἀλλὰ διαφορὰν τῶν πως ἐχόντων φήσουσιν εἶναι, καὶ ἄλλως πως ἔχειν τὴν ὕλην ὡδὶ καὶ οὕτως, ἄλλως δὲ ἐν τοῖς πως ἔχουσι, καὶ ἔτι τὰ μὲν ποιά, περὶ τὴν ὕλην πως ἔχοντα, τὰ ἰδίως δέ πως ἔχοντα, περὶ τὰ ποιά· ἀλλὰ τῶν ποιῶν αὐτῶν οὐδέν, ἢ ὕλης πως ἐχούσης ὄντων, πάλιν τά πως ἔχοντα ἐπὶ τὴν ὕλην αὐτοῖς ἀνατρέχει, καὶ περὶ τὴν ὕλην ἔσται. Πῶς δὲ ἓν τό πως ἔχον,

XXX. Ea vero, quae quodammodo se habere dicuntur, absurdum forsan est in loco tertio collocare, vel qualemcunque ordinem obtinere dicantur : quandoquidem circa materiam omnia sunt, quaecunque aliquo modo se habere traduntur. Verum differentiam eorum, quae sic affecta sunt, aliquam introducent, atque aliter materiam ipsam quodammodo affici hoc modo vel illo, aliter autem affici reliqua, quae quoque modo se habere ponuntur : quin etiam ipsa quidem qualia esse circa materiam quodammodo se habentia, sed, quae proprie quodammodo se traduntur habere, circa qualia ipsa versari. Sed enim, cum ipsa qualia nihil prorsus existant, nisi materia quodammodo sit affecta, rursus, quae aliquo modo se habeat, apud illos in materiam revolvuntur, atque circa materiam versabuntur. Praeterea quonam pacto in ipsum, quod aliquo modo

πολλῆς διαφορᾶς ἐν αὐτοῖς οὔσης; πῶς γὰρ τὸ τρίπηχυ καὶ τὸ λευκὸν εἰς ἕν, τοῦ μὲν ποσοῦ τοῦ δὲ ποιοῦ ὄντος; πῶς δὲ τὸ ποτὲ καὶ τό που; πῶς δὲ ὅλως πως ἔχοντα, τὸ χθὲς καὶ τὸ πέρυσι, καὶ τὸ ἐν Λυκείῳ καὶ Ἀκαδημίᾳ; καὶ ὅλως πῶς δὲ ὁ χρόνος πως ἔχων; οὔτε γὰρ αὐτός, οὔτε τὰ ἐν αὐτῷ τῷ χρόνῳ, οὔτε τὰ ἐν τῷ τόπῳ, οὔτε ὁ τόπος. Τὸ δὲ ποιεῖν πῶς πως ἔχον, ἐπεὶ οὐδ' ὁ ποιῶν πως ἔχων, ἀλλὰ μᾶλλόν πως ποιῶν, ἢ ὅλως οὐκ ὤν, ἀλλὰ ποιῶν μόνον· καὶ ὁ πάσχων οὐ πως ἔχων, ἀλλὰ μᾶλλόν πως πάσχων, ἢ ὅλως πάσχων οὕτως· ἴσως δ' ἂν μόνον ἁρμόσει ἐπὶ τοῦ κεῖσθαι τό πως ἔχον, καὶ ἐπὶ τοῦ ἔχειν, ἐπὶ δὲ τοῦ ἔχειν, οὐ πως ἔχον, ἀλλὰ ἔχον. Τὸ δὲ πρός τι εἰ μὲν μὴ ὑφ' ἓν τοῖς ἄλλοις ἐτίθεσαν, ἕτερος λόγος ἦν ἂν ζητούντων, εἴ τινα διδόασιν ὑπόστασιν ταῖς τοιαύταις σχέσεσι, πολλαχοῦ οὐ διδόντων. Ἔτι δ' ἐν γένει τῷ αὐτῷ ἐπιγενόμενον πρᾶγμα τοῖς ἤδη οὖσιν ἄτοπον συντάττειν τὸ ἐπιγιγνόμενον, εἰς ταὐτὸν γένος τοῖς πρότερον οὖσι. Δεῖ γὰρ πρότερον ἓν καὶ δύο εἶναι, ἵνα καὶ ἥμισυ καὶ διπλάσιον. Περὶ δὲ τῶν, ὅσοι ἄλλως τὰ ὄντα ἢ τὰς ἀρχὰς τῶν ὄντων ἔθεντο, εἴ τε ἄπειρα εἴ τε πεπερασμένα, εἴ τε σώματα εἴ τε ἀσώματα, ἢ καὶ τὸ συναμφότερον, χωρὶς περὶ ἑκάστων ἔξεστι ζητεῖν, λαμβάνουσι καὶ τὰ παρὰ τῶν ἀρχαίων πρὸς τὰς δόξας αὐτῶν εἰρημένα.

dicitur se habere, unum aliquid esse potest, cum in rebus ejusmodi multa differentia sit? Quo enim modo tricubitum atque album redigentur in unum, cum illud quidem sit quantum, hoc vero sit quale? Item quo pacto, quod aliquando dicitur, et quod alicubi? Rursus qui fieri potest, ut omnino haec sint quodammodo se habentia, scilicet quod heri dicitur, et quod jamdiu, et in Lyceo atque Academia? qui iterum potest effici, ut tempus sit ipsum quoquo modo se habens? Neque enim ipsum tempus, neque quae in tempore sunt, neque locus, neque etiam, quae sunt in loco, id ipsum esse possunt. Proinde ipsum, quod facere dicitur, esse nequit, quod aliquo modo habere vel affici nominatur: quando nec ipse quidem faciens est ipsum quodammodo sese habens, sed potius quodammodo faciens, aut omnino faciens tantum. Atqui et ipse patiens non proprie est quodammodo sese habens, sed potius quodammodo patiens, aut omnino ita vel ita patiens. Forsan vero, quod dicitur aliquo modo se habens, cum eo congruat, quod poni dici solet, situmque tenere: item fortasse cum ex eo, quod nuncupatur habere. Veruntamen in hoc ipso, quod est habere, non proprie est ipsum se quodammodo habens, sed potius habens. Proinde, nisi relationis genus una cum aliis unum constituissent, alia utique ratio esset, quaerentium videlicet, si quam subsistentiam habitibus ejusmodi tradant: quippe cum passim minime tradant. Denique, quidnam dicemus ad illud, quod in eodem genere ponunt rem nuper advenientem cum rebus, quae prius exstiterant? Absurdum tamen est, simul in eodem genere copulare, una cum prioribus, quod est adventitium. Oportet enim esse prius unum atque duo, ut et dimidium esse queat et duplum. De ceteris autem, quicumque aliter res ipsas vel rerum principia posuerunt, sive infinita, seu finita, seu corporea, seu potius incorporea, vel forsan utraque simul, licet nobis seorsum de unoquoque perquirere, accipientibus insuper, quae ab antiquis adversus opiniones ejusmodi tractata fuerunt.

# ΕΝΝΕΑΔΟΣ Ϛ

## ΛΟΓΟΣ Β.

### ΠΕΡΙ ΤΩΝ ΓΕΝΩΝ ΤΟΥ ΟΝΤΟΣ, ΔΕΥΤΕΡΟΝ.

# ENNEADIS SEXTÆ

## LIBER II.

### DE GENERIBUS ENTIS, SECUNDUS.



Solum esse verum ens arbitramur, cui non miscetur entis oppositum, id est essentiæ defectus atque privatio. Oportet igitur id esse in sua natura integrum, semperque manere. Non decet ens falsum una cum ente vero sub eodem genere collocare, sicut neque Socratis imaginem cum Socrate. Prosequitur quidem Plotinus deinceps entium genera Platonico more: interpretationem vero in his, Magnanime Laurenti, brevissimam a Marsilio tuo nunc accipies. Audisti enim nonnunquam, et forte quandoque leges familiarem tuum atque meum Picleonum, mysteria ejusmodi divino quodam, ut cetera solet, instinctu tractantem.

Α'. Ἐπειδὴ περὶ τῶν λεγομένων δέκα γενῶν ἐπέσκεπται, εἴρηται δὲ καὶ περὶ τῶν εἰς ἓν ἀγόντων γένος, τὰ πάντα τέτταρα ὑπὸ τὸ ἓν οἷον εἴδη τιθεμένων, ἀκόλουθον ἂν εἴη εἰπεῖν, τί ποτε ἡμῖν περὶ τούτων φαίνεται τὰ δοκοῦντα ἡμῖν, πειρωμένοις εἰς τὴν Πλάτωνος ἀνάγειν δόξαν. Εἰ μὲν οὖν ἓν ἔδει τίθεσθαι τὸ ὄν, οὐδὲν ἂν ἔδει ζητεῖν, οὔτ' εἰ γένος ἓν ἐπὶ πᾶσιν, οὔτε εἰ γένη μὴ ὑφ' ἕν, οὔτ' εἰ ἀρχάς, οὔτε εἰ τὰς ἀρχὰς καὶ γένη τὰς αὐτὰς δεῖ τίθεσθαι, οὔτε εἰ τὰ γένη καὶ ἀρχὰς τὰ αὐτά, ἢ τὰς μὲν ἀρχὰς ἁπάσας καὶ γένη, τὰ δὲ γένη οὐκ ἀρχάς, ἢ ἀνάπαλιν, ἢ ἐφ' ἑκατέρων τινὰς μὲν ἀρχὰς καὶ γένη, καί τινα γένη καὶ ἀρχάς, ἢ ἐπὶ μὲν τῶν ἑτέρων πάντα καὶ θάτερα, ἐπὶ δὲ τῶν ἑτέρων τινὰ καὶ θάτερα. Ἐπεὶ δὲ οὐχ ἕν φαμεν τὸ ὄν, διότι δὲ εἴρηται καὶ τῷ Πλάτωνι καὶ ἑτέροις, ἀναγκαῖον ἴσως γίγνεται καὶ περὶ τούτων ἐπισκέψασθαι, πρότερον εἰς μέσον θέντας, τίνα ἀριθμὸν λέγομεν καὶ πῶς; Ἐπεὶ οὖν περὶ τοῦ ὄντος ἢ τῶν ὄντων ζητοῦμεν, ἀναγκαῖον πρῶτον παρ' αὐτοῖς διελέσθαι τάδε· τί τε τὸ ὂν λέγομεν, περὶ οὗ ἡ σκέψις ὀρθῶς γίγνοιτο νυνί, καὶ τί δοκεῖ μὲν ἄλλοις εἶναι ὄν, γιγνόμενον δὲ αὐτὸ λέγομεν εἶναι, ὄντως δὲ οὐδέποτε ὄν. Δεῖ δὲ νοεῖν ταῦτα ἀπ' ἀλλήλων διῃρημένα, οὐχ ὡς γένους τοῦ τὶ εἰς ταῦτα διῃρημένου, οὐδ' οὕτως οἴεσθαι τὸν Πλάτωνα πεποιηκέναι. Γελοῖον γὰρ ὑφ' ἓν θέσθαι τὸ ὂν τῷ μὴ ὄντι, ὥσπερ ἂν εἴ τις Σωκράτη ὑπὸ τὸ αὐτὸ θεῖτο καὶ τὴν τούτου εἰκόνα. Τὸ γὰρ διελέσθαι ἐνταῦθά ἐστι τὸ ἀφορίσαι καὶ χωρὶς θεῖναι, καὶ τὸ δόξαν ὂν εἶναι, εἰπεῖν οὐκ εἶναι ὄν, ὑποδείξαντα αὐτοῖς ἄλλο τὸ ὡς ἀληθῶς ὂν εἶναι. Καὶ προστιθεὶς τῷ ὄντι τὸ ἀεὶ ὑπέδειξεν, ὡς δεῖ τὸ ὂν τοιοῦτον εἶναι, οἷον μηδέποτε ψεύδεσθαι τὴν τοῦ ὄντος φύσιν. Περὶ δὴ τούτου τοῦ ὄντος λέγοντες, καὶ περὶ τούτου, ὡς οὐχ ἑνὸς ὄντος, σκεψόμεθα· ὕστερον δέ, εἰ δοκεῖ, καὶ περὶ γενέσεως καὶ τοῦ γιγνομένου καὶ κόσμου αἰσθητοῦ τι ἐροῦμεν.

I. Postquam de generibus decem consideravimus, diximusque deinde de illis, qui sub uno quodam genere cuncta velut quatuor species complectuntur: reliquum jam est, ut nostram de iis sententiam explicemus, conantes videlicet opinionem nostram ad sententiam Platonis redigere. Si igitur unum ens oportuisset ponere, nihil opus esset inquirere, numquid unum sit genus in omnibus: numquid rursus genera non reducantur in unum: et num principia sint dicenda: neque rursus, utrum principia etiam genera sint ponenda: neque vicissim, utrum genera ipsa eadem sint atque principia: neque utrum principia quidem omnia sint et genera, genera vero non æque principia, vel vicissim: sive potius in utrisque aliqua quidem principia simul et genera, aliqua etiam genera simul atque principia: an forte in aliis quidem omnia sint simul et alia, in aliis autem quædam simul et alia sint. Quoniam vero ens non unum ponimus, ratioque hujus sententiæ a Platone et aliis præsertim suis est assignata, forsan necessarium est, de his quoque considerare, primo quidem, quem numerum et quomodo ponamus, in medium afferendo. Cum igitur de ipso ente vel entibus indagemus, necessarium est inprimis inter nos hæc ipsa distinguere: quidnam videlicet ens ipsum dicamus, de quo in præsentia rite consideramus, quidve ens esse aliis videatur, quod tamen nos non quidem, quod unquam sit, sed quod fiat, potius appellamus. Est autem operæ pretium intelligere hæc inter se distincta, non quasi aliquod unum genus fuerit in ipsa divisum. Neque enim fas est putare, Platonem ita distribuisse. Ridiculum namque foret, ens ipsum in unum cum non ente conjungere: velut si quis Socratem ipsum et imaginem ejus collocet sub eodem. Jam vero dividere hæc ipsa in re nihil aliud est, quam segregare seorsumque disponere, et quod videatur ens, id non ens declarare, interim demonstrando, aliud re vera ens existere. Atqui et ille, qui enti ipsum semper adjunxit, tale esse ens oportere monstravit, ut nunquam in ipsa entis natura mentiatur et fallat. De hoc igitur ente loquentes, de hoc nimirum, quasi non sit unum, tractabimus. Deinde, si videatur, de generatione insuper atque genito, mundoque sensibili aliquid afferemus.

Ens primum est quidem unum, sed quodammodo constat ex multis, quæ et principia sunt, et genera. Principia quidem, quoniam ipsa natura entis quasi constat ex ipsis: genera vero, quia quodlibet eorum continet sub se species gradatim multas et singula. Neque confunduntur hæc in unum: servat enim unumquodque proprium illic actum. Neque ens ipsum appellandum est genus; neque enim dividitur, ut genus in species, neque de suis prædicatur, ut genus.

B'. Ἐπεὶ οὖν οὐχ ἕν φαμεν, ἆρα ἀριθμόν τινα ἢ ἄπειρον· πῶς γὰρ δὴ τὸ οὐχ ἓν ἢ ἓν ἅμα καὶ πολλὰ λέγομεν, καὶ τί ποικίλον ἓν τὰ πολλὰ εἰς ἓν ἔχον; ἀνάγκη τοίνυν τοῦτο τὸ οὕτως ἓν ἢ τῷ γένει ἓν εἶναι, εἴδη δ' αὐτοῦ τὰ ὄντα, οἷς πολλὰ καὶ ἕν, ἢ πλείω ἑνὸς γένη, ὑφ' ἓν δὲ τὰ πάντα, ἢ πλείω μὲν γένη, μηδὲν δὲ ἄλλο ὑπ' ἄλλο, ἀλλ' ἕκαστον περιεκτικὸν τῶν ὑπ' αὐτό· εἴτε καὶ αὐτῶν γενῶν ἐλαττόνων ὄντων ἢ εἰδῶν, καὶ ὑπὸ τούτοις ἀτόμων, συντελεῖν ἅπαντα εἰς μίαν φύσιν, καὶ ἐκ πάντων τῷ νοητῷ κόσμῳ, ὃν δὴ λέγομεν τὸ ὄν, τὴν σύστασιν εἶναι. Εἰ δὴ τοῦτο, οὐ μόνον γένη ταῦτα εἶναι, ἀλλὰ καὶ ἀρχὰς τοῦ ὄντος ἅμα ὑπάρχειν· γένη μέν, ὅτι ὑπ' αὐτὰ ἄλλα γένη ἐλάττω, καὶ εἴδη μετὰ ταῦτο καὶ ἄτομα· ἀρχὰς δέ, εἰ τὸ ὂν οὕτως ἐκ πολλῶν καὶ ἐκ τούτων τὸ ὅλον ὑπάρχει. Εἰ μέντοι πλείω μὲν ἦν ἐξ ὧν, συνελθόντα δὲ τὰ ὅλα ἐποίει τὸ πᾶν, ἀλλ' οὐκ ἔχοντα ὑπ' αὐτά, ἀρχαὶ μὲν ἂν ἦσαν, γένη δὲ οὐκ ἄν· οἷον εἴ τις ἐκ τῶν τεσσάρων ἐποίει τὸ αἰσθητόν, πυρὸς καὶ τῶν τοιούτων· ταῦτα γὰρ ἀρχαὶ ἂν ἦσαν, γένη δὲ οὔ, εἰ μὴ ὁμωνύμως τὸ γένος. Λέγοντες τοίνυν καὶ γένη τινὰ εἶναι, τὰ δ' αὐτὰ καὶ ἀρχάς, ἆρα τὰ μὲν γένη, ἕκαστον μετὰ τῶν ὑπ' αὐτὰ ὁμοῦ μιγνύντες ἀλλήλοις, τὰ πάντα τὸ ὅλον ἀποτελοῦμεν, καὶ σύγκρασιν ποιοῦμεν ἁπάντων, ἀλλὰ δυνάμει οὐκ ἐνεργείᾳ ἕκαστα, οὐδὲ καθαρὸν αὐτὸ ἕκαστον ἔσται. Ἀλλὰ τὰ μὲν γένη ἐάσομεν, τὰ δὲ καθ' ἕκαστον μίξομεν. Τίνα οὖν ἔσται ἐφ' αὐτῶν τὰ γένη; ἢ ἔσται κἀκεῖνα ἐφ' αὐτῶν καὶ καθαρά; καὶ τὰ μιχθέντα οὐκ ἀπολεῖ αὐτά, καὶ πῶς; ἢ ταῦτα μὲν εἰς ὕστερον· νῦν δ' ἐπεὶ συγκεχωρήκαμεν καὶ γένη εἶναι καὶ προσέτι καὶ τῆς οὐσίας ἀρχάς, καὶ τρόπον ἕτερον ἀρχὰς καὶ συνθέσεις, πρῶτον λεκτέον, πρὸς ἃ λέγομεν γένη, καὶ πῶς διΐσταμεν ἀπ' ἀλλήλων αὐτά, καὶ οὐχ ὑφ' ἓν ἄγομεν, ὥσπερ ἐκ τύχης συνελθόντα, καὶ ἕν τι πεποιηκότα, καίτοι πολλῷ εὐλογώτερον ὑφ' ἕν. Ἢ εἰ μὲν εἴδη οἷόν τε ἦν τοῦ ὄντος ἅπαντα εἶναι, καὶ ἐφεξῆς τούτοις τὰ ἄτομα καὶ μηδὲν τούτων ἔξω, ἦν ἂν ἴσως ποιεῖν οὕτως. Ἐπειδὴ δὲ ἡ τοιαύτη θέσις ἀναίρεσίς ἐστιν αὐτοῖς (οὐδὲ γὰρ τὰ εἴδη εἴδη ἔσται), οὐδ' ὅλως πολλὰ ὑφ' ἕν, ἀλλὰ πάντα ἕν, μὴ ἑτέρου ἢ ἑτέρων ἔξω ἐκείνου τοῦ ἑνὸς ὄντων. Πῶς γὰρ ἂν πολλὰ ἐγένετο τὸ ἕν, ὥστε καὶ εἴδη γεννῆσαι, εἰ μή τι ἦν παρ' αὐτὸ ἄλλο; οὐ γὰρ αὐτὸ πολλά, εἰ μή τις ὡς μέγεθος κερματίσει, ἀλλὰ καὶ οὕτως ἕτερον τὸ κερματίζον. Εἰ δ' αὐτὸ κερματιεῖ, ἢ ὅλως διαιρήσει, πρὸ τοῦ διαιρεθῆναι ἔσται διῃρημένον. Ταύτῃ μὲν οὖν καὶ δι' ἄλλα πολλὰ ὑποστατέον τοῦ γένος ἕν, καὶ ὅτι οὐχ οἷόν τε ἕκαστον ὁτιοῦν ληφθὲν ἢ ὂν ἢ οὐσίαν λέγειν. Εἰ δέ τις λέγοι ὄν, τῷ συμβεβηκέναι φήσει· οἷον εἰ λευκὸν λέγοι τὴν οὐσίαν, οὐ γὰρ ὅπερ λευκὸν λέγει.

ΙΑ'. Ἐπισκεπτέον δὲ, πῶς ἐν τῷ ὄντι τὸ ἕν, καὶ πῶς ὁ λεγόμενος μερισμὸς καὶ ὅλως ὁ τῶν γενῶν, καὶ εἰ ὁ αὐτὸς ἢ ἄλλος ἑκάτερος. Πρῶτον οὖν πῶς ὅλως ἓν ἕκαστον ὁτιοῦν λέγεται καὶ ἔστιν, εἶτα εἰ ὁμοίως καὶ ἐν τῷ ἑνὶ ὄντι λέγομεν, καὶ ὡς ἐκεῖ λέγεται. Τὸ μὲν οὖν ἐπὶ πάντων ἓν οὐ ταὐτὸν, οὔτε γὰρ ἐπὶ τῶν αἰσθητῶν ὁμοίως καὶ τῶν νοητῶν· ἀλλὰ γὰρ οὐδὲ τὸ ὄν, οὔτε ἐπὶ τῶν αἰσθητῶν πρὸς ἄλληλα ὁμοίως· οὐ γὰρ ταὐτὸν ἐν χορῷ καὶ στρατοπέδῳ καὶ νηὶ καὶ οἰκίᾳ, οὐδὲ αὖ ἐν τούτοις καὶ ἐν τῷ συνεχεῖ. Ἀλλ' ὅμως πάντα τὸ αὐτὸ μιμεῖται, τυγχάνει δὲ τὰ μὲν πόρρωθεν, τὰ δὲ μᾶλλον, ἤδη δὲ καὶ ἀληθέστερον ἐν τῷ νῷ. Ψυχὴ γὰρ μία, καὶ ἔτι μᾶλλον νοῦς εἷς καὶ τὸ ὂν ἕν. Ἆρ' οὖν ἐν ἑκάστῳ τὸ ὂν αὐτοῦ λέγοντες ἓν λέγομεν, καὶ ὡς ἔχει ὄντος, οὕτω καὶ τοῦ ἑνός; ἢ συμβέβηκε μὲν τοῦτο, οὐ μέντοι καθ' ὃ ὂν καὶ ἕν; ἀλλ' ἔστι μὴ ἧττον ὂν ὑπάρχον ἧττον εἶναι ἕν. Οὐ γὰρ ἧττον στρατὸς ἢ χορὸς οἰκίας, ἀλλ' ὅμως ἧττον ἕν. Ἔοικεν οὖν τὸ ἐν ἑκάστῳ ἓν πρὸς ἀγαθὸν μᾶλλον ἓν βλέπειν, καὶ καθ' ὅσον τυγχάνει ἀγαθοῦ, κατὰ τοσοῦτον καὶ ἕν, καὶ τὸ μᾶλλον καὶ ἧττον τοῦ ἓν ἐν τούτῳ· εἶναι γὰρ θέλει ἕκαστον οὐχ ἁπλῶς, ἀλλὰ μετὰ τοῦ ἀγαθοῦ. Διὰ τοῦτο καὶ τὰ μὴ ἓν, ὡς δύναται, σπεύδει ἓν γενέσθαι, τὰ μὲν φύσει, αὐτῇ τῇ φύσει συνιόντα εἰς ταὐτὸν [καὶ] ἑνοῦσθαι αὐτοῖς θέλοντα. Οὐ γὰρ ἀπ' ἀλλήλων σπεύδει ἕκαστα, ἀλλ' εἰς ἄλληλα καὶ εἰς αὑτά. Καὶ ψυχαὶ πᾶσαι εἰς ἓν ἂν βούλοιντο εἶναι, μετὰ τὴν αὐτῶν οὐσίαν· καὶ ἀμφοτέρωθεν δὲ τὸ ἕν· καὶ γὰρ τὸ ἀφ' οὗ, καὶ τὸ εἰς ὅ· καὶ γὰρ ἄρχεται ἀπὸ τοῦ ἕν, καὶ σπεύδει εἰς τὸ ἕν· οὕτω γὰρ καὶ τὸ ἀγαθόν· οὕτω γὰρ ὑπέστη ἐν τοῖς οὖσιν ὁτιοῦν, ὑποστάν τε οὐκ ἂν ἀνέχοιτο μὴ πρὸς τὸ ἓν τὴν σπουδὴν ἔχον. Τὰ μὲν δὴ φύσει οὕτω· τὰ δὲ ἐν ταῖς τέχναις, αὐτὴ ἑκάστη ἕκαστον πρὸς τοῦτο, καθ' ὅσον δύναται, καὶ ὡς δύναται ἐκεῖνα, οὕτω λέγει, τὸ δὲ ὂν μάλιστα πάντων τούτου τυγχάνει, ἐγγὺς γάρ· ὅθεν τὰ μὲν ἄλλα λέγεται, ὃ λέγεται, μόνον, οἷον ἄνθρωπος· καὶ γὰρ εἴ ποτε λέγοιμεν εἷς, πρὸς δύο λέγομεν· εἰ δὲ καὶ ἄλλως τὸ ἓν λέγομεν, ἀπ' αὐτοῦ προστιθέντες λέγομεν. Ἐπὶ δὲ τοῦ ὄντος λέγομεν τὸ ὅλον τοῦτο ἓν ὄν, καὶ ἀξιοῦμεν ὡς ἕν, ἐνδεικνύμενοι τὴν σφόδρα αὐτοῦ πρὸς τὸ ἀγαθὸν συνουσίαν. Γίγνεται οὖν τὸ ἕν, καὶ ἐν αὐτῷ ὡς ἀρχὴ καὶ τέλος, οὐχ ὡσαύτως δὲ, ἀλλὰ ἄλλως, ὥστε καὶ τὸ πρότερον καὶ τὸ ὕστερον καὶ ἐν τῷ ἕν. Τί οὖν τὸ ἐν αὐτῷ ἕν; οὐχὶ ὁμοίως ἐν ἅπασι τοῖς μέρεσι καὶ κοινὸν θεωρούμενον; ἢ πρῶτον μὲν καὶ ἐν ταῖς γραμμαῖς κοινὸν τὸ σημεῖον, καὶ οὐ γένος τῶν γραμμῶν· καὶ ἐν τοῖς ἀριθμοῖς κοινὸν τὸ ἓν δὴ ἴσως

XI. Operæ pretium est considerare, quomodo sit unum in ente, et quo pacto, quæ *dicitur partitio*, fiat : et omnino, qualis sit partitio generum. Item, numquid eadem, vel alia sit utraque. In primis igitur cogitandum, quomodo omnino unumquodlibet dicatur, atque exsistat : deinde, utrum similiter et in uno ente dicamus, et quomodo ibi dicatur. Jam vero unum, quod omnibus attribuitur, non est idem : neque enim in rebus, quæ sentiuntur, similiter se habet, atque in his, quæ intelligentia tantum percipiuntur : sed neque etiam ens in eis se similiter habet, nec etiam in rebus sentiendis inter ipsas similiter inest. Non enim idem unum est in choro atque exercitu, naveque et domo : nec rursus idem in his atque in continuo. Veruntamen idem omnia imitantur, sed alia quidem remotius, alia vero propinquius : atque in mente procul dubio verius. Anima enim una est : ac multo magis mens est una, et ens est unum Num igitur dicentes in quolibet ens ipsius, pariter et unum dicimus ? atque sicut habet entis, sic et unius habet ? An potius id quidem accidit ? non tamen quatenus ens est, exsistit et unum : sed fieri potest, ut, quod non minus est ens, minus tamen sit unum. Non enim minus ens est exercitus aut chorus, quam est domus : veruntamen est minus unum. Videtur igitur, quod in quolibet unum est, id ipsum bonum magis unum aspicere, et quantum boni consequitur, tantum et unum esse, atque ipsum magis minusve secundum unum in hoc ipso consistere. Nam unumquodque non simpliciter esse vult, sed esse cum bono. Ob hoc et, quæ non sunt unum, student, quoad possunt, unum fieri : et quæ natura constant, id affectant ipsa natura in idem congredientia, dum videlicet sibimet uniri desiderant. Non enim seorsum a se invicem fieri singula properant, sed in se invicem et ad se ipsa festinant. Atqui animæ omnes in unum quidem optarent evadere, propria videlicet essentia interim conservata. Et profecto in universo utrimque regnat unum. Est enim unum et a quo pendent, et in quod omnia tendunt. Exordiuntur enim ab uno, properantque ad unum : in hoc enim ipso omnium consistit bonum : atque ita in ordine rerum exstitit unumquodque : et postquam exstitit, neque consisteret nisi festinaret ad unum, neque quominus huc properet, continere se potest. Quæ igitur natura ducuntur, ita se habent : quæ vero arte tractantur ita. Ars unaquæque unumquodque ad hoc ipsum, et quantum ipsa potest, et quantum singula possunt, rite disponit : ipsum vero ens maxime omnium id assequitur : uni namque proximum est. Quam ob rem alia quidem dicuntur tantum, quod et dicuntur, velut homo : etenim si quando dicamus, homo ille unus est, ad duo respicientes id dicimus. Quodsi et aliter unum aliquid dicamus, adjungentes videlicet aliquid ita loquimur. In ipso autem ente, dicimus totum hoc, ens unum, ac velut unum censemus : ostendentes videlicet maximam quandam ejus cum bono propinquitatem. Fit itaque et unum ipsi [est] tanquam principium atque finis, non tamen eodem modo, sed potius aliter : quapropter in hoc ipso etiam uno prius est atque posterius. Quid ergo hoc ipsum in eo unum? nonne similiter cunctis in partibus atque commune consideratur ? Forsan vero in lineis quoque punctum est commune, neque tamen genus est linearum. Et in numeris commune unum

τοῦτο καὶ οὐ γένος· οὐδὲ γὰρ ταὐτὸν τὸ ἓν τὸ ἐπ' αὐτοῦ τοῦ ἕν, τοῦ ἐπὶ μονάδος καὶ δυάδος καὶ τῶν ἄλλων ἀριθμῶν. Ἔπειτα καὶ ἐν τῷ ὄντι οὐδὲν κωλύει τὰ μὲν πρῶτα τὰ δὲ ὕστερα εἶναι, καὶ τὰ μὲν ἁπλᾶ τὰ δὲ σύνθετα εἶναι. Καὶ εἰ ταὐτὸν δὲ ἐν πᾶσι τὸ ἓν τοῖς τοῦ ὄντος, διαφορὰ οὐκ οὖσα αὐτοῦ, οὐδὲ εἴδη ποιεῖ· εἰ δὲ μὴ εἴδη, οὐδὲ γένος αὐτὸ δύναται εἶναι.

hoc forsan est, neque tamen est genus. Non enim idem est unum, quod in se ipso est, atque unum, quod in unitate est, atque dualitate ceterisque numeris inest. Proinde etiam in ente nihil prohibet alia quidem prima esse, alia vero sequentia: et alia simplicia alia vero composita. Atqui si idem sit unum in his, quae ad ens proprie pertinent, quia tamen non adest et differentia alia, ac idcirco neque species efficit, merito neque genus esse potest.

Bonum etiam inanimatorum, discretorum, numerorum, in quadam unione consistit: item quodlibet quinque generum est et in se ipso unum, et in participantibus non discerptum.

ΙΒʹ. Καὶ ταῦτα μὲν οὕτω. Πῶς δὲ τοῖς ἀριθμοῖς τὸ ἀγαθὸν ἐν τῷ ἓν εἶναι ἕκαστον, ἀψύχοις οὖσιν; ἢ κοινὸν τοῦτο καὶ ἐπὶ τῶν ἄλλων ἀψύχων. Εἰ δέ τις λέγοι μὴ εἶναι ὅλως αὐτούς, ἡμεῖς περὶ ὄντων εἴπομεν, καθ' ὃ ἓν ἕκαστον. Εἰ δὲ τὸ σημεῖον ζητοῖεν πῶς ἀγαθοῦ μετέχει, εἰ μὲν καθ' αὑτὸ φήσουσιν εἶναι, εἰ μὲν ἄψυχον φήσουσι, τὸ αὐτὸ ὅπερ καὶ ἐπὶ τῶν ἄλλων τῶν τοιούτων ζητοῦσιν· εἰ δ' ἐν ἄλλοις οἷον ἐν κύκλῳ, τὸ ἀγαθὸν τὸ ἐκείνου, τοῦτο καὶ ἡ ὄρεξις πρὸς τοῦτο, καὶ σπεύδει ὡς δύναται διὰ τούτου ἐκεῖ. Ἀλλὰ πῶς τὰ γένη ταῦτα; ἆρα καὶ τὰ κερματιζόμενα ἕκαστα; ἢ ὅλον ἐν ἑκάστῳ, ὧν γένος; καὶ πῶς ἔτι ἕν; ἢ τὸ γένει ἕν, ὡς ἐν πολλοῖς ὅλον; ἆρ' οὖν μόνον ἐν τοῖς μετέχουσιν, ἢ οὔ; ἀλλὰ καὶ καθ' αὑτὸ καὶ ἐν τοῖς μετέχουσιν. Ἀλλ' ἴσως σαφέστερον ἔσται ὕστερον.

XII. Haec quidem ita se habeant: sed quonam modo in numeris bonum est, in eo, quod unumquodque sit unum, cum inanimati sint? Forsan vero commune hoc est in aliis etiam, quae anima carent. Si quis autem objiciat, omnino illos non esse, respondebimus, nos de entibus loqui instituisse, qua unumquodque est unum. Sin autem interroget, quomodo punctum boni sit particeps, quaeremus et nos, numquid punctum secundum se ipsum accipiat, necne. Ac si accipiat ita, concedatque inanimatum esse, dicemus illum idem, quod et in aliis ejusmodi, quaerere: sin autem in aliis punctum accipiat, velut in circulo, respondebimus, id, quod circuli bonum est, huic quoque bonum esse, atque hoc ipsum appetere, ac per circulum illuc tendere. Sed quonam pacto haec genera sunt? numquid etiam divisa singula? an totum in unoquoque existens eorum, quorum est et genus? Et quomodo adhuc est unum? Fortasse genere unum, tanquam in multis totum. An igitur in his tantum, quae participant? Fortasse non in eis tantum, verum etiam et secundum se ipsum et in his, quae participant. Sed forsan hoc in sequentibus manifestius erit.

Motus, status, identitas, alteritas sunt prima rerum genera una cum ente, quoniam actus quidam primi et intimi ipsius entis existunt: numerus autem posterior inde resultans, atque etiam posterior magnitudo, ideo duo haec non sunt genera prima.

ΙΓʹ. Νῦν δὲ πῶς τὸ ποσὸν οὐκ ἐν τοῖς γένεσι τοῖς πρώτοις, καὶ αὖ τὸ ποιόν; ἢ ποσὸν μὲν οὐ πρῶτον μετὰ τῶν ἄλλων, ὅτι ἐκεῖνα μὲν ἅμα μετὰ τοῦ ὄντος. Κίνησις γὰρ μετὰ τοῦ ὄντος, ἐνέργεια ὄντος, ζωὴ αὐτοῦ οὖσα· καὶ στάσις ἐν αὐτῇ τῇ οὐσίᾳ συνεισῄει, μᾶλλον δὲ συνῆν τὸ εἶναι τούτοις ἑτέροις καὶ τοῖς αὐτοῖς, ὥστε συνορᾶσθαι καὶ ταῦτα. Ἀριθμὸς δὲ ὕστερός τε ἐκείνων καὶ ἑαυτοῦ, καὶ τὸ ὕστερος παρὰ τοῦ προτέρου, καὶ ἐφεξῆς ἀλλήλοις, καὶ ἐνυπάρχει τὰ ὕστερα ἐν τοῖς προτέροις, ὥστε ἐν μὲν τοῖς πρώτοις οὐκ ἂν καταριθμοῖτο. Ζητητέον δέ, εἰ ὅλως γένος; τὸ μέντοι μέγεθος ἔτι μᾶλλον ὕστερον καὶ σύνθετον, ἀριθμὸς γὰρ ἐν τῷδε καὶ γραμμὴ δύο τινά, καὶ ἐπίπεδον τρία. Εἰ μὲν οὖν παρὰ τοῦ ἀριθμοῦ ἔχει καὶ τὸ συνεχὲς μέγεθος τὸ ποσόν, τοῦ ἀριθμοῦ οὐκ ὄντος γένους, πῶς ἂν τοῦτο ἔχοι; ἔνι δὲ καὶ ἐν τοῖς μεγέθεσι τὸ πρότερον καὶ τὸ ὕστερον. Εἰ δὲ κοινὸν ἐπὶ ἀμφοῖν τὸ ποσόν, τί ποτέ ἐστι ληπτέον· καὶ εὑρόντας θετέον γένος ὕστερον, οὐκ ἐν τοῖς πρώτοις. Καὶ εἰ γένος μὴ ἐν τοῖς πρώτοις, εἰς τί ἀνακτέον τῶν πρώτων, ἢ τῶν εἰς τὰ πρῶτα; Δῆλον τοίνυν ἴσως, ὅτι ὅσον τι δηλοῖ ἡ τοῦ ποσοῦ φύσις, καὶ μετρεῖ τὸ ὅσον ἑκάστου, αὐτή τε ὅσον τι. Ἀλλ' εἰ κοινὸν ἐπ' ἀριθμοῦ καὶ μεγέθους τὸ ὅσον, ἢ ὁ ἀριθμὸς πρῶτος, τὸ δὲ μέγεθος ἀπ' ἐκείνου, ἢ ὅλως ὁ μὲν ἀριθμὸς ἐν μίξει κινήσεως καὶ στάσεως, τὸ δὲ μέγεθος κίνησίς τις, ἢ ἐκ κινήσεως, τῆς μὲν κινήσεως εἰς ἀόριστον προϊούσης, τῆς δὲ στάσεως ἐν τῷ

XIII. Perquirendum est in praesentia, cur non etiam quantitas inter prima genera numeretur, rursusque qualitas. Sed profecto quantitas quidem non est primum una cum ceteris, quoniam illa simul una sunt cum ente. Motus enim una cum ente, cum ente, inquam, actu existente, ipseque est actus ejus, cum et ipsius sit vita. Status quoque simul in essentia ipsa conspirat: imo vero simul his adest ipsum esse, his, dico, cum alteris, tum eisdem, adeo, ut haec etiam simul conspiciantur. Numerus autem posterior est illis atque se ipso: et hoc ipsum, quod posterior aliquis [numerus] est, habet a priore, ac deinceps sunt in se invicem, atque posteriora prioribus insunt: quapropter inter prima nequaquam numerabuntur. Quaerendum vero, numquid omnino numerus ipse sit genus. Nam magnitudo quidem magis etiam, quam numerus, posterior est atque composita. In hac enim est numerus atque linea, quae duo quaedam sunt: inest et planum; idemque sunt tria. Si igitur continua magnitudo a numero hoc ipsum habet, quod sit aliquid quantum, cum numerus ipse non sit genus, quonam modo magnitudo genus erit? Est autem inter magnitudines quoque prius atque posterius. Si autem commune ambobus est hoc ipsum, quod sint quanta, considerandum est, quidnam hoc ipsum sit: et cum invenerimus, genus posterius ponendum est, inter genera vero prima nequaquam. Atque si genus sit nec inter prima, indagandum est, in quodnam potissimum primorum sit reducendum, vel in quae potius ex illorum numero, quae referuntur ad prima. Compertum est forsan, ipsam quanti naturam quantum aliquid designare, et quantitatem uniuscujusque metiri, atque ipsam quantum aliquid esse. Verum, si commune numero atque magnitudini est ipsum quantum, aut numerus quidem est primus, magnitudo autem est ab illo: aut omnino numerus quidem in quadam motus statusque mixtione versatur: magnitudo autem motus quidam est, vel saltem pendet ex motu, dum videlicet motus in quiddam procedit indefinitum, status

ἐποχῇ τοῦ προϊόντος μονάδα ποιούσης. Ἀλλὰ περὶ γενέσεως ἀριθμοῦ καὶ μεγέθους, μᾶλλον δὲ ὑποστάσεως, ὕστερον καὶ [περὶ] ἐπινοίας θεωρητέον. Τάχα γὰρ ὁ μὲν ἀριθμὸς ἐν τοῖς πρώτοις γένεσι, τὸ δὲ μέγεθος ὕστερον ἐν συνθέσει· καὶ ὁ μὲν ἀριθμὸς ἑστώτων, τὸ δὲ μέγεθος ἐν κινήσει. Ἀλλὰ ταῦτα μὲν ὕστερον, ὥς φαμεν.

autem sistens, quod procedit, procreat unitatem. Sed de generatione numeri atque magnitudinis, imo vero de substantia utriusque, eorumque notione in sequentibus potius videtur considerandum. Fortasse enim numerus quidem in primis generibus collocatur, magnitudo vero in compositione posterius. Et numerus quidem stabilium est, magnitudo autem versatur in motu. Sed de his in sequentibus, ut dicebamus.

Qualitas non est inter prima rerum: quoniam qualitas essentia ipsa posterior est, et accidens absolute jam existenti: prima vero genera essentiam illam, tanquam actus ejus intimi, pariter comitantur. Essentiis rerum naturalium insunt naturales et intimæ proprietates quædam, quasi similes qualitatibus, ut ignis essentiæ calor, hominis facultas rationalis, quæ quidem re vera actus quidam essentiales sunt potius, quam qualitates. Quæ vero non ab essentia speciali nascuntur, sed aliunde contingunt, ut albedo homini, veræ sunt qualitates atque passiones.

ΙΔ'. Περὶ δὲ τοῦ ποιοῦ διὰ τί οὐκ ἐν τοῖς πρώτοις; ἢ ὅτι καὶ τοῦτο ὕστερον καὶ μετὰ τὴν οὐσίαν. Δεῖ δὲ τὴν οὐσίαν παρακολουθοῦντα ταῦτα ἔχειν τὴν πρώτην, μὴ ἐκ τούτων δὲ τὴν σύστασιν ἔχειν, μηδὲ διὰ τούτων συμπληροῦσθαι, ἢ εἴη ἂν ὑστέρα ποιότητος καὶ ποσότητος. Ἐν μὲν οὖν ταῖς συνθέτοις οὐσίαις καὶ ἐκ πολλῶν, ἐν αἷς καὶ ἀριθμοὶ καὶ ποιότητες, διαλλαγὴν ἐποίησαν αὐτῶν, καὶ ποιότητες εἶεν ἄν, καὶ κοινότης τις ἐν αὐταῖς θεωρηθήσεται. Ἐν δὲ τοῖς πρώτοις γένεσι τὴν διαίρεσιν οὐχ ἁπλῶν καὶ συνθέτων δεῖ ποιεῖσθαι, ἀλλ' ἁπλῶν καὶ τῶν τὴν οὐσίαν συμπληρούντων, οὐ τὴν τινὰ οὐσίαν. Τὴν μὲν γὰρ τινὰ οὐσίαν συμπληροῦσθαι καὶ ἐκ ποιότητος οὐδὲν ἴσως ἄτοπον, ἐχούσης ἤδη τὴν οὐσίαν πρὸ τῆς ποιότητος, τὸ δὲ τοιόνδε, ἔξωθεν, αὐτὴν δὲ τὴν οὐσίαν, ἃ ἔχει, οὐσιώδη ἔχειν. Καίτοι ἐν ἄλλοις ἠξιοῦμεν τὰ μὲν τῆς οὐσίας συμπληρωτικὰ ὁμωνύμως ποιὰ εἶναι, τὰ δ' ἔξωθεν μετὰ τὴν οὐσίαν ὑπάρχοντα ποιά, καὶ τὰ μὲν ἐν ταῖς οὐσίαις ἐνεργείας αὐτῶν, τὰ δὲ μετ' αὐτάς, ἤδη πάθη. Νῦν δὲ λέγομεν οὐχ οὐσίας ὅλως εἶναι συμπληρωτικὰ τὰ τῆς τινὸς οὐσίας· οὐ γὰρ οὐσίας προσθήκη γίγνεται τῷ ἀνθρώπῳ, καθ' ὃ ἄνθρωπος, εἰς οὐσίαν· ἀλλ' ἔστιν οὐσία ἄνωθεν, πρὶν ἐπὶ τὴν διαφορὰν ἐλθεῖν· ὥσπερ καὶ ζῷον ἤδη, πρὶν ἐπὶ τὸ λογικὸν ἥκειν.

XIV. Qualitas autem cur non sit in primis? profecto quoniam hæc quoque posterior est, et post essentiam nascitur. Oportet autem essentiam primam hæc ipsa genera sibi consequentia possidere, neque tamen ex his constitui, neque per hæc rursus compleri; alioquin foret qualitate et quantitate posterior. In essentiis quidem compositis, constantibusque ex multis, in quibus et numeri qualitatesque sunt, diversitatem ipsarum hæc efficiunt, qualitatesque earum esse contingit, atque communitatem quandam in eis licet inspicere. In primis vero generibus non decet divisionem rerum non simplicium compositarumque efficere, sed simplicium earumque, quæ complent essentiam, non essentiam dico quandam. Nam essentiam quandam ex qualitate compleri fortasse nihil est absurdum, ubi certe ante qualitatem essentia sit; ipsum vero tale aut tale extrinsecus accidat. Essentiam vero ipsam oportet, quæcumque habet, tanquam essentialia possidere. Tametsi in aliis judicavimus, ea quidem, quæ complent essentiam, æquivoce qualia nuncupari: quæ vero extrinsecus post essentiam veniunt, esse qualia: et quæ insunt essentiis, earundem actus existere: quæ vero post illas, illas esse jam passiones. Nunc vero dicimus, illa non omnino essentiam ipsam complere, quæ ad quandam spectant essentiam. Non enim una cum essentiæ adjunctione fiunt homini, in quantum homo est, ad essentiam: sed est essentia desuper, priusquam ad differentiam veniatur, quemadmodum jam est animal, antequam ad rationalem descendatur proprietatem.

Sicut non est prius ignis, deinde lux ejus et calor, et siccitas atque levitas; sed quatuor hæc simul cum ignis essentia sunt tanquam et proprietates et actus comites ejus etiam existentis in actu, ita ad ipsum ens se habent motus ejus intimus atque status, et identitas pariter et alteritas.

ΙΕ'. Πῶς οὖν τὰ τέτταρα γένη συμπληροῖ τὴν οὐσίαν οὔπω ποιὰν οὐσίαν ποιοῦντα; οὐδὲ γὰρ τινά. Ὅτι μὲν οὖν τὸ ὂν πρῶτον, εἴρηται, καὶ ὡς ἡ κίνησις οὐκ ἂν εἴη ἄλλο, οὐδ' ἡ στάσις, οὐδὲ θάτερον, οὐδὲ ταὐτόν, δῆλον· καὶ ὅτι οὐ ποιότητα ἐνεργάζεται ἡ κίνησις αὕτη, ἴσως μὲν φανερόν· λεχθὲν δὲ μᾶλλον ποιήσει σαφέστερον. Εἰ γὰρ ἡ κίνησις ἐνέργειά ἐστιν αὐτῆς, ἐνέργεια δὲ τὸ ὄν, καὶ ὅλως τὰ πρῶτα, οὐκ ἂν συμβεβηκὸς εἴη ἡ κίνησις, ἀλλ', ἐνέργεια οὖσα, ἐνεργείᾳ ὄντος· οὐδ' ἂν συμπληρωτικὸν ἔτι λέγοιτο, ἀλλ' αὐτή· ὥστε οὐκ ἐμβέβηκεν εἰς ὕστερόν τι, οὐδ' εἰς ποιότητα, ἀλλ' εἰς τὸ ἅμα τέτακται. Οὐ γάρ ἐστιν ὄν, εἶτα κεκίνηται, οὐδὲ ἔστιν ὄν, εἶτα ἔστη· οὐδὲ πάθος ἡ στάσις· καὶ ταὐτὸν δὲ καὶ θάτερον οὐχ ὕστερα, ὅτι μὴ ὕστερον ἐγένετο πολλά, ἀλλ' ἦν, ὅπερ ἦν ἕν, πολλά· εἰ δὲ πολλά, καὶ ἑτερότης, καὶ εἰ ἓν πολλά,

XV. Quo igitur modo genera quatuor essentiam complent, nondum qualem essentiam facientia? nam necdum essentiam quandam faciunt. Quod igitur ens ipsum primum, jam est dictum, quodve motus non sit ens aliud, nec etiam status, neque rursus alterum, neque idem, satis constat. Præterea motum hunc non afferre illic qualitatem, forsan est manifestum: si tamen dicatur, fiet etiam manifestius. Si enim motus est actus essentiæ, atque ens est actus, et omnino, quæ sunt prima, sunt actus, merito motus non est illic accidens, sed, cum sit actus potius entis re vera existentis in actu, nimirum neque complere essentiam dici debet, sed ipsa prorsus essentia. Quapropter non accessit in posterioris alicujus locum, nec in qualitatis vicem, sed ad ordinem cujusdam simul comitantis est institutus. Non enim prius quidem est ens, deinde vero movetur. Neque dicendum est, ens prius esse, postea vero stare. Status enim non est ibi passio. Quin etiam idem atque alterum posteriora non sunt, quoniam non posterius evasit ens illud multa, sed erat jam hoc ipsum, quod erat unum, multa. Quodsi multa, ergo illic erat alteritas. Quin etiam, si ab initio multa sunt unum,

καὶ ταυτότης· καὶ ταῦτα εἰς τὴν οὐσίαν ἀρκεῖ· ὅταν δὲ μέλλῃ πρὸς τὰ κάτω προϊέναι, τότε ἄλλα, ἃ οὐκ ἔτι οὐσίαν ποιεῖ, ἀλλὰ ποιὰν οὐσίαν, καὶ ποσὴν οὐσίαν, καὶ γιγνέσθω γένη, οὐ πρῶτα.

simul ibi est et identitas: atque hæc quidem sufficiunt ad essentiam. Quando vero futurus est illinc ad inferiora progressus, tunc alia oriuntur, quæ non amplius essentiam faciunt, sed essentiam qualem et essentiam quantam, atque ejusmodi quædam genera quidem fiant, sed non prima.

Relatio, locus, ubi, quando, tempus, positio, habitus, actio simul cum passione nec prima genera sunt, nec penes illa. Adventitia enim sunt, et compositionem defectumque significant.

ΙϚ'. Τὸ δὲ πρός τι παραφυάδι ἐοικὸς πῶς ἂν ἐν πρώτοις; ἑτέρου γὰρ πρὸς ἕτερον, καὶ οὐ πρὸς αὐτὸ ἡ σχέσις, καὶ πρὸς ἄλλο. Ποῦ δὲ καὶ πότε ἔτι πόῤῥω· πότε γὰρ ποῦ ἄλλο ἐν ἄλλῳ, ὥστε δύο. Τὸ δὲ γένος ἓν δεῖ εἶναι οὐ σύνθεσιν, καὶ οὐδὲ τόπος ἐκεῖ. Νῦν δὲ ὁ λόγος περὶ τῶν ὄντων κατὰ ἀλήθειαν· ὅ τε χρόνος εἰ ἐκεῖ, σκεπτέον, μᾶλλον δὲ ἴσως οὔ. Εἰ δὲ καὶ μέτρον, καὶ οὐχ ἁπλῶς μέτρον, ἀλλὰ κινήσεως, δύο, καὶ σύνθετον τὸ ὅλον, καὶ κινήσεως ὕστερον, ὥστε οὐχ, ὅπου κίνησις, ἐν ἴσῃ διαιρέσει. Τὸ δὲ ποιεῖν καὶ τὸ πάσχειν ἐν κινήσει. Εἰ ἄρα ἐκεῖ τὸ πάσχειν καὶ τὸ ποιεῖν, τὸ ποιεῖν δὲ δύο, ὁμοίως καὶ τὸ πάσχειν, οὐδέτερον οὖν ἁπλοῦν· καὶ τὸ ἔχειν δύο, καὶ τὸ κεῖσθαι ἄλλο ἐν ἄλλῳ οὕτως, ὥστε τρία.

XVI. Profecto relatio, accedenti cuidam propagini simile, *quonam modo inter prima constituetur?* Alterius enim ad alterum relatio est, nec ad se ipsum habitudo est, sed semper ad aliud. Præterea, quod inter prædicamenta ipsum ubi et quando numerari solet, etiam inde remotum est: nam ipsum ubi aliud in alio significare videtur, et idcirco duo. Genus autem esse oportet non compositionem quandam, sed aliquid unum: nec ibi locus est. Nunc vero de iis, quæ entia re vera sunt, sermo nobis habetur. *Considerandum vero est, numquid ibi sit tempus;* imo vero non est tempus ibi. Si autem tempus mensura sit, neque mensura simpliciter, sed motionis, duo quædam, et compositum est id totum, motuque posterius: ideoque non ibidem est æquali distributione, ubi motus. Quod præterea facere dicitur atque pati, versatur in motu. Si ergo ibi sit pati atque agere, cum agere similiter atque pati duo quædam sint, utique neutrum erit simplex, *neutrum igitur erit genus:* quin etiam ipsum, quod habere nominant, in se duo complectitur. Item, quod poni vel jacere certo modo aliud in alio dicunt, tria comprehendit.

Bonum non est inter genera prima. Nam sive significet primum bonum, est generibus eminentius, sive qualitatem, posterius est generibus. Quælibet vero dicuntur bona non per unam genericam in se naturam, sed quia a primo bono sunt, verguntque ad ipsum: et bonum in primo ente est vita motusque ipsius ad primum bonum.

ΙΖ'. Ἀλλὰ τὸ καλὸν καὶ τὸ ἀγαθὸν καὶ αἱ ἀρεταί, διὰ τί οὐκ ἐν τοῖς πρώτοις ἐπιστήμη, νοῦς; ἢ τὸ μὲν ἀγαθὸν εἰ τὸ πρῶτον, ἣν δὴ λέγομεν τὴν τοῦ ἀγαθοῦ φύσιν, καθ' ἧς οὐδὲν κατηγορεῖται, ἀλλ' ἡμεῖς, μὴ ἔχοντες ἄλλως σημῆναι, οὕτω λέγομεν, γένος οὐδενὸς ἂν εἴη. Οὐ γὰρ κατ' ἄλλων λέγεται, ἢ ἦν ἄν, καθ' ὧν λέγεται, ἕκαστον ἐκεῖνο λεγόμενον, καὶ πρὸ οὐσίας δὲ ἐκεῖνο, οὐκ ἐν οὐσίᾳ. Εἰ δ' ὡς ποιὸν τὸ ἀγαθόν, ὅλως τὸ ποιὸν οὐκ ἐν τοῖς πρώτοις. Τί οὖν; ἡ τοῦ ὄντος φύσις οὐκ ἀγαθόν; ἢ πρῶτον μὲν ἄλλως καὶ οὐκ ἐκείνως, ὡς τὸ πρῶτον· καὶ ὡς ἔστιν ἀγαθὸν οὐχ ὡς ποιόν, ἀλλ' ἐν αὐτῷ. Ἀλλὰ καὶ τὰ ἄλλα ἔφαμεν γένη ἐν αὐτῷ, καὶ διότι κοινόν τι ἦν ἕκαστον, καὶ ἐν πολλοῖς ἑωρᾶτο, γένος. Εἰ οὖν καὶ τὸ ἀγαθὸν ὁρᾶται ἐφ' ἑκάστῳ μέρει τῆς οὐσίας, ἢ τοῦ ὄντος, ἢ ἐπὶ τοῖς πλείστοις, διὰ τί οὐ γένος καὶ ἐν τοῖς πρώτοις; ἢ ἐν ἅπασι τοῖς μέρεσιν οὐ ταὐτόν, ἀλλὰ πρώτως καὶ δευτέρως καὶ ὑστέρως· ἢ γὰρ ὅτι θάτερον παρὰ θατέρου, τὸ ὕστερον παρὰ τοῦ προτέρου, ἢ ὅτι παρ' ἑνὸς πάντα, τοῦ ἐπέκεινα, ἄλλα δ' ἄλλως κατὰ φύσιν τὴν αὐτῶν μεταλαμβάνει. Εἰ δὲ δὴ καὶ γένος ἐθέλοι τις θέσθαι, ὕστερον· ὕστερον γὰρ τῆς οὐσίας, καὶ τοῦ τί ἐστι τὸ εἶναι αὐτὸ ἀγαθόν, κἂν ἀεὶ συνῇ, ἐκεῖνα δὲ ἦν τοῦ ὄντος ᾗ ὄν, καὶ εἰς τὴν οὐσίαν. Ἐντεῦθεν γὰρ καὶ τὸ ἐπέκεινα τοῦ ὄντος, ἐπειδὴ τὸ ὂν καὶ ἡ οὐσία οὐ δύναται μὴ πολλὰ εἶναι, ἀλλ' ἀνάγκη αὐτὴ ἔχειν ταῦτα, ἠριθμημένα γένη, καὶ εἶναι ἓν πολλά. Εἰ μέντοι τὸ ἀγαθὸν τὸ ἓν τὸ ἐν τῷ ὄντι, μὴ ὀκνοῖμεν λέγειν τὴν ἐνέργειαν αὐτοῦ τὴν κατὰ φύσιν πρὸς τὸ ἕν, τοῦτο εἶναι τὸ ἀγαθὸν αὐτοῦ, ἵν' ἐκεῖθεν ἀγαθοειδὲς ᾖ, ἔσται

XVII. *Ceterum pulchrum, bonum, virtutes, scientia,* intellectus, cur non etiam inter prima similiter numerentur? Profecto, bonum si primum ipsum accipiatur, quod dicere solemus ipsam boni naturam, de qua certe nihil rite prædicari potest, quamvis nos, non potentes aliter explicare, utcumque possumus, de hac ipsa natura loquamur, nullius certe genus est dicendum. De nullis enim aliis prædicatur; alioquin unumquodque eorum, de quibus prædicetur, illud ipsum esset, quod ibi prædicaretur: atqui bonum illud non in essentia est, sed super essentiam. Sin autem bonum hic accipiatur velut quale, dicendum est, quale omnino inter prima non esse. Quid ergo? ipsa entis natura nonne bonum est? sed certe aliter bonum est, nec eo modo, quo primum. Atque sic bonum est, neque velut quale, sed habens in se bonum. Verum et reliqua *diximus genera in ipsa entis natura consistere,* et ob hoc ipsum, quia unumquodque eorum commune aliquid est, in multisque conspicitur, genus esse jam constituit. Si ergo et bonum in quolibet essentiæ vel entis parte, aut saltem in plurimis partibus illic inspicitur, quidnam prohibet, quominus sit genus, atque in primorum ordine collocetur? Sed id prohibere videtur, quoniam in cunctis partibus non sit idem, sed primo atque secundo, rursumque tertio, posterior, posteriorique ordine disponatur. Nam ita profecto bonum quodlibet illic appellatur, vel quoniam aliud sit ab alio, et a priori posterius, rursumque inde posterius: aut quoniam omnia ab uno superiore pendeant, alia vero aliter pro sua unumquodque natura participent. Si quis autem etiam tanquam genus ponere velit, posterius erit: posterius enim, quam essentia. Atqui hoc aliquid est ipsum esse bonum, etiamsi cum eo sit semper: illa vero esse dicebantur entis ipsius, qua ratione ens est, atque ad essentiam conferentia. Hinc nempe ad illud ascenditur, quod est ente superius, quandoquidem ens et essentia nequit esse non multa, sed necessarium est habere hæc in se genera numerata, esseque unum multa. Veruntamen si, quod hic bonum, id est unum, in ente dicere valebamus, non vereamur asserere actum ejus ad unum ipsum natura tendentem, idque esse bonum ejus asseverare, ut

τὸ ἀγαθὸν τοῦτο ἐνέργεια πρὸς τὸ ἀγαθόν· τοῦτο δὲ ἡ ζωὴ αὐτοῦ· τοῦτο δὲ ἡ κίνησις, ἣ ἤδη ἐστὶν ἕν τι τῶν γενῶν

videlicet inde sit boniforme, erit certe id bonum actus ad ad ipsum bonum: id autem est ejus vita: id vero motus, qui sane jam unum quiddam inter genera numeratur.

Pulchritudo, scientia, intellectus, virtus non afferunt nova illic genera, sed ad quinque illa jam numerata quodammodo redigantur.

ΙΗʹ. Περὶ δὲ τοῦ καλοῦ, εἰ μὲν ἐκεῖνο ἡ πρώτη καλλονή, τὰ αὐτὰ ἂν καὶ παραπλήσια λέγοιτο τοῖς ἐπὶ τοῦ ἀγαθοῦ λόγοις· καὶ εἰ τὸ ἐπὶ τῇ ἰδέᾳ οἷον ἀποστίλβον, ὅτι μὴ τὸ αὐτὸ ἐν πᾶσι, καὶ ὅτι ὕστερον τὸ ἐπιστίλβειν. Εἰ δὲ οὐκ ἄλλο τι τὸ καλὸν, ἢ ἡ οὐσία αὐτή, ἐν τῇ οὐσίᾳ εἴρηται. Εἰ δὲ πρὸς ἡμᾶς τοὺς ὁρῶντας τῷ τοιόνδε πάθος ποιεῖν ἐστι, τοῦτο τὸ ἐνεργεῖν κίνησις, καὶ εἰ πρὸς ἐκεῖνο ἡ ἐνέργεια, κίνησις. Ἔστι δὲ καὶ ἡ ἐπιστήμη αὐτοκίνησις, ὄψις οὖσα τοῦ ὄντος καὶ ἐνέργεια, ἀλλ' οὐχ ἕξις· ὥστε καὶ αὐτὴ ὑπὸ τὴν κίνησιν· εἰ δὲ βούλει, ὑπὸ τὴν στάσιν, ἢ καὶ ὑπ' ἄμφω· εἰ δὲ ὑπ' ἄμφω, ὡς μικτόν, εἰ τοῦτο, ὕστερον τὸ μικτόν. Ὁ δὲ νοῦς ὂν νοοῦν, καὶ σύνθετον ἐκ πάντων, οὐχ ἕν τι τῶν γενῶν· καὶ ἔστιν ὁ ἀληθινὸς νοῦς ὂν μετὰ πάντων, καὶ ἤδη πάντα τὰ ὄντα· τὸ δὲ ὂν μόνον ψιλὸν εἰς γένος λαμβανόμενον στοιχεῖον αὐτοῦ. Δικαιοσύνη δὲ καὶ σωφροσύνη καὶ ὅλως ἀρετὴ ἐνέργειαί τινες νοῦ πᾶσαι· ὥστε οὐκ ἐν πρώτοις καὶ ὕστερα γένος καὶ εἴδη.

XVIII. Ubi vero de pulchro dicebatur, si accipiatur prima ipsa supereminens pulchritudo, eadem vel saltem simillima respondebimus illorum, quæ jam de bono respondimus: sin autem pulchrum intelligatur decus aliquod in idea refulgens, objicietur non esse id in omnibus idem. Item, ejusmodi fulgorem esse posteriorem. At si non aliud, quam ipsa essentia, pulchrum asseveretur, jam id est in ipsa essentia computatum. Verum si pulchrum, quantum ad nos intuentes pertinet, assumatur, propterea quod certa quadam nos conditione afficiat, hunc ipsum afficiendi actum motum esse constabit. Atqui et, si ad illud dirigatur actus, similiter motus erit. Est et scientia ipse motus: quippe cum ipse sit entis aspectus, neque habitus sit, sed actus. Quapropter et ipsa sub motu similiter continebitur: ac, si vis, sub statu contineatur, vel etiam sub utrisque; sin autem sub utrisque, mixtum aliquid erit: mixtum vero posterius advenit. Intellectus autem est ens ipsum intelligens, ipsumque ex cunctis compositum, nec quiddam ex generibus unum. Nempe verus intellectus ens est una cum omnibus, jamque entia cuncta: ens autem si solum nudumque accipiatur, velut genus assumitur, intellectusque ipsius est elementum. Justitia vero et temperantia virtusque omnino, actus quidam intellectus omnes sunt. Quapropter non collocantur in primis, sed posteriora sunt genere, et tanquam species designantur.

Ambigit hic multa: nihil forme deficit.

ΙΘʹ. Γένη δὴ ὄντα τὰ τέτταρα ταῦτα καὶ πρῶτα ἆρα καθ' αὑτὸ ἕκαστον εἴδη ποιεῖ; οἷον τὸ ὂν διαιροῖτο ἂν ἤδη ἐφ' ἑαυτοῦ ἄνευ τῶν ἄλλων, ἢ οὔ· ἐπειδὴ ἔξωθεν τοῦ γένους λαβεῖν δεῖ τὰς διαφοράς, καὶ εἶναι μὲν τοῦ ὄντος διαφοράς, ᾗ ὄν, οὐ μέντοι τὰς διαφορὰς αὐτό. Πόθεν οὖν ἕξει, οὐ γὰρ δὴ ἐκ τῶν οὐκ ὄντων. Εἰ δὴ ἐξ ὄντων, ἦν δὲ τὰ γένη τὰ τρία τὰ λοιπά, δηλονότι ἐκ τούτων, καὶ μετὰ τούτων, προστιθεμένων καὶ συνδυαζομένων, καὶ ἅμα γιγνομένων. Ἀλλὰ ἅμα γιγνόμενα τοῦτο δὴ ἐποίει τὸ ἐκ πάντων. Πῶς οὖν τὰ ἄλλα ἐστὶ μετὰ τὸ ἐκ πάντων; καὶ πῶς γένη πάντα ὄντα εἴδη ποιεῖ; πῶς δὲ ἡ κίνησις εἴδη κινήσεως; καὶ ἡ στάσις καὶ τὰ ἄλλα; ἐπεὶ κἀκεῖνο δεῖ παραφυλάττειν, ὅπως μὴ ἀφανίζοιτο ἕκαστον ἐν τοῖς εἴδεσι, μηδ' αὖ τὸ γένος κατηγορούμενον ᾖ μόνον, ὡς ἐν ἐκείνοις θεωρούμενον, ἀλλ' ᾖ ἐν ἐκείνοις ἅμα καὶ ἐν αὐτῷ, καὶ μιγνύμενον αὖ καθαρὸν καὶ μὴ μιγνύμενον ὑπάρχῃ, μηδ' ἄλλως συντελοῦν εἰς οὐσίαν αὐτὸ ἀπολλύῃ. Περὶ μὲν δὴ τούτων σκεπτέον. Ἐπεὶ δὲ ἔφαμεν τὸ ἐκ πάντων τῶν ὄντων νοῦν εἶναι ἕκαστον, πρὸ δὲ πάντων, ὡς εἰδῶν καὶ μερῶν, τὸ ὂν καὶ τὴν οὐσίαν τιθέμεθα μήπω νοῦν εἶναι, τὸν ἤδη νοῦν ὕστερον λέγομεν εἶναι· καὶ δὴ ταύτην τὴν ἀπορίαν χρήσιμον πρὸς τὸ ζητούμενον ποιησώμεθα, καί, οἷον παραδείγματι χρησάμενοι, εἰς γνῶσιν τῶν λεγομένων αὐτοὺς ἐμβιβάζωμεν.

XIX. Reliquum est inquirere, cum genera sint hæc quatuor atque prima, numquid quodlibet horum generum species procreet, velut si ens in se ipso seorsum ab aliis dividatur. Fortasse non ita, quoniam extra genus differentias oportet accipere, atque esse illas entis quidem, qua ens est, differentias, non tamen differentias id ipsum esse. Undenam igitur habebit? neque enim ex his, quæ non sunt entia. Quodsi ex entibus, sunt autem reliqua genera duntaxat tria, videlicet ab his accipiet, atque cum his adjunctis societate inter se copulatis et simul effectis. Verum hæc simul constituta, hoc utique, quod ex omnibus, jam confecisse videntur. Quomodo igitur restant alia post illud, quod est ex cunctis? Et quomodo genera, cum omnia entia sint species, faciunt? Item, quomodo motus species efficit motionis? atque status ipse aliaque similiter? Illud sane in primis est observandum, ne unumquodque confundatur in speciebus, neque rursus genus tantum sit prædicatum, tanquam in illis duntaxat consideratum: imo sit et in illis simul et in se ipso, et mixtum rursus purum neque permixtum; ne, si forte aliter conferat ad essentiam, se ipsum perdat. De his ergo consideratio decet. Quoniam vero, quod ex omnibus constat entibus, intellectum esse diximus, et quemlibet intellectum, sed super species omnes et velut partes ens ipsum essentiamque posuimus, nondum tamen intellectum, merito eum, qui jam intellectus exsistit, posteriorem esse putamus. Atqui dubitationem ejusmodi tanquam ad quæsitum utilem adduxerimus. sic enim hoc ipso utentes velut exemplari quodam in cognitionem eorum, quæ tractamus, efficacius penetrabimus.

Intellectus divinus ad ideas se habet quemadmodum ad propositiones suas geometria. Ille enim intellectus et existit hoc ipsum, quod in ipso est in actu, et dupliciter habet ideas, cum in actu simul cunctas ibi jam consistentes, tum in potentia singulas ibi mox inter se distinguendas. Ideæ vicissim singulæ quidem hoc ipsum, quod in sua proprietate sunt, in actu sunt; in potentia vero sunt ipsum totum. Tum vero, quod est ibi superius, ad sequentia quasi et genus est et causa. Qua igitur ratione genus est, illa est in potentia; qua vero est causa, illa rursus est in actu.

Κʹ. Λάβωμεν οὖν τὸν μὲν εἶναι νοῦν, οὐδὲν ἐφαπτόμενον τῶν ἐν μέρει, οὐδ' ἐνεργοῦντα περὶ ὁτιοῦν, ἵνα μή τις νοῦς γίγνοιτο, ὥσπερ ἐπιστήμην πρὸ τῶν ἐν μέρει εἰδῶν, καὶ ἡ ἐν εἴδει δὲ ἐπιστήμη πρὸ τῶν ἐν αὐτῇ μερῶν. Πᾶσα μὲν οὐδὲν τῶν ἐν μέρει δύναμις πάντων, ἕκαστον δὲ ἐνεργείᾳ ἐκεῖνο, καὶ δυνάμει δὲ πάντων, καὶ ἐπὶ τῆς καθ' ὅλου ὡσαύτως· αἱ μὲν ἐν εἴδει αἱ ἐν τῇ ὅλῃ δυνάμει κεῖνται, αἱ δὴ τὸ ἐν εἴδει λαβοῦσαι δυνάμει εἰσὶν ἡ ὅλη. Κατηγορεῖται γὰρ ἡ πᾶσα, οὐ μόριον τῆς πάσης, αὐτήν γε μὴν δεῖ ἀκέραιον ἐφ' ἑαυτῆς εἶναι· οὕτω δὴ ἄλλως μὲν νοῦν τὸν ξύμπαντα εἰπεῖν εἶναι τῶν πρὸ τῶν καθ' ἕκαστον ἐνεργείᾳ ὄντων, ἄλλως δὲ ἑκάστους, ἑκάστους δὲ τοὺς μὲν ἐν μέρει ἐκ πάντων πληρωθέντας, τὸν δὲ ἐπὶ πᾶσι νοῦν χορηγὸν μὲν τοῖς καθ' ἕκαστα, δύναμιν δὲ αὐτῶν εἶναι, καὶ ἔχειν ἐν τοῖς καθ' ὅλου ἐκείνους, ἐκείνους τε αὖ ἐν αὑτοῖς ἐν μέρει οὖσιν, ἔχειν τὸν καθ' ὅλου, ὡς ἡ τὶς ἐπιστήμη τὴν ἐπιστήμην· καὶ εἶναι καὶ καθ' αὑτὸν τὸν μέγαν νοῦν, καὶ ἑκάστους αὖ ἐν αὑτοῖς ὄντας, καὶ ἐμπεριέχεσθαι αὐτοὺς ἐν μέρει τῷ ὅλῳ, καὶ τὸν ὅλον τοῖς ἐν μέρει, ἑκάστους ἐφ' ἑαυτῶν καὶ ἐν ἄλλῳ, καὶ ἐφ' ἑαυτοῦ ἐκεῖνον καὶ ἐν ἐκείνοις, καὶ ἐν ἐκείνῳ μὲν πάντας ἐφ' ἑαυτοῦ ὄντι δυνάμει, ἐνεργείᾳ ὄντι τὰ πάντα ἅμα, δυνάμει δὲ ἕκαστον χωρίς, τοὺς δ' αὖ ἐνεργείᾳ μὲν, ὅ εἰσι, δυνάμει δὲ τὸ ὅλον. Καθ' ὅσον μὲν γὰρ τοῦτο, ὃ λέγονται, εἰσίν, ἐνεργείᾳ εἰσὶν ἐκεῖνο, ὃ λέγονται· ᾗ δ' ἐν γένει ἐκεῖνο, δυνάμει ἐκεῖνο· ὁ δ' αὖ, ᾗ μὲν γένος, δύναμις πάντων τῶν ὑπ' αὐτὸ εἰδῶν, καὶ οὐδὲν ἐνεργείᾳ ἐκείνων, ἀλλὰ πάντα ἐν αὐτῷ ἡσυχῇ· ᾗ δὲ, ὅ ἐστι πρὸ τῶν εἰδῶν ἐνεργείᾳ, τῶν οὐ καθ' ἕκαστα. Δεῖ δὴ, εἴπερ ἐνεργείᾳ ἔσονται, οἱ ἐν εἴδει, τὴν ἀπ' αὐτοῦ ἐνέργειαν αἰτίαν γενέσθαι.

XX. Accipiamus igitur intellectum ipsum ita se habentem, ut nihil eorum, quæ in parte sunt, attingat, neque proprie circa aliquid agat, ne quidam intellectus evadat, sed ita se habeat, quemadmodum scientia ante species, quæ sunt in parte, atque etiam sicut scientia, quæ est in specie, super partes, quæ sunt in ea. Universa quidem scientia nihil est eorum, quæ sunt in parte, sed omnium est potestas; unumquodque vero autem quiddam est in actu, et potentia insuper omnia: atque in ipsa scientia, quæ universaliter se habet, similis conditio est. Jam vero hæ quidem in specie sunt, quæ in ipsa tota secundum potentiam collocantur; quæ quidem ipsum, quod est in specie, nactæ, secundum potentiam sunt ipsa tota. Prædicatur enim universa illa, neque universæ particula: ipsam tamen in se ipsa oportet integram simpliciemque consistere. Sic itaque aliter quidem intellectum universum fas est dicere ipsum esse super omnia, quæ singulatim sunt in actu, et super intellectus quosdam, aliter autem singulos se habere: singulos vero illos, qui sunt in parte, cunctis impletos, intellectum vero in omnibus existentem suppeditare quidem singulis, eorumque esse potentiam, atque illos in suis universalibus continere, et illos vicissim in particularibus suis intellectum habere communem, quemadmodum scientia quædam scientiam ipsam habet. Tum vero magnum intellectum secundum se consistere, utrosque singulos in se ipsis existere, ipsosque, qui sunt in parte, in toto illo comprehendi, atque totum ipsum particularibus vicissim inesse, atque singulos cum in se ipsis, tum rursus in alio, et illum in se ipso esse atque in illis. Item, in illo quidem omnes, in illo, inquam, in se existente, illos quidem ibi esse potentia, in illo videlicet, qui omnia simul sit in actu, potentia vero sit unumquodque seorsum. Rursum illos actu quidem esse, quod sunt, esse vero et potentia totum. Quatenus enim hoc ipsum, quod dicuntur, existunt, actu sunt illud, quod et dicuntur: quatenus autem in genere illo sunt, potentia illud esse constat. Illud autem, qua ratione genus est, potentiam esse omnium, quæ sub ipso sunt, specierum, neque quicquam actu illorum, sed omnia in eo velut clam atque quiete; qua vero ratione est id, quod est in actu ante species, esse actum eorum, quæ non singulatim duntaxat se habent. Oportet utique, si modo in actu futura sint, velut in specie, actum ipsum ab illo pendentem hujus ipsius causam esse.

Intellectus primus, dum se intelligendo omnia intra se discernit, indeque numerum patefacit, per virtutem immensam declarat magnitudinem, per intelligentiæ claritatem aperit qualitatem. Sicut igitur ibidem qualitates atque figuræ, ac per ipsam alteritatem differunt æqualitatum figurarumque et omnium, per identitatem quoque communio. Cum vero contineat omnia per modum naturæ suæ, hæc vero sit prima essentia viva intellectualis, ideo, merito, quæ intus intelliguntur, non sunt figmenta, sed existentia prorsus viva, intellectualia singulatim. Denique, sicut se habet generationis motus ad naturam genitalem, ita ratio argumentatrix ad intellectum. Motus enim generationis contendit ad membra paulatim generanda, quæ simul in seminaria virtute sunt cuncta (*l.* conjuncta); similiter ratio argumentando quærit illa, quæ simul omnia semper sunt in mente nunquam argumentante. Sicut autem apud rationem perpetua inquisitio non habentis signum est, sic penes mentem, nihil inquirere argumentum etiam omnia possidentis.

ΚΑʹ. Πῶς οὖν μένων αὐτὸς ἐν τῷ λόγῳ τὰ ἐν μέρει ποιεῖ; τοῦτο δὲ ταὐτὸν, πῶς ἐκ τῶν τεττάρων ἐκείνων τὰ λεγόμενα ἐφεξῆς; Ὅρα τοίνυν ἐν τούτῳ μεγάλῳ νῷ καὶ ἀμηχάνῳ, οὐ πολυλάλῳ, ἀλλὰ πολύνῳ νῷ, τῷ πάντα νῷ καὶ ὅλῳ, καὶ οὐ μέρει, οὐδέ τινι νῷ, ὅπως ἔνι τὰ πάντα ἐξ αὐτοῦ. Ἀριθμὸν δὴ πάντως ἔχει, ἐν τούτοις, οἷς ὁρᾷ, καὶ ἔστι δὲ ἓν καὶ πολλὰ, καὶ ταῦτα δὲ δυνάμεις, καὶ θαυμασταὶ δυνάμεις, οὐκ ἀσθε-

XXI. Quo igitur modo intellectus ipse, dum permanet unum, ipsa ratione efficit, quæ sunt in parte? Id vero idem est, perinde ac si quæratur, quomodo ex quatuor illis ea, quæ dicuntur deinceps, efficiantur. Age jam contemplare in mente hac magna et prorsus inæstimabili, non multiloqua quidem mente, sed multimente, multaque intelligente, quæ quidem per omnia sit mens, mensque tota, nec autem ex parte, nec mens quædam. Contemplare, inquam, quo pacto illic ex ipsa omnia insunt. Numerum quidem prorsus habet in illis, quæ contuetur, unumque est et multa: multa, inquam, id est, vires

νεῖς, ἀλλ' ἅτε καθαραὶ οὖσαι, μέγισταί εἰσι, καὶ οἷον σφριγῶσαι καὶ ἀληθῶς δυνάμεις, οὐ τὸ μέχρι τινὸς ἔχουσαι, ἄπειροι τοίνυν καὶ ἀπειρία καὶ τὸ μέγα. Τοῦτο τοίνυν τὸ μέγα σὺν τῷ ἐν αὐτῷ καλῷ τῆς οὐσίας, καὶ τῇ περὶ αὐτὸ ἀγλαΐᾳ, καὶ τῷ φωτί, ὡς ἐν νῷ ὄντα ἰδών, ὁρᾷς καὶ τὸ ποιὸν ἤδη ἐπανθοῦν, μετὰ δὲ τοῦ συνεχοῦς τῆς ἐνεργείας μέγεθος προφαινόμενον τῇ σῇ προσβολῇ ἐν ἡσύχῳ κείμενον. Ἑνὸς δὲ καὶ δύο ὄντων καὶ τριῶν, καὶ τὸ μέγεθος τρίτον ὄν, καὶ τὸ ποσὸν πᾶν, τοῦ δὲ ποσοῦ ἐνορωμένου καὶ τοῦ ποιοῦ, καὶ ἄμφω εἰς ἓν ἰόντων καὶ οἷον γινομένων, καὶ σχῆμα ὅρα· εἰσπίπτοντος δὲ τοῦ θατέρου, καὶ διαιροῦντος καὶ τὸ ποσὸν καὶ τὸ ποιόν, σχημάτων τε διαφοραὶ καὶ ποιότητες ἄλλαι· καὶ ταυτότης μὲν συνοῦσα ἰσότητα ποιεῖ εἶναι, ἑτερότης δὲ ἀνισότητα ἐν ποσῷ, ἔν τε ἀριθμῷ, ἔν τε μεγέθει, ἐξ ὧν καὶ κύκλος καὶ τετράγωνα, καὶ τὰ ἐξ ἀνίσων σχήματα, ἀριθμούς τε ὁμοίους καὶ ἀνομοίους, περιττούς τε καὶ ἀρτίους· οὖσα γὰρ ἔννους ζωὴ καὶ ἐνέργεια οὐκ ἀτελὴς οὐδὲν παραλείπει, ὧν εὑρίσκομεν νῦν, νοερὸν ἔργον ὄν, ἀλλὰ πάντα ἔχει ἐν τῇ αὐτῆς δυνάμει, ὄντα αὐτὰ ἔχουσα καὶ ὡς ἂν νοῦς ἔχοι. Ἔχει δὲ νοῦς ὡς ἐν νοήσει· νοήσει δέ, οὐ τῇ ἐν διεξόδῳ· παραλέλειπται δὲ οὐδὲν τῶν ὅσα λόγοι, ἀλλ' ἔστιν εἷς οἷον λόγος, μέγας, τέλειος, πάντας περιέχων, ἀπὸ τῶν πρώτων αὐτοῦ ἐπεξιών, μᾶλλον δὲ ἀεὶ ἐπεξελθών, ὥστε μηδέποτε τὸ ἐπεξιέναι ἀληθὲς εἶναι· ὅλως γὰρ πανταχοῦ ὅσα ἄν τις ἐκ λογισμοῦ λάβοι ἐν τῇ φύσει ὄντα, ταῦτα εὑρήσει ἐν νῷ ἄνευ λογισμοῦ ὄντα, ὥστε νομίζειν τὸ ὂν νοῦν λελογισμένον οὕτω ποιῆσαι, οἷον καὶ ἐπὶ τῶν λόγων τῶν τὰ ζῷα ποιούντων. Ὡς γὰρ ἂν ὁ ἀκριβέστατος νοῦς λογίσαιτο ὡς ἄριστα, οὕτως ἔχει πάντα ἐν τοῖς λόγοις πρὸ λογισμοῦ οὖσι. Τί χρὴ προσδοκᾶν ἐν τοῖς πρὸ φύσεως καὶ τῶν λόγων τῶν ἐν αὐτῇ ἐν τοῖς ἀνωτέρω εἶναι; ἐν οἷς γὰρ ἡ οὐσία οὐκ ἄλλο τι ἢ νοῦς, καὶ οὐκ ἐπακτὸν οὔτε τὸ ὂν αὐτοῖς οὔτε ὁ νοῦς, ἀμογητὶ ἂν εἴη ἄριστα ἔχον, εἴπερ κατὰ νοῦν κείσεται· καὶ τοῦτο ὄν, ὃ θέλει νοῦς καὶ ἔστι, διὸ καὶ ἀληθινὸν καὶ πρῶτον· εἰ γὰρ παρ' ἄλλου, ἐκεῖνο νοῦς. Σχημάτων δὴ πάντων ὀφθέντων ἐν τῷ ὄντι, καὶ ποιότητος ἁπάσης (ἦν γὰρ οὐ τις, οὐδὲ γὰρ ἦν εἶναι μίαν τῆς θατέρου φύσεως ἐνούσης, ἀλλὰ μία καὶ πολλαί· καὶ γὰρ ταυτότης ἦν, ἓν δὲ καὶ πολλά, καὶ ἐξ ἀρχῆς τὸ τοιοῦτον ὄν, ὥστε ἐν πᾶσιν εἴδεσι τὸ ἓν καὶ πολλά, μεγέθη διάφορα καὶ σχήματα διάφορα καὶ ποιότητες διάφοροι· οὐ γὰρ ἦν, οὐδὲ θεμιτὸν ἦν παραλελεῖφθαι οὐδέν· τέλειον γὰρ ἐκεῖ τὸ πᾶν, ἢ οὐκ ἂν ἦν πᾶν·) καὶ ζωῆς ἐπιθεούσης, μᾶλλον δὲ συνούσης πανταχοῦ, πάντα ἐξ ἀνάγκης ζῷα ἐγίγνετο, καὶ ἦν καὶ σώματα, ὕλης καὶ ποιότητος ὄντων· γινομένων δὲ πάντων ἀεὶ καὶ μενόντων, καὶ ἐν τῷ εἶναι αἰῶνι περιληφθέντων, χωρὶς μὲν ἕκαστον, ὅ ἐστιν, ὄντων, ὁμοῦ δ' αὖ ἐν ἑνὶ ὄντων, ἡ πάντων ἐν ἑνὶ ὄντων οἷον συμπλοκὴ καὶ σύνθεσις νοῦς ἐστι, καὶ ἔχων μὲν τὰ ὄντα ἐν αὐτῷ ζῷόν ἐστι παντελές, καὶ ὅ ἐστι ζῷον, τῷ δ' ἐξ

plurimæ, viresque mirabiles, nulla ex parte debiles, sed, utpote quæ puræ sint, maximæ sunt, vigentesque ad summum, et re vera potentiæ, nec ad certum usque terminum duntaxat potentes: igitur infinitæ, atque ipsa infinitas, et ipsa penitus magnitudo. Hoc itaque magnum una cum essentiæ pulchritudine suoque splendore ac lumine, quæ sunt in mente, conspiciens, perspicis et ipsum quale jam ibi florescens. Præterea una cum actionis continuitate intueris et magnitudinem tuo conspectui emicantem et in sede quietissima sitam. Cum vero ibi sit unum ac duo itemque tria, magnitudo occurrit ut tertium, similiterque omne quantum. Item, cum quantum illic et quale inspiciatur, et ambo in unum confluant et quasi fiant, merito figuram illic intueris rursus, quia ipsum alterum intrinsecus incidit, dividitque et quantum et quale, idcirco differentiæ figurarum et aliæ qualitates exoriuntur. Tum vero identitas quidem ibi conspirans introducit æqualitatem, alteritas autem inæqualitatem in quanto et in numero, ac prorsus in magnitudine, ex quibus circulos et quadrangulos et figuras ex inæqualibus constitutas, numeros item similes dissimilesque et impares atque pares. Cum enim intellectualis ibi sit vita et actus nunquam ulla ex parte deficiens, merito nihil extra se relinquit eorum, quæ nunc invenimus: nullum, inquam, quod sit opus intellectuale, relinquit, sed omnia sua potentia continet, hæc ipsa videlicet tanquam essentia possidens, eoque pacto, quo possideat intellectus. Intellectus autem intelligentiâ possidet, intelligentia, inquam, non discurrente. Jam vero nihil prætermissum est eorum, quæ sunt rationes, sed est velut ratio una, ingens, perfecta, omnes continens rationes, a primis utique suis ordine proficiscens, imo vero perfecta jam semper, adeo ut nunquam ibi verum sit, mentem discurrere. Nempe quotcunque passim aliquis in natura existentia argumentatione perceperit, inveniet eadem in mente absque argumentatione consistere, adeo ut existimare liceat ens ipsum mentem sic argumentantem facere: velut et in rationibus evenit, quæ animalia procreant. Quemadmodum enim acerrimus intellectus quam optime argumentabitur, ita se habent omnia in rationibus argumentationem omnem antecedentibus. Quidnam igitur in formis illis superioribus esse putandum est, quæ et naturam ipsam et rationes omnes naturæ insitas antecedunt? In quibus enim essentia nihil aliud est, quam intellectus, neque adventitium eis est, vel ens vel intellectus, facile admodum res ipsa optime sese habet, siquidem secundum mentem ad votum ibi sunt omnia: idque ens, quod et vult intellectus atque existit, ideoque verum atque primum. Si enim ab alio ente pendeat, illud erit potius intellectus. Cum igitur in ipso ente figuræ omnes appareant, et qualitas universa: (non enim qualitas ibi duntaxat quædam est: nam neque fieri poterat, ut esset unica, ubi inesset alteritas: sed enim multæ sunt atque una; nam illic etiam est identitas, cum, inquam, ens ipsum sit unum atque multa, idque tale protinus ab initio, adeo ut in omnibus speciebus unum similiter sit et multa, magnitudines differentes, differentes figuræ, differentes et qualitates: neque enim possibile, neque fas erat, esse illic aliquid prætermissum: perfectum namque ibi est universum; alioquin universum minime foret:) cum, inquam, vita undique illic concurrat, imo vero simul existat ubique, nimirum omnia ex necessitate viventia et quodammodo animalia provenerunt. Nam neque deerant corpora, cum et materia et qualitas non deessent: atqui, cum facta jam sint omnia semper, atque permaneant, ipsoque suo esse in æternitate comprehendantur, sitque unumquodque hoc ipsum, quod est, seorsum, rursumque simul sint in uno, certe ipsa omnium in uno existentium velut conspiratio atque constitutio ipse est intellectus, qui, habens quidem entia in se ipso, vivens est, et animal per omnia penitus absolutum, atque hoc ipsum, quod est vivens: exhibens vero ei, quod est ex

αὐτοῦ ὄντι παρέχων ἑαυτὸν ὁρᾶσθαι, νοητὸν γενόμενος ἐκείνῳ, δίδωσιν ὀρθῶς λέγεσθαι.

ipso, se videndum, ideoque illi factum intelligibile, dat interim, ut et tale recte dicatur.

Prima essentia ex se viva nominatur ipsum vivens ipsumque animal: hujus actus in se reflexus appellatur intellectus, qui in hac ipsa substantia sui viva tot ideas inspicit, quot species fabricaturus est in mundo.

Sensus in se quidem sentit tantum, in imaginatione vero persentit insuper, se sentire. Similiter imaginatio imaginatur in se: in ratione imaginari se percipit. Ratio in se argumentatur: in intellectu animadvertit argumentari. Intellectus noster in se intelligit, in divino intelligentiam suam animadvertit: divinus in sua essentia viva possidet et invenit omnia. Est autem vivens haec essentia uniformis simul et omniformis: ideoque mundus hic inde talis intelligitur, atque generatur. Sunt vero ibi formae rerum usque ad species ultimas tantum multiplicatae: in anima vero mundi inde nata multiplicatae magis, maxime vero in natura genitali, quae hujus animae postremum est. Omnes quidem ideas appellat hic intellectus, generalem vero animarum ideam nominat, cum intellectum, tum etiam animam: quatenus sursum aspicit vel deorsum, similiterque animam nostram triplici ratione dignam censet triplici cognomento.

ΚΒ'. Καὶ ᾐνιγμένον Πλάτωνι, τὸ ᾗπερ οὖν νοῦς ἐνούσας ἰδέας ἐν τῷ παντελεῖ ζώῳ, οἷαί τε ἔνεισι καὶ ὅσαι, καθορᾷ· ἐπεὶ καὶ ψυχὴ μετὰ νοῦν, καθ' ὅσον ψυχὴ ἔχουσα ἐν αὑτῇ, ἐν τῷ πρὸ αὐτῆς βέλτιον καθορᾷ. Καὶ ὁ νοῦς ἡμῶν ἔχων ἐν τῷ πρὸ αὐτοῦ βέλτιον καθορᾷ· ἐν μὲν γὰρ αὐτῷ καθορᾷ μόνον· ἐν δὲ τῷ πρὸ αὐτοῦ καὶ καθορᾷ, ὅτι καθορᾷ. Ὁ δὴ νοῦς οὗτος, ὅν φαμεν καθορᾷν, οὐκ ἀπαλλαγεὶς τοῦ πρὸ αὐτοῦ, ἐξ αὐτοῦ ὢν, ἅτε ὢν ἐξ ἑνὸς πολλὰ, καὶ τὴν τοῦ θατέρου φύσιν συνοῦσαν ἔχων, εἷς πολλὰ γίγνεται. Εἷς δὲ νοῦς καὶ πολλὰ ὢν καὶ τὰ πολλὰ νοῦς ποιεῖ ἐξ ἀνάγκης τῆς τοιαύτης. Ὅλως δὲ οὐκ ἔστι τὸ ἓν ἀριθμῷ λαβεῖν καὶ ἄτομον· ὅ τι γὰρ ἂν λάβῃς, εἶδος, ἄνευ γὰρ ὕλης. Διὸ καὶ τοῦτο αἰνιττόμενος ὁ Πλάτων εἰς ἄπειρά φησι κατακερματίζεσθαι τὴν οὐσίαν. Ἕως μὲν γὰρ εἰς ἄλλο εἶδος, οἷον ἐκ γένους, οὔπω ἄπειρον· περατοῦται γὰρ τοῖς γεννηθεῖσιν εἴδεσι· τὸ δ' ἔσχατον εἶδος, ὃ μὴ διαιρεῖται εἰς εἴδη, μᾶλλον ἄπειρον. Καὶ τοῦτό ἐστι τὸ τότε δὲ ἤδη εἰς τὸ ἄπειρον μεθέντα ἐᾷν χαίρειν. Ἀλλ' ὅσον μὲν ἐπ' αὐτοῖς, ἄπειρα· τῷ δὲ ἑνὶ περιληφθέντα εἰς ἀριθμὸν ἔρχεται ἤδη. Νοῦς μὲν οὖν ἔχει τὸ μεθ' ἑαυτὸν, ψυχὴν, ὥστε ἐν ἀριθμῷ εἶναι καὶ ψυχὴν, μέχρι τοῦ ἐσχάτου αὐτῆς, τὸ δὲ ἔσχατον αὐτῆς ἤδη ἄπειρον παντάπασι. Καὶ ἔστι νοῦς μὲν ὁ τοιοῦτος μέρος, καίπερ τὰ πάντα ἔχων, καὶ ὁ πᾶς, καὶ, οἱ αὐτοῦ μέρη, ἐνεργείᾳ ὄντος αὐτοῦ ὄντες μέρος· ψυχὴ δὲ μέρος μέρους, ἀλλ' ὡς ἐνεργείᾳ ἐξ αὐτοῦ. Ὅτε μὲν γὰρ ἐν αὐτῷ ἐνεργεῖ τὰ ἐνεργούμενα, οἱ ἄλλοι νοῖ, ὅτε δὲ ἐξ αὐτοῦ, ψυχή· ψυχῆς δὲ ἐνεργούσης ὡς γένους ἢ εἴδους αἱ ἄλλαι ψυχαὶ ὡς εἴδη, καὶ τούτων αἱ ἐνέργειαι διτταί. Ἡ μὲν γὰρ πρὸς τὸ ἄνω νοῦς· ἡ δὲ πρὸς τὸ κάτω αἱ ἄλλαι δυνάμεις κατὰ λόγον, ἡ δὲ ἐσχάτη, ὕλης ἤδη ἐφαπτομένη καὶ μορφοῦσα, καὶ τὸ κάτω αὐτῆς τὸ ἄλλο πᾶν οὐ κωλύει εἶναι ἄνω· ἢ καὶ τὸ κάτω λεγόμενον αὐτῆς ἴνδαλμά ἐστιν αὐτῆς, οὐκ ἀποτετμημένον δὲ, ἀλλ' ὡς τὰ ἐν τοῖς κατόπτροις, ἕως ἂν τὸ ἀρχέτυπον παρῇ ἔξω. Δεῖ δὲ λαβεῖν, πῶς τὸ ἔξω· καὶ μέχρι τοῦ πρὸ τοῦ εἰδώλου, ὁ νοητὸς κόσμος ἅπας τέλεος ἐκ πάντων νοητῶν, ὥσπερ ὅδε μίμημα ὢν ἐκείνου, καθ' ὅσον οἷόν τε ἀποσῴζειν εἰκόνα ζῴου ζῷον αὐτὸ, ὡς τὸ γεγραμμένον ἢ τὸ ἐν ὕδατι φάντασμα, τοῦ πρὸ ὕδατος καὶ γραφῆς δοκοῦντος εἶναι· τὸ δὲ μίμημα τὸ ἐν γραφῇ καὶ ὕδατι οὐ τοῦ συναμφοτέρου,

XXII. Plato igitur hoc his verbis, quamvis obscurus, significavit: Intellectus ideas in ipso vivente universo existentes videns, et quales et quot sint, intuetur: quando quidem anima etiam post intellectum, quantum anima est in se ipsa possidens, in eo tamen, quod est super ipsam, melius suspicit. Atqui et intellectus noster in se similiter habens, in superiore interim perfectius contemplatur: nam in se quidem inspicit solum: at in superiore respicit insuper se inspicere. Profecto intellectus hic, quem ideas diximus contemplari, a suo quodam superiore minime segregatus, ex ipso quidem existens, utpote qui ex uno sit multa, alteritatis naturam comitem habens, unus evadit multa. Cum igitur unus intellectus sit et multa, unum ex hujusmodi quadam necessitate multa, similiter et intellectus facit, atque divisim. Omnino vero non licet illic invenire unum aliquid numero, quale dicitur individuum. Quicquid enim illic acceperis, occurret, ut species, est enim absque materia. Quapropter id Plato obscuris involvens ait: essentiam discerpi per infinita ductam. Quatenus enim, velut ex genere, in aliam procedit speciem, nondum accidit infinitum. Quod enim ita procedit, speciebus genitis terminatur: species vero postrema, quae in species non dividitur, magis est infinita. Atque hoc illud est, quod dicitur a Platone: oportet eum, qui jam prope venit ad singula, ea infinitati concedere atque dimittere. Sed haec quidem singula, quantum in se sunt, nimirum sunt infinita: quantum vero uno quodam comprehenduntur, in numerum quendam conveniunt speciebus. Intellectus igitur habet, quod post se ipsum, animam: quo fit, ut anima etiam in quodam numero sit, usque ad id, quod ipsius est ultimum. Hoc autem ipsius ultimum jam est penitus infinitum: jam vero ejusmodi intellectus pars existit, quamvis habeat omnia, ipseque sit omnis, et qui ipsius sunt partes, ipsius videlicet existentis actu pars existunt: anima vero pars est partis, sed tanquam actu ex ipso pendens. Quando enim ille in se ipso agit, haec ipsa ejus acta alii sunt intellectus: quando vero ex se ipso quasi exterius agit, exstat anima. Proinde, quando anima tanquam genus aut species agit, aliae exstant animae tanquam species, atque harum duo sunt actus. Nempe actus ad id, quod superius est, directus est intellectus: actus autem ad inferius inclinatus alias declarat vires secundum rationem se habentes: vigor denique ultimus materiam jam attrectat atque format. Atqui quod animae postremum est, reliquum universum non prohibet in gradu superno consistere. Forsan vero, et quod animae infimum appellatur, est ipsius imago, neque inde sejuncta: sed quemadmodum imagines in speculis apparentes, quamdiu principale exemplar adstat extrinsecus. Sed operae pretium est considerare, quomodo tale quiddam extrinsecus esse dicatur. Profecto usque ad illud, quod proximum est super animae simulacrum, intelligibilis mundus est totus omnino perfectus, ex cunctis intelligibilibus constitutus, quemadmodum ferme se habet hic mundus imitatio quaedam illius, quoad servare potest imaginem viventis illius vivens: sicut similitudo quaedam apparens vel in pictura vel aqua, illius videlicet, quod super aquam picturamque esse videtur. Proinde imitatio in pictura vel aqua, non utriusque simul imitatio est, sed alterius dun

ἀλλὰ τοῦ ἑτέρου τοῦ μορφωθέντος ὑπὸ θατέρου· νοητοῦ τοίνυν εἰκὼν ἔχουσα ἰνδάλματα, οὐ τοῦ πεποιηκότος, ἀλλὰ τῶν περιεχομένων ἐν τῷ πεποιηκότι, ὧν καὶ ἄνθρωπος, καὶ ἄλλο πᾶν ζῷον· ζῷον δὲ καὶ τοῦτο καὶ τὸ πεποιηκός, ἄλλως ἑκάτερον, καὶ ἄμφω ἐν νοητῷ.

taxat, quod formatum est ab altero. Intelligibilis itaque mundi imago similitudines quasdam habet, non quidem effectoris illius, sed eorum potius, quae in effectore comprehenduntur, ex quorum numero est et homo et quodvis aliud animal: vivens quidem animalque est et hoc et effector, sed aliter atque aliter: et ambo in intelligibili mundo consistunt.

# ΕΝΝΕΑΔΟΣ Ϛ'

## ΛΟΓΟΣ Γ'.

### ΠΕΡΙ ΤΩΝ ΓΕΝΩΝ ΤΟΥ ΟΝΤΟΣ, ΤΡΙΤΟΝ

# ENNEADIS SEXTÆ

## LIBER III.

### DE GENERIBUS ENTIS, TERTIUS.



Sicut in mundo intelligibili, ita et in hoc sensibili ponenda sunt genera rerum quinque, nec tamen sub uno genere componenda. Nec putandum, genera haec una cum superioribus illis in eadem natura congruere, quamvis quadam proportione conveniant. Nec animae intellectualis substantia est sub inferioribus generibus collocanda.

Α'. Περὶ μὲν τῆς οὐσίας, ὅπῃ δοκεῖ καὶ ὡς συμφώνως ἂν ἔχοι πρὸς τὴν τοῦ Πλάτωνος δόξαν, εἴρηται. Δεῖ δὲ καὶ περὶ τῆς ἑτέρας φύσεως ἐπισκέψασθαι, πότερα τὰ αὐτὰ γένη θετέον, ἅπερ κἀκεῖ ἐθέμεθα, ἢ πλείω ἐνταῦθα πρὸς ἐκείνοις ἄλλα τιθέντας, ἢ ὅλως ἕτερα; ἢ τὰ μὲν ὡς ἐκεῖ, τὰ δ' ἄλλως; δεῖ μέντοι τὰ ταὐτὰ ἀναλογίᾳ καὶ ὁμωνυμίᾳ λαμβάνειν. Τοῦτο δὲ φανήσεται γνωσθέντων. Ἀρχὴ δὲ ἡμῖν ἥδε· ἐπειδὴ περὶ τῶν αἰσθητῶν ὁ λόγος ἡμῖν, πᾶν δὲ τὸ αἰσθητὸν τῷδε τῷ κόσμῳ περιείληπται, περὶ τοῦ κόσμου ἀναγκαῖον ἂν εἴη ζητεῖν, διαιροῦντας τὴν φύσιν αὐτοῦ, καὶ, ἐξ ὧν ἐστι, διαιροῦντας κατὰ γένη θεῖναι, ὥσπερ ἂν εἰ τὴν φωνὴν διῃρούμεθα ἄπειρον οὖσαν, εἰς ὡρισμένα ἀνάγοντες, τὸ ἐν πολλοῖς ταὐτὸν εἰς ἕν, εἶτα πάλιν ἄλλο, καὶ ἕτερον αὖ, ἕως εἰς ἀριθμόν τινα θέντες ἕκαστον αὐτῶν, τὸ μὲν ἐπὶ τοῖς ἀτόμοις εἶδος λέγοντες, τὸ δ' ἐπὶ τοῖς εἴδεσι γένος. Τὸ μὲν οὖν ἐπὶ τῆς φωνῆς ἕκαστον εἶδος καὶ ὁμοῦ πάντα τὰ φανέντα εἰς ἓν ἦν ἀνάγειν, καὶ κατηγορεῖν πάντων στοιχεῖον ἢ φωνήν. Ἐπὶ δὲ ὧν ζητοῦμεν οὐχ οἷόν τε, ὡς δέδεικται. Διὸ δεῖ πλείω γένη ζητεῖν, καὶ ἐν τῷδε τῷ παντὶ ἕτερα ἐκείνων, ἐπειδὴ καὶ ἕτερον τοῦτο ἐκείνου, καὶ οὐ συνώνυμον, ὁμώνυμον δὲ καὶ εἰκών. Ἀλλ' ἐπειδὴ καὶ ἐνταῦθα ἐν τῷ μίγματι καὶ ἐν τῇ συνθέσει τὸ μέν ἐστι σῶμα, τὸ δὲ ψυχή, ζῷον γὰρ τὸ πᾶν, ἡ δὲ ψυχῆς φύσις ἐν ἐκείνῳ τῷ νοητῷ, καὶ οὐδ' ἁρμόσει, οὐδ' εἰς οὐσίας τῆς ἐνταῦθα λεγομένης σύνταξιν, ἀφοριστέον, εἰ καὶ χαλεπῶς, ὅμως μὴν τῆς ἐνταῦθα πραγματείας, ὥσπερ ἂν εἴ τις βουλόμενος τοὺς πολίτας συντάξαι πόλεώς τινος, οἷον κατὰ τιμήσεις, ἢ τέχνας, τοὺς ἐπιδημοῦντας ξένους παραλίποι χωρίς. Περὶ δὲ τῶν παθημάτων, ὅσα μετὰ τοῦ σώματος ἢ διὰ τὸ σῶμα περὶ ψυχὴν συμβαίνει, περὶ τούτων ἐπισκεπτέον ὕστερον, ὅπως τακτέον, ὅταν περὶ τῶν ἐνταῦθα ζητῶμεν.

I. Dictum jam est de essentia, et quid nobis potissimum videatur, et quomodo sententiae Platonicae sit consentaneum: oportet vero deinceps de altera natura considerare: numquid eadem hic genera, quae et illic, ponere debeamus, an hic plura, ultra illa insuper alia quaedam asseverantes? An omnino hic atque illic diversa? An forte alia quidem hic, sicut et illic, alia vero aliter sint ponenda? Oportet tamen, quando eadem hic et illic ponimus, sic accipere, ac si aequivoce et per analogiam, id est proportionalem quandam similitudinem, ita dicamus. Id autem tunc demum clarius apparebit, quando haec ipsa singulatim cognita fuerint. Principium itaque nobis erit hujusmodi. Cum sermo nobis de sensibilibus habeatur, omne vero sensibile hoc mundo comprehendatur, necessarium nobis est de mundo in primis inquirere, dividentibus hujus mundi naturam, atque dividendo ea, ex quibus est constitutus, secundum genera illa disponere: perinde ac si vocem, quae infinita est, partiremur in quendam certum numerum redigentes: dum videlicet, quod idem in multis idem est, reducemus in unum: deinde rursus aliud, iterumque similiter aliud, quousque in quodam numero illorum quodlibet poneremus, quod est in singulis, speciem appellantes; quod vero in speciebus, genus esse dicentes. In voce quidem speciem quamlibet, simulque cunctas nobis illic occurrentes in unum colligere plane liceret, ac de omnibus elementum vocale sive literale, vel vocem pariter praedicare. At vero in his, quae nunc indagamus, impossibile est similiter praedicare, quemadmodum in superioribus demonstravimus. Quapropter plura genera cogimur indagare, atque huic universo alia, quam illis, assignare: quandoquidem et universum hoc est ab illo diversum, neque cum illo univoca convenit ratione, sed est aequivocum et imago. Quoniam vero et hic in mixtione atque compositione diversa sunt, et aliud quidem corpus est, aliud anima: universum namque est animal, ipsa vero natura animae in illo intelligibili mundo consistens, non congruit in eodem ordine cum illa, quae hic essentia nominatur: ideo segreganda est ipsa quidem, quamvis sit arduum, segreganda tamen a praesenti natura hujus conditionis, quam in praesentia pertractamus: ceu si quis, volens civitatis alicujus cives disponere per census aut honores aut artes, peregrinos et advenas relinquat a civibus segregatos. De passionibus autem, quaecumque una cum corpore vel propter corpus animae accidunt, tunc demum, quomodo sint disponendae, tractabimus, postquam de his, quae hoc mundo propria continentur, disputaverimus.

In mundo quidem intelligibili essentiam veram poni; in hoc autem apparentem, ac pro essentia fluentium. Item confutat eos, qui genera hic non recte disponunt, nondum tamen haec disponit.

Β'. Καὶ πρῶτον περὶ τῆς λεγομένης οὐσίας θεωρητέον, συγχωροῦντας τὴν περὶ τὰ σώματα φύσιν ὁμωνύμως ἢ οὐδὲ ὅλως οὐσίαν, οὐ τὸ ἐφαρμόττειν τὴν ἔννοιαν ῥεόντων, ἀλλὰ γένεσιν οἰκείως λέγεσθαι. Εἶτα τῆς γενέσεως τὰ μὲν τοιά, τὰ δὲ τοιά, καὶ τὰ μὲν σω-

II. Principio de illa, quae nominatur essentia, videtur agendum, concedendumque in primis corpoream hanc naturam aequivoce essentiam nominari, vel nullo modo essentiam nominandam, quia fluentium notio congruat, sed proprie generationem esse dicendam. Praeterea generationi alia quidem ejusmodi esse, alia vero illius modi,

ματα εἰς ἕν, τά τε ἁπλᾶ, τά τε σύνθετα, τά τε συμβεβηκότα, ἢ παρακολουθοῦντα, διαιροῦντας ἀπ' ἀλλήλων καὶ ταῦτα· ἢ τὸ μὲν ὕλην, τὸ δὲ εἶδος ἐπ' αὐτῇ, καὶ χωρὶς ἑκάτερον ὡς γένος, ἢ ὑφ' ἓν ἄμφω, ὡς οὐσίαν ἑκάτερον ὁμωνύμως, ἢ γένεσιν. Ἀλλὰ τί τὸ κοινὸν ἐπὶ ὕλης καὶ εἴδους; Πῶς δὲ γένος ἡ ὕλη, καὶ τίνων; τίς γὰρ διαφορὰ ὕλης; ἐν τίνι δὲ τὸ ἐξ ἀμφοῖν τακτέον; εἰ δὲ τὸ ἐξ ἀμφοῖν εἴη αὐτὸ ἡ σωματικὴ οὐσία, ἐκείνων δὲ ἑκάτερον οὐ σῶμα, πῶς ἂν ἐν ἑνὶ τάττοιτο καὶ τῷ αὐτῷ μετὰ τοῦ συνθέτου; πῶς δ' ἂν τὰ στοιχεῖά τινος μετ' αὐτοῦ; εἰ δ' ἀπὸ τῶν σωμάτων ἀρχοίμεθα, ἀρχοίμεθ' ἂν ἀπὸ συλλαβῶν. Διὰ τί δὲ οὐκ ἀνάλογον, εἰ καὶ μὴ κατὰ ταὐτὰ ἡ διαίρεσις, λέγοιμεν ἄν, ἀντὶ μὲν τοῦ ἐκεῖ ὄντος, ἐνταῦθα τὴν ὕλην, ἀντὶ δὲ τῆς ἐκεῖ κινήσεως, ἐνταῦθα τὸ εἶδος, οἷον ζωήν τινα καὶ τελείωσιν τῆς ὕλης, τῆς δὲ ὕλης τὴν οὐκ ἔκστασιν κατὰ τὴν στάσιν. Καὶ τὸ ταὐτόν, καὶ θάτερον, οὔσης καὶ ἐνταῦθα ἑτερότητος πολλῆς, καὶ ἀνομοιότητος μᾶλλον· ἢ πρῶτον μὲν ἡ ὕλη οὐχ οὕτως ἔχει, καὶ λαμβάνει τὸ εἶδος ὡς ζωὴν αὐτῆς, οὐδὲ ἐνέργειαν αὐτῆς, ἀλλ' ἔπεισιν ἀλλαχόθεν, οὐκ ὄν τι ἐκείνης. Εἶτα ἐκεῖ τὸ εἶδος ἐνέργεια καὶ κίνησις· ἐνταῦθα δὲ ἡ κίνησις ἄλλο, καὶ συμβεβηκός, τὸ δὲ εἶδος στάσις αὐτῆς μᾶλλον, καὶ οἷον ἡσυχία· ὁρίζει γὰρ ἀόριστον οὖσαν· τό τε ταὐτὸν ἐκεῖ, καὶ τὸ ἕτερον, ἑνὸς τοῦ αὐτοῦ καὶ ἑτέρου ὄντος· ἐνταῦθα δὲ ἕτερον μεταλήψει, καὶ πρὸς ἄλλο, καὶ τὶ ταὐτὸν καὶ ἕτερον, οὐδ' ὡς ἐκεῖ εἴη ἄν τι ἐν τοῖς ὑστέροις, τὶ ταὐτὸν καὶ τὶ ἕτερον· στάσις δὲ τῆς ὕλης πῶς, ἐπὶ πάντα ἑλκομένης μεγέθη, καὶ ἔξωθεν τὰς μορφάς, καὶ οὐκ αὐτάρκους ἑαυτῇ μετὰ τούτων τὰ ἄλλα γεννᾷν; ταύτην μὲν οὖν τὴν διαίρεσιν ἀφετέον.

dicendum videtur. Et corpora quidem in unum accumulanda, cum simplicia, tum composita, et accidentia illorum atque consequentia, hæc quoque interim inter se dividendo: aut dicendum alicui videri potest, hoc quidem esse materiam, illud autem speciem in materia, et seorsum utramque tanquam genus, aut ambo in unum concilianda, tanquam utrumque æquivoce nominetur essentia sive substantia, aut proprie generatio. Verum quidnam commune materiæ simul est atque formæ? Et quomodo materia potest esse genus? quorumve genus? quoniam et mirandum est, quænam differentia materiæ sit. Præterea in quonam potissimum, quod est ex utrisque compositum, collocare debemus? Quodsi, quod ex utrisque constat, substantia corporea sit, neutrum vero duorum sit corpus, quonam pacto in uno eodemque duo hæc una cum composito poni debent? Et quonam pacto, quæ alicujus elementa sunt, cum illo simul in eodem constitui possunt? Si quis autem dixerit, a corporibus incipere nos debere, perinde monebit, ac si præceperit in dictionibus pertractandis a syllabis inchoandum. Quid vero prohibet, si non licet secundum naturam eandem partiri, saltem secundum analogiam et proportionem quandam hæc ita dividere, ut loco entis ipsius illic existentis ponamus hic materiam? pro motu autem entis illius hic formam velut vitam quandam perfectionemque materiæ? Tum pro eo, quod illic est ipsum idem atque status, hic materiæ conditionem quandam a se minime discedentem: quin etiam alteritatis ipsius vice rerum harum diversitatem dissimilitudinemque quam plurimam opposita superantem. Sed profecto materia non sic habet et accipit formam, tanquam ipsius vitam aut actum, sed ingreditur aliunde forma, nec aliquid est materiæ. Præterea species quidem illic actus est atque motus: hic vero motus est aliud atque contingens: species autem status ipsius magis et quasi quies: definit namque illam secundum se infinitam. Quin etiam ipsum idem et ipsum alterum illic ideo sunt, quia unum illic existit ipsum idem et unum ipsum alterum: hic autem alterum participatione dicitur, et ad aliud, et aliquid idem et aliquid alterum, nec sicut ibi ita in posterioribus ipsum dicitur, sed idem aliquid et alterum similiter aliquid. Status autem quomodo assignari materiæ poterit, quæ ad omnes distrahitur magnitudines, et formas accipit ab externis, neque per se sufficit una cum his alia generare? Hanc ergo divisionem prætermittere decet.

Quæcumque proprie sunt in mundo sensibili, probabiliter ad quinque genera referri posse videntur. Primum genus sit substantia: secundum accidens, quod in substantia: tertium accidens, in quo substantia: quartum motus: quintum relatio. In primo genere quodammodo colliguntur materia, forma, compositum: in secundo quantitas, qualitas, figura: in tertio locus, tempus: in quarto actio, passio: in quinto quam plurima quomodocumque relationem significantia.

IV. Πῶς δὲ λέγομεν; ἔστι δὴ πρῶτον οὕτως, τὸ μὲν ὕλην εἶναι, τὸ δ' εἶδος, τὸ δὲ μικτὸν ἐξ ἀμφοῖν, τὰ δὲ περὶ ταῦτα, τῶν δὲ περὶ ταῦτα τὰ μὲν κατηγορούμενα μόνον, τὰ δὲ καὶ συμβεβηκότα, τῶν δὲ συμβεβηκότων τὰ μὲν ἐν αὐτοῖς, τὰ δὲ αὐτὰ ἐν ἐκείνοις, τὰ δὲ ἐνεργήματα αὐτῶν, τὰ δὲ πάθη, τὰ δὲ παρακολουθήματα, καὶ τὴν μὲν ὕλην, κοινὸν μὲν καὶ ἐν πάσαις ταῖς οὐσίαις, οὐ μὴν γένος, ὅτι μηδὲ διαφορὰς ἔχει, εἰ μή τις τὰς διαφορὰς κατὰ τὸ τὴν μὲν πυρίνην, τὴν δὲ τὴν ἀέρος μορφὴν ἔχειν. Εἰ δέ τις ἀρκοῖτο τῷ κοινῷ τῷ ἐν πᾶσιν οἷς ἐστιν ὕλην εἶναι, ἢ ὡς ὅλον πρὸς μέρη, ἄλλως γένος ἂν εἴη· καὶ στοιχεῖον δὲ ἓν τοῦτο, δυναμένου καὶ τοῦ στοιχείου γένους εἶναι· τὸ δὲ εἶδος, προσκειμένου τοῦ περὶ τὴν ὕλην ἢ ἐν ὕλῃ, τῶν μὲν ἄλλων εἰδῶν χωρίζει, οὐ μὴν περιλαμβάνει πᾶν εἶδος οὐσιῶδες. Εἰ δὲ εἶδος λέγομεν τὸ ποιητικὸν οὐσίας, καὶ λόγον τὸν οὐσιώδη κατὰ τὸ εἶδος, οὔπω τὴν οὐσίαν εἴπομεν πῶς δεῖ λαμβάνειν. Τὸ δὲ ἐξ ἀμφοῖν εἰ τοῦτο

III. Quomodo igitur distinguemus? Primo quidem ita licet: profecto hoc esse materiam, illud vero formam, aliud autem ex utrisque permixtum; tum reliqua circa hæc esse: atque eorum, quæ circa hæc versantur, alia quidem tantum esse de his prædicata, alia vero esse insuper contingentia, quin etiam contingentium sive accidentium, alia his inesse, in aliis vicissim hæc existere: præterea alia horum actiones, alia passiones, alia denique consequentia. Dicere quoque licet, materiam esse commune quiddam, in omnibusque substantiis, neque tamen esse genus, quoniam nullas differentias habet, nisi quis forte differentias ejus accipiat ex eo, quod materia hæc igneam, illa vero aeriam subeat formam. Si quis autem ad hoc, ut materia genus sit, sufficere putet, quod commune quiddam sit omnibus, quibus licet subesse materiam, aut forte ex eo, quod ipsa materia erga materias quodammodo multas se habeat, sicut totum ad partes, aliter, quam proprie dici soleat, genus foret. Atque elementum erit hoc unum, siquidem possit et elementum esse genus. Species autem, si additum ei fuerit, ut circa materiam sit, vel in materia, per hujusmodi conditionem a speciebus aliis separabitur, non tamen essentialem omnem speciem amplectetur. Sin autem speciem appellamus id ipsum, quod essentiæ sit effectivum, essentialemque rationem secundum speciem, adhuc in ambiguitate versabimur. Nondum enim, quomodo accipienda sit essentia sive sub-

μόνον οὐσίαν, ἐκεῖνα δὲ οὐσίας. Ἐπεὶ δὲ κἀκεῖνα καὶ τοῦτο, τί τὸ κοινὸν, σκεπτέον. Τὰ δὲ κατηγορούμενα μόνον ἐν τῷ πρός τι ἂν εἴη, οἷον αἴτιον εἶναι, στοιχεῖον [δὲ] εἶναι. Τῶν δὲ ἐν αὐτοῖς συμβεβηκότων τὸ μὲν ποσὸν εἶναι, τὸ δὲ ποιὸν εἶναι, ἃ ἐν αὐτοῖς· τὰ δ' αὐτὰ ἐν ἐκείνοις, ὡς τόπος καὶ χρόνος, τὰ δὲ ἐνεργήματα αὐτῶν καὶ πάθη, ὡς κινήσεις, τὰ δὲ παρακολουθήματα, ὡς τόπος καὶ χρόνος, ὁ μὲν τῶν συνθέτων, ὁ δὲ τῆς κινήσεως, ὁ χρόνος. Καὶ τὰ μὲν τρία εἰς ἓν εὕροιμεν κοινόν τι, τὴν ἐνταῦθα ὁμώνυμον οὐσίαν· εἶτα τὰ ἄλλα ἐφεξῆς, πρός τι, ποσὸν, ποιὸν, ἐν χρόνῳ, ἐν τόπῳ, κίνησις, τόπος, χρόνος, ἢ ληφθέντος τόπου καὶ χρόνου, περιττὸν τὸ ἐν χρόνῳ καὶ τόπῳ· ὥστε εἶναι πέντε, ὡς ἓν τῶν πρώτων τριῶν· εἰ δὲ μὴ, εἰς ἓν τὰ τρία ἔσται, ὕλη, εἶδος, συναμφότερον, πρός τι, ποσὸν, ποιὸν, κίνησις, ἢ καὶ ταῦτα εἰς τὰ πρός τι· περιεκτικὸν γὰρ μᾶλλον.

stantia, declarabimus. Proinde si solum, quod est ex utrisque compositum, afferetur esse substantia, duo illa substantiae nomine carent. Quodsi et hoc simul et illa, reliquum erit, quidnam his omnibus commune sit, indagare. Quae vero solum praedicata dicuntur, forsan in ordine relationis erunt, velut esse causam, et elementum esse. Sed eorum, quae accidentia sunt in illis, aliud est, ut esse quantum, aliud rursus, ut quale quae propria sunt in ipsis. Sunt et quaedam, in quibus illa ipsa sunt, quemadmodum locus atque tempus: *quin etiam actiones eorum* et passiones se habent velut motus: tum vero consequentia, ceu locus et tempus: locus quidem compositorum, tempus autem motionis. Proinde tria quidem prima forsan inveniemus in unum commune concurrere, scilicet in substantiam hic aequivoce dictam. Post haec alia deinceps, relatio, quantitas, qualitas, in tempore, in loco, motus, locus, tempus, quamvis accepto semel loco atque tempore, supervacuum sit afferre rursus, quod in tempore, *quod in loco. Quapropter licebit* quinque numerare, siquidem tria prima computentur ut unum. Sin autem tria illa non computentur in unum, sic utique disponentur, materia, species, compositum, relatio, quantitas, qualitas, motus: *vel haec fortasse relatione comprehendentur*: nam relatio latius comprehendit.

*substantiae corporeae* proprium est, ut accidentium sustentaculum sit, ipsa vero nulli tanquam accidens innitatur, sed sui juris exsistat. Id autem solius substantiae proprium tribus substantiis est commune, scilicet materiae, formae, composito.

Δ'. Τί οὖν ταὐτὸν ἐν τοῖς τρισὶ, καὶ τί ἔσται, ὃ ταῦτα ποιεῖ οὐσίαν τὴν ἐν τούτοις; ἆρα ὑποβάθραν τινὰ τοῖς ἄλλοις; ἀλλ' ἡ μὲν ὕλη ὑποβάθρα καὶ ἕδρα δοκεῖ τῷ εἴδει εἶναι· ὥστε τὸ εἶδος οὐκ ἔσται ἐν οὐσίᾳ, τό τε σύνθετον ἄλλοις ὑποβάθρα καὶ ἕδρα, ὥστε καὶ τὸ εἶδος μετὰ τῆς ὕλης ὑποβεβλήσεται τοῖς συνθέτοις· ἢ πᾶσί γε τοῖς μετὰ τὸ σύνθετον, οἷον ποσῷ, ποιῷ, κινήσει. Ἀλλ' ἆρα τὸ μὴ ἑτέρου ὃ λέγεται; λευκὸν μὲν γὰρ καὶ μέλαν, ἄλλου τοῦ λελευκωμένου, καὶ τὸ διπλάσιον δὲ ἑτέρου· λέγω δὲ οὐ τοῦ ἡμίσεος εἶναι, ἀλλὰ ξύλον διπλάσιον, καὶ πατὴρ ἄλλου, ᾗ πατήρ ἐστι, καὶ ἐπιστήμη δὲ ἄλλου, τοῦ ἐν ᾧ, καὶ τόπος δὲ πέρας ἄλλου, καὶ χρόνος μέτρον ἄλλου, πῦρ δὲ οὐκ ἄλλου, οὐδὲ ξύλον, καθ' ὃ ξύλον, ἄλλου, οὐδ' ἄνθρωπος ἄλλου, οὐδὲ Σωκράτης, οὐδ' ὅλως ἡ σύνθετος οὐσία, οὐδὲ τὸ κατὰ τὴν οὐσίαν εἶδος, ἄλλου, ὅτι οὐκ ἄλλου πάθος ἦν· οὐ γὰρ τῆς ὕλης εἶδος, τοῦ δὲ συναμφοτέρου μέρος· τὸ δὲ τοῦ ἀνθρώπου εἶδος καὶ ὁ ἄνθρωπος ταὐτὸν, καὶ ἡ ὕλη μέρος ὅλου, καὶ ἄλλου, ὡς τοῦ ὅλου, οὐχ ὡς ἑτέρου ὄντος ἐκείνου, οὗ λέγεται· λευκὸν δὲ ὃ λέγεται εἶναι, ἑτέρου ἐστίν. Ὃ οὖν ἄλλου ὂν ἐκείνου λέγεται, οὐκ οὐσία· οὐσία τοίνυν, ὃ, ὅπερ ἐστὶν, αὐτοῦ ἐστιν· ἢ μέρος ὂν τοιούτου συμπληρωτικόν ἐστι συνθέτου, ὄντος μὲν αὐτοῦ, ἕκαστον μὲν ἢ ἑκάτερον αὐτοῦ, πρὸς δὲ τὸ σύνθετον ἄλλον τρόπον ἐκείνου λεγόμενον· ἢ εἰ μὲν μέρος, πρὸς ἄλλο λεγόμενον, ὂν καθ' αὑτὸ δὲ φύσει, ἐν τῷ εἶναι, ὅ ἐστιν, οὐχ ἑτέρου λεγόμενον. Κοινὸν δὲ καὶ τὸ ὑποκείμενον ἐπί τε τῆς ὕλης καὶ τοῦ εἴδους καὶ τοῦ συναμφοτέρου, ἀλλὰ ἄλλως μὲν ἡ ὕλη τῷ εἴδει, ἄλλως δὲ τὸ εἶδος τοῖς πάθεσι, καὶ τὸ συναμφότερον· ἢ οὔτε ἡ ὕλη ὑποκείμενον τῷ εἴδει, τελείωσις γὰρ τὸ εἶδος αὐτῆς καθ' ὅσον ὕλη καὶ καθ' ὅσον δυνάμει, οὐδ' αὖ τὸ εἶδος ἐν ταύτῃ· μεθ' οὗ γάρ τι ἀπαρτίζει ἕν τι,

IV. Quidnam igitur in tribus illis commune est? quidve est, quod efficit, ut haec essentia sive substantia sint? Substantia, inquam, qualis in rebus inferioribus esse potest. Numquid horum quodlibet propterea substantia est, quia sit fundamentum quoddam, et susceptaculum aliorum? At vero materia quidem susceptaculum sedesque speciei videtur esse, species autem non adeo videtur esse sedes: quapropter species non erit in substantiae genere. Compositum quoque reliquis profecto multis fundamentum est atque sedes: itaque et species una videlicet cum materia subjicietur compositis, vel potius omnibus, quae sequuntur compositum, velut quantitati, qualitati, motui. Num forte, quod substantia est, idcirco est hoc ipsum, quoniam hoc ipsum, quod dicitur, non est alterius? Albedo enim atque nigredo alterius est, dealbati videlicet, vel denigrati. Duplum quoque alterius est, non dico in praesentia dimidii duplum, sed lignum duplum: et pater, qua pater alterius est. Item scientia est illius, in quo exsistit: rursum locus terminus est alterius: et tempus alterius est mensura: ignis autem non est alterius, neque lignum, qua lignum, alterius est. Similiter neque homo, neque Socrates, neque omnino composita ulla substantia. Atqui neque etiam species, quae secundum essentiam est, alterius est, quoniam nullius est passio. Non enim materiae species est: est tamen pars compositi: hominis vero species atque homo idem est. Materia quoque pars est totius, atque alterius est, quatenus est totius: non tanquam alterum illud exsistat, cujus ipsa dicitur: albedo vero hoc ipsum, quod dicitur, est alterius. Quod igitur, alterius exsistens, illius et dicitur, non est substantia. Substantia igitur est id quidem, quod certe hoc ipsum, quod est, sui ipsius exsistit. Aut certe, si alicujus pars esse dicatur, compositum ipsum complet, dum profecto quodlibet vel utrumque sui ipsius exsistit, sed erga compositum alio quodam pacto illius esse dicitur. Aut certe, qua ratione pars est, ad aliud quidem dicitur: qua vero secundum naturam suam est, in eo, quod sit, id quod est, dicitur esse nullius. Esse *vero subjectum videtur esse commune cum materiae*, tum speciei, tum composito: sed aliter quidem materia speciei subjecta est, aliter autem species passionibus, aliter vero compositum: vel potius neque materia speciei subjectum est. Species namque perfectio est illius, et qua materia est, et qua est in potentia. Neque rursus species in hac exsistit: ubi enim aliquid una cum aliquo unum

οὐκ ἔσται θάτερον ἐν θατέρῳ, ἀλλ' ἄμφω, ἡ ὕλη καὶ τὸ εἶδος, ὁμοῦ ὑποκείμενα ἄλλῳ, οἷον ἄνθρωπος, καὶ τὶς ἄνθρωπος ὑπόκεινται τοῖς πάθεσι, καὶ προϋπάρχουσι τῶν ἐνεργειῶν καὶ τῶν παρακολουθούντων, καὶ ἀφ' ἧς δὲ τὰ ἄλλα, καὶ δι' ἣν τὰ ἄλλα, καὶ περὶ ὃ τὸ πάσχειν, καὶ ἀφ' ἧς τὸ ποιεῖν.

aliquid conficit, non erit alterum illic in altero: sed ambo, materia speciesque, simul subjecta sunt alteri, velut homo atque aliquis homo passionibus quidem subjiciuntur, præceduntque actiones et consequentia. Videbitur itaque substantia esse, a qua sunt alia, et propter quam alia, idque esse circa quod sit pati, et a quo sit agere.

*Solius substantiæ proprium est, ut nec usquam velut in subjecto insit, nec de subjecto aliquo tanquam extraneum aliquid prædicetur. Item, quando aliqua, quæ corporeis generibus propria sunt, in mundo incorporeo nominamus, non secundam rationem naturamque eandem, sed per comparationem et similitudinem illis hæc attribuimus.*

Ε'. Ἀκουστέον δὲ ταῦτα περὶ τῆς ἐνθάδε οὐσίας λεγομένης. Εἰ δέ πη ταῦτα καὶ ἐπ' ἐκείνης συμβαίνει, ἴσως μὲν κατ' ἀναλογίαν καὶ ὁμωνύμως. Καὶ γὰρ τὸ πρῶτον ὡς πρὸς τὰ μετ' αὐτὸ λέγεται· οὐ γὰρ ἁπλῶς πρῶτον, ἀλλ' ἔστιν ὡς πρὸς ἐκεῖνα ἔσχατα, ἄλλα πρῶτα μετ' ἐκεῖνα· καὶ τὸ ὑποκείμενον ἄλλως, καὶ τὸ πάσχειν, εἰ ἐκεῖ, ἀμφισβητεῖται, καὶ εἰ κἀκεῖ, ἄλλο τὸ ἐκεῖ πάσχειν· καὶ τὸ μὴ ἐν ὑποκειμένῳ εἶναι κατὰ πάσης οὐσίας, εἰ τὸ ἐν ὑποκειμένῳ εἶναι δεῖ μὴ ὡς μέρος ὑπάρχειν τοῦ ἐν ᾧ ἐστι, μηδ' οὕτως, ὥστε μηδὲ συντελεῖν μετ' ἐκείνου εἰς ἕν τι. Μεθ' οὗ γὰρ συντελεῖ εἰς σύνθετον οὐσίαν, ἐν ἐκείνῳ, ὡς ἐν ὑποκειμένῳ, οὐκ ἂν εἴη· ὥστε μήτε τὸ εἶδος ἐν τῇ ὕλῃ εἶναι ὡς ἐν ὑποκειμένῳ, μήτε τὸν ἄνθρωπον ἐν τῷ Σωκράτει, μέρος ὄντα Σωκράτους. Ὃ οὖν μὴ ἐν ὑποκειμένῳ, οὐσία· εἰ δὲ λέγομεν μήτε ἐν ὑποκειμένῳ μήτε καθ' ὑποκειμένου, προσθετέον ὡς ἄλλου, ἵνα καὶ ὁ ἄνθρωπος λεγόμενος κατὰ τοῦ τινὸς ἀνθρώπου περιλαμβάνηται τῷ λόγῳ ἐν τῇ προσθήκῃ τῇ μὴ κατ' ἄλλου. Ὅταν γὰρ τὸν ἄνθρωπον κατηγορῶ τοῦ Σωκράτους, οὕτως λέγω, οὐχ ὡς τὸ ξύλον λευκόν, ἀλλ' ὡς τὸ λευκὸν λευκόν· τὸν γὰρ Σωκράτην λέγων ἄνθρωπον, τὸν τινὰ ἄνθρωπον λέγω ἄνθρωπον, καὶ τοῦ ἐν τῷ Σωκράτει ἀνθρώπου τὸν ἄνθρωπον· τοῦτο δὲ ταὐτόν, τῷ τὸν Σωκράτην Σωκράτην λέγειν, καὶ ἔτι τῷ κατὰ ζώου λογικοῦ τοιοῦδε τὸ ζῶον κατηγορεῖν. Εἰ δέ τις λέγοι μὴ ἴδιον εἶναι τῆς οὐσίας τὸ μὴ ἐν ὑποκειμένῳ εἶναι, τὴν γὰρ διαφορὰν μηδ' αὐτὴν εἶναι τῶν ἐν ὑποκειμένῳ, μέρος οὐσίας λαμβάνων τὸ δίπουν, τοῦτο οὐκ ἐν ὑποκειμένῳ φησὶν εἶναι, ἐπεὶ εἰ μὴ τὸ δίπουν λαμβάνοι, ὅ ἐστι τοιάδε οὐσία, ἀλλὰ τὸ διποδίαν, μὴ οὐσίαν λέγων, ἀλλὰ ποιότητα, ἐν ὑποκειμένῳ ἔσται τὸ δίπουν. Ἀλλ' οὐδὲ ὁ χρόνος ἐν ὑποκειμένῳ, οὐδ' ὁ τόπος· ἀλλ' εἰ μὲν τὸ μέτρον λαμβάνεται κινήσεως κατὰ τὸ μεμετρημένον, τὸ μέτρον ἐν τῇ κινήσει ὑπάρξει, ὡς ἐν ὑποκειμένῳ, ἥ τε κίνησις ἐν τῷ κινουμένῳ· εἰ δὲ τὸ κατὰ τὸ μετροῦν λαμβάνεται, ἐν τῷ μετροῦντι ἔσται τὸ μέτρον· ὁ δὲ τόπος, πέρας τοῦ περιέχοντος ὤν, ἐν ἐκείνῳ· καὶ τὸ περὶ ταύτην τὴν οὐσίαν, περὶ ἧς ὁ λόγος γίγνεται ἐναντίως, ἢ κατὰ ἓν τούτων, ἢ κατὰ πλείω, ἢ κατὰ πάντα τὰ εἰρημένα λαμβάνεσθαι τὴν οὐσίαν τὴν τοιαύτην, ἐφαρμοττόντων καὶ τῇ ὕλῃ καὶ τῷ εἴδει καὶ τῷ συναμφοτέρῳ τῶν εἰρημένων.

V. Accipienda vero sunt hæc de ea substantia, quæ hic esse dicitur. Si quo vero pacto substantiæ quoque superiori conveniant, forsan congruent per analogiam quandam appellationemque æquivocam. Jam vero et quod appellatur primum, comparatione quadam ad illa, quæ sequuntur, sic appellatur. Non enim simpliciter cognominatur primum, sed ad illa potius, quæ sunt infima: quia etiam, quæ mox sequuntur, erga illa similiter appellantur prima, quæ perinde sequuntur. Præterea, quod subjectum dicitur, hic et ibi se aliter habet: quia etiam dubitatur, utrum sit ibi passio, ac si ibi sit, aliud certe ibi, atque hic, est pati. Videtur item omni substantiæ convenire in subjecto non esse: si modo hoc ipsum, quod est in subjecto, oportet non esse partem ejus, in quo est, neque oportet etiam una cum eo concurrere ad aliquid unum simul conficiendum. Quod enim cum aliquo conducit ad substantiam componendam, in eo, tanquam in subjecto, esse non potest: quapropter neque forma videtur in materia esse tanquam subjecto, neque homo in Socrate, quippe cum sit pars Socratis. Quod ergo non est in subjecto, substantia judicatur: si autem dicamus, id ipsum esse substantiam, quod neque in subjecto est, neque dicitur de subjecto, adjungendum est de subjecto, inquam, tanquam de alio quodam, ut in ea descriptione substantiæ, qua adjungendo dicimus substantiam non prædicari de alio, homo etiam comprehendatur de quodam homo prædicatus. Quando enim hominem de Socrate prædico, ita dico non tanquam lignum album, sed tanquam album esse album. Nam quando Socratem esse hominem dico, tunc hominem aliquem esse fateor hominem, atque de ipso homine, qui est in Socrate, hominem prædico: hoc autem idem est, ac si dicamus Socratem esse Socratem, atque etiam perinde, ac si de animali rationali ejusmodi animal prædicemus. Verum, si quis objecerit, non esse id substantiæ proprium, quod dici solet in subjecto non esse, differentiam enim ex eorum esse numero, quæ in subjecto non sint: ille certe, si tanquam essentiæ partem acceperit, quod bipes dicitur, hoc utique in subjecto non esse fatebitur: quandoquidem, nisi hoc ipsum bipes sic acceperit, tanquam sit essentia talis, sed intellexerit bipedalitatem, nimirum nullam dicet substantiam, sed qualitatem, ideoque, quod bipes dicitur, in subjecto jam erit. Sed neque tempus esse in subjecto videtur, neque locus: verum, si mensura motionis de tempore accipiatur secundum ipsum mensuratum, certe et mensura erit in motu, ceu subjecto, et motus in eo similiter, quod movebitur. Sin autem secundum mensurantem intelligatur, mensura erit in mensurante: locus autem, cum sit terminus continentis, in eodem erit similiter continente. Contra vero se res habet circa hanc essentiam, de qua in præsentia disputamus, circa quam probabile videtur vel secundum unum aliquid eorum, quæ dicta sunt, vel plura, vel omnia, substantiam talem accipiendam videlicet ea, quæ dicta sunt, materiæ et formæ et composito congruunt.

Ens non secundum eandem rationem, sed diversam quidem, quamvis per quandam similitudinem, praedicatur de substantia incorporea et corporea, atque de accidente.
Substantia corporea, comparata quidem ad incorpoream, non habet esse ex se, sed ex illa : comparata vero ad accidentia sua, obtinet esse secundum se, et prius atque simpliciter : accidentia vero sortiuntur esse per illam, posteriusque et esse quodammodo.
Fit autem hic quasi vicissitudo quaedam : nam et accidens per substantiam habet simpliciter esse, et substantiam per accidentia nanciscitur esse tale, vel tali quodam pacto.

ϛʹ. Εἰ δέ τις λέγοι, ὡς ταῦτα μὲν ἔστω τεθεωρημένα περὶ τὴν οὐσίαν, ὃ δ' ἔστιν, οὐκ εἴρηται, αἰτεῖ ἔτι ἴσως αἰσθητὸν ἰδεῖν τοῦτο. Τὸ δ' ἔστι τοῦτο καὶ τὸ εἶναι οὐκ ἂν ὁρῷτο. Τί οὖν; τὸ πῦρ οὐκ οὐσία καὶ τὸ ὕδωρ; οὐσία οὖν ἑκάτερον, ὅτι ὁρᾶται; οὔ· ἀλλὰ τῷ ὕλην ἔχειν; οὔ· ἀλλὰ τῷ εἶδος; οὐδὲ τοῦτο, ἀλλ' οὐδὲ τῷ συναμφότερον. Ἀλλὰ τίνι δή; τῷ εἶναι. Ἀλλὰ καὶ τὸ ποσὸν ἔστι, καὶ τὸ ποιὸν ἔστιν. Ἡμεῖς δὴ φήσομεν ἄρα, ὅτι ὁμωνύμως· ἀλλὰ τί τὸ ἐπὶ πυρὸς καὶ γῆς καὶ τῶν τοιούτων, τὸ ἔστι; καὶ τίς ἡ διαφορὰ τούτου τοῦ ἔστι, καὶ τοῦ ἐπὶ τῶν ἄλλων; ἢ ὅτι τὸ μὲν ἁπλῶς εἶναι λέγει καὶ ἁπλῶς ὄν, τὸ δὲ λευκὸν εἶναι. Τί οὖν; τὸ εἶναι τὸ προσκείμενον τῷ λευκῷ ταὐτὸν τῷ ἄνευ προσθήκης; οὐχί· ἀλλὰ τὸ μὲν πρώτως ὄν, τὸ δὲ κατὰ μετάληψιν καὶ δευτέρως· τό τε γὰρ λευκὸν προστεθὲν τῷ ὄντι πεποίηκε λευκὸν τὸ ὄν· τό τε ὂν τῷ λευκῷ προστεθὲν πεποίηκε τὸ ὂν λευκόν, ὥστε ἑκατέρῳ, τῷ μὲν ὄντι συμβεβηκὸς τὸ λευκόν, τῷ δὲ λευκῷ συμβεβηκὸς τὸ ὄν. Καὶ οὐχ οὕτω λέγομεν, ὡς ἂν εἴποι τις τὸν Σωκράτην λευκόν, καὶ τὸ λευκὸν Σωκράτην, ἐν γὰρ ἀμφοτέροις ὁ Σωκράτης ὁ αὐτός. Ἀλλ' ἴσως τὸ λευκὸν οὐ ταὐτόν· ἐπεὶ γὰρ τοῦτο λευκὸν Σωκράτης ἐμπεριείληπται ὁ Σωκράτης τῷ λευκῷ· ἐν δὲ τῷ Σωκράτης λευκὸς καθαρῶς συμβεβηκὸς τὸ λευκόν· καὶ ἐνταῦθα τὸ ὂν λευκὸν συμβεβηκὸς ἔχει τὸ λευκόν, ἐν δὲ τῷ τὸ λευκὸν ὄν, τὸ λευκὸν συνειλημμένον τῷ ὄν· καὶ ὅλως τὸ μὲν λευκὸν ἔχει τὸ εἶναι, ὅτι περὶ τὸ ὂν καὶ ἐν ὄντι· παρ' ἐκείνου οὖν τὸ εἶναι· τὸ δὲ ὂν παρ' αὐτοῦ τὸ ὄν, παρὰ δὲ τοῦ λευκοῦ τὸ λευκόν, οὐχ ὅτι αὐτὸ ἐν τῷ λευκῷ, ἀλλ' ὅτι τὸ λευκὸν ἐν αὐτῷ. Ἀλλ' ἐπεὶ καὶ τοῦτο τὸ ὂν τὸ ἐν τῷ αἰσθητῷ οὐ παρ' αὐτοῦ ὄν, λεκτέον, ὅτι παρὰ τοῦ ὄντως ὄντος ἔχει τὸ ὄν, παρὰ δὲ τοῦ ὄντως λευκοῦ ἔχει τὸ λευκὸν εἶναι, κἀκείνου τὸ λευκὸν ἔχοντος κατὰ μετάληψιν τοῦ ἐκεῖ ὄντος ἔχοντος τὸ εἶναι.

VI. Si quis autem dixerit, haec quidem considerata fuisse circa essentiam sive substantiam; quid vero ipsa sit, non fuisse dictum, forsan ulterius exigit sensibile hoc inspicere. At vero hoc ipsum est atque esse inspici nequit. Quid ergo? nonne ignis et aqua est essentia? essentia sit utrumque : numquid ex eo, quod videantur? nequaquam. An forsan ex eo, quod materiam habeant? Neque etiam ob hoc ipsum. Sed num, quoniam habeant speciem? Neque hanc ob causam : sed neque etiam propterea, quod ibi sit compositum. Quonam igitur dicuntur essentia? Ipso nimirum esse. Verum etiam quantitas est, et qualitas est. Nos vero fortasse dicemus hoc ipsum est de illis atque his aequivoce dici. Sed deinde quaeretur, quidnam sit hoc ipsum est in igne et terra caeterisque ejusmodi? et quaenam differentia sit hujus ipsius est, atque illius est, quod convenit aliis? Respondebitur forsan, hoc differre, quod hoc quidem est simpliciter esse significat ensque simpliciter, illud vero significat album esse. Quid ergo? numquid ipsum esse, quod albo est adhibitum, idem est atque illud, cui nihil adjungitur? Nequaquam. Sed hoc quidem primo ens existit, illud autem secundum participationem gradumque secundo : nam et album enti adjunctum ens reddidit album, et ens adjunctum albo album ens efficit : quapropter accidens est enti quidem album, albo vero ens quoque vicissim. Neque ita loquimur, ut aliquis fortasse diceret : Socratem videlicet album, et album Socratem : nam in utroque Socrates ipse idem est : forte vero album non similiter idem. Ubi enim dicitur, album est Socrates, in albo Socrates est inclusus : ubi vero dicitur, Socrates est albus, album est pure contingens. Atqui et in his, de quibus agimus, ens album accidens habet album : sed ubi dicitur, album est ens, ipsum album quodammodo ens habet inclusum : et omnino album quidem habet esse, quoniam circa ens et in ente versatur : ab illo igitur accipit esse. Ens autem a se ipso quidem ens existit : ab albo vero fit album, non quia sit ipsum in albo, sed e converso, quoniam in ipso sit album. At vero, cum et hoc ens, quod in sensibili natura est, non a se ipso sit ens, idcirco dicendum est, ab ipso quidem ente vero ens habere, sed ab ipso vero albo esse album accipere : quippe cum et ens illud habeat esse album secundum participationem quandam ipsius illic existentis albi : et vicissim album ipsum habeat esse participatione entis ibi regnantis.

Et materia et forma materialis a causa separata pendent, cui forma est similior, quam materia. Ideo forma magis est ens, et essentia, et substantia, quam materia.
Idcirco nec ens, nec essentia vel substantia praedicatur de materia simul et forma tanquam genus univocum, sed tanquam analogum, id est proportionale genus atque comparabile. Praeterea essentia minus adhuc convenit accidentibus, quam substantiis. Nam substantiae sensibiles materia, forma, compositum, eminent quadam conditione sui juris existunt. Accidentia vero sunt mancipata substantiis. Denique materia superne pendet ex eo, quod minime ideale : forma vero ex eo, quod ideale quam maxime cogitatur.

ζʹ. Εἰ δέ τις λέγοι, παρὰ τῆς ὕλης ἔχειν τὰ τῇδε, ὅσα ἐπ' αὐτῆς, τὸ εἶναι, πόθεν ἕξει ἡ ὕλη τὸ εἶναι καὶ τὸ ὄν, ἀπαιτήσομεν. Ὅτι δὲ μὴ πρῶτον ἡ ὕλη, εἴρηται ἐν ἄλλοις· εἰ δὲ, ὅτι τὰ ἄλλα οὐκ ἂν συστα[ίη] μὴ ἐπὶ τῆς ὕλης, τὰ αἰσθητὰ φήσομεν· πρὸ τούτων δὲ οὖσαν ὕστερον πολλῶν εἶναι, καὶ τῶν ἐκεῖ πάντων, οὐδὲν κωλύει, ἀμυδρὸν τὸ εἶναι ἔχουσαν καὶ ἧττον, ἢ

VII. Si quis vero dixerit, quaecumque hic sunt in materia, esse ab eadem habere, quaeremus, undenam materia esse atque ens habeat. Materiam quidem non esse in rerum ordine primum, alibi diximus : sin autem dicatur, alia non posse consistere, nisi in materia sint, nos ejusmodi esse sensibilia confitebimur. Ipsam vero materiam, quae ante haec est, posteriorem esse multis, et iis, quae illic sunt, omnibus nihil prohibet : quippe cum obscurum esse habeat, minusque esse, quam illa, quae sunt in ea :

τὰ ἐφ' αὑτῆς, ὅσῳ τὰ μὲν λόγοι, καὶ μᾶλλον ἐκ τοῦ ὄντος, ἡ δ' ἄλογος παντελῶς, σκιὰ λόγου καὶ ἔκπτωσις λόγου. Εἰ δέ τις λέγοι, ὅτι τὸ εἶναι αὕτη δίδωσι τοῖς ἐπ' αὐτῆς, ὥσπερ ὁ Σωκράτης τῷ ἐπ' αὐτοῦ λευκῷ, λεκτέον, ὅτι τὸ μὲν μᾶλλον ὂν δοίη ἂν τῷ ἧττον ὄντι τὸ εἶναι ἧττον, τὸ δὲ ἧττον ὂν οὐκ ἂν δοίη τῷ μᾶλλον ὄντι. Ἀλλ' εἰ μᾶλλον ὂν τὸ εἶδος τῆς ὕλης, οὐκέτι κοινόν τι τὸ ὂν κατ' ἀμφοῖν, οὐδ' ἡ οὐσία γένος ἔχον τὴν ὕλην, τὸ εἶδος, τὸ συναμφότερον, ἀλλὰ κοινὰ μὲν πολλὰ αὐτοῖς ἔσται, ἅπερ λέγομεν, διάφορον δὲ ὅμως τὸ εἶναι. Περὶ γὰρ ἐλάττονος ὂν μᾶλλον ὂν προσελθὸν, τάξει μὲν πρῶτον ἂν εἴη, οὐσίᾳ δὲ ὕστερον, ὥστε, εἰ μὴ ἐπ' ἴσης τὸ εἶδος τῇ ὕλῃ καὶ τῷ εἴδει καὶ τῷ συναμφοτέρῳ, κοινὸν μὲν οὐκ ἂν ἔτι εἴη ἡ οὐσία, ὡς γένος· ἄλλως μέντοι ἕξει πρὸς τὰ μετὰ ταῦτα, ὡς κοινόν τι πρὸς ἐκεῖνα ἔχουσα τῷ αὐτῶν εἶναι, ὡς ζωῆς ἡ μέν τις ἀμυδρὰ, ἡ δ' ἐναργεστέρα, καὶ εἰκόνων ἡ μέν τις ὑποτύπωσις, ἡ δὲ ἐξεργασία μᾶλλον. Εἰ δὲ τῷ ἀμυδρῷ τοῦ εἶναι μετροῖ τις τὸ εἶναι, τὸ δὲ ἐν τοῖς ἄλλοις πλέον ἐῴη, τοῦτο πάλιν αὖ κοινὸν ἔσται τὸ εἶναι. Ἀλλὰ μήποτε οὐχ οὕτω δεῖ ποιεῖν. Ἄλλο γὰρ ἕκαστον ὅλον, ἀλλ' οὐ κοινόν τι τὸ ἀμυδρὸν, ὥσπερ ἐπὶ τῆς ζωῆς, οὐκ ἂν εἴη κοινόν τι, ἐπὶ θρεπτικῆς καὶ αἰσθητικῆς καὶ νοερᾶς, καὶ ἐνταῦθα τοίνυν τὸ εἶναι, ἄλλο τὸ ἐπὶ τῆς ὕλης καὶ εἴδους, καὶ συνάμφω, ἀφ' ἑνὸς ἄλλως καὶ ἄλλως ῥυέντος. Οὐ γὰρ μόνον δεῖ, εἰ τὸ δεύτερον ἀπὸ τοῦ πρώτου, τὸ δὲ τρίτον ἀπὸ τοῦ δευτέρου, τὸ μὲν μᾶλλον, τὸ δὲ ἐφεξῆς χεῖρον καὶ ἔλαττον, ἀλλὰ κἂν ἀπὸ τοῦ αὐτοῦ ἄμφω οἷδε τὸ μὲν μᾶλλον μετασχὸν πυρὸς, οἷον κέραμος, τὸ δὲ ἧττον, ὥστε μὴ κέραμος γενέσθαι. Τάχα δὲ οὐδ' ἀπὸ τοῦ αὐτοῦ ἡ ὕλη καὶ τὸ εἶδος· διαφορὰ γὰρ καὶ ἐν ἐκείνοις.

quatenus hæc quidem rationes quædam sunt, magisque sunt ex ente ejusque natura; materia vero rationis omnino sit expers, et quædam rationis umbra casusque rationis. At si quis adduxerit, eam ita esse tradere iis, quæ sunt in ea, quemadmodum Socrates albedini, quæ est in Socrate, dicendum est, quod magis quidem ens est, tradere posse ei, quod est minus ens, esse minus: quod vero minus est, ens nunquam magis enti tribuere. At vero, si species magis ens, quam materia, est, non amplius ipsum ens de utrisque, velut commune aliquid, prædicabitur, neque essentia genus erit, habens sub se materiam et speciem et compositum: verum communia quidem multa iis erunt, quæ jamdiu dicimus: veruntamen ipsum esse differens erit. Quando enim magis ens circa minus ens accedit, hoc ordine quidem prius est, essentia vero gradu posterius. Quam ob rem, nisi æque essentia sit species atque materia, rursusque materia atque species et compositum, nunquam essentia commune aliquid iis erit, velut genus: aliter tamen se habebit erga illa, quæ sunt post ipsa, tanquam commune quiddam id habens ad ipsa, quod sui ipsorum proprio sint: quemadmodum in ordine vitæ alia quidem debilis est, alia efficacior; similiterque imaginum hæc levis quædam adumbratio est, illa vero expressio absolutior. Si quis autem gradu quodam ipsius esse exiguo metiatur esse, quod vero in aliis plus est, omittat, hoc rursus esse commune erit. Sed enim advertendum est, ne forte non ita sit faciendum. Aliud enim unumquodque totum; sed non est commune aliquid hoc, quod est exiguum et obscurum, sicut in vita non est commune quiddam vegetali, sensuali, intellectuali: itaque et hic ipsum esse, aliud quidem est in materia aliudque in forma atque hæc ambo ab uno quodam pendent, aliter ois et aliter affluente. Non solum enim, ubi secundum a primo est, et tertium a secundo, ibi prius quidem illud magis est tale, posterius autem deterius est et minus: verum etiam, si ab eodem ambo pendeant, similem quandam successionem licet inspicere: ceu lutum igni, magis quidem igne concoctum, vas efficitur sive tegula: sed erit ibidem et minus concoctum, adeo ut vas vel tegula minime fiat. Forsan vero non ab eodem materia est et species: differentia enim est et in illis.

Ubi de substantia sensibili loquimur, præstat accipere compositum, quam materiam aut formam. Compositarum vero substantiarum generaliter proprium est, ut subjecta quidem sint, neque sint in subjectis.
Substantia incorporea pura substantia est, quoniam ab accidentibus non pendet: corporea vero non est substantia pura, quoniam ex accidentibus quibusdam saltem intimis propriisque conficitur; alioquin non erit substantia corporea sensibilisque, quam in præsentia quærimus.

Η'. Ἀλλ' ἆρα τὸ μὲν διαιρεῖν εἰς στοιχεῖα ἐᾶν δεῖ, καὶ μάλιστα περὶ τῆς αἰσθητῆς οὐσίας λέγοντα, ἣν δεῖ αἰσθήσει μᾶλλον ἢ λόγῳ λαμβάνειν, καὶ τὸ ἐξ ὧν σύγκειται μὴ προσποιεῖσθαι· οὐ γὰρ οὐσίαι ἐκεῖνα, ἢ οὐκ ἂν αἰσθηταί γε οὐσίαι· ἑνὶ δὲ γένει περιλαμβάνοντα τὸ κοινὸν ἐπὶ λίθου, καὶ γῆς, καὶ ὕδατος, καὶ τῶν ἐκ τούτων φυτῶν, ᾗ αἰσθητὰ, καὶ ζώων ὡσαύτως· οὐ γὰρ παραλελείψεται ἡ ὕλη οὐδὲ τὸ εἶδος· ἡ γὰρ αἰσθητὴ οὐσία ἔχει ταῦτα· ὕλη γὰρ καὶ εἶδος πῦρ καὶ γῆ καὶ τὰ μεταξὺ, τὰ δὲ σύνθετα ἤδη πολλαὶ οὐσίαι εἰς ἕν· καὶ τὸ κοινὸν πᾶσι τούτοις, ᾗ τῶν ἄλλων κεχώρισται· ὑποκείμενα γὰρ ταῦτα τοῖς ἄλλοις, καὶ οὐκ ἐν ὑποκειμένῳ, οὐδὲ ἄλλου· καὶ ὅσα εἴρηται, ὑπάρχει ταύτῃ. Ἀλλ' εἰ ἡ αἰσθητὴ οὐσία οὐκ ἄνευ μεγέθους οὐδ' ἄνευ ποιότητος, πῶς ἔτι τὰ συμβεβηκότα χωριοῦμεν; χωρίζοντες γὰρ ταῦτα, τὸ μέγεθος, τὸ σχῆμα, τὸ

VIII. Sed forsan decet omittere nunc in elementa dividere, præsertim ubi de sensibili substantia disputamus, quam sensu potius, quam ratione, decet accipere, neque ex quibus componatur, adjungere. Non enim illa substantiæ sunt, aut certe substantiæ non sensibiles. Operæ pretium vero videtur, uno quodam genere comprehendere, quod commune est lapidi terræque et aquæ, et iis insuper, quæ ex his componuntur, plantis scilicet animalibusque, quatenus sensibilia sunt: sic enim neque materia neque forma interim nobis prætermittetur: substantia namque sensibilis hæc in se habet. Nam ignis et terra horumque media, et materia sunt et forma: composita vero jam sunt substantiæ multæ in unum conciliatæ: atqui omnibus iis commune est hoc ipsum, quo ab aliis separantur. Hæc enim reliquis subjecta sunt, neque sunt in subjecto, neque alienі juris esse censentur. Et omnino, quæcunque narravimus tanquam substantiæ propria, huic rite conveniunt. Ceterum si substantia sensibilis absque magnitudine et qualitate non est, quonam pacto ab hac accidentia segregabimus? Separantes enim hæc, magnitudinem, figuram,

(923, 924.)

χρῶμα, ξηρότητα, ὑγρότητα, εἰ τὴν οὐσίαν αὐτὴν θησόμεθα; ποιαὶ γὰρ οὐσίαι αὗται. Ἀλλ' ἔστι τι, περὶ ὃ συμβαίνει τὰ ποιοῦντα ἐκ τοῦ μόνον οὐσίαν εἶναι ποιὰν οὐσίαν εἶναι, καὶ ἔσται τὸ πῦρ οὐχ ὅλον οὐσία, ἀλλά τι αὐτοῦ, οἷον μέρος· τοῦτο δὲ τί ἂν εἴη, ἢ ὕλη; Ἀλλ' ἆρά γε ἡ αἰσθητὴ οὐσία συμφόρησίς τις ποιοτήτων καὶ ὕλης, καὶ ὁμοῦ μὲν πάντα ταῦτα συμπαγέντα ἐπὶ ὕλης μιᾶς, οὐσία; χωρὶς δὲ ἕκαστον λαμβανόμενον, τὸ μὲν ποιόν, τὸ δὲ ποσὸν ἔσται, ἢ ποιὰ πολλά· καὶ ὃ μὲν ἂν ἐλλεῖπον μὴ πως ἀπηρτισμένην ἐᾷ γίγνεσθαι τὴν ὑπόστασιν, μέρος τῆσδε τῆς οὐσίας· ὃ δ' ἂν γενομένῃ τῇ οὐσίᾳ ἐπισυμβῇ, τὴν οἰκείαν ἔχει τάξιν, οὐ κρυπτόμενον ἐν τῷ μίγματι, τῷ ποιοῦντι τὴν λεγομένην οὐσίαν. Καὶ οὐ τοῦτό φημι, ὡς ἐκεῖ μετὰ τῶν ἄλλων ὂν ἐστὶν οὐσία, συμπληροῦν ἕνα ὄγκον τοσόνδε καὶ τοιόνδε, ἀλλαχοῦ δὲ μὴ συμπληροῦν, ποιόν, ἀλλὰ μηδὲ ἐκεῖ ἕκαστον οὐσίαν, τὸ δ' ὅλον τὸ ἐκ πάντων οὐσίαν. Καὶ οὐ δυσχεραντέον, εἰ τὴν οὐσίαν τὴν αἰσθητὴν ἐξ οὐκ οὐσιῶν ποιοῦμεν· οὐδὲ γὰρ τὸ ὅλον ἀληθὴς οὐσία, ἀλλὰ μιμούμενον τὴν ἀληθῆ, ἥτις, ἄνευ τῶν ἄλλων τῶν περὶ αὐτήν, ἔχει τὸ ὄν, καὶ τῶν ἄλλων ἐξ αὐτῆς γιγνομένων, ὅτι ἀληθῶς ἦν· ὧδε δὲ καὶ τὸ ὑποβεβλημένον ἄγονον, καὶ οὐχ ἱκανὸν εἶναι ὄν, ὅτι μηδὲ ἐξ αὐτοῦ τὰ ἄλλα, σκιὰ δέ, καὶ ἐπὶ σκιᾷ αὐτῇ οὔσῃ ζωγραφία καὶ τὸ φαίνεσθαι.

calorem, siccitatem, humiditatem, quidnam ulterius eam esse ponemus? hae namque substantiae quales quaedam substantiae sunt. Verum aliquid certe est, circa quod haec ipsa concurrunt, quae simul efficiunt, ut, quae solum substantia erat, substantia talis evadat: atque ita ignis non totus substantia erit, sed aliquid ejus velut pars esse substantia judicabitur. Hoc autem quidnam erit? Forsan vero materia. Num igitur sensibilis substantia congeries quaedam est qualitatum atque materiae? atque haec omnia commixta simul in una materia substantia sunt? Unumquodque vero seorsum inde acceptum, aliud quale erit, aliud vero quantum, vel qualia multa. Tum vero, quod inter haec ita se habet, ut si quando defuerit, imperfectam relinquat essentiam, hujus essentiae pars exsistit. Quod autem essentiae jam absolutae contingit, alium quendam proprium obtinet ordinem, neque in ea includitur mixtione, quae dictam hanc essentiam conficit. Nec equidem in praesentia dico, tale aliquid, dum ibi est una cum reliquis, essentiam sive substantiam esse, dum videlicet molem unam complet tantam proprie atque talem: ubi vero non complet ejusmodi aliquid, esse potius qualitatem: sed dico, nec ibi quidem, quicquid est, esse substantiam; totum vero ex omnibus congregatum substantiam esse. Neque graviter ferendum est, si substantiam sensibilem ex non substantiis componamus: neque enim id totum vera substantia est et essentia, sed veram potius essentiam imitatur: quae quidem, absque reliquis circa eam positis, ens in se possidet, atque ita, ut alia ex ipsa fiant, propterea quod ipsa re vera prorsus exsistat. Illa autem etiam, quod pro fundamento subjicitur, sterile est, neque sufficiens ad hoc saltem, ut sit ens, nedum ex eo reliqua esse reperiant: sed umbra quaedam est, atque in ipsa velut umbra pictura quaedam fit, nec verum ens, sed protsus apparens.

species sub genere substantiae numerandae sunt vel per distinctionem corporum inter se, seu simplicium, mixtorum, animatorum. Non autem dicendum substantiam primam esse hunc hominem, secundam vero ipsum communiter hominem.
species est universalior individuo, ergo simplicior: igitur et natura prior: quare essentia quoque perfectior. Ille enim homo, id est homo talis et in tali materia, fit posterius participatione quadam specialis ipsius rationis humanae, prius quidem perfectamque in se existentis, deinde alius se ipsam imperfectis [illegible]

Θ'. Καὶ περὶ μὲν τῆς λεγομένης οὐσίας αἰσθητῆς καὶ γένους ἑνὸς ταύτῃ· εἴδη δ' αὐτοῦ τίνα ἄν τις θεῖτο; καὶ πῶς διέλοι; σῶμα μὲν οὖν τὸ σύμπαν θετέον εἶναι, τούτων δὲ τὰ μὲν ὑλικώτερα, τὰ δὲ ὀργανικά· ὑλικώτερα μέν, πῦρ, γῆ, ὕδωρ, ἀήρ· ὀργανικὰ δὲ τὰ τῶν φυτῶν, καὶ τὰ τῶν ζώων σώματα, κατὰ τὰς μορφὰς τὰς παραλλαγὰς σχόντα· εἶτα εἴδη γῆς λαμβάνειν, καὶ τῶν ἄλλων στοιχείων, καὶ ἐπὶ τῶν σωμάτων τῶν ὀργανικῶν, τά τε φυτὰ κατὰ τὰς μορφὰς διαιροῦντα, καὶ τὰ τῶν ζώων σώματα, ἢ τῷ τὰ μὲν ἐπίγεια καὶ ἔγγεια, καὶ καθ' ἕκαστον στοιχεῖον τὰ ἐν αὐτῷ· ἢ τῶν σωμάτων τὰ μὲν κοῦφα, τὰ δὲ βαρέα, τὰ δὲ μεταξύ· καὶ τὰ μὲν ἑστάναι ἐν μέσῳ, τὰ δὲ περιέχειν ἄνωθεν, τὰ δὲ μεταξύ· καὶ ἐν ἑκάστῳ τούτων σώματα ἤδη σχήμασι διειλημμένα, ὡς εἶναι σώματα τὰ μὲν ζώων οὐρανίων, τὰ δὲ κατὰ ἄλλα στοιχεῖα· ἢ κατ' εἴδη διαστησάμενον τὰ τέσσαρα, τὸ μετὰ τοῦτο ἄλλον τρόπον ἤδη συμπλέκειν, καὶ μιγνύντα τὰς διαφορὰς αὐτῶν κατὰ τοὺς τόπους, καὶ τὰς μορφάς, καὶ τὰς μίξεις, οἷον πύρινα, ἢ γήινα, τῷ πλείονι καὶ ἐπικρατοῦντι λεγόμενα· τὸ δὲ πρώτας καὶ δευτέρας λέγειν, τόδε τὸ πῦρ, καὶ πῦρ ἄλλως μὲν ἔχειν διαφοράν, ὅτι τὸ μὲν καθ' ἕκαστον, τὸ δὲ καθ' ὅλου, οὐ μέντοι οὐσίας διαφοράν, καὶ γὰρ καὶ ἐν ποιῷ τὶ λευκόν, καὶ λευκόν, καὶ γραμμα-

IX. Hactenus de illa, quae sensibilis substantia dicitur, et uno ejus genere ita sit dictum. Species autem ejus quas potissimum afferre quis potest? et quomodo dividet? Profecto universum hoc ponendum est esse corpus: in quo quidem alia magis materialia sint, alia vero organica, id est, variis praedita instrumentis. Et materialia quidem illa, velut ignis, terra, aqua et aer: organica vero plantarum animaliumque corpora distincta inter se per formas: deinde species terrae licet accipere elementorumque aliorum: atque in corporibus organicis plantarum et animalium corpora per formas rite dividere, vel etiam distinguere ex eo, quod haec quidem terram habitantia terrenaque sunt, illa vero ad elementum quodvis aliud similiter pertinentia: aut fortasse corporum alia levia, alia gravia, alia media: et haec quidem in medio mundi consistere: illa vero desuper circumfundi: illa denique regionem mediam occupare: atque in unoquoque horum corpora jam figuris inter se distincta, adeo ut corpora sint partim coelestium animalium, partim per reliqua elementa: aut primo quidem in elementa quatuor tanquam species divisa, deinde alio modo invicem commiscere, atque ita eorum differentias procreare secundum loca et formas et mixtiones, velut quae ignea vel terrena dici solent: propterea quod elementum ibi tale exuberet et excellat. Quod autem fertur, alias esse substantias primas, alias vero secundas, seu hic ignis et ipse ignis, putandum est, aliter quidem differentiam inter se habere, ex eo, quod hoc quidem singulare est, illud autem universale, non tamen substantiae differentiam admittere: nam et in genere qualitatis aliquid album est et album: item grammatica quaedam atque

τική τις, καὶ γραμματική. Ἔπειτα τί ἔλαττον ἔχει ἡ γραμματικὴ πρός τινα γραμματικὴν, καὶ ὅλως ἐπιστήμη πρός τινα ἐπιστήμην; οὐ γὰρ ἡ γραμματικὴ ὕστερον τῆς τινὸς γραμματικῆς, ἀλλὰ μᾶλλον, οὔσης γραμματικῆς, καὶ ἡ ἐν σοὶ, ἐπεὶ καὶ ἡ ἐν σοὶ, τίς ἐστι τῷ ἐν σοί· αὕτη δὲ ταὐτὸν τῇ καθ' ὅλου· καὶ ὁ Σωκράτης οὐκ αὐτὸς ἔδωκε τῷ μὴ ἀνθρώπῳ τὸ εἶναι ἀνθρώπῳ, ἀλλ' ὁ ἄνθρωπος τῷ Σωκράτει· μεταλήψει γὰρ ἀνθρώπου ὁ τὶς ἄνθρωπος. Ἔπειτα ὁ Σωκράτης τί ἂν εἴη, ἢ ἄνθρωπος τοιόσδε, τὸ δὲ τοιόσδε τί ἂν ἐργάζοιτο πρὸς τὸ μᾶλλον οὐσίαν εἶναι; εἰ δ', ὅτι τὸ μὲν εἶδος μόνον ὁ ἄνθρωπος, τὸ δὲ εἶδος ἐν ὕλῃ, ἧττον ἄνθρωπος κατὰ τοῦτο ἂν εἴη· ἐν ὕλῃ γὰρ ὁ λόγος χείρων. Εἰ δὲ καὶ ὁ ἄνθρωπος οὐ κατ' αὐτὸ εἶδος, ἀλλ' ἐν ὕλῃ, τί ἔλαττον ἕξει τοῦ ἐν ὕλῃ, καὶ αὐτὸς λόγος τοῦ ἔν τινι ὕλῃ; ἔτι, πρότερον τῇ φύσει τὸ γενικώτερον, ὥστε καὶ τὸ εἶδος τοῦ ἀτόμου· τὸ δὲ πρότερον τῇ φύσει καὶ ἁπλῶς πρότερον. Πῶς ἂν οὖν ἧττον εἴη; ἀλλὰ τὸ καθ' ἕκαστον πρὸς ἡμᾶς γνωριμώτερον ὂν, πρότερον, τοῦτο δ' οὐκ ἐν τοῖς πράγμασι τὴν διαφορὰν ἔχει. Ἔπειτα οὕτως οὐχ εἷς λόγος τῆς οὐσίας· οὐ γὰρ ὁ αὐτὸς τοῦ πρώτως καὶ τοῦ δευτέρως, οὐδ' ὑφ' ἓν γένος.

XIX. Accommodandi praeterea sunt qualitatis generi, quemadmodum visum est, qui per qualitates quales denominantur, quatenus circa illos est qualitas. Neque tamen eos proprie adhibere debemus, ne duo propterea videantur praedicamenta, sed ab eis ad hoc ipsum nos revocare debemus, a quo tales cognominantur. Quod vero dici solet non album, si colorem significet alium, est in genere qualitatis: sin autem negatio est duntaxat res ipsas negans, vel enumeratio quaedam, nihil aliud est, nisi vox, aut nomen, aut oratio, quae etiam res quaedam esse videtur, ipsumque similiter. Ac si vox quidem est, motus aliquis erit: sin autem nomen aut oratio, ad relationem vergit, quatenus haec significandi vim habent: at si ejusmodi enumeratio non solum rerum est secundum genus, verum etiam oportet et quae dicuntur, et quae significant, singula in genus quoddam significare: dicemus profecto, alia quidem res ipsas ponere solum has declarando, alia vero res e medio tollere, tametsi fortasse praestat negationes rerum in eodem cum rebus genere non numerare, praesertim cum affirmationes quoque aliquas nequaquam connumeremus, ut compositionem ex pluribus generibus devitemus. De privationibus autem quidnam dicemus? Profecto si illa, quorum privationes dicuntur, sunt qualitates, ipsae etiam qualitates sunt, velut edentulus, aut caecus: at vero nudus atque vestitus, neuter est proprie qualis, sed aliquo potius quodammodo sese habens. *Itaque in habitudine quadam ad aliud* respiciente locatur. Praeterea passio, quae adhuc in patiendo versatur, non est qualitas, sed motio quaedam: quae vero ex eo dicitur, quod aliquis jam passus fuerit, passionemque jam habeat permanentem, qualitas merito judicatur: sin autem non habeat amplius passionem, dicatur tamen fuisse perpessus, censebitur proprie commotus fuisse. Id vero idem est, ac si dicatur, hic erat in motu: oportet autem motum duntaxat excogitare tempore inde sublato: nam neque etiam momentum praesens ad hoc est assumendum. Praeterea, quod dici solet, pulchre vel bene, vele-

γένους ἀνακτέον. Εἰ δὲ τὸ μὲν ἐρυθριᾷν εἰς τὸ ποιὸν ἀνακτέον, τὸν δὲ ἐρυθρὸν μηκέτι, ἐπισκεπτέον· τὸ μὲν γὰρ ἐρυθραίνεσθαι ὀρθῶς οὐκ ἀνακτέον· πάσχει γὰρ ἢ ὅλως κινεῖται· εἰ δὲ μηκέτι ἐρυθραίνεται, ἀλλ' ἤδη ἐστί, διὰ τί οὐ ποιός; οὐ γὰρ χρόνῳ ὁ ποιὸς ἤ τινι ὁριστέον, ἀλλὰ τῷ τοιῷδε, καὶ ἐρυθρὸν λέγοντες ποιὸν λέγομεν, ἢ οὕτω τὰς ἕξεις μόνας ποιότητας ἐροῦμεν, τὰς δὲ διαθέσεις οὐκέτι· καὶ θερμὸς τοίνυν οὐχ ὁ θερμαινόμενος, καὶ νοσῶν οὐχ ὁ ἀγόμενος εἰς νόσον.

itaque ejusmodi, in unam ipsam generis notionem redigere decet. Est autem consideratione dignum, numquid ad qualitatis genus referre deceat, quod dici solet, rubere; rubeum vero, sive rubescentem nequaquam: nam rubefieri quidem ad id genus merito non reducitur. Qui enim rubefit, patitur, vel omnino movetur: sin autem non amplius rubefit sive rubescit, sed jam est rubeus, cur non sit qualis? Non enim tempore quodam determinandus est ipse qualis, sed tali quodam potius perpendendus: itaque, rubeum sive rubescentem dicentes, qualem dicimus: alioquin sic solos habitus esse putabimus qualitates, dispositiones vero nequaquam: ideoque calidus quidem ita qualis erit, non qui calescit: similiterque languidus proprie erit qualis, non qui labitur in langourem.

Non debemus qualitates illas duntaxat contrarias definire, quæ plurimo inter se qualitatum mediarum spatio distent: sed illas simpliciter, quæ, cum in eodem qualitatis genere sint, in eo nullam in specie similitudinem mutuam habent, effectusque nobis oppositos afferunt.

Hac ratione sanitas et morbus, inter quæ nihil est medium, contraria sunt. Ubi media qualitas componitur ex extremis, non potest extremis esse contraria, ut viredo: ubi vero non componitur, potest, ut moralis virtus: ubi qualitas in proportione quadam certa individuaque consistit, non suscipit magis atque minus, ut harmonia, temperantia, justitia, sanitas: ubi latum habet gradum, suscipit, ut calor atque frigus.

Κ'. Ὁρᾷν δὲ δεῖ, εἰ μὴ πάσῃ ποιότητί ἐστί τις ἄλλη ἐναντία. Ἐπεὶ καὶ τὸ μέσον τοῖς ἄκροις δοκεῖ ἐπ' ἀρετῆς καὶ κακίας ἐναντίον εἶναι. Ἀλλ' ἐπὶ τῶν χρωμάτων τὰ μεταξὺ οὐχ οὕτως. Εἰ μὲν οὖν, ὅτι μίξεις τῶν ἄκρων τὰ μεταξύ, ἔδει μὴ ἀντιδιαιρεῖν, ἀλλὰ λευκῷ καὶ μέλανι, τὰ δ' ἄλλα συνθέσεις, ἢ τῷ μίαν τινὰ ἄλλην ἐπὶ τῶν μεταξὺ κἂν ἐκ συνθέσεως ᾖ θεωρεῖσθαι, ἀντιτίθεμεν, ἢ ὅτι δὲ τὰ ἐναντία οὐ μόνον διαφέρει, ἀλλὰ καὶ πλεῖστον· ἀλλὰ κινδυνεύει τὸ πλεῖστον διαφέρειν λαμβάνεσθαι, ἐν τῷ θέσθαι ἤδη ταῦτα τὰ μεταξύ. Ἐπεὶ εἴ τις ταύτην τὴν διάταξιν ἀφέλοι, τίνι τὸ πλεῖστον ὁριεῖ; ἢ ὅτι τὸ φαιὸν ἐγγυτέρω τοῦ λευκοῦ μᾶλλον, ἢ τὸ μέλαν, καὶ τοῦτο παρὰ τῆς ὄψεως μηνύεται, καὶ ἐπὶ τῶν χυμῶν ὡσαύτως, θερμόν, ψυχρόν, τὸ μηδέτερον μεταξύ. Ἀλλ' ὅτι μὲν οὕτως ὑπολαμβάνειν εἰθίσμεθα, δῆλον· τάχα δ' ἄν τις ἡμῖν συγχωροῖ ταῦτα· τὸ δὲ λευκὸν καὶ τὸ ξανθὸν καὶ ὁτιοῦν πρὸς ὁτιοῦν, ὁμοίως πάντῃ ἕτερα ἀλλήλων εἶναι, καὶ ἕτερα ὄντα ποιὰ ἐναντία εἶναι· οὐδὲ γὰρ τῷ εἶναι μεταξὺ αὐτῶν, ἀλλὰ τούτων ἡ ἐναντιότης. Ὑγιείᾳ γοῦν καὶ νόσῳ οὐδὲν παρεμπέπτωκε μεταξύ, καὶ ἐναντία. Ἢ ὅτι τὰ γινόμενα ἐξ ἑκατέρου πλείστην παραλλαγὴν ἔχει; καὶ πῶς πλείστην ἔστιν εἰπεῖν, μὴ οὐσῶν ἐν τοῖς μέσοις ἐλαττόνων; οὐκ ἔστιν οὖν ἐπὶ ὑγείας καὶ νόσου πλεῖστον εἰπεῖν. Ἄλλῳ τοίνυν τὸ ἐναντίον, οὐ τῷ πλεῖστον, ὁριστέον. Εἰ δὲ τῷ πολλῷ, εἰ μὲν τὸ πολὺ ἀντὶ τοῦ πλέον πρὸς ἔλαττον, πάλιν τὰ ἄμεσα ἐκφεύξεται· εἰ δ' ἁπλῶς πολύ, ἑκάστῃ φύσει πολὺ ἀφεστάναι συγχωρηθέντος, μὴ τῷ πλείονι μετρεῖν τὴν ἀπόστασιν, ἀλλ' ἐπισκεπτέον, πῶς τὸ ἐναντίον. Ἆρ' οὖν τὰ μὲν ἔχοντά τινα ὁμοιότητα, λέγω δὲ οὐ κατὰ τὸ γένος, οὐδὲ πάντως τῷ μεμίχθαι ἄλλαις, οἷον μορφαῖς αὐτῶν, ἢ πλείονα ἢ ἐλάττονα, οὐκ ἐναντία, ἀλλ' οἷς μηδὲν ταὐτὸν κατὰ τὸ εἶδος ἐναντία, καὶ προσθετέον δὲ ἐν γένει τῷ ποιῷ. Ἐντεῦθεν γὰρ καὶ τὰ μὲν ἄμεσα τῶν

XX. Animadvertendum est, ne forte non omni qualitati alia sit contraria qualitas. Profecto circa virtutem et vitia media qualitas extremis contraria esse videtur: circa colores autem medii non videntur ita esse contrarii. Si ergo dicatur, hoc inde contingere, quia colores medii mixtiones quædam sint ex extremis, sane non oportebat media et extrema e contrario dividere, sed dividere potius coloris genus per album atque nigrum, ceteras vero compositiones ex his quasdam esse putare, aut ita distinguere, ut unam quandam aliam qualitatem in mediis, siquidem ex compositione talem esse constet, opponeremus: sin autem media idcirco extremis non esse contraria dicant, quia, quæ contraria sunt, non solum inter se discrepant, sed quamplurimum. Objicienmus hoc ipsum, quod est plurimum discrepare, inde assumptum esse, quod ejusmodi quædam media jam interposita fuerint. Nam si quis dispositionem ejusmodi tollat, nescio quonam potissimum plurimam definiat discrepantiam: at si in causa esse dicant, quod fuscum propinquius sit albo, quam nigrum, id profecto nobis sensus ipse nuntiat, atque in humoribus eodem pacto, velut calidum et frigidum, et quod neutrum est medium utrinsque. Verum nos sic existimare consuevisse, plane compertum habemus: et talia nobis quivis fortasse concesserit: at vero album atque flavum et quodcumque adversus quodlibet, similiter omnino inter se differre videntur: cumque differentia sint, qualia esse contraria. Non enim ex eo proprio, quod aliquid inter hæc sit medium, contraria sunt, sed harum propria inter se contrarietas est judicanda. Jam vero inter sanitatem atque morbum nihil intervenit medium, attamen inter se contraria sunt. An forte idcirco contraria judicantur, quoniam, quæ ex alterutro fiunt, maxime differunt? At quonam modo distantiam plurimam ibi licet asserere, ubi nulla usquam minora sint media? Non datur igitur, circa sanitatem atque morbum distantiam plurimam affirmare. Ex quo patet, id ipsum, quod contrarium appellatur, alio quodam potius, quam plurimo spatio, esse definiendum. Proinde, si per multum determinetur? quæremus, utrum hoc ipsum, quod multum dicitur, accipiatur loco pluris pauciori oppositi, an potius pro eo, quod simpliciter multum. Si primo accipiatur modo, rursus, quæ medio carent, contrarietatem protinus subterfugient: sin autem secundo modo, cum facile concedatur, cuivis naturæ multum distare, neque tamen detur aliquo, quod plus est, metiri distantiam, considerandum est omnino, quomodo contrarium aliquid perpendatur. Num igitur, quæ similitudinem quandam habent, non dico duntaxat secundum genus, neque etiam omnino, quod aliis misceantur velut formis ipsorum plura vel pauciora, quæ, inquam, ita se habent, nonne contraria esse neganda sunt? nempe illa, quibus nihil idem secundum speciem adest, illa contraria judicantur: sed adjungendum est, ut in eodem scilicet qualitatis genere sint. Hinc utique asse-

ἐναντίων, οἷς μηδὲν εἰς ὁμοιότητα, οὐκ ὄντων ἄλλων, τῶν οἷον ἐπαμφοτεριζόντων καὶ ὁμοιότητα πρὸς ἄλληλα ἐχόντων, τῶν δέ τινων μόνων μὴ ἐχόντων. Εἰ τοῦτο, οἷς μέν ἐστι κοινότης ἐν τοῖς χρώμασιν, οὐκ ἂν εἴη ἐναντία. Ἀλλ' οὐδὲν κωλύει μὴ πᾶν μὲν παντί, ἄλλο δὲ ἄλλῳ οὕτως εἶναι ἐναντίον, καὶ ἐπὶ χυμῶν ὡσαύτως. Ταῦτα μὲν οὖν οὕτω διηπορήσθω. Περὶ δὲ τοῦ μᾶλλον [**] ἐν μὲν τοῖς μετέχουσιν, ὅτι ἐστὶν ἐδόκει, ὑγίεια δὲ αὐτὴ καὶ δικαιοσύνη, ἠπορεῖτο· εἰ δὴ πλάτος ἔχει τούτων ἑκάστη αὐτῶν, καὶ τὰς ἕξεις αὐτὰς δοτέον· ἐκεῖ δὲ μὴ ἔχει πλάτος, | ἐκεῖ δὲ ἕκαστον τὸ ὅλον, καὶ οὐκ ἔχει τὸ μᾶλλον.

verate licet et quæ sine medio ulla contraria nobis occurrunt, quibus profecto nihil adesse videtur ad similitudinem conferens; quippe cum nulla illic alia sint, quæ ad utrumque vergentia mutuam similitudinem habeant, vel concilient; sed quædam duntaxat sint, quæ non habeant. Quodsi ita sit, quibus in coloribus communio quædam inest, contrarii nequaquam erunt. At vero nihil prohibebit, non omne quidem omni, aliud autem alii sic esse contrarium atque in humoribus saporibusque similiter. Sed de his hactenus ita sit dubitatum. Quæri solet præterea, utrum qualitas magis minusve admittat, necne. Et profecto concessum est, ea, quæ qualitates participant, magis et minus participare. Utrum vero sanitas ipsa et justitia hos gradus capiant, hactenus dubitatur. Si ergo harum quælibet suam quandam latitudinem habet, concedendum est, ipsos quoque habitus ejusmodi gradus admittere: sin autem latitudinem nullam habet, sed in quodam certo unaquæque totum possidet, nimirum nec magis nec minus admittit.

Probabilius pro genere motum ponimus, quam transmutationem: quia transmutatio, naturam rei mutans, aliud pro alio in medium affert. Motus autem et hoc quidem significat, et præter hoc significat etiam progressionem quamlibet, priore interim natura servata.

ΚΑ΄. Περὶ δὲ κινήσεως, εἰ δεῖ γένος θέσθαι, ὧδ' ἄν τις θεωρήσειε. Πρῶτον μέν, εἰ μὴ εἰς ἄλλο γένος ἀνάγειν προσῆκεν· ἔπειτα, εἰ μηδὲν ἄνωθεν αὐτῆς ἐν τῷ τί ἐστι κατηγοροῖτο· εἶτα, εἰ πολλὰς διαφορὰς λαβοῦσα εἴδη ποιήσει, εἰς ποῖόν τι γένος αὐτὴν ἀνάξει; οὔτε γὰρ οὐσία οὔτε ποιότης τῶν ἐχόντων αὐτήν, οὐ μὴν οὐδ' εἰς τὸ ποιεῖν, καὶ γὰρ ἐν τῷ πάσχειν πολλαὶ κινήσεις, οὐδ' αὖ εἰς τὸ πάσχειν, ὅτι πολλαὶ κινήσεις ποιήσεις· ποιήσεις δὲ καὶ πείσεις εἰς ταύτην, οὐδ' αὖ εἰς τὸ πρός τι ὀρθῶς, ὅτι τινὸς ἡ κίνησις, καὶ οὐκ ἐφ' αὑτῆς· οὕτω γὰρ ἂν καὶ τὸ ποιὸν ἐν τῷ πρός τι. Τινὸς γὰρ ἡ ποιότης καὶ ἔν τινι, καὶ τὸ ποσὸν ὡσαύτως. Εἰ δ' ὄντα ἐκεῖνά τινα, κἂν τινος ᾖ, καθ' ὅ ἐστι τὸ μὲν ποιότης, τὸ δὲ ποσότης, εἴρηται· τὸν αὐτὸν τρόπον ἐπειδὴ κἂν τινος ἡ κίνησις ᾖ, ἔστι τι πρὸ τοῦ τινὸς εἶναι, ὅ ἐστιν ἐφ' αὑτοῦ, ληπτέον ἂν εἴη. Ὅλως γὰρ πρός τι θετέον οὐχ ὅ ἐστιν, εἶτ' ἄλλου ἐστίν, ἀλλ' ὃ ἡ σχέσις ἀπογεννᾷ, οὐδενὸς ὄντος ἄλλου παρὰ τὴν σχέσιν καθ' ἣν λέγεται, οἷον τὸ διπλάσιον καθ' ὃ λέγεται διπλάσιον, ἐν τῇ πρὸς τὸ πηχυαῖον παραβολῇ τὴν γένεσιν λαβὸν καὶ τὴν ὑπόστασιν, οὐδὲν νοούμενον πρὸ τούτου ἐν τῷ πρὸς ἕτερον παραβεβλῆσθαι, ἔσχε τοῦτο λέγεσθαί τε καὶ εἶναι. Τί οὖν ἐστι τοῦτο; ὃ ἑτέρου ὂν ἔστι τι, ἵνα καὶ ἑτέρου ᾖ, ὡς τὸ ποιὸν καὶ τὸ ποσὸν καὶ ἡ οὐσία. Ἢ πρότερον, ὅτι μηδὲν πρὸ αὐτοῦ ὡς γένος κατηγορεῖται, ληπτέον· ἀλλ' εἰ τὴν μεταβολὴν λέγοι τις πρὸ κινήσεως εἶναι, πρῶτον μὲν ἢ ταὐτὸν λέγει, ἢ, γένος λέγων, ἐκεῖνο ποιήσει ἕτερον παρὰ τὰ πρόσθεν εἰρημένα, εἶτα δῆλον, ὅτι ἐν εἴδει τὴν κίνησιν θήσεται, καὶ ἕτερον ἀντιθήσει τῇ κινήσει, τὴν γένεσιν ἴσως, μεταβολήν τινα κἀκείνην λέγων, κίνησιν δὲ οὔ. Διὰ τί οὖν οὐ κίνησις ἡ γένεσις; εἰ μὲν γάρ, ὅτι μήπω ἐστὶ τὸ γιγνόμενον, κίνησις δὲ οὐ περὶ τὸ μὴ ὄν, οὐδ' ἂν μεταβολὴ δηλονότι ἂν εἴη ἡ γένεσις, εἰ δ', ὅτι ἡ γένεσίς ἐστιν οὐδὲν ἄλλο ἢ ἀλλοίωσίς τις καὶ αὔξη, τῷ ἀλλοιουμένων τινῶν καὶ αὐξομένων τὴν γένεσιν εἶναι, τὰ πρὸ τῆς γενέσεως λαμβάνει. Δεῖ δὲ τὴν γένεσιν ἐν τούτοις

XXI. Utrum vero motum esse genus asserere debeamus, necne, hunc in modum possumus contemplari: [profecto hac conditione genus esse potest]. Primo quidem, si motum in genus aliud reducere non conveniat: deinde, si superius nihil de motu in eo, quod quid est, prædicetur: præterea, si multas accipiens differentias inde species pariat: dic age, in quodnam genus potissimum motum redigere valeas? Neque enim substantia est, neque qualitas eorum, quæ motum habent, neque etiam ad actionem reducere potes: nam et in passione multi sunt motus, neque rursus ad passionem, quoniam multi motus sunt actiones. Probabilius autem actiones et passiones revocantur ad motum, sed neque ad relationem rite redigitur, propterea quod motus non sui ipsius sit, nec in se ipso, sed alicujus potius et in aliquo. Sic enim et qualitas in relatione collocaretur; nam qualitas alicujus est et in aliquo, et quantitas eodem modo. Si ad hæc respondeatur, illa quidem entia quædam propria esse, etiamsi sint alicujus, quatenus hoc quidem qualitas est, illud vero quantitas, eadem ratione cum motus, etsi alicujus est, sit aliquid, antequam sit alicujus, merito hoc ipsum, quod est, quodammodo in se ipso proprie nobis est assumendum. Omnino vero relativum proprie hoc est ponendum, non quod primo quidem est id, quod est, deinde est et alterius, sed quod in ipsa habitudine generatur, nullo prorsus illic alio existente præter habitudinem, quatenus dicitur, velut duplum qua duplum dicitur, in ipsa ad dimidium comparatione generationem subsistentiamque accipiens, et ante hoc nihil prorsus excogitatum in comparatione duntaxat ad alterum, ut id dicatur atque, nanciscitur. Quid igitur hoc est? quod, alterius existens, ipsum tamen est aliquid, ut sit et alterius: quemadmodum qualitas et quantitas et essentia. Sed præstat forsan prius asseverare, nihil ante ipsum tanquam genus prædicari de ipso. Verum si quis objiciat, transmutationem ante motum existere, primo quidem aut idem dicet omnino, aut, genus illud appellans, efficiet, ut genus quoddam aliud sit præter decem illa prædicamenta: deinde absque controversia in specie quadam motum statuet, aliquidque aliud e contra disponens opponet motui, atque forsan generationem eam videlicet etiam transmutationem esse dicens, motum vero nequaquam. Quid igitur obstat, quominus generatio motus sit? Si enim dicatur id obstare, quoniam, quod gignitur, nondum sit; motus autem circa non ens esse non possit: dicemus inde sequi ut generatio non etiam transmutatio sit. Si autem afferatur ad idem, generationem nihil aliud esse, quam alterationem sive permutationem quandam, et aliquod augmentum, propterea quod generatio sit aliquorum, quæ permutata sive alterata et quodammodo adaucta sint profecto, qui hæc dixerit, quæ generationem antecedunt adducet in medium. Generationem vero oportet in his alteram quandam accipere speciem: non enim in eo, quod

ἕτερόν τι εἶδος λαβεῖν· οὐ γὰρ ἐν τῷ ἀλλοιοῦσθαι παθητικῶς τὸ γίγνεσθαι καὶ ἡ γένεσις· οἷον θερμαίνεσθαι ἢ λευκαίνεσθαι. Ἔστι γὰρ τούτων γενομένων μήπω τὴν ἁπλῶς γένεσιν γεγενῆσθαι· ἀλλὰ τί γίγνεσθαι; αὐτὸ τοῦτο τὸ ἠλλοιῶσθαι. Ἀλλ' ὅταν ζῶον ἢ φυτὸν, ὅταν εἶδός τι λαμβάνῃ· εἴποι δ' ἄν τις τὴν μεταβολὴν μᾶλλον ἁρμόττειν ἐν εἴδει τίθεσθαι, ἢ τὴν κίνησιν, ὅτι τὸ μὲν τῆς μεταβολῆς ἄλλο ἀνθ' ἑτέρου ἐθέλει σημαίνειν, τὸ δὲ τῆς κινήσεως ἔχει καὶ τὴν ἐκ τοῦ οἰκείου μετάστασιν, ὥσπερ ἡ τοπικὴ κίνησις· εἰ δὲ μὴ τοῦτο βούλεταί τις, ἀλλ' ἡ μάθησις καὶ ἡ κιθάρισις, ἢ ὅλως ἡ ἀφ' ἕξεως κίνησις, ὥστε εἶδός τι ἂν εἴη κινήσεως μᾶλλον ἡ ἀλλοίωσις, ἐκστατική τις οὖσα κίνησις.

aliquid passive quodammodo alteretur, generatio gignique consistit, quale est calefieri atque albefieri. Fieri namque potest, ut haec quidem facta jam sint, nondum tamen generatio simpliciter ibi fuerit. Ac si quaeras, quid tunc dicamus fieri, respondebimus, hoc ipsum, quod dicimus alterari vel alteratum fuisse. At tunc demum fit generatio, quando animal fit vel planta vel simile, quando videlicet species quaedam ibi suscipitur. Proinde afferre quis poterit, rationi consentaneum fore, transmutationem potius, quam motum, in specie ponere, quoniam ipsa transmutationis conditio aliud quiddam alterius loco sive pro alio significat fieri; motionis vero natura habet et quendam ex proprio transitum, sicut localis motus. Si quis autem id minus velit, saltem ipse discendi actus, vel citharae pulsus, vel omnino quivis ex habitu motus erit ejusmodi. Quapropter permutatio ipsa sive transmutatio, cum motio quaedam sit aliquid extra se ponens, potius erit species motionis.

Communis omnibus motibus est processio quaedam ex potentia in actum, sive hic actus sit primus, ut forma: sive secundus, ut actio aut passio quaedam. Motus procedens in habitum naturalem species quaedam dici potest: procedens vero in habitum praeter naturam, casus speciei unius ad alterius adventum. Est autem motus praesertim naturalis vitae simillimus: maxime vero propria motui est alteritas, id est, aliter se habere, quam prius; propria consequenter et tempori.

ΚΒ'. Ἀλλ' ἔστω ταὐτὸν νοούμενον τὸ τῆς ἀλλοιώσεως κατὰ τὸ παρακολουθεῖν τῇ κινήσει τὸ ἄλλο. Τί οὖν δεῖ λέγειν τὴν κίνησιν; ἔστω δὴ ἡ κίνησις, ὡς τύπῳ εἰπεῖν, ἡ ἐκ δυνάμεως ὁδὸς εἰς ἐκεῖνο, ὃ λέγεται δύνασθαι. Ὄντος γὰρ τοῦ δυνάμει τοῦ μὲν, ὅτι ἥκοι ἂν εἰς εἶδός τι, οἷον δυνάμει ἀνδριάς, τοῦ δὲ, ὅτι ἥκοι ἂν εἰς ἐνέργειαν, οἷον τὸ βαδιστικὸν, ὅταν τὸ μὲν προσίῃ εἰς ἀνδριάντα, ἡ πρόοδος κίνησις, τὸ δ' ἐν τῷ βαδίζειν, ᾖ τὸ βαδίζειν αὐτὸ κίνησις, καὶ ὄρχησις ἐπὶ τοῦ δυναμένου ὀρχεῖσθαι, ὅταν ὀρχῆται· καὶ ἐπὶ μὲν τινι κινήσει τῇ εἰς ἀνδριάντα, εἶδος ἄλλο ἐπιγίγνεται, ὃ εἰργάσατο ἡ κίνησις· τὸ δὲ ὡς ἁπλοῦν εἶδος ὂν τῆς δυνάμεως ἡ ὄρχησις, οὐδὲν ἔχει μετ' αὐτὴν παυσαμένης τῆς κινήσεως. Ὥστε εἴ τις λέγοι τὴν κίνησιν εἶδος ἐγρηγορὸς, ἀντίθετον τοῖς ἄλλοις εἴδεσι τοῖς ἑστηκόσιν, ᾗ τὰ μὲν μένει, τὰ δὲ οὔ, καὶ αἴτιον τοῖς ἄλλοις εἴδεσιν, ὅταν μετ' αὐτήν τι γίγνηται, οὐκ ἂν ἄτοπος εἴη· εἰ δὲ καὶ ζωήν τις λέγοι σωμάτων ταύτην, περὶ ἧς ὁ λόγος νῦν· τὴν γὰρ κίνησιν ταύτην ὁμώνυμον δεῖ λέγειν ταῖς νοῦ καὶ ψυχῆς κινήσεσιν. Ὅτι δὲ γένος ἐστὶν, οὐχ ἧττον ἄν τις καὶ ἐκ τοῦ μὴ ῥᾴδιον εἶναι ὁρισμῷ ἢ καὶ ἀδύνατον εἶναι λαβεῖν, πιστώσαιτο. Ἀλλὰ πῶς εἶδός τι, ὅταν πρὸς τὸ χεῖρον ἡ κίνησιν, ἢ ὅλως παθητικὴ ἡ κίνησις; ἢ ὅμοιον, ὥσπερ ἂν ἡ θέρμανσις τὰ μὲν αὔξῃ ἡ παρὰ τοῦ ἡλίου, τὰ δὲ εἰς τοὐναντίον ἄγῃ, καὶ ᾖ κοινόν τι ἡ κίνησις, καὶ ἡ αὐτὴ ἐπ' ἀμφοῖν, τοῖς δὲ ὑποκειμένοις τὴν διαφορὰν τὴν δοκοῦσαν ἔχῃ. Ὑγίανσις οὖν καὶ νόσανσις ταὐτόν· ἢ καθ' ὅσον μὲν κίνησις ταὐτὸν, τίνι δὲ διοίσει; πότερα τοῖς ὑποκειμένοις; ἢ καὶ ἄλλῳ; ἀλλὰ τοῦτο ὕστερον, ὅταν περὶ ἀλλοιώσεως ἐπισκοπῶμεν· νῦν δὲ, τί ταὐτὸν ἐν πάσῃ κινήσει, σκεπτέον· οὕτω γὰρ ἂν καὶ γένος εἴη· ἢ πολλαχῶς ἂν λέγοιτο, καὶ οὕτως ἔσται, ὥσπερ ἂν εἰ τὸ ὄν. Πρὸς δὲ τὴν ἀπορίαν ὅτι ἴσως δεῖ, ὅσαι μὲν εἰς τὸ κατὰ φύσιν ἄγουσιν ἢ ἐνεργοῦσιν ἐν τοῖς κατὰ φύσιν, ταύτας μὲν οἷον εἴδη εἶναι, ὡς εἴρηται, τὰς δὲ εἰς τὰ παρὰ φύσιν ἀγωγὰς ἀνάλογον τίθεσθαι τοῖς ἐφ' ἃ ἄγουσιν. Ἀλλὰ τί

XXII. Sed esto idem notio permutationis sive alterationis, quatenus aliud motum sequitur: quid igitur motum esse dicendum est? Esto itaque motus, ut de hoc figura quadam summatim loquamur, exitus ex potentia in illud, quod posse dicitur. Cum enim aliquid sit in potentia, per quam in speciem aliquam prodeat, velut in potentia statua, rursusque aliquid in potentia, qua evadat in actum sicut progressivum, quando illud quidem procedit in statuam, ipse processus est motus: et quando progressivum progrediendi actum exsequitur, progressio ipsa est motus: item saltus similiter in eo, qui saltare potest, quando jam saltat. Atqui in aliquo motu, scilicet in eo, qui perducit ad statuam, species efficitur alia, quam adhibet motus: in aliquo vero, velut in saltu, ipsamet saltatio simplex quaedam species est potentiae saltatoriae, neque quicquam habet post se ipsam, postquam motus ipse cessavit. Quam ob rem si quis motum appellaverit speciem vigilem excitabundamque, ceteris quasi torpentibus speciebus oppositam, quatenus alia quidem quiescunt, alia vero nequaquam: appellaveritque causam ceteris speciebus, quando post ipsam aliquid efficitur, is minime aberrabit. Si quis praeterea motionem hanc, de qua in praesentia loquimur, vitam quandam corporum nuncupaverit, nec ipse quidem a vero procul esse videbitur. Hunc enim motum ad mentis et animae motus aequivocum appellare debemus. Proinde motum esse genus non minus aliquis ob hoc ipsum sibi persuadebit, quod neque facile, neque fortasse possibile sit ipsum definitione complecti. Verum quomodo tunc motus species aliqua est, quando labitur in deterius, vel omnino passivus est motus? Forsan vero hoc ita ferme se habet, quemadmodum calefactio sub sole alia quidem auget, alia vero minuit, atque motus ipse commune aliquid est et in utrisque idem: secundum vero subjecta eam, quae apparet, differentiam accipit. Sed hinc sequi videtur, ut aegrotatio convalescentiaque sint idem. At vero qua motus quidem sunt, idem esse videntur; sed quonam differunt? num subjectis? an potius alio? Verum de hoc tractabitur in sequentibus, quando de alteratione considerabimus: nunc vero animadvertendum est, quidnam sit in motibus omnibus idem: sic enim genus esse poterit. Sed fortasse dicitur multipliciter, atque ita se habet, quemadmodum si ens genus esse quis dixerit. Ad id vero, de quo praecipue modo dubitabatur, dicendum videtur, forsitan oportere motus omnes, qui ad rem secundum naturam ducunt, vel saltem in iis, quae secundum naturam sunt, agunt, merito tanquam species ponere, sicut est dictum, transitus autem ad aliquid praeter naturam analogica quadam proportione iis, ad quae deducunt, accommodare. Ceterum quidnam

τὸ κοινὸν ἐπί τε ἀλλοιώσεσι καὶ αὐξήσεσι καὶ γενέσεσι καὶ τῶν ἐναντίων τούτοις; ἔτι τε τῆς κατὰ τόπον μεταβολῆς, καθ' ὃ κινήσεις αὗται πᾶσαι· ἢ τὸ μὴ ἐν τῷ αὐτῷ ἕκαστον, ἐν ᾧ πρότερον ἦν, εἶναι, μηδ' ἠρεμεῖν, μηδ' ἐν ἡσυχίᾳ παντελεῖ, ἀλλὰ καθ' ὅσον κίνησις πάρεστιν, ἀεὶ πρὸς ἄλλο τὴν ἀγωγὴν ἔχειν, καὶ τὸ ἕτερον, οὐκ ἐν τῷ αὐτῷ μένειν· ἀπόλλυσθαι γὰρ τὴν κίνησιν, ὅταν μὴ ἄλλο. Διὸ καὶ ἑτερότης οὐκ ἐν τῷ γενέσθαι καὶ μεῖναι ἐν τῷ ἑτέρῳ, ἀλλ' ἀεὶ ἑτερότης· ὅθεν καὶ ὁ χρόνος ἕτερον ἀεί, διότι κίνησις αὐτὸν ποιεῖ· μεμετρημένη γὰρ κίνησις, οὐ μένουσα· συνθεῖ οὖν αὐτῇ ὡς ἐπὶ φερομένης ὀχούμενος· κοινὸν δὲ πᾶσι τὸ ἐκ δυνάμεως καὶ τοῦ δυνατοῦ εἰς ἐνέργειαν πρόοδον καὶ ἀγωγὴν εἶναι. Πᾶν γὰρ τὸ κινούμενον καθ' ὁποιανοῦν κίνησιν, προϋπάρχον δυνάμενον τοῦτο ποιεῖν ἢ πάσχειν, ἐν τῷ κινεῖσθαι γίγνεται.

est commune in alteratione et augmento et generatione eorumque contrariis? rursusque in mutatione per locum, quatenus videlicet haec omnia motus sunt? Profecto cunctis, qua motus sunt, id potissimum commune videtur, ut unumquodque, quod movetur, non sit postea in eodem, in quo antea fuerat, neque quiescat, neque otium agat omnino: sed quatenus adest motus, semper ad aliud perducatur, continueque semper alteritatem habeat, propterea quod numquam permaneat in eodem: alioquin motus protinus disperdatur, si quando desierit aliud aliudque succedere. Quam ob rem alteritas est in motu, non ex eo, quod per actum aliquid sit, jamque quies agatur in alio, sed ita penitus, ut perpetua agatur alteritas: ex quo efficitur, ut tempus etiam semper sit alterum, quoniam motus ipsum procreat. Motus enim non quiescens, sed fluendo jugiter mensuratus producit tempus: quod quidem idcirco currit una cum ipso motu, quasi ab ipso currente vehatur. Denique motibus omnibus commune est, ut sit processus quidam atque ductus ex potentia et ex eo, quod possibile est, in actum. Quicquid enim movetur, quocumque motu feratur, propterea prodit in motum, quod potentia quaedam in eo praecedit ad faciendum aliquid vel patiendum.

*Motus est quasi stimulus aliquis vergens ad varios actus, modos, habitus, variasque formas, qua quidem varietate res vitae similitudinem consequuntur.* Virtus motrix sicut et vita est invisibilis. Motus quinetiam per se invisibilis ex varietate deprehenditur. Pendet vero motus ex movente et in mobile desinit, quasi moventis afflatus. Unde differentiae motionum utrimque accipiendae videntur.

ΚΓ'. Καὶ ἔστιν ἡ κίνησις ἡ περὶ τὰ αἰσθητὰ παρ' ἄλλου ἐνιεμένη, σείουσα καὶ ἐλαύνουσα καὶ ἐγείρουσα καὶ ὠθοῦσα τὰ μεταλαβόντα αὐτῆς, ὥστε μὴ εὕδειν, μηδ' ἐν ταυτότητι εἶναι, ἵνα δὴ τῇ μὴ ἡσυχίᾳ καὶ οἷον πολυπραγμοσύνῃ ταύτῃ εἰδώλῳ συνέχηται ζωῆς. Δεῖ δὲ οὐ τὰ κινούμενα τὴν κίνησιν εἶναι νομίζειν. Οὐ γὰρ οἱ πόδες ἡ βάδισις, ἀλλ' ἡ περὶ τοὺς πόδας ἐνέργεια ἐκ δυνάμεως, ἀοράτου δὲ τῆς δυνάμεως ὑπαρχούσης τοὺς ἐνεργοῦντας πόδας ὁρᾶν μόνον ἀνάγκη, οὐ πόδας ἁπλῶς, ὥσπερ ἂν εἰ ἡσύχαζον, ἀλλ' ἤδη μετ' ἄλλου, ἀοράτου μὲν τούτου· ὅτι δὲ μετ' ἄλλου κατὰ συμβεβηκὸς ὁρωμένου, τῷ τοὺς πόδας ὁρᾶν ἄλλον τόπον ἔχοντας καὶ ἄλλον καὶ μὴ ἠρεμεῖν· τὸ δ' ἀλλοιούμενον παρὰ τοῦ ἀλλοιουμένου, ὅτι μὴ ἡ αὐτὴ ποιότης. Ἐν τίνι οὖν ἡ κίνησις, ὅταν ἄλλο κινῇ, καὶ ὅταν δὲ ἐκ τῆς ἐνούσης δυνάμεως εἰς ἐνέργειαν ἴῃ; ἆρα ἐν τῷ κινοῦντι; καὶ πῶς τὸ κινούμενον καὶ πάσχον μεταλήψεται; ἀλλ' ἐν τῷ κινουμένῳ; διὰ τί οὖν ἐλθοῦσα οὐ μένει; ἢ δεῖ μήτε τοῦ ποιοῦντος ἀπηλλάχθαι, μήτε ἐν αὐτῷ εἶναι, ἀλλ' ἐξ αὐτοῦ μὲν καὶ εἰς ἐκεῖνο, οὐκ ἐν ἐκείνῳ δὲ ἀποτετμημένην εἶναι, ἀπ' ἐκείνου εἰς ἐκεῖνο, οἷον πνοὴν εἰς ἄλλο. Ὅταν μὲν οὖν ἡ δύναμις τοῦ κινεῖν βαδιστικὴ ᾖ, οἷον ὦσε καὶ πεποίηκεν ἄλλον ἀλλάττειν ἀεὶ τόπον· ὅταν δὲ θερμαντική, ἐθέρμανε. Καὶ ὅταν ἡ δύναμις ὕλην λαβοῦσα εἰς φύσιν οἰκοδομῇ, αὔξησις· ὅταν δ' ἄλλη δύναμις ἀφαιρῇ, μείωσις τοῦ δυναμένου ἀφαίρεσιν παθεῖν, μειουμένου. Καὶ ὅταν ἡ γεννῶσα φύσις ἐνεργῇ, γένεσις· ὅταν δὲ αὕτη ἀδυνατῇ, ἡ δὲ φθείρειν δυναμένη ἐπικρατῇ, φθορά, οὐχ ἡ ἐν τῷ ἤδη γεγονότι, ἀλλ' ἡ ἐν τῷ πορευομένῳ· καὶ ὑγίανσις δέ, κατὰ τὰ αὐτὰ τῆς ποιεῖν δυναμένης ὑγίειαν, ἐνεργούσης καὶ κρατούσης, ὑγίανσις, τῆς δὲ ἐναντίας δυνάμεως τἀναντία ποιούσης. Ὥστε συμβαίνειν μὴ παρὰ τὰ ἐν οἷς μόνον, ἀλλὰ καὶ

XXIII. Est autem motus, qui circa sensibilia versatur, stimulus quidam vel impetus ab alio in aliud vergens, et excitans et impellens participem motionis, ne torpeat, neque maneat in eodem, ut tali quadam inquietudine, ac velut distracta circa multa sollicitudine quandam vitae imaginem consequatur. Neque vero putandum est, ea, quae moventur, ipsum esse motum. Neque enim pedes sunt incessus, sed is est actus quidam ex potentia circa pedes. Cum vero potentia non sit visibilis, necessarium est, solum pedes agentes a nobis videri: non pedes, inquam, simpliciter, perinde ac si quiescerent, sed pedes jam una cum alio, quod quidem invisibile sit: quia vero una cum alio est, [quod] per accidens videatur, quatenus videmus pedes alium deinceps aliumque habentes locum, neque alicubi quiescentes: alterationem praeterea ex eo, quod alteratur, solemus animadvertere: quoniam qualitas ibi non eadem sentiatur. In quonam igitur motus est, quando movet aliud, et quando ex infusa potentia prodit in actum? Numquid est in movente? Verum si ita sit, quonam modo, *quod movetur et patitur, fiet particeps? Numquid ergo in* eo potius, quod movetur? At si ita, curnam, cum processerit, minime permanet? Sed oportet profecto motum neque a movente disjungi, neque in ipso esse, sed ex eo ipso quidem et in aliud emanare, neque in alio quovis esse a motore disjunctum: imo vero ab hoc in illud, velut spiritum afflatumque in aliud influentem. Quando igitur vis movendi progressiva est, quasi propellit, cogitque locum semper alium permutare: quando calefactoria virtus est, calefacit protinus, motusque ibi est alteratio. At ubi facultas ipsa nacta materiam occupansque eam aedificat in habitum naturalem, augmentum est appellandum: sed quando vis alia quaedam aufert, *accidit decrementum, in* eo videlicet, quod minui potest. Proinde, ubi virtus genitalis agit, fit generatio: at cum haec vis minime valet, quae vero perdere potest, exsuperat, destructio sequitur: non destructionem inquam in eo, quod jam factum fuerit et peractum, sed in eo, quod adhuc in progressione versatur. Similiter convalescentia fit, ubi vis, quae potest facere sanitatem, agit atque dominatur: aegrotatio vero contingit, quando contraria vis contraria facit. Quam ob rem sequi videtur, motum non solum esse perpendendum penes illa in quibus fit, verum etiam penes ea ex quibus oritur, et

παρὰ τὰ ἐξ ὧν καὶ δι' ὧν, καὶ τὴν τῆς κινήσεως ἰδιότητα ποιὰν τὴν κίνησιν καὶ τοιάνδε εἶναι ἐν τοῖς τοιούτοις.

per quæ traducitur motionesque ipsius proprietatem esse motum qualem, talemque in talibus esse.

Locales motus differre videntur inter se, vel per terminos oppositos quos petunt, ut adscensus atque descensus, discessus ac reditus : vel per figuram processionis, ut rectus et circularis.

ΚΔ'. Περὶ δὲ τῆς κατὰ τόπον κινήσεως, εἰ τὸ ἄνω φέρεσθαι τῷ κάτω ἐναντίον, καὶ τὸ κύκλῳ τοῦ ἐπ' εὐθείας διοίσει, πῶς ἡ διαφορά, οἷον τὸ ὑπὲρ κεφαλῆς καὶ ὑπὸ πόδας ῥίπτειν. Καὶ γὰρ ἡ δύναμις ἡ ὠστικὴ μία, εἰ μή τις ἄλλην τὴν ἄνω ὠθοῦσαν καὶ ἄλλην [τὴν κάτω] λέγοι, καὶ ἄλλως τὴν κάτω πρὸς τὴν ἄνω φοράν, καὶ μάλιστα εἰ φυσικῶς κινοῖτο, εἰ ἡ μὲν κουφότης εἴη, ἡ δὲ βαρύτης. Ἀλλὰ κοινὸν καὶ τὸ αὐτὸ τὸ εἰς τὸν οἰκεῖον τόπον φέρεσθαι, ὥστε ἐνταῦθα κινδυνεύειν παρὰ τὰ ἔξω τὴν διαφορὰν γίγνεσθαι. Ἐπὶ δὲ τῆς κύκλῳ καὶ ἐπ' εὐθείας, εἰ οἷόν περ, ἐπ' εὐθείας καὶ κύκλῳ περιθρέξαιεν, πῶς ἄλλη; ἢ παρὰ τὸ τῆς πορείας σχῆμα, εἰ μή τις μικτὴν λέγοι τὴν κύκλῳ, ὡς οὐ παντελῶς οὖσαν κίνησιν, οὐδὲ πάντη ἐξισταμένην. Ἀλλ' ἔοικεν ὅλως μία τις εἶναι ἡ τοπικὴ τοῖς ἔξωθεν τὰς διαφορὰς λαμβάνουσα.

XXIV. Sed circa localem motum, quomodo sumatur differentia, est ambiguum, si sursum ferri contrarium est ad illud, quod est ferri deorsum, et circularis motio motui recto contraria : velut si quid super caput vel infra pedes projiciatur. Potentia enim impulsoria eadem est : nisi quis aliam esse dicat potentiam, quæ pellit sursum, aliamque rursus, quæ deorsum, et aliter se habere motum ad superius tendentem, aliterque motum ad inferiora cadentem, præsertim, si quid ita naturaliter moveatur : siquidem hic levitas quidem sit, ibi contra sit gravitas; verumtamen commune in his idemque est in proprium ferri locum. Hic itaque apparet, penes ea, quæ sunt extrinsecus, accipi differentiam motionum : nempe in circulari motu atque recto, si modo quis idem cum recto, tum circulariter agitet, quonam modo motus differens esse potest? An forte penes processionis ipsius figuram differentia capitur? Nisi forte quispiam circularem motum mixtum esse contendat, quasi non omnino sit motus, utpote qui rem non omnino permotet. Verum unus denique localis motus in se esse videtur, differentias duntaxat per extrinseca sumens.

Concretio et discretio sunt motus ab omnibus aliis motibus atque etiam a qualitatibus differentes. Verumtamen circa concretionem et discretionem contingit localis motus, item alteratio : generatio quinetiam et augmentum, et condensatio, atque opposita.

ΚΕ'. Σύγκρισις δὲ καὶ διάκρισις ἐπισκεπτέα, πῶς. Ἆρ' ἕτεραι κινήσεις τῶν εἰρημένων γενέσεως καὶ φθορᾶς, αὔξης καὶ φθίσεως, τοπικῆς μεταβολῆς, ἀλλοιώσεως, ἢ εἰς ταύτας αὐτὰς ἀνακτέον, ἢ τούτων τινὰς συγκρίσεις καὶ διακρίσεις θετέον; Εἰ μὲν οὖν τοῦτ' ἔχει ἡ σύγκρισις, πρόσοδον ἑτέρου πρὸς ἕτερον, καὶ τὸ πελάζειν καὶ αὖ ἀποχώρησιν εἰς τοὐπίσω, τοπικὰς ἄν τις κινήσεις λέγοι, δύο κινουμένας λέγων πρὸς ἕν τι, ἢ ἀποχωροῦντα ἀπ' ἀλλήλων. Εἰ δὲ σύγκρασίν τινα καὶ μίξιν λαμβάνουσι καὶ κρᾶσιν καὶ εἰς ἓν ἐξ ἑνὸς σύστασιν, τὴν κατὰ τὸ συνίστασθαι γιγνομένην, οὐ κατὰ τὸ συνεστάναι ἤδη, εἰς τινα ἄν τις ἀνάγοι τῶν εἰρημένων ταύτας. Ἄρξει μὲν γὰρ ἡ τοπικὴ κίνησις, ἕτερον δὲ ἐπ' αὐτῇ τὸ γιγνόμενον ἂν εἴη, ὥσπερ καὶ τῆς αὔξης ἄν τις εὕροι ἄρχουσαν μὲν τὴν τοπικήν, ἐπιγιγνομένην δὲ τὴν κατὰ τὸ ποιὸν κίνησιν· οὕτω δὴ καὶ ἐνταῦθα ἡγεῖται μὲν τὸ κατὰ τόπον κινηθῆναι, ἕπεται δὲ οὐκ ἐξ ἀνάγκης συγκριθῆναι, οὐδ' αὖ διακριθῆναι, ἀλλὰ γενομένης μὲν συμπλοκῆς τοῖς ἀπαντήσασι συνεκρίθη, σχισθέντων δὲ τῇ συντεύξει διεκρίθη· πολλαχοῦ δὲ ἂν καὶ διακρινομένων ἐφέποιτο ἂν ἡ τοῦ τόπου, ἢ ἅμα συμβαίνοι τοῦ πάθους ἄλλου περὶ τὰ διακρινόμενα, οὐ κατὰ τὸ κινεῖσθαι τοπικῶς νοουμένου, ἔν τε τῇ συγκρίσει ἄλλου πάθους καὶ συστάσεως ἐπακολουθοῦντος ἑτέρου τῆς τοπικῆς κινήσεως. Ἆρ' οὖν ταύτας μὲν ἐφ' ἑαυτῶν, τὴν δὲ ἀλλοίωσιν εἰς ταύτας ἀνακτέον; πυκνὸν γὰρ γενόμενον ἠλλοίωται. Τοῦτο δὲ ταὐτὸν τῷ συγκέκριται· μανὸν δὲ αὖ ἠλλοίωται· τοῦτο δὲ ταὐτὸν τῷ διακέκριται· καὶ οἴνου καὶ ὕδατος μιγνυμένων ἄλλο, ἢ πρότερον ἦν ἑκάτερον, ἐγένετο. Τοῦτο

XXV. Præterea considerandum est, quomodo concretio et discretio sese habeant. Numquid alii motus sint præter illos, quos supra narravimus, præter generationem, inquam, et corruptionem, augmentum et decrementum, localem motum, alterationem : an forte oporteat eas ad hos motus quoque modo reducere? an potius asserere, quasdam ex his motibus concretiones et quasdam discretiones existere? Si igitur concretio in eo consistit, ut aliud accedat ad aliud et propinquet, et rursus discretio in eo, ut, quæ propinquaverant, inde recedant, locales motus ita esse dicentur, dum videlicet fit vel motus ad unum, vel recessus ab uno. Sin autem, quæ moventur, ita nancisci dicantur commixtionem quandam, et contemperationem constitutionemque in unum : eam, inquam, quæ in eo actu consistit, dum aliquid constituitur, non in quodam habitu, postquam jam est aliquid constitutum, ita profecto in aliquem motum eorum, qui narrati sunt, hos aliquis reducere poterit. Exordietur enim motus ibi localis : sed præter hunc motum aliud quiddam ibi fiet : quemadmodum facile quivis reperit, localem motum esse principium incrementi, sed ibi motum mox proprium qualitatis accedere. Sic itaque et hic incipit quidem localis quidam motus, sequitur autem non necessario concretio sive discretio : sed quando, quæ sibi obviant, sese mutuo complectuntur, concretio accidit, contra vero discretio sequitur. Sæpe vero, ubi discretio fit, sequitur motus quoque localis, aut simul ibi contingit; dum videlicet passio quædam intelligitur alia circa ea, quæ discernuntur, non ea ratione, qua loco mutentur : atque in concretione alia quædam passio constitutioque consequitur a locali motu diversa. Num igitur hos quidem motus in se ipsis ponere decet? alterationem vero ad hos rite reducere? Quod enim factum est densum, jam est alteratum. Id vero idem est, ac si dicatur fuisse concretum. Rarum quoque factum intelligitur alteratum : hoc autem perinde est, ac si discretum esse consideretur : quin etiam, ubi vinum cum aqua miscetur, utrumque aliud, quam prius erat, evadit. Id autem est concretio quædam, quæ alteratio-

δὲ σύγκρισις, ἢ ποιοίη τὴν ἀλλοίωσιν. Ἢ ῥητέον καὶ ἐνταῦθα ἡγεῖσθαι τὰς συγκρίσεις καὶ διακρίσεις τινῶν ἀλλοιώσεων, ἑτέρας δὲ αὐτὰς εἶναι συγκρίσεων ἢ διακρίσεων· οὔτε γὰρ τὰς ἄλλας ἀλλοιώσεις εἶναι τοιαύτας, οὔτε τὴν ἀραίωσιν καὶ πύκνωσιν, σύγκρισιν καὶ διάκρισιν, ἢ ἐκ τούτων ὅλως εἶναι· οὕτω γὰρ ἄν τις καὶ κενὸν παραδέχοιτο. Ἐπὶ δὲ μελανίας ἢ λευκότητος πῶς; εἰ δὲ ἐν τούτοις ἀμφισβητεῖ, πρῶτον μὲν τὰς χρόας καὶ τάχα τὰς ποιότητας ἀναιρεῖ, ἢ τάς γε πλείστας, μᾶλλον δὲ πάσας· εἰ γὰρ πᾶσαν ἀλλοίωσιν, ἣν λέγομεν κατὰ ποιότητα μεταβολήν, σύγκρισιν καὶ διάκρισιν λέγοι, τὸ γιγνόμενον οὐδέν ἐστιν ἡ ποιότης, ἀλλὰ ἐγγὺς κείμενα καὶ διεστῶτα. Ἔπειτα τὸ μανθάνειν καὶ τὸ διδάσκεσθαι πῶς συγκρίσεις;

nem efficit: an forte dicendum, hic quoque concretiones discretionesque praecedere alterationes quasdam, ipsas vero alterationes a concretionibus discretionibusque differre. Neque enim alterationes alias esse tales, neque rarefactionem ipsam condensationemque vel esse concretionem quandam atque discretionem, vel ex his omnino consistere: alioquin sic protinus aliquis vacuum in natura concedet. Jam vero nigredinem et albedinem quanam conditione concesserit aliquis in concretione discretioneque consistere? Si quis autem in his ambigat, cogetur colores omnino, et fortasse qualitates inde plures, imo vero omnes funditus exstirpare: si enim alterationem omnem, quam esse dicimus quandam in qualitate mutationem, quispiam concretionem discretionemve esse contendat, certe, quod ibi fit, nullo modo qualitas est, sed restant ibi quaedam vel prope posita vel seorsum. Praeterea doceri atque discere quonam modo poterit esse concretio?

Motuum species probabilius distinguuntur per differentias internas, quam externas. Scilicet per vires motrices, aut inanimatas, aut animatas, item sic vel aliter animatas: rursus per impulsum naturae vel artis vel consilii.

ΚϚʹ. Ἐπισκεπτέον δὴ περὶ τούτων καὶ ἤδη ζητητέον, πάλιν αὐτῶν κατ' εἴδη λεγομένων κινήσεων, οἷον ἐπὶ τοπικῆς, εἰ μὴ τῷ ἄνω καὶ κάτω, καὶ εὐθείᾳ καὶ κύκλῳ, ὡς ἠπόρηται, εἰ ἐμψύχων καὶ ἀψύχων κινήσει. Οὐ γὰρ ὁμοία ἡ κίνησις τούτων, καὶ πάλιν ταύτας τῇ πεζῇ, καὶ τῷ νεῖν, καὶ πτήσει, ἢ καὶ τῷ φύσει γε καὶ παρὰ φύσιν, τάχ' ἄν τις διέλοι καθ' ἕκαστον εἶδος. Τοῦτο δὲ οὐκ ἔξωθεν διαφορᾶς κινήσεων, ἢ ποιητικαὶ τούτων αὗται, καὶ οὐκ ἂν ἄνευ τούτων, καὶ ἡ φύσις δὲ ἀρχὴ δοκεῖ τούτων· ἢ τὰς μὲν φύσει, τὰς δὲ τέχνῃ, τὰς δὲ προαιρέσει· φύσει μὲν αὐξήσεις, φθίσεις· τέχνῃ δὲ οἰκοδομεῖν, ναυπηγεῖν· προαιρέσει δὲ σκοπεῖσθαι, μανθάνειν, πολιτεύεσθαι, ὅλως λέγειν, πράττειν· περὶ αὐξήσεως αὖ καὶ ἀλλοιώσεως καὶ γενέσεως κατὰ φύσιν ἢ παρὰ φύσιν, ἢ ὅλως τοῖς ὑποκειμένοις.

XXVI. Considerandum igitur de iis videtur, rursusque investigandum de illis, quae dicuntur species motionis, velut in motu locali, si modo distinctio ibi non fiat per motum ad superiora vel inferiora: item per rectum et circularem, sicut in superioribus est dubitatum, numquid forte distinguendum sit per motum rerum animatarum animave carentium. Non enim similis est horum inter se motus, et rursus ejusmodi motus per motionem progrediendi, natandi, volandi; aut etiam per impulsum naturalem minusve naturalem. Fortasse enim quis hunc in modum secundum unamquamque speciem partietur: hic vero modus non extrinsecus acciperet differentias motionum. Forsan vero ipsae harum effectrices sunt, neque tamen absque his existunt: sed ipsa natura harum motionum externarumque differentiarum principium esse videtur. Fortassis etiam partiri motum licet ita, ut partim natura fiat, partim vero arte, partim electione: et natura quidem incrementa et decrementa; arte vero aedificare sive domos sive naves; electione autem meditari, discere, publica gubernare, et omnino dicere atque agere. Denique circa augmentum et alterationem, et generationem distinguere licet per modum sive naturalem, sive non naturalem, vel etiam per subjectorum varietatem.

Status est in rebus aeternis, ubi nullus est motus: quies autem est in rebus temporalibus, scilicet quaedam privatio alicujus motus, vel motio quaedam valde tarda.

Cum igitur quies sit privatio quaedam, non est aliquod per se genus: motus autem non est privatio simpliciter quietis, sed est actus efficax auferens aliquid atque afferens. Status in aeternis non est privatio motus; neque enim vel ibi status fit cessante motu, vel illa nata sunt ad motum. Motus duo habet opposita, scilicet et motum, qui diversos petit terminos, et quietem, maxime, si quies consideretur in termino, a quo motus jam discedit.

ΚΖʹ. Περὶ δὲ στάσεως, ἢ ἀντιτέτακται κινήσει, ἢ ἠρεμίας, τί ποτε χρὴ λέγειν; πότερα καὶ αὐτὸ ἕν τι γένος θετέον, ἢ εἴς τι γένος τῶν εἰρημένων ἀνακτέον; βέλτιον δ' ἴσως, στάσιν τοῖς ἐκεῖ ἀποδόντα ἠρεμίαν ἐνταῦθα ζητεῖν. Τὴν οὖν ἠρεμίαν ταύτην ζητητέον πρῶτον, τί ποτε ἐστί; καὶ εἰ μὲν ταὐτὸν φανείη τῇ στάσει, οὐδ' ὀρθῶς ἂν ἐνταῦθα ταύτην ζητοῖ, οὐδενὸς ἑστηκότος, ἀλλὰ τοῦ φαινομένου ἑστάναι, σχολαιοτέρᾳ τῇ κινήσει χρωμένου. Εἰ δ' ἕτερον ἠρεμίαν στάσεως λέγοιμεν, τῷ τὴν μὲν στάσιν περὶ τὸ ἀκίνητον παντελῶς εἶναι, τὴν δ' ἠρεμίαν περὶ τὸ ἑστώς, πεφυκὸς δὲ κινεῖσθαι, ὅταν μὴ κινῆται, εἰ μὲν τὸ ἠρεμίζεσθαι λέγοι τὸ ἠρεμεῖν κίνησιν οὔπω παυσαμένην, ἀλλ' ἐνεστῶσαν· εἰ δὲ τὴν οὐκέτι περὶ τὸ κινούμενον οὖσαν, πρῶτον μὲν ζητητέον, εἴ τι ἐστὶ μὴ κινούμενον ἐνταῦθα. Εἰ δὲ μὴ πάσας οἷόν τέ τι τὰς κινήσεις κινεῖσθαι, ἀλλὰ δεῖ

XXVII. De statu vero, qui motui est oppositus, vel de quiete, quidnam videtur esse dicendum? numquid et hoc genus unum ponendum est? an potius in aliquod genus eorum, quae narravimus, est revocandum? Sed praestat forsitan, statum quidem ipsum divinis concedere, hic autem de quiete perquirere. De hac ergo quiete, quid sit, in primis investigandum est: atque si idem omnino esse atque status inveniatur, non recte hic requiri videbitur: quippe cum hic nihil penitus maneat: sed quod manere videtur, tardiore motu feratur. Sin autem quietem aliud quiddam praeter statum esse dicamus, propterea, quod status quidem sit circa rem prorsus immobilem; quies autem circa rem quidem stantem, natam vero ad motum etiam, quando minime movetur: hoc ita est distinguendum: nempe si quietum fieri hic assumatur, ipsum quiescere dicetur esse motum nondum cessantem, sed instantem; sin autem hic assumatur ea, quae non amplius circa id, quod movetur existit, profecto quaerendum erit si quid apud nos sit omnino non motum. At si impossibile est, aliquid motibus simul omnibus agitari, sed oportet

κινήσεις τινὰς μὴ κινεῖσθαι, ἵνα καὶ ἐξῇ λέγειν τόδε τὸ κινούμενον εἶναι, τί ἄλλο χρὴ λέγειν τὸ μὴ κινούμενον κατὰ τόπον, ἀλλὰ ἠρεμοῦν ταύτην τὴν κίνησιν, ἢ ὅτι μὴ κινεῖται; ἀπόφασις ἄρα ἔσται ἡ ἠρεμία τοῦ κινεῖσθαι. Τοῦτο δὲ οὐκ ἐν γένει· ἠρεμεῖ δὲ οὐκ ἄλλο τι, ἢ ταύτην τὴν κίνησιν, οἷον τὴν τοπικήν· τὴν οὖν ἀφαίρεσιν τούτου λέγει. Εἰ δέ τις λέγοι, διὰ τί δ' οὐ τὴν κίνησιν ἀπόφασιν τῆς στάσεως, φήσομεν, ὅτι ἥκει τι φέρουσα ἡ κίνησις, καὶ ἔστιν ἄλλο τι ἐνεργοῦν καὶ οἷον ὠθοῦν τὸ ὑποκείμενον, καὶ μυρία ἐργαζόμενον αὐτὸ, καὶ φθεῖρον, ἡ δὲ ἠρεμία ἑκάστου οὐδέν ἐστι παρ' αὐτὸ, ἀλλὰ σημαίνει μόνον, ὅτι κίνησιν οὐκ ἔχει. Τί οὖν οὐ καὶ ἐπὶ τῶν νοητῶν στάσιν εἴπομεν ἀπόφασιν κινήσεως; ἢ ὅτι οὐδ' ἔστιν εἰπεῖν ἀναίρεσιν τῆς κινήσεως τὴν στάσιν, ὅτι οὐ παυσαμένης τῆς κινήσεώς ἐστιν, ἀλλ' οὔσης ἐκείνης, καὶ αὕτη ἐστί· καὶ οὐ πεφυκὸς κινεῖσθαι, καθ' ὅσον μὴ κινεῖται ἡ στάσις ἐκεῖ, ἀλλὰ καθ' ὃ στάσις κατείληφεν, ἕστηκε, καθ' ὃ δὲ ἔστι κινούμενον, ἀεὶ κινήσεται, διὸ καὶ στάσει ἕστηκε, καὶ κινήσει κινεῖται· ἐνταῦθα δὲ κινήσει μὲν κινεῖται, ἀπούσης δὲ ἠρεμεῖ, ἐστερημένον τῆς ὀφειλομένης κινήσεως. Ἔπειτα δὲ ὁρᾷν δεῖ, τί ἐστιν ἡ στάσις αὐτή· καὶ οὕτως, ὅταν ἐκ νόσου εἰς ὑγίειαν ἴῃ, ὑγιάζεται. Τί οὖν τῇ ὑγιάνσει ταύτῃ ἠρεμίας εἶδος ἀντιτάξομεν; εἰ μὲν γὰρ τὸ ἐξ οὗ, νόσος, ἀλλ' οὐ στάσις· εἰ δὲ τὸ εἰς ὃ, ὑγίεια· ὃ οὐ ταὐτὸν τῇ στάσει. Εἰ δέ τις λέγοι τὴν ὑγίειαν ἢ τὴν νόσον τινὰ στάσιν εἶναι, εἴδη στάσεως τὴν ὑγίειαν καὶ τὴν νόσον εἶναι φήσει, ὅπερ ἄτοπον. Εἰ δὲ συμβεβηκέναι τῇ ὑγιείᾳ τὴν στάσιν, πρὸ τῆς στάσεως ἡ ὑγίεια οὐχ ὑγίεια ἔσται. Ἀλλὰ περὶ μὲν τούτων, ὅπῃ δοκεῖ ἑκάστῳ.

quibusdam motibus non moveri, ut saltem liceat dicere hoc, quod movetur, esse, quidnam aliud dicendum est de illo, quod non movetur loco, sed quantum ad hunc motum pertinet, conquiescit, nisi ipsum non moveri? sic itaque quies erit negatio motionis. Quod autem ejusmodi est, non proprie computatur in genere. Quiescit autem non secundum alium, quam localem, motum. Privationem igitur hujus tantum significat. Si quis autem interrogaverit, cur non etiam motum status ipsius sive quietis privationem esse dicamus: respondebimus, quia videlicet motus aliquid secum ferens accedit, aliudque quiddam existit agens concutiensque subjectum, et plurima faciens atque disperdens: quies autem uniuscujusque nihil est præter ipsum, sed hoc tantum significat, motum videlicet non habere. Verum cur non in rebus ipsis ad intelligentiam pertinentibus statum privationem motionis asserimus? Quia non licet statum motus privationem cognominare: quoniam non cessante motu ipso fit status: imo vero existente illo fit motus: neque status ille est, quia, quod natum sit ad motum, quandoque non moveatur: sed qua ratione status illud ipsum intelligibile comprehendit, permanet: qua vero movetur, movebitur in perpetuum: quam ob rem et statu consistit, et motu movetur: corporea vero natura motu quidem movetur, at absente motu quiescit, orbata videlicet debita motione. Præterea videndum est, quid ipse sit status: item, quando ex morbo ad sanitatem aliquis pervenit, convalescit. Quam igitur huic convalescentiæ quietis speciem opponemus? Si enim affectionem, a qua recedit, morbus illa est, non status: sin autem affectionem, ad quam accedit, sanitas illa est, quæ quidem non idem atque status existit. Si quis autem dixerit, sanitatem aut morbum esse statum quendam, hic profecto sanitatem atque morbum status species esse concedet; quod quidem judicatur absurdum. At, si statum sanitati contingere proprie fateatur, sanitas ante statum non erit sanitas. Sed de his quidem pro suo quisque arbitrio dicat.

Epilogus prædicamentorum.

Εἴρηται δ' ὅτι τὸ ποιεῖν καὶ τὸ πάσχειν κινήσεις λεκτέον· καὶ ἔστι τὰς μὲν τῶν κινήσεων ἀπολύτους, τὰς δὲ ποιήσεις, τὰς δὲ πείσεις λέγειν. Καὶ περὶ τῶν ἄλλων γενῶν λεγομένων, ὅτι εἰς ταῦτα, καὶ περὶ τοῦ πρός τι, ὅτι ἄλλου πρὸς ἄλλο σχέσις, καὶ ὅτι σύνεισιν ἄμφω καὶ ἅμα, καὶ τὸ πρός τι δὲ, ὅταν σχέσις οὐσίας ποιῇ αὐτὸ, οὐχ ᾗ οὐσία, ἔσται πρός τι, ἀλλ' ᾗ καθ' ὃ μέρος τινὸς, οἷον χεὶρ, ἢ κεφαλὴ, ἢ αἴτιον, ἢ ἀρχὴ, ἢ στοιχεῖον. Ἔστι δὲ καὶ τὰ πρός τι διαιρεῖν, ὥσπερ διῄρηται τοῖς ἀρχαίοις, τὰ μὲν ὡς ποιητικὰ, τὰ δὲ ὡς μέτρα, τὰ δ' ἐν ὑπεροχῇ καὶ ἐλλείψει, τὰ δ' ὅλως χωρίζοντα ὁμοιότητι καὶ διαφοραῖς. Καὶ περὶ μὲν τούτων τῶν γενῶν ταῦτα.

Dictum vero nobis in superioribus est, facere atque pati motiones esse: motiones autem alias quidem absolutas esse, alias vero partim effectiones, partim etiam passiones. Dictum præterea de ceteris, quæ dicuntur genera, ad nostra hæc referri debere: dictum quoque de relatione, eam videlicet esse alterius ad alterum habitudinem, et simul ambo concurrere; dictum denique circa relationem, quando videlicet habitudo ipsa substantiam efficit, illud ipsum, quod refertur, non, qua ratione substantia sit, relativum esse: sed qua pars aliqua, velut manus, aut caput, vel causa, vel principium, vel elementum. Licet autem et relativa antiquorum more dividere, adeo, ut alia quidem tanquam effectiva sint, alia vero tanquam mensuræ quædam, alia in excessu defectuque versentur, alia denique per similitudines atque differentias distinguantur. Sed hæc jam de his generibus dicta sufficiant.

# ΕΝΝΕΑΔΟΣ Ϛ

## ΛΟΓΟΣ Δ.

### ΠΕΡΙ ΤΟΥ ΤΟ ΟΝ ΕΝ ΚΑΙ ΤΑΥΤΟΝ ΟΝ ΑΜΑ ΠΑΝΤΑΧΟΥ ΕΙΝΑΙ ΟΛΟΝ.

(614, 616.)

Α'. Ἆρά γε ἡ ψυχὴ πανταχοῦ τῷ παντὶ πάρεστιν, ὅτι σῶμά ἐστι τοῦ παντὸς τοσόνδε; περὶ τὰ σώματα φύσιν ἔχουσα μερίζεσθαι, ἢ καὶ παρ' αὐτῆς πανταχοῦ ἐστιν; οὐχ οὗπερ ἂν ὑπὸ σώματος προαχθῇ, ἀλλὰ σώματος εὑρίσκοντος αὐτὴν πρὸ αὐτοῦ πανταχοῦ οὖσαν· ὥστε, ὅπου ἂν τεθῇ, ἐκεῖ εὑρίσκειν ψυχὴν οὖσαν, πρὶν αὐτὸ τεθῆναι ἐν μέρει τοῦ παντός, καὶ τὸ ὅλον τοῦ παντὸς σῶμα τεθῆναι ἐν ψυχῇ οὔσῃ. Ἀλλ' εἰ ἔστιν εἰς τοσοῦτον πρὶν τὸ τοσόνδε σῶμα ἐλθεῖν, πληροῦσα τὸ διάστημα πᾶν, πῶς οὐ μέγεθος ἕξει; ἢ τίς τρόπος ἂν εἴη τοῦ εἶναι ἐν τῷ παντὶ πρὶν τὸ πᾶν γενέσθαι, τοῦ παντὸς οὐκ ὄντος; τό τε ἀμερῆ λεγομένην καὶ ἀμεγέθη εἶναι, πανταχοῦ εἶναι, μέγεθος οὐκ ἔχουσαν, πῶς ἄν τις παραδέξαιτο; καὶ εἰ τῷ σώματι λέγοιτο συνεκτείνεσθαι, μὴ σῶμα οὖσα, οὐδ' ὣς ἐκφεύγειν ποιεῖ τὴν ἀπορίαν, τῷ κατὰ συμβεβηκὸς τὸ μέγεθος αὐτῇ διδόναι· ὁμοίως γὰρ ἄν τις καὶ ἐνταῦθα ζητήσειεν εὐλόγως, ὅπως κατὰ συμβεβηκὸς μεγεθύνεται. Οὐ γὰρ δὴ ὥσπερ ἡ ποιότης, οἷον γλυκύτης ἢ χρόα, κατὰ πᾶν τὸ σῶμα, οὕτω καὶ ἡ ψυχή. Τὰ μὲν γὰρ πάθη τῶν σωμάτων, ὥστε πᾶν τὸ πεπονθὸς ἔχειν τὸ πάθος, καὶ μηδὲν εἶναι ἐφ' ἑαυτοῦ, σώματος ὄν τι, καὶ γιγνωσκόμενον τότε. Διὸ καὶ ἐξ ἀνάγκης τοσοῦτον· τό τε ἄλλου μέρους λευκὸν οὐχ ὁμοπαθὲς τῷ ἄλλου, καὶ ἐπὶ τοῦ λευκοῦ τὸ αὐτὸ μὲν εἴδει τὸ ἐπ' ἄλλου πρὸς τὸ ἐπ' ἄλλου μέρους, οὐ μὴν ταὐτὸν ἀριθμῷ· ἐπὶ δὲ τῆς ψυχῆς τὸ αὐτὸ ἀριθμῷ τὸ ἐν τῷ ποδὶ καὶ τῇ χειρὶ ὑπάρχει, ὡς δηλοῦσιν αἱ ἀντιλήψεις. Καὶ ὅμως ἐν μὲν ταῖς ποιότησι τὸ αὐτὸ μεμερισμένον θεωρεῖται, ἐπὶ δὲ τῆς ψυχῆς τὸ αὐτὸ οὐ μεμερισμένον· οὕτω δὲ μερίζεσθαι λεγόμενον, ὅτι πανταχοῦ. Λέγωμεν οὖν ἐξ ἀρχῆς περὶ τούτων, εἴ τι ἡμῖν σαφὲς καὶ εὐπαράδεκτον γένοιτο, πῶς ἀσώματος καὶ ἀμεγέθης οὖσα δύναται εἰς πλεῖστον ἰέναι, εἴτε πρὸ τῶν σωμάτων, εἴτ' ἐν τοῖς σώμασιν. Τάχα δέ, εἰ φανείη καὶ πρὸ τῶν σωμάτων τοῦτο δύνασθαι, ῥᾴδιον ἂν καὶ ἐπὶ τῶν σωμάτων παραδέξασθαι τὸ τοιοῦτον γένοιτο.

# ENNEADIS SEXTÆ

## LIBER IV.

### QUOD ENS UNUM IDEMQUE SIMUL TOTUM EST UBIQUE.

[1178—1180.]

Cum anima nec habeat quantitatem, nec passio sit corporis qualis, quæritur, quomodo per plurimum quasi spatium diffundatur, sive per se ante corpus, sive una cum corpore in ipso corpore per ipsum eatenus propagetur.

I. Numquid anima ubique universo idcirco adest, quia corpus universi sit tantum? Ipsa quidem naturam habens, quia circa corpora dividatur, an potius a se ipsa quoque est ubique? non quidem quatenus a corpore protrahatur, sed quia corpus reperiat illam ante ipsum ubique præsentem, adeo ut, ubicumque ponatur, ibi animam reperiat jam existentem, priusquam ipsum in parte universi collocaretur, totumque universi corpus in anima jam existente ponatur. Verum si anima in tantum diffusa est, antequam corpus tantum accederet, anima, inquam, implens universum penitus intervallum, quidnam prohibet, quominus habeat magnitudinem? Aut quisnam modus erit, quo sit in universo, antequam fieret universum, quando nondum hoc existeret? Contra vero, qua quispiam conditione admiserit animam ipsam, quæ impartibilis et magnitudinis expers esse dicitur, ubique esse, cum nullam habeat magnitudinem? Atqui, etsi una cum corpore dicatur extendi, cum tamen ipsa non sit corpus, neque sic tamen dubitatio devitabitur ex eo, quod ipsi magnitudo secundum accidens tribuatur: nempe similiter aliquis hic quoque illa perquiret, quonam modo secundum accidens magna possit evadere. Non enim sicut qualitas, velut dulcedo vel color, per totum corpus extenditur, ita prorsus et anima. Hæc enim sunt quædam corporum passiones, ut non mirum sit, totum, quod patitur, corpus passionem ejusmodi possidere, atque nihil ejusmodi in se ipso consistere: quippe cum corporis aliquid sit, et tanquam in corpore cognoscatur. Quapropter qualitas necessario tanta est, quantum est et corpus. Accidit ad hæc, quod alterius partis albedo non compatitur una cum albedine partis alterius: atque in albo eadem partis hujus albedo secundum speciem est, atque albedo, quæ est in altera parte, neque tamen est numero eadem. At vero penes animam idem numero in pede est atque manu: quod quidem consensio animadversioque demonstrant. Præterea in qualitatibus quidem idem aliquid tanquam divisum consideratur: in anima vero idem, sed non divisum. Quod tamen propterea dividi dicitur, quoniam undequaque se fundit. Dicamus igitur de his, iterum ab initio investigantes, si qua ratione nobis perspicue pateat, atque probabile fieri possit, quomodo anima, cum incorporea sit expersque magnitudinis, possit in plurimum propagari, sive ante corpora, sive in corporibus eatenus protendatur. Fortasse enim si constiterit, etiam ante corpora id fieri posse, facile admodum futurum est in corporibus quoque tale aliquid prorsus admittere.

Mundus intelligibilis, id est ens, primum est verum, universum atque magnum, quoniam et cuncta entia est, et est in quolibet sui totum, nec est in universo. Et cum dicitur ubique esse, est ipsum, quod appellatur ubique. Mundus vero sensibilis est vere parvum, quia ubique constat ex parvis. Atque est in mundo superiore non tanquam in loco continente, nec tanquam in intervallo quodam vacuo, sed tanquam in efficiente, servante, sistente, movente, comprehendente. Mundus hic ubique per quamlibet sui partem attingit illum totum, ideo non movetur in rectum ad illum inveniendum, sed circa illum ubique repertum revolvitur in eodem.

B'. Ἔστι δὴ τὸ μὲν ἀληθινὸν πᾶν· τὸ δὲ τοῦ παντὸς μίμημα ἡ τοῦδε τοῦ ὁρατοῦ φύσις· τὸ μὲν οὖν ὄντως πᾶν ἐν οὐδενί ἐστιν· οὐδὲν γάρ ἐστι πρὸ αὐτοῦ. Ὃ δ' ἂν μετὰ τοῦτο ᾖ, τοῦτο ἤδη ἀνάγκη ἐν τῷ παντὶ εἶναι, εἴπερ ἔσται, καὶ μάλιστα ἐξ ἐκείνου ἠρτημένον, καὶ οὐ δυνάμενον ἄνευ ἐκείνου οὔτε μένειν οὔτε κινεῖσθαι. Καὶ γὰρ εἰ μὴ ὡς ἐν τόπῳ τίς τι θεῖτο, τὸ τοιοῦτον τὸν τόπον νοῶν, ἢ πέρας σώματος τοῦ περιέχοντος, καθ' ὃ περιέχει, ἢ διάστημά τι, ὃ πρότερον ἦν τῆς φύσεως τοῦ κενοῦ, καὶ ἔτι ἐστίν, ἀλλὰ τῷ γε οἷον ἐρείδεσθαι ἐπ' αὐτοῦ καὶ ἀναπαύεσθαι, πανταχοῦ ὄντος ἐκείνου, καὶ συνέχοντος, τὴν τοῦ ὀνόματος ἀφεὶς κατηγορίαν, τῇ διανοίᾳ τὸ λεγόμενον λαμβανέτω· τοῦτο δὲ ἄλλου χάριν εἴρηται, ὅτι τὸ πᾶν ἐκεῖνο καὶ πρῶτον καὶ ὂν οὐ ζητεῖ τόπον οὐδ' ὅλως ἔν τινι. Πᾶν δὴ τὸ πᾶν οὐκ ἔστιν ὅπως ἀπολείπεται ἑαυτοῦ, ἀλλ' ἔστι τε πεπληρωκὸς ἑαυτὸ καὶ ὂν ἴσον ἑαυτῷ, καὶ οὗ τὸ πᾶν, ἐκεῖ αὐτό· τὸ γὰρ πᾶν αὐτό ἐστιν· ὅλως τε, εἴ τι ἐν τῷ παντὶ ἱδρύθη, ἄλλο ὂν παρ' ἐκεῖνο, μεταλαμβάνει αὐτοῦ καὶ συντυγχάνει αὐτῷ, καὶ ἰσχύει παρ' αὐτοῦ οὐ μερίζον ἐκεῖνο, ἀλλ' εὑρίσκον αὐτὸ ἐν ἑαυτῷ, αὐτὸ προσελθὸν ἐκείνῳ, ἐκείνου οὐκ ἔξω ἑαυτοῦ γενομένου. Οὐ γὰρ οἷόν τε ἐν τῷ μὴ ὄντι τὸ ὂν εἶναι· ἀλλ' εἴπερ τὸ μὴ ὂν ἐν τῷ ὄντι, ὅλῳ οὖν ἐντυγχάνει τῷ ὄντι. Οὐ γὰρ ἦν ἀποσπᾶσθαι αὐτὸ ἀφ' ἑαυτοῦ, καὶ τὸ πανταχοῦ δὲ λέγεσθαι εἶναι αὐτὸ δηλονότι ἐν τῷ ὄντι, ὥστε ἐν ἑαυτῷ. Καὶ οὐδὲν θαυμαστόν, εἰ τὸ πανταχοῦ ἐν τῷ ὄντι καὶ ἐν αὐτῷ· ἤδη γὰρ γίγνεται τὸ πανταχοῦ ἐν ἑνί· ἡμεῖς δὲ τὸ ὂν ἐν αἰσθητῷ θέμενοι καὶ τὸ πανταχοῦ ἐκεῖ τιθέμεθα, καὶ μέγα νομίζοντες τὸ αἰσθητὸν ἀποροῦμεν, πῶς ἐν μεγάλῳ καὶ τοσούτῳ ἐκείνη ἡ φύσις ἐκτείνεται. Τὸ δέ ἐστι τοῦτο τὸ λεγόμενον μέγα, μικρόν, ὃ δὲ νομίζεται μικρὸν ἐκεῖνο μέγα, εἴ γε ὅλον ἐπὶ πᾶν τὸ τοῦ μέρους φθάνει· μᾶλλον δὲ τοῦτο πανταχόθεν τοῖς αὐτοῦ μέρεσιν ἐπ' ἐκεῖνο ἰὸν εὑρίσκει αὐτὸ πανταχοῦ πᾶν καὶ μεῖζον ἑαυτοῦ. Ὅθεν, ὡς οὐκ ἐν τῇ ἐκτάσει πλέον τι ληψόμενον, (ἔξω γὰρ ἂν καὶ τοῦ παντὸς ἐγίγνετο,) περιθεῖν αὐτῷ ἐβουλήθη, οὔτε δὲ περιλαβεῖν δεδυνημένον, οὐδ' αὖ ἐντὸς γενέσθαι, ἠγάπησε τόπον ἔχειν, καὶ τάξιν οὗ σῴζοιτο γειτονοῦν αὐτῷ, παρόντι καὶ οὐ παρόντι αὖ. Ἔστι γὰρ ἐφ' ἑαυτοῦ ἐκεῖνο, κἂν τι αὐτῷ ἐθέλῃ παρεῖναι· ὅπου δὴ συνιὸν τὸ σῶμα τοῦ παντὸς εὑρίσκει τὸ πᾶν, ὥστε μηδὲν ἔτι δεῖσθαι τοῦ πόῤῥω, ἀλλὰ στρέφεσθαι ἐν τῷ αὐτῷ, ὡς παντὸς ὄντος τούτου, οὗ κατὰ πᾶν μέρος αὐτοῦ ἀπολαύει ὅλου ἐκείνου. Εἰ μὲν γὰρ ἐν τόπῳ ἦν ἐκεῖνο αὐτό, προσχωρεῖν τε ἔδει ἐκεῖ καὶ εὐθυπορεῖν καὶ ἐν ἄλλῳ μέρει αὐτοῦ ἄλλῳ μέρει ἐφάπτεσθαι ἐκείνου, καὶ εἶναι

II. Est utique verum aliquod universum: est etiam velut universi illius imago, ipsa videlicet visibilis hujus mundi natura. Ipsum igitur, quod re vera universum est, in nullo prorsus existit: nullum enim ens est ante ipsum. Quod autem post ipsum exstat, hoc jam necessarium est in universo esse, si modo aliquid sit futurum: praesertim cum ex illo pendeat, neque absque illo manere valeat vel moveri. Etenim, si quis hoc in illo ponat, non tanquam in loco, intelligens videlicet locum tanquam terminum quondam corporis continentis, quatenus continent, vel intervallum aliquod, quod prius hoc fuerit quasi de natura vacui, atque adhuc existat, sed affirmet, hoc quasi in illo fundari atque quiescere: in illo, inquam, ubique existente, atque id penitus comprehendente: quisquis, inquam, ita posuerit, nominis [id est, loci] appellationem jam dimittens ipsa cogitatione, quod dicitur, apprehendat. Hoc autem alterius gratia dictum est, quia videlicet universum illud primumque et ens neque locum quaerit, neque omnino quiescit in aliquo. Cum enim ubique penitus sit universum, fieri non potest, ut aliquo modo sibi ipsi desit, sed implet semet ipsum, sibique est aequale: nec, ubi illius est universum, est ipsum; namque universum illud prorsus existit. Omnino vero, si quid in universo fundatur, aliud existens praeter ipsum participat illud, et cum ipso conspirat. Item corroboratur ab eo, non dividens ipsum, sed reperiens illud in se ipso: et ipsum quidem illi propinquans, dum tamen illud non ponitur extra se ipsum: fieri namque non potest, ut ens sit in non ente: verum, si non ens in ente fuerit, in ens incidit totum. Non enim a se ipso illud distrahi evellique poterat. Atqui quod dicitur universum illud ubique esse, intelligendum est, in ipso ente existere, atque ita in semet ipso. Neque mirum est, si ipsum, quod ubique dicitur, est in ente atque in se ipso. Jam enim ipsum ubique fit in uno. Nos autem, ens ipsum esse sensibile hoc existimantes, consequenter ipsum quoque ubique hic esse putamus. Item putantes hoc sensibile magnum esse, haud ab re dubitamus, quomodo illa natura per magnum hoc tantumque protendatur. Sed re vera hoc, quod magnum dicitur, parvum est: quod autem parvum existimatur, est magnum: si quidem totum illud per universum partis uniuscujusque se fundit: imo vero universum hoc, undique suis partibus ad universum illud accedens, invenit illud ubique totum, seque procul dubio majus. Quam ob rem, quasi quod ulteriori protensione nihil plus accepturum sit, (sic enim forte et extra universum evadere videretur,) merito penes ipsum circumcurrere voluit: cum vero non posset vel comprehendere, vel se intro prorsus insinuare, satis sibi factum putavit, si locum et ordinem sortiretur, ubi procul dubio servaretur ipsi praesenti propinquans, rursusque non praesenti. Est enim illud in semet ipso, etiam si quid ei velit adesse: quo sane se conferens universi corpus reperit universum, adeo ut non sibi opus sit ulterius progredi, sed revolvi expediat in eodem, tanquam hoc, in quo revolvitur, re vera sit universum: ubi certe secundum omnem sui partem toto illo perfruitur. Si enim illud esset in loco, merito progredi illuc, rectaque via procedere expediret, atque in alia ejus parte per aliam partem illud attingere, necessariaque cum procul tum

τὸ πόῤῥω καὶ ἐγγύθεν· εἰ δὲ μήτε τὸ πόῤῥω μήτε τὸ ἐγγύθεν, ἀνάγκη ὅλον παρεῖναι εἴπερ πάρεστι, καὶ ὅλως ἐστὶν ἐκείνων ἑκάστῳ, οἷς μήτε πόῤῥωθέν ἐστι μήτε ἐγγύθεν, δυνατοῖς δὲ δέξασθαί ἐστιν.

prope esse contingeret : sin autem neque procul neque prope illic potest accidere, necessarium est, totum illud adesse, si modo adsit : et profecto illorum unicuique totum adest, quibus neque propinquum est, neque remotum, sed proprie capere potentibus adest.

Mundus intelligibilis excellenti potestatis vires suas per omnes partes mundi diffundit : et unicuique parti totus adest, interea supereminens.

Sicut omnibus participare potentibus vires communicat, ita viribus suis ipse adest : atque ubi plures impartit vires, evidentius adest : ubi omnes, evidentissime. Neque fit propria alicujus forma, vel loco proprio circumscribitur : alioquin nec ulterius universum foret, nec omnibus communiter esset præsens. Corpus non in specie, sed in quantitate dividitur : ideo facta divisione etsi eadem non restat quantitas, eadem tamen species remanet : cum vero essentia, vita, mens prima sit species quantitatis expers, si dividatur secundum speciem, divisa ipsam speciem permutabit.

Γ'. Ἆρ' οὖν αὐτὸ φήσομεν παρεῖναι, ἢ αὐτὸ μὲν ἐφ' ἑαυτοῦ εἶναι; δυνάμεις δὲ ἀπ' αὐτοῦ ἰέναι ἐπὶ πάντα, καὶ οὕτως αὐτὸ πανταχοῦ λέγεσθαι εἶναι; οὕτω γὰρ τὰς ψυχὰς οἷον βολὰς εἶναι λέγουσιν, ὥστε αὐτὸ μὲν ἱδρῦσθαι ἐν αὐτῷ, τὰς δὲ ἐκπεμφθείσας κατ' ἄλλο καὶ κατ' ἄλλο ζῷον γίγνεσθαι· ἢ ἐφ' ὧν μὲν τὸ ἕν, τῷ μὴ πᾶσαν τὴν φύσιν ἀποσώζειν τὴν οὖσαν ἐν αὐτῷ ἐκείνῳ, ἐνταῦθα δύναμιν αὐτοῦ, ᾧ πάρεστι, παρεῖναι· οὐ μὴν οὐδ' ὡς ἐκεῖνο μὴ ὅλως παρεῖναι, ἐπεὶ καὶ τότε οὐκ ἀποτέτμηται ἐκεῖνο τῆς δυνάμεως αὐτοῦ, ἣν ἔδωκεν ἐκείνῳ, ἀλλ' ὁ λαβών, τοσοῦτον ἐδυνήθη λαβεῖν, παντὸς παρόντος. Οὗ δὲ πᾶσαι αἱ δυνάμεις, αὐτὸ σαφῶς πάρεστι χωριστὸν ὅμως ὄν· γενόμενον μὲν γὰρ τοῦδε εἶδος ἀπέστη ἂν τοῦ τε πᾶν εἶναι, τοῦ τε εἶναι ἐν αὐτῷ πανταχοῦ, κατὰ συμβεβηκὸς δὲ καὶ ἄλλου· μηδενὸς δὲ ὂν τοῦ θέλοντος αὐτοῦ εἶναι, ᾧ ἂν αὐτῷ ἐθέλῃ, ὡς δύναται, πελάζει, οὐ γενόμενον ἐκείνου, ἀλλ' ἐκείνου ἐφιεμένου αὐτοῦ, οὐκ αὖ ἄλλου. Θαυμαστὸν οὖν οὐδὲν οὕτως ἐν πᾶσιν εἶναι, ὅτι αὖ ἐν οὐδενί ἐστιν αὐτῶν οὕτως, ὡς ἐκείνων εἶναι· διὸ καὶ τὸ κατὰ συμβεβηκὸς οὕτω λέγειν συμπαραθεῖν τῷ σώματι καὶ τὴν ψυχήν, οὐκ ἄτοπον ἴσως, εἰ αὐτὴ μὲν ἐφ' ἑαυτῆς λέγοιτο εἶναι οὐχ ὕλης γενομένη, οὐδὲ σώματος, τὸ δὲ σῶμα πᾶν κατὰ πᾶν ἑαυτοῦ οἱονεὶ ἐλλάμποιτο. Θαυμάζειν δὲ οὐ δεῖ, εἰ αὐτὸ μὴ ὂν ἐν τόπῳ παντὶ τῷ ἐν τόπῳ ὄντι πάρεστιν· ἦν γὰρ ἂν τοὐναντίον θαυμαστὸν καὶ ἀδύνατον πρὸς τῷ θαυμαστῷ, εἰ τόπον καὶ αὐτὸ ἔχον οἰκεῖον παρῆν ἄλλῳ τῳ ἐν τόπῳ, ἢ ὅλως παρῆν, καὶ παρῆν οὕτως, ὥς τοι ἡμεῖς φαμέν. Νῦν δέ φησιν ὁ λόγος, ὡς ἀνάγκη αὐτῷ τόπον οὐκ εἰληχότι, ᾧ πάρεστι, τούτῳ ὅλον παρεῖναι, παντὶ δὲ παρόν, ὡς καὶ ἑκάστῳ ὅλον παρεῖναι, ἢ ἔσται αὐτοῦ τὸ μὲν ὡδὶ τὸ δὲ ἄλλοθι, ὥστε μεριστὸν ἔσται, καὶ σῶμα ἔσται. Πῶς γὰρ δὴ καὶ μεριεῖς; ἆρά γε τὴν ζωὴν μεριεῖς; ἀλλ' εἰ τὸ πᾶν ἦν ζωή, τὸ μέρος ζωὴ οὐκ ἔσται. Ἀλλὰ τὸν νοῦν, ἵν' ὁ μὲν ᾖ ἐν ἄλλῳ, ὁ δὲ ἐν ἄλλῳ; ἀλλ' οὐδέτερος αὐτῶν νοῦς ἔσται. Ἀλλὰ τὸ ὂν αὐτοῦ; ἀλλὰ τὸ μέρος οὐκ ὂν ἔσται, εἰ τὸ ὅλον τὸ ὂν ὑπῆρχε. Τί οὖν; εἴ τις λέγοι καὶ τὸ σῶμα μεριζόμενον, καὶ τὰ μέρη ἔχει σώματα ὄντα, ἢ ὁ μερισμὸς ἦν οὐ σώματος, ἀλλὰ τοσοῦδε σώματος, καὶ σῶμα ἕκαστον ἐλέγετο τῷ εἴδει καθ' ὃ σῶμα· τοῦτο δὲ οὐκ εἶχε τὸ τοσόνδε τι, ἀλλ' οὐδ' ὁπωσοῦν τοσόνδε.

III. Num igitur universum illud dicemus ipsum adesse? an ipsum quidem in se ipso consistere? vires autem ab eo per cuncta diffundi, atque ita illud ubique esse putari? sic enim animas tanquam jactus quosdam inde esse tradunt, adeo ut illud quidem in se ipso quiescat : animas autem illinc emissas secundum animal aliud aliudque evadere. Sed profecto quibus unum aliquid illius conceditur, propterea quod nequeant omnem illius naturam in se conservare, iis nimirum sic adesse dicitur, ut vis quædam adsit illius. Neque tamen ita, ut illud omnino non adsit. Nam et tunc illud a sua illa potentia, quam huic tradidit, minime segregatur : sed quod accepit, tantum apprehendere potuit ex toto præsente. Ubi vero vires omnes communicantur, illud ipsum est evidentissime præsens, sic tamen, ut simul sit etiam separatum : nempe, si hujus rei species fieret, neque universum esse posset, neque ubique esset in semet ipso consistens, sed secundum accidens, et alterius esset. Cum vero nullius sit etiam volentis ipsius esse, unicuique ipsum volenti pro illius capacitate propinquat, neque tamen illius evadit, neque rursus alterius, sed desiderio adest : neque igitur mirandum est sic in omnibus esse, quippe cum in nullo rursus eorum sic insit, ut evadat ipsorum : quam ob rem neque forte absurdum est animam dicere secundum accidens ita cum corpore quodammodo simul pati : siquidem ipsa in se ipsa dicatur esse neque materiæ neque corporis facta : sed corpus omne per universum sui velut illustretur ab anima. Nihil vero mirandum videri debet, si universum illud divinum, cum ipsum non sit in loco, adest omni, quod est in loco : contra vero et mirabile et insuper impossibile foret, si illud habens ipsum quoque locum proprium adesset alicui, quod sit in loco, aut si adesset omnino, atque esset ita præsens, sicut nos in præsentia dicimus. Nunc autem ratio dictat necessarium esse, ut ipsum, cum non habeat locum cuicumque præsens est, adesse totum : cumque sit universo præsens, sic adesse, ut et singulis adsit totum : alioquin aliud quidem ipsius hic, aliud autem ibi futurum, adeo ut et partibile sit et corpus. Jam vero interrogare licet, quomodo partiaris. Numquid vitam divides? At, ubi diviseris, si totum erat vita, pars vita non erit. Sed numquid divides intellectum, ut hic quidem in alio, ille autem in alio sit? Verum neuter illorum intellectus erit. An igitur ipsius ens partieris? At vero pars ita non est ens, si totum ens extiterit. Quid ergo? si quis objecerit et corpus divisum habere partes, quæ adhuc ipsæ quoque sint corpora : sed profecto partitio non corporis fuit, sed tanti corporis potius : et corpus unumquodque specie factum est et dictum, qua corpus existit. Hoc autem principium, quo ad speciem pertinet, non habet proprie quantum quiddam, imo neque etiam quomodocumque quantum.

Una essentia prima, id est mens divina, ubique tota est, similiter una mundi anima: nec multitudo partium mundanarum impedit, quominus una sit ubique tota: nec unitas primæ mentis et animæ prohibet, quin multæ præterea mentes sint et animæ. Nec per multa corporis ejusdem membra anima cogitur esse multiplex et partibilis: nec per multa corpora evadunt animæ multæ, sunt enim et mentes et animæ suis proprietatibus in se ipsis inter se differentes, etiam ante corpora: suntque in se invicem naturali quadam cognatione et officii communione conjunctæ, et interea alteritate proprietatis essentiæque distinctæ, non loco.

Δ'. Πῶς οὖν τὸ ὂν καὶ τὰ ὄντα καὶ νοῦς πολλοὺς καὶ ψυχὰς πολλάς; εἰ τὸ ὂν πανταχοῦ ἕν, καὶ μὴ ὡς ὁμοειδές, καὶ νοῦς εἷς, καὶ ψυχὴ μία· καίτοι ἄλλην μὲν τοῦ παντός, τὰς δὲ ἄλλας. Ταῦτά τε γὰρ ἀντιμαρτυρεῖν δοκεῖ, καὶ τὰ εἰρημένα, εἴ τινα ἀνάγκην, ἀλλ' οὐ πειθώ γε ἔχει, ἀπίθανον νομιζούσης τῆς ψυχῆς τὸ ἓν οὕτω πανταχοῦ ταὐτὸν εἶναι. Βέλτιον γὰρ ἴσως μερίσαντα τὸ ὅλον, ὡς μηδὲν ἐλαττοῦσθαι, ἀφ' οὗ ὁ μερισμὸς γεγένηται, ἢ καὶ γεννήσαντα ἀπ' αὐτοῦ, ἵνα δὴ βελτίοσι χρώμεθα ὀνόμασιν, οὕτω τὸ μὲν ἐᾶσαι ἐξ ἑαυτοῦ εἶναι, τὰ δ' οἷον μέρη γενόμενα, ψυχὰς συμπληροῦν ἤδη τὰ πάντα. Ἀλλ' εἰ ἐκεῖνο μένει τὸ ὂν ἐφ' ἑαυτοῦ, ὅτι παράδοξον εἶναι δοκεῖ, τὸ ἅμα ὅλον τι πανταχοῦ παρεῖναι, ὁ αὐτὸς λόγος καὶ ἐπὶ τῶν ψυχῶν ἔσται· ἐν οἷς γὰρ λέγονται σώμασιν ὅλαι ἐν ὅλοις εἶναι, οὐκ ἔσονται, ἀλλ' ἢ μερισθήσονται, ἢ μένουσαι ὅλαι που τοῦ σώματος δύναμιν αὐτῶν δώσουσιν. Ἐφ' ὧν καὶ τῶν δυνάμεων ἡ αὐτὴ ἀπορία ἔσται, ἡ ὅλου πανταχοῦ. Καὶ ἔτι, τὸ μέν τι ψυχὴν ἕξει τοῦ σώματος, τὸ δὲ δύναμιν μόνον· ἀλλὰ πῶς ψυχαὶ πολλαί, καὶ νοῖ πολλοί, καὶ τὸ ὂν καὶ τὰ ὄντα; καὶ δὴ καὶ προϊόντα ἐκ τῶν προτέρων ἀριθμοὶ ὄντα, ἀλλ' οὐ μεγέθη, ὁμοίως ἀπορίαν παρέξουσι, πῶς πληροῦσι τὸ πᾶν. Οὐδὲν οὖν ἡμῖν παρὰ τοῦ πλήθους οὕτω προϊόντος ἐξεύρηται εἰς εὐπορίαν, ἐπεὶ καὶ τὸ ὂν πολλὰ συγχωροῦμεν εἶναι ἑτερότητι, οὐ τόπῳ. Ὁμοῦ γὰρ πᾶν τὸ ὄν, κἂν πολὺ οὕτως ᾖ, « ἐὸν γὰρ ἐόντι πελάζει, καὶ πᾶν ὁμοῦ », καὶ νοῦς πολύς, ἑτερότητι, οὐ τόπῳ, ὁμοῦ δὲ πᾶς. Ἆρ' οὖν καὶ ψυχαί; ἢ καὶ ψυχαί, ἐπεὶ καὶ τὸ περὶ τὰ σώματα μεριστὸν λέγεται ἀμερὲς εἶναι τὴν φύσιν, τὰ δὲ σώματα μέγεθος ἔχοντα, ταύτης τῆς ψυχῆς φύσεως αὐτοῖς παρούσης· μᾶλλον δὲ τῶν σωμάτων ἐκεῖ γενομένων, ὅσον ἐστὶ μεμερισμένα κατὰ πᾶν μέρος ἐκείνης ἐμφανταζομένης τῆς φύσεως περὶ τὰ σώματα, οὕτως ἐνομίσθη εἶναι μεριστή· ἐπεί, ὅτι οὐ συνδιείληπται τοῖς μέρεσιν, ἀλλ' ὅλη πανταχοῦ, φανερὸν ποιεῖ τὸ ἓν καὶ τὸ ἀμέριστον ὄντως τῆς φύσεως. Οὔτ' οὖν τὸ μίαν εἶναι τὰς πολλὰς ἀναιρεῖ, ὥσπερ οὐδὲ τὸ ὂν τὰ ὄντα, οὔτε μάχεται τὸ πλῆθος ἐκεῖ τῷ ἑνί, οὔτε τῷ πλήθει συμπληροῦν δεῖ ζωῆς τὰ σώματα, οὔτε διὰ τὸ μέγεθος τοῦ σώματος δεῖ νομίζειν τὸ πλῆθος τῶν ψυχῶν γίγνεσθαι, ἀλλὰ πρὸ τῶν σωμάτων εἶναι καὶ πολλὰς καὶ μίαν. Ἐν γὰρ τῷ ὅλῳ αἱ πολλαὶ ἤδη, οὐ δυνάμει, ἀλλ' ἐνεργείᾳ ἑκάστη· οὔτε γὰρ ἡ μία ἡ ὅλη κωλύει τὰς πολλὰς ἐν αὐτῇ εἶναι, οὔτε αἱ πολλαὶ τὴν μίαν. Διέστησαν γὰρ οὐ διεστῶσαι, καὶ πάρεισιν ἀλλήλαις οὐκ ἀλλοτριωθεῖσαι· οὐ γὰρ πέρασιν εἰσὶ διωρισμέναι· ὥσπερ οὐδὲ ἐπιστῆμαι αἱ πολλαὶ ἐν ψυχῇ μιᾷ,

IV. Cæterum quonam pacto fas est dicere ens atque entia, et multas mentes animasque multas? Si ens ubique unum est, neque sic unum quasi duntaxat conforme nonnihil: item, si mens una, si anima una: tametsi accepimus, aliam esse animam universi, alias autem reliquas. Hæc enim jam dictis refragari videntur: et, quæ dicta sunt, si quam forte necessitatem habent, persuasionem tamen non afferunt, quippe cum animus incredibile putet, unum ita ubique totum idem esse. Fortasse igitur præstat, unum illud totum partiri, adeo tamen, ut id ipsum, ex quo partitio fit, nihil inde comminuatur: aut potius ab illo, ut rectius loquamur, aliqua generare, atque illud quidem permittere, ut in se ipso consistat; quod vero velut partes inde gignuntur, esse animas omnia jam complentes existimare. Verum, si illud ens idcirco in se conquiescit, ex eo præcipue, quod incredibile videatur, unum aliquod totum esse simul ubique eadem profecto ratio circa animas similiter dubitabit. Hæ namque, in quibus corporibus totæ esse dicuntur in totis, jam ita non erunt: sed aut dividentur, aut, si totæ permaneant, in quadam corporis parte sic præcipue conquiescent, atque inde vires suas per membra diffundent. Jamque eadem et de viribus, quæ et de anima, ambiguitas oritur, numquid vis ipsa ubique sit tota. Præterea aliud quidem corporis membrum habebit animam, aliud vero vim solam. Sed in primis investigandum est, quonam modo, concessis superioribus, multæ sint animæ, multæ mentes, multa entia præter unum. Jam vero, quæ ex prioribus profluunt, sic tamen, ut non magnitudines sint, sed numeri, dubitationem similiter afferent, quonam pacto impleant universum: nihil itaque nobis ex multitudine sic profluente perspicue compertum est ad dubitationem conferens explicandam: quandoquidem et ipsum ens esse multa concedimus alteritate quadam, sed non loco. Simul enim est ens universum, quamvis ita sit multiplex: siquidem, ut Parmenides ait, ens enti propinquat, ac simul est universum. Quin etiam intellectus est multiplex alteritate, non loco, sed simul est omnis. Numquid et animæ ita se habent? Forsan et animæ: quoniam illud etiam, quod circa corpora partibile dicitur, impartibile rursus secundum naturam esse censetur: corpora vero habentia magnitudinem, præsente videlicet illis hac ipsius animæ natura: imo vero, cum corpora ibi fiant, et quatenus protenduntur, secundum omnem partem natura illa animæ ipsius appareat, quæ circa corpora versatur, sic utique circa illa animam existimari contingit divisibilem. Nam non esse illam in partes una cum partibus corporis distributam, sed passim adesse totam, inde perspicue nobis patet, quod et naturam unum aliquid et impartibile re vera esse sit compertum. Neque igitur ex eo, quod anima una sit, tollitur esse multas: quemadmodum neque ens unum esse entia prohibet, neque multitudo illic uni repugnat; neque per multitudinem quandam vita implere corpora necessarium est: neque propter corporis magnitudinem existimandum est fieri multitudinem animarum, sed etiam ante corpora existere multas et unam. In ipso namque toto jam multæ consistunt, non in potentia quidem, sed in actu jam quælibet. Una enim illa tota nihil prohibet in se multas existere: multæque vicissim unam nihil impediunt. Distant enim inter se interim non distantes, adsuntque sibi invicem non alienæ. Non enim terminis ullis inter se separantur: quemadmodum neque scientiæ multæ in una quadam anima congregatæ: sed est

καὶ ἔστιν ἡ μία τοιαύτη, ὥστε ἔχειν ἐν ἑαυτῇ πάσας. Οὕτως ἐστὶν ἄπειρος ἡ τοιαύτη φύσις.

una ipsa talis, ut in se contineat omnes. Ita prorsus ejusmodi natura est infinita. *

Anima mundi sicut et mens est individua simul et universum, ideo in mundo est ubique tota.

Anima, cum non habeat quantitatem, non est minor vel major quantitate, quam mundus, sed virtute, quam nec totam mundus capit. Eadem vero anima grandiori, quæ et minori sufficit corpori, propter potentiæ magnitudinem.

Ε'. Καὶ τὸ μέγα αὐτῆς οὕτω ληπτέον, οὐκ ἐν ὄγκῳ· τοῦτο γὰρ μικρόν ἐστιν εἰς τὸ μηδὲν ἰόν, εἴ τις ἀφαιροῖ. Ἐκεῖ δὲ οὐδὲ ἀφελεῖν ἐστιν, οὐδ' εἰ ἀφαιρεῖς, ἐπιλείψει. Εἰ δὲ οὐκ ἐπιλείψει, τί δεῖ δεδιέναι, μή τινος ἀποστατῇ; πῶς γὰρ ἀποστατεῖ οὐκ ἐπιλείπουσα, ἀλλ' ἀένναος οὖσα φύσις, οὐ ῥέουσα; ῥέουσα μὲν γὰρ ἐπὶ τοσοῦτον ἔρχεται, ἐφ' ὅσον ῥεῖν δύναται· μὴ ῥέουσα δέ, οὐδὲ γὰρ ἂν οὐδ', ὅπου ῥεύσειεν, ἔχει· τὸ γὰρ πᾶν κατείληφε, μᾶλλον δὲ αὐτή ἐστι τὸ πᾶν, καὶ μεῖζόν τι οὖσα ἢ κατὰ σώματος φύσιν. Ὀλίγον γὰρ εἰκότως νομίζοιτο τῷ παντὶ διδόναι, ὅσον δύναται τοῦτο αὐτοῦ φέρειν. Δεῖ δὲ ἐκεῖνο μήτε ἔλαττον λέγειν, μηδὲ τιθέμενον ἔλαττον τῷ ὄγκῳ, ἀπιστεῖν ἤδη, ὡς οὐ δυνατὸν ἐπὶ τὸ μεῖζον αὐτοῦ ἰέναι τὸ ἔλαττον· οὔτε γὰρ τὸ ἔλαττον κατηγορητέον, οὐδὲ παραθετέον ὄγκον πρὸς ἄογκον ἐν μετρήσει. Ὅμοιον γάρ, ὡς εἴ τις ἰατρικὴν λέγοι ἐλάττω εἶναι τοῦ σώματος τοῦ ἰατροῦ. Οὐδ' αὖ οὕτω [τοῦτο] μεῖζον νομιστέον τῇ ποσοῦ μετρήσει, ἐπεὶ οὐδ' ἐπὶ τῆς ψυχῆς οὕτω τὸ μέγα καὶ τὸ μεῖζον τοῦ σώματος· μαρτυρεῖ δὲ τῷ μεγάλῳ τῆς ψυχῆς καὶ τὸ μείζονος τοῦ ὄγκου γενομένου φθάνειν ἐπὶ πᾶν αὐτοῦ τὴν αὐτὴν ψυχήν, ἣ ἐπ' ἐλάττονος ὄγκου ἦν· γελοῖον γὰρ πολλαχῇ, εἴ τις προσθείη καὶ τῇ ψυχῇ ὄγκον.

V. Proinde naturæ hujus magnitudo non est secundum molem existimanda: moles enim parvum quiddam est, casurum versus nihilum, si quis inde detraxerit. At ex illa natura neque fas est detrahere, neque, si forte subtraxeris, ullo modo deficiet. Quodsi nequaquam deficiat, non est metuendum, ne usquam absit ab ullo. Quo enim modo absit ab aliquo, cum nullum patiatur defectum, sed sempiterna natura sit, non fluens? alioquin, si fluxerit, eo usque procedit, quo usque profluere possit. Cum vero minime fluat, (neque enim, quo fluat, habet,) totum jam penitus comprehendit: imo vero ipsa est universum, majusque aliquid est, quam ut secundum corporeæ naturæ magnitudinem æstimetur. Parvum enim quiddam rite censetur huic universo tribuere: quatenus videlicet hoc illius ferre valet. Oportet autem universum illud supernum neque minus appellare, neque minus ipsum secundum molem ponere, ne forte diffidere compellaris, illud tanquam minus posse per totum illud, quod eo sit majus, amplificari. Neque enim hoc ipsum, quod minus dicitur, de illo prædicandum est, neque in ipsa mensura adhibenda est, vel comparanda moles ad non molem. Id namque perinde se haberet, ac si quis medicinæ dixerit disciplinam ipsius medici corpore esse minorem. Nec rursus majus illud censendum est secundum mensuram aliquam quantitatis, quando neque in anima sic animæ magnitudo censetur corpore major. Magnitudinem vero animæ hinc licet potissimum conjectare, quod, quando moles ipsa fit major, anima eadem per totam illam undique se diffundit, quæ prius erat in mole minore. Ridiculum namque plurimum est futurum, si quis molem animæ etiam adhibuerit.

Quæstiones de anima mundana et nostra.

Quærit ita: Si anima tantam habet magnitudinem virtutis, quantam modo dicebamus, cur non accidit etiam vivificando ad quodlibet corpus appositum? Respondet eam posse, modo corpus accedat ad eam, id est conformitate formabili. Item dubitat ita: Si anima mundi occupat totum, numquid corpus propria anima animatum habet simul suam atque communem? Et subdubitat quærendo, quomodo differant ibi hæ duæ animæ. Et respondet, per adjunctiones differre, quia quamvis hæc et illa sit anima, tamen hæc est anima ejusmodi, illa illiusmodi. Deinde confirmat animam mundi posse in corporibus remotis eandem esse totam, quia et in nobis anima nostra eadem simul tota in pede est et manu. Et subjungit, differentes sensus et passiones non obstare, quominus in homine sit una anima, et in mundo una: quia videlicet in homine quovis unus est judex, sic et in anima mundi. Deinde interrogat: cum duæ sint in nobis animæ, altera communis, altera propria, cur anima nostra non percipit judicium animæ mundi? Respondet: Quia ex judicio illo non resultat in nobis compassio. Præterea neque eadem vis animæ semper, quæ judicat, animadvertit, se judicare, neque vis quælibet in eadem anima communicat alteri suum judicium: ideo non est mirum, si nec vis animæ nostræ persentit judicium communis animæ, neque illa nostræ communicat suum: sed ratio in nobis animadvertit judicia inferiorum in nobis virium, et ratio in anima communi animadvertit similiter suarum judicia. Ratio quidem nostra occupata est, et distracta circa sensibilia: ratio vero communis animæ collecta circa intelligibilia: ideo, cum circa opposita convertantur, non communicatur judicium ab altera in alteram facile. Mitto nunc, quomodo per communem animam sit in nobis communio quædam vitæ et consensus et compassionis cum inter nos, tum ad mundana et cœlestia, in qua unione consistit vis attractionis et magiæ. Tu cave, ne putes Plotinum ponere unam tantum in cunctis animam. Hoc enim illi repugnat ubique.

ϛ'. Τί οὖν οὐκ ἐπ' ἄλλο σῶμα ἔρχεται; ἢ ὅτι ἐκεῖνο δεῖ, εἰ δύναται προσελθεῖν, τὸ δὲ προσεληλυθὸς καὶ δεξάμενον ἔχει. Τί οὖν; τὸ ἄλλο σῶμα τὴν αὐτὴν ψυχὴν ἔχει, ἔχον καὶ αὐτό, ἣν ἔχει, ψυχήν; τί γὰρ διαφέρει; ἢ καὶ ταῖς προσθήκαις. Εἶτα πῶς ἐν ποδὶ καὶ χειρὶ τὴν αὐτήν, τὴν δὲ ἐν τῷδε τῷ μέρει τοῦ παντός, οὐ τὴν αὐτὴν τῇ ἐν τῷδε; εἰ δὲ αἱ αἰσθήσεις διάφοροι, καὶ τὰ πάθη τὰ συμπίπτοντα διάφορα λεκτέον εἶναι. Ἄλλα οὖν ἐστι τὰ κρινόμενα, οὐ τὸ κρῖνον· ὁ δὲ κρίνων ὁ αὐτὸς δικαστής, ἐν ἄλλοις καὶ ἐν ἄλλοις πάθεσι γινόμενος, καίτοι οὐχ ὁ πάσχων αὐτὸς

VI. Quid ergo non ad aliud corpus accedit? Forsan vero corpus illud, si modo possit, oportet accedere: accedens autem accipit inde, et possidet quod accepit. Quid igitur? Corpus aliud animamne habet eandem, possidens videlicet interim ipsum quoque suam, quam habet, animam? Quid enim differt? Profecto adjunctionibus differt. Præterea, quomodo in pede manuque eandem ponimus animam, *animam vero, quæ est in hac universi parte*, non affirmamus eandem cum anima illa, quæ sit in alia ejusdem parte? Sin autem sensus differentes sunt, passiones etiam incidentes esse differentes existimandum. Alia igitur sunt, quæ judicantur, judicans vero non aliud nempe judex idem in aliis et aliis judicat passionibus,

ἀλλ' ἡ τοῦ τοιοῦδε σώματος φύσις· καὶ ἔστιν οἷον εἰ αὐτὸς ἡμῶν καὶ ἡδονὴν κρίνει τὴν περὶ τὸν δάκτυλον καὶ ἀλγηδόνα τὴν περὶ τὴν κεφαλήν. Διὰ τί οὖν οὐ συναισθάνεται ἡ ἑτέρα τὸ τῆς ἑτέρας κρίμα; ἢ ὅτι κρίσις ἐστίν, ἀλλ' οὐ πάθος. Εἶτα οὐδ' αὐτὴ ἡ κρίνασα Κέκρικα λέγει, ἀλλ' ἔκρινε μόνον· ἐπεὶ οὐδὲ παρ' ἡμῖν ἡ ὄψις τῇ ἀκοῇ λέγει, καίτοι ἔκριναν ἄμφω, ἀλλὰ ὁ λογισμὸς ἐπ' ἀμφοῖν· τοῦτο δὲ ἕτερον ἀμφοῖν. Πολλαχῇ δὲ καὶ ὁ λογισμὸς εἶδε τὸ ἐν ἑτέρῳ κρίμα, καὶ σύνεσιν ἔσχεν ἑτέρου πάθους. Εἴρηται δὲ περὶ τούτου καὶ ἐν ἄλλοις.

quamvis patiens non sit idem ipse, qui judicat. Sed haec, potius corporis talis natura. Idque perinde se habet, velut si quis nostrûm et voluptatem judicet, quæ fit circa digitum, et dolorem, qui circa caput. Curnam igitur altera judicium alterius non persentit? Forsan, quia judicium illud est, non passio. Praeterea neque vis ipsa, quæ judicat, dicit, jam judicavi, sed judicavit tantum: quoniam neque apud nos quidem visus auditui nunciat, quamvis uterque jam judicarit, sed praesidens utrisque ratio: haec autem est ab utrisque diversa. Saepe vero et ratio, quod in alio judicium est, cognovit, alteriusque passionem animadvertit. Verum de hoc alibi quoque diximus.

Multitudo numerorum ab uno, et linearum a centro fluentium non prohibet, quominus vel unum illud vel centrum hoc impartibile sit et unicum. Similiter anima non cogitur divisibilis fieri aut multiplex propter diversa membra vel corpora. Imo sicut virtus rectrix tota est in qualibet parte ponderis, ac lumen idem indivisibile totum in qualibet parte aeris, sic et anima.

Ζ'. Ἀλλὰ πάλιν λέγωμεν, πῶς ἐπὶ πάντα ἐστὶ τὸ αὐτό· τοῦτο δὲ ταὐτόν ἐστι, πῶς ἕκαστον τῶν πολλῶν τῶν αἰσθητῶν οὐκ ἄμοιρον τοῦ αὐτοῦ πολλαχῇ κειμένου. Οὐ γὰρ ἐκεῖνο ὀρθῶς ἔχει ἐκ τῶν εἰρημένων μερίζειν εἰς τὰ πολλά, ἀλλὰ τὰ πολλὰ μεμερισμένα εἰς τὸ ἓν μᾶλλον ἀνάγειν, κἀκεῖνο οὐκ ἐληλυθέναι πρὸς ταῦτα. Ἀλλὰ ταῦτα, ὅτι διέρριπται, παρεσχηκέναι δόξαν ἡμῖν κατὰ ταῦτα, κἀκεῖνο διειλῆφθαι, οἷον εἴ τις τὸ κρατοῦν καὶ συνέχον εἰς ἴσα τῷ κρατουμένῳ διαιροῖ. Καίτοι κρατοίη ἂν καὶ χεὶρ σῶμα ὅλον, καὶ ξύλον πολύπηχυ, καὶ ἄλλο τι· καὶ ἐπὶ πᾶν μὲν τὸ κρατοῦν, οὐ διείληπται δὲ ὅμως εἰς ἴσα τῷ κρατουμένῳ ἐν τῇ χειρί, καθ' ὅσον ἐφάπτεται, εἰς τοσοῦτον περιγραφομένης, ὡς δοκεῖ, τῆς δυνάμεως, ἀλλ' ὅμως τῆς χειρὸς ὁριζομένης τῷ αὐτῆς ποσῷ, οὐ τῷ τοῦ αἰωρουμένου καὶ κρατουμένου σώματος. Καὶ εἰ προσθείης δὲ τῷ κρατουμένῳ σώματι μῆκος ἄλλο, καὶ δύναιτο ἡ χεὶρ φέρειν, ἡ δύναμις κἀκεῖνο κρατεῖ, οὐ διαληφθεῖσα εἰς τοσαῦτα μέρη, ὅσα τὸ σῶμα ἔχει. Τί οὖν; εἴ τις τὸν ὄγκον τὸν σωματικὸν τῆς χειρὸς ὑποθεῖτο ἀφῃρῆσθαι, καταλίποι δὲ τὴν δύναμιν τὴν αὐτὴν τὴν ἀνέχουσαν καὶ πρότερον αὐτό, τὴν πρόσθεν ἐν τῇ χειρὶ οὖσαν· ἆρ' οὐκ ἂν ἡ αὐτή, ἀμέριστος οὖσα ἐν παντί, ὡσαύτως κατὰ πᾶν μέρος εἴη; εἰ δὲ δὴ φωτεινὸν μικρὸν ὄγκον οἷον κέντρον ποιησάμενος μεῖζόν τι περιθείης σφαιρικὸν σῶμα διαφανές, ὥστε τὸ φῶς τοῦ ἔνδον ἐν παντὶ τῷ περιέχοντι φαίνειν, οὐκ οὔσης ἄλλοθεν αὐγῆς τῷ ἔξωθεν ὄγκῳ, ἆρ' οὐκ ἐκεῖνο τὸ ἔνδον φήσομεν αὐτὸ μηδὲν παθόν, ἀλλὰ μένον ἐπὶ πάντα τὸν ἔξωθεν ὄγκον ἐληλυθέναι, καὶ τὸ ἐκεῖ ἐνορώμενον ἐν τῷ μικρῷ ὄγκῳ φῶς κατειληφέναι τὸ ἔξω; ἐπειδὴ τοίνυν οὐ παρὰ τοῦ ὄγκου τοῦ σωματικοῦ τοῦ μικροῦ ἐκείνου ἦν τὸ φῶς, οὐ γάρ, ᾗ σῶμα ἦν, εἶχε τὸ φῶς, ἀλλ' ᾗ φωτεινὸν σῶμα, ἑτέρᾳ δυνάμει, οὐ σωματικῇ οὔσῃ. Φέρε, εἴ τις τὸν ὄγκον τοῦ σώματος ὑφέλοι, τηροῖ δὲ τὴν τοῦ φωτὸς δύναμιν, ἆρ' ἂν ἔτι εἴποις που εἶναι τὸ φῶς; ἢ ἐπ' ἴσης ἂν εἴη καθ' ὅλην τε τὴν ἔξω σφαῖραν; οὐκ ἔτι δὲ οὐδ' ἀπερείσῃ τῇ διανοίᾳ, ὅπου πρότερον ἦν κείμενον, καὶ οὔτε ἔτι ἐρεῖς ὅθεν οὔτε ὅπῃ· ἀλλὰ περὶ μὲν τούτου ἄπορος ἔσῃ ἐν θαύματι ποιούμενος, ἅμα δὲ ὧδὶ τοῦ σφαι-

VII. Sed dicamus iterum, quomodo idem per omnia sit: id autem simile est, ac si quaeramus qua conditione unumquodque multorum sensibilium sparsim undequaque dispositorum ejusdem naturae sit particeps. Profecto constat, nefas esse unum ipsum propter rerum multitudinem in multa partiri, sed decere potius multa divisa in unum rite colligere: quod quidem ad haec non venerit. Sed haec, quia disjecta sunt, opinari nos compulerunt, illud quoque secundum haec quodammodo esse disjectum: velut si quis id, quod superat atque continet, una cum eo, quod continetur, in partes aequales putaverit dividendum. Tametsi continere quidem potest manus corpus totum etiamque multicubitum et quodvis aliud. Ubi profecto vis ipsa, quae continet, in eo, quod tenetur, ubique viget, neque tamen dividitur in partes aequales simul cum eo, quod manu tenetur: quamvis appareat, quatenus manus attingit, eatenus esse potentiam circumscriptam. At manus interim sua quadam quantitate describitur, non quantitate corporis, quod suspenditur et tenetur: atqui, si adjunxeris suspenso corpori aliam longitudinem, manusque illam valeat sustinere, vis ipsa regendi illud quoque reget, non secta videlicet in partes totidem, quot habet et corpus. Quid ergo? si quis finxerit corpoream manus molem clam e medio surripi; sed relinquat interea vim illic eandem, quae pondus ante sustinebat eratque prius in manu: nonne vis eadem impartibilis in toto similiter pondere per quamlibet erit partem? Praeterea, si exiguum quoddam lucidumque corpusculum pro centro alicubi fixeris, eique majus aliquod corpus sphaericum et perspicuum circumposueris, adeo ut intimi corpusculi lumen in tota circumdante perluceat, ubi non sit aliunde lux externae moli: nonne intimum lumen illud dicemus, dum nihil patitur, sed permanet, per totam molem exteriorem processisse, atque lumen ibi in corpusculo parvo conspicuum, inde totum, quod circumstat, penitus comprehendisse? Quoniam vero non ex ipsa corporea mole illius centri lumen ipsum exstabat, non enim, qua corpus est, possidebat lumen, sed qua corpus lucidum, per virtutem videlicet aliam incorpoream. Dic age, si quis corporis illius molem subtraxerit, vim vero luminis ibi servaverit, numquid ulterius dicturus sis alicubi proprie lumen esse? Nonne potius erit aeque et intus et per sphaeram totam exteriorem? neque amplius cogitationem figes, ubi erat antea positum, neque dices ulterius, vel unde vel ubi sit lumen: sed de hoc eris ambiguus ac prorsus admirabundus. simul autem et hic et ibi per globum lumen idem

ρικοῦ σώματος ἀτενίσας εἴσῃ [ l. ἴσῃ ] τὸ φῶς καὶ ὡδὶ αὐτός· ἐπεὶ καὶ ἐπὶ τοῦ ἡλίου ἔχεις μὲν εἰπεῖν, ὅθεν τὸ φῶς ἐπιλάμπει κατὰ πάντα τὸν ἀέρα, εἰς τὸ σῶμα τοῦ ἡλίου βλέπων, τὸ δὲ αὐτὸ ὅμως ὁρᾷς φῶς πανταχοῦ, οὐδὲ τοῦτο μεμερισμένον. Δηλοῦσι δὲ αἱ ἀποτομαὶ ἐπὶ θάτερα, ᾗ ὅθεν ἐλήλυθεν, οὐ διδοῦσαι εἶναι, οὐδὲ μερίζουσαι. Καὶ δὴ τοίνυν, εἰ δύναμις μόνον ὁ ἥλιος ἦν, σώματος χωρὶς οὖσα, καὶ φῶς παρεῖχεν, οὐκ ἂν ἐντεῦθεν ἤρξατο, οὐδ' ἂν εἶπες ὅθεν, ἀλλ' ἦν ἂν τὸ φῶς πανταχοῦ ἓν καὶ ταὐτὸν ὂν οὐκ ἀρξάμενον, οὐδ' ἀρχήν ποθεν ἔχον.

inspicies. Jam vero et circa solem potes dicere, unde potissimum lumen totum aerem circumlustrat, quando videlicet in corpus solis aciem dirigis, simulque lumen idem ubique circumspicis, neque divisum. Id vero testantur ipsæ, quæ ex lumine fiunt, decisiones quædam: quæ profecto non alibi lumen reddunt, quam e regione, unde lumen effluxerat, neque lumen secant, neque comminuunt. Atqui, si sol ipse virtus quædam sola foret a corpore segregata, lumenque effunderet, neque hinc vel alicunde prorsus exordiretur, neque tu, unde mittatur, significares: sed esset omnino lumen ubique unum idemque existens, neque exordiens, neque habens alicunde principium.

Anima, cum sit prior omni re corporea, merito a nulla dependet: nullo igitur loco indiget, nulli est addicta, ad omnem igitur locum indifferenter et æque se habet: ideo et ubique communiter est et nusquam, nisi anima quædam per proprium affectum quandoque ad aliquid proprium sese applicet.

Item, cum sit individua, ubicumque est, existit tota. Quicquid igitur illam suscipit, accipiens non divisam, suscipit quodammodo totam, quamvis non cunctis ejus viribus penitus perfruatur. Anima mundi sicut in corporibus ipsa non fit corpus, vel passio, vel forma propria corporis, ita non fit multiplex, nec dividitur, neque patitur: et quoniam mancipatur nulli, expedita cunctis adest.

Η'. Τὸ μὲν οὖν φῶς ἐπειδὴ σώματός ἐστιν, ὅθεν ἐλήλυθεν, εἰπεῖν ἔχεις, ἔχων εἰπεῖν τὸ σῶμα ὅπου ἐστίν· ἄϋλον δὲ εἴ τι ἐστὶ, καὶ δεῖται οὐδὲν σώματος, πρότερον ὂν τῇ φύσει παντὸς σώματος, ἱδρυμένον αὐτὸ ἐν ἑαυτῷ, μᾶλλον δὲ οὐδὲ ἱδρύσεως δεόμενον οὐδὲν τῆς τοιαύτης· τοῦτο δὴ τὸ τοιαύτην ἔχον φύσιν, οὐκ ἔχον ἀρχὴν, ὅθεν ὁρμηθείη, οὔτε ἔκ τινος τόπου, οὔτε τινὸς ὂν σώματος, πῶς αὐτοῦ τὸ μὲν ὡδὶ φήσεις, τὸ δὲ ὡδί; ἤδη γὰρ ἂν καὶ τὸ ὅθεν ὡρμήθη ἔχοι, καὶ τὸ τίνος εἶναι. Λείπεται τοίνυν εἰπεῖν, ὡς εἴ τι αὐτοῦ μεταλαμβάνει τῇ τοῦ ὅλου δυνάμει, μεταλαμβάνειν αὐτοῦ παντὸς, μηδὲν μήτ' οὖν ἄλλο τι, μήτε μεμερισμένον. Τῷ μὲν γὰρ σῶμα ἔχοντι τὸ πάσχειν κἂν κατὰ συμβεβηκὸς ἂν γένοιτο· καὶ ταύτῃ παθητὸν ἂν λέγοιτο καὶ μεριστὸν, ἐπειδὴ σώματός ἐστι τι, οἷον πάθος ἢ εἶδος. Ὃ δὲ ἐστι μηδενὸς σώματος, ἀλλὰ τὸ σῶμα ἐθέλει αὐτοῦ εἶναι, ἀνάγκη τοῦτο τά τε ἄλλα πάθη τοῦ σώματος μηδαμῶς αὐτὸ πάσχειν, μερίζεσθαί τε οὐχ οἷόν τε. Σώματος γὰρ καὶ τοῦτο καὶ πρώτως πάθος, καὶ ᾗ σῶμα. Εἰ δὴ ᾗ σῶμα τὸ μεριστὸν, ᾗ μὴ σῶμα τὸ ἀμέριστον, πῶς γὰρ καὶ μερίσεις οὐκ ἔχον μέγεθος; εἰ οὖν οὐκ ἔχοντος μέγεθος τὸ ἔχον τὸ μέγεθος ἁμηγέπη μεταλαμβάνει, οὐ μεριζομένου αὐτοῦ ἂν μεταλαμβάνοι, ἢ μέγεθος αὖ ἕξει πάλιν. Ὅταν οὖν ἓν ἐν πολλοῖς λέγῃς, οὐκ αὐτὸ πολλὰ γενόμενον λέγεις, ἀλλὰ τῶν πολλῶν τὸ πάθος περιάπτεις τῷ ἑνὶ ἐκείνῳ, ἐν πολλοῖς αὐτὸ ἅμα ὁρῶν. Τὸ δὲ ἓν ἐν αὐτοῖς οὕτω ληπτέον, ὡς οὐκ αὐτῶν γενόμενον ἑκάστου οὐδ' αὐτοῦ παντὸς, ἀλλ' ἐκεῖνο μὲν αὐτοῦ εἶναι καὶ αὐτὸ εἶναι, αὐτὸ δὲ ὂν οὐκ ἀπολείπεσθαι ἑαυτοῦ, οὐδ' αὖ τοσοῦτον, ὅσον τὸ πᾶν αἰσθητόν, οὐδ' εἴ τι μέρος τοῦ παντός· ὅλως γὰρ οὐδὲ ποσόν. Πῶς ἂν οὖν τοσοῦτον; σώματι μὲν γὰρ τοσοῦτον· τῷ δὲ μὴ σώματι, ἀλλ' ἑτέρας ὄντι φύσεως, οὐδαμῇ δεῖ προσάπτειν τοσοῦτον, ὅπου μηδὲ τὸ τοιοῦτον· οὐ τοίνυν οὐδὲ τὸ ποῦ, οὐ τοίνυν οὐδὲ τὸ ἐνταῦθα καὶ ἐνταῦθα· ἤδη γὰρ ἂν πολλάκις που εἴη. Εἰ τοίνυν ὁ μερισμὸς τοῖς τόποις, ὅταν τὸ μέν τι αὐτοῦ ὡδὶ, τὸ δὲ

VIII. Profecto, quoniam lumen est corporis aliquid, unde venerit, facile potes dicere: quippe cum, ubi sit corpus illud, valeas indicare: si quid autem expers materiæ sit, neque indigeat corpore, quippe cum naturaliter prius sit omni corpore fundatum in se ipso, imo vero tali quodam fundamento non indigens: hoc, inquam, natura ejusmodi præditum non habens principium, unde exordiatur, nec intra locum aliquem habitans, nec corporis alicujus existens, quonam pacto dicere poteris aliquid ejus, esse hic, et illic ejus aliquid esse? Sic enim et, unde exordiretur, haberet, et alieni juris existeret. Reliquum igitur est asserere, si quid accipit illud ipsa totius potentia, totum illud accipere, nec illud propterea vel aliud quiddam vel partibile fieri. Etenimque, quod habet corpus, quamvis sæpe per accidens, rite tamen pati convenit. Et hac ipsa ratione passivum et divisibile judicari potest: quandoquidem corporis aliquid est, vel tanquam passio, vel tanquam species. Quod autem nullius corporis est, sed tale prorsus existit, ut corpus esse illius affectet, necessarium est, cum ceteras corporis passiones in se nullas admittere, tum vel maxime dividi nullo modo posse. Divisio enim corporis passio est, atque prima, et qua est corpus. Si igitur, qua est corpus, divisibile est nimirum, qua non corpus est, indivisibile prorsus existit. Qua enim conditione divides, quod magnitudinem nullam habet? Si igitur, quod magnitudinem habet, ejus quoquo modo fit particeps, quod magnitudinem habet nullam, illud percipit non divisum: alioquin magnitudinem illud rursus haberet. Quando igitur unum esse dicis in multis, non ipsum multa factum dicis, sed multorum potius passionem circum illi uni subnectis, in multis ipsum simul inspiciens. Unum vero illud in ipsis sic accipiendum est, ut neque uniuscujusque illorum, neque cunctorum simul jam sit effectum: sed illud quidem sui juris sit, ipsumque met existat: cumque ipsummet existat, sibi nusquam deesse, defectumve nullum admittere. Neque rursus putandum est, ipsum esse proprie tantum, quantum est sensibile universum, nedum tantum sit duntaxat, quanta pars aliqua universi: omnino enim neque est ullo modo quantum. Quo igitur modo tantum proprie erit aut tantum? tanta namque mensura corpori convenit: ei vero, quod non est corpus, sed natura alia præditum, nullo modo mensura tanta est adhibenda: cum neque etiam tale aliquid sit. Neque igitur alicubi est ponendum: neque ita hic et ibi, alioquin sæpe foret alicubi. Si igitur divisio secundum loca convenit, quando aliquid vel

ὡδὶ, ὅτῳ τὸ ὡδὶ μὴ ὑπάρχει, πῶς ἂν τὸ μερίζεσθαι ἔχοι; ἀμέριστον ἄρα δεῖ αὐτὸ σὺν αὐτῷ εἶναι, κἂν τὰ πολλὰ αὐτοῦ ἐφιέμενα τυγχάνῃ. Εἰ οὖν τὰ πολλὰ ἐφίεται αὐτοῦ, δηλονότι ὅλου ἐφίεται αὐτοῦ· ὥστε, εἰ καὶ δύναται μεταλαβεῖν, ὅλου ἂν αὐτοῦ, καθ' ὅσον δύναται, μεταλαμβάνοι. Δεῖ οὖν τὰ μεταλαμβάνοντα αὐτοῦ οὕτως ἔχειν αὐτοῦ, ὡς οὐ μετέλαβε, μὴ ἰδίου αὐτῶν ὄντος· οὕτω γὰρ ἂν μένοι αὐτὸ ἐφ' ἑαυτοῦ ὅλον, καὶ ἐν οἷς ὁρᾶται ὅλον· εἰ γὰρ μὴ ὅλον, οὐκ αὐτὸ, οὐδ' αὖ οὗ ἐφίεται ἡ μετάληψις ἔσται, ἀλλὰ ἄλλου, οὗ ἡ ἔφεσις οὐκ ἦν.

ipsius hic est, et aliquid illic, sequitur, ut, cui non convenit alicubi esse, nullo modo partitio congruat: quam ob rem necessarium est, illud secum ipso impartibile permanere, quamvis multa illud afferent, atque etiam assequantur. Si ergo multa illud desiderant, constat, totum ipsum appetere: itaque, si assequi possint, totum ipsum pro viribus assequi; quam ob rem oportet, quæ participant illud, ita illius participare, quasi non participent, quippe cum ipsum proprium nullius evaserit: sic enim manet in se ipso totum, simulque, in quibus inspicitur totum, permanet et occurrit: alioquin nisi totum ibi permanserit, neque ipsum quidem erit, neque res ipsæ ad ipsum, quod optant, participabunt, sed aliud quiddam potius, quod minime appetebant.

Anima prima, dum se totam multis mundi partibus exhibet, neque multiplicatur in multas animas æque primas; hæ namque nihilo inter se different; neque in partes: est enim indivisibilis: et alioquin, ubi rectura molem accedit, prorsus debilitata deficeret.

Accommodat vero vires suas mundi membris: sed adeo essentiales propriæque sunt hæ vires, ut inseparabiles sint ab ea: ipsa igitur est ubique tota. Quin etiam, si imagines duntaxat virium suarum impartit mundo, ipsa tota similiter adest, suas imagines ubique rectura: denique, sicut in nobis, sic in mundo, nisi eadem ubique vita vigeret, non esset tam mira partium inter se et ad totum consensio passim atque compassio. Quæ autem de anima mundi loquimur, de intellectu divino similiter dictum intellige.

Θ'. Καὶ γὰρ εἰ τὸ μέρος τὸ γενόμενον ἐν ἑκάστῳ ὅλον ἦν καὶ αὐτὸ ἕκαστον, οἷον τὸ πρῶτον ἀποτετμημένον ἀεὶ ἕκαστον, πολλὰ τὰ πρῶτα, καὶ ἕκαστον πρῶτον. Εἶτα ταῦτα τὰ πολλὰ πρῶτα τί ἂν εἴη τὸ διεῖργον, ὥστε μὴ ἓν ὁμοῦ πάντα εἶναι; οὐ γὰρ δὴ τὰ σώματα αὐτῶν· οὐ γὰρ τῶν σωμάτων οἷόν τε ἦν εἴδη αὐτὰ εἶναι, εἴπερ ὅμοια καὶ ταῦτα ἐκείνῳ τῷ πρώτῳ, ἀφ' οὗ. Εἰ δὲ δυνάμεις αὐτοῦ τὰ λεγόμενα μέρη τὰ ἐν τοῖς πολλοῖς, πρῶτον μὲν οὐκ ἔτι ὅλον ἕκαστον· ἔπειτα πῶς ἦλθον ἀποτμηθεῖσαι καὶ καταλείπουσαι; εἰ γὰρ δὴ καὶ κατέλιπον, δηλονότι κατέλιπόν που ἰοῦσαι. Εἶτα πότερα ἔτι εἰσὶν ἐν αὐτῷ αἱ δυνάμεις αἱ ἐνταῦθα ἐν τῷ αἰσθητῷ γεγενημέναι, ἢ οὔ; εἰ γὰρ μὴ εἰσιν, ἄτοπον ἐλαττωθῆναι ἐκεῖνο καὶ ἀδύναμον γεγονέναι, ἐστερημένον ὧν πρότερον εἶχε δυνάμεων· χωρίς τε τὰς δυνάμεις εἶναι τῶν οὐσιῶν ἑαυτῶν πῶς ἂν οἷόν τε ᾖ ἀποτετμημένας; εἰ δὲ ἐν ἐκείνῳ τέ εἰσι καὶ ἄλλοθι, ἢ ὅλαι ἢ μέρη αὐτῶν ἐνταῦθα ἔσονται· ἀλλ' εἰ μέρη, κἀκεῖ τὰ λοιπὰ μέρη· εἰ δὲ ὅλαι, ἤτοι αἵπερ ἐκεῖ, καὶ ἐνταῦθα οὐ μεμερισμέναι· καὶ πάλιν αὖ ἔσται τὸ αὐτὸ πανταχοῦ, οὐ μεμερισμένον, ἢ πολλὰ γενόμενον ὅλον ἕκαστον αἱ δυνάμεις, καὶ ὅμοιαι ἀλλήλαις, ὥστε καὶ μετὰ τῆς οὐσίας ἑκάστης ἡ δύναμις ἡ μία μόνον ἔσται, ἡ συνοῦσα τῇ οὐσίᾳ, αἱ δ' ἄλλαι δυνάμεις μόνον. Καίτοι οὐχ οἷόν τε ὥσπερ οὐσίαν ἄνευ δυνάμεως, οὕτως οὐδὲ δύναμιν ἄνευ οὐσίας. Ἡ γὰρ δύναμις ἐκεῖ ὑπόστασις καὶ οὐσία, ἢ μεῖζον οὐσίας. Εἰ δ' ἕτεραι, ὡς ἐλάττους καὶ ἀμυδραὶ δυνάμεις αἱ ἐξ ἐκείνου, οἷον εἰ φῶς ἐκ φωτὸς, ἀμυδρὸν ἐκ φανοτέρου· καὶ δὴ οὐσίαι συνοῦσαι ταῖς δυνάμεσι ταύταις, ἵνα μὴ γένηται ἄνευ οὐσίας δύναμις. Πρῶτον μὲν καὶ ἐπὶ τῶν τοιούτων δυνάμεων, ἀναγκαῖον ὁμοειδῶν πάντως πρὸς ἀλλήλας γιγνομένων, ἢ τὴν αὐτὴν πανταχοῦ συγχωρεῖν εἶναι, ἢ καὶ εἰ μὴ πανταχοῦ, ἀλλ' οὖν πανταχῇ ἅμα τὴν αὐτὴν ὅλην οὐ μεμερισμένην, οἷον ἐν ἑνὶ καὶ τῷ αὐτῷ σώματι. Εἰ δὲ τοῦτο, διὰ τί οὐκ ἐν παντὶ τῷ ὅλῳ; εἰ δὲ μεμερίσθαι

IX. Proinde, si unum illud commune sic in multis dividatur in partes, ut quælibet pars sit velut ipsum totum: sequitur, ut multa sint prima, et unumquodque primum. Præterea multa hæc prima quonam discernentur, ne cuncta sint simul unum? Non enim per corpora sua separabuntur: nam impossibile est, ea corporum species esse: siquidem hæc quoque primo illi, a quo manant, similia sunt. Sin autem, quæ dicuntur partes, in multis communis illius potentiæ sint, primo quidem non erit ulterius unumquodque totum: deinde, quonam modo processerunt inde divisæ illudque relinquentes? Si enim illud deserunt, constat, alicubi reliquisse illud, ipsas interim alio procedentes. Item, utrum adhuc sint hæ in illo potentiæ, quæ hic in loco sensibili factæ sunt, necne. Si enim ibi non sunt, absurdum est, illud commune infirmumque evadere, privatum videlicet viribus, quas prius habuerat: absurdum atque impossibile rursus, vires esse a suis essentiis segregatas. At si et in illo sunt et alibi, aut totæ aut partes earum hic erunt: si partes, nimirum, quæ ibi reliqua sunt, partes erunt: sin vero totæ, vel eædem, quæ sunt ibi, hic quoque sunt nullo modo divisæ: atque ita erit rursus ubique idem, nullo modo divisum: vel hæ potentiæ sunt illud totum singulatim multa jam factum, quarum quælibet sit totum, suntque vires ejusmodi inter se similes. Atque ita et una cum essentia qualibet vis ipsa una solum erit, ipsa videlicet essentiam comitans: reliquæ vero potentiæ tantum erunt. Tametsi impossibile est, vel essentiam esse absque potentia, vel sine essentia esse potentiam. Potentia enim illic substantia est et essentia, vel majus aliquid, quam essentia. Sin autem aliæ quædam hic potentiæ sunt tanquam minores et exiles, quæ inde manant: velut, si lumen ex lumine, fuscum ex claro pendeat: atque essentiæ quædam potentiis ejusmodi conjunctæ sunt, ne forte potentia seorsum ab essentia fiat. Profecto et in ejusmodi viribus omnino inter se conformibus necessarium est, vel eadem ubique inesse, vel, si non ubique simpliciter, saltem passim eandem totam non divisam, tanquam in uno quodam eodemque corpore. Si autem hoc, cur non in toto insuper universo? Sin autem

ἑκάστην εἰς ἄπειρον, καὶ οὐκ ἔτι οὐδ' αὐτὴ ὅλη, ἀλλὰ τῷ μερισμῷ ἔσται ἀδυναμία. Ἔπειτα ἄλλη κατ' ἄλλο οὖσα οὐ καταλείψει συναίσθησιν. Ἔπειτα δέ, εἰ καθάπερ τὸ ἴνδαλμά τινος, οἷον καὶ τὸ ἀσθενέστερον φῶς ἀποτεμνόμενον τοῦ παρ' οὗ ἐστιν, οὐκέτ' ἂν εἴη, καὶ ὅλως πᾶν τὸ παρ' ἄλλου τὴν ὑπόστασιν ἔχον, ἴνδαλμα ὂν ἐκείνου, οὐχ οἷόν τε ἀποτέμνοντα ἐν ὑποστάσει ποιεῖν εἶναι, οὐδ' ἂν αἱ δυνάμεις αὗται αἱ ἀπ' ἐκείνου ἐλθοῦσαι ἀποτετμημέναι ἂν ἐκείνου εἶεν· εἰ δὲ τοῦτο οὗ εἰσιν αὗται, κἀκεῖνο, ἀφ' οὗ ἐγένοντο, ἐκεῖ ἅμα ἔσται, ὥστε πανταχοῦ ἅμα πάλιν αὐτὸ οὐ μεμερισμένον ὅλον ἔσται.

contingat infinite quamlibet dividi, non amplius ipsa tota consistet, sed partitione impotentia quædam prorsus evadet. Deinde, cum alia diversis partibus aliaque via insit, nulla sentiendi mutua communio relinquetur. Denique si, quemadmodum alterius simulacrum velut et lumen debilius ab eo, unde fit, segregatum non est amplius, atque omnino, quicquid ab alio ita pendet, ut sit ejus imago, nequit absque illo consistere: merito neque hæ vires ab illo profectæ, ubi segregantur, ab eo esse possunt: quod si ita sit, ubicunque hæ sunt, ibidem simul et illud, a quo gignuntur: quam ob rem ubique simul iterum erit illud totum nullo modo divisum.

Omnis intellectualis anima est expressa imago et virtus quædam intellectus primi per essentiam immobilis, quoniam ab immobilitatum existit essentia. Similiter radii solis illinc perseverarent, si sol ipse permanserit: ubique sunt res et vires quædam ita pendentes penitus a mente vel anima prima, sicut specularis imago: ubique igitur mens prima est similiter et anima prima. Vero hic et supra et infra sæpe per verba Plotini notabis, plures esse mentium animarumque substantias semper inter se distinctas, quamvis inter eas unio sit mirabilis.

Γ. Εἰ δέ τις λέγοι, ὡς οὐκ ἀνάγκη τὸ εἴδωλον τοῦ συνηρτῆσθαι τῷ ἀρχετύπῳ, (ἔστι γὰρ καὶ εἰκόνα εἶναι ἀπόντος τοῦ ἀρχετύπου, ἀφ' οὗ ἡ εἰκών, καὶ τοῦ πυρὸς ἀπελθόντος τὴν θερμότητα εἶναι ἐν τῷ θερμανθέντι,) πρῶτον μὲν ἐπὶ τοῦ ἀρχετύπου καὶ τῆς εἰκόνος· εἰ τὴν παρὰ τοῦ ζωγράφου εἰκόνα λέγοι τις, οὐ τὸ ἀρχέτυπον φήσομεν τὴν εἰκόνα πεποιηκέναι, ἀλλὰ τὸν ζωγράφον, οὐκ οὖσαν αὐτοῦ εἰκόνα· οὐδ' εἰ αὑτόν τις γράφει, τὸ γὰρ γράφον ἦν οὐ τὸ σῶμα τοῦ ζωγράφου, οὐδὲ τὸ εἶδος τὸ μεμιμημένον, καὶ οὐ τὸν ζωγράφον, ἀλλὰ τὴν θέσιν τὴν οὑτωσὶ τῶν χρωμάτων λεκτέον ποιεῖν τὴν τοιαύτην εἰκόνα· οὐδὲ κυρίως ἡ τῆς εἰκόνος καὶ τοῦ ἰνδάλματος ποίησις, οἷον ἐν ὕδασι καὶ κατόπτροις, ἢ ἐν σκιαῖς· ἐνταῦθα ὑφίσταταί τε παρὰ τοῦ προτέρου κυρίως καὶ γίνεται ἀπ' αὐτοῦ, καὶ οὐκ ἔστιν ἀφ' ἑαυτοῦ ἀποτετμημένα, τὰ γενόμενα εἶναι. Τοῦτον δὲ τὸν τρόπον καὶ τὰς ἀσθενεστέρας δυνάμεις παρὰ τῶν προτέρων ἀξιώσουσι γίγνεσθαι. Τὸ δ' ἐπὶ τοῦ πυρὸς λεγόμενον οὐκ εἰκόνα τὴν θερμότητα τοῦ πυρὸς λεκτέον εἶναι, εἰ μή τις λέγοι καὶ πῦρ ἐν τῇ θερμότητι εἶναι. Εἰ γὰρ τοῦτο, χωρὶς πυρὸς ποιήσει τὴν θερμότητα, εἶτα κἂν εἰ μὴ αὐτίκα, ἀλλ' οὖν παύεται καὶ ψύχεται τὸ σῶμα τὸ θερμανθὲν ἀποστάντος τοῦ πυρός. Εἰ δὲ καὶ οὗτοι ταύτας τὰς δυνάμεις σβεννύοιεν, πρῶτον μὲν ἓν μόνον ἄφθαρτον φήσουσι, τὰς δὲ ψυχὰς καὶ τὸν νοῦν φθαρτὰ ποιήσουσιν. Εἶτα καὶ οὐκ ἐκ ῥεούσης οὐσίας ῥέοντα τὰ ἐξ αὐτῆς ποιήσουσι, καίτοι, εἰ μὲν ὁ ἱδρυθεὶς ἥλιος ὁπουοῦν τὸ αὐτὸ φῶς ἂν παρέχοι, τοῖς αὐτοῖς τόποις. Εἰ δὲ λέγοι τις μὴ τὸ αὐτό, τοῦτο ἂν πιστῷτο τῷ τὸ σῶμα ῥεῖν τοῦ ἡλίου. Ἀλλ' ὅτι μὲν μὴ φθαρτὰ τὰ παρ' ἐκείνου, ἀθάνατοι δὲ καὶ αἱ ψυχαὶ καὶ νοῦς πᾶς, ἐν ἄλλοις διὰ πλειόνων εἴρηται.

Δ'. Ἴδε δὲ, εἰ βούλει, καὶ τόνδε τὸν θεὸν οὐ πῆ μὲν εἶναι, πῆ δ' οὐκ εἶναι φαμέν. Ἔστι γὰρ ἀξιούμενόν τε παρὰ πᾶσι τοῖς ἔννοιαν ἔχουσι θεῶν, οὐ μόνον περὶ ἐκείνου, ἀλλὰ καὶ περὶ πάντων λέγειν θεῶν, ὡς πανταχοῦ πάρεισι· καὶ ὁ λόγος δέ φησι δεῖν οὕτω τίθεσθαι. Εἰ οὖν πανταχοῦ, οὐχ οἷόν τε μεμερισμένον· οὐ γὰρ ἂν ἔτι πανταχοῦ αὐτὸς εἴη, ἀλλ' ἕκαστον αὐτοῦ μέρος τὸ μὲν ὡδὶ, τὸ δὲ ὡδὶ ἔσται, αὐτός τε οὐχ εἷς ἔτι ἔσται, ὥσπερ εἰ τμηθείη τι μέγεθος εἰς πολλὰ, ἀπολλύμενόν τε ἔσται, καὶ τὰ μέρη πάντα οὐκέτι τὸ ὅλον ἐκεῖνο ἔσται. Πρὸς τούτοις δὲ καὶ σῶμα ἔσται. Εἰ δὴ ταῦτα ἀδύνατα, πάλιν αὖ ἀνεφάνη τὸ ἀπιστούμενον, ἐν πάσῃ φύσει ἀνθρώπου, ὁμοῦ τῷ θεὸν νομίζειν καὶ πανταχοῦ τὸ αὐτὸ ἅμα ὅλον εἶναι. Πάλιν δὲ, εἰ ἄπειρον λέγομεν ἐκείνην τὴν φύσιν, οὐ γὰρ δὴ πεπερασμένην, τί ἂν ἄλλο εἴη, ἢ ὅτι οὐκ ἐπιλείψει; εἰ δὲ μὴ ἐπιλείψει, ὅτι πάρεστιν ἑκάστῳ· εἰ γὰρ μὴ δύναιτο παρεῖναι, ἐπιλείψει τε καὶ ἔσται ὅπου οὔ. Καὶ γὰρ εἰ λέγοιμεν ἄλλο μετ' αὐτὸ τὸ ἕν, ὁμοῦ αὖ αὐτῷ, καὶ τὸ μετ' αὐτὸ περὶ ἐκεῖνο καὶ εἰς ἐκεῖνο, καὶ αὐτοῦ οἷον γέννημα συναφὲς ἐκείνῳ, ὥστε τὸ μετέχον τοῦ μετ' αὐτὸ κἀκείνου μετειληφέναι. Πολλῶν γὰρ ὄντων τῶν ἐν τῷ νοητῷ πρώτων τε καὶ δευτέρων καὶ τρίτων, καὶ οἷον σφαίρας μιᾶς εἰς ἓν κέντρον ἀνημμένων, οὐ διαστήμασι διειλημμένων, ἀλλ' ὄντων ὁμοῦ αὐτοῖς ἁπάντων, ὅπου ἂν παρῇ τὰ τρίτα, καὶ τὰ δεύτερα καὶ τὰ πρῶτα πάρεστι.

IV. Contemplare, si placet, et hunc deum, quem nos non hic quidem esse, ibi vero non esse dicimus, sed pariter ubique fatemur. Constat sane apud omnes de diis aliquid cogitantes, non hunc tantum deum, verum etiam deos omnes ubique esse præsentes, ipsaque ratio ita esse concludit. Si igitur est ubique deus, fieri nequit, ut sit ubique divisus : alioquin non ipse foret ubique, sed unaquæque pars ejus ita disponeretur, ut hæc quidem hoc in loco, illa vero esset in illo : atqui et ipse non amplius esset unus, quemadmodum si magnitudo quædam divideretur in multa : sic enim dissiparetur, neque partes omnes ulterius totum illud exsisterent. Accedit ad hæc, quod deus ita se habens foret et corpus. At, si hæc fieri nequeunt, rursus, quod incredibile videbatur, comperitum habemus, in universa videlicet humana natura, existimante scilicet deum esse simul ubique, unde constat unum aliquid indivisum, ubique simul esse totum. Rursus, si naturam illam infinitam esse dicimus, neque enim definitam esse concederemus, curnam potissimum infinitam, nisi quia nusquam deficit? Quodsi deficit nusquam, nimirum unicuique constat adesse. Si enim adesse non posset, deficeret utique, foretque aliquid, ubi ipsa non esset. Jam vero, etsi dicamus, aliud quiddam exstare post unum, rursus oportet simul esse cum ipso : et, quod est post ipsum, circa illud versari, et in illud anniti, esseque illius progeniem illi connexam, adeo ut, quod participat ejus, quod est post ipsum, illius quoque sit particeps. Proinde, cum in mundo intelligibili multa sint, gradusque illic prima et secunda, et tertia, omniaque sequentia velut ad unius sphæræ centrum sint simul affixa, neque intervallis ullis inter se separentur, sed ibi cuncta sint, simul merito, ubicumque tertia sunt, ibidem et secunda et prima pariter adsunt : sed rem hanc deinceps planius explicemus.

Sæpe accipit pro mundo intelligibili primum ens et intellectum, cui velut communi centro insunt ideæ rerum, velut propria quædam centra. Sæpe etiam illum accipit pro eo, quod dixi, sed adjungendo illis ideis, ut centris, formas immateriales inde pendentes, ut lineas, quæ, ut annectuntur ibi, sunt unum, ut producuntur inde, sunt multa. Et totus hic cumulus est mundus intelligibilis magis unum, quam cumulus formarum materialium materiæ uni annexarum, qui dicitur mundus sensibilis : sed intelligibilis ille magis est unum, quia immateriales formæ propius et firmius affiguntur ideis suis, et per ideas intellectui, quam formæ materiales inchoationibus suis, et per eas materiæ. Item, quia ille mundus est unum unitate summæ formæ, hic vero est unum unitate materiæ infimæ : item, quia hic unionem impedit localis distantia partium, repugnantia qualitatum, tota transmutatio temporalis : ibi vero hæc impedimenta non sunt. Item mundus intelligibilis comparatur sphæræ amplissimæ, sub cujus ambitu continentur ambitus, et ad cujus centrum rediguntur centra formarum immaterialium, quas sphæra unisic contentarum in prima forma, sicut sphæræ minores in ampliori sphæra : ejusmodi unio non prohibet esse-

formam distinctionem, sicut nec unio formarum in materia, nec annexio linearum centris et centro, nec collectio sphaerarum in sphaera.

Ε'. Καὶ σαφηνείας μὲν ἕνεκα ὁ λόγος πολλάκις, οἷον ἐκ κέντρου ἑνός, πολλὰς γραμμὰς ποιήσας, εἰς ἔννοιαν τοῦ πλήθους του γενομένου ἐθέλει ἄγειν. Δεῖ δὲ, τηροῦντας ὁμοῦ πάντα τὰ λεγόμενα πολλὰ γεγονέναι, λέγειν, ὡς κἀκεῖ ἐπὶ τοῦ κύκλου οὐκ οὔσας γραμμὰς ἀφωρισμένας ἔστι λαμβάνειν· ἐπίπεδον γὰρ ἕν· οὗ δὲ οὐδὲ κατ' ἐπίπεδον ἓν διάστημά τι, ἀλλὰ ἀδιάστατοι δυνάμεις καὶ οὐσίαι, πάντα ἂν εἰκότως κατὰ κέντρα λέγοιτο, ἐν ἑνὶ ὁμοῦ κέντρῳ ἡνωμένα, οἷον ἀφέντα τὰς γραμμὰς, τὰ πέρατα αὐτῶν τὰ πρὸς τῷ κέντρῳ κείμενα, ὅτε δὴ καὶ ἕν ἐστι πάντα. Πάλιν δὲ, εἰ προσθείης τὰς γραμμὰς, αἱ μὲν ἐξάψονται τῶν κέντρων αὐτῶν, ἃ κατέλιπον ἑκάστη, ἔσται γε μὴν οὐδὲν ἧττον κέντρον ἕκαστον, οὐκ ἀποτετμημένον τοῦ ἑνὸς πρώτου κέντρου, ἀλλ' ὁμοῦ ὄντα ἐκείνῳ ἕκαστον αὖ εἶναι, καὶ τοσαῦτα, ὅσαι αἱ γραμμαί, αἷς ἔδοσαν αὐτὰ πέρατα εἶναι ἐκείνων, ὥστε, ὅσων μὲν ἐφάπτεται γραμμῶν, τοσαῦτα φανῆναι, ἓν δὲ ὁμοῦ πάντα ἐκεῖνα εἶναι. Εἰ δ' οὖν κέντροις πολλοῖς ἀπεικάσαιμεν πάντα τὰ νοητὰ εἶναι, εἰς ἓν κέντρον ἀναφερομένοις καὶ ἑνουμένοις, πολλὰ δὲ φανεῖσι διὰ τὰς γραμμὰς, οὐ τῶν γραμμῶν γεννησασῶν αὐτὰ, ἀλλὰ δειξασῶν, αἱ γραμμαὶ παρεχέτωσαν ἡμῖν χρείαν ἐν τῷ παρόντι ἀνάλογον εἶναι, ὧν ἐφαπτομένη ἡ νοητὴ φύσις πολλὰ καὶ πολλαχῆ φαίνεται παρεῖναι.

V. Quod dicit [perspicuitatis gratia] supponamus solet, sicut lineae multae ex uno quodam centro connexo procedunt, similiter intelligibilia ex uno fonte procedere; intelligentiam progenitae illic multitudinis commodo adducat alicere. Operae pretium vero est hoc ipsum servantes inquirere, omnia videlicet, quae illic multa gigni dicuntur, simul existere: subdere rursus, ut in circulo quidem lineas in se non omnino distinctas, tanquam distinctas accipere: unum namque est planum. Ubi autem neque secundum unum quidem planum est aliquod intervallum, sed indistantes omnino vires atque essentiae, haud ab re omnia in centrorum modum excogitantur in unum quodam centro sibi invicem conjunctorum: ubi profecto lineae quidem ipsae dimittantur, serventur autem duntaxat termini linearum centro contigui, ubi etiam omnia sunt unum. Rursus autem, si lineas punctis adjunxeris, illae quidem a centris propriis suspendentur, quae singulae reliquerunt: erit autem nihilo minus unumquodque centrum, ab uno primo centro minime separatum, ita tamen, ut, dum simul cum illo sunt, sint etiam interea singula, atque totidem, quot et lineae, quibus ipsa id concesserant, ut termini illarum existerent: quapropter, quot ibi lineis medium ipsum attingit, totidem esse puncta videntur. Unum vero illa apparet simul omnia esse. Si igitur multis centris similia esse intelligibilia omnia fateamur, centris, inquam, in unum centrum redactis, penitusque conjunctis; apparentibus vero multa propter lineas, quae quidem lineae centra non genuerint, sed ostendant: profecto lineae in praesentia nobis conferant ad ostendendam aliquam in se proportionem ad illa, quae attingens natura intelligibilis, propterea multa et ubique apparet adesse.

Si consideres in prima mente ideas cunctas atque singulas, mox in qualibet idea agnosces totam plenitudinem idearum [illegible] tamen ideae distincta proprietate servata. Item, intellectualis quidem anima, si plura violenter formet corpora, una est in multis: sed penes mundum intelligibilem multa potius in una sunt, vel circa unum.

ϛ'. Πολλὰ γὰρ ὄντα τὰ νοητὰ ἕν ἐστι· καὶ ἓν ὄντα τῇ ἀπείρῳ φύσει πολλά ἐστι καὶ πολλὰ ἐν ἑνὶ, καὶ ἓν ἐν πολλοῖς, καὶ ὁμοῦ πάντα, καὶ ἐνεργεῖ πρὸς τὸ ὅλον μετὰ τοῦ ὅλου, καὶ ἐνεργεῖ πρὸς τὸ μέρος αὖ μετὰ τοῦ ὅλου. Δέχεται δὲ τὸ μέρος εἰς αὐτὸ τὸ ὡς μέρους πρῶτον ἐνέργημα, ἀκολουθεῖ δὲ τὸ ὅλον, οἷον εἰ ὁ ἄνθρωπος ἐλθὼν εἰς τὸν τινὰ ἄνθρωπον, τὶς ἄνθρωπος γίνοιτο, ὢν αὖ ἄνθρωπος. Ὁ μὲν οὖν ἄνθρωπος ὁ ἐν τῇ ὕλῃ ἀφ' ἑνὸς τοῦ ἀνθρώπου τοῦ κατὰ τὴν ἰδέαν πολλοὺς ἐποίησε τοὺς αὐτοὺς ἀνθρώπους, καὶ ἔστιν ἓν τὸ αὐτὸ ἐν πολλοῖς οὕτως, ὅτι ἔστιν ἕν τι οἷον ἐνσφραγιζόμενον ἐν πολλοῖς αὐτό. Αὐτὸ δὲ ἄνθρωπος, καὶ αὐτὸ ἕκαστον, καὶ ὅλον τὸ πᾶν οὐχ οὕτως ἐν πολλοῖς, ἀλλὰ τὰ πολλὰ ἐν αὐτῷ· μᾶλλον δὲ περὶ αὐτό. Ἄλλον γὰρ τρόπον τὸ λευκὸν πανταχοῦ, καὶ ἡ ψυχὴ ἑκάστου ἐν παντὶ μέρει τοῦ σώματος ἡ αὐτή· οὕτω γὰρ καὶ τὸ ὂν πανταχοῦ.

VI. Intelligibilia profecto, cum entia multa sint, sunt simul et unum. Rursus, cum unum sint, interea ob infinitam naturam sunt et multa: tum vero multa in uno et in multis unum, et omnia simul: atque agunt omnia illic ad totum una cum toto: agunt ad partem rursus cum ipso toto. Admittit vero pars in se ipsa actionem primam tanquam partis, consequitur autem deinde totum, quemadmodum, si ipse homo in hominem quendam veniens homo quidem evadat, existens rursus et homo. Homo quidem, qui est in materia, ab uno homine, qui secundum ideam existit, homines eosdem reddidit multos, atque est unum idem sic in multis, quia unum aliquid idem more sigilli est in multis impressum. Ipsum vero homo et ipsum per se unumquodque et totum ipsum universum non sic est in multis, sed in eo sunt multa, imo vero sunt circa ipsum: aliter enim album est ubique, aliter anima uniuscujusque est in qualibet parte corporis eadem: sic itaque et ens ipsum ubique esse est judicandum.

Anima nostra intelligit plenitudinem idearum, scilicet conversa ad intellectum suum, neque tamen illic per idearum imagines: ergo ipsa per intellectum est universum. Atque ita in universali rerum forma omnes animae sunt quodammodo unum, quamvis sua quadam singulae proprietate distinctae: quatenus autem ab intellectu digrediuntur, inter se disjunguntur.

Plotinus in his duobus libris non intendit probare, quod non possit esse nisi una anima, sed quod una anima possit esse ubique, non obstante magnitudine vel multitudine corporum: et quod non oporteat in diversis mundi partibus animas multas ponere, quia una communis non sufficiat ubique esse et regere. Quando ponuntur multae, propter aliam rationem ponuntur, quia propter illius unius insufficientiam: et hae multae sunt unum cum illa scilicet unione spatii: item, quia agunt sub communi virtute illius: item, quia communem reliquntur animae ideam: item, quia qualibet anima est omnia in se rerum semina: sicut anima mundi, et quomodo in se convertitur explicatur in omnes et adaequatur sibi, et cum illa atque gubernat, et cum

mente communi æque contemplatur omnia : talisque fit unio, qualis in luminibus omnium stellarum in lumine solis, ubi omnia sunt ubique, omnia æque habent vires ad cuncta regenda, sed cetera agunt in virtute solis. Item exemplum est in quinque sensibus, qui unum sunt, primo, quia ab uno communi sensu et ad unum : secundo, quia in retractione a corpore quilibet eorum sentit in communi sensu : tertio fingamus, visum in sensu communi sentire non modo visibilia, sed mox etiam cetera sensibilia. Similiter auditum sentire primo sua, deinceps alia : sic et alios. Tum quilibet esse unum quum cum aliis, tum cum communi, et tamen adhuc essent distincti : tum quia quilibet potest se reflectere ad propria, sicut prius, tum quia, licet quilibet fundat se per omnia, tamen a proprio quodam exordium, ac tandem redit in idem. Scito, Plotinum post hos libros, et post librum : Utrum omnes animæ sint una anima, composuisse tres libros de Dubiis animæ, ubi manifeste ostendit numerum animarum.

Ζ΄. Ἀνάγεται γὰρ καὶ τὸ ἡμέτερον καὶ ἡμεῖς εἰς τὸ ὄν, καὶ ἀναβαίνομέν τε εἰς ἐκεῖνο, καὶ τὸ πρῶτον ἀπ' ἐκείνου, καὶ νοοῦμεν ἐκεῖνα, οὐκ εἴδωλα αὐτῶν οὐδὲ τύπους ἔχοντες. Εἰ δὲ μὴ τοῦτο, ὄντες ἐκεῖνα. Εἰ οὖν ἀληθινῆς ἐπιστήμης μετέχομεν, ἐκεῖνά ἐσμεν, οὐκ ἀπολαβόντες αὐτὰ ἐν ἡμῖν, ἀλλ' ἡμεῖς ἐν ἐκείνοις ὄντες. Ὄντων δὲ καὶ τῶν ἄλλων, οὐ μόνον ἡμῶν ἐκεῖνα, πάντες ἐσμὲν ἐκεῖνα. Ὁμοῦ ἄρα ὄντες μετὰ πάντων ἐσμὲν ἐκεῖνα· πάντα ἄρα ἐσμὲν ἕν. Ἔξω μὲν οὖν ὁρῶντες ἢ ὅθεν ἐξήμμεθα, ἀγνοοῦμεν ἓν ὄντες, οἷον πρόσωπα πολλὰ εἰς τὸ ἔξω πολλὰ κορυφὴν ἔχοντα εἰς τὸ εἴσω μίαν. Εἰ δέ τις ἐπιστραφῆναι δύναιτο, ἢ παρ' αὐτοῦ, ἢ τῆς Ἀθηνᾶς αὐτῆς εὐτυχήσας τῆς ἕλξεως, θεόν τε καὶ αὐτὸν καὶ τὸ πᾶν ὄψεται· ὄψεται δὲ τὰ μὲν πρῶτα οὐχ ὡς τὸ πᾶν, εἶτ' οὐκ ἔχων ὅπῃ αὑτὸν στήσας ὁριεῖ, καὶ μέχρι τίνος αὐτός ἐστιν ἀφεὶς περιγράφειν ἀπὸ τοῦ ὄντος ἅπαντος αὑτὸν, εἰς ἅπαν τὸ πᾶν ἥξει προελθὼν οὐδαμοῦ, ἀλλ' αὐτοῦ μείνας, οὗ ἵδρυται τὸ πᾶν.

VII. Nempe et nostrum ad ens ipsum reducitur quo et nos ipsi reducimur; ad illud ascendimus, ab illo exsistimus ab initio : intelligimus illa non per illorum imagines, non per figuras ullas, quas habeamus. Sin autem intelligimus quidem illa, neque tamen per imagines vel figuras, sequitur, ut illa intelligamus ipsi exsistentes illa. Si ergo sumus scientiæ veræ participes, illa sumus, non accipientes quidem in nobis ea, sed nos potius existentes in illis. Cum vero non solum nos illa simus, verum etiam alia sint et illa, nimirum omnes illa sumus. Simul igitur una cum omnibus exsistentes illa sumus : omnia itaque unum sumus. Cum vero foras prospiciamus, neque illuc, unde suspendimur, aciem dirigamus, merito nos esse unum nequaquam animadvertimus : perinde ac si multi vultus in orbem uno quodam vertice sive intima unaque radice connecterentur. Si quis autem ad intima reflecti posset, sive suapte natura, sive reflectente Minerva, se ipsum jam esse deum universumque conspiceret, inspiceret, inquam, se primo quidem non tanquam penitus universum, sed deinde non habens, ubi potissimum sistens gradum determinet semet ipsum, et quousque sit, ipse definiat : nimirum mox prætermitteret se ipsum circumscribere atque ab ente universo secernere. Itaque ad universum ipsum undique penitus perveniet, ita tamen, ut nusquam procedat, sed permaneat ibidem, ubi consistit et totum.

Mens divina per suas ideas in materiam agit, non extrinsecus more artis humanæ, sed intrinsecus modo artificioso naturæ : nec est sejuncta secundum locum a materia, alioquin loco propria deputabitur : nec mixta materiæ, alioquin minime dominabitur. Ubique vero est idea ignis, ubique ignem genitura : non divisa, ne pereat : non extensa, ne corporea fiat : non multiplicata numero, ne fiat innumerabilis : una sufficit : una est ubique tota.

Η΄. Οἶμαι δὲ ἔγωγε, καὶ εἴ τις ἐπισκέψαιτο τὴν τῆς ὕλης τῶν εἰδῶν μετάληψιν, μᾶλλον ἂν εἰς πίστιν ἐλθεῖν τοῦ λεγομένου, καὶ μὴ ἂν ἔτι ὡς ἀδυνάτῳ ἀπιστεῖν, ἢ αὖ ἀπορεῖν. Εὔλογον γὰρ καὶ ἀναγκαῖον οἶμαι, μὴ κειμένων τῶν εἰδῶν χωρὶς, καὶ αὖ τῆς ὕλης πόῤῥωθεν, ἄνωθέν ποθεν τὴν ἔλλαμψιν εἰς αὐτὴν γεγονέναι· μὴ γὰρ ᾖ κενὸν τοῦτο λεγόμενον· τί γὰρ ἂν εἴη τὸ πόῤῥω ἐν τούτοις καὶ τὸ χωρὶς; καὶ οὐκ [οὐχὶ] αὐτὸ δύσφραστον καὶ τὸ ἀπορώτατον ἦν, τὸ τῆς μεταλήψεως λεγόμενον; ἀλλ' εἴρητο ἂν προχειρότατα, γνώριμον ὂν τοῖς παραδείγμασιν. Ἀλλὰ κἂν ἔλλαμψιν λέγωμέν ποτε, οὐχ οὕτως ἐροῦμεν, ὡς ἐπὶ τῶν αἰσθητῶν λέγομεν εἰς αἰσθητὸν τὰς ἐλλάμψεις. Ἀλλ' ἐπεὶ εἴδωλα τὰ ἐν τῇ ὕλῃ, ἀρχετύπων δὲ τάξιν ἔχει τὰ εἴδη, τὸ δὲ τῆς ἐλλάμψεως τοιοῦτον οἷον χωρὶς ἔχειν τὸ ἐλλαμπόμενον, οὕτω λέγομεν. Δεῖ δὲ νῦν ἀκριβέστερον λέγοντας μὴ οὕτω τίθεσθαι, ὡς χωρὶς ὄντος τόπῳ τοῦ εἴδους, εἶθ' ὥσπερ ἐν ὕδατι ἐνορᾶσθαι τῇ ὕλῃ τὴν ἰδέαν, ἀλλὰ τὴν ὕλην εἶναι πανταχόθεν, οἷον ἐφαπτομένην, καὶ αὖ οὐκ ἐφαπτομένην τῆς ἰδέας, κατὰ πᾶν ἑαυτῆς ἴσχειν παρὰ τοῦ εἴδους τῷ πλησιασμῷ, ὅσον δύναται λαβεῖν οὐδενὸς μεταξὺ ὄντος, οὐ τῆς ἰδέας διὰ πάσης διεξελθούσης καὶ ἐπιδραμούσης, ἀλλ' ἐν αὐτῇ μενούσης. Εἰ γὰρ μὴ ἐν

VIII. Arbitror equidem, quisquis consideraverit, qua conditione materia quodammodo species accipit, facilius, quod in præsentia dicitur, concessurum : neque ulterius vel tanquam impossibile negaturum, vel rursus quicquam dubitaturum. Probabile namque necessariumque existimo, non ita disponi naturam, ut species quidem hinc seorsum positæ sint, materia vero illic locata seorsum, atque desuper alicunde illustratio quædam veniat in materiam. Verendum est enim, ne hoc forte sit dictu ridiculum; nempe quidnam foret in his hoc ipsum, quod dicitur procul atque seorsum? Præterea nonne cum explicatu difficile, tum ambiguitatis plenum foret, quod de participationis conditione modo tetigimus? Sed id quidem si quando dicatur, facile promptequе nimium sit adductum, quippe cum ad hujus notitiam perveniatur exemplis. Verum, si quando nos illustrationem quandam in medium introducimus, non ita dictum volumus, sicut in rebus sensui manifestis remota quædam a remotis illuminari videmus. Sed quoniam, quæ in materia sunt, imagines quædam sunt; ipsæ vero species exemplarium primorum obtinent ordinem, hæc ab illis emicare videntur, nosque in his illustrationis nomine utimur, propterea quod illustrator cum illustrato minime commiscetur. Oportet vero nunc loquentes exactius hæc non ita disponere, ut species ipsa hinc sit loco seorsum, deinde velut in aqua, sic in materia, idem fulgor inspiciatur : sed materiam existimandum est undique ideam velut attingere, rursusque nequaquam attingere, atque ita secundum se totam a specie reportare nonnihil, conferente ad id propinquitate, quatenus accipere potest nullo prorsus interveniente medio : neque rursus ita ut idea per totam discurrat materiam, sive superferatur, sed

τῇ ὕλῃ ἐστὶν οἷον πυρὸς ἡ ἰδέα, τὴν ἐν τοῖς στοιχείοις ὕλην ὑποβεβλημένην ὁ λόγος λαμβανέτω· αὐτὸ δὲ πῦρ, τὴν ὕλην οὐκ ἐγγενόμενον αὐτὸ τῇ ὕλῃ, μορφὴν πυρὸς κατὰ πᾶσαν τὴν πυρωθεῖσαν ὕλην παρέξεται. Ὄγκος δὲ πολὺς πῦρ τὸ πρῶτον ἔνυλον ὑποκείσθω γενόμενον. Ὁ γὰρ αὐτὸς λόγος καὶ ἐπὶ τῶν ἄλλων τῶν λεγομένων στοιχείων ἁρμόσει. Εἰ οὖν τὸ ἓν ἐκεῖνο πῦρ ἡ ἰδέα ἐν πᾶσι θεωρεῖται παρέχον εἰκόνα ἑαυτοῦ, καὶ τόπῳ χωρὶς ὂν οὐ παρέξει ὡς ἡ ἔλλαμψις ἡ ὁρωμένη, ἤδη γὰρ ἦν που πᾶν τοῦτο τὸ πῦρ τὸ ἐν αἰσθήσει, εἰ πάντα αὐτὸ πολλὰ ἦν ἑαυτοῦ, τῆς ἰδέας αὐτῆς μενούσης ἐν ἀτόπῳ, αὐτὸ τόπους γεννῆσαν ἐξ αὐτοῦ· ἐπείπερ ἔδει τὸ αὐτὸ πολὺ γενόμενον φυγεῖν ἀφ' ἑαυτοῦ, ἵν' ᾖ πολὺ οὕτως, καὶ πολλάκις μεταλάβῃ τοῦ αὐτοῦ. Καὶ οὐκ ἔδωκε μὲν ἑαυτῆς οὐδὲν τῇ ὕλῃ ἡ ἰδέα, ἀσκέδαστος οὖσα· οὐ μὴν ἀδύνατος γέγονεν ἓν οὖσα τὸ μὴ ἓν τῷ ἑνὶ αὐτῆς μορφῶσαι, καὶ παντὶ αὐτοῦ οὕτω παρεῖναι, ὡς ἄλλῳ μὲν μέρει αὐτῆς τόδε, ἄλλῳ δὲ ἄλλο μορφῶσαι, ἀλλὰ παντὶ ἕκαστον καὶ πᾶν. Γελοῖον γὰρ τὸ πολλὰς ἰδέας πυρὸς ἐπεισφέρειν, ἵν' ἕκαστον πῦρ ὑφ' ἑκάστης ἄλλης τὸ δὲ ἄλλης μορφοῖτο· ἄπειροι γὰρ οὕτως ἔσονται αἱ ἰδέαι. Εἶτα πῶς καὶ μεριεῖς τὰ γενόμενα συνεχοῦς πυρὸς ἑνὸς ὄντος; καὶ εἰ προσθείημεν τῇ ὕλῃ ταύτῃ ἄλλο πῦρ, μεῖζον ποιήσαντες αὐτό, καὶ κατ' ἐκεῖνο αὖ τὸ μέρος τῆς ὕλης φατέον τὴν αὐτὴν ἰδέαν τὰ αὐτὰ εἰργάσθαι· οὐ γὰρ δὴ ἄλλην.

potius in se ipsa permaneat. Si enim ipsa ignis idea in *materia minime jacet, materiam* vero nunc subjectam elementis accipiamus, ipse profecto ignis idealis materiam superans, nec inhaerens ipsi materiae, formam ignis per totam ignitam materiam exhibebit. Supponatur autem, ignem primum materialem, molem multam protinus esse factum. Eadem praeterea ratio ceteris congruet elementis. Si igitur ipse ignis idealis in omnibus prorsus inspicitur imaginem sui praebens, neque sic quidem praebet quasi loco sejunctus, qualis illuminatio est oculis manifesta; alioquin jam esset alicubi universus hic ignis coram sensu, si modo ipse totus multae sit partes: certe quandam sui praebet imaginem, dum ipsius idea consistit non circumscripta loco, sed ipsa loca generat ex se ipsa: alioquin oporteret ipsum, si modo multiplex secundum partes esset factus, a se diffugere, ut ita foret multus, et saepius particeps ejusdem fieret. Jam vero idea ipsa, cum secari non possit, nihil sui ipsius materiae praebuit, neque tamen, quamvis unum sit, extitit impotens ad illud, quod non est in ipsius unitate, formandum: neque etiam compulsa est adesse sic universo, ut alia quidem sui parte partem hanc universi, alia vero partem formaret illam, sed potius se tota quodlibet atque totum. Ridiculum namque foret multas idcirco ideas ignis inferre, ut unusquisque ignis a sua quadam idea, hic quidem ab illa, ille vero formetur ab alia: sic enim ideae innumerabiles essent. Praeterea quonam pacto, quae fiunt, commode partieris, si quidem ignis unus sit atque continuus? Tum vero, si huic materiae ignem alium adjungimus amplificantes illum, profecto secundum illam quoque materiae portionem concedendum est, eandem prorsus ideam eadem effecisse, neque enim aliam illic ideam fore quis dixerit.

Una mundi machina fabricata est ab una mente, et vegetatur ab una anima tota simul ubique praesente.

Sicut intra unam sphaeram multae sunt et multae cum ea pariter et distincte, sic penes unam animam animae multae. Anima mundi non ut punctum est ex multis, sed continetur; idea non habet certum in dimensione situm: nec rursus unum est ex multis, sed multas in se explicans multitudines; ideo tota potest multis et partibus et corporibus simul adesse, nec est ab illo disjuncta secundum locum, cum ipsa et loco et dimensioni sit anterior, et quantitatem praecedat atque locum. Denique cum non sustineatur ab ipsa mundi machina, sed eam ipsa sustineat, merito viget ubique tota: similiterque intellectus mundi faber.

Θ'. Καὶ τοίνυν, εἰ πάντα γενόμενα ἤδη τὰ στοιχεῖα τῷ λόγῳ τις εἰς ἓν σφαιρικὸν σχῆμα ἄγοι, οὐ πολλοὺς φατέον τὴν σφαῖραν ποιεῖν, κατὰ μέρη ἄλλον ἄλλο ἀποτεμνόμενον αὐτῷ εἰς τὸ ποιεῖν μέρος· ἀλλ' ἓν εἶναι τὸ αἴτιον τῆς ποιήσεως ὅλῳ ἑαυτῷ ποιοῦν, οὐ μέρους αὐτοῦ ἄλλου ἄλλο ποιοῦντος· οὕτω γὰρ ἂν πάλιν πολλοὶ εἶεν, εἰ μὴ εἰς ἓν ἀμερὲς ἀναφέροις τὴν ποίησιν, μᾶλλον δ', εἰ μὴ ἓν ἀμερὲς τὸ ποιοῦν τὴν σφαῖραν εἴη, οὐκ αὐτοῦ χυθέντος εἰς τὴν σφαῖραν τοῦ ποιοῦντος, ἀλλὰ τῆς σφαίρας ὅλης εἰς τὸ ποιοῦν ἀνηρτημένης· καὶ ζωὴ τοίνυν μία τὴν σφαῖραν ἔχει ἡ αὐτή, τῆς σφαίρας αὐτῆς τεθείσης ἐν ζωῇ μιᾷ· καὶ τὰ ἐν τῇ σφαίρᾳ τοίνυν πάντα εἰς μίαν ζωήν, καὶ πᾶσαι αἱ ψυχαὶ τοίνυν μία· οὕτω δὲ μία, ὡς ἄπειρος αὖ. Διὸ καὶ οἱ μὲν ἀριθμὸν ἔλεγον, οἱ δὲ αὐτὸν αὔξοντα τὴν φύσιν αὐτῆς, φαντασθέντες ταύτῃ ἴσως, ὡς οὐδενὶ ἐπιλείπει, ἀλλ' ἐπὶ πάντα ἐστίν, ἥ ἐστι μένουσα. Καὶ εἰ πλείων ὁ κόσμος ἦν, οὐκ ἂν ἐπέλιπεν ἡ δύναμις μὴ οὐκ ἐπὶ πάντα αὖ ἐλθεῖν, μᾶλλον δὲ τοῦτον ἐν πάσῃ αὐτῇ εἶναι. Δεῖ δ' ἄρα λαβεῖν τὸ αὖξον οὐχ ὡς τῷ ῥήματι λέγεται, ἀλλ' ὅτι οὐκ ἐπιλείπει εἰς τὸ πανταχοῦ, ἓν οὖσα· τοιοῦτον γὰρ αὐτῆς τὸ ἕν, ὡς μὴ τοιοῦτον εἶναι, οἷον μετρηθῆναι ὅσον· τοῦτο γὰρ φύσεως ἄλλης τῆς τὸ ἓν ψευδομένης καὶ

IX. Proinde, si ratione aliquis omnia elementa jam facta in unam circularem figuram ducit, certe non est dicendum, auctores multos sphaeram efficere, ita ut alius alibi distributus sit *ad partem efficiendam: sed unam esse fabricam* causam se tota perficientem, neque parte sui alia aliud fabricantem: alioquin multi rursus effectores forent, nisi in unum individuum totam fabricam referas: imo vero nisi unum impartibile sit sphaerae totius effector: neque tamen ita, ut auctor ipse diffundatur in sphaeram, sed tota sphaera suspensa penitus haereat auctori. Vita igitur una sphaeram habet eadem, atque sphaera in una vita locatur. Itaque et omnia, quae sunt in sphaera, in vitam rediguntur unam, ideoque et omnes animae una quodammodo sunt. Una vero sic est anima, ut rursus sit infinita: quam ob rem nonnulli animam numerum esse dixerunt; alii vero numerum ipsum tradiderunt naturam animae augere: ita forsan excogitantes, quia videlicet nusquam anima desit, sed per omnia extet, interea hoc ipsum, quod est, existens. Jam vero, si major adhuc foret mundus, nusquam animae vis ipsa deficeret, quominus per omnia rursus propagaretur, neque tamen per omnia curreret, imo vero universum hoc in universa anima foret. Tum vero hoc ipsum, quod diximus augere, non sic accipiendum est, ut verbo *profertur*: sed quoniam anima, etsi unum est, nusquam tamen deest universo: ipsum namque, quod ejus est unum, non tale est, ut, quantum sit, metiri liceat: hoc enim conditio alterius est naturae, quae falso sibi vindicat ipsum unum, et participatione quadam duntaxat assequitur, ut

μεταλήψει ἓν φανταζομένης. Τὸ δ' ἀληθείας ἐχόμενον ἕν, οἷον μήτε συγκεῖσθαι ἐκ πολλῶν ἕν, ἵν' ἀφαιρεθέντος τινὸς ἀπ' αὐτοῦ ἀπολωλὸς ᾖ ἐκεῖνο τὸ ὅλον ἕν, μήτε διειλῆφθαι πέρασιν, ἵνα μὴ ἐναρμοζομένων αὐτῷ τῶν ἄλλων ἢ ἐλαττοῖτο αὐτῶν μειζόνων ὄντων, ἢ διασπῷτο, βουλόμενον ἐπὶ πάντα ἰέναι, παρῇ τε οὐχ ὅλον πᾶσιν, ἀλλὰ μέρεσιν αὐτοῦ μέρεσιν ἐκείνων, καὶ τὸ λεγόμενον δὴ τοῦτο, ἀγνοῇ ὅπου γῆς ἐστιν, εἰς μίαν τινὰ συντέλειαν οὐ δυνάμενον ἰέναι, ἅτε διεσπασμένον ἑαυτοῦ. Εἴπερ οὖν ἀληθεύσει τὸ ἓν τοῦτο, καθ' οὗ δὴ καὶ κατηγορεῖν ἐστιν ὡς οὐσίας τὸ ἕν, δεῖ αὐτὸ φανῆναι τρόπον τινὰ τὴν ἐναντίαν αὐτῷ φύσιν ἔχον τὴν τοῦ πλήθους ἐν τῇ δυνάμει, τὸ δὲ μὴ ἔξωθεν αὐτὸ πλῆθος τοῦτο ἔχειν, ἀλλὰ παρ' αὐτοῦ καὶ ἐξ αὐτοῦ τούτῳ ἓν ὄντως εἶναι καὶ ἐν τῷ ἑνὶ ἔχειν τὸ εἶναι, ἄπειρόν τε καὶ πλῆθος. Τοιοῦτον δὲ ὄν, πανταχοῦ ὅλον φαίνεσθαι ἕνα λόγον ὄντα, ἑαυτὸν περιέχοντα· καὶ τὸν περιέχοντα αὐτὸν εἶναι, καὶ τὸν περιέχοντα αὐτὸν οὐδαμοῦ αὐτοῦ ἀποστατοῦντα, ἀλλ' ἐν αὐτῷ πανταχοῦ ὄντα· οὐ δή ἐστιν αὐτὸ οὕτως ἄλλου τόπῳ διειλημμένον. Πρὸ γὰρ τῶν ἐν τόπῳ ἁπάντων ἦν ὄν, καὶ οὐδὲν ἐδεῖτο αὐτὸ τούτων, ἀλλὰ ταῦτα ἐκείνου, ἵνα ἱδρυθῇ. Ἱδρυθέντα δὲ οὐκ ἀπέστησεν ἐκεῖνο τῆς αὐτοῦ ἐν αὐτῷ ἕδρας. Κινηθείσης γὰρ ἐκείνης ἀπώλετο ἂν αὐτά· ἀπολομένης αὐτῶν τῆς βάσεως καὶ τοῦ στηρίζοντος αὐτά· οὐδ' αὖ ἐκεῖνο οὕτως ἀνόητον ἦν, ὥστε ἀπαλλαγὲν αὐτὸ ἑαυτοῦ διασπασθῆναι, καὶ σωζόμενον ἐν ἑαυτῷ ἀπίστῳ δοῦναι ἑαυτὸ τόπῳ τῷ αὐτοῦ πρὸς τὸ σώζεσθαι δεομένῳ.

appareat unum. Quod autem veritate quadam est unum, tale prorsus exsistit, ut non sit unum ex multis accumulatum, ne forte quodam inde sublato, totum illud unum intereat. Tale rursus, ut nullis aliunde terminis separetur, ne adhibitis ei quandoque ceteris vel minus evadat, ubi sint illa majora, vel cupiens dilatari per omnia dissipetur, atque ita non totum omnibus adsit, sed per partes proprie suas illorum partibus appropinquet. Itaque (sicut dici solet) ubinam gentium sit, prorsus ignoret, quippe cum in unam continuationem conspirationemque pervenire non possit, utpote quod est a se ipso divulsum. Si hoc igitur re vera ipsum sibi unum vindicat, de quo sane tanquam de essentia unum liceat prædicare: oportet ipsum videri quodammodo oppositam sibi naturam, id est multitudinem, sua quadam potentia continere, neque ab externis hanc multitudinem mutuari, sed penes se ipsum, atque ex se ipso, esseque re vera unum, atque in ipso uno habere hoc ipsum, ut sit infinitum atque multitudo. Cum vero ejusmodi sit, necessarium est ubique totum esse unam in se rationem exsistentem, item se comprehendentem, ipsumque comprehensorem ipsummet exsistere, adeo ut comprehendens ipsum nullo modo distet ab ipso, sed in ipso exsistat ubique, ubicumque sit ipsum: quod quidem a nullo est limitibus loci disjunctum: neque certe sic ipsum est alterius loco disjuncti, siquidem ipsum est ante omnia, quæ sunt in loco: neque iis ipsum indiget, sed hæc illo potius egent, ut fundentur in eo. Ubi vero hæc in eo fundata sunt, illud nequaquam e propria sede discedit, quæ sane nihil aliud est, quam in se ipso sedere. Si enim moveatur ipsa, protinus illa perduntur: quippe cum eorum sublatum sit fundamentum, cui quidem ea sistenti prius innitebantur: atqui nec ipsum est adeo demens, ut a se ipso discedens dissolutionis discrimen aliquando subeat, et, cum in se ipso penitus conservetur, temere tamen infido se committat loco, qui procul dubio illo potius indiget, quo servetur.

Hæc tria rerum principia sunt ubique: ipsum bonum: item divinus intellectus, qui ipsa pulchritudo est: rursus vita mundi. Hæc occultis tractibus ad se omnia rapiunt, colliguntque in unum appetentia bonum, et pulchritudinem, atque vitam.

Superna bonitas, intelligentia, vita, eadem adest ubique tota, sufficitque cunctis: quoniam addicta nulli permanet in se ipsa. Præterea sicut oculi multi uno solis lumine passim toto fruuntur: sic omnes intellectuales animæ uno intelligentiæ primæ lumine potiuntur, et ubique præsente, et nusquam diviso, in quo et cunctæ sunt unum. Uno similiter bono cuncta vescuntur absente nusquam, una quinetiam vita ubique vigente spirant. Unio vero rerum in mundo corporeo distantiæ discordiæque pleno nulla foret, nisi supernus ille mundus et habitatores ejus unionem mirabilem possiderent: quos quidem habitatores secundum essentias interim inter se differre in hoc capite et in multis aperit.

Ι'. Μένει οὖν ἐν ἑαυτῷ σωφρονοῦν, καὶ οὐκ ἂν ἐν ἄλλῳ γένοιτο· ἐκεῖνα δὲ τὰ ἄλλα ἀνήρτηται εἰς αὐτό, ὥσπερ οὗ ἐστι πόθῳ ἐξευρόντα, καὶ οὗτός ἐστιν ὁ θυρυλῶν ἔρως, παρὼν ἔξωθεν ἀεὶ καὶ ἐφιέμενος τοῦ καλοῦ, καὶ ἀγαπῶν ἀεὶ οὕτως, ὡς δύναιτο μετασχεῖν. Ἐπεὶ καὶ ὁ ἐνταῦθα ἐραστὴς οὐ δεχόμενος τὸ κάλλος, ἀλλὰ παρακείμενος οὕτως ἔχει· τὸ δὲ ἐφ' ἑαυτοῦ μένει, καὶ οἱ ἑνὸς ἐρασταὶ πολλοί, ὅλου ἐρῶντες, ὅλον ἔχουσιν οὕτως, ὅταν ἔχωσι· τὸ γὰρ ὅλον ἦν τὸ ἐρώμενον. Πῶς ἂν οὖν ἐκεῖνο οὐκ ἂν πᾶσιν ἀρκοῖ μένον; ἐπεὶ καὶ διὰ τοῦτο ἀρκεῖ, ὅτι μένει· καὶ καλόν, ὅτι πᾶσιν ὅλον· καὶ γὰρ καὶ τὸ φρονεῖν πᾶσιν ὅλον, διὸ καὶ ξυνὸν τὸ φρονεῖν, οὐ τὸ μὲν ὧδε, τὸ δὲ ὡδὶ ὄν. Γελοῖον γὰρ καὶ τόπου δεόμενον τὸ φρονεῖν ἔσται· καὶ οὐχ οὕτω τὸ φρονεῖν, ὡς τὸ λευκόν, οὐ γὰρ σώματος τὸ φρονεῖν· ἀλλ' εἴπερ ὄντως μετέχομεν τοῦ φρονεῖν, ἓν δεῖ εἰς τὸ αὐτὸ πᾶν ἑαυτῷ συνόν· καὶ οὕτως ἐκεῖθεν, οὐ μοίρας αὐτοῦ λαβόντες, οὐδὲ ὅλον ἐγώ, ὅλον δὲ καὶ σύ, ἀποσπασθὲν

X. Permanet igitur illud in se ipso sapientia pollens, neque aliis unquam hæret: reliqua vero ex eo continue pendent, utpote quæ, ubi illud sit, ipso inveniant desiderio: atque hic est ille amor, quo plerique affecti ad amatæ rei fores pernoctare feruntur: amor, inquam, extrinsecus semper assistens, pulchrumque desiderans, satisque sibi factum existimans, si modo, quoad possit, aliquando potiatur. Nam et superni illius amator ipsam quidem non accipit pulchritudinem, sed quadam propinquitate participat: illa vero in se ipsa consistit, multique unius sunt amatores: amantes totum, et, quando habent, pro viribus totum habentes: totum enim ipsum est, quod amatur. Quidnam igitur prohibet, quominus illud sufficiat omnibus, dum permanet in se ipso? Quandoquidem ob hoc ipsum omnibus satisfacit, quoniam permanet, et propterea pulchrum est, quoniam omnibus totum adest. Jam vero et ipsa intelligentia tota omnibus adest, quapropter communis intelligentia est: neque hæc quidem intelligentia hic proprie, illa vero illic exsistit. Ridiculum namque aliquid erit, si loco quodam indigeat, neque profecto sic passim se habet intelligentia sicut albedo. Non enim corporis officium est intelligere: verum si modo intelligentiæ re vera participes sumus, in unum aliquid atque idem secum ipso totum simul exsistens necessario conspiramus. Neque sic inde accipimus, ut portiones quasdam illius percipiamus: neque rursus ita, ut totum ego habeam, et tu habeas totum

ἑκάτερον ἑκατέρου. Μιμοῦνται δὲ καὶ ἐκκλησίαι καὶ πᾶσα σύνοδος, ὡς εἰς ἓν τὸ φρονεῖν ἰόντων· καὶ χωρὶς ἕκαστος εἰς τὸ φρονεῖν ἀσθενής, συμβάλλων δὲ εἰς ἓν πᾶς ἐν τῇ συνόδῳ, καὶ τῇ ὡς ἀληθῶς συνέσει, τὸ φρονεῖν ἐγέννησε καὶ εὗρε. Τί γὰρ δὴ καὶ διείρξει, ὥς μὴ ἐν τῷ αὐτῷ εἶναι νοῦν ἀπ' ἄλλου; ἀλλ' ὁμοῦ ὄντες ἡμῖν οὐχ ὁμοῦ δοκοῦσιν εἶναι· οἷον εἴ τις πολλοῖς τοῖς δακτύλοις ἐφαπτόμενος τοῦ αὐτοῦ, ἄλλου καὶ ἄλλου ἐφάπτεσθαι νομίζοι, ἢ τὴν αὐτὴν χορδὴν μὴ ὁρῶν κρούοι· καίτοι καὶ ταῖς ψυχαῖς ὡς ἐφαπτόμεθα τοῦ ἀγαθοῦ ἐχρῆν ἐνθυμεῖσθαι. Οὐ γὰρ ἄλλου μὲν ἐγώ, ἄλλου δὲ σὺ ἐφάπτῃ, ἀλλὰ τοῦ αὐτοῦ. Οὐδὲ τοῦ αὐτοῦ μέν, προσελθόντος δέ μοι ῥεύματος ἐκεῖθεν ἄλλου, σοὶ δὲ ἄλλου, ὥστε τὸ μὲν εἶναί που ἄνω, τὰ δὲ παρ' αὐτοῦ ἐνταῦθα, καὶ τὸ διδὸν τοῖς λαμβάνουσιν, ἵνα ὄντως λαμβάνωσι, καὶ δίδωσι τὸ διδὸν οὐ τοῖς ἀλλοτρίοις, ἀλλὰ τοῖς ἑαυτοῦ. Ἐπεὶ οὐ πόμπιμος ἡ νοερὰ δόσις, ἐπεὶ καὶ ἐν τοῖς διεστηκόσιν ἀπ' ἀλλήλων τοῖς τόποις σώμασιν ἡ δόσις ἄλλου τῇ ἄλλου συγγενής, καὶ εἰς αὐτὸ ἡ δόσις καὶ ἡ ποίησις, καὶ τό γε σωματικὸν τοῦ παντὸς δρᾷ καὶ πάσχει ἐν αὐτῷ, καὶ οὐδὲν ἔξωθεν εἰς αὐτό. Εἰ δὴ ἐπὶ σώματος οὐδὲν ἔξωθεν τοῦ ἐκ φύσεως, οἷον φεύγοντος ἑαυτὸ ἐπὶ πράγματος ἀδιαστάτου, πῶς τὸ ἔξωθεν; ἐν τῷ αὐτῷ ἄρα ὄντες καὶ ὁρῶμεν τἀγαθὸν καὶ ἐφαπτόμεθα αὐτοῦ, ὁμοῦ ὄντες τοῖς ἡμετέροις νοητοῖς. Καὶ κόσμος εἷς πολὺ μᾶλλον ἐκεῖ, ἢ δύο κόσμοι αἰσθητοὶ ἔσονται, ὁμοίως μεμερισμένοι, καὶ ἡ σφαῖρα ἡ νοητή, εἰ οὕτως ἕν, ὡς αὕτη· ὥστε διοίσει, ἢ γελοιοτέρα ἔσται, εἴπερ τῇ μὲν ἐξ ἀνάγκης ὄγκος εὔλογος, ἡ δὲ μηδὲν δεομένη ἐκτενεῖ ἑαυτὴν καὶ ἑαυτῆς ἀποστήσεται. Τί δὲ καὶ ἐμπόδιον τοῦ εἰς ἕν; οὐ γὰρ δὴ τὸ ἕτερον ἀπωθεῖ θάτερον, τόπον οὐ παρέχον, ὥσπερ οὐχ ὁρῶντες πᾶν μάθημα καὶ θεώρημα, καὶ ὅλως ἐπιστήμας πάσας ἐπὶ ψυχῆς οὐ στενοχωρουμένας· ἀλλ' ἐπὶ οὐσιῶν φήσει τις οὐ δυνατόν· ἀλλ' οὐ δυνατὸν ἦν ἄν, εἴπερ ὄγκοι ἦσαν αἱ ἀληθιναὶ οὐσίαι.

dividunt alterutrum an alterutro. Id quidem conciones coetusque investigantium imitantur, tanquam in unum concurrant intelligentiam, et unusquisque seorsum sit ad sapientiam impotens. Cum vero in ipsa coitu vergunt ad intelligendum copula omnes conficiunt conferuntque in unum, intelligentiam generant et inveniunt. Quid enim prohibere potest, quominus intellectus ab alio alioque alio sit in eodem? Sed profecto quamvis intelligentes illi ad idem nobiscum congregantur, non tamen simul congregati nobis videntur: perinde ac si quis rem eandem digitis simul multis attingens, aliud interim atque aliud se opinetur attingere: aut si eandem chordam in lyra quispiam pulset, se illam pulsare non videns: quanquam considerandum nobis erat, quemadmodum bonum animabus attingamus. Non enim aliud ego bonum attingo, aliud autem tu, sed idem. Neque rursus sic attingimus idem, ut inde in me quidem aliud, in te vero aliud affluat, adeo ut illud alicubi superne sit situm, munera vero ejus ad haec nostra descendant: sed oportet largitorem ipsum accipientibus proxime adesse, ut ea vera illinc accipiant: et qui largitur, non alienis, sed suis elargiatur. Intellectualis namque largitio non more transmissionis cujusdam mutuae peragitur: quandoquidem et corporibus ipsis inter se loco distantibus munus saepe persaepe aliis simul aliisque attribuitur, traditioque et effectio fertur in idem. Quin etiam universi corpus agit ac patitur in se ipso, neque quicquam ab externis accedit ad ipsum. Si igitur in corpus ipsum nihil extrinsecus incidit, quod tamen quasi natura quasi se ipsum fugit, in re certo ipsa nullam distantiam patiente, quonam modo externum aliquid habet locum? Quam ob rem existentes in eodem bonum ipsum et videmus et tangimus existentes, inquam, simul, illud que nostris intelligibilibus attingentes. Et profecto mundus illic multo magis, quam hic, est unus: alioquin duo mundi sensibiles erunt, divisi similiter, ipsaque intelligibilis sphaera sensibilis erit, si modo non aliter, atque haec nostra, sit unum. Quapropter admodum nullatenus praestabit, aut certe ridiculosior erit, siquidem necessitate quadam huic sphaerae moles conveniens sit, illa vero extensione non indigens sese protendat et a se ipsa discedat. Denique quidnam illic impedimenti est, quominus in unum omnia conspirent? Non enim alterum, ibi quasi non concedens locum, repellit alterum: quemadmodum neque qui doctrinam contemplationemque universam conspiciunt et omnino scientias numeris in anima minime coarctatas. Si quis autem objiciat, unionem hanc non posse in essentiis fieri, respondebo equidem, tum demum fieri minime posse, si modo essentiae verae moles exstiterint.

Mens divina, sicut per individuam aeternitatem, quae temporis causa est, totum tempus adaequat et superat, ita per indivisibilem essentiam virtutemque infinitam totum spatium obtinet et excedit, ipsa videlicet spatium, et quae sunt in eo, ubique procreans et conservans.

sicut enim se habet totum tempus ad individuum illius statum, sic tota dimensio ad excellentem substantiae indivisibilis potestatem: est enim et ibi cum perseverantiae tum virtutis immensitas, et hic imago quaedam muneris utriusque.

ΙΑ'. Ἀλλὰ πῶς τὸ ἀδιάστατον παρήκει παρὰ πᾶν σῶμα, μέγεθος τοσοῦτον ἔχον; καὶ πῶς οὐ διασπᾶται ἓν ὂν καὶ ταὐτόν; ὃ πολλάκις ἠπόρηται, παύειν τοῦ λόγου τὸ ἄπορον τῆς διανοίας περὶ τῇ προθυμίᾳ βουλομένου. Ἀποδέδεικται μὲν οὖν ἤδη πολλαχῇ, ὅτι οὕτως· δεῖ δέ τινων καὶ παραμυθιῶν, καίτοι οὐκ ἐλάχιστον, ἀλλὰ μέγιστον εἰς πειθὼ ἦν ἐκείνη ἡ φύσις, οἷά ἐστι, διδαχθεῖσα, ὅτι οὐκ ἔστιν οἷα λίθος, οἷον κύβος τις μέγας κείμενος, οὗ κεῖται, τοσοῦτον ἐπέχων, ὅσος ἐστίν, ἐκβαίνειν οὐκ ἔχων τοὺς αὐτοῦ ὅρους, μετρηθεὶς ἐπὶ τοσοῦτον καὶ τῷ ὄγκῳ καὶ τῇ συμπεριγραφείσῃ ἐν αὐτῷ τῇ τοῦ λίθου δυνάμει· ἀλλ' οὖσα πρώτη φύσις, καὶ οὐ μετρηθεῖσα οὐδὲ ὁρισθεῖσα, ὁπόσον δεῖ εἶναι, ταύτῃ γὰρ ἑτέρα μετρηθήσεται· πᾶσα δ' ἐστι δύναμις οὐδα-

XI. Ceterum quonam modo, quod nullam in se dimensionem habet, per universum corpus pertingit tanta magnitudine praeditum? Curve non dispergitur propagatione ejusmodi, cum unum idemque per omnia porrigatur? Quod quidem saepe in dubium jam adduximus, properantes affectantes dubitationi quandoque finem imponere. Demonstratum est igitur saepe jam, sic se habere, sed operae pretium est etiam persuasiones afferre, quanquam non minimum, imo vero plurimum ad persuasionem contulit illa ipsa natura, qualis videlicet sit, ostensa: similiterque cernere videtur, si cogitemus, eam non esse velut ingens saxum alicubi situm: atque ubi situm est, quantum est, tantumdem occupans, neque potens eosdem limites pertransire: quippe cum mensuram certam habeat quantitatis, mensuram etiam habeat potestatis in natura lapidea circumscriptae. Imo vero cum illa sit prima natura, neque mensurata, neque determinata, quanta debeat esse: haec enim natura potius altera mensuratur, nimirum universa potestas existit nullo modo tanta vel tanta. Quam

μοῦ τοσῄδε. Διὸ οὐδ' ἐν χρόνῳ, ἀλλὰ παντὸς χρόνου ἔξω τοῦ μὲν χρόνου σκιδναμένου ἀεὶ πρὸς διάστασιν, τοῦ δ' αἰῶνος ἐν τῷ αὐτῷ μένοντος καὶ κρατοῦντος, καὶ πλείονος ὄντος δυνάμει ἀιδίῳ, τοῦ ἐπὶ πολλὰ δοκοῦντος ἰέναι χρόνου, οἷον εἰ γραμμῆς εἰς ἄπειρον ἰέναι δοκούσης, εἰς σημεῖον ἀνηρτημένης, καὶ περὶ αὐτὸ θεούσης, πανταχῆ, οὗ ἂν δράμῃ, τοῦ σημείου αὐτῇ ἐμφανταζομένου, αὐτοῦ οὐ θέοντος, ἀλλὰ περὶ αὐτὸ ἐκείνης κυκλουμένης. Εἰ τοίνυν χρόνος πρὸς τὸ ἐν τῷ αὐτῷ μένον ἐν οὐσίᾳ ἔχει τὴν ἀναλογίαν, ἔστι δὲ ἐκείνη ἡ φύσις οὐ μόνον τῷ ἀεὶ ἄπειρος, ἀλλὰ καὶ τῇ δυνάμει, χρὴ καὶ πρὸς ταύτην τὴν ἀπειρίαν τῆς δυνάμεως ἀντιπαραθέουσαν ἀποδοῦναι φύσιν, ἀνταιωρουμένην καὶ ἐξηρτημένην ἐκείνης, ταύτης τὰ ἴσα πως τῷ χρόνῳ θεούσης, πρὸς μένουσαν δύναμιν, πλείω οὖσαν τῷ ποιεῖν· ἐκείνη δ' ἐστὶν, ὅσον παρετάθη. Τίς οὖν αὕτη ἐστὶν ἡ μεταλαμβάνουσα ταύτης τῆς φύσεως, καθ' ὅσον οἷόν τε αὐτῇ μεταλαβεῖν; πάσης μὲν παρούσης, οὐ παντὶ δὲ πάσης ἐνορωμένης ἀδυναμίᾳ τοῦ ὑποκειμένου. Πάρεστι δὲ ταὐτὸν πάντῃ, οὐχ ὡς τὸ ἔνυλον τρίγωνον ἐν πολλοῖς πλείω ὂν ἀριθμῷ ταὐτὸν, ἀλλ' ὡς τὸ ἄϋλον αὐτὸ, ἀφ' οὗ καὶ τὰ ἐν ὕλῃ. Διὰ τί οὖν οὐ πανταχοῦ τρίγωνον ἔνυλον, εἴπερ πανταχοῦ τὸ ἄϋλον; ὅτι οὐ πᾶσα μετέσχεν ὕλη, ἀλλὰ ἄλλο τι ἔχει, καὶ οὐ πᾶσα πρὸς πᾶν, ἐπεὶ οὐδὲ ἡ πρώτη πᾶσα πρὸς πᾶν, ἀλλὰ πρὸς τὰ πρῶτα τῶν γενῶν, εἶτ' ἐπὶ τούτοις ἄλλα· παρῆν μέντοι παντί.

ob rem neque etiam est in tempore, sed extra omne tempus exsistit, *dum videlicet tempus quidem per intervalla* continue spargitur : æternitas autem in se ipsa eodem habitu permanet, continetque et superat, ampliorque exsistit tempore per potentiam sempiternam, quamvis hoc ipsum *in plurima videatur excrescere.* Veluti si linea quædam per immensum procedere videatur, veruntamen semper redigatur ad signum, circaque ipsum currat, et, quocumque currit, in ea signum conspiciatur : quod quidem minime currat, sed illa potius circa ipsum se undique volvat. Si ergo tempus ad illud, quod in eodem permanet, in essentia analogicam quandam proportionem habet, est autem illa natura non solum ob ipsam sempiternitatem, sed etiam propter excessum potentiæ infinita, oportet sane ad hanc quoque virtutis infinitatem consequenter reddere naturam quandam e contra et æque currentem : quæ quidem e contra pariter elevetur, pendeatque ex illa, dum vis altera secundum tempus æque percurrit una cum virtute manente. Et profecto virtus illa propterea est amplior, quoniam efficit, ut ad amplitudinem suam pro viribus universum amplificetur. *Quænam igitur est hæc, quæ naturæ hujus* est particeps, quoad particeps esse potest? Dum profecto natura hæc adest ubique tota, neque tamen in quolibet tota perspicitur infirmitate subjecti. Adest autem illud penitus *universo, non quemadmodum materialis triangulus* idem quodammodo in multis numero plura, sed quemadmodum immaterialis ipse triangulus, a quo, qui in materia sunt, pendent. Sed cur materialis triangulus non *est ubique, siquidem immaterialis ubique viget?* Quoniam videlicet non omnis materia particeps est effecta, sed et aliud quiddam habet : neque enim omnis accommodatur ad omne : quandoquidem neque omnis illa prima ad omne se statim adhibuit, sed in primis ad genera prima, deinde per hæc ad reliqua : veruntamen natura superior æque aderat universo.

Vita in mundo duplex, scilicet intellectualis et animalis, est et ab omni mole penitus expedita, et vigore vitali efficaciaque infinita; ideo cunctas machinæ mundanæ partes ipsa tota impartibilis pariter obtinet atque vegetat.

Anima quoque tua, quamvis per vires inferiores tuo corpori sit addicta, tamen per intellectum est universum, per rationem vero media. Quando igitur ratio et se et vires inferiores convertit ad intellectum, totus animus tuus fit universum. Tunc de vita illa universi ubique regnante non diffidis, quoniam et ipse ferme similiter es ubique. Ubique sunt et dii omnes, animarum civitatumque rectores, ad primum omnia dirigentes.

ΙΒ'. Πάρεστιν οὖν πῶς; ὡς ζωὴ μία· οὐ γὰρ μέχρι τινὸς ἐν ζώῳ ἡ ζωὴ, εἶτ' οὐ δύναται εἰς ἅπαν φθάσαι, ἀλλὰ πανταχοῦ. Εἰ δέ τις ζητεῖ πάλιν, πῶς, ἀναμνησθήτω τῆς δυνάμεως ὅτι μὴ ποσὴ, ἀλλ' εἰς ἄπειρον διαιρῶν τῇ διανοίᾳ, ἀεὶ ἔχει δύναμιν τὴν αὐτὴν βυσσόθεν ἄπειρον· οὐ γὰρ ἐν ζωῇ τὴν ὕλην, ἵνα τῷ μεγέθει τοῦ ὄγκου συνεπιλείπῃ εἰς μικρὸν ἐλθοῦσα. Ἐὰν οὖν λάβῃς ἀέναον ἐν αὐτῇ ἀπειρίαν, φύσιν ἀκάματον καὶ ἄτρυτον καὶ οὐδαμῇ ἐλλείπουσαν ἐν αὐτῇ, οἷον ὑπερζέουσαν ζωῇ, ἤ που ἐπιβαλὼν, ἢ πρός τι ἀτενίσας, οὐχ εὑρήσεις ἐκεῖ; Τοὐναντίον δ' ἂν σοι γένοιτο· οὐ γὰρ σύ γε ὑπερβήσῃ παρελθὼν, οὐδὲ αὖ στήσῃ εἰς μικρὸν, ὡς οὐκέτι ἐχούσης διδόναι ἐν τῷ κατὰ μικρὸν ἐπιλιπεῖν. Ἀλλ' ἢ συνθεῖν δυνηθεὶς, μᾶλλον δὲ ἐν τῷ παντὶ γενόμενος, οὐδὲν ἔτι ζητήσεις, ἢ ἀπειπὼν παρεκβήσῃ εἰς ἄλλο, καὶ πεσῇ παρὼν, οὐκ ἰδὼν τῷ εἰς ἄλλον βλέπειν. Ἀλλ' εἰ οὐδὲν ἔτι ζητήσεις, πῶς ποτε τοῦτο πείσῃ; ἢ ὅτι παντὶ προσῆλθες, καὶ οὐκ ἔμεινας ἐν μέρει αὐτοῦ, οὐδ' εἶπας οὐδὲ σὺ, τοσοῦτός εἰμι, ἀφεὶς δὲ τοσοῦτον, γέγονας πᾶς, καίτοι καὶ πρότερον ἦσθα πᾶς. Ἀλλ' ὅτι καὶ ἄλλο τι προσῆν σοι μετὰ τὸ πᾶν, ἐλάττων ἐγίγνου τῇ προσθήκῃ· οὐ γὰρ ἐκ τοῦ παντὸς ἦν ἡ

XII. Sed quomodo adest? profecto tanquam vita una. Vita enim in animali non usque ad certum quiddam duntaxat extenditur, ultra quod per totum progredi nequeat, imo se fundit per universum. Si quis autem quærat iterum, quonam modo, meminisse debet, vim ipsam vitæ non esse proprie tantam, imo, si cogitatione partiatur in infinitum, semper occurrit vis eadem funditus infinita. Non enim ipsa vita in se materiam habet, cujus causa una cum magnitudine molis in parvum rursusque parvum lapsa deficiat. *Si igitur infinitatem in ea perpetuo vigentem* accipias, naturam indefessam prorsusque inviolatam, nec ullo modo, nec usquam in se ipsa deficientem, tanquam vita prorsus exuberantem, putasne, quoquam intueri te posse, *vel ad aliquid mentem affigere, ubi non reperias eam?* Contra vero tibi continget : non enim tu procedens transgrediens, neque rursus in parvo quodam sistes gradum, quasi non habeat illa, quod tribuat ultra, propterea quod gradatim per parva deficiat. At si concurrere valeas, imo vero si in universo consistens nihil ultra requiras, ita demum illius ubique præsentiam consequeris : alioquin, si id nequeas, aut renuas, in aliud quiddam protinus excides, ac præsens decides, et id quidem nequaquam advertens, propterea quod alio prospicias. Verum si nihil ultra quæsiveris, quonam pacto sic affectus evades? Profecto ex eo, quod accesseris universo, neque in ejus parte restiteris, adeo ut neque tu quidem dicas, Equidem tantus sum duntaxat : nempe ubi hoc ipsum, quod tantum proprie dicitur, prorsus omiseris, factus es universus, tametsi prius quoque universus eras. Sed quoniam aliud insuper aliquid tibi præter et post universum aderat, minor adjunctione ejusmodi evasisti. Non enim ex universo tibi erat adjun-

προσθήκη· οὐδὲν γὰρ ἐκείνῳ προσθήσεις, ἀλλὰ τῷ μὴ παντός. Γενόμενος δέ τις καὶ ἐκ τοῦ μὴ ὄντος, ἐστὶν οὐ πᾶς· ἀλλ' ὅταν τὸ μὴ ὂν ἀφῇ, αὔξεις τοίνυν σεαυτὸν ἀφεὶς τὰ ἄλλα, καὶ πάρεστί σοι τὸ πᾶν ἀφέντι· μετὰ δὲ ἄλλων ὄντι οὐ φαίνεται, οὐκ ἦλθεν, ἵνα παρῇ, ἀλλὰ σὺ ἀπῆλθες, ὅτε οὐ πάρεστιν. εἰ δ' ἀπῆλθες, οὐκ ἀπ' αὐτοῦ (αὐτὸ γὰρ πάρεστιν) οὐδὲ τότε ἀπῆλθες, ἀλλὰ παρὼν, ἐπὶ τὰ ἐναντία ἐστράφης· οὕτω γὰρ καὶ οἱ ἄλλοι θεοὶ, πολλῶν παρόντων, ἑνὶ φαίνονται πολλάκις, ὅτι ὁ εἷς ἐκεῖνος μόνος δύναται βλέπειν· ἀλλ' οὗτοι μὲν οἱ θεοὶ, ὅτι παντοῖοι τελέθοντες, ἐπιστρωφῶσι τὰς πόληας· εἰς ἐκεῖνον δὲ αἱ πόλεις ἐπιστρέφονται, καὶ πᾶσα γῆ, καὶ πᾶς οὐρανὸς, πανταχοῦ ἐπ' αὐτοῦ καὶ ἐν αὐτῷ μένοντα, καὶ ἔχοντα ἐξ αὐτοῦ τὸ ὂν καὶ τὰ ἀληθῶς ὄντα, μέχρι ψυχῆς καὶ ζωῆς ἐνὸς τεινόμενα, καὶ εἰς ἓν ἰόντα ἀμεγέθει τῷ ἀπείρῳ.

eris: nam nihil illi unquam adjunxeris, sed ex quo non universo pullus erat. Jam vero, quicumque fit aliquis, ipse fit ex non ente, jam est minime universus. Sed tunc ipse vero universus existit, quando non ens omnino dimiserit. Itaque te ipsum auges, quando dimittis alia, tunc et universum tibi adest cetera dimittenti. Dum vero es una cum ceteris, illud tibi minime fulget: sed enim, quando fulget, non accessit, ut adsit. Tum vero tu inde discesseras, quando nunquam praesto aderat, sed neque etiam alio quoquam abiit; sed dum etiam esses praesens, ad contraria devertisti. Eadem ratione ceteri quoque dii saepe, cum multi sint, uni praesentes, uni tamen apparent: quoniam ille solus omnino suspicere potest. Sed hi quidem dii, prorsus omnigeni per urbes ubique civitates ad meliora convertunt: civitates autem in superum illum denique convertuntur, in illum tota tellus, in illum denique caelum, ubique penes ipsum et in ipso perseverantia. Ex illo quinetiam, quae vero sunt entia, ens ipsum habent, usque ad animam atque vitam, illinc pendentia, et cuncta in unum infinitum infinito abeunt magnitudine (id est unum infinitum, quod sine magnitudine infinitum est).

# ΕΝΝΕΑΔΟΣ Ϛ

## ΛΟΓΟΣ Ϛ.

### ΠΕΡΙ ΑΡΙΘΜΩΝ.

# ENNEADIS SEXTÆ

## LIBER VI.

### DE NUMERIS.



Si unum ipsum bonumque idem est, merito multitudo, quo longius discedit ab uno atque unione, eo fit deterior. Igitur si fingatur multitudo vel infinita, vel quomodolibet unitatis expers, erit ipsum malum.

Maxime unita secum ipsa est species quælibet separata et idea cujusque, quoniam essentia simplex et individua est. Minus unita secum ipsa est species naturalis per corporis partes extensa, etiam quamdiu continuitatem suam servat: ergo minus bonum. Minimum unitatis habet multitudo discreta contingens dissolutione continui: ergo malum. Quod vero nullam unionem servare fingitur, appellatur maxime malum.

Α'. Ἆρ' ἔστι τὸ πλῆθος ἀπόστασις τοῦ ἑνὸς, καὶ ἡ ἀπειρία ἀπόστασις παντελὴς τῷ πλῆθος ἀνάριθμον εἶναι, καὶ διὰ τοῦτο κακὸν εἶναι ἡ ἀπειρία, καὶ ἡμεῖς κακοὶ, ὅταν πλῆθος; Καὶ γὰρ πολὺ ἕκαστον, ὅταν, ἀδυνατοῦν εἰς αὐτὸ μένειν, χέηται καὶ ἐκτείνηται σκιδνάμενον, καὶ πάντῃ μὲν στερισκόμενον ἐν τῇ χύσει τοῦ ἑνὸς, πλῆθος γίγνεσθαι [l. γίγνηται], οὐκ ὄντος τοῦ ἄλλο πρὸς ἄλλο μέρος αὐτοῦ ἑνοῦντος. Εἰ δ' ἔτι γένοιτο, ἀεὶ χεόμενον μένον μέγεθος γίνεται. Ἀλλὰ τί δεινὸν τῷ μεγέθει; ἢ εἰ ᾐσθάνετο, ἦν ἂν ἀφ' ἑαυτοῦ γὰρ γενόμενον, καὶ ἀφιστάμενον εἰς τὸ πόῤῥω, ᾐσθάνετο. Ἕκαστον γὰρ οὐκ ἄλλο, ἀλλ' αὑτὸ ζητεῖ. Ἡ δ' ἔξω πορεία μάταιος ἢ ἀναγκαία. Μᾶλλον δέ ἐστιν ἕκαστόν, οὐχ ὅταν γένηται πολὺ ἢ μέγα, ἀλλ' ὅταν ἑαυτοῦ ᾖ· ἑαυτοῦ δὲ ἔστι πρὸς αὑτὸ νενευκός. Ἡ δὲ ἔφεσις ἡ πρὸς τὸ οὕτω μέγα, ἀγνοοῦντός ἐστι τὸ ὄντως μέγα, καὶ σπεύδοντος οὐχ οὗ δεῖ, ἀλλὰ πρὸς τὸ ἔξω. Τὸ δὲ πρὸς αὑτὸ τὸ ἔνδον ἦν· μαρτύριον δὲ τὸ γενόμενον μεγέθει· εἰ μὲν ἀπηρτημένον, ὡς ἕκαστον τῶν μερῶν αὐτοῦ εἶναι, ἐκεῖνα εἶναι ἕκαστα, ἀλλ' οὐκ αὐτὸ τὸ ἐξ ἀρχῆς. Εἰ δ' ἔσται αὐτὸ, δεῖ τὰ πάντα μέρη πρὸς ἓν, ὥστε εἶναι αὐτὸ, ὅταν ἁμηγέπῃ ἓν, μὴ μέγα, ᾖ· γίνεται τοίνυν διὰ μὲν τὸ μέγεθος καὶ ὅσον ἐπὶ τῷ μεγέθει ἀπολλύμενον αὐτοῦ· ὅτι δὲ ἔχει ἓν, ἔχει ἑαυτὸ, καὶ μὴν τὸ πᾶν μέγα καὶ καλὸν, ἢ ὅτι οὐκ ἀφείθη φυγεῖν εἰς τὴν ἀπειρίαν, ἀλλὰ περιελήφθη ἑνί· καὶ καλὸν οὐ τῷ μέγα, ἀλλὰ τῷ καλῷ· καὶ ἐδεήθη τοῦ καλοῦ, ὅτι ἐγένετο μέγα. Ἐπεὶ ἔρημον ὂν τούτου, ὅσῳ μέγα, τόσῳ ἂν κατεφάνη αἰσχρόν· καὶ οὕτω τὸ μέγα ὕλη τοῦ καλοῦ, ὅτι πολὺ τὸ δεόμενον κόσμου· μᾶλλον οὖν ἄκοσμον τὸ μέγα καὶ μᾶλλον αἰσχρόν.

I. Quærendum videtur in primis, numquid multitudo sit discessus distantiaque ab uno, ideoque infinitas ipsa extremus sit ab unitate discessus, propterea quod hæc sit innumerabilis multitudo, atque ob hoc ipsum infinitas malum sit, nosque mali simus, quando multitudo sumus. Tunc enim quodlibet multum fit, quando, non potens penes idem in se ipso manere, diffunditur, et extenditur jam dispersum · et quando in ipsa diffusione prorsus uno privatur, fit multitudo, ubi deest, quod partem aliam cum alia uniat. Sin autem adsit (quidam conciliator), tunc, quod fusum est, permanendo fit magnitudo. Sed quidnam est in magnitudine mali? Profecto, si persentiret, pateret in ea malum. Sentiret enim res illa, se a se ipsa jam procul abiisse. Unumquodque sane non aliud expetit, sed se ipsum. Progressus autem ad externa factus vel vanus est, vel certe coactus. Præcipue vero est unumquodque, non *quando fit multum, aut magnum, sed quando sui ipsius* existit: sui vero ipsius est, quando solum sibimet annuit [s. ad se vergit]. Quod autem appetit sic fieri magnum, ignorat, quid re vera sit magnum, festinatque, quo non expedit, sed extra prorumpit. Ad se autem vergere, est intus assidue permanere: testatur id præcipue, quod efficitur magnitudine. Si enim extra protrahitur, adeo ut unaquæque partium ipsius existat, singulæ quidem partes erunt, sed non ipsum proprie, quod ab initio. Sin vero ipsum, oportet partes omnes ad unum verti, adeo ut illud existat, quando quoquo modo unum est, non quando magnum: quam ob rem propter ipsam magnitudinem, et quantum est in ea, a se ipso disperditur. Quatenus autem habet unum, habet quoque se ipsum: verumtamen universum magnum est et pulchrum: sed idcirco pulchrum est, quoniam non est permissum ad infinitatem prorsus effugere, sed est unitate comprehensum. Jam vero pulchrum est non magnitudine quidem ipsa, sed potius pulchritudine: atqui idcirco indiguit pulchritudine, quia factum est magnum. Quandoquidem, si hoc foret ab ipsa pulchritudine destitutum, quatenus magnum est, eatenus apparuisset et turpe, atque ita hoc ipsum magnum pulchritudinis materia est, quoniam multum est, quod indiget ornamento. Itaque quod magnum est, si a pulchritudine secernatur, magis est inornatum magisque turpe.

Si fingatur multitudo infinita, non erit proprie numerus. Numerus enim entium in mundo incorporeo definitus est, atque inde in mundo corporeo terminatus: neque animus numerans facit, augetve numeros re vera, quamvis fingat, sed in eo sunt utrimque naturaliter terminati.

Β'. Τί οὖν ἐπὶ τοῦ λεγομένου ἀριθμοῦ τῆς ἀπειρίας; ἀλλὰ πρῶτον, πῶς ἀριθμὸς, εἰ ἄπειρος· οὔτε γὰρ τὰ αἰσθητὰ ἄπειρα, ὥστε οὐδὲ ὁ ἐπ' αὐτοῖς ἀριθμὸς, οὔτε ὁ ἀριθμῶν τὴν ἀπειρίαν ἀριθμεῖ· ἀλλὰ κἂν διπλάσια ἢ πολλαπλάσια ποιῇ, ὁρίζει ταῦτα, κἂν πρὸς τὸ

II. *Quidnam igitur dicendum est de illo, qui infinitatis* dicitur numerus? Sed prius quærendum est, quomodo sit numerus, si infinitus extiterit. Neque enim, quæ subjecta sunt sensibus, sunt infinita. Quapropter neque, qui in eis est numerus, est infinitus: atqui neque, qui numerat, infinitatem ipsam enumerat: sed, quamvis dupla et tri-

μέλλον ἢ τὸ παρεληλυθὸς ἐπιβάνῃ, ἢ καὶ ὁμοῦ, ὁρίζει ταῦτα. Ἆρ' οὖν οὐχ ἁπλῶς ἄπειρος, οὕτω δέ, ὥστε ἀεὶ ἐξεῖναι λαμβάνειν; ἢ οὐκ ἐπὶ τῷ ἀριθμοῦντι τὸ γεννᾶν, ἀλλ' ἤδη ὥρισται καὶ ἕστηκεν· ἢ ἐν μὲν τῷ νοητῷ, ὥσπερ τὰ ὄντα, οὕτω καὶ ὁ ἀριθμὸς ὡρισμένος, ὅσος τὰ ὄντα. Ἡμεῖς δὲ ὡς τὸν ἄνθρωπον πολλὰ ποιοῦμεν, ἐφαρμόζοντες πολλάκις καὶ τὸ καλὸν καὶ τὰ ἄλλα, οὕτω μετὰ τοῦ εἰδώλου ἑκάστου καὶ εἴδωλον ἀριθμοῦ συναπογεννῶμεν, καὶ ὡς τὸ ἄστυ πολλαπλασιοῦμεν οὐχ ὑφεστώς, οὕτω τὸν αὐτὸν τρόπον καὶ τοὺς ἀριθμοὺς πολλαπλασίους ποιοῦμεν, καὶ εἰ τοὺς χρόνους δὲ ἀριθμοῖμεν· ἀφ' ὧν [δ'] ἔχομεν ἀριθμῶν ἐπάγομεν ἐπὶ τοὺς χρόνους, μενόντων ἐν ἡμῖν ἐκείνων.

pla, et deinceps similiter multiplicia computet, hæc certe definit, ac si ad futurum aut præteritum multiplicationem sumat, aut etiam simul, hæc quoque interea definire videtur. Numquid ergo dicendum est, numerum quidem non esse quidem simpliciter infinitum, sed ita duntaxat, ut subinde semper liceat adhibere? sed profecto non est in numerante generandorum auctoritas numerorum; sed jam determinati erant numeri, ac prorsus extabant. Jam vero in mundo intelligibili sicut entia determinata sunt, sic et definitus est numerus numero entium designatus. Nos autem sicut hominem multa quædam facimus, adhibentes ei sæpe et pulchrum et cetera generis ejusdem; ita simul cum quolibet simulacro numeri quoque congignimus simulacrum. et quemadmodum urbem quandam multiplicamus non existentem, sic ferme numeros deinceps multiplicare solemus, ac si tempora numeremus, his videlicet numeris, quos habemus, eos ipsos ad tempora jam traducimus, dum tamen in nobis numeri permanent.

Mundus intelligibilis quoniam ab ipsa unitate processit in multitudinem idearum, non est ipsum bonum, neque tamen est ut multitudo malum, quoniam superatur ab uno. Est enim idearum omnium communis una individuaque natura, atque idea quælibet est multa unum.

Infinitas ipsa nullum actu proprium habet esse; alioquin computata esset in genere entium ibique designata, igitur definita, quare neu actu jam esset infinita; verumtamen latet infinitudo sub termino semper aliquid terminante. Igitur, si quando formas omnes quasi terminos atque fines e medio tollas, quod reliquum fingitur, infinitudo vocatur. Si hanc apprehendis, jam terminas; sin terminas, non apprehendis infinitatem. Denique, si per omnia oppositorum genera pro arbitrio curras, neutrum oppositorum seorsum dedicabis infinitati, alioquin mox eam illo finieris; rursumque alterutrum oppositorum in ea poteris per negationem alterius appellare.

ΙΙΙ. Ἀλλὰ τὸ ἄπειρον δὴ τοῦτο πῶς ὑφέστηκεν ὂν ἄπειρον; ὃ γὰρ ὑφέστηκε καὶ ἔστιν, ἀριθμῷ κατείληπται ἤδη· ἀλλὰ πρότερον, εἰ ἐν τοῖς οὖσιν ὄντως πλῆθος, πῶς κακὸν τὸ πλῆθος; ἢ ὅτι ἥνωται τὸ πλῆθος καὶ κεκώλυται πάντη πλῆθος εἶναι, ἓν ὂν πλῆθος· καὶ διὰ τοῦτο δὲ ἐλαττοῦται τοῦ ἑνός, ὅτι πλῆθος ἔχει, καὶ ὅσον πρὸς τὸ ἕν, χεῖρον. Καὶ οὐκ ἔχον δὲ τὴν φύσιν ἐκείνου, ἀλλὰ ἐκβεβηκός, ἠλάττωται, τῷ δ' ἑνὶ παρ' ἐκείνου τὸ σεμνὸν ἔχει, καὶ ἀνέστρεψε δὲ τὸ πλῆθος εἰς ἕν, καὶ ἔμεινεν. Ἀλλ' ἡ ἀπειρία πῶς; ἡ γὰρ οὖσα ἐν τοῖς οὖσιν ἤδη ὥρισται, ἢ εἰ μὴ ὥρισται, οὐκ ἐν τοῖς οὖσιν, ἀλλ' ἐν τοῖς γινομένοις ἴσως, ὡς καὶ τῷ χρόνῳ, ἢ κἂν ὁρισθῇ, τούτῳ γε ἄπειρος· οὐ γὰρ τὸ πέρας, ἀλλὰ τὸ ἄπειρον ὁρίζεται· οὐ γὰρ δὴ ἄλλο τι μεταξὺ πέρατος καὶ ἀπείρου, ὃ τὴν τοῦ ὅρου δέχεται φύσιν. Τοῦτο δὴ τὸ ἄπειρον φεύγει μὲν αὐτὸ τὴν τοῦ πέρατος ἰδέαν, ἁλίσκεται δὲ περιληφθὲν ἔξωθεν· φεύγει δὲ οὐκ εἰς τόπον ἄλλον ἐξ ἑτέρου, (οὐ γὰρ οὐδ' ἔχει τόπον,) ἀλλ' ὅταν ἁλῷ, ὑπέστη τόπος. Διὸ οὐδὲ τὴν λεγομένην κίνησιν αὐτῆς τοπικὴν θετέον, οὐδέ τινα ἄλλην τῶν λεγομένων αὐτῇ παρ' αὐτῆς ὑπάρχειν· ὥστε οὐδ' ἂν κινοῖτο, ἀλλ' οὐδ' ἕστηκεν αὖ. Ποῦ γάρ, τοῦ ποῦ ὕστερον γιγνομένου; ἀλλ' ἔοικεν ἡ κίνησις αὐτῆς τῆς ἀπειρίας οὕτω λέγεσθαι, ὅτι μὴ μένει. Ἆρ' οὖν οὕτως ἔχει, ὡς μετέωρος εἶναι ἐν τῷ αὐτῷ, ἢ αἰωρεῖσθαι ἐκεῖσε καὶ δεῦρο; οὐδαμῶς. Ἄμφω γὰρ πρὸς τὸν αὐτὸν τόπον κρίνεται, τό τε μετέωρον, οὐ παρεγκλῖνον πρὸς τὸν αὐτὸν τόπον, καὶ τὸ παρεγκλῖνον. Τί ἂν οὖν τις ἐπινοήσειεν αὐτήν; ἢ χωρίσας τὸ εἶδος τῇ διανοίᾳ. Τί οὖν νοήσει; ἢ τὰ ἐναντία ἅμα, καὶ οὐ τὰ ἐναντία· καὶ γὰρ μέγα καὶ μικρὸν νοήσει, γίγνεται γὰρ ἄμφω, καὶ ἑστὼς καὶ κινούμενον, καὶ

III. Sed infinitum hoc quomodo extitit, cum sit infinitum? Quod enim extitit atque est, numero jam est comprehensum. Verum prius est indagandum, si multitudo in vera in verorum entium ordine collocatur, quomodo multitudo sit malum. At vero multitudo illic est unita, neque permittitur in multitudinem prorsus evadere, quippe cum ibi multitudo sit ens unum; atqui ob hoc ipsum tamen ab uno degenerat, eique succumbit, quoniam multitudinem habet, et, quantum ad unum spectat, labitur in deterius. Cumque naturam illius non habeat, sed exciderit inde, merito subit defectum; sed unius ipsius virtute penes illum habet aliquid honorandum, nempe multitudo conversa est ad unum atque constitit. Ipsa vero infinitas quonam modo illic esse potest? Si enim habet esse, jam est in ordine entium definita; aut certe, nisi fuerit definita, non est in genere entium collocanda, sed forsan in eorum ordine, quæ fiunt, computanda videbitur, sicut accidit et in tempore. Fortasse, etiamsi definitur, ob hoc ipsum est etiam infinita; non enim terminus, sed infinitum determinatur. neque aliud quicquam medium inter infinitum terminumque locatur, quod naturam termini suscipiat. Hoc utique infinitum fugit quidem ipsam ideam termini, sed comprehenditur extrinsecus circumventum; fugit autem non in alium ex alio locum, neque enim locum habet ullum; sed quando comprehensum est, tunc primum illi locus extitit. Quam ob rem non est putandum, motionem, quæ infinitati inter loquendum tribuitur, esse localem, neque aliam quandam earum, quæ nominari solent, ex ipsa illi contingere. Itaque movetur nunquam, sed neque rursum permanet. Ubi enim maneat, quum hoc ipsum, quod dicitur ubi, posterius oriatur? Videtur autem hic ideo infinitati motus attribui, quoniam non consistit. Num igitur ita se habet, ut in eodem sit alte suspensa, seque vibrans? An potius et attollitur illuc, et huc usque se jactet? Nullo modo. Hæc enim ambo ad eundem judicantur locum, cum, quod attollitur non declinans, quo ad eundem locum pertinet, tum etiam, quod declinat. Quonam igitur modo infinitatem aliquis cogitabit? Tunc profecto cogitabit eam, quando speciem intelligentia separaverit. Quid ergo tunc intelliget? Fortasse contraria simul, et non contraria: etenim magnum illic intelliget atque parvum. fit enim ambo, permanens scilicet atque motum, nam hæc illa fiunt. sed, antequam fiant, constat

γὰρ ταῦτα γίγνεται, ἀλλὰ πρὸ τοῦ γίγνεσθαι, δῆλον ὅτι οὐδέτερον ὡρισμένως, εἰ δὲ μή, ὥρισας. Εἰ οὖν ἄπειρος, καὶ ταῦτα ἀπείρως καὶ ἀορίστως, φαντασθείη γ' ἂν ἑκάτερα. Καὶ προσελθὼν ἐγγύς, μὴ ἐπιβάλλων τι πέρας, ὥσπερ δίκτυον ὑπεκφεύγουσαν ἕξεις, καὶ οὐδὲν ἓν εὑρήσεις, ἤδη γὰρ ὥρισας. Ἀλλ' εἴ τῳ προσέλθοις ὡς ἑνί, πολλὰ φανεῖται. Κἂν πολλὰ εἴπῃς, πάλιν αὖ ψεύσῃ· οὐκ ὄντος γὰρ ἑκάστου ἑνός, οὐδὲ πολλὰ τὰ πάντα, καὶ αὕτη ἡ φύσις αὐτῆς καθ' ἕτερον τῶν φαντασμάτων κίνησις, καί, καθ' ὃ προσῆλθεν ἡ φαντασία, στάσις. Καὶ τὸ μὴ δύνασθαι δι' αὐτῆς αὐτὴν ἰδεῖν, κίνησις ἀπὸ νοῦ καὶ ἀπολίσθησις. Τὸ δὲ μὴ ἀποδράναι ἔχειν, εἴργεσθαι δὲ ἔξωθεν καὶ κύκλῳ καὶ μὴ ἐξεῖναι προχωρεῖν, στάσις ἂν εἴη· ὥστε μὴ μόνον ἐξεῖναι κινεῖσθαι λέγειν.

illam neutrum illorum esse determinate; alioquin jam illam determinaveris. Si ergo natura illa est infinita, atque hæc, quæ modo dicebam, infinite et indeterminate sunt ibi, sic ibi nimirum utraque apparebunt. Quodsi prope illuc accesseris, neque terminum aliquem adhibueris, quo eam valeas irretire, tibi protinus subterfugiet, neque quicquam unum illic invenies; alioquin jam definisses. Imo vero, si cui occurreris velut uni, subito occurret ut multa. Tum vero, si multa dixeris, iterum mentieris: nempe ubi quodlibet non est unum, neque etiam multa sunt omnia, atque hæc ipsa infinitatis est natura, ut secundum alteram quidem imaginationem motus sit; quatenus autem accessit imaginatio, status. Jam vero hoc ipsum, quod ipsam per se ipsam inspicere nequeas, motus quidam est casusque a mente. Quod autem aufugere nequeat, sed circum coerceatur extrinsecus, usque adeo ut limites non liceat transgredi, status quidam est judicandus: ex quo apparet, non solum licere motum illic affirmare, sed statum.

Quæritur, utrum unitas atque numeri in mundo intelligibili rationem propriam habeant a ceteris ideis distinctam, necne? Ac si habent, utrum præcedant ideas, et quasi sui juris exsistant, an velut pedissequi consequantur: ab animo quidem numerante creari non est probabile.

Δ'. Περὶ δὲ τῶν ἀριθμῶν, ὅπως ἔχουσιν ἐν τῷ νοητῷ, σκεπτέον· πότερα ὡς ἐπιγιγνομένων τοῖς ἄλλοις εἴδεσιν, ἢ καὶ παρακολουθούντων ἀεί, οἷον ἐπειδὴ τὸ ὂν τοιοῦτον, οἷον πρῶτον αὐτὸ εἶναι, ἐνοήσαμεν μονάδα· εἶτ' ἐπεὶ κίνησις ἐξ αὐτοῦ καὶ στάσις, τρία ἤδη, καὶ ἐφ' ἑκάστου τῶν ἄλλων ἕκαστον· ἢ οὐχ οὕτως, ἀλλὰ συνεγεννήθη ἑκάστῳ μονὰς μία, ἢ ἐπὶ μὲν τοῦ πρώτου ὄντος, μονάς· ἐπὶ δὲ τοῦ μετ' ἐκεῖνο, εἰ τάξις ἐστί, δυάς, ἢ καὶ ὅσον τὸ πλῆθος ἑκάστου, οἷον εἰ δέκα, δεκάς· ἢ οὐχ οὕτως, ἀλλ' αὐτὸς ἐφ' ἑαυτοῦ ὁ ἀριθμὸς ἐνοήθη· καὶ εἰ οὕτω, πότερα πρότερος τῶν ἄλλων, ἢ ὕστερος. Ὁ μὲν οὖν Πλάτων εἰς ἔννοιαν ἀριθμοῦ τοὺς ἀνθρώπους ἐληλυθέναι εἰπὼν ἡμερῶν πρὸς νύκτας τῇ παραλλαγῇ, τῇ τῶν πραγμάτων ἑτερότητι διδοὺς τὴν νόησιν, τάχ' ἂν τὰ ἀριθμητὰ πρότερον δι' ἑτερότητος ποιεῖν ἀριθμὸν λέγοι, καὶ εἶναι αὐτὸν συνιστάμενον ἐν μεταβάσει ψυχῆς ἐπεξιούσης ἄλλο μετ' ἄλλο πρᾶγμα, καὶ τότε γίγνεσθαι, ὅταν ἀριθμῇ ψυχή· τοῦτο δ' ἐστίν, ὅταν αὐτὰ διεξίῃ καὶ λέγῃ παρ' αὐτῇ ἄλλο, τὸ δ' ἄλλο, ὡς, ἕως τε ταὐτόν τι καὶ μὴ ἕτερον μετ' αὐτὸ νοεῖ, ἓν λεγούσης. Ἀλλὰ μήν, ὅταν λέγῃ ἐν τῷ ἀληθινῷ ἀριθμῷ, καὶ τὸν ἀριθμὸν ἐν οὐσίᾳ, πάλιν αὖ ὑπόστασίν τινα ἂν ἐφ' ἑαυτοῦ τοῦ ἀριθμοῦ λέγοι, καὶ οὐκ ἐν τῇ ἀριθμούσῃ ὑφίστασθαι ψυχῇ, ἀλλὰ ἀνακινεῖσθαι ἐν ἑαυτῇ ἐκ τῆς περὶ τὰ αἰσθητὰ παραλλαγῆς τὴν ἔννοιαν τοῦ ἀριθμοῦ.

IV. Qua vero conditione numeri in mundo intelligibili sint, deinceps videtur considerandum. Numquid tanquam insiti ceteris speciebus, an potius semper velut consequentes: ceu postquam ipsum ens tale est, ut primum ibi sit, unitatem cogitaverimus: deinde, quoniam motus ex ipso statusque sequitur, tria jam noverimus, atque per singula reliquorum quemlibet numerum: an forte non ita se res habet, sed cum quolibet unitas quædam congenita est, aut in primo quidem ente unitas: in eo autem, quod est post ipsum, si quidem illic ordo sit, dualitas: vel et quanta est cujuslibet multitudo, velut si decem, decas, id est, ipse denarius: aut fortasse non ita, sed ipse in se ipso excogitatus est numerus: atque si ita, perscrutandum est, utrum primus sit aliorum an postremus. Plato igitur, cum homines dixerit ex ipsa dierum ad noctes varietate numerum cognovisse, ideoque ipsi rerum varietati numeri notitiam attribuerit, fortasse res numerandas primum propter diversitatem facere numerum confitebitur: ipsumque numerum in quodam animæ discursu consistere, quando ab alio percurrit in aliud, tuncque fieri numerum cum anima numerat: id autem est, quando per res ipsas discurrens penes se ipsam hoc quidem aliud esse, illud vero aliud asserit, utpote quæ, quamdiu idem aliquid cogitat, neque quicquam aliud præter illud proprie unum asserat. Verumtamen, quando Plato et in vero numero dicit essentiam, et in essentia numerum, rursus subsistentiam quandam numeri in se ipso recipiet: neque in animo numerante duntaxat nasci numerum affirmabit, imo vero ex ipsa circa sensibilia varietate atque distractione notionem numeri in animo revocari.

Confutat dicentes unitatem et numerum non esse rem aliquam, sed posita re qualibet singulatim dici unum: iterumque unum, atque hoc iterato dici numerum.

Ex hac opinione non habemus rationem ad species numeri discernendas, neque ad numerum quemlibet redigendum in unum principium numerorum, atque ipse numerus minus etiam, quam accidens, esse putabitur. Quando de homine prædicamus unum, aliud quidem est unum ibi, quam homo: nam unum ipsum, non homo, multitudinem habet oppositam, atque de rebus omnibus ultra hominem communiter prædicatur. Est ergo rebus omnibus communius et simplicius atque prius: prius etiam ipso ente ratione simili: præsertim quia unum ipsum prædicabile est, non de ente solum, sed de quolibet pariter, quodcumque superius vel inferius ente, vel enti oppositum cogitaveris. Cum igitur entia quidem ad ipsum ens, numeri vero referantur ad unum ente superius, merito numeri entibus priores esse videntur. Igitur cum dicimus decem homines, ipsa decas nec homines ipsi est, nec ex eis velut accidens; alioquin non posset res alias æque metiri: sed prius in se ipsa est, quam in rebus, quæ numerantur, ut decem. Denique, si qui dicant, unum ipsum esse cum entibus conjugatum, sive tanquam acci-

decas, sive tanquam elementum in conjugatum fuerit: adhuc sequitur ut prius exstat in se, quam vel cunctis conjunctiter accidat, vel accedat ut elementum.

Ε'. Τίς οὖν ἡ φύσις αὐτοῦ; ἆρα παρακολούθημα καὶ οἷον ἐπιθεωρούμενον ἑκάστῃ οὐσίᾳ; οἷον ἄνθρωπος καὶ εἷς ἄνθρωπος, καὶ ὂν καὶ ἓν ὄν, καὶ τὰ πάντα ἕκαστα τὰ νοητά, καὶ πᾶς ὁ ἀριθμός; ἀλλὰ πῶς δυὰς καὶ τριάς, καὶ πῶς τὰ πάντα καθ' ἕν, καὶ ὁ τοιοῦτος ἀριθμὸς εἰς ἓν ἂν συνάγοιτο; οὕτω γὰρ ἔσται πλῆθος μὲν ἑνάδων, εἰς ἓν δὲ οὐδεὶς παρὰ τὸ ἁπλοῦν ἕν· εἰ μή τις λέγοι, ὡς δυὰς μέν ἐστιν ἐκεῖνο τὸ πρᾶγμα, μᾶλλον δὲ τὸ ἐπὶ τῷ πράγματι θεωρούμενον, ὃ δύο ἔχει δυνάμεις συνειλημμένας, οἷον σύνθετον εἰς ἕν, ἢ οἵους ἔλεγον οἱ Πυθαγόρειοι, οἳ ἐδόκουν λέγειν ἀριθμοὺς ἐκ τοῦ ἀνὰ λόγον [l. ἀναλόγου], οἷον δικαιοσύνην τετράδα, καὶ ἄλλον ἄλλως· ἐκείνως δὲ μᾶλλον τῷ πλήθει τοῦ πράγματος ἑνὸς ὄντος ὅμως καὶ τὸν ἀριθμὸν συζυγῆ, τοσοῦτον ἕν, οἷον δεκάδα, καίτοι ἡμεῖς οὐχ οὕτω τὰ δέκα, ἀλλὰ συνάγοντες, καὶ τὰ διεστῶτα δέκα λέγομεν. Ἢ οὕτω μὲν δέκα λέγομεν, ὅταν δὲ ἐκ πολλῶν γίγνηται ἕν, δεκάδα, ὡς κἀκεῖ οὕτως. Ἀλλ' εἰ οὕτως, ἆρ' ἔτι ὑπόστασις ἀριθμοῦ ἔσται, ἐπὶ τοῖς πράγμασιν αὐτοῦ θεωρουμένου; Ἀλλὰ τί κωλύει, φαίη ἄν τις, καὶ τοῦ λευκοῦ ἐπὶ τοῖς πράγμασι θεωρουμένου, ὑπόστασιν τοῦ λευκοῦ ἐν τοῖς πράγμασιν εἶναι, ἐπεὶ καὶ κινήσεως ἐπὶ τῷ ὄντι θεωρουμένης ὑπόστασις ἦν κινήσεως ἐν τῷ ὄντι οὔσης. Ὁ δ' ἀριθμὸς οὐχ ὡς ἡ κίνησις, ἀλλ' ὅτι ἡ κίνησίς τι οὕτως ἓν ἐπ' αὐτῆς ἐθεωρήθη, λέγεται· εἶτα καὶ ἡ τοιαύτη ὑπόστασις ἀφίστησι τὸν ἀριθμὸν τοῦ οὐσίαν εἶναι, συμβεβηκὸς δὲ μᾶλλον ποιεῖ, καίτοι οὐδὲ συμβεβηκὸς ὅλως· τὸ γὰρ συμβεβηκὸς δεῖ τι εἶναι πρὸ τοῦ συμβεβηκέναι, κἂν ἀχώριστον ᾖ, ὅμως εἶναί τι ἐφ' ἑαυτοῦ φύσιν τινά, οἷον τὸ λευκόν, καὶ κατηγορεῖσθαι κατ' ἄλλου, ὅ ἐστιν, ἤδη ὑπάρχον· ὥστε εἰ περὶ ἕκαστον τὸ ἕν, καὶ οὐ ταὐτὸν τῷ ἀνθρώπῳ τὸ εἷς ἄνθρωπος, ἀλλ' ἕτερον τὸ ἓν τοῦ ἀνθρώπου, καὶ κοινὸν τὸ ἕν, καὶ ἐπ' ἄλλων, πρότερον ἂν εἴη τὸ ἓν τοῦ ἀνθρώπου καὶ ἑκάστου τῶν ἄλλων, ἵνα καὶ ὁ ἄνθρωπος καὶ ἕκαστος τῶν ἄλλων τύχῃ ἕκαστον τοῦ ἓν εἶναι· καὶ πρὸ κινήσεως τοίνυν, εἴπερ καὶ ἡ κίνησις ἕν, καὶ πρὸ τοῦ ὄντος, ἵνα καὶ αὐτὸ τοῦ ἓν εἶναι τύχῃ. Λέγω δὲ οὐ τὸ ἓν ἐκεῖνο, ὃ δὴ ἐπέκεινα τοῦ ὄντος φαμέν, ἀλλὰ καὶ τοῦτο τὸ ἕν, ὃ κατηγορεῖται τῶν εἰδῶν ἑκάστου. Καὶ δεκὰς τοίνυν πρὸ τοῦ, καθ' οὗ κατηγορεῖται δεκάς· καὶ τοῦτο ἔσται αὐτοδεκάς· οὐ γὰρ δή, ἐν ᾧ πράγματι ἐπιθεωρεῖται, δεκάς, αὐτοδεκὰς ἔσται. Ἀλλ' ἆρα συνεγένετο καὶ συνέστη τοῖς οὖσιν; ἀλλ' εἰ συνεγεννήθη, ὡς μὲν συμβεβηκός, οἷον τῷ ἀνθρώπῳ ὑγίεια, δεῖ καὶ καθ' αὑτὸ ὑγίειαν εἶναι, καὶ εἰ ὡς στοιχεῖον δὲ συνθέτου τὸ ἕν, δεῖ πρότερον εἶναι ἕν, [καὶ] κατ' αὐτὸ τὸ ἕν, ἵνα σὺν ἄλλῳ· εἶτα, εἰ πρότερον εἶναι συμμιχθὲν ἄλλῳ τῳ γενομένῳ δι' αὐτὸ ἓν ἐκεῖνο ποιήσει, ψευδῶς ἕν, δύο ποιοῦν αὐτό. Ἐπὶ δὲ τῆς δεκάδος πῶς; τί γὰρ δεῖ ἐκείνῳ τῆς δεκάδος, ὃ μέλλει τῇ τοσαύτῃ δυνάμει ἔσεσθαι δεκάς; ἀλλ' εἰ

V. Quaenam igitur est ipsa natura numeri? Numquid est quiddam consequens, ac velut in essentia quavis inspectum, velut homo atque unus homo? Item ens unumque ens? et intelligibilia sic omnia singulatim, atque ita resultat numerus universus? Verum, si res ita se habeat, quomodo dualitas illic est et ternitas, et quomodo secundum unum omnia perpenduntur? quove pacto ejusmodi numerus in unum aliquid congregabitur? Sic enim multitudo quidem erit aliqua unitatum: nullus autem numerus redigetur in unum, praeter ipsum videlicet simpliciter unum. Nisi quis forte dicat, dualitatem quidem esse rem illam, sive potius quod consideratur in illa, quae vires duas habet implicitas, quasi compositum quiddam in unum, aut forte quales Pythagorici numeros induxerunt: qui suos numeros secundum analogiam, id est, proportionem quandam afferre videntur, velut justitiam quaternarium, aliterque similiter alium. Illa vero conditione potius est ipsius, quae existit unum, multitudini simul et numerum quempiam conjungit, eatenus unum velut decadem, tametsi nos non sic ipsa decem ponimus, sed, quae distant inter se, congregantes, decem solemus dicere. Porro vero sic quidem decem dicimus, quando vero ex multis conficitur unum, decadem appellamus, quapropter eadem illic etiam ratione. Caeterum si ita fiat, an erit ulterius ulla numeri subsistentia, cum ipse in rebus duntaxat consideretur? Respondebit fortasse aliquis, nihil obstare, et, albedine in rebus duntaxat considerata, ipsam albedinis subsistentiam in rebus ipsis ita perpendi, quandoquidem et motu in ente considerato constitit esse subsistentiam motus aliquam in ipso ente videlicet existentis. At vero numerus non sicut motus se habere videtur, sed quod motus sit unum aliquid in se ipso consideratum dicitur. Praeterea ejusmodi subsistentia efficit, ut numerus non sit essentia, at potius ut sit contingens, quamvis neque se quidem omnino contingens; nempe contingens oportet, antequam contingat aliquid, esse, et quamvis inseparabile sit, esse tamen aliquid, et naturam aliquam prius se ipsam, sicut albedo, ac de alio praedicari hoc ipsum jam in se existens, quod subinde sit de alio praedicandum. Quamobrem, si circa quodlibet est unum, neque idem est homo, atque unus homo, sed aliud unum est, quam homo, et commune est ad omnia unum, et in quolibet reliquorum ita se habet, certe prius erit unum homine, et quolibet reliquorum, ut sic et homo, et quodvis aliorum, ut unum sit, singulatim assequi possit: igitur et ante motum, si quidem motus sit unum, et ante ens similiter, ut ipsum quoque valeat esse unum. Dico autem non unum illud, quod ente superius esse censemus, sed hoc unum, quod de qualibet specie praedicatur. Itaque ipsa decas ante illud exstat, de quo praedicatur decas, atque hoc ipsum est ipsa decas: non enim res illa [vel in illa re], in qua decas inspicitur, decas ipsa erit. Num igitur congenitum est cum entibus, simulque omnino cum illis est hoc ipsum unum? Verum, si congenitum est, si modo tanquam accidens, sicut cum homine sanitas, oportet seorsum se ipsam quoque esse aliquid sanitatem, similiterque et illud: ac si unum, tanquam alicujus compositi elementum, esse quis dicat, oportet prius esse unum ipsum secundum se unum, ut esse ut cum alio possit: deinde, si prius esse commixtum cum alio, quod per ipsum jam factum sit unum, sequetur, ut falso sit unum, utpote quod duo sit inde factum. In decade vero quomodo id fiat? Quid enim illi opus est decade, quod sit per tantam potentiam decas? Quid formabit ipsum ceu mate-

εἰδοποιήσει αὐτὸ ὥσπερ ὕλην, καὶ ἔσται παρουσίᾳ δεκάδος δέκα καὶ δεκάς, δεῖ πρότερον ἐφ' ἑαυτῆς τὴν δεκάδα οὐκ ἄλλο τι οὖσαν ἢ δεκάδα μόνον εἶναι.

riam, atque erit decadis ipsius præsentia et decem et decas: oportet prius decadem in se ipsa non aliud aliquid exsistentem præter decadem pure singulariterque consistere.

*Rerum species in prima essentia ordine quodam earum intelligentiam antecedunt: sicut objecta præcedunt actus circa objecta* versantes. Si quis ergo dixerit, species illic ab intelligentia procreari, concedet etiam posteriores fore: quod est absurdum. Intelligere ibi speciem aliquam, scilicet justitiam, statum, motum et reliqua, nihil est aliud, quam ejusmodi speciem declarare vel definire: nisi definitio hæc sit circa rem aliquam a definitione quoquo modo distinctam, vacua quædam definitio est, imo vero definitio nulla. Denique unaquæque species ibi est proprietas actusque essentialis vigore quodam proprio exsistens atque micans. Emicatio ejusmodi inde pendens, et penes ipsam quidem exstans, atque ratione quadam differens, ipsa ejus intelligentia est.

Ϛ'. Ἀλλ' εἰ ἄνευ τῶν πραγμάτων τὸ ἓν αὐτὸ καὶ ἡ δεκὰς αὐτή, εἶτα τὰ πράγματα τὰ νοητὰ μετὰ τὸ εἶναι, ὅπερ ἐστὶ, τὰ μὲν ἑνάδες ἔσονται, τὰ δὲ καὶ δυάδες καὶ τριάδες, τίς ἂν εἴη ἡ φύσις αὐτῶν; καὶ πῶς συστᾶσα; λόγῳ δὲ δεῖ νομίζειν τὴν γένεσιν αὐτῶν ποιεῖσθαι· πρῶτον τοίνυν δεῖ λαβεῖν τὴν οὐσίαν καθ' ὅλου τῶν εἰδῶν, ὅτι ἐστὶν οὐχὶ νοήσαντος ἕκαστον τοῦ νενοηκότος, εἶτ' αὐτῇ τῇ νοήσει τὴν ὑπόστασιν αὐτῶν παρασχομένου. Οὐ γὰρ, ὅτι ἐνόησε, τί ποτ' ἐστὶ δικαιοσύνη, δικαιοσύνη ἐγένετο, οὐδ' ὅτι ἐνόησε, τί ποτ' ἐστὶ κίνησις, κίνησις ὑπέστη· οὕτω γὰρ ἔμελλε τοῦτο τὸ νόημα καὶ ὕστερον εἶναι τοῦ πράγματος αὐτοῦ, τοῦ νοηθέντος, δικαιοσύνης αὐτῆς ἡ νόησις αὐτῆς. Καὶ πάλιν αὖ ἡ νόησις, προτέρα τοῦ ἐκ τῆς νοήσεως ὑποστάντος, εἰ τῷ νενοηκέναι ὑπέστη. Εἰ δὲ τῇ νοήσει τῇ τοιαύτῃ ταὐτὸν ἡ δικαιοσύνη, πρῶτον μὲν ἄτοπον, μηδὲν εἶναι δικαιοσύνην, ἢ τὸν οἷον ὁρισμὸν αὐτῆς. Τί γὰρ ἐστι τὸ νενοηκέναι δικαιοσύνην ἢ κίνησιν ἢ τὸ τί ἐστιν αὐτῶν λαβόντα; τοῦτο δὲ ταὐτὸν τῷ μὴ ὑφεστῶτος πράγματος λόγον λαβεῖν, ὅπερ ἀδύνατον. Εἰ δέ τις λέγοι, ὡς ἐπὶ τῶν ἄνευ ὕλης τὸ αὐτό ἐστιν ἡ ἐπιστήμη τῷ πράγματι, ἐκείνως χρὴ νοεῖν τὸ λεγόμενον, ὡς οὐ τὴν ἐπιστήμην τὸ πρᾶγμα λέγει εἶναι, οὐδὲ τὸν λόγον τὸν θεωροῦντα τὸ πρᾶγμα αὐτὸ τὸ πρᾶγμα, ἀλλὰ ἀνάπαλιν τὸ πρᾶγμα αὐτὸ, ἄνευ ὕλης ὂν, νοητόν τε καὶ νόησιν εἶναι, οὐχ οἷαν λόγον εἶναι τοῦ πράγματος, οὐδ' ἐπιβολὴν πρὸς αὐτὸ, ἀλλ' αὐτὸ τὸ πρᾶγμα ἐν τῷ νοητῷ ὂν, τί ἄλλο, ἢ νοῦν καὶ ἐπιστήμην εἶναι; Οὐ γὰρ ἡ ἐπιστήμη πρὸς αὐτὴν, ἀλλὰ τὸ πρᾶγμα ἐκεῖ τὴν ἐπιστήμην οὐ μένουσαν, οἵα ἐστὶν ἡ τοῦ ἐν ὕλῃ πράγματος, ἑτέραν ἐποίησεν εἶναι, τοῦτο δ' ἐστὶν, ἀληθινὴν ἐπιστήμην· τοῦτο δ' ἐστὶν οὐκ εἰκόνα τοῦ πράγματος, ἀλλὰ τὸ πρᾶγμα αὐτό. Ἡ νόησις τοίνυν τῆς κινήσεως οὐ πεποίηκεν αὐτοκίνησιν, ἀλλ' ἡ αὐτοκίνησις πεποίηκε τὴν νόησιν, ὥστε αὐτὴ ἑαυτὴν κίνησιν καὶ νόησιν· ἡ γὰρ κίνησις ἡ ἐκεῖ κἀκείνου νόησις, καὶ αὐτὸ δὲ κίνησις, ὅτι πρώτη (οὐ γὰρ ἄλλη πρὸ αὐτῆς) καὶ ἡ ὄντως, ὅτι μὴ συμβέβηκεν ἄλλῳ, ἀλλὰ τοῦ κινουμένου ἐνέργεια, ὄντος ἐνεργείᾳ· ὥστε αὖ καὶ οὐσία· ἐπίνοια δὲ τοῦ ὄντος ἑτέρα. Καὶ δικαιοσύνη δὲ, οὐ νόησις δικαιοσύνης, ἀλλὰ νοῦ οἷον διάθεσις, μᾶλλον δὲ ἐνέργεια τοιάδε, ἧς ὡς ἀληθῶς καλὸν τὸ πρόσωπον, καὶ οὔτε ἕσπερος, οὔθ' ὅλως τι τῶν αἰσθητῶν, ἀλλ' οἷον ἄγαλμά τι νοερὸν, οἷον ἐξ αὐτοῦ ἑστηκὸς καὶ προφανὲν ἐν αὐτῷ, μᾶλλον δὲ ὂν ἐν αὐτῷ.

VI. At vero si ultra res ipsas unum ipsum et ipsa decas exsistit, deinde res intelligibiles præter hoc ipsum, quod exsistunt id, quod sunt, aliæ quidem sunt unitates, aliæ vero et dualitates et ternitates, quænam erit illorum natura? et quomodo constituta? Existimandum est autem, generationem eorum ratione quadam expleri. Primo igitur generatim existimandum est, essentiam specierum non sic prodire ad exsistendum, ut intelligens ipse primo quidem singula intellexerit, deinde ipsa intelligentia illorum substantiam exhibuerit. Non enim, quia cognoverit, quid justitia sit, exorta justitia est: neque quoniam, quid motus sit, cogitaverit, subortus est motus. Sic enim *oportebat hanc ipsam intelligentiam et posteriorem intellecta re esse*, [velut] intelligentiam justitiæ justitia ipsa posteriorem. Atqui et vicissim intelligentia prior est eo, *quod procreatur intelligendo, si modo ob id ipsum exsistit*, quod fuerit intellectum. Sin autem justitia idem est omnino, quod et talis intelligentia, absurdum erit, nihil aliud esse justitiam præter quandam ipsius descriptionem. Quid enim aliud est, justitiam vel motum intellexisse, quam descriptione quadam, quid utrumque sit, accepisse? hoc autem perinde se habet, ac si rei non exsistentis accipias rationem; quod quidem fieri re vera non potest. Proinde, si quis adduxerit, in rebus a materia separatis idem esse scientiam atque rem scitam, ea id conditione dictum accipiendum, non quidem, ut scientiam asserat esse rem ipsam, neque rationem aliquid contemplantem esse rem ipsam contemplatione perspectam, sed vicissim rem ipsam *a materia segregatam esse intelligibile quiddam*, intelligentiamque exsistere, non eam, inquam, intelligentiam, quæ rei ipsius sit ratio quædam, vel aliquis in hanc *ipsam intuitus, sed rem ipsam in mundo intelligibili consistentem* nihil aliud esse, præter intellectum atque scientiam: non enim scientia illic ad rem vergit intelligendam, sed res ipsa illic efficit, ut scientia illa non ita sit ab ipsa diversa, sicut rei materialis scientia esse solet: hoc autem est scientiam veram edere: id vero rursum, non imaginem rei afferre, sed rem ipsam. Intelligentia igitur motionis motionem ipsam minime fecit, sed ipsa motio potius fecit intelligentiam; quapropter et ipsa se ipsam motionem intelligentiamque concepit. Motio enim illic entis illius intelligentia est, *atque est ipse motus, quoniam est et primus*. Non enim est alius ante ipsum. Est et re vera motus, quoniam alteri non contingit, sed ipsius, quod illic quodammodo moveri censetur, est actus, videlicet exsistentis in actu; quapropter est et essentia, quæ quidem ab ipso ente excogitatione quadam differre videtur. Tum vero justitia non est justitiæ intelligentia quædam, sed *quasi mentis illius dispositio et affectio, imo vero quidam* actus ejusmodi, cujus re vera vultus est pulcher, adeo ut neque Lucifer aut Hesperus, neque aliud quicquam eorum, quæ sentiuntur, ita fulgeat. Est autem velut intellectualis quædam statua ex se ipsa tanquam exstans et emicans in se ipsa, imo vero in se ipsa consistens.

Si mundo corporeo mala tam quidem extensum salutalem formas vero rerum varias in una vivaque mundi forma conserves, videbis formam unam omniformem, itaque formas cunctas in singulis multitudinas pariter atque distinctiones omnia in uno vivente viventia.

Est igitur universum ejusmodi cum natura, tum intellectualis anima, tum etiam intellectus, in quo species, ut res vero sibi res vera distincta, vero intellectu ante machinationem intelligentiae. Ita distinctae sunt actu, quamvis unita natura, sicut in igni lucere, micare, calere: omnes enim species ibi sunt actus.

Ζ'. Ὅλως γὰρ δεῖ νοῆσαι τὰ πράγματα ἐν μιᾷ, καὶ μίαν φύσιν πάντα ἔχουσαν καὶ οἷον περιλαβοῦσαν, οὐχ ὡς ἐν τοῖς αἰσθητοῖς ἕκαστον χωρίς, ἀλλαχοῦ ἥλιος καὶ ἄλλο ἄλλοθι, ἀλλ' ὁμοῦ ἐν ἑνὶ πάντα· αὕτη γὰρ νοῦ φύσις, ἐπεὶ καὶ ψυχὴ οὕτω μιμεῖται, καὶ ἡ λεγομένη φύσις, καθ' ἣν καὶ ὑφ' ἧς ἕκαστα γεννᾶται, ἄλλο ἄλλοθι, αὐτῆς ὁμοῦ ἑαυτῇ οὔσης· ὁμοῦ δὲ πάντων ὄντων ἕκαστον αὖ χωρίς ἐστιν· ἐνορᾷ δὲ αὐτὰ τὰ ἐν τῷ νῷ καὶ τῇ οὐσίᾳ ὁ ἔχων νοῦς, οὐκ ἐπιβλέπων, ἀλλ' ἔχων, οὐδὲ χωρίζων ἕκαστον· κεχώρισται γὰρ ἤδη ἐν αὐτῷ ἀεί. Πιστούμεθα δὲ πρὸς τοὺς τεθαυμακότας ἐκ τῶν μετειληφότων· τὸ δὲ μέγεθος αὐτοῦ καὶ τὸ κάλλος ψυχῆς ἔρωτι πρὸς αὐτό, καὶ τῶν ἄλλων τὸν εἰς ψυχὴν ἔρωτα, διὰ τὴν τοιαύτην φύσιν, καὶ τῷ ἔχειν ᾗ κατά τι ὡμοίωται. Καὶ γὰρ δὴ καὶ ἄτοπον εἶναί τι ζῷον καλόν, αὐτοζῴου μὴ θαυμαστοῦ τὸ κάλλος καὶ ἀφράστου ὄντος· τὸ δὴ παντελὲς ζῷον ἐκ πάντων ζῴων ὄν, μᾶλλον δὲ ἐν αὐτῷ τὰ πάντα ζῷα περιέχον καὶ ἓν ὂν τοσοῦτον, ὅσα τὰ πάντα, ὥσπερ καὶ τόδε τὸ πᾶν ἓν ὄν, καὶ πᾶν τὸ ὁρατὸν περιέχον πάντα τὰ ἐν τῷ ὁρατῷ.

VII. Contemplari vero res illas prorsus oportet in natura una, unamque naturam ubique omnia possidentem et undique complectentem; ubi profecto non, quemadmodum in regione sensibili, sit unumquodque seorsum, alibi quidem sol, alibi luna, alibi rursus et aliud, sed cuncta simul in uno. Haec enim ipsius est mentis natura; quandoquidem et anima mentem sic imitatur, atque ea similiter, quae natura dicitur, secundum quam et sub qua singula generantur, alibi quidem aliud, dum illa simul permanet in se ipsa; quamvis autem sint omnia simul, singula tamen iterum sunt seorsum. *Cernit vero intus illa quae in mente essentiaque sunt, idem ipse, qui possidet intellectus, non aspiciens quidem, sed potius habens, neque rursum separans unumquodque. Discreta enim jam semper in ipso sunt singula. Apud illos igitur, qui haec nimium admirantur, fidem nobis ab iis, quae participant, comparamus; magnitudinem vero mundi illius et pulchritudinem ex amore animae ipsius ad illum conjectare asseverare solemus; quin etiam illorum amore, quo alii animam amantur, ob quandam ejusmodi naturam, atque etiam ex eo, quod per eam illius similem aliquam ad illum similitudinem consequantur. Jam vero nobis absurdum videtur, exstare pulchrum aliquod animal, nisi ipsum animal mirabilem quamdam et inaestimabilem habeat pulchritudinem. Ipsum profecto animal universum est atque perfectum absolutum, ex omnibus animalibus, imo vero cuncta in se animalia continens, unumque existens ac totidem, quot omnia sunt; quemadmodum et hoc ipsum universum est quidem unum, et omne visibile cuncta, quae sunt in visibili regione, complectens.

Essentia vera est vis quaedam extra molem materialem in se ipsa fundata, per se vivens intellectualisque maxime; quod animal intellectuale vocatur, ubi numeri omnes sunt ante actum intellectualem atque vitalem.

Η'. Ἐπειδὴ τοίνυν καὶ ζῷον πρώτως ἐστί, καὶ διὰ τοῦτο αὐτοζῷον καὶ νοῦς ἐστι καὶ οὐσία ἡ ὄντως, καί φαμεν ἔχειν καὶ ζῷα τὰ πάντα καὶ ἀριθμὸν τὸν σύμπαντα, καὶ δίκαιον αὐτὸ καὶ καλόν, καὶ ὅσα ἄλλα τοιαῦτα, (ἄλλως γὰρ αὐτοάνθρωπόν φαμεν, καὶ ἀριθμὸν αὐτόν, καὶ δίκαιον αὐτό,) σκεπτέον πῶς τούτων ἕκαστον, καὶ τί ὄν, εἰς ὅσον οἷόν τέ τι εὑρεῖν περὶ τούτων. Πρῶτον τοίνυν ἀφετέον πᾶσαν αἴσθησιν, καὶ νοῦν νῷ θεωρητέον, καὶ ἐνθυμητέον, ὡς καὶ ἐν ἡμῖν ζωὴ καὶ νοῦς οὐκ ἐν ὄγκῳ, ἀλλ' ἐν δυνάμει ἀόγκῳ, καὶ τὴν ἀληθινὴν οὐσίαν ἐκδεδυκέναι ταῦτα, καὶ δύναμιν εἶναι ἐφ' ἑαυτῆς βεβῶσαν, οὐκ ἀμενηνόν τι χρῆμα, ἀλλὰ πάντων ζωτικωτάτην καὶ νοερωτάτην, ἧς οὔτε ζωτικώτερον, οὔτε νοερώτερον, οὔτε οὐσιωδέστερον, οὗ τὸ ἐφαψάμενον ἔχει ταῦτα κατὰ λόγον τῆς ἐπαφῆς· τὸ μὲν ἐγγὺς ἐγγυτέρω, τὸ δὲ πόῤῥω πορρωτέρω. Εἴπερ οὖν ἐφετὸν τὸ εἶναι, τὸ μάλιστα ὂν μᾶλλον, ὡς μάλιστα νοῦς, εἴπερ τὸ νοεῖν ὅλως, καὶ τὸ τῆς ζωῆς ὡσαύτως. Εἰ δὴ τὸ ὂν πρῶτον δεῖ λαβεῖν, πρῶτον ὄν, εἶτα νοῦν, εἶτα τὸ ζῷον (τοῦτο γὰρ ἤδη πάντα δοκεῖ περιέχειν), ὁ δὲ νοῦς δεύτερον· ἐνέργεια γὰρ τῆς οὐσίας· οὔτ' ἂν κατὰ τὸ ζῷον ὁ ἀριθμὸς εἴη· ἤδη γὰρ καὶ πρὸ αὐτοῦ καὶ ἓν καὶ δύο ἦν· οὔτε κατὰ τὸν νοῦν· πρὸ γὰρ αὐτοῦ ἡ οὐσία ἓν οὖσα καὶ πολλὰ ἦν.

VIII. Quoniam igitur et animal primo est, et ideo ipsum per se animal est intellectus, et essentia vera; continet animalia omnia, omnem possidet numerum, ipsum justum, ipsum pulchrum, et cetera generis ejusdem. Aliter enim ipsum hominem ibi dicimus, aliter ipsum numerum, aliter ipsum justum; idcirco consideratione dignum est, quo modo unumquodque eorum se habeat, quidve sit, quatenus in rebus ejusmodi potest aliquid inveniri. Principio igitur omnem sensum dimittere decet, et intellectum intellectu considerare. Animadvertendum est praeterea, in nobis quoque vitam et intellectum non in mole, sed in virtute quadam molis experte consistere, veramque essentiam a mole similibusque esse solutam, atque esse vim in se ipsa fundatam: hoc rem quandam exilem aut debilem, sed maxime omnium intellectualem atque vitalem, qua nihil intellectualius, nihil vitalius, nihil (ut ita loquar) essentialius esse potest, adeo ut, quod hoc ipsum attingit, quodammodo eadem consequatur; et quatenus attingit gradatim, eatenus assequatur scilicet, quod tangit propius, propinquiora, quod vero remotius, remotiora reportat. Profecto, si esse est appetendum, merito, quod magis ens, magis est expetendum. Similiter, si intelligentia simpliciter est optanda, quod intellectus est maxime, potissimum et exoptandum, eademque gradatim vita quoque est afficienda. Si ergo ens ipsum primo accipiendum est, quippe cum sit et primum, secundo intellectus, tertio animal: hoc enim omnia jam complecti videtur; intellectus autem secundum quidem locum; est enim actus essentiae; profecto numerus neque secundum animal existere non censetur: jam enim et ante ipsum erat unum atque duo; neque rursus secundum intellectum est numerus statuendus; nam ante intellectum essentia unum est atque multa.

Sicut unum antecedit ens, ita numerus in ipso ente consistens antecedit entia, id est speciales ideas. Et merito super numerum, qui est in entibus numeralis, exstat numerus in suo fonte consistens : qui sane causa est, per quam ens possit in entia speciesque derivari.

Per ipsum numerum, qui est essentialis virtus et actus quidam discretivus entis, destinatum est, ens non sistere in uno gradum, sed entia plura ex uno profluere : rursumque, quot et quotis ordinibus distributa : sed ille numerus ante entia quidem involutus est, evolutus in entibus : hic substantialis numerus est. Numerus in genere quantitatis, numeri hujus est imago. Entia quidem fundantur in numero, numerus in ente, ens in uno, ne protinus dissipetur.

Θ'. Λείπεται τοίνυν θεωρεῖν, πότερα ἡ οὐσία τὸν ἀριθμὸν ἐγέννησε τῷ αὑτῆς μερισμῷ, ἢ ὁ ἀριθμὸς ἐμέρισε τὴν οὐσίαν· καὶ δὴ καὶ ἡ οὐσία, καὶ κίνησις καὶ στάσις, καὶ ταὐτὸν καὶ ἕτερον αὐτὰ τὸν ἀριθμὸν, ἢ ὁ ἀριθμὸς ταῦτα. Ἀρχὴ δὲ τῆς σκέψεως· ἆρ' οἷόν τε ἀριθμὸν εἶναι ἐφ' ἑαυτοῦ, ἢ δεῖ καὶ τὰ δύο ἐπὶ δυσὶ πράγμασι θεωρεῖσθαι, καὶ τὰ τρία ὡσαύτως; καὶ δὴ καὶ τὸ ἓν, τὸ ἐν τοῖς ἀριθμοῖς; εἰ γὰρ ἐφ' ἑαυτοῦ ἄνευ τῶν ἀριθμητῶν δύναιτο εἶναι, πρὸ τῶν ὄντων δύναιτο ἂν εἶναι. Ἆρ' οὖν καὶ πρὸ τοῦ ὄντος; ἢ τοῦτο ἐατέον, καὶ πρὸ ἀριθμοῦ ἐν τῷ παρόντι, καὶ δοτέον ἀριθμὸν ἐξ ὄντος γίγνεσθαι. Ἀλλ' εἰ τὸ ὂν ἓν ὄν ἐστι, καὶ τὰ δύο ὄντα δύο ὄντα ἐστὶ, προηγήσεται τοῦ τε ὄντος τὸ ἓν, καὶ ὁ ἀριθμὸς τῶν ὄντων. Ἆρ' οὖν τῇ ἐπινοίᾳ καὶ τῇ ἐπιβολῇ; ἢ καὶ τῇ ὑποστάσει· σκεπτέον δὲ ὧδε· ὅταν τις ἄνθρωπον ὄντα νοῇ, καὶ καλὸν ἓν, ὕστερον δήπου τὸ ἓν νοεῖ, ἐφ' ἑκατέρῳ· καὶ δὴ καὶ ὅταν ἵππον καὶ κύνα· καὶ δὴ σαφῶς τὰ δύο ἐνταῦθα ὕστερον. Ἀλλ' εἰ γεννῴη ἄνθρωπον, καὶ γεννῴη ἵππον καὶ κύνα, ἢ ἐν αὐτῷ ὄντας προφέροι, καὶ μὴ κατὰ τὸ ἐπελθὸν μήτε γεννῴη, μήτε προφέροι, ἆρ' οὐκ ἐρεῖς, εἰς ἓν ἰτέον καὶ μετιτέον εἰς ἄλλο ἓν, καὶ δύο ποιητέον, καὶ μετ' ἐμοῦ καὶ ἄλλο ποιητέον; καὶ μὴν οὐδὲ τὰ ὄντα, ὅτε ἐγένετο, ἠριθμήθη, ἀλλ' ὅσα δεῖ γενέσθαι, δῆλον ἦν, ὅσα ἔδει. Πᾶς ἄρα ὁ ἀριθμὸς ἦν πρὸ αὐτῶν τῶν ὄντων, ἀλλ' εἰ πρὸ τῶν ὄντων, οὐκ ἦν ὄντα, ἢ ἦν ἐν τῷ ὄντι, οὐκ ἀριθμὸς ὢν τοῦ ὄντος· ἓν γὰρ ἦν ἔτι τὸ ὄν. Ἀλλ' ἡ τοῦ ἀριθμοῦ δύναμις ὑποστᾶσα ἐμέρισε τὸ ὂν, καὶ οἷον ὠδίνειν ἐποίησεν αὐτὸν τὸ πλῆθος· ἢ γὰρ ἡ οὐσία αὐτοῦ, ἢ ἡ ἐνέργεια ὁ ἀριθμὸς ἔσται, καὶ τὸ ζῷον αὐτὸ καὶ ὁ νοῦς ἀριθμός. Ἆρ' οὖν τὸ μὲν ὂν ἀριθμὸς ἡνωμένος, τὰ δὲ ὄντα ἐξεληλεγμένος ἀριθμός; νοῦς δὲ ἀριθμὸς ἐν ἑαυτῷ κινούμενος, τὸ δὲ ζῷον ἀριθμὸς περιέχων; Ἐπεὶ καὶ ἀπὸ τοῦ ἑνὸς γενόμενον τὸ ὂν, ὡς ἦν ἐν ἐκείνῳ, δεῖ αὐτὸ οὕτως ἀριθμὸν εἶναι· διὸ καὶ τὰ εἴδη ἔλεγον καὶ ἑνάδας καὶ ἀριθμούς· καὶ οὗτός ἐστιν ὁ οὐσιώδης ἀριθμός. Ἄλλος δὲ ὁ μοναδικὸς λεγόμενος, εἴδωλον τούτου. Ὁ δὲ οὐσιώδης ὁ μὲν ἐπιθεωρούμενος τοῖς εἴδεσι καὶ συγγεννῶν αὐτὰ, πρώτως δὲ ὁ ἐν τῷ ὄντι, καὶ μετὰ τοῦ ὄντος, καὶ πρὸ τῶν ὄντων. Βάσιν δὲ ἔχει τὰ ὄντα ἐν αὐτῷ, καὶ πηγὴν, καὶ ῥίζαν καὶ ἀρχήν· καὶ γὰρ τῷ ὄντι τὸ ἓν ἀρχὴ, καὶ ἐπὶ τούτου ἔστιν ὄν· σκεδασθείη γὰρ ἄν. Ἀλλ' οὐκ ἐπὶ τῷ ὄντι τὸ ἕν· ἤδη γὰρ ἂν εἴη ἓν πρὶν τυχεῖν τοῦ ἑνὸς, καὶ ἤδη τὸ τυγχάνον τῆς δεκάδος δεκὰς, πρὶν τυχεῖν τῆς δεκάδος.

IX. Reliquum est igitur indagare, utrum essentia sua quadam partitione numerum procreaverit : an potius numerus sit partitus essentiam. Jam vero essentia, motus, status, idem, alterum, vel ipsa numerum genuerunt, vel *numerus potius ipsa progenuit. Principium vero considerationis erit ejusmodi* : utrum possibile sit numerum in se ipso consistere : an oporteat duo ipsa in rebus duabus et *tria in tribus similiter contemplari*, atque eadem conditione unum numeris insertum considerare. Si enim numerus in se ipso seorsum a rebus numerandis esse posset, nimirum ante entia posset exsistere. Num igitur et ante ens numerus esse potest? Sed præstat forsitan in præsenti concedere, ens numerum antecedere, atque ex ente numerum proficisci. Verum, si ens unum ens exsistit, atque duo entia similiter sunt entia duo, unum quidem ens præcedet, numerus autem entia pariter antecedet. Num igitur notione quadam atque perceptione ejusmodi fit excessus? sed profecto etiam subsistentia. Ita vero considerandum : quando quispiam hominem exsistentem intelligit unum, et pulchrum similiter unum, tunc ipsum unum posterius quodammodo in utroque considerat. Quin etiam, quando equum atque canem; tunc et ibi duo ipsa manifeste posterius animadvertit. Verum si generes hominem, et generes equum atque canem, vel in te exsistentes proferas, neque utcumque evenit, generes atque producas, nonne dices in unum eundum fore, et in unum aliud transeundum, duoque facienda, atque una tecum aliud etiam faciendum? Jam vero neque entia quidem, quando sunt facta, numerata sunt : sed quot oporteat fieri, jam constabat, videlicet quot potissimum expediret. Omnis itaque numerus entia præcedebat : at, si antecedebat entia, numerus sane non erat entia : sed profecto jam erat in ente, neque tamen entis ipsius numerus erat; adhuc enim ens erat unum. Sed numeri vis ipsa subsistens, ens in plura divisit, ac velut impulit ipsum ad multitudinem enitendam : nempe vel ipsius essentia, vel actus est numerus, atque ipsum animal et intellectus numerus est. Forsan vero ens quidem numerus est unitus, entia vero numerus explicatus, intellectus autem numerus in se agitatus, animal denique numerus comprehendens. Quandoquidem et ens ab uno progenitum, ut erat in eo, oportet ipsum sic esse numerum : quam ob rem species quoque ipsas cum unitates tum numeros appellare consueverunt : atque hic essentialis est numerus. Alter vero, qui monadicus dicitur, id est, ex quibusdam unitatibus congregatus, est quædam illius imago. Essentialis vero numerus partim quidem in speciebus inspicitur, easque concreat : partim vero prius que in ipso ente unaque cum ente viget, entiaque præcedit. Quo quidem in numero entia firmamentum habent, et fontem et radicem atque principium : etenim entis quoque ipsius unum ipsum principium est, atque in hoc est ens, alioquin protinus dissipabitur. Non tamen in ente fundatur unum : alioquin jam unum esset, priusquam assequeretur unum; atque jam, quod assequitur decadem, decas evaderet antequam decadem ipsam consequeretur.

Natura priori entia, cum sit post unum, necessario est prima sui origine multiplex, id est, numerosa. Per hos ergo numeros ita forte ens se habet ad entia, id est, ideas, sicut plerique tradunt materiam per inchoationes formarum secum genitas se ad formas habere.

Esse vero numeros ante entia patet, quia, si numerus ad entia deinceps jam posita consequatur, casu quodam contigerit numerosa distinctio entium atque ordo. Præterea, sicut omnia per aliud entia ad ipsum per se ens referuntur, sic quodlibet per aliud unum ad ipsum reducitur per se unum : ipsum vero per se unum non potest esse sub ente ; alioquin esset necessario multiplex, scilicet ex natura entis et addita proprietate compositum. Non igitur ipsum foret per se simpliciter unum. Ens igitur est sub uno, similiter entia sub numero disponuntur : nam et super numerum, qui est in entibus, exstat ipse per se exsistens ante entia numerus. Denique in ratione speciei uniuscujusque formali necessario includitur unitas atque numerus. Unitas, inquam, quoniam in primo sui signo species indistincta per unitatem est a se ipsa, et distincta pariter a quolibet alio : numerus, inquam, quoniam species communem in se naturam habet cum proprietate conjunctam. Hinc sane conjicimus, unitatem atque numerum omnes præcedere rerum species, quandoquidem formales omnium rationes in unitate numeroque consistunt.

Ι'. Ἑστὼς οὖν τὸ ὂν ἐν πλήθει ἀριθμὸς, ὅτε πολὺ μὲν ἠγείρετο, παρασκευὴ δὲ οἷον ἦν πρὸς τὰ ὄντα καὶ προτύπωσις, καὶ οἷον ἑνάδες τόπον ἔχουσαι τοῖς ἐπ' αὐτὰς ἱδρυθησομένοις. Καὶ γὰρ καὶ νῦν τοσοῦτον βούλομαι, φησὶ, πλῆθος χρυσοῦ ἢ οἰκείων. Καὶ ἓν μὲν ὁ χρυσὸς, βούλεται δὲ οὐ τὸν ἀριθμὸν χρυσὸν ποιῆσαι, ἀλλὰ τὸν χρυσὸν ἀριθμόν· καὶ τὸν ἀριθμὸν ἤδη ἔχων ἐπιθεῖναι ζητεῖ τοῦτον τῷ χρυσῷ, ὥστε συμβῆναι τῷ χρυσῷ τοσούτῳ γενέσθαι. Εἰ δὲ τὰ ὄντα μὲν ἐγίγνετο πρὸ ἀριθμοῦ, ὁ δ' ἀριθμὸς ἐπ' αὐτοῖς ἐπεθεωρεῖτο, τοσαῦτα κινηθείσης τῆς ἀριθμούσης φύσεως, ὅσα τὰ ἀριθμητὰ, κατὰ συντυχίαν ἦν ἂν τοσαῦτα, καὶ οὐ κατὰ πρόθεσιν τοσαῦτα, ὅσα ἐστίν. Εἰ οὖν μὴ εἰκῇ τοσαῦτα, ὁ ἀριθμὸς αἴτιος, προὼν τοῦ τοσαῦτα· τοῦτο δέ ἐστιν, ἤδη ὄντος ἀριθμοῦ, μετέσχε τὰ γενόμενα τοῦ τοσαῦτα, καὶ ἕκαστον μὲν τοῦ ἓν μετέσχεν, ἵνα ἓν ᾖ. Ἔστι δὲ ὂν παρὰ τοῦ ὄντος, ἐπεὶ καὶ τὸ ὂν παρ' αὐτοῦ ὄν· ἓν δὲ παρ' αὐτοῦ ἕν· ἕκαστόν τε ἕν, εἰ ὁμοῦ πολλὰ ἦν τὸ ἓν τὸ ἐπ' αὐτοῖς, ὡς τριὰς ἓν, καὶ τὰ πάντα ὄντα οὕτως ἕν, οὐχ ὡς τὸ ἓν τὸ κατὰ τὴν μονάδα, ἀλλ' ὡς ἓν ἡ μυριὰς, ἢ ἄλλος τις ἀριθμός· ἐπεὶ καὶ ὁ λέγων ἤδη πράγματα μύρια γενόμενα, εἰ εἶπε μύρια ὁ ἀριθμῶν, οὐ παρ' αὐτῶν φησι τὰ μύρια προσφωνεῖσθαι, δεικνύντων ὥσπερ τὰ χρώματα αὐτῶν, ἀλλὰ τῆς διανοίας λεγούσης τοσαῦτα· εἰ γὰρ μὴ λέγοι, οὐκ ἂν εἰδείη, ὅσον τὸ πλῆθος. Πῶς οὖν ἐρεῖ; ἢ ἐπιστάμενος ἀριθμεῖν, τοῦτο δὲ, εἰ ἀριθμὸν εἰδείη, εἰδείη δ' ἂν, εἰ εἴη ἀριθμός. Ἀγνοεῖν δὲ τὴν φύσιν ἐκείνην, ὅσα ἐστὶ τὸ πλῆθος, ἄτοπον, μᾶλλον δὲ, ἀδύνατον. Ὥσπερ τοίνυν εἰ λέγοι τις ἀγαθὰ, ἢ τὰ παρ' αὐτῶν τοιαῦτα λέγει, ἢ κατηγορεῖ τὸ ἀγαθὸν ὡς συμβεβηκὸς αὐτῶν· καὶ εἰ τὰ πρῶτα λέγοι, ὑπόστασιν λέγει τὴν πρώτην· εἰ δὲ, οἷς συμβέβηκε τὸ ἀγαθὸν, δεῖ εἶναι φύσιν ἀγαθοῦ, ἵνα καὶ ἄλλοις συμβεβήκῃ, ἢ τὸ αἴτιον τὸ πεποιηκὸς καὶ ἐν ἄλλῳ δεῖ εἶναι, ἢ αὐτοαγαθὸν, ἢ γεγεννηκὸς τὸ ἀγαθὸν ἐν φύσει οἰκείᾳ· οὕτω καὶ ἐπὶ τῶν ὄντων ὁ λέγων ἀριθμὸν, οἷον δεκάδα, ἢ αὐτὴν ὑφεστῶσαν δεκάδα ἂν λέγοι, ἢ, οἷς συμβέβηκε δεκὰς, λέγων αὐτὴν δεκάδα ἀναγκάζοιτο ἀντιθέσθαι ἐφ' ἑαυτῆς, οὐκ ἄλλο τι ἢ δεκάδα οὖσαν. Ἀνάγκη τοίνυν, εἰ τὰ ὄντα δεκάδα λέγοι, ἢ αὐτὰ δεκάδα εἶναι, ἢ πρὸ αὐτῶν ἄλλην δεκάδα εἶναι, οὐκ ἄλλο τι ἢ αὐτὸ τοῦτο δεκάδα εἶναι. Καθ' ὅλου τοίνυν δεικτέον, ὅτι πᾶν, ὅ τι περ ἂν κατ' ἄλλου κατηγορῆται, παρ' ἄλλου ἐλήλυθεν

X. Consistens igitur ens in multitudine numerus evadit, quando tanquam multiplex excitatur et surgit, et quasi præparatio quædam et præfiguratio erat ad entia, ubi quodammodo unitates locum habere videntur illis expositum, quæ in eis fundanda sunt. Atqui et nunc tantam, dicit aliquis, volo equidem auri multitudinem, vel etiam reliquarum possessionum. Aurum sane unum quiddam est : ille vero vult non numerum quidem aurum facere, sed aurum potius facere numerum : et, utpote qui jam habet numerum, adhibere hunc auro studet, adeo ut auro contingat fieri tantum. Sin autem entia quidem numerum antecederent, numerus autem deinde in eis inspiceretur, dum eatenus natura numerans moveatur, quatenus numeranda multiplicantur, certe secundum contingentiam quandam tot utique, quot nunc sunt, entia forent, neque ex ullo proposito tot numero, quot exsistunt. Si igitur tot sunt non temere, profecto numerus, tanquam illa præcedens, ut tot propria sint, est causa : id est, exsistente jam numero, quæ facta sunt, hujus ipsius, ut tot sint, conditionis evadunt : tum vero quodlibet quidem unius est particeps, ut sit unum. Est autem ens ab ente, quando et ens a se ipso ens, unum autem a se ipso similiter unum. Quinetiam quæ singulatim unum sunt, multa sunt simul unum, quod est in eis, est tanquam ternitas unum, atque omnia entia ita unum : non sicut unum, quod secundum singularem perpenditur unitatem, sed sicut unum dicitur decies millenarius, aliusque quilibet numerus. Jam vero, et qui res jam factas decies mille computat numerando, non ait res ex se ipsis decies mille, velut sua quadam voce, cognominari, sed ita censet, quasi res ipsæ numeros suos colorum instar ostendant, cogitatione videlicet tot sibi dictante : nisi enim dictaverit, non cognoscet, quanta sit multitudo. Quomodo igitur ait? Certe tanquam qui sciat enumerare. Id vero scit, si numerum ipsum noverit. Cognoscet autem, si sit numerus. At vero naturam illam, quot numero sit, ignorare absurdum est, imo vero penitus impossibile. Proinde si quis dixerit bona, vel quæ ex se ipsis sunt, talia dicat, vel bonum de illis tanquam illorum accidens prædicabit : ac si prima dixerit, primam substantiam introducet. Sin autem asserat ea, quibus accidit bonum, oportet exstare boni naturam, ut et aliis possit accidere : vel causam ipsam, quæ et in alio faciat, oportet exsistere : aut ipsum bonum, aut quod bonum genuit, in propria natura consistere. Simili quadam conditione in ipso entium ordine, quicumque dicit numerum, velut decadem, is aut decadem ipsam nominat subsistentem : aut fortasse, si introduxerit illa, quibus contingit decas, jam ipsam decadem compelletur vicissim in se ipsa locare, quæ nihil aliud omnino, nisi decas, exsistat. Necessarium est igitur, si entia decadem dicat, vel ipsa esse ipsam decadem, vel certe super ipsa alteram consistere decadem, quæ profecto nihil aliud sit, quam ipsa decas. Communiter autem, quidquid de alio prædicatur, ab alio venit in

εἰς ἐκεῖνο, ἢ ἐνέργειά ἐστιν ἐκείνου. Καὶ εἰ τοιοῦτον, οἷον μή ποτε μὲν παρεῖναι, ποτὲ δὲ μὴ παρεῖναι, ἀλλ' ἀεὶ μετ' ἐκείνου εἶναι, εἰ οὐσία ἐκεῖνο, οὐσία καὶ αὐτὸ καὶ οὐ μᾶλλον ἐκεῖνο, ἢ αὐτὸ οὐσία· εἰ δὲ μὴ οὐσίαν διδοίη, ἀλλ' οὖν τῶν ὄντων καὶ ὄν· καὶ εἰ μὲν δύναιτο τὸ πρᾶγμα ἐκεῖνο νοεῖσθαι ἄνευ τῆς ἐνεργείας αὐτοῦ, ἅμα μὲν εἶναι οὐδὲν ἧττον ἐκείνῳ, ὕστερον δὲ τῇ ἐπινοίᾳ τάττεσθαι παρ' ἡμῶν. Εἰ δὲ μὴ παρεπινοεῖσθαι οἷόν τε ἄνευ ἐκείνου, οἷον ἄνθρωπον ἄνευ τοῦ ἕν, ἢ οὐχ ὕστερον αὐτοῦ, ἀλλὰ συνυπάρχον, ἢ πρότερον αὐτοῦ, ἵνα αὐτὸ δι' ἐκεῖνο ὑπάρχῃ· ἡμεῖς δὲ φαμὲν πρότερον τὸ ἓν καὶ τὸν ἀριθμόν.

illud, vel est actus illius. Et quando tale est, ut non alias quidem adsit, alias vero non adsit, sed cum illo sit semper, si illud essentia est, essentia est et ipsum, neque magis illud, quam ipsum essentia est. Si quis autem esse essentiam non concesserit, saltem in quodam entium ordine et ens esse concedet. Atqui, et si res illa absque actu suo possit intelligi, nihilo minus cum illo simul exsistit, quamvis apud nos cogitatione quadam illo posterius judicetur. Si autem nequeat sine illo excogitari, velut homo absque eo, quod est unum, profecto vel non posterius ipso est, sed simul exsistens, vel etiam prius est, quam ipsum, ut ipsum per illud exsistat: nos autem unum prius esse fatemur numerumque similiter.

Quodcumque ens perceperis, sive sensibile, sive quomodolibet intelligibile vel ideam, de hoc singulatim prædicatur unum. Unum ergo, cum communiter sit in singulis, nulli penitus est addictum: imo et super unum, quod est in alio, id est ente, atque in ejus opposito, id est multitudine entium, profecto unum extra aliud et multitudinem per se exsistit.

Pulchritudo primae essentiae suapte natura viventis est intelligentia sua, conversa semper ad se ipsam et ad ipsum bonum. Praeterea omnis intellectus et animus vitam illam intellectualem re vera contemplans, atque igitur inde lumine intellectuali pariter et vitali et accedente statim amore transformatur in illam. Prima essentia nec ab ullo ente, velut a contrario, patitur: est enim totius entis causa, et omne ens eminenter, nec a non ente pati potest. Et quoniam per se ipsam est, merito semper est atque plenissime. Pendet autem ab ipso bono, dum vitam et intelligentiam antecedit: quam ob rem vivere et intelligere nobis est appetendum, ut et esse plenissimum habeamus: hoc autem ut habeamus, esse bonum. Principium denique est, quod sibi sufficit. Anima quidem sibimet ad motum sufficit: ens autem ad ipsum esse sibi satis est: ipsum vero bonum ad bonum, atque omnia. Tria igitur principia videri possunt.

ΙΗ'. Ἀλλὰ γὰρ ὁ ἀριθμὸς ἐκεῖ ὥρισται· ἡμεῖς δ' ἐπινοήσομεν πλείονα τοῦ προτεθέντος, καὶ τὸ ἄπειρον οὕτως ἀριθμούντων. Ἐκεῖ δὲ ἐπινοῆσαι πλέον οὐκ ἔστι τοῦ ἐπινοηθέντος· ἤδη γὰρ ἔστιν· οὐδ' ἐλείφθη τις οὐδὲ λειφθήσεται, ἵνα τις καὶ προστεθῇ αὐτῷ. Εἴη δ' ἂν

XVIII. Proinde numerus illic omnis est definitus: nos autem numero quocunque dato majorem fingimus, atque sic infinitum in numerando contingit. Illic autem non potest, semel intellecto numero, major intelligi numerus: jam enim existit; neque relictus est ullus, neque in posterum relinquetur, ut ipsi alius adjungatur. Erit itaque,

κἀκεῖ ἄπειρος, ὅτι οὐκ ἔστι μεμετρημένος. Ὑπὸ τίνος γάρ; ἀλλ' ὅς ἐστι, πᾶς ἐστιν, ἓν ὢν καὶ ὁμοῦ, καὶ ὅλος δή, καὶ οὐ περιειλημμένος πέρατί τινι, ἀλλ' ἑαυτῷ ὤν, ὅς ἐστι· τῶν γὰρ ὄντων ὅλως οὐδὲν ἐν πέρατι, ἀλλ' ἔστι τὸ πεπερασμένον καὶ μεμετρημένον, τὸ εἰς ἀπειρίαν κωλυθὲν δραμεῖν καὶ μέτρου δεόμενον· ἐκεῖνα δὲ πάντα μέτρα, ὅθεν καὶ καλὰ πάντα. Καὶ γάρ, ᾗ ζῷον, καλόν, ἀρίστην τὴν ζωὴν ἔχον, οὐδεμιᾷ ζωῇ ἐλλεῖπον, οὐδ' αὖ πρὸς θάνατον συμμιγῆ ἔχον τὴν ζωήν· οὐδὲν γὰρ θνητὸν οὐδ' ἀποθνῆσκον, οὐδ' αὖ ἀμενηνὴ ἡ ζωὴ τοῦ ζῴου αὐτοῦ, ἀλλ' ἡ πρώτη καὶ ἐναργεστάτη καὶ τὸ τρανὸν ἔχουσα τοῦ ζῆν, ὥσπερ τὸ πρῶτον φῶς, ἀφ' οὗ καὶ αἱ ψυχαὶ ζῶσί τε ἐκεῖ, καὶ αἱ δεῦρο ἰοῦσαι κομίζονται. Οἶδε δέ, καὶ ὅτου χάριν ζῇ, καὶ πρὸς ὃ ζῇ, ἀφ' οὗ καὶ ζῇ, ἐξ οὗ γὰρ καὶ εἰς ὃ ζῇ. Ἡ δὲ πάντων φρόνησις καὶ ὁ πᾶς νοῦς ἐπὼν καὶ συνὼν καὶ ὁμοῦ ὤν, ἀγαθώτερον αὐτὸ ἐπιχρώσας καὶ συγκερασάμενος φρόνησιν, σεμνότερον αὐτοῦ τὸ κάλλος παρέχεται· ἐπεὶ καὶ ἐνταῦθα φρόνιμος ζωὴ τὸ σεμνὸν καὶ τὸ καλὸν κατὰ ἀλήθειάν ἐστι, καίτοι ἀμυδρῶς ὁρᾶται, ἐκεῖ δὲ καθαρῶς ὁρᾶται. Δίδωσι γὰρ τῷ ὁρῶντι ὅρασιν καὶ δύναμιν εἰς τὸ μᾶλλον ζῆν, καὶ μᾶλλον εὐτόνως ζῶντα ὁρᾶν, καὶ γενέσθαι, ὃ ὁρᾷ. Ἐνταῦθα μὲν γὰρ ἡ προσβολή, καὶ πρὸς ἄψυχα ἡ πολλή, καὶ ὅταν πρὸς ζῷα, τὸ μὴ ζῶν αὐτῶν προβέβληται, καὶ ἡ ἔνδον ζωὴ μέμικται. Ἐκεῖ δὲ ζῷα πάντα, καὶ ὅλα ζῶντα καὶ καθαρά, κἂν ὡς οὐ ζῷόν τι λάβῃς, ἐξέλαμψεν αὐτοῦ εὐθέως καὶ αὐτὸ τὴν ζωήν· τὴν δὲ οὐσίαν ἐν αὐτοῖς διαβᾶσαν ἀκίνητον εἰς μεταβολὴν παρέχουσαν αὐτοῖς τὴν ζωὴν καὶ τὴν φρόνησιν καὶ τὴν ἐν αὐτοῖς σοφίαν καὶ ἐπιστήμην θεασάμενος, τὴν κάτω φύσιν ἅπασαν γελάσει τῆς εἰς οὐσίαν προσποιήσεως. Παρὰ γὰρ ταύτης μένει μὲν ζωή, μένει δὲ νοῦς, ἕστηκε δὲ ἐν αἰῶνι τὰ ὄντα· ἐξίσταται δὲ οὐδέν, οὐδέ τι τρέπει, οὐδὲ παρακινεῖ αὐτό· οὐδὲ γὰρ ἔστι τι ὂν μετ' αὐτό, ὃ ἐφάψεται αὐτοῦ· εἰ δέ τι ἦν, ὑπὸ τούτου ἂν ἦν· καὶ εἰ ἐναντίον τι ἦν, ἀπαθὲς ἂν ἦν τοῦτο ὑπ' αὐτοῦ τοῦ ἐναντίου. Ὂν δὲ αὐτὸ οὐκ ἂν τοῦτο ἐποίησεν ὄν, ἀλλ' ἕτερον πρὸ αὐτοῦ κοινὸν καὶ ἦν ἐκεῖνο τὸ ὄν· ὥστε ταύτῃ Παρμενίδης ὀρθῶς ἓν εἰπὼν τὸ ὄν, καὶ οὐ δι' ἐρημίαν ἄλλου ἀπαθές, ἀλλ' ὅτι ὄν. Μόνῳ γὰρ τούτῳ παρ' αὐτοῦ ἐστιν εἶναι. Πῶς ἂν οὖν τις τὸ ὂν παρ' αὐτοῦ ἀφέλοιτο, ἢ ὁτιοῦν ἄλλο, ὅσα ὄντως ἐνεργείᾳ, καὶ ὅσα ἀπ' αὐτοῦ; ἕως γὰρ ἂν ᾖ, χορηγεῖ· ἔστι δ' ἀεί, ὥστε κἀκεῖνα· οὕτω δ' ἐστὶν ἐν δυνάμει καὶ κάλλει μέγα, ὥστε θέλγειν καὶ τὰ πάντα ἀνηρτῆσθαι αὐτοῦ, καὶ ἴχνος αὐτοῦ παρ' αὐτοῦ ἔχοντα ἀγαπᾶν, καὶ μετὰ τοῦτο ἀγαθὸν ζητεῖν. Τὸ γὰρ εἶναι πρὸ ἐκείνου ὡς πρὸς ἡμᾶς, καὶ ὁ πᾶς δὲ κόσμος οὗτος καὶ ζῆν καὶ φρονεῖν, ἵνα ᾖ, θέλει, καὶ πᾶσα ψυχὴ καὶ πᾶς νοῦς, ὅ ἐστιν, εἶναι· τὸ δὲ εἶναι αὔταρκες ἑαυτῷ.

illic etiam appellare numerum infinitum, propterea quod non sit mensuratus. A quo enim mensurari queat? Sed qui est, universus exsistit, unum existens atque simul: atqui et totus nec ullo termino comprehensus, sed qui est sibimet seque ipso consistens: nullum enim omnino entium termino circumscribitur: nam terminatum mensuratumque censetur illud, quod in infinitum prolabi cohibetur egetque termino: illa vero mensurae sunt omnia, quam ob rem ibi pulchra sunt omnia: etenim, qua ipsum animal est, exsistit et pulchrum, vita optima praeditum, cui nihil omnino vitae desit, neque vitam habeat morti permixtam. Nihil enim ibi mortale, nihil est moriens: neque rursus exilis debilisve vita est animalis ipsius, sed prima, certissima, habens integrum vitae vigorem, ceu lumen primum, a quo animae quoque et illic vivunt, et quae huc deveniunt, inde ducunt. Novit autem, et cujus gratia vivat, et ad quod vivat, a quo videlicet vivit, nempe ex quo vivit, iterum vivit ad idem. Ipsa vero omnium sapientia intellectusque universus adstans, et coexsistens, et simul exsistens, melius ipsum reddit quasi colorans, sapientiamque commiscens, venerabiliorem venustioremque ejus efficit pulchritudinem: quando et hic vita sapiens re vera est ipsum apud nos pulchrum atque venerandum, quamvis obscure a nobis prospiciatur, illic autem pure discernitur: tribuit enim videnti visionem ipsam, vimque simul, qua magis et vivat, efficaciusque vivens cernat etiam perspica*cius, ipsumque, quod videt, efficiatur. Apud nos enim* intuitus ad inanimata saepissime flectitur: et quando ad animalia vertitur, tunc, quod in eis est non vivens, primum nobis occurrit: et vita, quae latet intus, jam est admixta. Illic autem animalia viventiaque sunt omnia totaque et pura viventia, ac si quid tanquam non animal illic acceperis, mox illud quoque suam ex se vitam edit in lucem. Si quis denique essentiam in illis se diffundentem, eisque praebentem vitam prorsus immobilem, rursusque prudentiam et illis propriam sapientiam et scientiam fuerit contemplatus, totam protinus naturam hanc deridebit inferiorem, quod sibi essentiam communi judicio vindicet. Ab illa namque essentia penesque illam permanet vita, perma*net intellectus: entia vero in aevo consistunt: nihil inde* discedit, nihil vertit, nihil dimovet ipsum. Neque enim est ens ultra ipsum aliquod, quod illud attingat: ac, si quid foret, sub ipso procul dubio foret: et si quid foret illi contrarium, illud adhuc a contrario minime pateretur. Ens autem ipsum hoc nequaquam effecisset ens, sed alterum super ipsum commune, esseque illud ens ipsum. Quapropter hac ratione Parmenides recte, cum unum dixisset ipsum ens, non ob alius absentiam esse addidit, impassibile, sed duntaxat, quia sit ens ipsum. Hoc enim solum ex se ipso possidet esse. Quo igitur modo quis ab illo ens adimat, vel aliud quicquam eorum, quae re vera est in actu, et quotcumque possidet ex se ipso? Quatenus enim exstat, suo sibi suggerit: est autem semper, ideo sunt semper et illa. Adeo vero potentia est et pulchritudine magnum, ut ad se alliciat rapiatque omnia pendula ex ipso pendentia, eaque inde putantia sibi factum, si vel ejus vestigium consequantur, quae sane post hoc quaerunt et bonum. Esse namque ipsum, quantum spectat ad nos, est ante bonum. *Hic denique mundus omnis*, ad hoc ipsum, ut sit, vitam sapientiamque affectat: omnisque anima et intellectus omnis hoc ipsum, quod est, optat exsistere: ipsum vero esse sibi ipsi sufficit.

# ΕΝΝΕΑΔΟΣ Ϛ

## ΛΟΓΟΣ Ζ.

### ΠΕΡΙ ΤΟΥ ΠΩΣ ΤΟ ΠΛΗΘΟΣ ΤΩΝ ΙΔΕΩΝ ΥΠΕΣΤΗ, ΚΑΙ ΠΕΡΙ ΤΑΓΑΘΟΥ.

# ENNEADIS SEXTÆ

## LIBER VII.

### QUO MODO IDEARUM EXSTITIT MULTITUDO, ATQUE DE IPSO BONO.

(692,693.) [1207—1209.]

Deus providens animali non ita cogitavit, primo quidem animal inter contraria positum pati posse; secundo opus esse sensibus, ut caveret; tertio sensuum instrumentis: sed uno statim intelligentiæ totius virtutisque momento cuncta in ipso penes deum animali simul ordinate disposita sunt.

Intelligentia enim virtusque perfecta motum ac sensum et sensibilia mirabiliter antecedens, nec a sensu vel sensibili exorditur, nec instar mobilis alicujus ab hoc in istud, ab isto in illud ordine ducitur quasi gradibus, sed in uno semel omnia possidet. Idea rei cujusque quantumlibet compositæ motibusque distractæ in deo simplex est, totaque simul præsentia possidens quæcunque, in rebus, apud nos temporibus, evolvuntur.

Α'. Εἰς γένεσιν πέμπων ὁ θεὸς ἢ θεός τις τὰς ψυχὰς φωσφόρα περὶ τὸ πρόσωπον ἔθηκεν ὄμματα, καὶ τὰ ἄλλα ὄργανα ταῖς αἰσθήσεσιν ἑκάσταις ἔδωκε, προορώμενος, ὡς οὕτως ἂν σώζοιτο, εἰ προορῷτο καὶ προακούοι, καὶ ἁψαμένη, τὸ μὲν φεύγοι, τὸ δὲ διώκοι. Πόθεν δὴ προϊδὼν ταῦτα; οὐ γὰρ δὴ πρότερον γενομένων ἄλλων, εἶτα δι' ἀπουσίαν αἰσθήσεων φθαρέντων, ἔδωκεν ὕστερον, ἃ ἔχοντες ἔμελλον ἄνθρωποι καὶ τὰ ἄλλα ζῷα, τὸ παθεῖν φυλάξασθαι. Ἢ εἴποι ἄν τις· ᾔδει, ὅτι ἐν θερμοῖς καὶ ψυχροῖς ἔσοιτο τὸ ζῷον καὶ τοῖς ἄλλοις σωμάτων πάθεσι· ταῦτα δὲ εἰδὼς, ὅπως μὴ φθείροιτο ῥᾳδίως τῶν ζῴων τὰ σώματα, τὸ αἰσθάνεσθαι ἔδωκε, καὶ δι' ὧν ἐνεργήσουσιν αἱ αἰσθήσεις ὀργάνων· ἀλλ' ἤτοι ἐχούσαις τὰς δυνάμεις ἔδωκε τὰ ὄργανα, ἢ ἄμφω; ἀλλ' εἰ μὲν ἔδωκε καὶ τὰς αἰσθήσεις, οὐκ ἦσαν αἰσθητικαὶ πρότερον ψυχαὶ οὖσαι. Εἰ δ' εἶχον, ὅτε ἐγένοντο ψυχαὶ, καὶ ἐγένοντο, ἵν' εἰς γένεσιν ἴωσι, σύμφυτον αὐταῖς τὸ εἰς γένεσιν ἰέναι. Παρὰ φύσιν ἄρα τὸ ἀπὸ γενέσεως καὶ ἐν τῷ νοητῷ εἶναι· καὶ πεποίηνται δὴ, ἵνα ἄλλου ὦσι καὶ ἵνα ἐν κακῷ εἶεν· καὶ ἡ πρόνοια, ἵνα σώζοιντο ἐν τῷ κακῷ, καὶ ὁ λογισμὸς ὁ τοῦ θεοῦ οὗτος καὶ ὅλως λογισμός. Ἀρχαὶ δὲ λογισμῶν τίνες; καὶ γὰρ εἰ ἐξ ἄλλων λογισμῶν, δεῖ ἐπί τι πρὸ λογισμοῦ ἢ τινά γε πάντως ἰέναι. Τίνες οὖν ἀρχαί; ἢ γὰρ αἴσθησις, ἢ νοῦς· ἀλλὰ αἴσθησις μὲν οὔπω, νοῦς ἄρα. Ἀλλ' εἰ νοῦς αἱ προτάσεις, τὸ συμπέρασμα ἐπιστήμη, περὶ αἰσθητοῦ οὐδενὸς ἄρα· (οὐ γὰρ ἀρχὴ μὲν ἐκ τοῦ νοητοῦ, τελευτὴ δὲ εἰς τὸ μὴ νοητὸν ἀφικνεῖται,) πῶς ἔνι ταύτην τὴν ἕξιν πρὸ αἰσθητοῦ καὶ διανόησιν ἀφικνεῖσθαι; οὔτ' οὖν ζῴου πρόνοια, οὐθ' ὅλως τοῦδε τοῦ παντὸς ἐκ λογισμοῦ ἐγένετο· ἐπεὶ οὐδὲ ὅλως λογισμὸς ἐκεῖ, ἀλλὰ λέγεται λογισμὸς, εἰς ἔνδειξιν τοῦ πάντα οὕτως, ὡς ἄλλος σοφὸς ἐκ λογισμοῦ ἐν τοῖς ὕστερον· καὶ πρόορασις, ὅτι οὕτως ὡς ἄν τις σοφὸς ἐν τοῖς ὕστερον προΐδοιτο. Ἐν γὰρ τοῖς μὴ γενομένοις πρὸ λογισμοῦ ὁ λογισμὸς χρήσιμον ἀπορίᾳ δυνάμεως τῆς πρὸ λογισμοῦ· καὶ πρόορασις, ὅτι μὴ ἦν δύναμις τῷ προορῶντι, καθ' ἣν οὐκ ἐδεήθη προορά-

I. Cum ipse deus, vel saltem deus aliquis, animas in generationem demitteret, luciferos in facie oculos fabricavit, et instrumenta cetera reliquis adhibuit sensibus, prævidens videlicet, ita demum animal posse servari, si antevideat audiatque singula, et denique tangat atque ita alia quidem fugiat, alia prosequatur. Sed undenam prævidit hæc deus? Non enim putandum est, facta quondam ab eo animalia quædam, quæ carentia sensibus repente perierint, inque deum hinc admonitum, ea in posterum tribuisse, quibus instructi homines et animalia cetera æque munita perniciem devitarent. Forsan vero quispiam asseret, deum antea cognovisse, animal in calore et frigore, ceterisque corporum passionibus versaturum: itaque talia cognoscentem, ne facile animalium corpora perderentur, sensum attribuisse, et instrumenta, quibus sensus commodius uterentur. Verum quærendum est deinceps, utrum animis ejusmodi jam vires habentibus adjunxerit instrumenta, an utraque dederit. Si sensus quoque tradidit, non erant antea sensuales, cum tamen animæ jam tunc existerent. Sin autem habebant jam, quando factæ sunt, animæ, factæque sunt, ut in generationem veniant, certe innatum est eis, ut in generationem veniant. Ex quo sequi videbitur ut præter naturam sit a generatione discedere et in mundo intelligibili vivere: itaque factæ videntur, ut alieni sint juris, habitentque in malo, idque providentia machinatur, ut custodiantur in malo: atqui et ratiocinatio dei sic se haberet, et omnino in deo ratiocinatio foret. Unde quærendum erit, quænam discursionis ejusmodi principia sint. Si enim ex discursionibus aliis, oportet tandem in aliquid, vel aliqua saltem ante discursionem existentia penitus pervenire. Quænam igitur principia sunt? aut sensus, aut potius intellectus. Verum sensus quidem nondum erat exortus: igitur intellectus. Verum si intellectus quidem est propositiones quædam, conclusio vero scientia, sequitur, ut de nullo sensibili tunc fuerit consultum. Non enim principium quidem ex intelligibili pendet, finis autem in quiddam non intelligibile devenit. Tum vero quonam modo contigit, ante sensibile talem quendam habitum excogitationemque incidere? Quam ob rem neque animalis ullius, neque omnino mundi hujus ex quadam rationis discursione providentia contigit: siquidem nec omnino ulla apud deum argumentatio est, nominatur tamen interdum rationale quoddam in deo consilium, ut ita potissimum indicetur, sic ab eo singula constituta, ut sapiens aliquis in rebus posterioribus consilio faceret. Tum vero prævisio nuncupatur in deo: quoniam ita disposuit, quemadmodum sapiens aliquis rebus posterioribus providisset. In his enim, quæ ante argumentationem minime fiunt, argumentatio confert ob potentiæ illius infirmitatem, quæ actum argumentandi præcedit. Confert quoque prævisio, quoniam penes eum, qui prævidet, non erat facultas, per quam

σεως· καὶ γὰρ ἡ πρόφασις, ἵνα μὴ τοῦτο, ἀλλὰ τοῦτο, καὶ οἷον φοβεῖται τὸ μὴ τοιοῦτον· οὗ δὲ τοῦτο μόνον, οὐ πρόφασις, καὶ ὁ λογισμὸς, τοῦτο ἀντὶ τούτου. Μόνου δ' ὄντος θατέρου, τί καὶ λογίζεται; πῶς οὖν τὸ μόνον καὶ ἓν καὶ ἁπλῶς ἔχει ἀναπτυσσόμενον τὸ τοῦτο, ἵνα μὴ τοῦτο; καὶ ἔμελλε γὰρ τοῦτο, εἰ μὴ τοῦτο· καὶ χρήσιμον τοῦτο ἀνεφάνη, καὶ σωτήριον τοῦτο γενόμενον. Προείδετο ἄρα, καὶ προελογίσατο ἄρα. Καὶ δὴ καὶ τὸ νῦν ἐξ ἀρχῆς λεχθὲν τὰς αἰσθήσεις διὰ τοῦτο καὶ ἔδωκε τὰς δυνάμεις, εἰ καὶ ὅτι μάλιστα ἄπορος ἡ δόσις, καὶ πῶς; οὐ μὴν ἀλλ' εἰ δεῖ ἑκάστην ἐνέργειαν μὴ ἀτελῆ εἶναι, μηδὲ θεμιτὸν θεοῦ ὁτιοῦν ὂν, ἄλλο τι νομίζειν ἢ ὅλον τε καὶ πᾶν, δεῖ ἐν ὁτῳοῦν τῶν αὐτοῦ πάντα ἐνυπάρχειν. Δεῖ τοίνυν καὶ τοῦ μέλλοντος ἤδη παρόντος εἶναι, οὐ δὴ ὕστερόν τι ἐν ἐκείνῳ, ἀλλὰ τὸ ἤδη ἐκεῖ παρὸν ὕστερον ἐν ἄλλῳ γίνεται. Εἰ οὖν ἤδη πάρεστι τὸ μέλλον, ἀνάγκη οὕτω παρεῖναι, ὡς προνενοημένον εἰς τὸ ὕστερον· τοῦτο δέ ἐστιν, ὡς μηδὲν δεῖσθαι μηδενὸς τότε, τοῦτο δ' ἐστὶ, μηδὲν ἐλλείψοντος. Πάντα ἄρα ἤδη ἦν, καὶ ἀεὶ ἦν, καὶ οὕτως ἦν, ὡς εἰπεῖν ὕστερον τόδε μετὰ τόδε· ἐκτεινόμενον μὲν γὰρ καὶ οἷον ἁπλούμενον ἐκεῖ, δείκνυται τόδε μετὰ τόδε· ὁμοῦ δὲ ὂν, πᾶν τόδε, τοῦτο δέ ἐστιν ἔχον ἐν ἑαυτῷ καὶ τὴν αἰτίαν.

non egeret provisione. Provisio enim huc tendit, ut non hoc quidem, sed illud eveniat: ubi quodammodo timetur, ne quid incidat alienum. Ubi autem non hoc vel illud imminet, sed hoc tantum adest, non est ulla provisio: quin etiam argumentatio hoc pro illo quaerere vel assumere solet. At ubi alterum adest solum, quidnam argumentatione sit opus? Quomodo igitur illud, quod est solum et unum, et omnino se simpliciter habet, revolutionem in se admittit ejusmodi, in qua hoc aliquid statuatur, ne forsitan eveniat aliud? In qua et dicatur, Nisi hoc fiat, accideret illud: in qua rursus addatur, Hoc jam apparuit utile, et si hoc fiat, servabit effectum. Si enim apud deum ita cogitaretur, igitur providisset: igitur et ante esset argumentatus. Atqui et quod modo ab initio dicebatur, sensus ac *vires ob hoc ipsum dedisse videtur: quamvis tributio haec* utrum fiat, et quomodo fiat, dubitationem plurimam subeat. Verumtamen si oportet quamlibet illic actionem esse defectus expertem, neque fas est penes deum esse aliquid, quod non sit totum et universum, profecto necessarium est, in unoquoque eorum, quae dei ipsius propria sunt, omnia contineri. Quam ob rem cum et ipsum futurum sit ibi jam praesens, nihil est in eo posterius: verum, quod ibi jam adest, posterius evadit in alio. Si ergo futurum jam est praesens, necesse est sic esse praesens, tanquam praecognitum in posterius: id est, ut nihil tunc indigeat aliquo: id est, ut nihil defuturum sit omnino. Omnia igitur jam erant: eruntque semper, et ita erant, ut posterius liceret dicere, hoc esse post illud: nempe quando, quod illic est, explicatur et panditur, tunc hoc post illud apparet. Qua vero ratione secum simul existit, non occurrit hoc amplius atque illud, sed potius hoc universum: id est causam quoque possidens in se ipso.

Duo de quolibet potissima quaeri solent: quid videlicet, et propter quid res ipsa sit. Illud quidem explicatur definitione, hoc autem declaratur assignatione causae efficientis atque finalis: et invicem conjuncta sunt ambo.

Sensus quidem neutrum quaerit: ratio vero quaerit utrumque seorsum: intellectus autem possidet utrumque simul. Atque in hoc ratio simul consequitur ambo: neque cum primum, quid ipsa rei natura sit, definierit, mox in ea ipsa definitione deprehendit efficientem ejus causam et finalem, atque vicissim, cum primum ejusmodi causam apprehenderit, comprehendit ibidem ipsius rei naturam. Praeterea in animali cum mundano, tum quolibet, ita membra invicem sunt contexta totaque simul prodeunt, ut quovis inspecto, causa statim ejusdem conspiciatur, atque e converso. Multo major in mundo divino est ubique copula, ubi in quavis idea caeterae sunt connexae. Atque mens ipsa quidem simul, et propter quid de unoquoque tenens idea quaelibet ipsamet existit. Denique ignis quidem quod nascatur, quod ita se habeat, quod sic agat, sic patiatur, sortitur causam aliunde: quod autem sit hoc ipsum, quod naturaliter est, scilicet corpus calidum, siccum, lucidum, non aliunde reportat: sed ob hoc tantum, quod est ignis, profert haec tria simul, atque vicissim. Hac igitur ratione quid in ejus natura, et propter quid, minime segregantur: unde rerum species definitionesque solent a Platonicis necessario alternaque munere pari.

Β'. Διὸ καὶ ἐντεῦθεν ἄν τις οὐχ ἧττον καταμάθοι τὴν νοῦ φύσιν, ἣν καὶ πλέον τῶν ἄλλων ὁρῶμεν, οὐδ' ὡς, ὅσον ἐστὶ τὸ νοῦ χρῆμα, ὁρῶμεν. Τὸ μὲν γὰρ ὅ τι εἴδομεν αὐτὸν ἔχειν, τὸ δὲ διότι οὐκέτι, ἢ, εἰ δοίημεν, χωρίς· καὶ ὁρῶμεν ἄνθρωπον ἢ ὀφθαλμὸν, εἰ τύχοι, ὥσπερ ἄγαλμα, ἢ ἀγάλματος· τὸ δέ ἐστιν ἐκεῖ ἄνθρωπος, καὶ διὰ τί ἄνθρωπος; εἴπερ καὶ νοερὸν αὐτὸν δεῖ τὸν ἐκεῖ ἄνθρωπον εἶναι καὶ ὀφθαλμὸν, καὶ διὰ τί· ἢ οὐκ ἂν ὅλως εἴη, εἰ μὴ διὰ τί, ἐνταῦθα δὲ ὥσπερ ἕκαστον τῶν μερῶν χωρὶς, οὕτω καὶ τὸ διὰ τί. Ἐκεῖ δ' ἐν ἑνὶ πάντα, ὥστε ταὐτὸν τὸ πρᾶγμα καὶ τὸ διὰ τί τοῦ πράγματος. Πολλαχοῦ δὲ καὶ ἐνταῦθα τὸ πρᾶγμα καὶ τὸ διὰ τί ταὐτὸν, οἷον τί ἐστιν ἔκλειψις. Τί οὖν κωλύει καὶ ἕκαστον διὰ τί εἶναι καὶ ἐπὶ τῶν ἄλλων, καὶ τοῦτο εἶναι τὴν οὐσίαν ἑκάστου. Μᾶλλον δὲ ἀνάγκη, καὶ πειρωμένοις οὕτω τὸ τί ἦν εἶναι λαμβάνειν, ὀρθῶς συμβαίνει. Ὃ γάρ ἐστιν ἕκαστον, διὰ τοῦτό ἐστι. Λέγω δὲ οὐχ, ὅτι τὸ εἶδος ἑκάστῳ αἴτιον τοῦ εἶναι (τοῦτο μὲν γὰρ ἀληθές·) ἀλλ' ὅτι, εἰ καὶ αὐτὸ

II. Hinc igitur aliquis non minus naturam mentis perdiscere potest, quam magis etiam, quam alia, cernimus: neque sic tamen, ut, quanti sit mens, videamus. Jam vero mentem dicimus penes se habere, quid unumquodque sit, propter quid autem minime. Aut si id concesserimus, non tamen alterum seorsum habebit ab altero. Videamus, age, hominem, aut oculum, si contingat, illic existentem tanquam simulacrum aliquod et spectaculum, vel spectaculi partem. Tale profecto quiddam est homo ille, et propter quid rursus homo? Siquidem intellectualem oportet illic esse hominem atque oculum, et in eo intellectuali conditione, propter quid sit, contineri; alioquin illic omnino non erit, nisi hoc ipsum, quod dicitur *propter quid, in se ipso contineat. Apud nos autem quem*admodum partes aliae ab aliis quodammodo separatae sunt, sic et ipsum propter quid ab eo, quod quid est, similiter separatur. At vero illic in uno sunt omnia: quapropter idem est omnino res ipsa, et propter quid res ita se habeat. Saepe etiam in regione corporea res ipsa, et propter quid ad rem eandem pertinens, prorsus est idem: velut quid est solis lunaeve defectus. Quidnam igitur prohibet, et unumquodque esse quid, tum propter quid esse? Atque hoc ipsum propter quid esse essentiam cujuscunque: imo vero necessarium est. Unde illis, qui sic, quid unumquodque sit, conantur accipere, recte succedit. Quod enim est unumquodque; propter hoc et existit. Non autem dico nunc ita, quia species uniuscujusque causa sit essendi: id nam

τὸ εἶδος ἕκαστον πρὸς αὐτὸ ἀναπτύσσοις, εὑρήσεις ἐν αὐτῷ τὸ διὰ τί. Ἀργὸν μὲν γὰρ ὂν καὶ ζωὴν ἔχον τὸ διὰ τί οὐ πάντως ἔχει. Εἶδος δὲ ὂν καὶ νοῦ ὂν πόθεν ἂν λάβοι τὸ διὰ τί; εἰ δὲ παρὰ νοῦ τις λέγοι, οὐ χωρίς ἐστιν, εἴ γε καὶ αὐτό ἐστιν· εἰ οὖν δεῖ ἔχειν ταῦτα μηδενὶ ἐλλείποντα, μηδὲ τῷ διὰ τί ἐλλείπειν. Νοῦς δὲ ἔχει τὸ διὰ τί οὕτως ἕκαστον τῶν ἐν αὐτῷ· τὰ δὲ ἐν αὐτῷ αὐτὸς ἕκαστον ἂν εἴη τῶν ἐν αὐτῷ, ὥστε μηδὲν προσδεῖσθαι τοῦ διὰ τί γέγονεν, ἀλλ' ὁμοῦ γέγονε, καὶ ἔχει ἐν αὐτῷ τὴν τῆς ὑποστάσεως αἰτίαν. Γεγονὸς δὲ οὐκ εἰκῇ οὐδὲν ἂν παραλελειμμένον ἔχοι τοῦ διὰ τί· ἀλλὰ πᾶν ἔχον ἔχει καὶ τὸ καλῶς ὁμοῦ τῆς αἰτίας. Καὶ τοῖς ἄρα μεταλαμβάνουσιν οὕτω δίδωσιν, ὡς τὸ διὰ τί ἔχειν. Καὶ μήν, ὥσπερ ἐν τῷδε τῷ παντὶ ἐκ πολλῶν συνεστηκότι συνείρεται πρὸς ἄλληλα τὰ πάντα, καὶ ἐν τῷ πάντα εἶναι ἔστι καὶ τὸ διότι ἕκαστον, ὥσπερ καὶ ἐφ' ἑκάστου τὸ μέρος πρὸς τὸ ὅλον ἔχον ὁρᾶται, (οὐ τούτου γενομένου, εἶτα τούτου μετὰ τόδε, ἀλλὰ πρὸς ἄλληλα ὁμοῦ τὴν αἰτίαν, καὶ τὸ αἰτιατὸν συνιστάντων), οὕτω χρὴ πολὺ μᾶλλον ἐκεῖ τά τε πάντα πρὸς τὸ ὅλον ἕκαστα, καὶ ἕκαστον πρὸς αὐτό. Εἰ οὖν ἡ συνυπόστασις ὁμοῦ πάντων καὶ οὐκ εἰκῇ πάντων, καὶ δεῖ μὴ ἀπηρτῆσθαι, ἐν αὐτοῖς ἂν ἔχοι τὰ αἰτιατὰ τὰς αἰτίας, καὶ τοιοῦτον ἕκαστον οἷον ἀναιτίως τὴν αἰτίαν ἔχειν. Εἰ οὖν μὴ ἔχει αἰτίαν τοῦ εἶναι, αὐτάρκη δέ ἐστι, καὶ μεμονωμένα αἰτίας ἐστίν, εἴη ἂν ἐν αὐτοῖς ἔχοντα σὺν αὐτοῖς τὴν αἰτίαν. Καὶ γὰρ αὖ εἰ μηδέν ἐστι μάτην ἐκεῖ, πολλὰ δὲ ἐν ἑκάστῳ, καὶ ἔστι πάντα ὅσα ἔχει, ἔχοις ἂν εἰπεῖν διότι ἕκαστον. Προῆν ἄρα καὶ συνῆν τὸ δι' ὅ τι ἐκεῖ, οὐκ ὂν δι' ὅ τι, ἀλλ' ὅ τι, μᾶλλον δὲ ἄμφω ἕν. Τί γὰρ ἂν καὶ περιττὸν εἶχε νοῦ; ὡς ἂν νοῦ νόημα μὴ τοιοῦτον ὄν, οἷον μὴ τέλεον γέννημα. Εἰ οὖν τέλεον, οὐκ ἔστιν εἰπεῖν ὅτῳ ἐλλείπει, οὐδὲ διὰ τί τοῦτο οὐ πάρεστι. Παρὸν ἄρα ἔχοις ἂν εἰπεῖν διότι πάρεστιν· ἐν ἄρα τῇ ὑποστάσει τὸ διὰ τί· ἐν ἑκάστῳ τοίνυν νοήματι καὶ ἐνεργήματι· οἷον καὶ ἀνθρώπου πᾶς προεφάνη ὁ ἄνθρωπος συμφέρων ἑαυτὸν αὐτῷ· καὶ πάντα, ὅσα ἔχει ἐξ ἀρχῆς, ὁμοῦ ἔχων ἕτοιμός ἐστιν ὅλος. Εἶτα, εἰ μὴ πᾶς ἐστιν, ἀλλὰ δεῖ τι αὐτῷ προσθεῖναι, γεννήματός ἐστιν. Ἔστι δὲ ἀεί, ὥστε πᾶς ἐστιν. Ἀλλ' ὁ γιγνόμενος ἄνθρωπος γενητός.

quæ verum esse constat : sed quia, si quamlibet speciem penes se ipsam evolvas, statim propter quid in ea reperies. Quod enim inefficacem et vanam essentiam vitamque sortitur, non omnino propter quid possidet in se ipso. Quod autem et species est, et mentis proprium, quonam modo aliunde propter quid ita sit, accipere poterit? Si quis autem accipere propter quid dicat a mente, certe non est seorsum : siquidem mens hæc ipsa species est. Si igitur oportet mentem habere hæc absque ullo defectu, necessarium est, neque ipsum quidem propter quid eis ullo modo deesse. Mens autem penes se ipsam habet, propter quid potissimum singula, quæ in ea sunt, ita se habeant : quæ vero in ea sunt, eadem ipsa mens existit, cum summatim, tum etiam singulatim ; adeo ut nihil eorum hoc ipso, quod dicitur, propter quid factum sit, egeat : sed simul et factum sit, et habet in se propriæ substantiæ causam. Cum vero non sit temere genitum, nihil prætermisit omnino, quod ad rationem, propter quid sit, pertineat ; sed, possidens universum, habet simul et rationem, propter quod ita bene fiat ad causam pertinentem. Præterea et his, quæ participant, ita naturam tradit, ut etiam, propter quid sic eam acceperint, nanciscantur. Proinde, sicut in hoc mundo ex multis composito omnia inter se connexa sunt, atque in eo ipso, quod in eo sunt omnia, inest insuper propter quid ita sit unumquodque, quemadmodum et in quovis corpore pars ad totum se habere videtur : ubi profecto non sit quidem hoc primo, deinde post hoc et illud ; sed invicem causam simul continent et effectum. Sic oportet multoque magis illic et omnia ad totum singulatim esse habere, et quodlibet ad se ipsum. Quam ob rem, si ejusmodi simul omnium consistentia est, neque temere omnium, oportetque nullo modo sejungi, nimirum effectus causas in se habent : et unumquodque tale est, ut quasi causam habeat sine causa. Si ergo causam essendi non habent, sibi ipsis vero sufficientia sunt, etiam si solitaria sint, quantum ad societatem causæ pertinet, profecto sunt in se ipsis secum habentia causam. Præterea, si nihil ibi temere est, multa vero in unoquoque sunt, et unumquodque est cuncta, quæ possidet, poteris utique, propter quid sit, quodlibet explicare. Præerat igitur, et simul erat propter quid ibi, non propter quid proprie, sed quid prorsus existens ; imo vero ambo sunt unum. Profecto si intellectualis ipse mentis conceptus, qua mentis est, talis foret, qualis imperfecta quædam genitura, nonnihil etiam superflui pateretur. Si ergo conceptus est perfectus, in quo deficiat, assignari non potest : neque afferri, propter quid hoc non adsit. Cum igitur adsit, potes, propter quid sit præsens, asseverare : in ipsa igitur substantia ipsum, propter quid sit, continetur. In qualibet igitur mentis notione actioneque totum simul occurrit, velut in ea, quæ ad hominem pertinet, totus præfulget homo, simul afferens cum ea se ipsum, atque omnia, quæcunque habet a principio, simul possidens : itaque in promptu simul totus est positus. Jam vero, nisi sit totus, sed aliquid insuper sit addendum, ad genituram id potius pertinebit. At ille semper est : quapropter est totus. Qui vero fit homo, est procul dubio generabilis.

Quædam intellectualis forma, per quam deus agit, est ipsa natura dei, facitque eadem semper eodem modo, merito non tam consilio quodam agit, quam naturali quadam forma se ipsam foras quasi naturaliter exprimente.

In qualibet forma divinitus procreata variæ quædam formæ sunt, quasi totius essentiæ partes. Propter ejusmodi partes tota existit essentia, et essentiæ gratia partes sunt adhibitæ : et cunctæ partes ejusmodi ipsæ sunt essentia. Vides igitur in formali ratione rei, quid ipsa sit et propter quid, pariter declarari.

IV. Τί οὖν κωλύει προβουλεύσασθαι περὶ αὐτοῦ; ἢ κατ' ἐκεῖνόν ἐστιν, ὥστε οὔτε τι ἀφελεῖν δεῖ, οὔτε προσθεῖναι, ἀλλὰ τὸ βουλεύσασθαι καὶ λελογίσθαι διὰ τὴν ὑπόθεσιν. Ὑπέθετο γὰρ γιγνόμενα, καὶ οὕτω μὲν ἡ βούλησις καὶ ὁ λογισμός· τῷ δ' ἀεὶ γιγνόμενα ἐνδείξασθαι καὶ ὅτι λογίζεται ἀνεῖλεν. Οὐ γὰρ ἔνι λογίζεσθαι ἐν τῷ ἀεί· καὶ γὰρ αὖ ἐπιλελησμένου ἦν, ὅπως καὶ πρότερον· εἶτα εἰ μὲν ἄμεινον ὕστερον, οὐκ

III. Quæret hic aliquis, quidnam prohibeat, quominus de illo intellectus antea consultaverit. Sed dicendum est, esse penitus secundum illum, ideoque nihil adimendum esse, nihil addendum : verumtamen ob ipsam suppositionem fingitur ille consultare atque argumentari. Suppositum namque est, illa fieri : atque ita nimirum deliberatio et discursio quædam protinus adhibetur. Ex eo autem, quod demonstratum est fieri semper, argumentatio tollitur. Non enim in eo, quod semper exstat, argumentatio competit : namque etiam conditio hæc esset obliti, quomodo prius egerit, deinde, si melius efficit postea, opera ejus prius

ἂν καλὰ πρότερον· εἰ δ' ἦν καλὰ, ἔχει τὸ ὡσαύτως. Καλὰ δ' ἐστὶ μετὰ τῆς αἰτίας, ἐπεὶ καὶ νῦν καλόν τι, ὅτι πάντα. Τοῦτο γὰρ καὶ εἶδος τὸ πάντα, καὶ ὅτι τὴν ὕλην κατέχει· κατέχει δὲ, εἰ μηδὲν αὐτῆς ἀμόρφωτον καταλείποι. Καταλείπει δὲ, εἴ τις μορφὴ ἐλλείποι, οἷον ὀφθαλμὸς ἢ ἄλλο τι, ὥστε αἰτιολογῶν πάντα λέγεις. Διὰ τί οὖν ὀφθαλμοί, ἵνα πάντα; καὶ διὰ τί ὀφρύες, ἵνα πάντα; καὶ γὰρ εἰ ἕνεκα σωτηρίας λέγοις, φυλακτικὸν τῆς οὐσίας λέγεις ἐν αὐτῇ ὑπάρχον, τοῦτο δὲ εἶναι συμβαλλόμενον· οὕτως ἄρα οὐσία ἦν πρὶν καὶ τοῦτο, καὶ τὸ αἴτιον ἄρα μέρος τῆς οὐσίας, καὶ ἄλλο τοίνυν τοῦτο, ὃ δ' ἐστὶ τῆς οὐσίας. Πάντα τοίνυν ἀλλήλοις, καὶ ἡ ὅλη καὶ τελεία καὶ πᾶσα, καὶ τὸ καλῶς μετὰ τῆς αἰτίας, καὶ ἐν τῇ αἰτίᾳ, καὶ ἡ οὐσία, καὶ τὸ τί ἦν εἶναι, καὶ τὸ διότι ἕν. Εἰ τοίνυν ἔγκειται τὸ αἰσθητικὸν εἶναι, καὶ οὕτως αἰσθητικὸν, ἐν τῷ εἴδει ὑπὸ ἀϊδίου ἀνάγκης καὶ τελειότητος νοῦ, ἐν αὐτῷ ἔχοντος, εἴπερ τέλειος, τὰς αἰτίας, ὥστε ἡμᾶς ὕστερον ἰδεῖν, ὡς ὀρθῶς οὕτως ἔχει, (ἐκεῖ γὰρ ἓν καὶ συμπληρωτικὸν τὸ αἴτιον, καὶ οὐχὶ ὁ ἄνθρωπος ἐκεῖ μόνον νοῦς ἦν, προσετέθη δὲ τὸ αἰσθητικὸν, ὅτε εἰς γένεσιν ἐστέλλετο,) πῶς οὐκ ἂν ἐκεῖνος ὁ νοῦς πρὸς τὰ τῇδε ῥέποι; Τί γὰρ ἂν εἴη αἰσθητικόν; ἢ ἀντιληπτικὸν αἰσθητῶν; πῶς δ' οὐκ ἄτοπον, ἐκεῖ μὲν αἰσθητικὸν ἐξ ἀϊδίου, ἐνταῦθα δὲ αἰσθάνεσθαι, καὶ τῆς ἐκεῖ δυνάμεως τὴν ἐνέργειαν πληροῦσθαι ἐνταῦθα, ὅτε χείρων ἡ ψυχὴ γίγνεται;

pulchra non essent : sin vero pulchra erant, eodem modo res ipsa se habet. Pulchra vero sunt, siquidem sint una cum causa : quandoquidem et nunc pulchrum aliquid est, quoniam sua possidet omnia. Hoc enim et ipsa species est, quod omnia possidet, praesertim si materiam occupet : occupat autem, si nihil ipsius reliquerit non formatum. Informe vero relinqueret, si qua forma deesset, velut oculus aut quodlibet aliud : quam ob rem, ubi assignas causam, omnia dicis. Cur ergo igitur oculi sunt, ut videlicet adsint omnia? iterum cur supercilia, ut omnia prorsus adsint? Jam vero, si gratia salutis tribui haec adducas, custodem essentiae quemdam affores in ipsamet existentem : id autem esse aliquid conferens judicabis. Sic igitur et ante hoc erat essentia : atque ita causa pars est essentiae. Ac si aliud sit, hoc ipsum tamen, quod est essentia ipsius, existit. Omnia igitur inter se conspirant, atque tota et perfecta et universa essentia est, atque hoc ipsum, ut bene se habeat, una cum causa est, et est in causa. Atqui et essentia, et quod quid est, propter quid est, unum esse convincitur. Si igitur in ipsa specie velut humana inclusa haec conditio est, ut sensualis homo sit, et, quomodo sensualis, aeterna quadam necessitate perfectioneque mentis : quae si modo perfecta est, causas in se ipsa complectitur, adeo ut nos animadvertamus in posterum, sic recte disponi : ibi enim causa unum est cum essentia complens essentiam, atque homo illic non intellectus tantum est, cui postea, dum in generationem mittitur, sentiendi vis adjungatur : si, inquam, res ita se habeat, dubitatur, quidnam prohibeat, quominus ille intellectus ad haec inclinetur. Quid enim erit hoc ipsum, quod dicitur sensuale? An forte, quod apprehendere quandoque sensibilia possit? Si ita sit, quomodo non absurdum fuerit, ibi quidem esse sensitivum aliquid ab aeterno, hic vero denique persentire, actumque illius potentiae hic duntaxat expleri, quando anima deterior jam evasit?

Unaquaeque res hoc ipsum, quod est intrinsecum, a forma speciali naturaliter habet. Qui igitur hominem definit id, quod est ex anima corporeque conjunctum, nondum rationem formalem assignat, qua homo hoc ipsum, quod est, existit.

Δ'. Πάλιν οὖν πρὸς ταύτην τὴν ἀπορίαν ἄνωθεν ληπτέον τὸν ἄνθρωπον ὅστις ἐκεῖνός ἐστιν. Ἴσως δὲ πρότερον χρὴ τὸν τῇδε ἄνθρωπον, ὅστις ποτ' ἐστὶν, εἰπεῖν, μή ποτε οὐδὲ τοῦτον ἀκριβῶς εἰδότες, ὡς ἔχοντες τοῦτον, ἐκεῖνον ζητοῦμεν. Φανείη δ' ἂν ἴσως τισὶν ὁ αὐτὸς οὗτός τε κἀκεῖνος εἶναι· ἀρχὴ δὲ τῆς σκέψεως ἐντεῦθεν. Ἆρα ὁ ἄνθρωπος οὗτος λόγος ἐστὶ ψυχῆς ἕτερος, τῆς τὸν ἄνθρωπον τοῦτον ποιούσης καὶ ζῆν αὐτὸν καὶ λογίζεσθαι παρεχομένης; ἢ ἡ ψυχὴ ἡ τοιαύτη ὁ ἄνθρωπός ἐστιν; ἢ ἡ τῷ σώματι τῷ τοιῷδε ψυχὴ προσχρωμένη; Ἀλλ' εἰ μὲν ζῶον λογικὸν ὁ ἄνθρωπος, ζῶον δὲ τὸ ἐκ ψυχῆς καὶ σώματος, οὐκ ἂν εἴη ὁ λόγος οὗτος τῇ ψυχῇ ὁ αὐτός. Ἀλλ' εἰ τὸ ἐκ ψυχῆς λογικῆς καὶ σώματος ὁ λόγος τοῦ ἀνθρώπου, πῶς ἂν εἴη ὑπόστασις ἀΐδιος; τούτου τοῦ λόγου τοῦ τοιούτου ἀνθρώπου γιγνομένου, ὅταν σῶμα καὶ ψυχὴ συνέλθῃ, ἔσται γὰρ ὁ λόγος οὗτος δηλωτικὸς τοῦ ἐσομένου, οὐχ οἷος ὃν φαμὲν αὐτοάνθρωπος, ἀλλὰ μᾶλλον, ἐοικὼς ὅρῳ, καὶ τοιούτῳ, οἵῳ μηδὲ δηλωτικῷ τοῦ τί ἦν εἶναι. Οὐδὲ γὰρ εἴδους ἐστὶ τοῦ ἐνύλου, ἀλλὰ τὸ συναμφότερον δηλῶν, ὅ ἐστιν ἤδη· εἰ δὲ τοῦτο, οὔπω εὕρηται ὁ ἄνθρωπος· ἦν γὰρ ὁ κατὰ τὸν λόγον. Εἰ δέ τις λέγοι, τὸν λόγον δεῖ τὸν τῶν τοιούτων εἶναι συναμφότερόν τι, τὸ δὲ ἐν τῷδε, καθ' ὅ ἐστιν ἕκαστον, οὐκ ἀξιοῖ λέγειν, χρὴ δὲ, εἰ καὶ ὅτι μάλιστα τῶν ἐνύλων εἰδῶν καὶ μετὰ ὕλης τοὺς λόγους χρὴ λέγειν, ἀλλὰ τὸν λόγον αὐτὸν τὸν πεποιη-

IV. Rursus ad dubitationem hanc enodandam, quid homo ille sit, tanquam ab initio nobis est assumendum. Ac forsan prius, quid homo sit hic vivens, satius est explicare : ne forte, nondum omnino, quid hic sit, cognoscentes, tanquam hunc jam teneamus, curiosius illum investigemus. Fortasse enim quibusdam videri potest homo idem esse hic noster et ille : initium vero considerandi hinc potissimum assumatur. Quaerendum est sane, numquid noster hic homo sit ratio quaedam ab anima differens hunc hominem faciente, eique vitam rationisque discursum suppeditante? an potius ipsa anima (talis, inquam, anima) homo sit? An denique homo sit anima tali quodam corpore utens? Verum si homo est animal rationale, animal autem est, quod ex anima corporeque componitur, definitiva haec hominis ratio non eadem atque anima erit. Atqui, si ipsa hominis ratio est, quod ex anima rationali constat et corpore, quomodonam erit substantia sempiterna? Quippe cum ratio haec talis hominis tunc denique fiat, quando anima et corpus congrediuntur : nempe ejusmodi ratio futurum significat, neque talis est, quale, quando dicimus ipse homo, sed potius definitioni cuidam similis, descriptioni, inquam, tali, qualis, quod quid sit, non explicet. Nam neque speciei cujusquam est materialis, sed designat potius compositum quiddam aliquando factum : si autem id sit, nondum inventus est homo, quem profecto secundum rationem ipsam esse constat. Si quis autem dicat, rationem quidem talium oportere conjunctum aliquid esse, quod autem hoc ipsa in re siest, secundum quod est unumquodque, non existimet afferendum : quod tamen adducendum est, etsi quam maxime rationes formarum materialium cum materia sint assignandae. Veruntamen rationem ipsam, quae facit ut homo sit homo, oportet accipere,

ταῦτα οἷον τὸν ἄνθρωπον κρίνειν, καὶ μάλιστα, ὅσοι τοῦ τί ἦν εἶναι ἀξιοῦσιν ἐφ' ἑκάστου ὁρίζεσθαι, ὅταν κυρίως ὁρίζωνται. Τί οὖν ἐστι τὸ εἶναι ἀνθρώπῳ; τοῦτο δ' ἔστι, τί ἐστι τὸ πεποιηκὸς τοῦτον τὸν ἄνθρωπον ἐνυπάρχον, οὐ χωριστόν. Ἆρ' οὖν αὐτὸς ὁ λόγος ζῷόν ἐστι λογικὸν, ἢ τὸ συναμφότερον, αὐτὸς δέ τις ποιητικὸς ζῴου λογικοῦ; τίς ὢν αὐτὸς, ἢ τὸ ζῷον ἀντὶ ζωῆς λογικῆς ἐν τῷ λόγῳ; ζωὴ τοίνυν λογικὴ ὁ ἄνθρωπος. Ἆρ' οὖν ζωὴ ἄνευ ψυχῆς; ἢ γὰρ ἡ ψυχὴ παρέξεται τὴν ζωὴν τὴν λογικὴν, καὶ ἔσται ὁ ἄνθρωπος ἐνέργεια ψυχῆς καὶ οὐκ οὐσία, ἢ ἡ ψυχὴ ὁ ἄνθρωπος ἔσται. Ἀλλ' εἰ ἡ ψυχὴ ἡ λογικὴ ὁ ἄνθρωπος ἔσται, ὅταν εἰς ἄλλο ζῷον ἴῃ ἡ ψυχὴ, πῶς οὐκ ἄνθρωπος;

apud eos præsertim, qui existimant in unaquaque re illo definienda ipsum, quod quid est, penitus explicandum. Quidnam igitur est esse ipsum homini? id est perinde, ac si quæramus, quid est, quod efficit hunc esse hominem, ita tamen, ut non separatum sit, sed insit. Num igitur ratio ipsa est animal rationale? an potius hoc est conjunctum? ipsa vero ratio rationalis animalis effectrix, aliquid existens ipsa, quidnam existit? An forte in ipsa definitione hominis ratione rationale animal ponitur pro vita quadam rationali? Atque ita homo vita rationalis erit. Sed num quid vita sine anima? Aut enim anima rationalem præbebit vitam, homoque ipse erit non substantia quædam, sed actus aliquis animæ: aut potius anima homo erit. Verum si anima scilicet rationalis ipse homo erit, quando in animal aliud anima transit, quidnam prohibet adhuc hominem esse?

Homo est anima intellectualis rationalisque simul et sensualis. Atque hæc animæ humanæ conditio examussim ad ideæ nostræ characterem est expressa.

Quæ quidem idea primus homo est: anima vero ita, sicut dixi, se habens est homo secundus: tertius vero homo est et quasi jam non homo, animal compositum ex corpore nostro simul atque vita quadam huic infusa ab anima præcedente, in qua sensus est efficacior, in animali vero sensus obtusior, sed humana quædam affectio, quæ declarat hanc animalis vitam non ab anima tantum sphæræ, sed a nostra etiam pendere, sicut nostra divinitus pendet semper et agit.

Ε'. Λόγον τοίνυν δεῖ τὸν ἄνθρωπον ἄλλον παρὰ τὴν ψυχὴν εἶναι. Τί κωλύει συναμφότερόν τι τὸν ἄνθρωπον εἶναι ψυχὴν ἐν τοιῷδε λόγῳ; ὄντος τοῦ λόγου οἷον ἐνεργείας τοιᾶσδε, τῆς δὲ ἐνεργείας μὴ δυναμένης ἄνευ τοῦ ἐνεργοῦντος εἶναι. Οὕτω γὰρ καὶ οἱ ἐν τοῖς σπέρμασι λόγοι· οὔτε γὰρ ἄνευ ψυχῆς, οὔτε ψυχαὶ ἁπλῶς. Οἱ γὰρ λόγοι οἱ ποιοῦντες οὐκ ἄψυχοι, καὶ θαυμαστὸν οὐδὲν, τὰς τοιαύτας οὐσίας λόγους εἶναι. Οἱ οὖν μὴ ποιοῦντες ἄνθρωπον λόγοι ποίας ψυχῆς ἐνέργειαι; ἆρα τῆς φυτικῆς, ἢ τῆς ζῷον ποιούσης, ἐναργεστέρας τινὸς καὶ αὐτὸ τοῦτο ζωτικωτέρας; ἡ δὲ ψυχὴ ἡ τοιαύτη ἡ ἐγγενομένη τῇ τοιαύτῃ ὕλῃ, ἅτε οὖσα τοῦτο, οἷον οὕτω διακειμένη καὶ ἄνευ τοῦ σώματος ἄνθρωπος, ἐν σώματι δὲ μορφώσασα καθ' αὐτὴν καὶ ἄλλο εἴδωλον ἀνθρώπου, ὅσον ἐδέχετο τὸ σῶμα ποιήσασα, ὥσπερ καὶ τούτου αὖ ποιήσει ὁ ζωγράφος ἔτι ἐλάττω ἄνθρωπόν τινα, τὴν μορφὴν ἔχει καὶ τοὺς λόγους, ἢ τὰ ἤθη, τὰς διαθέσεις, τὰς δυνάμεις ἀμυδρὰς πάντα, ὅτι μὴ οὗτος πρῶτος· καὶ δὴ καὶ εἴδη αἰσθήσεων ἄλλων, αἰσθήσεις ἄλλας ἐναργεῖς δοκούσας εἶναι, ἀμυδροτέρας δὲ, ὡς πρὸς τὰς πρὸ αὐτῶν καὶ εἰκόνας· ὁ δὲ ἐπὶ τούτῳ ἄνθρωπος ψυχῆς ἤδη θειοτέρας, ἐχούσης βελτίω ἄνθρωπον καὶ αἰσθήσεις ἐναργεστέρας. Καὶ εἴη ἂν ὁ Πλάτων τοῦτον ὁρισάμενος· προσθεὶς δὲ τὸ χρωμένην σώματι, ὅτι ἐποχεῖται τῇ ἥτις προσχρῆται πρώτως σώματι, ἡ δὲ δευτέρως ἡ θειοτέρα. Ἤδη γὰρ αἰσθητικοῦ ὄντος τοῦ γενομένου ἐπηκολούθησεν αὕτη τρανοτέραν ζωὴν διδοῦσα· μᾶλλον δὲ οὐδ' ἐπηκολούθησεν, ἀλλ' οἷον προσέθηκεν αὐτήν· οὐ γὰρ ἐξίσταται τοῦ νοητοῦ, ἀλλὰ συναψαμένη οἷον ἐκκρεμαμένην ἔχει τὴν κάτω, συμμίξασα ἑαυτὴν λόγῳ πρὸς λόγον. Ὅθεν καὶ ἀμυδρὸς οὗτος ὢν ἐγένετο φανερὸς τῇ ἐλλάμψει.

V. Oportet igitur hominem aliam quamdam rationem esse præter animam. Jam vero quidnam obstat, adhuc conjunctum aliquid hominem esse? animam scilicet in tali quadam ratione potissimum constitutam? ubi profecto hæc ipsa ratio sit tanquam quidam actus, ejusmodi actus autem absque agente esse non possit. Sic enim et, quæ seminibus rationes insunt, se habere videntur: nam neque absque anima sunt, neque sunt simpliciter animæ. Efficaces enim rationes non sunt animæ prorsus expertes. Neque mirari quisquam debet tales essentias rationes existere. Sed enim rationes illæ, quæ non faciunt hominem, qualis animæ potissimum actus sunt? num forte vegetalis animæ? an potius animal facientis, clarioris profecto efficaciorisque, atque ob hoc ipsum vivacioris? Anima vero talis, assistens videlicet materiæ tali, utpote quæ sit hoc ipsum, tanquam sic affecta, etiam absque corpore esse judicatur homo. Quæ profecto secundum se ipsam aliquid format in corpore, et simulacrum hominis aliud, quantum capit natura corporis, efficit: quemadmodum et hujus insuper simulacrum pictor efficere solet: efficit, inquam, hominem quemdam deteriorem, qui tamen et formam habet et rationes vel mores affectionesque et vires debiles et obscuras: obscura denique omnia, quoniam hic non est homo primus: atqui et species sensuum aliter, et sensus alios, qui, etsi perspicaces apparent, obtusi tamen sunt et velut imagines quædam, si cum superioribus sensibus conferantur: ipsa vero huic præsidens homo animæ jam divinioris existit habentis hominem meliorem sensusque admodum clariores. Atque hunc fortasse hominem Plato definit. Adjungit autem in definiendo animam utentem corpore, quoniam anima, quæ definitur homo, incubat illi animæ, quæ proxime corpore utitur, divinior autem anima secundo loco utitur corpore. Quando enim id, quod factum est, sensuale jam evasit, consequitur hæc vitam tradens integriorem: imo vero non consequitur, sed quasi ipsam adhibet: non enim a mundo intelligibili distat, sed contingens assidue illum velut sibi suspensam tenet inferiorem, commiscens se ipsam cum ratione ad rationem. Quapropter homo hic in se obscurus fit ejusmodi illustratione lucidior.

Anima nostra sensum adeo radicitus habet, ut sensu quodam semper utatur.

Nam et extra terrenum corpus per corpus aereum sentit in aere, et per cœleste corpus in cœlo, hic quidem aeria maxime, ibi vero cœlestia. Quin etiam extra cœlum intimo quodam imaginationis sensu ipsas intelligentiæ notiones in conceptus transformat imaginabiles. Unusquisque nostrum tres homines habet, idealem, rationalem, sensualem: qui sibi deinceps ordine sunt con-

nexi. Sed alii nostrum atque alii eorumdem alium hominem talem atque alium vitam agunt, et, quatenus formas vivendi mutant, catenus commutant et dæmones proprios præsentis vitæ duces. Qui vero, quæ vitam intellectualem potissimum agunt, dæmonem sublimiorem nactæ per eum etiam deum ducem adipiscuntur. Ludit post hæc Ægyptio more Plotinus circa irrationalis animæ transmigrationem atque etiam circa transitum rationalis animæ in ipsam bruti naturam : quæ nec ipse prorsus affirmat, nec alii Platonici comprobant, et nos alibi confutavimus.

Ϛʹ. Πῶς οὖν ἐν τῇ κρείττονι τὸ αἰσθητικόν; ἢ τὸ αἰσθητικὸν τῶν ἐκεῖ ἀναισθήτων, καὶ ὡς ἐκεῖ τὰ αἰσθητά. Διὸ καὶ οὕτως αἰσθάνεται τὴν αἰσθητὴν ἁρμονίαν, τῇ δὲ αἰσθήσει παραδεξαμένου τοῦ αἰσθητικοῦ ἀνθρώπου, καὶ συναρμόσαντος εἰς ἔσχατον πρὸς τὴν ἐκεῖ ἁρμονίαν, καὶ πυρὸς ἐναρμόσαντος πρὸς τὸ ἐκεῖ πῦρ, οὗ αἴσθησις ἦν ἐκείνη τῇ ψυχῇ, ἀνάλογον τοῦ πυρὸς τοῦ ἐκεῖ φύσει. Εἰ γὰρ ἦν ἐκεῖ σώματα ταῦτα, ἦσαν αὐτῶν τῇ ψυχῇ αἰσθήσεις καὶ ἀντιλήψεις· καὶ ὁ ἄνθρωπος ὁ ἐκεῖ ἡ τοιαύτη ψυχὴ ἀντιληπτικὴ τούτων, ὅθεν καὶ ὁ ὕστερος ἄνθρωπος τὸ μίμημα εἶχε τοὺς λόγους ἐν μιμήσει· καὶ ὁ ἐν νῷ ἄνθρωπος τὸν πρὸ πάντων τῶν ἀνθρώπων ἄνθρωπον· ἐλλάμπει δ' οὗτος τῷ δευτέρῳ, καὶ οὗτος τῷ τρίτῳ· ἔχει δέ πως πάντας ὁ ἔσχατος, οὐ γιγνόμενος ἐκείνοις, ἀλλὰ παρακείμενος ἐκείνοις. Ἐνεργεῖ δὲ ὁ μὲν ἡμῶν κατὰ τὸν ἔσχατον· τῷ δέ τι καὶ παρὰ τοῦ πρὸ αὐτοῦ, τῷ δὲ, καὶ παρὰ τοῦ τρίτου ἡ ἐνέργεια, καὶ ἔστιν ἕκαστος καθ' ὃν ἐνεργεῖ, καίτοι πάντας ἕκαστος ἔχει καὶ αὖ οὐκ ἔχει. Τοῦ δὲ σώματος χωρισθείσης τῆς τρίτης ζωῆς, καὶ τοῦ τρίτου ἀνθρώπου, εἰ συνέποιτο ἡ δευτέρα, συνέποιτο δὲ μὴ χωρισθεῖσα τῶν ἄνω, οὗ ἐκείνη καὶ αὐτὴ λέγεται εἶναι. Μεταλαβούσης δὲ θήρειον σῶμα θαυμάζεται, πῶς λόγος οὖσα ἀνθρώπου· ἢ πάντα ἦν, ἄλλοτε δὲ ἐνεργεῖ κατ' ἄλλον. Καθαρὰ μὲν οὖν οὖσα καὶ πρὶν κακυνθῆναι ἄνθρωπον θέλει, καὶ ἄνθρωπός ἐστι. Καὶ γὰρ κάλλιον τοῦτο, καὶ τὸ κάλλιον ποιεῖ. Ποιεῖ δὲ καὶ δαίμονας προτέρους, ὁμοειδεῖς τῇ ἄνθρωπον [ποιούσῃ], καὶ ὁ πρὸ αὐτῆς δαιμονιώτερος, μᾶλλον δὲ θεὸς, καὶ ἔστι μίμημα θεοῦ δαίμων εἰς θεὸν ἀνηρτημένος, ὥσπερ ἄνθρωπος εἰς ἄνθρωπον. Οὐ γὰρ λέγεται θεὸς, εἰς ὃν ἄνθρωπος. Ἔχει γὰρ διαφορὰν, ἣν ἔχουσι ψυχαὶ πρὸς ἀλλήλας, κἂν ἐκ τοῦ αὐτοῦ ὦσι στίχου. Λέγειν δὲ δεῖ δαίμονας εἶδος δαιμόνων, οὓς φησιν ὁ Πλάτων δαίμονας. Ὅταν δὲ συνέπηται τὴν θήρειον φύσιν ἑλομένη ψυχὴ ἡ συνηρτημένη τῇ ὅτε ἄνθρωπος ἦν, τὸν ἐν αὐτῇ λόγον ἐκείνου τοῦ ζώου ἔδωκεν. Ἔχει γὰρ, καὶ ἡ ἐνέργεια αὕτη χείρων.

VI. Sed quonam modo in anima illa præstantiore est sentiendi facultas? Profecto sentiendi vis illa ad ea propria, quæ illic dicuntur insensibilia, pertinet : atque ita ibi sensus est, sicut et sensibilia. Quapropter et ita sensibilem illa sensu percipit harmoniam, dum videlicet sensualis homo sensu continetur et percipit, atque coaptat, quod sequitur ad ultimum usque, ad harmoniam ibi vigentem. Quia etiam ignis hic cum illo igne congruit, quem suo quodam sensu anima illa percipiebat, sensu, inquam, proportionem quandam habente ignis illius naturæ convenientem. Si enim essent hæc ibi corpora, hæc et ibi anima sentiret atque animadverteret. Jam vero homo illic vivens talis quædam anima est, hæc apprehendere potens, unde et posterior homo, imitatio quædam illius, in imitatione quadam habet et rationes. Atque homo, qui est in mente, hominem præfert omnes homines præcedentem, qui sane secundo fulget homini; secundus tertio quoque subrutilat. Habet autem quodammodo omnes homo postremus, non factus illis, sed potius adjacens. Agit autem hic quidem noster ad ultimum : huic vero aliquid refulget a præcedente : illi rursus a tertio superiore subgeritur actus : atque est unusquisque secundum quem et agit, quamvis unusquisque habeat omnes, rursusque non habeat. Postquam vero tertia hæc vita separata est a corpore, similiterque tertius homo, si proxime præcedens anima consequatur, consequens videlicet a supernis minime segregata : tunc, ubicumque est ultima, præcedens quoque dicitur esse. At cum in bruti corpus traducitur, mirum videri potest, quonam pacto eodem transferatur et illa, quæ hominis ipsius est, ratio : sed profecto jam omnia erat : alias autem agit secundum aliam rationem. Quatenus igitur exsistit pura, necdum depravata est, hominem vult, homoque exsistit. Id namque melius est, quodve est melius, agit. Agit quoque dæmones priores quidem, sed conformes illi, quæ agit hominem : et qui ante ipsam est, magis est dæmonicus : imo vero est deus. Nempe imitatio quædam dei est annexus deo dæmon, quemadmodum homo hic suspensus ad hominem illum. Non enim deus dicitur, in quem proxime homo suspensus erigitur. Differentia namque hic eadem est, quam et animæ inter se habent, si quidem ex ordine sint eodem. Oportet autem dæmones dicere speciem dæmonum, quos Plato dæmones nuncupat. *Quando vero comitatur animam, quæ eligit jam bruti naturam*, tunc, quæ annexa est eratque animæ superiori, etiam dum agebat hominem, insitam sibi seminalem animalis illius exhibet rationem. Habet enim eam, actusque deterior judicatur.

Cum Plotinus velit ideam hominis cum idea equi commisceri non posse. Item intellectum nostrum in divinis perpetuo permanere, rationemque ab intellectu proxime regi, rursus divinam animæ nostræ naturam ad inferiora nequaquam præcipitari, sed vicissim animi hæc ad illam, consequens erat dicere, humanam speciem in equinam minime permutari. Notabis in nostro corpore ultra vitale vestigium impressum ab anima mundi, quod nimirum est commune, imprimi vestigium quoque vitale propriumque ab anima nostra, atque hanc ab anima mundi diversam esse, nec ab externis, sed a se ipsa potius permutari. Unde consequens est, nulla ejusmodi mutatione speciem propriam prorsus exuere. Anima denique etiam in mundo divino sensibus uti dicitur, quoniam corporea percipit, quamvis ab excelsiore specula prospicere videatur

Ζʹ. Ἀλλ' εἰ κακυνθεῖσα καὶ χείρων γενομένη πλάττει θήρειον φύσιν, οὐκ ἦν ὃ ἐξ ἀρχῆς βοῦν ἐποίει ἢ ἵππον, καὶ ὁ λόγος δὲ ἵππου καὶ ἵππος παρὰ φύσιν, ἢ ἔλαττον, οὐ μὴν παρὰ φύσιν, ἀλλ' ἐκεῖνό πως καὶ ἐξ ἀρχῆς ἵππος ἢ κύων· καὶ εἰ μὲν ἔχει, ποιεῖ τὸ κάλλιον,

VII. Verum si anima jam depravata factaque deterior brutam fingit naturam, non erat ab initio, quod bovem faceret aut equum, seminalisque ratio equi et equus præter naturam erunt : imo vero minus aliquid sunt, neque tamen præter naturam. At illud quodammodo etiam ab initio equus, aut canis erat, atque et facultas suppetat, quod est melius

εἰ δὲ μὴ, ὃ δύναται, ἥ γε ποιεῖν προσταχθεῖσα· οἷα καὶ οἱ πολλὰ εἴδη ποιεῖν εἰδότες δημιουργοὶ, εἶτα τοῦτο ποιοῦντες, ἢ ὃ προσετάχθησαν, ἢ ὃ ἡ ὕλη ἐθέλει τῇ ἐπιτηδειότητι. Τί γὰρ κωλύει τὴν μὲν δύναμιν τῆς τοῦ παντὸς ψυχῆς προϋπογράφειν, ἅτε λόγον πάντα οὖσαν, πρὶν καὶ παρ' αὐτῆς ἥκειν τὰς ψυχικὰς δυνάμεις, καὶ τὴν προϋπογραφὴν οἷον προδρόμους ἐλλάμψεις εἰς τὴν ὕλην εἶναι; ἤδη δὲ τοῖς τοιούτοις ἴχνεσιν ἐπακολουθοῦσαν τὴν ἐξεργαζομένην ψυχὴν, κατὰ μέρη τὰ ἴχνη διαρθροῦσαν ποιῆσαι καὶ γενέσθαι ἑκάστην τοῦθ', ᾧ προσῆλθε σχηματίσασα ἑαυτὴν, ὥσπερ τὸν ἐν ὀρχήσει πρὸς τὸ δοθὲν αὐτῷ δρᾶμα; Ἀλλὰ γὰρ ἐπισπώμενοι τῷ ἐφεξῆς εἰς τοῦτο ἥκομεν. Ἦν δὲ ἡμῖν ὁ λόγος, τὸ αἰσθητικὸν ὅπως τοῦ ἀνθρώπου, καὶ πῶς οὐκ ἐκεῖνα πρὸς γένεσιν βλέπει· καὶ ἡμῖν ἐφαίνετο καὶ ὁ λόγος ἐδείκνυεν, οὐκ ἐκεῖνα πρὸς τὰ τῇδε βλέπειν, ἀλλὰ ταῦτα εἰς ἐκεῖνα ἀνηρτῆσθαι καὶ μιμεῖσθαι ἐκεῖνα, καὶ τοῦτον τὸν ἄνθρωπον παρ' ἐκείνου ἔχοντα τὰς δυνάμεις πρὸς ἐκεῖνα, καὶ συνεζεῦχθαι ταῦτα τὰ αἰσθητὰ τούτῳ, ἐκεῖνα δ' ἐκείνῳ· ἐκεῖνα γὰρ τὰ αἰσθητὰ, ἃ οὕτως ὠνομάσαμεν, ὅτι ἀσώματα, ἄλλον δὲ τρόπον ἐν ἀντιλήψει, καὶ τήνδε τὴν αἴσθησιν, ὅτι σωμάτων ἦν, ἀμυδροτέραν οὖσαν τῆς ἐκεῖ ἀντιλήψεως, ἐκείνην δὲ, ἣν ὀνομάζομεν αἴσθησιν, ἐναργεστέραν εἶναι, καὶ διὰ τοῦτο καὶ τοῦτον αἰσθητικὸν, ὅτι ἐλαττόνως, καὶ ἐλαττόνων ἀντιληπτικὸν εἰκόνων ἐκείνων, ὥστε εἶναι τὰς αἰσθήσεις ταύτας ἀμυδρὰς νοήσεις, τὰς δὲ ἐκεῖ νοήσεις, ἐναργεῖς αἰσθήσεις.

efficit: sin minus, saltem quodcumque potest anima, ipsa videlicet addicta jam ad agendum: quemadmodum artifices, qui, etsi sciunt species plurimas fabricare, id postea tamen agunt, ad quod vel addicti sunt, vel quod sua quadam praeparatione materia postulat. Quid enim obstat, quin virtus animae mundi, utpote, quae est ratio universa, materiam quodammodo praefiguret, prius etiam quam ab ea animales potentiae veniant, et ipsa praefiguratio sit velut illustrationes quaedam in materiam praecurrentes? atque vestigia jam ejusmodi anima prosequens peragendo, singulaque vestigia membratim dearticulando proprium perficiat opus, et quaelibet anima potissimum id evadat, in quod inciderit, se ipsam videlicet figurando? quemadmodum unusquisque in tripudio atque ludo se ipsum ad mandatum sibi actum gestumque accommodat. Sed enim ea, quae deinceps sequebantur, ducti huc usque devenimus. Institutum vero nostrum erat inquirere, quomodo in ipso homine sit sentiendi facultas: et quomodo divina illa ad generationem minime inclinentur. Jam vero nobis apparuit, et ratio demonstravit, non illa quidem ad haec adspicere, sed haec potius ad illa pro suis annixa, inde pendere, illa pro viribus imitari, hominemque hunc ab illo habere vires ad illa: quia etiam sensibilia haec cum hoc homine conjugari, illa vero cum illo. Illa enim quodammodo etiam sensibilia sunt: quae ita nominavimus, quia corporea sunt, sed aliter, quam haec nostra percipiuntur. Constituit insuper hunc sensum illa perceptione obscuriorem esse, quam sensum illic nuncupavimus, quia corpora percipit, sed longe perspicaciorem esse concessimus. Atque ob hoc hunc quoque hominem esse diximus sensualem, quoniam deteriori modo deterioraque apprehendit, scilicet illorum duntaxat imagines, ut merito dici possit, hos quidem sensus obscuras intelligentias esse, intelligentias autem illas, sensus admodum perspicaces.

Intellectus primus fecunditate lucis exuberante in quam plurimos se ipsum totus naturaliter propagat radios ideales. Ex hac propagatione intellectuali simul et naturali naturales rerum formae foras, tanquam lumina, profluunt.
Illic igitur non excogitatur equus, ut hic fiat equus: alioquin et hinc illa penderent, et notus ibi foret equus antequam natus. Tum vero multitudo illic formarum eatenus enumerabilis esse videtur, quatenus, quicquid acceperis in eo, quod est post ipsum unum, semper occurrit ut multiplex. Plenitudo quinetiam prima quicquid habet intus omnium habet aeque plenum.

Η'. Ἀλλὰ τὸ μὲν αἰσθητικὸν οὕτως. Τὸ δὲ ἵππος ὅλος καὶ ἕκαστον τῶν ζώων ἐκεῖ, πῶς οὐ πρὸς τὰ ἐνταῦθα ἐθέλει βλέπειν; ἀλλ' εἰ μὲν, ἵνα ἐνταῦθα ἵππος γένοιτο ἢ ἄλλο τι ζῶον, ἐξεῦρε νόησιν ἵππου· καίτοι πῶς οἷόν τε ἦν, βουλόμενον ἵππον ποιῆσαι, νοῆσαι ἵππον; Ἤδη γὰρ δῆλον, ὅτι ὑπῆρχεν ἵππου νόησις, εἴπερ ἠβουλήθη ἵππον ποιῆσαι· ὥστε οὐκ ἔστιν ἵνα ποιήσῃ νοῆσαι, ἀλλὰ πρότερον εἶναι τὸν μὴ γενόμενον ἵππον πρὸ τοῦ μετὰ ταῦτα ἐσομένου. Εἰ οὖν πρὸ τῆς γενέσεως ἦν, καὶ οὐχ, ἵνα γένηται, ἐνοήθη, οὐ πρὸς τὰ τῇδε βλέπων εἶχε παρ' ἑαυτῷ ὃς εἶχε τὸν ἐκεῖ ἵππον, οὐδ' ἵνα τὰ τῇδε ποιήσῃ, εἶχε τοῦτόν τε καὶ τὰ ἄλλα· ἀλλὰ ἦν μὲν ἐκεῖνα, ταῦτα δὲ ἐπηκολούθει ἐξ ἀνάγκης ἐκείνοις· οὐ γὰρ ἦν στῆναι μέχρι τῶν ἐκεῖ. Τίς γὰρ ἂν ἔστησε δύναμιν μένειν τε καὶ προϊέναι δυναμένην; ἀλλὰ διὰ τί ἐκεῖ ζῶα ταῦτα; τί γὰρ ἐν θεῷ ταῦτα; τὰ μὲν γὰρ λογικὰ ἔστω· ἀλόγων δὲ τοσοῦτον πλῆθος τί τὸ σεμνὸν ἔχει; τί δὲ οὐ τοὐναντίον; ὅτι μὲν οὖν πολλὰ δεῖ τοῦτο τὸ ἓν εἶναι, ὂν μετὰ τὸ πάντη ἓν δῆλον, ἢ οὐκ ἂν ἦν μετ' ἐκεῖνο, ἀλλ' ἐκεῖνο. Μετ' ἐκεῖνο δὲ ὂν, ὑπὲρ μὲν ἐκεῖνο πρὸς τὸ μᾶλλον ἓν γενέ-

VIII. Verum sentiendi quidem facultas ita se habeat. Sed quonam pacto equus ille totus, et quodlibet illic animal, ad haec nostra non respicit? siquidem ut hic generetur equus vel aliud quodvis animal, intellectus ille ipsam equi invenerit notionem, tametsi impossibile cognitu est, illum jam volendo equum facere, equum deinde cogitavisse. Jam enim procul dubio equi intellectio extitisset, si modo equum volebat efficere. Quapropter non datur, ut faciat, illum excogitasse, sed prius equum ingenitum extitisse patet ante futurum hic equum. Si ergo ante generationem erat, neque, ut gigneretur, intellectus fuit, nimirum non ad haec nostra respiciens penes se ipsum habuit equum, qui ipsum ibi possidet equum: neque, ut haec efficeret, equum habuit atque alia; sed erant illa quidem, haec autem ad illa sunt necessario subsecuta: non enim dabatur usque ad illa duntaxat progredi ibique desistere. Quis enim potestatem illam cohibuisset manere pariter progredique potentem? Ceterum quaeri potest, curnam ibi sint haec animalia. Quid enim haec in deo? Rationalia quidem ibi sint: tanta vero irrationalium multitudo quidnam habet honesti? Quin potius turpitudinem videtur inferre. Patet utique ens ipsum unum oportere quinetiam esse multa: quippe cum sit post illud, quod est penitus unum: alioquin post illud minime foret, sed potius illud. Cum vero sit post illud, fieri nequit, ut in eo, quod est unum, esse superet ipsum: sed necesse est sub illo deficere. Cum

σθαι οὐκ ἦν, ἐλλεῖπον δὲ ἐκείνου· τοῦ δ' ἀρίστου ὄντος ἑνὸς ἔδει πλέον ἢ ἓν εἶναι· τὸ γὰρ πλῆθος ἐν ἐλλείψει. Τί οὖν κωλύει δυάδα εἶναι; ἢ ἑκάτερον τῶν ἐν τῇ δυάδι οὐχ οἷόν τε ἦν ἓν παντελῶς εἶναι. Ἀλλὰ πάλιν αὖ δύο τοὐλάχιστον εἶναι, καὶ ἐκείνων αὖ ὡσαύτως, εἶτα καὶ κίνησις ἦν ἐν τῇ δυάδι τῇ πρώτῃ καὶ στάσις. Ἦν δὲ καὶ νοῦς, καὶ ζωὴ ἦν ἐν αὐτῷ· καὶ τέλεος νοῦς, καὶ ζωὴ τελεία. Ἦν τοίνυν οὐχ ὡς νοῦς εἷς, ἀλλὰ πᾶς· καὶ πάντας τοὺς καθ' ἕκαστα νοῦς ἔχων, καὶ τοσοῦτος, ὅσοι πάντες, καὶ πλείων. Καὶ ἔζη οὐχ ὡς ψυχὴ μία, ἀλλ' ὡς πᾶσαι, καὶ πλείω δύναμιν εἰς τὸ ποιεῖν ψυχὰς ἑκάστας ἔχων, καὶ ζῷον παντελὲς ἦν, οὐκ ἄνθρωπον ἐν αὐτῷ μόνον ἔχον· μόνος γὰρ ἄνθρωπος ἐνταῦθα ἦν.

vero optimum omnino sit unum, oportuit hoc plus esse quam unum: multitudo enim in defectu versatur. Sed quid prohibet, eus ipsum ad binarium usque tantum multiplicari? Nempe quia utrumque in binario positum tale est, ut penitus unum esse non possit. Sed necessarium est, alterum atque alterum, rursus duo quaedam saltem existere: rursusque eorum quodlibet eodem pacto multiplicari, proinde in primo binario motus est insuper atque status. Est etiam intellectus, est et vita: perfectus, inquam, intellectus, et vita perfecta. Est igitur non tanquam intellectus unus, sed intellectus omnis, intellectus omnes continens singulatim: multiplicatus eatenus, quatenus intellectus omnes, imo rursus et amplior. Vivit profecto mens illa non ut anima una, sed ut omnes, vimque possidens ampliorem ad singulas animas procreandas. Est et animal universum, non hominem in se solum habens: alioquin solus hic homo foret.

Cum in ente primo sit primus numerus origo rerum, merito ille est omnis rerum numerus. Item, cum sit prima forma, jure illic res inter se formarum gradibus differunt, tanquam species. Rursus in vita intelligentiaque perfecta idea quaelibet rerum, hic etiam non viventium vita est et intelligentia quaedam.

Similiter metallorum formae in se etiam non lucentium in planetis suis lucent omnes varietate lucis: et animalium formae deformium formosae sunt in caelo. Vita illic intelligentiaque mirabiliter efficax movetur intra se quam plurimum: ejusmodi motu se derivando quasi se dividit; nec tamen materiali quadam divisione continui, ergo formali. Pluribus interim formarum gradibus se distinguit: atque sicut divisio progressioque mundana, sic illa deinceps in angustiora procedit, minorum deinceps ideas intra se proferens. Sed quoniam omnes illic ideae ex una et in una individuaque vita et intelligentia sunt, ubicunque omnes in qualibet continentur: sicut in quavis stella sunt et aliarum vires, quatenus omnes in caelo in eadem stella lumine congerunt, quamvis singulae et aspectu et effectu primo proprietatem suam praeferant. Similiter profert et quaevis idea suam, reliquas interea continens.

Θ'. Ἀλλ' ἔστω, φήσει τις, τὰ τίμια τῶν ζῴων· πῶς αὖ τὰ εὐτελῆ καὶ τὰ ἄλογα ἦν; τὸ εὐτελὲς δηλονότι τῷ ἀλόγῳ ἔχοντα, εἰ τῷ λογικῷ τὸ τίμιον, καὶ εἰ τῷ νοερῷ τὸ τίμιον, τῷ ἀνοήτῳ τὸ ἐναντίον. Καίτοι πῶς ἀνόητον ἢ ἄλογον, ἐκείνου ὄντος ἐν ᾧ ἕκαστα ἢ ἐξ οὗ; Πρὸ δὴ τῶν περὶ ταῦτα καὶ πρὸς ταῦτα λεχθησομένων λάβωμεν, ὡς ὁ ἄνθρωπος ὁ ἐνταῦθα οὐ τοιοῦτός ἐστιν, οἷος ἐκεῖνος, ὥστε καὶ τὰ ἄλλα ζῷα, οὐχ οἷα τὰ ἐνταῦθα, κἀκεῖ, ἀλλὰ μειζόνως δεῖ ἐκεῖνα λαμβάνειν· εἶτα οὔτε τὸ λογικὸν ἐκεῖ, ὧδε γὰρ ἴσως λογικός· ἐκεῖ δὲ ὁ πρὸ τοῦ λογίζεσθαι· διὰ τί οὖν ἐνταῦθα λογίζεται οὗτος, τὰ δ' ἄλλα οὔ; ἢ διαφόρου ὄντος ἐκεῖ τοῦ νοεῖν ἔν τε ἀνθρώπῳ καὶ τοῖς ἄλλοις ζῴοις, διάφορον καὶ λογίζεσθαι· ἔνι γάρ πως καὶ τοῖς ἄλλοις ζῴοις πολλὰ διανοίας ἔργα. Διὰ τί οὖν οὐκ ἐπ' ἴσης λογικά; διὰ τί δὲ ἄνθρωποι πρὸς ἀλλήλους οὐκ ἐπ' ἴσης; δεῖ δὲ ἐνθυμεῖσθαι, ὡς τὰς πολλὰς ζωὰς οἷον κινήσεις οὔσας, καὶ τὰς πολλὰς νοήσεις, οὐκ ἐχρῆν τὰς αὐτὰς εἶναι, ἀλλὰ καὶ ζωὰς διαφόρους καὶ νοήσεις ὡσαύτως· τὰς δὲ διαφορὰς πως φωτεινοτέρας καὶ ἐναργεστέρας, καὶ τὸ ἐγγὺς δὲ τῶν πρώτων πρώτας καὶ δευτέρας καὶ τρίτας. Διόπερ τῶν νοήσεων αἱ μὲν θεοί, αἱ δὲ δεύτερόν τι γένος, ἐν ᾧ τὸ λογικὸν ἐπίκλην ἐνταῦθα, ἑξῆς δ' ἀπὸ τούτων τὸ ἄλογον κληθέν· ἐκεῖ δὲ καὶ τὸ ἄλογον λεγόμενον λόγος ἦν, καὶ τὸ ἄνουν νοῦς ἦν, ἐπεὶ καὶ ὁ νοῶν ἵππον νοῦς ἐστι, καὶ ἡ νόησις ἵππου νοῦς ἦν. Ἀλλ' εἰ μὲν νόησις μόνον, ἄτοπον οὐδὲν τὴν νόησιν αὐτὴν νόησιν οὖσαν ἀνοήτου εἶναι. Νῦν δ' εἰ ταὐτὸν ἡ νόησις τῷ πράγματι, πῶς ἡ μὲν [νόησις] νόησις, ἀνόητον δὲ τὸ πρᾶγμα; οὕτω γὰρ ἂν νοῦς ἀνόητον ἑαυτὸν ποιοῖ. Ἢ οὐκ ἀνόητον, ἀλλὰ νοῦς τοιόσδε, ζωὴ γὰρ τοιάδε. Ὡς γὰρ ἡτισοῦν ζωὴ οὐκ ἀπήλλα-

IX. At vero sint, ibi dicet aliquis, animalia potissimum honoranda: sed quonam pacto viliora rursus et ratione capta? Quae profecto propterea, quod ratione orbata sint, abjecta censentur: siquidem ob virtutem rationalem animal honorandum existimatur. Ac si ob naturam intellectualem est aliquid honorandum, multo propter ejus absentiam contemnendum. Quanquam difficile dictu est, quomodo sit ibi aliquid mente vel ratione vacans: quippe cum illud, in quo vel ex quo singula sunt, ratio ipsa et intellectus primus existat. Jam igitur ante illa, quae circa haec et ad haec dicenda sunt, in ipso prorsus conveniamus, hominem videlicet hic viventem, non talem, qualis ille est, esse: similiterque nec animalia cetera qualia hic sunt, talia illic existere: sed praestantiori quodam gradu illa prorsus accipienda; praeterea nec rationale quicquam proprie illic existere. Hic enim fortasse aliquis ratione discurrat: illic autem actus viget rationali discursione superior. Sed curnam hic homo quidem ratiocinatur, cetera vero nequaquam? Profecto quia illic intelligentia in homine aliisque animalibus differens est, ideoque et hic ratiocinatio differens: insunt enim quodammodo ceteris etiam animantibus multa cogitationis officia. Cur igitur non aeque rationalia sunt? Ad id vero objiciendum est rursus interrogando, cur nec ipsi homines aeque inter se rationales existant? Operae pretium est considerare multas utique vitas, velut motiones quasdam, multasque intelligentias nequaquam oportuisse easdem inter se existere, sed et differentes vitae intelligentias similiter differentes, ipsasque quodammodo differentias magis minusve lucidas et perspicuas esse: atque, quod primis est proximum, per primas differentias designari: quod vero secundum, similiter per secundas: tertium quoque per tertias. Quam ob rem in ipso intelligentiarum ordine aliae quidem dii sunt, aliae vero secundum obtinent genus: in quo sane id continetur, quod rationale apud nos appellatur: deinceps vero natura sequitur, quae irrationalis nuncupatur a nobis. Illic autem illud etiam ratio quaedam est, quod a nobis irrationale vocatur, et quod mente vacans, illic est intellectus: quippe cum et qui intelligit equum, sit intellectus, et intelligentia equi sit similiter intellectus. Proinde si intelligentia ibi sola esset, nihil foret absurdum intelligentiam, quae intelligentia est, in quodam mentis experte versari. Nunc autem, si idem est intelligentia ipsaque res intellecta, quonam pacto haec quidem intelligentia est, res ipsa vero intellectu privata? alioquin sic utique mens ipsa faceret se amentem. Sed profecto ipsa res ibi non intellectu vacans, sed intellectus

κται τοῦ εἶναι ζωὴ, οὕτως οὐδὲ νοῦς τοιόσδε ἀπήλλακται τοῦ εἶναι νοῦς, ἐπεὶ οὐδὲ ὁ νοῦς ὁ κατὰ ὁτιοῦν ζῶον ἀπήλλακται αὖ τοῦ νοῦς εἶναι πάντων, οἷον καὶ ἀνθρώπου· εἴπερ ἕκαστον μέρος, ὅ τι ἂν λάβῃς, πάντα, ἀλλ' ἴσως ἄλλως. Ἐνεργείᾳ μὲν γὰρ ἐκεῖνο, δύναται δὲ πάντα· λαμβάνομεν δὲ καθ' ἕκαστον τὸ ἐνεργείᾳ· τὸ δ' ἐνεργείᾳ ἔσχατον, ὥστε τοῦδε τοῦ νοῦ τὸ ἔσχατον ἵππον εἶναι, καὶ ᾗ ἔληξε, προϊὼν ἀεὶ εἰς ἐλάττω ζωὴν, ἵππον εἶναι, ἄλλον δὲ κατωτέρω λῆξαι. Ἐξελιττόμεναι γὰρ αἱ δυνάμεις καταλείπουσιν ἀεὶ εἰς τὸ ἄνω. Προΐασι δέ τι ἀφιεῖσαι, καὶ ἐν τῷ ἀφεῖναι δὲ ἄλλα, ἀλλὰ διὰ τὸ ἐνδεὲς τοῦ ζώου τοῦ φανέντος, ἐκ τοῦ ἐλλείποντος ἕτερον ἐξευροῦσαι προσθεῖναι, οἷον ἐπεὶ οὐκ ἔστιν ἔτι τὸ ἱκανὸν εἰς ζωὴν, ἀνεφάνη ὄνυξ καὶ τὸ γαμψώνυχον, ἢ τὸ καρχαρόδουν, ἢ κέρατος φύσις· ὥστε ᾗ κατῆλθεν ὁ νοῦς, ταύτῃ πάλιν αὖ τῷ αὐτάρκει τῆς φύσεως ἀνακύψαι, καὶ εὑρεῖν ἐν αὐτῷ τοῦ ἐλλείποντος κειμένην ἴασιν.

ejusmodi : est enim et ejusmodi vita. Sicut enim vita qualibet non eo munere caret, quo sit et vita, sic neque intellectus talis a simili abest munere, quo sit intellectus. Quandoquidem neque intellectus secundum unumquodque *animal illic vigens ea dote privatur, qua sit intellectus* et omnium, velut et hominis : siquidem, quamcunque acceperis partem, hæc ipsa illic est omnia, sed forte aliter atque aliter. Actu enim pars quædam est, sed interim omnia potest : nos autem in singulis, quod actu exsistit, accipimus. Quod vero exsistit actu, est ultimum : adeo ut hujus utique intellectus ultimum equus sit : et qua parte desinit intellectus, ille in minorem semper progrediens vitam, suboriatur equus : ubi vero inferius desinit, et inferius animal. Vires enim illæ dum explicantur, continue desuper quidem relinquunt. Procedunt autem semper aliquid dimittentes, et in dimittendo alia semper et alia suggerunt : ac propter indigentiam animalis jam emicantis, ex eo, quod defectum patitur, adhibere aliud machinantur : velut, quoniam non est amplius ad vitam sufficientia, apparuit unguis et rostrum, apparuerunt cornua, dentes. Quapropter, quocunque mens ipsa descendit, ibidem rursus naturæ suæ sufficientia superne se recipit et emergit, reperitque in se deficientis expositam medicinam.

Vita et intelligentia prima, et animal perfectissimum omnes, quotcunque cogitari possunt vitæ et intelligentiæ, et animalium gradus speciesque continet.

Cum ibi prima multiplicatio sit, merito, quod melius est, multiplicatur in species : quæ et multæ invicem magnopere sunt pariterque distinctæ. In materia quidem tenebrosa formæ rerum et vix invicem minuntur, et mox inter se confunduntur : in prima vero forma efficacissima simul atque clarissima formæ rerum omnes una cum communi natura proprietates suas mirifice servant, universumque illic uniforme pariter occurrit et omniforme.

Ι'. Ἀλλὰ πῶς ἐκεῖ ἐνέλειπε; τί γὰρ κέρατα ἐκεῖ πρὸς ἄμυναν; ἢ πρὸς τὸ αὔταρκες ὡς ζώου καὶ τὸ τέλεον. Ὡς γὰρ ζῷον ἔδει τέλεον εἶναι, καὶ ὡς νοῦν δὲ τέλεον, καὶ ὡς ζωὴν δὲ τέλεον, ὥστε, εἰ μὴ τοῦτο, ἀλλὰ τοῦτο. Καὶ ἡ διαφορὰ τῷ ἄλλο ἀντὶ ἄλλου, ἵνα ἐκ πάντων μὲν τὸ τελειότατον ζῷον, καὶ ὁ τέλειος νοῦς, καὶ ἡ τελειοτάτη ζωὴ, ἕκαστον δὲ, ὡς ἕκαστον τέλειον. Καὶ μὴν, εἰ ἐκ πολλῶν δεῖ εἶναι αὖ ἕν, ἢ οὐχ οἷόν τε ἐκ πολλῶν μὲν εἶναι, τῶν αὐτῶν δὲ πάντων, ἢ αὔταρκες ἦν ἂν ἕν. Δεῖ τοίνυν ἐξ ἑτέρων ἀεὶ κατ' εἶδος, ὥσπερ καὶ πᾶν σύνθετον, καὶ σωζομένων ἑκάστων, οἷαι καὶ αἱ μορφαὶ καὶ οἱ λόγοι. Αἵ τε γὰρ μορφαὶ, οἷον ἀνθρώπου, ἐξ ὅσων διαφορῶν, καίτοι τὸ ἐπὶ πᾶσιν ἓν καὶ βελτίω καὶ χείρω ἀλλήλων, ὀφθαλμὸς καὶ δάκτυλος, ἀλλ' ἑνὸς, καὶ χεῖρον ὡς πρὸς τὸ πᾶν. Ἀλλ' ὅτι οὕτω, βέλτιον, καὶ ὁ λόγος δὲ ζῷον, καὶ ἄλλο τι, ὃ μὴ ταὐτὸν τῷ ζῴῳ. Καὶ ἀρετὴ δὲ τὸ κοινὸν καὶ τὸ ἴδιον, καὶ τὸ ὅλον καλὸν, ἀδιαφόρου τοῦ κοινοῦ ὄντος.

X. Sed quonam pacto defectus illic est ullus? quid cornua illic? numquid propugnaculi gratia? Profecto talia quædam ibi sunt ad ipsam per se sufficientiam perfectionemque *tanquam animalis ipsius. Prout enim animal* oportuit esse perfectum : ut mens, perfectum : ut vita, perfectum : quapropter nisi hoc, attamen illud. Et ipsa quidem differentia est ex eo, quod aliud sit pro alio, ut ex omnibus sit animal perfectissimum, perfectissima mens, perfectissima vita : singula vero ut singula quoque perfecta. Tum vero, etsi constat ex multis, esse rursus oportet et unum, atque vicissim : alioquin impossibile est, ut ex multis quidem sit, multa vero illa inter se sint eadem : alioquin per se sufficiens exstitisset unum. Oportet igitur constare ex rebus semper specie differentibus, sicut et omne compositum : ita tamen ut singula proprie conserventur, quales sunt et formæ et rationes. Formæ namque, velut hominis forma, ex quot differentiis constant, tot et præferre debent : quamvis aliquid in cunctis sit unum, ubi et meliora quædam et deteriora sunt invicem, ut oculus atque digitus : sunt tamen unius ejusdemque membra, quorum quodlibet est toto deterius. Sed ita se rem habere procul dubio præstat : quin etiam ratio animal est, et aliud quiddam insuper, quod non idem est omnino, quod animal. Virtus quoque commune aliquid in se habet et proprium, totumque pulchrum est, ubi, quod est commune, est æque commune.

Sicut corporeum cælum formas animalium inferiorum etiam vilium in se continet ratione non vili : sic intellectuale cælum totius mundi formas modo quodam præstantiore possidet, quam cælesti.

Quidquid enim est usquam ordinis atque formæ, a mente et sapienti prima est impressum, expressius idem in se habente. Expressiores autem illic earum rerum ideæ sunt, quæ una cum ordine formali vitam manifestiorem habent. Expressissimæ tandem rerum, quæ intelligentiam quoque possident : tametsi omnes in mundo species una cum formali numero motuque vitale insuper et intellectuale aliquid habent, ut non injuria illic omnes exsistere videantur. Omnes materiales formæ proxime generantur a seminariis rationibus suis in vita mundi viventibus : hæc vero ab ideis earundem formarum in mente divina vitam habentibus veriorem. *In omnibus elementis viventia multa* elemento conformia generantur, præsente videlicet anima, quæ *certe inest*, et fortasse una quatuor elementis, velut globi ejusmodi humoribus, insita : permanetque semper, elementis etiam permutatis, sicut lumen aere volitante. Nota, intellectuales animas adesse corporibus, non tanquam addictas, sed tanquam effectrices corporalium specierum.

ΙΑ'. Λέγεται δὲ οὐδ' ὁ οὐρανὸς, καὶ πολλὰ δὲ φαίνεται, οὐκ ἀτιμάσαι τὴν τῶν ζώων πάντων φύσιν, ἐπεὶ

XI. Traditur præterea, cælum non renuisse ullam ullum animalium formam, quarum multa suspiciuntur :

καὶ τόδε τὸ πᾶν πάντα ἔχει. Πόθεν οὖν ἔχει; πάντα οὖν ἔχει, ὅσα ἐνταῦθα τὰ ἐκεῖ, ἢ ὅσα λόγῳ πεποίηται, καὶ κατ' εἶδος. Ἀλλ' ὅταν πῦρ ἔχῃ, καὶ ὕδωρ ἔχει, ἔχει δὲ πάντως καὶ φυτά. Πῶς οὖν τὰ φυτὰ ἐκεῖ; καὶ πῶς πῦρ ζῇ; καὶ πῶς γῆ; ἢ γὰρ ζῇ, ἢ οἷον νεκρὰ ἔσται ἐκεῖ, ὥστε μὴ πᾶν τὸ ἐκεῖ ζῆν· καὶ τί ὅλως ἐστὶν ἐκεῖ καὶ ταῦτα; τὰ μὲν οὖν φυτὰ δύναιτ' ἂν τῷ λόγῳ συναρμόσαι, ἐπεὶ καὶ τὸ τῇδε φυτὸν λόγος ἐστὶν ἐν ζωῇ κείμενος. Εἰ δὴ ὁ ἔνυλος λόγος ὁ τοῦ φυτοῦ, καθ' ὃν τὸ φυτόν ἐστι, ζωή τις ἐστὶ τοιάδε, καὶ ψυχή τις, καὶ ὁ λόγος ἕν τι, ἤτοι τὸ πρῶτον φυτόν ἐστιν οὗτος, ἢ οὔ, ἀλλὰ πρὸ αὐτοῦ φυτὸν τὸ πρῶτον, ἀφ' οὗ καὶ τοῦτο. Καὶ γὰρ ἐκεῖνο ἕν, ταῦτα δὲ πολλὰ καὶ ἀφ' ἑνὸς ἐξ ἀνάγκης. Εἰ δὴ τοῦτο, δεῖ πολὺ πρότερον ἐκεῖνο ζῆν, καὶ αὐτὸ τοῦτο φυτὸν εἶναι, ἀπ' ἐκείνου δὲ ταῦτα δευτέρως καὶ τρίτως, καὶ κατ' ἴχνος ἐκείνου ζῆν. Γῆ δὲ πῶς; καὶ τί τὸ γῇ εἶναι; καὶ τίς ἡ ἐκεῖ γῆ τὸ ζῆν ἔχουσα; ἢ πρότερον, τίς αὕτη; τοῦτο δ' ἐστι, τί τὸ εἶναι ταύτῃ. Δεῖ δὴ μορφήν τινα εἶναι καὶ ἐνταῦθα καὶ λόγον. Ἐκεῖ μὲν οὖν ἐπὶ τοῦ φυτοῦ ἔζη καὶ ὁ τῇδε αὐτοῦ λόγος. Ἆρ' οὖν καὶ ἐν τῇδε τῇ γῇ; ἢ εἰ λάβοιμεν τὰ μάλιστα γήϊνα γεννώμενα καὶ πλαττόμενα ἐν αὐτῇ εὕροιμεν ἂν καὶ ἐνταῦθα τὴν γῆς φύσιν, λίθων τοίνυν αὐξήσεις τε καὶ πλάσεις καὶ ὀρῶν ἀναφυομένων ἔνδον μορφώσεις, πάντως που λόγου ἐμψύχου δημιουργοῦντος ἔνδοθεν καὶ εἰδοποιοῦντος χρὴ νομίζειν γίγνεσθαι· καὶ τοῦτο εἶναι τὸ εἶδος τῆς γῆς τὸ ποιοῦν, ὥσπερ ἐν τοῖς δένδροις τὴν λεγομένην φύσιν. Τῷ δὲ ξύλῳ τοῦ δένδρου ἀνάλογον τὴν λεγομένην εἶναι γῆν, καὶ ἀποτμηθέντα τὸν λίθον οὕτως ἔχειν, ὡς εἰ ἐκ τοῦ δένδρου τι κοπείη. Μὴ παθόντος δὲ τούτου, ἀλλ' ἔτι συνηρτημένου, ὡς τὸ μὴ κοπὲν ἐκ τοῦ ζῶντος φυτοῦ, τὴν δημιουργοῦσαν ἐγκαθημένην τῇ γῇ φύσιν ζωὴν ἐν λόγῳ ἀνευρόντες, πιστοίμεθα ἂν τὸ ἐντεῦθεν ῥᾳδίως τὴν ἐκεῖ γῆν, πολὺ πρότερον ζῶσαν εἶναι καὶ ζωὴν ἔλλογον γῆς, αὐτογῆν καὶ πρώτως γῆν, ἀφ' ἧς καὶ ἡ ἐνταῦθα γῆ. Εἰ δὲ καὶ τὸ πῦρ λόγος τις ἐν ὕλῃ ἐστὶ, καὶ τὰ ἄλλα τὰ τοιαῦτα, καὶ οὐκ ἐκ τοῦ αὐτομάτου πῦρ, πόθεν γάρ; οὐ γὰρ ἐκ παρατρίψεως, ὡς ἄν τις οἰηθείη· ἤδη γὰρ ὄντος ἐν τῷ παντὶ πυρὸς ἡ παράτριψις, ἐχόντων τῶν παρατριβομένων σωμάτων· οὐδὲ γὰρ ἡ ὕλη οὕτω δυνάμει, ὥστε παρ' αὐτῆς. Εἰ δὴ κατὰ λόγον δεῖ τὸ ποιοῦν εἶναι ὡς μορφοῦν, τί ἂν εἴη; ἢ ψυχὴ ποιεῖν πῦρ δυναμένη· τοῦτο δ' ἐστὶ ζωὴ καὶ λόγος, ἓν καὶ ταὐτὸν ἄμφω. Διὸ καὶ Πλάτων ἐν ἑκάστῳ τούτων ψυχήν φησιν εἶναι, οὐκ ἄλλως, ἢ ὡς ποιοῦσαν τοῦτο δὴ τὸ αἰσθητὸν πῦρ. Ἔστιν οὖν καὶ τὸ ἐνταῦθα ποιοῦν πῦρ ζωή τις πυρίνη, ἀληθέστερον πῦρ. Τὸ ἄρα ἐπέκεινα πῦρ μᾶλλον ὂν πῦρ μᾶλλον ἂν εἴη ἐν ζωῇ, ζῇ ἄρα καὶ αὐτὸ τὸ πῦρ. Ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τῶν ἄλλων, ὕδατός τε καὶ ἀέρος. Ἀλλὰ διὰ τί οὐκ ἔμψυχα καὶ ταῦτα ὥσπερ ἡ γῆ; ὅτι μὲν οὖν καὶ ταῦτα ἐν ζώῳ τῷ παντὶ, δῆλόν που, καὶ ὅτι μέρη ζώου· οὐ φαίνεται δὲ ζωὴ ἐν αὐτοῖς, ὥσπερ οὐδ' ἐπὶ τῆς γῆς.

quoniam et hoc universum omnia possidet. Sed undenam accepit? Num igitur, quaecunque habet, accepit ex alto? Profecto inde habet, quaecunque ratione facta sunt, et secundum speciem esse censentur. Sed quando habet ignem, habet et aquam, habet et plantas: quonam pacto plantae sunt ibi? Et quomodo ignis illic vivit? quomodo vivit et terra? Aut enim vivunt haec ibi, aut velut mortua jacent: adeo ut non, quicquid illic est, vivat. Quidve omnino haec quoque sunt ibi? Plantae quidem ipsi rationi facile possunt accommodari: quoniam et apud nos planta ratio quaedam est in vita consistens. Si utique materialis ratio plantae, secundum quam est planta, vita quaedam talis est, et anima quaedam, et ipsa ratio unum aliquid, numquid haec ipsa est prima planta? Non profecto: sed ante hanc est planta prima, a qua et haec nascitur. Nam illa quidem unum quiddam est: haec autem multa necessarioque ab uno. Si igitur hoc, oportet multo prius illud vivere, atque hoc ipsam esse plantam: ab illa vero haec esse secundo quodam tertioque gradu pendentia, atque secundum illius vestigia vivere. Terra vero quomodo illic existit? Quidve ipsius terrae est esse? Et quaenam illic est terra vitam habens? Forsan vero praestat prius investigare, quae sit haec infima terra, id est, quid hujus sit esse. Oportet utique formam hic aliquam rationemque inesse. Certe, quantum ad plantam pertinet, vivit etiam apud nos ratio plantae. Num igitur et in hac terra ipsa terrae ratio vivit? Forsan vero si acceperimus, quae plurimum terrena sunt, genita fictaque in terra, inveniemus in his quoque ipsius terrae naturam. Existimandum est ergo, lapidum incrementa concretionesque, et montium surgentium coalescentiumque intus formationes procul dubio fieri, animali quadam ratione fabricante intrinsecus atque formante. Atque hanc esse terrae speciem, quae efficit terram, quemadmodum in arboribus se habet illa, quae natura vocatur. Ligno vero arboris proportione quadam similem esse illam, quae terra communiter appellatur: atque lapidem excisum sic se habere, ceu si quid ex arbore fuerit detruncatum. Quando vero saxum non id patitur, sed adhuc est annexum, sicut ramus nondum amputatus ex arbore viva, plurimum invenientes naturam terrae insitam fabricantem esse vitam quandam in ratione vigentem, facilius inde credemus, supernam terram multo prius esse viventem, atque vitam terrae rationalem esse terram ipsam, primamque terram, a qua haec quoque terra procedit et vivit. Si autem et ignis ratio quaedam est in materia, ceteraque ejusmodi, neque sponte vel casu nascitur ignis. Unde enim? nempe non ex quadam (ut aliquis putet) collisione: jam enim praesente igne in universo fit attritio corporum, ubi profecto, quae inter se conteruntur corpora, ignem jam possident. Neque rursus materia sic potentia ignem habet, ut fiat ignis ab ipsa. Si, inquam, res ita se habet, oportetque secundum rationem esse, quod efficit velut formans: quidnam hoc erit? Profecto anima potens ignem efficere: id est autem vita quaedam et ratio, ita tamen, ut unum idemque sint ambo. Quam ob rem Plato in unoquoque horum animam esse dicit non aliter, quam velut efficientem, sicut hunc ignem sensibus manifestum. Est igitur et, quod hic ignem efficit, ignea quaedam vita, profecto verior ignis. Ignis ergo superior, cum magis sit ignis, magis versatur in vita: igitur et ignis ipse vivit. Eadem quoque de ceteris, scilicet aqua et aere, ratio esse videtur. Sed cur non animata haec quoque sunt, sicut et terra? Profecto esse etiam haec in universo animali constat, et partes animalis existere: non apparet tamen in eis vita, quemadmodum nec in

Συλλογίζεσθαι δ' ἦν κἀκεῖ καὶ ἐκ τῶν γιγνομένων ἐν αὐτῇ, ἀλλὰ γίγνεται καὶ ἐν πυρὶ ζῷα καὶ ἐν ὕδατι δὲ φανερώτερον· καὶ ἀέρινοι δὲ ζώων συστάσεις· γιγνόμενον δὲ τὸ πῦρ ἕκαστον καὶ ταχὺ σβεννύμενον τὴν ἐν τῷ ὅλῳ ψυχὴν παρέρχεται. Εἴς τε ὄγκον οὐ γεγένηται μένον, ἵν' ἔδειξε τὴν ἐν αὐτῷ ψυχὴν, ἀήρ τε καὶ ὕδωρ ὡσαύτως· ἐπεὶ, εἰ παγείη πως κατὰ φύσιν, δείξειεν ἄν· ἀλλ' ὅτι ἔδει εἶναι κεχυμένα, ἣν ἔχει οὐ δείκνυσι· καὶ κινδυνεύει ὅμοιον εἶναι, οἷον τὸ ἐπὶ τῶν ὑγρῶν τῶν ἐν ἡμῖν, οἷον αἵματος· ἡ μὲν γὰρ σὰρξ ἔχειν δοκεῖ, καὶ ὅτι ἂν σὰρξ γένηται ἐκ τοῦ αἵματος, τὸ δ' αἷμα αἴσθησιν οὐ παρεχόμενον ἔχειν οὐ δοκεῖ· καίτοι ἀνάγκη ἐνεῖναι καὶ ἐν αὐτῷ, ἐπεὶ καὶ οὐδέν ἐστι βίαιον γενόμενον περὶ αὐτὸ, ἀλλ' ἕτοιμόν ἐστι διεστάναι τῆς ἐνυπαρχούσης ψυχῆς, οἷον καὶ ἐπὶ τῶν στοιχείων τῶν τριῶν δεῖ νομίζειν εἶναι, ἐπεὶ καὶ ὅσα ἐξ ἀέρος συστάντος μᾶλλον ζῷα ἔχει τὸ μὴ αἰσθάνεσθαι εἰς τὸ παθεῖν. Ὥσπερ δὲ ὁ ἀὴρ, τὸ φῶς ἀτενὲς ὂν καὶ μένον, ἕως μένει, αὐτὸς παρέρχεται, τοῦτον τὸν τρόπον πάρεστι καὶ τὴν ψυχὴν αὐτοῦ κύκλῳ, καὶ οὐ πάρεισι, καὶ τὰ ἄλλα ὡσαύτως.

terra. Argumentari vero licet, animatam esse terram, ex illis etiam, quæ in ea gignuntur: similiter autem conjectare licet de igne. Nam in eo etiam animalia generantur. Sed in aqua etiam manifestius: nec non aeriæ quædam concretiones sunt animalium. Singulæ vero ignis flammæ quæ quotidie fiunt, et mox extinguuntur, prætereunt animam in toto vigentem. Cumque ignis hic nactus non fuerit molem aliquam permanentem, nimirum insitam animam non ostendit: similiterque aer et aqua: quoniam, si in constantiorem substantiam cohærescerent naturaliter, infusam animam demonstrarent: sed quoniam oportuit esse diffusa, præsentem animam minime patefaciunt. Atqui perinde elementa hæc se habere videntur, atque corporis viventis humores, velut sanguis. Caro enim habere se animum patefacit: sed hæc ex sanguine concreta est. Sanguis tamen non exhibens sensum animam non videtur habere: quanquam inesse animam sanguini etiam necessarium est. Id tamen ideo non apparet, quoniam nihil admodum ei accidit violentum: sed paratissimus est facile ab anima infusa discedere: quemadmodum in elementis tribus contingere judicandum. Quoniam et quæcumque ex aere concreto magis animalia coalescunt, naturam habent, ut sine passione persentiant. Quemadmodum vero aer lumen fixum et permanens, quatenus illud permanet, catenus ipse prætorit: sic adest undique globo aeris anima, rursusque non adest: atque in ceteris eodem pacto.

In prima vita omnium effectrice sunt omnia viva: et cum sit prima forma ob efficaciam vitæ mirabilem in se ipsam penitus propagabilis, omnia ibi viventia formaliter distinguuntur. Est autem illa forma ferme sic omnes formæ, sicut natura solis est omnes stellarum vires, et lux ejus radii omnes atque colores, et vita vegetalis omnes formæ membrorum inde per rationes seminarias nasciturae.

ΙΒ'. Ἀλλὰ πάλιν ὧδε λέγωμεν· ἐπεὶ γὰρ φαμὲν πρὸς οἷον παράδειγμα ἐκείνου τόδε τὸ πᾶν εἶναι, δεῖ κἀκεῖ πρότερον τὸ πᾶν ζῷον εἶναι, καὶ, εἰ παντελὲς τὸ εἶναι αὐτῷ, πάντα εἶναι, καὶ οὐρανὸν δὲ ἐκεῖ ζῷον εἶναι, καὶ οὐκ ἔρημον τοίνυν ἄστρων τῶν ἐνταῦθα τοῦτο λεγομένων οὐρανὸν, καὶ τὸ οὐρανῷ εἶναι, τοῦτο. Ἔστι δ' ἐκεῖ δῆλον, ὅτι καὶ γῆ οὐκ ἔρημος, ἀλλὰ πολὺ μᾶλλον ἐζωωμένη, καὶ ἔστιν ἐν αὐτῇ ζῷα ξύμπαντα, ὅσα πεζὰ καὶ χερσαῖα λέγεται ἐνταῦθα, καὶ φυτὰ δηλονότι ἐν τῷ ζῆν ἱδρυμένα· καὶ θάλασσα δέ ἐστιν ἐκεῖ, καὶ πᾶν ὕδωρ, ἐν ῥοῇ καὶ ζωῇ μενούσῃ, καὶ τὰ ἐν ὕδατι ζῷα πάντα, ἀέρος τε φύσις τοῦ ἐκεῖ παντὸς μοῖρα, καὶ ζῷα ἀέρια ἐν αὐτῷ, ἀνάλογον αὐτῷ τῷ ἀέρι. Τὰ γὰρ ἐν ζῶντι πῶς ἂν οὐ ζῶντα; ὅπου δὴ καὶ ἐνταῦθα. Πῶς οὖν οὐ πᾶν ζῷον ἐξ ἀνάγκης ἐκεῖ; ὡς γὰρ ἕκαστον τῶν μεγάλων μερῶν ἐστιν ἐξ ἀνάγκης, οὕτως ἔχει καὶ ἡ τῶν ζώων ἐν αὐτοῖς φύσις, ὅπως οὖν ἔχει, καὶ ἔστιν ἐκεῖ οὐρανὸς, οὕτω καὶ ἔχει καὶ ἔστιν ἐκεῖ τὰ ἐν οὐρανῷ ζῷα πάντα, καὶ οὐκ ἔστι μὴ εἶναι, ἢ οὐδ' ἐκεῖνα ἔσται. Ὁ οὖν ζητῶν πόθεν ζῷα, ζητεῖ πόθεν οὐρανὸς ἐκεῖ. Τοῦτο δ' ἐστὶ ζητεῖν, πόθεν ζῷον, τοῦτο δὲ ταὐτὸν, πόθεν ζωὴ καὶ ζωὴ πᾶσα, καὶ ψυχὴ πᾶσα, καὶ νοῦς ὁ ξύμπας, μηδεμιᾶς ἐκεῖ πενίας, μηδ' ἀπορίας οὔσης, ἀλλὰ πάντων ζωῆς πεπληρωμένων καὶ οἷον ζεόντων. Ἔστι δ' αὐτῶν ἡ οἷον ῥοὴ ἐκ μιᾶς πηγῆς, οὐχ οἷον ἑνός τινος πνεύματος, ἢ θερμότητος μιᾶς, ἀλλ' οἷον εἴ τις ἦν ποιότης μία, πάσας ἐν αὐτῇ ἔχουσα καὶ σώζουσα τὰς ποιότητας, γλυκύτητος μετ' εὐωδίας, καὶ ὁμοῦ οἰνώδους ποιότητος, καὶ χυλῶν ἁπάντων δυνάμεις, καὶ

XII. Sed rursus ita dicemus: profecto cum concedamus hunc mundum, velut ad illius exemplar effingi: oportet illic quoque multo prius universum animal esse, atque, si omnino perfectum esse ejus existit, esse cuncta: jam vero cœlum illic esse animal, neque his vacuum stellis, quæ in hoc cœlo suspiciuntur, atque in hoc ipso ipsum cœli esse consistere. Patet quinetiam terram quoque illic non esse vacuam, sed multo magis ibi viventem, vitæque plenam, esseque in ea animalia omnia quæcumque hic gradientia, et terrestria nuncupantur: plantas insuper, videlicet in vita fundatas. Est ibi et mare: est omnis aqua in vita et flumine non fluente: sunt aquatilia cuncta. Aeris quoque natura universi illius est portio quædam: aeria in eo sunt animalia, aeri videlicet illi prorsus accommodata. Quæ enim in ipso vivente sunt, cur non ipsa viventia sint? siquidem et hic ita se habent. Quid igitur obstat, quin omne animal ibi necessario sit? Sicut enim se habet quælibet ingentium partium, necessario sic se habet et animalium in eis natura viventium, quomodocumque se habeat. Sicut est ibi cœlum, sic et habet: sic ibi adsunt, quæcumque in cœlo sunt animalia. Neque non adesse possunt: alioquin neque forent et illa. Qui ergo quærit, undenam illic animalia, videtur quærere, unde illic sit cœlum: id est autem quærere, unde sit animal: id rursus perinde est, ac si quæratur, unde vita, et vita omnis, et omnis anima, et mens universa: ubi profecto indigentia nulla nullusque defectus; sed omnia vitæ plena sunt, ac velut exuberant. Est autem eorum (ut ita loquar) effluxus ex uno fonte manans, non tanquam ex uno quodam spiritu sive flatu, aut ex una quadam caliditate: sed perinde, ac si qua esset qualitas una, omnes in se qualitates possidens et conservans, dulcedinem videlicet simul cum odoris suavitate, vigorem vini succorumque vires omni-

χρωμάτων ὄψεις, καὶ ὅσα ἁφαὶ γιγνώσκουσιν. Ἔστωσαν δὲ καὶ ὅσα ἀκοαὶ ἀκούουσι, πάντα μέλη καὶ ῥυθμὸς πᾶς.

um, colores perspicuos, et quaecunque tactu percipiuntur. Sint et ibi quaecunque aures haurire solent: vocalis omnis numerus, omnisque concentus.

Vita mensque prima, quoniam est omnium formarum prima, ideo simplicissima omnium, uniformisque quam maxime, tum vero quia omnium principium est, ideo est etiam omniformis.

Est autem forma illa perfectissime forma quaelibet, ideo per motum formalis actus. Est igitur omnis actus, quoniam, cum sit actus motusque primus efficacissimusque, nimirum omnes in se profert actus. Item, quia multitudo est unitissima, in quolibet sui sua omnia continet. Motus omnis varietatem quandam ab hoc in illud inter hoc et illud necessario insitam habet, sed praeter hanc in corpore quidem motus loco indiget atque tempore: in anima vero praeter varietatem solum insuper habet tempus: in mente solam sine tempore varietatem servat, ob miram virtutis actionisque potestatem. Varietas autem in motione et vita menteque prima et varietas omniformis, sicut ibidem est vita omnis et actus. Profecto sicut radius quilibet ab amplo solis orbe in conum prodiit, atque in praecedente latitudine sua omnes complectitur solis vires, in cono unam praecipue profert, et varietate varia perficit: sic ab intellectu primo actus quilibet intellectualis progreditur intus, et ubi exorditur omnes ideas amplectitur, desinit autem unusquisque in unam prorsus ideam quasi conum. Quaelibet enim idea et ab alia diversa est, et aliis est connexa.

ΙΓ'. Ἔστι γὰρ οὔτε νοῦς ἁπλοῦν, οὔτε ἡ ἐξ αὐτοῦ ψυχή, ἀλλὰ ποικίλα πάντα ὅσῳ ἁπλᾶ, τοῦτο δὲ ὅσῳ μὴ σύνθετα, καὶ ὅσῳ ἀρχαί, καὶ ὅσῳ ἐνέργειαι. Τοῦ μὲν γὰρ ἐσχάτου ἡ ἐνέργεια ὡς ἂν λήγουσα ἁπλῆ, τοῦ δὲ πρώτου πᾶσαι· νοῦς τε κινούμενος κινεῖται μὲν ὡσαύτως, καὶ κατὰ ταὐτά, καὶ ὅμοια ἀεί· οὐ μέντοι ταὐτὸν, καὶ ἕν τι ἐν μέρει, ἀλλὰ πάντα, ἐπεὶ καὶ τὸ ἐν μέρει αὖ οὐχ ἕν, ἀλλὰ καὶ τοῦτο ἄπειρον διαιρούμενον. Ἀπό τινος δὲ φαμὲν ἂν, καὶ πάντως ἐπί τι, ὡς ἔσχατον. Τὸ δὲ μεταξὺ πᾶν ἆρα ὥσπερ γραμμὴ, ἢ ὥσπερ ἕτερον σῶμα ὁμοιομερές τι καὶ ἀποίκιλον; ἀλλὰ τί τὸ σεμνόν; εἰ γὰρ μηδεμίαν ἔχει ἐξαλλαγὴν, μηδέ τις ἐξεγείρει αὐτὸ εἰς τὸ ζῆν ἑτερότης, οὐδ' ἂν ἐνέργεια εἴη. Οὐδὲν γὰρ ἂν ἡ τοιαύτη κατάστασις μὴ ἐνεργείας διαφέροι. Κἂν κίνησις δὲ ᾖ τοιαύτη, οὐ πανταχῶς, μοναχῶς δ' ἂν εἴη ζωή. Δεῖ δὲ πάντα ζῆν, καὶ πανταχόθεν, καὶ οὐδὲν μὴ ζῆν. Ἐπὶ πάντα οὖν κινεῖσθαι δεῖ, μᾶλλον δὲ κεκινῆσθαι. Ἁπλοῦν δὲ εἰ κινοῖτο, ἐκεῖνο μόνον ἔχει, καὶ ἢ αὐτὸ, καὶ οὐ προὔβη εἰς οὐδὲν, ἢ εἰ προὔβη, ἄλλο μένον ὥστε δύο· καὶ εἰ ταὐτὸ τοῦτο ἐκείνῳ, μένει ἓν, καὶ οὐ προελήλυθεν· εἰ δ' ἕτερον, προῆλθε μετὰ ἑτερότητος, καὶ ἐποίησεν ἐκ ταὐτοῦ τινος καὶ ἑτέρου τρίτον ἕν. Γενόμενον δὴ ἐκ ταὐτοῦ καὶ ἑτέρου τὸ γενόμενον φύσιν ἔχει ταὐτὸν καὶ ἕτερον εἶναι· ἕτερον δὲ οὔ τι, ἀλλὰ πᾶν ἕτερον, καὶ γὰρ τὸ ταὐτὸν αὐτοῦ πᾶν. Πᾶν δὲ ταὐτὸν ὂν, καὶ πᾶν ἕτερον, οὐκ ἔστιν ὅ τι ἀπολείπει τῶν ἑτέρων. Φύσιν ἄρα ἔχει ἐπὶ πᾶν ἑτεροιοῦσθαι. Εἰ μὲν οὖν ἐστι πρὸ αὐτοῦ τὰ ἕτερα πάντα, ἤδη πάσχοι ἂν ὑπ' αὐτῶν· εἰ δὲ μή ἐστιν, οὗτος τὰ πάντα ἐγέννα, μᾶλλον δὲ τὰ πάντα ἦν. Οὐκ ἔστιν ἄρα τὰ ὄντα εἶναι μὴ νοῦ ἐνεργήσαντος· ἐνεργήσαντος δὲ ἀεὶ ἄλλο μετ' ἄλλο, καὶ οἷον πλανηθέντος πᾶσαν πλάνην καὶ ἐν αὑτῷ πλανηθέντος, οἷα νοῦς ἐν αὑτῷ ὁ ἀληθινὸς πέφυκε πλανᾶσθαι· πέφυκε δ' ἐν οὐσίαις πλανᾶσθαι, συνθεουσῶν τῶν οὐσιῶν ταῖς αὐτοῦ πλάναις. Πανταχοῦ δ' αὐτός ἐστι, μένουσαν οὖν ἔχει τὴν πλάνην. Ἡ δὲ πλάνη αὐτῷ ἐν τῷ τῆς ἀληθείας πεδίῳ, οὗ οὐκ ἐκβαίνει. Ἔχει δὲ καταλαβὼν πᾶν, καὶ αὑτῷ ποιήσας εἰς τὸ κινεῖσθαι οἷον τόπον, καὶ ὁ τόπος ὁ αὐτὸς τῷ οὗ τόπος. Ποικίλον δέ ἐστι τὸ πεδίον τοῦτο, ἵνα καὶ διεξίοι· εἰ δὲ μὴ κατὰ

XIII. Ibi enim neque intellectus est omnino simplex aliquid, neque anima ex ipso pendens prorsus est simplex: sed varia longe sunt omnia, quatenus et simplicia: id est, quatenus non composita, quatenus principia sunt, quatenus actus existunt. Illius namque, quod illic judicatur quasi postremum, actus velut jam desinens, nimirum simplex existit: illius autem, quod primum perpenditur, actus ipse omnes actus existit. Intellectus quoque motus eodem quidem modo movetur, et secundum eadem semper atque similia. Non tamen illic aliquid idem, et unum quiddam velut in parte, sed potius omnia, quoniam id rursus, quod est in parte, non est aliquid unum, sed hoc quoque infinite divisum. Dicere vero possumus ab aliquo processum ejusmodi et omnino ad aliquid dirigi, velut ultimum. Quod autem medium est universum, numquid est velut linea quaedam, vel corpus aliquod partibus consimilibus constitutum, ac minime varium? Sed quidnam ibi hoc decoris afferret? Si enim nullam habet diversitatem, neque alteritas ulla illud excitat ad vivendum, certe neque actus erit. Nihilo enim ejusmodi habitus ab ipsa actus vacatione distabit. Atque etiam si motus sit talis, non omnibus quidem modis, sed uno tantum pacto vita erit. Oportet autem et omnia illic et undique vivere, neque quicquam inesse, quod non vivat. Necessarium est igitur moveri ad omnia, imo vero fuisse jam ad omnia motum. Tum vero, si omnino simplex movetur, illud solum habet: atque sit idem ipsum: et ita non processit profecitque ad aliquid: vel, si processit atque profecit, aliud jam evasit: quapropter evasit duo: atque, si idem hoc est cum illo, permanet unum, neque processit. Si alterum, certe cum alteritate processit, fecitque ex eodem simul et altero unum aliquid tertium. Cum vero ex eodem atque altero factum sit, quod est jam factum, merito naturam habet, qua idem sit simul et alterum: alterum, inquam, non quiddam, sed omne penitus alterum: nam et quod in eo idem est, est universum idem. Cum igitur sit omne idem, et omne simpliciter alterum, non est aliquid eorum, quae dicuntur altera, ab eo relictum. Naturam itaque habet, qua in universum alteritate prorsus distribuatur. Si ergo sunt altera omnia super ipsum, ab illis jam pati potest: sin vero non sunt, intellectus hic omnia genuit: imo vero jam extitit omnia. Quam ob rem entia esse non possunt, nisi operata mens fuerit: operata, inquam, aliud assidue praeter aliud, et quasi pervagata omni prorsus pervagandi conditione: pervagata, inquam, in semet ipsa, quemadmodum intellectus verus natus est in se ipso vagari: natus autem est in essentiis pervagari, dum videlicet essentiae cum ejus ambagibus aeque concurrunt. Ubique vero ipsemet intellectus existit: pervagationem igitur stabilem agit. Pervagatio vero mentis in ipso veritatis campo versatur, unde nunquam excidit. Occupat autem totum, quippe cum sibimet ad motum suum effecerit locum: atqui et locus idem cum ipso est, cujus est locus. Praeterea varius est ejusmodi campus, ut et discurrere possit. ac nisi per universum

πᾶν καὶ ἀεὶ ποικίλον, καθ' ὅσον μὴ ποικίλον, ἕστηκεν. Ὃ δ' ἕστηκεν, οὐ νοεῖ, ὥστε, καὶ εἰ ἔστη, οὐ νενόηκεν. Εἰ δὲ τοῦτο, οὐδ' ἔστιν· ἔστιν οὖν νόησις· ἡ δὲ κίνησις πᾶσα πληροῦσα οὐσίαν πᾶσαν, καὶ ἡ πᾶσα οὐσία, νόησις πᾶσα ζωὴν περιλαβοῦσα πᾶσαν, καὶ μετ' ἄλλο ἀεὶ ἄλλο, καὶ ὅτι αὐτοῦ ταὐτὸν καὶ ἄλλο, καὶ διαιροῦντι ἀεὶ τὸ ἄλλο ἀναφαίνεται· πᾶσα δὲ διὰ ζωῆς ἡ πορεία, καὶ διὰ ζώων πᾶσα· ὥσπερ καὶ τῷ διὰ γῆς ἰόντι πάντα, ἃ διέξεισι, γῆ, κἂν διαφορὰς ἔχῃ ἡ γῆ. Καὶ ἐκεῖ ἡ μὲν ζωή, δι' ἧς ἡ αὐτή· ὅτι δὲ ἀεὶ ἄλλη, οὐχ ἡ αὐτή, ἀεὶ δ' ἔχων τὴν αὐτὴν διὰ τῶν οὐχ αὐτῶν διέξοδον· ὅτι μὴ ἀμείβει, ἀλλὰ σύνεστι τοῖς ἄλλοις τὸ ὡσαύτως καὶ κατὰ ταὐτά. Ἐὰν γὰρ μὴ περὶ τὰ ἄλλα τὸ ὡσαύτως καὶ τὰ κατὰ τὰ αὐτά, ἀργεῖ πάντῃ, καὶ τὸ ἐνεργείᾳ καὶ ἡ ἐνέργεια οὐδαμοῦ. Ἔστι δὲ καὶ τὰ ἄλλα αὐτός, ὥστε πᾶς αὐτός. Καὶ εἴπερ αὐτός, πᾶς, εἰ δὲ μή, οὐκ αὐτός. Εἰ δὲ πᾶς αὐτός, καὶ πᾶς, ὅτι τὰ πάντα, καὶ οὐδέν ἐστιν, ὅ τι μὴ συντελεῖ εἰς τὰ πάντα, οὐδέν ἐστιν αὐτοῦ, ὅ τι μὴ ἄλλο, ἵνα ἄλλο ἂν καὶ τοῦτο συντελῇ. Εἰ γὰρ μὴ ἄλλο, ἀλλὰ ἄλλῳ ταὐτόν, ἐλαττώσει αὐτοῦ τὴν οὐσίαν, ἰδίαν οὐ παρεχόμενον εἰς συντέλειαν αὐτοῦ φύσιν.

semperque sit varium, certe, quatenus non est varium, conquievit. Qui si quievit, etiam non intelligit: itaque, si quievit, nec etiam intellexit. Si neque hoc, certe nec exstat. Intelligentia igitur est. Universus vero motus ille universam implet essentiam: et essentia tota, intelligentia tota vitam complexa totam, ac praeter aliud semper et aliud: praesertim cum id ipsum, quod in eo est idem, sit et aliud, adeo ut perpetuo dividenti aliud deinceps atque aliud semper occurrat. Progressio vero illic omnis per vitam agitur, perque animalia omnis: quemadmodum et iter in terris agenti, quaecunque attinguntur, terrena passim occurrunt, quamvis diversa sint ratione terrena. Atque illic vita quidem, per quam proceditur, eadem est: quoniam vero quodammodo est semper et alia, non eadem semper occurrit: agit vero semper discursionem prorsus eandem, per illa, quae non sunt similiter eadem: quoniam ipse quidem discursionem minime mutat; sed una cum diversis servatur interea ipsa conditio eodem modo et secundum eadem pervagandi. Nisi enim tenor ipse eodem modo et secundum eadem pervagandi saltem circa varia diversetur, certe torpebit omnino. Unde sequetur, quod in actu esse dicitur, ipsumque actum esse nusquam. Sunt autem et alia diversaque ipse: quapropter omnis ipse. Et siquidem ipse, nimirum et omnis: alioquin nec ipse quidem. Si autem omnis ipse, certe et omnis, quia omnia. Neque quicquam invenitur illic, quod non ad omnia conferat: neque aliquid usquam ipsius est, quin sit et aliud: ut existens aliud, hoc ipsum quoque conducat. Nisi enim extiterit aliud, sed penitus idem cum alio, comminuet ejus essentiam: quippe cum ad communem ipsam conspirationis perfectionem naturam propriam non accommodet.

Ubique in mundo partibusque ejus vel minimis ordinata distinctio est per formas. Ejusmodi formalis et ordinata varietas neque casu accidit, neque fit a materia tenebrosa, pendet autem ab uno, quoniam conducit in unum. Exprimitur igitur a simili formarum varietate vigente cum in ipsa mundi vita, tum in mente.

Sed tam mens, quam anima, in se unum quiddam est, non quidem ex multis compositum, sed proferens in se multa, non ad externa, sed ad intima, motum, ac velut ad centrum se convolvens, ampliores deinceps formarum universaliorum orbes redigens in minores, et ad species specialissimas se denique cohibens.

ΙΔʹ. Ἔστι δὲ καὶ παραδείγμασι νοεροῖς χρώμενον εἰδέναι, οἷόν ἐστι νοῦς, ὡς οὐκ ἀνέχεται οἷον κατὰ μονάδα μὴ ἄλλος εἶναι. Τίνα γὰρ καὶ βούλει εἰς παράδειγμα λαβεῖν λόγον εἴτε φυτοῦ, εἴτε ζώου; εἰ γὰρ ἕν τι καὶ μὴ ἂν τοῦτο ποικίλον, οὔτ' ἂν λόγος εἴη· τό τε γενόμενον ὕλη ἂν εἴη τοῦ λόγου μὴ πάντα γενομένου, εἰς τὸ πανταχοῦ τῆς ὕλης ἐμπεσόντα μηδὲν αὐτῆς ἐᾶσαι τὸ αὐτὸ εἶναι, οἷον πρόσωπον οὐχ ὄγκος εἷς, ἀλλὰ καὶ ῥῖνες καὶ ὀφθαλμοί· καὶ ἡ ῥὶς οὐχὶ οὖσα ἕν, ἀλλ' ἕτερον τὸ δ' ἕτερον αὖ πάλιν αὐτῆς, εἰ ἔμελλε ῥὶς εἶναι. Ἓν γάρ τι ἁπλῶς οὖσα ὄγκος ἂν ἦν μόνον· καὶ τὸ ἄπειρον οὕτως ἐν νῷ, ὅτι ἂν ὡς ἓν πολλά, οὐχ ὡς οἶκος εἷς, ἀλλ' ὡς λόγος πολὺς ἐν αὐτῷ, ἐν ἑνὶ σχήματι νοῦ, οἷον περιγραφῇ, ἔχων περιγραφὰς ἐντὸς καὶ σχηματισμοὺς αὖ ἐντός, καὶ δυνάμεις, καὶ νοήσεις καὶ τὴν διαίρεσιν μὴ κατ' εὐθύ, ἀλλ' εἰς τὸ ἐντὸς ἀεί, οἷον τοῦ παντὸς ζώου ἐμπεριεχομένας ζώων φύσεις, καὶ πάλιν αὖ ἄλλας ἐπὶ τὰ μικρότερα τῶν ζώων, καὶ εἰς τὰς ἐλάττους δυνάμεις, ὅπου στήσεται εἰς εἶδος ἄτομον· ἡ δὲ διαίρεσις ἔγκειται οὐ συγκεχυμένων, καίτοι εἰς ἓν ὄντων, ἀλλ' ἔστιν ἡ λεγομένη ἐν τῷ παντὶ φιλία τοῦτο, οὐχ ἡ ἐν τῷδε τῷ παντί· μιμεῖται γὰρ αὕτη ἐκ διεστηκότων οὖσα φίλη· ἡ δὲ ἀληθὴς πάντα ἓν εἶναι, καὶ μήποτε διακριθῆναι. Διακρίνεσθαι δέ φησι τὸ ἐν τῷδε τῷ οὐρανῷ.

XIV. Possumus praeterea intellectualibus utentes exemplis, qualis sit intellectus, cognoscere, et quo pacto non ferat, esse se unitatis instar, prorsus omnis diversitatis expertem. Licet sane, si libet, exempli loco adducere rationem vel plantae, vel animalis. Si enim unum aliquid sit, nec ullo modo varium, neque ratio quidem erit. Rursus, quod inde fit, materia tantum erit: nisi videlicet ratio ipsa sit omnia, ad hoc ipsum videlicet, ut, ubique in materiam incidens, nihil materiae idem esse permittat, quemadmodum vultus non est una duntaxat moles, sed nares habet, et oculos. Atque nasus non unicum in se quiddam habet, sed aliud rursus et aliud, si modo futurus est nasus. Profecto si nasus unum quiddam sit duntaxat, nihil aliud erit praeter molem. Atque ita profecto in mente est infinitum, quoniam et ipsa, et quicquid est in ea, velut unum est et multa. Neque sic intellectus est unus, atque multa, ut una domus, sed tanquam ratio: in se quam plurima, in una mentis figura, quasi circumscriptione quadam, habens circumscriptiones et ambitus intus, et figurationes intrinsecus, et vires et intelligentias intus, habens sane distinctionem non productam in rectum, sed semper ad intima propagatam: quasi in universo animali naturae animalium ingentium comprehendantur, rursusque aliae ad minora quaedam animalia derivatae, et ad vires deductae minores, ubi ad individuam speciem denique processio desinat: neque tamen ibi rerum discretio est tanquam confusarum, quamvis in unum mirifice conspirantium. Jam vero conspiratio talis ipsa est amicitia, quae traditur in universo consistere, non quidem talis, qualis in hoc apparet mundo. Imitatur enim haec illam, ex distantibus discordibusque concordia confluens. Vera autem amicitia est, qua sunt omnia unum, adeo, ut nunquam a se invicem disjungantur. Disjungi vero sive distare in hoc coelo res asserit.

Cum intellectus primus sit vita prima, sola intellectualis vita est vera vita.

Essentia prima per actum vitalem conversa ad ipsum bonum fit boniformis, et propter formam suam multiplicabilem unum boni donum in formas plurimas in se derivat, ipsa videlicet potestate dei. Imaginari licet mentem primam quasi vultus innumerabiles inter se varios ordine contextos in sphaeram lucentes admodum atque vivos. Quodsi, conservatis vultuum formis inter se variis, actuque in orbem quasi reflexo, distantiam inde localem demseris, intellectum primum mox intelliges, praesertim si ipse talis in primis evaseris, deinde inspexeris temet ipsum.

ΙΕ'. Ταύτην οὖν τὴν ζωὴν τὴν πολλὴν καὶ πᾶσαν καὶ πρώτην καὶ μίαν τίς ἰδὼν οὐκ ἐν ταύτῃ εἶναι ἀσπάζεται, τὴν ἄλλην πᾶσαν ἀτιμάσας; σκότος γὰρ αἱ ἄλλαι αἱ κάτω καὶ σμικραὶ σκιαὶ καὶ ἀμυδραί, καὶ εὐτελεῖς, καὶ οὐ καθαραί, καὶ τὰς καθαρὰς μολύνουσαι. Κἂν εἰς αὐτὰς ἴδῃς, οὐκ ἔτι τὰς καθαρὰς οὔτε ὁρᾷς, οὔτε ζῇς ἐκείνας τὰς πάσας ὁμοῦ, ἐν αἷς οὐδέν ἐστιν ὅ τι μὴ ζῇ, καὶ καθαρῶς ζῇ, κακὸν οὐδὲν ἔχον· τὰ γὰρ κακὰ ἐνταῦθα ὅτι ἴχνος ζωῆς, καὶ νοῦ ἴχνος· ἐκεῖ δὲ τὸ ἀρχέτυπον τὸ ἀγαθοειδές φησιν, ὅτι ἐν τοῖς εἴδεσι τὸ ἀγαθὸν ἔχει. Τὸ μὲν γάρ ἐστιν ἀγαθόν, ὁ δὲ ἀγαθός ἐστιν ἐν τῷ θεωρεῖν τὸ ζῆν ἔχων· θεωρεῖ δὲ ἀγαθοειδῆ ὄντα τὰ θεωρούμενα καὶ αὐτά, ἃ ἐκτήσατο, ὅτε ἐθεώρει τὴν τοῦ ἀγαθοῦ φύσιν. Ἦλθε δὲ εἰς αὐτὸν οὐχ ὡς ἐκεῖ ἦν, ἀλλ' ὡς αὐτὸς ἔσχεν. Ἀρχὴ γὰρ ἐκεῖνος, καὶ ἐξ ἐκείνου ἐν τούτῳ, καὶ οὗτος ὁ ποιήσας ταῦτα ἐξ ἐκείνου. Οὐ γὰρ ἦν θέμις βλέποντα εἰς ἐκεῖνον μηδὲν νοεῖν, οὐδ' αὖ τὰ ἐν ἐκείνῳ· οὐ γὰρ ἂν αὐτὸς ἐγέννα. Δύναμιν οὖν εἰς τὸ γεννᾶν εἶχε παρ' ἐκείνου, καὶ τῶν αὐτῶν πληροῦσθαι γεννημάτων, διδόντος ἐκείνου ἃ μὴ εἶχεν αὐτός· ἀλλ' ἐξ ἑνὸς αὐτοῦ πολλὰ τούτῳ· ἣν γὰρ ἐκομίζετο δύναμιν ἀδυνατῶν ἔχειν συνέθραυε, καὶ πολλὰ ἐποίησε τὴν μίαν, ἵν' οὕτω δύναιτο κατὰ μέρος φέρειν. Ὅ τι οὖν ἐγέννα, ἀγαθοῦ ἐκ δυνάμεως ἦν, καὶ ἀγαθοειδὲς ἦν, καὶ αὐτὸς ἀγαθὸς ἐξ ἀγαθοειδῶν, ἀγαθὸν ποικίλον. Διὸ καὶ εἴ τις αὐτὸν ἀπεικάζοι σφαίρᾳ ζώσῃ ποικίλῃ, εἴτε παμπρόσωπόν τι χρῆμα λάμπον ζῶσι προσώποις, εἴτε ψυχὰς τὰς καθαρὰς πάσας εἰς τὸ αὐτὸ συνδραμούσας φαντάζοιτο, οὐκ ἐνδεεῖς, ἀλλὰ πάντα τὰ αὐτῶν ἐχούσας, καὶ νοῦν τὸν πάντα ἐπ' ἄκραις αὐταῖς ἱδρυμένον ὡς φέγγει νοερῷ καταλάμπεσθαι τὸν τόπον, φανταζόμενος μὲν οὕτως ἔξω πως ἄλλος ὢν ὁρῴη ἄλλον. Δεῖ δὲ ἑαυτὸν ἐκεῖνο γενόμενον τὴν θέαν ἑαυτὸν ποιήσασθαι.

XV. Si quis igitur hanc ipsam vitam, complurimam, omnem, primam, unam, intuetur, supra quam existimari possit, hac ipsa gaudebit, omnem prorsus aliam aspernatus. Aliae namque inferiores vitae tenebrae sunt: vitae, inquam, exiguae, obscurae, viles, impurae, purasque vitas contaminantes. In quas cum primum adspexeris, neque puras cernes ulterius, neque vives amplius secundum illas simul omnes, in quibus nihil est omnino, quin vivat; vivatque pure, mali nihil admittens. Mala enim hic tantum regnant, quoniam hic est duntaxat vitae vestigium. Hic nihil mentis est nisi vestigium: illic autem principale viget exemplar, quod Plato nuncupat boniforme: quoniam in speciebus, id est formis, bonum possidet. Aliud sane est ipsum bonum, hic autem bonus vitam habens in contemplando: contemplatur autem spectacula boniformia: quae quidem tunc ipse sibimet comparavit, cum primum contemplatus est ipsam boni naturam. Influxit autem in mentem ipsum bonum, non omnino sicut ibi erat, sed sicut ipsa mens accepit. Principium namque illud ipsum est, atque in hunc bonum ex illo traducitur: et haec ipsa horum effectrix omnium, id muneris habet ex illo. Neque enim fas erat intuentem illud intelligere nihil, neque rursus in illo spectacula contueri: alioquin nec ipsa quidem mens spectacula genuisset. Vim igitur ad gignendum accepit ab illo, per quam ipsis genituris penitus impleretur: tradente videlicet illo, quae ipsum in se minime possidebat. Sed ex illo penitus uno inde plurima contigerunt: nempe mens cum non posset acceptam inde potentiam ipsam proprie possidere, in fragmenta distinxit, fecitque, ut una multa prorsus evaderet, ut ita saltem per partes ferre valeret. Quicquid itaque genuit, ex ipsa boni genuit potestate, idque genitum est boniforme, ipsaque mens est bona, varium quiddam bonum ex boniformibus constitutum. Quam ob rem si quis ipsam mentem sphaerae comparet vario prorsus atque viventi: aut si quis fingat spectaculum quoddam vultibus omnibus undique constitutum, vultibusque viventibus ubique refulgens, aut fortasse cogitet puras animas omnes concurrentes in idem, nec ullo modo indigas, sed sua ad volum omnia possidentes: praeterea mentem universam, illarum apicibus insidentem, adeo ut omnis illa regio splendore refulgeat: si quis, inquam, sic intellectum ipsum imaginetur, ipse profecto extra quodammodo existens alius, intellectum ut alium intuebitur. Sed operae pretium est, omnino animum nostrum primo quidem in se intellectum ipsum spectandum fieri: deinde in se velut factum jam ipsum spectaculum contueri.

Essentia prima, cum primum exsistit ex ipso bono, conversa est ad ipsum, non tam modo quodam intellectuali, quam instinctu vitali: quemadmodum planta vergit ad solem vel lumen: hic enim actus ordine quodam antecedit illum.

Sed ubi, directus in bonum, impletus ille radio quodam lucente pariter et calente, statim omnes rerum formas, quasi colores concipit in se ipso, reflexusque in conceptus suos percipiendos intellectus evasit. Denique sicut sol visum coloresque procreat invicemque conciliat, neque ipse interim visus est vel color, sed superior: ita bonum et intellectum et intelligenda creat, mutuoque conjungit his ipsum interim eminentior.

ΙϚ'. Χρὴ δὲ μηδ' ἀεὶ ἐν τῷ πολλῷ τούτῳ καλῷ μένειν, μεταβαίνειν δ' ἔτι πρὸς τὸ ἄνω ἀΐξαντα, ἀφέντα καὶ τοῦτο, οὐκ ἐκ τούτου τοῦ οὐρανοῦ, ἀλλ' ἐξ ἐκείνου, θαυμάσαντα τίς ὁ γεννήσας, καὶ ὅπως. Ἕκαστον μὲν οὖν εἶδος, ἕκαστον, καὶ ἴδιος οἷον τύπος· ἀγαθοειδὲς δὲ ὂν κοινὸν τὸ ἐπιθέον ἐπὶ πᾶσι πάντα ἔχει. Ἔχει μὲν οὖν καὶ τὸ ὂν ἐπὶ πᾶσιν, ἔχει δὲ καὶ τὸ ζῷον ἕκαστον ζωῆς κοινῆς ἐπὶ πᾶσιν ὑπαρχούσης, τάχα δ' ἂν καὶ

XVI. Non expedit autem in hoc pulchro quamplurimo moras semper protrahere. Oportet enim hinc animum progredi ad sublimia se propensius attollentem, et cum caelum hoc dimiserit, illud quoque dimittere: neque ex hoc duntaxat, sed ex illo potius transcendentem protinus admirari, quisnam illius sit genitor, et qua ratione genuerit. Unumquodque igitur illic existens species quaedam est, et quasi certa figura. Cumque illud boniforme sit propter commune quiddam in cunctis ubique collucens, omnes possidet boniformia. Habet igitur et ens in omnibus: habet animal unumquodque: habet communem vitam

ἄλλα. Ἀλλὰ καθ' ὅσον ἀγαθὰ, καὶ διότι ἀγαθά; τί ἂν εἴη; πρὸς δὴ τὴν τοιαύτην σκέψιν τάχ' ἂν εἴη προὔργου ἄρξασθαι ἐντεῦθεν. Ἆρα, ὅτε ἑώρα πρὸς τὸ ἀγαθὸν, ἐνόει ὡς πολλὰ τὸ ἓν ἐκεῖνο, καὶ ἓν ἂν αὐτὸς ἐνόει αὐτὸν πολλὰ μερίζων αὐτὸν παρ' αὐτῷ τῷ νοεῖν μὴ ὅλον ὁμοῦ δύνασθαι; ἀλλ' οὔπω νοῦς ἦν ἐκεῖνο βλέπων· ἀλλ' ἔβλεπεν ἀνοήτως; ἢ φατέον ὡς οὐδ' ἑώρα πώποτε; ἀλλ' ἔζη μὲν πρὸς αὐτὸ καὶ ἀνήρτητο αὐτοῦ, καὶ ἐπέστραπτο πρὸς αὐτό· ἡ δὴ κίνησις αὕτη πληρωθεῖσα τῷ ἐκεῖ κινεῖσθαι καὶ περὶ ἐκεῖνο ἐπλήρωσεν αὐτὸ, καὶ οὐκ ἔτι κίνησις ἦν μόνον, ἀλλὰ κίνησις διακορὴς καὶ πλήρης· ἑξῆς δὲ πάντα ἐγένετο, καὶ ἔγνω τοῦτο ἐν συναισθήσει αὐτοῦ, καὶ νοῦς ἤδη ἦν, πληρωθεὶς μὲν, ἵν' ἔχῃ, ὃ ὄψεται, βλέπων δὲ αὐτὰ μετὰ φωτὸς παρὰ τοῦ δόντος ἐκεῖνα, καὶ τοῦτο κομιζόμενος· διὰ τοῦτο οὐ μόνον λέγεται τῆς οὐσίας, ἀλλὰ καὶ τοῦ ὁρᾶσθαι αὐτὴν, αἴτιος ἐκεῖνος εἶναι. Ὥσπερ δὲ ὁ ἥλιος τοῦ ὁρᾶσθαι τοῖς αἰσθητοῖς καὶ τοῦ γίγνεσθαι αἴτιος ὢν, αἴτιός πως καὶ τῆς ὄψεώς ἐστιν, οὐκ ὢν οὔτε ὄψις οὔτε τὰ γιγνόμενα, οὕτω καὶ ἡ τοῦ ἀγαθοῦ φύσις αἰτία οὐσίας καὶ νοῦ· οὖσα καὶ φῶς κατὰ τὸ ἀνάλογον τοῖς ἐκεῖ ὁρατοῖς καὶ τῷ ὁρῶντι οὔτε τὰ ὄντα οὔτε νοῦς ἐστιν, ἀλλὰ αἴτιον τούτων, καὶ νοεῖσθαι φωτὶ τῷ ἑαυτοῦ εἰς τὰ ὄντα καὶ εἰς τὸν νοῦν παρέχον. Πληρούμενος μὲν οὖν ἐγίγνετο, πληρωθεὶς δὲ ἦν, καὶ ὁμοῦ ἀπετελέσθη καὶ ἑώρα. Ἀρχὴ δὲ αὐτοῦ ἐκεῖνο τὸ πρὶν πληρωθῆναι ἦν. Ἑτέρα δὲ ἀρχὴ οἱονεὶ ἔξωθεν ἡ πληροῦσα ἦν, ἀφ' ἧς οἷον ἐτυποῦτο πληρούμενος.

omnibus insitam, habet fortassis et alia. Verum quidnam illud est, propter quod potissimum bona sunt, et quatenus bona censentur? Ad hanc vero contemplationem in primis fortasse conducet, hinc potissimum exordiri. Num igitur, quando aspexit in bonum, intellexit unum illud velut multa, atque cum intellectus ipse unum eus existeret, illud intellexit ut multa, illud apud se partitus, propterea quod nequiret simul intelligere totum? Verum nondum intellectus erat, dum primo suspiceret illud. Sed numquid absque intellectu prospexit? Profecto putandum est nondum etiam vidisse illud. Nam vivebat quidem ad ipsum, totusque inde pendebat, totus conversus ad ipsum. Hic itaque motus tunc impletus, cum primum ferebatur illuc, et circa illud penitus versabatur, implevit ipsum, nec amplius motus duntaxat exstitit, sed motus jam satur et plenus. Mox vero ens ipsum omnia factum est, idque ipsum agnovit animadvertendo se ipsum: ac jam intellectus evasit, imbutus quidem, ut, quod posset inspicere, possideret, inspiciens vero ipsa cum lumine quodam ab eodem prorsus accepto, a quo suscepit et illa. Quam ob rem supernus ille deus traditur non solum essentiae auctor, sed etiam causa, ut videatur essentia. Quemadmodum vero sol causa est rebus, quae sentiuntur, ut sint, atque videantur, simulque est causa visionis, cum tamen interea ipse neque visio sit, neque etiam quae videnda fiunt: sic et ipsius boni natura causa procul dubio est essentiae atque mentis. Est et lumen in proportione quadam analogiae, qua visibilia haec et visus essentiam illam intellectumque referunt, neque est entia, neque etiam intellectus, sed causa utrorumque, praebetque menti rerum intelligentiam suo quodam lumine super entia mentemque diffuso. Impletus igitur jam factus est: impletus autem erat, simulque est absolutus et vidit. Initium vero ejus illud exstitit, quod ejus antecessit impletionem. Principium vero alterum ejus est velut externum, quod implevit, a quo velut formatus est, dum impleretur.

Quaecumque sunt, cum primum et quamdiu sunt, naturaliter agunt ad bonum: unde argumentamur, essentiam primam ad primum bonum naturaliter agere. Ipsum ergo bonum superius est essentia actuque ejus et vita et intellectu. Non ergo proprie dicendum est esse, vivere, agere, intelligere: neque putandum est, eas in se proprie formas habere, quas tribuit intellectui, sicut nec unitas est plena numeris, nec signum dimensionibus, neque lux in solis centro vigens radios illos in se proprios habet, qui virtute ipsius innumerabiles a circumferentia solis cadeant ab orbe desinentes in angulum. Praeterea, sicut nequaquam foras effusum, radiis ejusmodi plenum, qualitates rerum illas in se proprias sustinet, quas per varios radiorum ictus apud nos generat, ita neque mens, quamvis in se omniformis, materiales ipsa, quas procreat, formas habet. Tum vero vita quidem prima, quasi indeterminatus informisque essentiae actus, exoritur: qui sane, directus in ipsum unum, inde terminos ideales sibi vindicat, eosque quam plurimos, ob conditionem suam numero jam dimotam et processioni proclivem. Eodem mox momento vita fit absoluta, quo et intellectus evadit. Denique, sicut intellectus se habet ad animam, ita bonum ad intellectum. Quapropter, quemadmodum intellectus rationem format in anima, atque ipse est a rationali discursione secretus, ita bonum species imprimens intellectui est a speciebus mirabiliter segregatum.

ΙΖ'. Ἀλλὰ πῶς ταῦτα ἐν αὐτῷ καὶ αὐτὸς, οὐκ ὄντων ἐκεῖ ἐν τῷ πληρώσαντι, οὐδ' αὖ ἐν αὐτῷ τῷ πληρουμένῳ; ὅτε γὰρ μήπω ἐπληροῦτο, οὐκ εἶχεν. Ἢ οὐκ ἀνάγκη, ὅ τις δίδωσι, τοῦτο ἔχειν, ἀλλὰ δεῖ ἐν τοῖς τοιούτοις τὸ μὲν διδὸν μεῖζον νομίζειν, τὸ δὲ διδόμενον ἔλαττον τοῦ διδόντος. Τοιαύτη γὰρ ἡ γένεσις ἐν τοῖς οὖσι. Πρῶτον γὰρ δεῖ τὸ ἐνεργείᾳ εἶναι, τὰ δ' ὕστερα εἶναι δυνάμει τὰ πρὸ αὐτῶν· καὶ τὸ πρῶτον δὲ ἐπέκεινα τῶν δευτέρων, καὶ τοῦ διδομένου τὸ διδὸν ἐπέκεινα ἦν· κρεῖττον γάρ· εἴ τι τοίνυν ἐνεργείας πρότερον, ἐπέκεινα ἐνεργείας, ὥστε καὶ ἐπέκεινα ζωῆς. Εἰ οὖν ζωὴ ἐν τούτῳ, ὁ διδοὺς ἔδωκε μὲν ζωὴν, καλλίων δὲ καὶ τιμιώτερος ζωῆς. Εἶχεν οὖν ζωὴν, καὶ οὐκ ἐδεῖτο ποικίλου τοῦ διδόντος, καὶ ἦν ἡ ζωὴ ἴχνος τι ἐκείνου, οὐκ ἐκείνου ζωή. Πρὸς ἐκεῖνο μὲν οὖν βλέπουσα ἀόριστος

XVII. Sed quonam modo haec in intellectu sunt, et ipse intellectus exsistunt, cum in eo non sint, qui implet, nec rursus in eo fuerint, qui impletur? Quando enim nondum erat imbutus, minime possidebat. Sed fortasse non necessarium est, quod quis tribuit, in se habere: sed oportet in rebus ejusmodi illud quidem, quod tradit, majus existimare; quod vero traditur, minus esse tradente. Talis namque in ipso entium ordine generatio est. Primum enim oportet esse, quod exsistit in actu: posteriora vero in potentia esse superiora. Jam vero, quod primum est, sequentibus est superius: et quod tradit, munere tradito, eadem ratione superius: nam praestantius est. Si quid igitur sit actu prius, id actu superius est: quapropter et vita superius. Si ergo in hoc est vita, profecto, qui dedit eam, tribuit quidem vitam, ipse vero melior et honorabilior, quam vita, censetur. Habuit itaque vitam, neque indiguit vario largitore: ipsaque vita vestigium quoddam exstitit largitoris, non illius quidem vita. Nempe haec, cum primum ad suum suspiceret largitorem, adhuc indefinita erat, postquam vero respexit illuc, mox determi-

ἦν, βλέψασα δ' ἐκεῖ ὡρίζετο ἐκείνου ὅρον οὐκ ἔχοντος. Εὐθὺς γὰρ πρὸς ἕν τι ἰδοῦσα ὁρίζεται τούτῳ, καὶ ἴσχει ἐν αὐτῇ ὅρον καὶ πέρας καὶ εἶδος. Καὶ τὸ εἶδος ἐν τῷ μορφωθέντι, τὸ δὲ μορφῶσαν ἄμορφον ἦν· ὁ δὲ ὅρος οὐκ ἔξωθεν, οἷον μεγέθει περιτεθείς, ἀλλ' ἦν πάσης ἐκείνης τῆς ζωῆς ὁ ὅρος πολλῆς καὶ ἀπείρου οὔσης, ὡς ἂν παρὰ τοιαύτης φύσεως ἐκλαμψάσης, ζωή τε ἦν οὐ τοῦδε· ὥριστο γὰρ ἂν ὡς ἀτόμου ἤδη, ἀλλ' ὥριστο μέντοι· ἦν ἄρα ὁρισθεῖσα ὡς ἑνός τινος πολλοῦ. Ὥριστο δὴ καὶ ἕκαστον τῶν πολλῶν, διὰ μὲν τὸ πολὺ τῆς ζωῆς πολλὰ ὁρισθεῖσα, διὰ δὲ αὖ τὸν ὅρον, ἕν. Τί οὖν τὸ ἓν ὡρίσθη; νοῦς· ὁρισθεῖσα γὰρ ζωὴ νοῦς· τί δὲ τὸ πολλά; νόες πολλοί. Πάντα οὖν νόες, καὶ ὁ μὲν πᾶς νοῦς, οἱ δὲ ἕκαστοι νοῖ. Ὁ δὲ πᾶς νοῦς ἕκαστον περιέχων, ἆρα ταὐτὸν ἕκαστον περιέχει; ἀλλ' ἕνα ἂν περιεῖχεν. Εἰ οὖν πολλοί, διαφορὰν δεῖ εἶναι. Πάλιν οὖν πῶς ἕκαστος διαφορὰν ἔσχεν; ἢ ἐν τῷ καὶ εἷς ὅλως γενέσθαι εἶχε τὴν διαφοράν. Οὐ γὰρ ταὐτὸν ὁτουοῦν νοῦ τὸ πᾶν. Ἦν οὖν ἡ μὲν ζωὴ δύναμις πᾶσα, ἡ δὲ ὅρασις ἡ ἐκεῖθεν δύναμις πάντων, ὁ δὲ γενόμενος νοῦς αὐτὰ ἀνεφάνη τὰ πάντα. Ὁ δὲ ἐπικάθηται αὐτοῖς, οὐχ ἵνα ἱδρυθῇ, ἀλλ' ἵνα ἱδρύσῃ εἶδος εἰδῶν τῶν πρώτων, ἀνείδεον αὐτό. Καὶ νοῦς δὲ γίγνεται πρὸς ψυχήν, οὕτω φῶς εἰς αὐτήν, ὡς ἐκεῖνος εἰς νοῦν· καὶ ὅταν καὶ οὗτος ὁρίσῃ τὴν ψυχήν, λογικὴν ποιεῖ, δοὺς αὐτῇ, ὧν ἔσχεν ἴχνος. Ἴχνος οὖν καὶ νοῦς ἐκείνου. Ἐπεὶ δὲ ὁ νοῦς εἶδος καὶ ἐν ἐκτάσει καὶ πλήθει, ἐκεῖνος ἄμορφος καὶ ἀνείδεος· οὕτω γὰρ εἰδοποιεῖ· εἰ δ' ἦν ἐκεῖνος εἶδος, ὁ νοῦς ἦν ἂν λόγος· ἔδει δὲ τὸ πρῶτον μὴ πολὺ μηδαμῶς εἶναι· ἀνήρτητο γὰρ ἂν τὸ πολὺ αὐτοῦ εἰς ἕτερον αὖ πρὸ αὐτοῦ.

nata est ab illo terminum non habente. Statim enim ad unum aliquid spectans, hoc ipso determinatur, et terminum finemque et speciem in se ipsa reportat. Quae quidem species in formata re jacet: formator autem est prorsus informe. Veruntamen terminus ipse non sic ibi est adhibitus, ut extrinsecus adjectus fuerit, quemadmodum magnitudini undique solet apponi: sed totius omnino vitae illius terminus, multae quidem infinitaeque exsistentis, utpote quae a tali natura jam effulserat. Atqui vita quidem erat, non tamen hujus vita: alioquin jam determinata fuisset quasi jam individui propria: attamen determinata est. Fuit ergo determinata tanquam unius alicujus multi: determinatum quoque est unumquodque multorum. Ac propter multam vitae conditionem multa determinata sunt, rursumque propter ipsum terminum sunt et unum. Quid igitur unum determinatum est? Sane intellectus. Vita enim determinata intellectus est. Quid rursus, quod multa dicitur esse determinata? Intellectus videlicet multi. Omnia igitur intellectus sunt, et hic quidem intellectus omnis, hi autem singuli sunt intellectus. Ipse vero intellectus omnis unumquemque complexus, numquid velut eundem continet unumquemque? Nullo modo: alioquin unicum contineret. Si ergo multi sunt, differre inter se necessarium est. Rursus quaerendum est, quomodo differat unusquisque. Forsan vero in eo etiam, quod factus est omnino unus, suscipit differentiam. Non enim idem est universum et quilibet intellectus. Est igitur vita quidem illic potentia omnis, visio vero, quae inde micat, potentia omnium. Qui autem ibi gignitur intellectus, ipsa omnia prorsus apparet. Alius denique insidet illis, non quidem, ut fundetur in eis, sed ut fundet primarum speciem specierum, ipse tamen a specie procul exsistens. Atqui sic ferme intellectus se habet ad animam, videlicet tanquam ei lumen infusum, quemadmodum ille se habet ad intellectum: nempe quando intellectus determinat animam, reddit rationalem, eorum, quae habet ipse, vestigium exhibens. Igitur et intellectus illius vestigium est. Quoniam vero intellectus species est in differentia quadam eductu multitudineque consistens, merito ille extra formam speciemque exsistit; sic enim reliqua specie format. Si autem ille species esset, intellectus deinceps ratio foret. Oportuit tamen primum ipsum nullo modo multum esse: alioquin multitudo ejus ad aliquid superius referretur.

Quod primo procreatum est ab ipso bono, totum penitus bonum est: sed in eo essentia quidem est inchoatio quaedam ortusque operis boni. Vita vero adolescentia boni: intelligentia speciesque idealis bonum illic est adultum.

Quodlibet horum idcirco bonum est, quoniam, cum sit ab ipso bono, non nihil ipsius quamvis adhuc ineffabile in se possidet, commune cunctis: sicut motus linguae, manus, pedum, ideo concentus similiter appellatur, quoniam ab eadem musica ratione ordinem similem nanciscuntur: sed communis illa natura boni menti admodum interior est, quam musicus ordo membris.

ΙΗ'. Ἀλλ' ἀγαθοειδῆ κατὰ τί τὰ ἐν τῷ νῷ; ἆρα, ᾗ εἶδος ἕκαστον, ἢ ᾗ καλά; ἢ τί; Εἰ δὴ τὸ παρὰ τοῦ ἀγαθοῦ ἧκον πᾶν ἴχνος καὶ τύπον ἔχει ἐκείνου, ἢ ἀπ' ἐκείνου, ὥσπερ τὸ ἀπὸ πυρὸς ἴχνος πυρός, καὶ τὸ ἀπὸ γλυκέος γλυκέος ἴχνος, ἥκει δὲ εἰς νοῦν καὶ ζωὴ ἀπ' ἐκείνου, (ἐκ γὰρ τῆς παρ' ἐκείνου ἐνεργείας ὑπέστη, καὶ νοῦς δὲ δι' ἐκεῖνον, καὶ τὸ τῶν εἰδῶν κάλλος ἐκεῖθεν,) πάντα ἂν ἀγαθοειδῆ εἴη καὶ ζωὴ καὶ νοῦς καὶ ἰδέα. Ἀλλὰ τί τὸ κοινόν; οὐ γὰρ δὴ ἀρκεῖ τὸ ἀπ' ἐκείνου πρὸς τὸ ταὐτόν, ἐν αὐτοῖς γὰρ δεῖ τὸ κοινὸν εἶναι· καὶ γὰρ ἂν γένοιτο ἀπὸ τοῦ αὐτοῦ μὴ ταὐτόν, ἢ καὶ δοθὲν ὡσαύτως ἐν τοῖς δεχομένοις ἄλλο γίγνεσθαι, ἐπεὶ καὶ ἄλλο τὸ εἰς πρώτην ἐνέργειαν, ἄλλο δὲ τὸ τῇ πρώτῃ ἐνεργείᾳ δοθέν· τὸ δ' ἐπὶ τούτοις ἄλλο ἤδη. Ἢ οὐδὲν κωλύει καθ' ἕκαστον μὲν ἀγαθοειδὲς εἶναι, μᾶλλον μὴν κατ' ἄλλο. Τί οὖν καθ' ὃ μάλιστα; ἀλλὰ πρότερον ἐκεῖνο ἀναγκαῖον ἰδεῖν· ἆρά γε ἀγαθὸν ἡ ζωή, ἡ αὐτὸ τοῦτο ζωή, ἡ ψιλὴ θεωρουμένη, καὶ ἀπογεγυ

XVIII. Ceterum quae sunt in mente, secundum quid potissimum boniformia sunt? Numquid qua ratione species est unumquodque? An quia pulchra sunt singula? An propter aliud quiddam? Si vero quicquid a bono provenit, vestigium figuramque habet illius, aut ab illo, quatenus inde descendit, quemadmodum ab igne genitum ignis habet vestigium, et quod a dulci similiter dulcis impressionem, provenit autem in intellectum ab illo et vita; (nam ex actu quodam ab illo pendente exstitit, atque intellectus exstitit propter illum: item specierum inde pulchritudo descendit;) omnia profecto boniformia erunt, vita, intellectus, idea. Verum quidnam commune? Non enim sufficit hoc ipsum scilicet esse ab illo, ad hoc tandem, ut aliquid propterea sit in omnibus idem: in ipsis enim commune ipsum oportet inesse. Fieri namque potest, ut ab eodem non idem efficiatur: aut etiam, quod similiter datum est, in accipientibus diversum evadat: quoniam et aliud illud, in quod munus boni traducitur, primus est actus, aliud vero ipsum est, quod actui primo tribuitur. Quod autem in his resultat, aliud jam exsistit. Aut forsan nihil prohibet, secundum quodlibet quidem esse boniforme, magis tamen secundum aliud. Quid igitur hoc ipsum est, secundum quod potissimum boniforme censetur? Sed forsan prius illud expedit indagare: num quid bonum sit ipsa vita, hoc ipsa videlicet, quod est

μνωμένη; ἢ ἡ ζωὴ ἡ ἀπ' αὐτοῦ, τὸ δ' ἀπ' αὐτοῦ ἄλλο τι ἢ τοιαύτη; πάλιν οὖν, τί ἡ τοιαύτη ζωή; ἢ ἀγαθοῦ; ἀλλ' οὐκ αὐτοῦ ἦν, ἀλλ' ἐξ αὐτοῦ. Ἀλλ' εἰ ἐν τῇ ζωῇ ἐκείνῃ ἐνίοιτο [l. ἐνείη τὸ] ἐξ ἐκείνου, καὶ ἔστιν ἡ ὄντως ζωὴ, καὶ οὐδὲν ἄτιμον παρ' ἐκείνου λεκτέον εἶναι, καὶ καθ' ὃ ζωὴ, ἀγαθὸν εἶναι, καὶ ἐπὶ νοῦ δὴ τοῦ ἀληθινοῦ, ἀνάγκη λέγειν, τοῦ πρώτου ἐκείνου, ὅτι ἀγαθόν· καὶ δῆλον ὅτι καὶ εἶδος ἕκαστον ἀγαθὸν καὶ ἀγαθοειδές· ἢ οὖν τι ἔχει ἀγαθὸν, εἴτε κοινὸν, εἴτε μᾶλλον ἄλλο, εἴτε τὸ μὲν πρώτως, τὸ δὲ τῷ ἐφεξῆς καὶ δευτέρως. Ἐπεὶ γὰρ εἰλήφαμεν ἕκαστον ὡς ἔχον ἤδη ἐν τῇ οὐσίᾳ αὐτοῦ ἀγαθόν τι, καὶ διὰ τοῦτο ἦν ἀγαθόν. Καὶ γὰρ ἡ ζωὴ ἦν ἀγαθὸν, οὐχ ἁπλῶς, ἀλλ' ὅτι ἐλέγετο ἀληθινὴ, καὶ ὅτι παρ' ἐκείνου, καὶ νοῦς ὁ ὄντως, δεῖ τι τοῦ αὐτοῦ ἐν αὐτοῖς ὁρᾶσθαι. Διαφόρων γὰρ ὄντων, ὅταν τὸ αὐτὸ αὐτῶν κατηγορῆται, κωλύει μὲν οὐδὲν ἐν τῇ οὐσίᾳ αὐτῶν τοῦτο ἐνυπάρχειν, ὅμως δ' ἔστι λαβεῖν αὐτὸ χωρὶς τῷ λόγῳ, οἷον καὶ τὸ ζῷον ἐπ' ἀνθρώπου καὶ ἵππου, καὶ τὸ θερμὸν ἐπὶ ὕδατος καὶ πυρὸς, τὸ μὲν, ὡς γένος, τὸ δ' ὡς τὸ μὲν πρώτως, τὸ δὲ δευτέρως. Ἢ ὁμωνύμως ἂν ἑκάτερον ἢ ἕκαστον λέγοιτο ἀγαθόν. Ἆρ' οὖν ἐνυπάρχει τῇ οὐσίᾳ αὐτῶν τὸ ἀγαθόν; ἢ ὅλον ἕκαστον ἀγαθόν ἐστιν; οὐ καθ' ἓν τὸ ἀγαθόν. Πῶς οὖν; ἢ ὡς μέρη; ἀλλὰ ἀμερὲς τὸ ἀγαθόν. Ἢ ἓν μὲν αὐτό· οὑτωσὶ δὲ τόδε· καὶ γὰρ ἡ ἐνέργεια ἡ πρώτη ἀγαθὸν, καὶ τὸ ἐπ' αὐτῇ ὁρισθὲν ἀγαθὸν, καὶ τὸ συνάμφω. Καὶ τὸ μὲν ὅτι γενόμενον ὑπ' αὐτοῦ, τὸ δ' ὅτι κόσμος ἀπ' αὐτοῦ, τὸ δ' ὅτι συνάμφω. Ἀπ' αὐτοῦ οὖν, καὶ οὐδὲν ταὐτὸν, οἷον εἰ ἀπὸ τοῦ αὐτοῦ φωνὴ καὶ βάδισις, καὶ ἄλλο τι πάντα κατορθούμενα. Ἢ ἐνταῦθα, ὅτι τάξις καὶ ῥυθμός· ἐκεῖ δὲ τί; ἀλλ' εἴποι τις ἂν, ὡς ἐνταῦθα ὅλον εἰς τὸ καλῶς ἔξωθεν, διαφόρων ὄντων τῶν περὶ ἃ ἡ τάξις, ἐκεῖ δὲ καὶ αὐτά. Ἀλλὰ διὰ τί καὶ αὐτά; οὐ γὰρ, ὅτι ἀπ' ἐκείνου δεῖ πιστεύοντας ἀφεῖναι. Δεῖ μὲν γὰρ συγχωρεῖν ἀπ' ἐκείνου ὄντα τίμια εἶναι, ἀλλὰ ποθεῖ ὁ λόγος λαβεῖν, κατὰ τί τὸ ἀγαθὸν αὐτῶν;

vita, etiam si pura prorsus et nuda consideretur? An potius vita proprie, quæ sit a bono? esse autem a bono nihil sit aliud, quam vitam esse talem? Rursus ergo, quidnam est vita talis? Numquid vita boni? At vero non ipsius est proprie, sed ex ipso. Verum si in illa vita insit hoc ipsum, quod sit ex illo, atque est ipsa vera vita, nihilque ab illo profluens vile esse dicendum: profecto et qua ratione vita judicanda est esse bonum, similiterque in intellectu vero primoque illo necessarium est concedere, illum scilicet esse bonum: et quamlibet speciem bonum esse, atque boniformem. Si igitur ita se res habet, fortasse unum quodque horum bonum aliquod habet, sive commune, sive potius aliud, sive hoc quidem primo bonum habet, illud autem deinceps gradusque secundo. Cum enim acceperimus unumquodque tanquam in essentia sua jam boni aliquid habens, nimirum et ob hoc ipsum est unumquodque bonum. Constituit sane vitam esse bonum, non quidem simpliciter, sed quoniam vera vita, atque ab illo, intellectusque similiter bonum: quoniam verus sit, et inde progenitus, oportet certe aliquid ipsius ejusdem in his inveniri. Quando enim de rebus inter se differentibus idem aliquid prædicatur, nihil prohibet, in illorum quidem essentia illud inesse, simul tamen licet ipsum accipere ratione seorsum: quemadmodum et animal in homine simul et equo, calidum in aqua et igne. Sed ibi quidem tanquam genus, hic autem tanquam hoc quidem primo tale sit, illud vero posterius. Num igitur vita et intellectus et cetera singulatim univoce, an æquivoce, an potius analogia quadam dicuntur bonum? An igitur inest eorum essentiæ bonum? Vel potius totum unumquodque bonum est? Non secundum unum bonum. Quomodo igitur? Numquid velut partes? At vero impartibile est ipsum bonum. Forsan vero unum quidem est ipsum: id autem hoc modo se habet. Etenim actus primus est bonum: idque, quod in eo determinatum est, exsistit bonum: itemque ambo. Atque id quidem idcirco bonum est, quia factum est ab eo: hoc autem quia ornamentum est ab ipso: illud vero, quoniam ambo censetur. Hæc igitur omnia ab ipso eodemque sunt: nihilque est idem, velut si ab eodem vox proveniat et incessus, aliudve quiddam, omnia denique recte composita. Fortasse vero in his dicuntur similiter omnia recte disponi, quoniam ordo numerusque omnibus inest. In illis autem quidnam est commune? Dicet fortasse quispiam, in his quidem totum unumquodque, ut recte se habeat, extrinsecus adipisci, cum differentia sint ea, circa quæ ordo versatur: ibi vero ipsa quoque singulatim esse bonum. Sed curnam et ipsa? Non enim hoc ipso duntaxat confidendum est, scilicet hæc esse bona, quoniam sint ab illo, atque ita quiescere. Concedendum est profecto, hæc, cum ab illo sint, esse admodum pretiosa: sed ulterius accipere ratio desiderat, secundum quid potissimum illorum existimetur bonum.

Bonum neque definiendum est per id, quod sit appetibile, neque per id, quod sit uniuscujusque virtus. In prima enim descriptione adhibentur posteriora bono. Atque propter appetentium appetibiliumque diversitatem judicium veri boni restat ambiguum. In secunda adhuc superest quærendum, quare et quomodo virtus aliqua vel virtus ipsa sit bonum.

ΙΘ'. Ἆρ' οὖν τῇ ἐφέσει καὶ τῇ ψυχῇ ἐπιτρέψομεν τὴν κρίσιν; καὶ τῷ ταύτης πάθει πιστεύσαντες τὸ ταύτῃ ἐφετὸν ἀγαθὸν φήσομεν; διότι δὲ ἐφίεται οὐ ζητήσομεν. Καὶ τί μὲν ἕκαστον, περὶ τούτου ἀποδείξεις κομιοῦμεν, τὸ δ' ἀγαθὸν τῇ ἐφέσει δώσομεν; ἀλλὰ πολλὰ ἄτοπα ἡμῖν φαίνεται. Πρῶτον μὲν, ὅτι καὶ τὸ ἀγαθὸν ἕν τι τῶν πέρι· ἔπειτα, ὅτι πολλὰ τὰ ἐφιέμενα καὶ ἄλλα ἄλλων. Πῶς οὖν κρινοῦμεν τῷ ἐφιεμένῳ εἰ βέλτιον; ἀλλ' ἴσως οὐδὲ τὸ βέλτιον γνωσόμεθα τὸ ἀγαθὸν ἀγνοοῦντες. Ἀλλὰ ἄρα τὸ ἀγαθὸν ὁριούμεθα κατὰ τὴν ἑκάστου ἀρετήν; ἀλλ' οὕτως εἰς εἶδος καὶ λόγον ἀνάξομεν ὀρθῶς μὲν πορευόμενοι. Ἀλλὰ ἐλθόντες ἐκεῖ τί ἐροῦμεν, αὐτὰ ταῦτα ζητοῦντες, πῶς ἀγαθά; ἐν μὲν

XIX. Num igitur desiderio atque animæ judicium tribuemus? atque hujus affectui fidem penitus adhibentes, quod huic appetibile est, bonum esse censebimus? propter quid autem desideratur, nequaquam investigabimus. Atque quid unumquodque ipsorum sit, demonstrationibus explicabimus: ipsam vero boni rationem appetitui committemus? Veruntamen multa sic absurda nobis occurrunt. Primum quidem, quod et bonum unum aliquid erit eorum, quæ sunt circa aliud: deinde quoniam multa sunt, quæ appetunt, aliaque ab aliis appetuntur. Quomodo igitur ipso appetentis affectu, utrum aliquid sit, melius judicabimus? Sed fortasse neque ipsum quidem melius cognoscemus, ignorantes bonum. Sed numquid bonum existimabimus secundum uniuscujusque virtutem? Sed ita certe id in speciem rationemque reducemus recte quidem progredientes. Postquam vero illuc denique processerimus, quidnam respondebimus, si investigandum fuerit, qua ratione hæc ipsa sint bona? in rebus quidem deterioribus, ut videtur,

γὰρ τοῖς χείροσιν, ὡς ἔοικε, γιγνώσκοιμεν ἂν τὴν φύσιν τὴν τοιαύτην, καίτοι οὐκ ἔχουσαν εἰλικρινῶς. Ἐκεῖ δὲ οὐ πρώτως τῇ πρὸς τὰ χείρω παραθέσει· ὅπου δὲ μηδέν ἐστι κακόν, αὐτὰ δὲ ἐφ' ἑαυτῶν ἐστι τὰ ἀμείνω, ἀπορήσομεν. Ἆρ' οὖν ἐπειδὴ λόγος τὸ διότι ζητεῖ, ταῦτα δὲ ἀγαθὰ παρ' αὐτῶν, διὰ τοῦτο ἀπορεῖ, τοῦ δι' ὅτι τὸ ὅ τι ὄντος; κἂν ἄλλο φῶμεν αἴτιον τὸν θεὸν, λόγου μὴ φθάνοντος ἐκεῖ, ὁμοίως ἡ ἀπορία. Οὐ μὴν ἀποστατέον, εἴ πῃ κατ' ἄλλην ὁδὸν πορευομένοις τι φανείη.

facile naturam talem cognosceremus, quamvis non sincere admodum se habentem. Illic autem non primo comparatione quadam ad deteriora censebimus: ubi autem nihil est malum, ipsa vero meliora in se ipsis existunt, dubitationibus implicabimur. An igitur, quoniam ratio praesens, propter quid investigat, haec autem penes se ipsa sunt bona, propterea dubitat? Quippe cum ibi hoc ipsum, quod dicitur propter quid, idem sit, atque illud, quod quid est appellatur: quoniam et si aliam hujus causam afferamus, videlicet ipsum deum, cum tamen ratio illuc usque nequaquam pervenerit, similis imminet ambiguitas. Neque tamen retrahere hinc pedem tentandum nobis est, conantibus, si quo pacto alia incedentibus via occurrat aliquid manifestius.

Quaerentibus, quid sit ipsum bonum, intellectus primum occurrit nobis ut bonum: quoniam et per ipsum de bonis re vera judicamus ac malis: et ordo species pulchritudo et vita ab intellectu procedit. Vita quinetiam adulta, quam animus optat, est intellectus. Neque tamen intellectus est ipsum bonum. Hoc enim, non illum, omnia cupiunt. Jam vero animae prius et frequentius bonum, quam intelligentiam, appetunt, neque in hac quiescunt, sed in illo. Cupiunt quidem esse, vivere, agere, non sub ratione essendi, vivendi, agendi, intelligendi, sed boni: quapropter bonum ab his omnibus diversum est, atque superius.

Κ'. Ἐπειδὴ τοίνυν ἀπιστοῦμεν ἐν τῷ παρόντι ταῖς ὀρέξεσι, πρὸς τὰς τοῦ τί ἐστιν ἢ ποιόν ἐστι θέσεις, ἆρα χρὴ πρὸς τὰς κρίσεις ἰέναι, καὶ τὰς τῶν πραγμάτων ἐναντιώσεις, οἷον τάξιν ἀταξίαν, σύμμετρον ἀσύμμετρον, ὑγείαν νόσον, εἶδος ἀμορφίαν, οὐσίαν φθοράν, ὅλως συστασίαν ἀφάνισιν; τούτων γὰρ τὰ πρῶτα καθ' ἑκάστην συζυγίαν τίς ἂν ἀμφισβητήσειε μὴ οὐκ ἐν ἀγαθοῦ εἴδει εἶναι; εἰ δὲ τοῦτο, καὶ τὰ ποιητικὰ αὐτῶν ἀνάγκη ἐν ἀγαθοῦ μοίρᾳ τίθεσθαι, καὶ ἀρετὴ δὴ καὶ νοῦς καὶ ζωὴ καὶ ψυχὴ, ἥ γε ἔμφρων, ἐν ἀγαθοῦ εἴδει, καὶ ὧν ἐφίεται τοίνυν ἔμφρων ζωή. Τί οὖν οὐ στησόμεθα, φήσει τις, εἰς νοῦν, καὶ τοῦτο τὸ ἀγαθὸν θησόμεθα; καὶ γὰρ ψυχὴ καὶ ζωὴ νοῦ ἴχνη· καὶ τούτου ἐφίεται ψυχὴ, καὶ κρίνει τοίνυν, καὶ ἐφίεται νοῦ, κρίνουσα μὲν δικαιοσύνην ἀντ' ἀδικίας ἄμεινον, καὶ ἕκαστον εἶδος ἀρετῆς πρὸ κακίας εἴδους, καὶ τῶν αὐτῶν ἡ προτίμησις, ὧν καὶ ἡ αἵρεσις. Ἀλλ' εἰ μὲν νοῦ μόνου ἐφίεται, τάχ' ἂν πλείονος ἐδέησε λόγου, δεικνύντων, ὡς οὐ τὸ ἔσχατον ὁ νοῦς, καὶ νοῦ μὲν οὐ πάντα, ἀγαθοῦ δὲ πάντα. Καὶ τῶν μὲν μὴ ἐχόντων νοῦν οὐ πάντα νοῦν κτήσασθαι ζητεῖ· τὰ δὲ ἔχοντα νοῦν οὐχ ἵσταται ἤδη, ἀλλὰ πάλιν τὸ ἀγαθὸν ζητεῖ, καὶ νοῦν μὲν ἐκ λογισμοῦ, τὸ δ' ἀγαθὸν καὶ πρὸ τοῦ λόγου. Εἰ δὲ καὶ ζωῆς ἐφίεται καὶ τοῦ ἀεὶ εἶναι καὶ ἐνεργεῖν, οὐχ, ᾗ νοῦς ἂν εἴη τὸ ἐφετὸν, ἀλλ' ᾗ ἀγαθὸν καὶ ἀπὸ ἀγαθοῦ, καὶ εἰς ἀγαθόν· ἐπεὶ καὶ ἡ ζωὴ οὕτως.

XX. Cum igitur in praesentia diffidamus affectibus, quantum spectat ad asseverandum, quid unumquodque sit et quale: numquid forsan operae pretium est, ad alia quaedam judicia pervenire, et ad rerum oppositiones accedere? velut ordinem et vacationem ordinis, contemperatum incompositum, sanitatem infirmitatem, formam informitatem, essentiam corruptionem, consistentiam evanescentiam. Horum namque prima secundum conjugationem quamlibet, quisnam dubitet, quin in boni specie comprehendantur? Si res ita se habet, horum etiam effectiva necessarium est in boni sorte connumerare: atqui et virtus, intellectus, vita, anima sapiens in boni gradu versantur, ideoque ibidem ponuntur et illa, quae sapiens vita desiderat. Cur non igitur, dicet aliquis, gradum in mente sistamus, eamque esse bonum asseveremus? Etenim anima et vita mentis vestigia sunt, eamque affectat anima, et secundum illam judicat, et judicando se confert ad mentem, judicans quidem justitiam injustitia melius, et quamlibet virtutis speciem specie pravitatis procul dubio antepanit: conatique illa in honore praeferre, quae prae ceteris judicat eligenda. Sed utrum intellectum solum appetat, nec ne, disputationem plurimam exigit, qua demonstretur, intellectum non esse supremum ultimumque finem: item non omnia intellectum desiderare; bonum vero omnia cupere. Praeterea ex eorum numero, quae intellectu vacant, non omnia possessionem mentis optare: quae vero mentem habent, nondum quiescere, sed bonum ulterius affectare. Denique intellectum quidem ex quodam rationis discursu: bonum vero etiam ante rationem desiderari. Quod si vitam appetunt, et esse semper, et agere, profecto hoc ipsum, non qua ratione intellectus sit, est expetendum, sed qua bonum et a bono pendet, ad bonumque refertur: nam et vita quidem sic est duntaxat optanda.

Vita, intelligentia, species, boniformia appetenda sunt: quoniam illa est actus circa bonum, iste actus jam determinatus a bono, haec ipse terminus impressus a bono. Quinimmo ab ipso bono haec omnia lucem habent. Una quidem nascenti facta est unicuique propria, in aliis alia, sicut color: altera superfertur quasi cunctis unum commune lumen, alibi tamen magis gratiosve, quam alibi fulgens. Per primum bona quidem sunt, et ideo ac leviter appetuntur: per secundam meliora, atque palam et ardenter amantur.

ΚΑ'. Τί οὖν ἓν ὂν ἐν πᾶσι τούτοις ποιεῖ ἀγαθὸν ἕκαστον; ὧδε τοίνυν τετολμήσθω· εἶναι μὲν τὸν νοῦν, καὶ τὴν ζωὴν ἐκείνην ἀγαθοειδῆ, ἔφεσιν δὲ εἶναι καὶ τούτων, καθ' ὅσον ἀγαθοειδῆ. Ἀγαθοειδῆ δὲ λέγω τὴν μὲν τἀγαθοῦ εἶναι ἐνέργειαν, μᾶλλον δὲ ἐκ τἀγαθοῦ ἐνέργειαν, τὸν δὲ, ἤδη ὁρισθεῖσαν ἐνέργειαν· εἶναι δ' αὐτὰ μεστὰ μὲν ἀγλαΐας καὶ διώκεσθαι ὑπὸ ψυχῆς, ὡς ἐκεῖθεν καὶ πρὸς ἐκεῖνα αὖ, ὡς τοίνυν οἰκεῖα, ἀλλ' οὐχὶ ἀγαθά. Ἀγαθοειδῆ δ' ὄντα οὐδὲ ταύτῃ ἀπόβλητα

XXI. Quidnam igitur unum in his omnibus idemque existens efficit unumquodque bonum? Sic igitur audeamus asserere: esse quidem intellectum, vitamque illam procul dubio boniformem: expeti vero haec etiam, qua boniformia sunt. Esse, inquam, boniformia propterea, quod vita quidem ipsius boni sit actus, imo vero actus ex ipso bono pendens: intellectus vero actus jam determinatus existat. Atque haec splendore quodam desuper circumfundi, animamque haec ideo prosequi, quoniam inde proficiscantur, et ad illa rursus afficì quodammodo velut ad propria quaedam, non tamen tanquam per se bona. Cum vero boniformia sint, neque sic quidem contemnenda putantur

εἶναι. Τὸ γὰρ οἰκεῖον, εἰ μὴ ἀγαθὸν εἴη, οἰκεῖον μέν ἐστι, φεύγει δέ τις αὐτό· ἐπεὶ καὶ ἄλλα πόῤῥω ὄντα καὶ κάτω κινήσειεν ἄν. Γίγνεται δὲ πρὸς αὐτὰ ἔρως ὁ σύντονος, οὐχ ὅταν ᾖ, ἅπερ ἐστὶν, ἀλλ' ὅταν ἐκεῖθεν ἤδη ὄν, ἅπερ ἐστὶν, ἄλλο προσλάβῃ. Οἷον γὰρ ἐπὶ τῶν σωμάτων φωτὸς ἐμμεμιγμένου, ὅμως δεῖ φωτὸς ἄλλου, ἵνα καὶ φανείη τὸ ἐν αὐτοῖς χρῶμα, τὸ φῶς, οὕτω τοι δεῖ καὶ ἐπὶ τῶν ἐκεῖ, καίπερ πολὺ φῶς ἐχόντων, φωτὸς κρείττονος ἄλλου, ἵνα κἀκεῖνα καὶ ὑπ' αὐτῶν καὶ ὑπ' ἄλλου ὀφθῇ.

Quod enim familiare propriumque est, nisi sit bonum, proprium quidem est, fugere tamen hoc aliquis aliquando potest. Nempe et alia quaedam longo distantia, inferiusque etiam posita, appetitum ad se nonnunquam attrahunt. Incitatur autem vehemens ad haec amor, non quando id solum, quod sunt, existunt, sed quando jam id ipsum, quod sunt, existentia, aliud quiddam ex alto suscipiunt. Sicut enim in corporibus quamvis mixtum naturaliter sit intus lumen, alio tamen opus est lumine, ut palam appareat color eis infusus, id est lumen naturaliter insitum, sic supernis quoque rebus, quamvis lumen habeant plurimum, praestantiore quodam opus est lumine, ut et a se ipsis, et a quovis alio discernantur.

Absque mirifica primi boni gratia nec amant res aliae, nec amantur.

Quod in spectandis formosis amore nos corripit, neque materia est, neque proportio, sed vividus quidam fulgor ab anima in proportione refulgens. Quod iterum in excogitandis animis eorumque virtutibus et officiis ardenti quadam benevolentia capit, intellectualis quidam splendor est ab intellectu divino subrutilans. Quod tandem, dum intellectus et intelligibilia contemplamur, novo quodam nos accendit amore, radius est a primo bono micans, hinc quidem inflammans et excitans voluntatem, inde vero, quae contemplanda nobis occurrunt, gratia mirifica donans. Cum vero gradatim inde omnia pendeant, sequitur, ut nec etiam in sensibus et corporibus absque influxu primi boni proprio vel amabilis usquam gratia fulgeat, vel accendatur amor.

ΚΒ'. Ὅταν οὖν τὸ φῶς τοῦτό τις ἴδῃ, τότε δὴ καὶ κινεῖται ἐπ' αὐτὰ, καὶ τοῦ φωτὸς τοῦ ἐπιθέοντος ἐπ' αὐτοῖς γλιχόμενος εὐφραίνεται. Ὥσπερ καὶ τῶν ἐνταῦθα σωμάτων οὐ τῶν ὑποκειμένων ἐστὶν ὁ ἔρως, ἀλλὰ τοῦ ἐμφανταζομένου κάλλους ἐπ' αὐτοῖς. Ἔστι γὰρ ἕκαστον, ὅ ἐστιν ἐφ' αὐτοῦ· ἐφετὸν δὲ γίγνεται ἐπιχρώσαντος αὐτὸ τοῦ ἀγαθοῦ, ὥσπερ χάριτας δόντος αὐτοῖς, καὶ εἰς τὰ ἐφιέμενα ἔρωτας· καὶ τοίνυν ψυχὴ λαβοῦσα εἰς αὐτὴν ἐκεῖθεν ἀποῤῥοὴν κινεῖται, καὶ ἀναβακχεύεται, καὶ οἴστρων πίμπλαται, καὶ ἔρως γίγνεται. Πρὸ τοῦ δὲ οὐδὲ πρὸς τὸν νοῦν κινεῖται, καίπερ καλὸν ὄντα, ἀργόν τε γὰρ τὸ κάλλος αὐτοῦ, πρὶν τοῦ ἀγαθοῦ φῶς λάβῃ, ὑπτία τε ἀναπέπτωκεν ἡ ψυχὴ παρ' αὐτῆς, καὶ πρὸς πᾶν ἀργῶς ἔχει, καὶ παρόντος νοῦ ἐστι πρὸς αὐτὸν νωθής. Ἐπειδὰν δὲ ἥκῃ εἰς αὐτὴν ὥσπερ θερμασία ἐκεῖθεν, ῥώννυταί τε καὶ ἐγείρεται καὶ ὄντως πτεροῦται, καὶ πρὸς τὸ παρακείμενον καὶ πλησίον, καίπερ ἐπτοημένη, ὅμως πρὸς ἄλλο, οἷον τῇ μνήμῃ μεῖζον, κουφίζεται. Καὶ ἕως τί ἐστιν ἀνωτέρω τοῦ παρόντος, αἴρεται φύσει ἄνω, αἰρομένη ὑπὸ τοῦ δόντος τὸν ἔρωτα, καὶ νοῦν μὲν ὑπεραίρει, οὐ δύναται δὲ ὑπὲρ τὸ ἀγαθὸν δραμεῖν, ὅτι μηδέν ἐστι τὸ ὑπερκείμενον. Ἐὰν δὲ μένῃ ἐν νῷ, καλὰ μὲν καὶ σεμνὰ θεᾶται, οὔπω μὴν, ὃ ζητεῖ, πάντῃ ἔχει. Οἷον γὰρ προσώπῳ πελάζει, καλῷ μὲν, οὔπω δὲ ὄψιν κινεῖν δυναμένῳ, ᾧ μὴ ἐμπρέπει χάρις ἐπιθέουσα τῷ κάλλει. Διὸ καὶ ἐνταῦθα φατέον μᾶλλον τὸ κάλλος, τὸ ἐπὶ τῇ συμμετρίᾳ ἐπιλαμπόμενον, ἢ τὴν συμμετρίαν εἶναι, καὶ τοῦτο εἶναι τὸ ἐράσμιον. Διὰ τί γὰρ ἐπὶ μὲν ζῶντος προσώπου μᾶλλον τὸ φέγγος τοῦ καλοῦ, ἴχνος δ' ἐπὶ τεθνηκότος, καὶ μήπω τοῦ προσώπου ταῖς σαρξὶ καὶ ταῖς συμμετρίαις μεμαρασμένου; καὶ τῶν ἀγαλμάτων δὲ τὰ ζωτικώτερα καλλίω, κἂν συμμετρότερα τὰ ἕτερα ᾖ; καὶ αἰσχίων ζῶν καλλίων τοῦ ἐν ἀγάλματι καλοῦ; ἢ ὅτι τοδὶ ἐφετὸν μᾶλλον· τοῦτο δ' ὅτι ψυχὴν ἔχει· τοῦτο δ' ὅτι ἀγαθοειδέστερον· τοῦτο δὲ ὅτι ἀγαθοῦ ἀμηγέπη φωτὶ κέχρωσται, καὶ χρωσθεῖσα ἐγή-

XXII. Quotiens igitur animus lumen hoc inspicit, tollens ad res divinas hoc circumfusas lumine incitatur, affectansque lumen in his praefulgens occurens ejus admodum gratulatur. Quemadmodum et, qui corpora haec videntur amare, non subjecta quidem amant, sed pulchritudinem palam in corporibus effulgentem. Existit enim quodlibet hoc ipsum, quod est in se ipso: evadit autem optabile, cum hoc bonum ipsum quasi colorat, dum videlicet rebus quidem expetendis gratias abunde largitur, appetentibus vero infundit amores. Jam vero animus, cum influxum inde susceperit, movetur, debacchatur, stimulis incitatur: atque ita in hunc influit amor. Antea vero neque ad mentem quidem movetur, quamvis pulchram: ipsius enim pulchritudo torpet, priusquam boni lumen acceperit, ipseque animus ex se recidit resupinus, et ad omnia torpet, menteque praesente ad eam dormitare videtur. Postquam vero inde accensus est calor, corroboratur protinus excitaturque, alisque fulcitur. Ac dum ad id, quod proximum est, vehementer afficitur, ad aliud interim quasi reminiscentia quadam excellentius elevatur. Et quousque aliquid restat praesente superius, natura sursum attollitur, ab eo sublatus, qui infudit amorem: et intellectum quidem transcendit, nequit autem supergredi bonum: quoniam nihil bono superius esse potest. Si autem in mentem defigat intuitum, pulchra quidem cernit atque veneranda, nondum tamen habet omnino, quod quaerit. Quasi enim propinquat vultui formoso quidem, nondum tamen aspectum ad se rapienti: quippe cum ea adhuc decora gratia careat, quae solet in pulchritudine refulgens allicere. Quam ob rem et hic pulchritudinem esse putandum est id ipsum potius, quod in proportione refulget, quam ipsam proportionem: idque esse proprie, quod est amabile. Cur enim in facie quidem viventis magis pulchritudinis splendor apparet, in facie vero defuncti, necdum manifeste permutata figura, vix pulchritudinis restat vestigium? Cur iterum inter imagines, quae videntur vivaciores, etiam pulchriores occurrunt, quamvis aliae quaedam exactiori sint mensura compositae? Cur ipsa viventis forma, etiam si minus composita sit, pulchrior tamen occurrit quavis imaginis pulchritudine? Forsan, quia hoc re vera magis est expetendum: id vero quoniam habet animam: id vero quia magis est boniforme: id rursus, quia haec quodam ipsius boni lumine est insignita; inde vero colorata protinus excitatur, et quasi levior attollitur altius, elevatque,

γερται καὶ ἀνακεκούρισται, καὶ ἀνακουρίζει, ὃ ἔχει, καὶ ὡς οἷόν τε αὐτῷ ἀγαθοποιεῖ αὐτὸ καὶ ἐγείρει.

quod habet, et quatenus capere potest, bonum reddit et excitat.

Primum rerum principium idem est atque ipsum bonum: nihil enim melius ipso bono: nihil similiter primo rerum principio melius. Item ipsum bonum per se sibi sufficientissimum est: sufficere vero sibi principium solum potest. Præterea, malum per discessum quidem a principio crescit, per accessum vero augetur bonum. Infimum ergo rerum est ipsum malum: primum vero similiter ipsum bonum. Denique quoniam omnia bonum appetunt, atque ejus participatione proficiunt, plane constat, ab ipso cuncta et esse et conservari, ejusque virtute moveri, et agere quicquid rite et naturaliter agunt.

ΚΓ'. Ἐκεῖ δή, ὃ ψυχὴ διώκει, καὶ ὃ νῷ φῶς παρέχει, καὶ ἐμπεσὸν αὐτοῦ ἴχνος κινεῖ, οὔτοι δεῖ θαυμάζειν, εἰ τοιαύτην δύναμιν ἔχει, ἕλκον πρὸς αὐτὸ καὶ ἀνακαλούμενον ἐκ πάσης πλάνης, ἵνα πρὸς αὐτὸν ἀναπαύσαιτο. Εἰ γὰρ ἐκ τούτου τὰ πάντα, οὐδέν ἐστι κρεῖττον αὐτοῦ, ἐλάττω δὲ πάντα· τὸ δὴ ἄριστον τῶν ὄντων πῶς οὐ τἀγαθόν ἐστι; καὶ μὴν εἰ δεῖ τὴν τοῦ ἀγαθοῦ φύσιν αὐταρκεστάτην τε εἶναι αὐτῇ, καὶ ἀνενδεᾶ ἄλλου ὁτουοῦν παντός, τίνα ἂν ἄλλην ἢ ταύτην οὖσαν εὕροι τις; ἢ πρὸ τῶν ἄλλων ἦν, ὅπερ ἦν, ὅτε μηδὲ κακία πω ἦν. Εἰ δὲ τὰ κακὰ ὕστερον, ἐν τοῖς μηδὲ καθ' ἓν τούτου μετειληφόσι, καὶ ἐν τοῖς ἐσχάτοις, καὶ οὐδὲν ἐπέκεινα τῶν κακῶν πρὸς τὸ χεῖρον, ἐναντίως ἂν ἔχοι τὰ κακὰ πρὸς αὐτό, οὐδὲν ἔχοντα μέσον πρὸς ἐναντίωσιν. Τὸ ἄρα ἀγαθὸν τοῦτο ἂν εἴη· ἢ γὰρ οὐκ ἔστιν ὅλως ἀγαθόν, ἢ εἰ ἀνάγκη εἶναι, τοῦτο ἂν καὶ οὐκ ἄλλο εἴη. Εἰ δέ τις λέγοι μὴ εἶναι, οὐδὲ κακὸν ἂν εἴη· ἀδιάφορα ἄρα πρὸς αἵρεσιν τῇ φύσει· τοῦτο δ' ἀδύνατον. Ἃ δ' ἄλλα λέγουσιν ἀγαθά, εἰς τοῦτο, αὐτὸ δὲ εἰς οὐδέν. Τί οὖν ποιεῖ τοιοῦτον ὄν; ἢ ἐποίησε νοῦν, ἐποίησε ζωήν, ψυχὰς ἐκ τούτου, καὶ τὰ ἄλλα ὅσα λόγου ἢ νοῦ ἢ ζωῆς μετέχει. Ὃ δὴ τούτων πηγὴ καὶ ἀρχή, τίς ἂν εἴποι, ὅπως ἀγαθὸν καὶ ὅσον; ἀλλὰ τί νῦν ποιεῖ; ἢ καὶ νῦν σώζει ἐκεῖνα, καὶ νοεῖν ποιεῖ τὰ νοοῦντα, καὶ ζῆν τὰ ζῶντα, ἐμπνέον νοῦν, ἐμπνέον ζωήν, εἰ δέ τι μὴ δύναται ζῆν, εἶναι.

XXIII. Neque vero mirari quisquam debet, ipsum, quod anima sequitur, quod menti lumen infundit, cujus vestigium hæc passim concitat, tantam habere potentiam, dum videlicet ad se ipsum trahit animam atque mentem, et passim revocat ab errore, ut penes ipsum denique conquiescant. Si enim illud, a quo sunt omnia, nihil se melius esse patitur, minus vero bona sunt omnia, sequitur, ipsum rerum omnium optimum bonum ipsum existere. Quin etiam, si oportet ipsam boni naturam per se sibi sufficientissimam esse, nec indigam alicujus, quam potissimum aliam ipsam quis esse reperiat, præter hanc? quæ ante alia est hoc ipsum, quod existit, quando nondum est malum. Si autem mala posterius sunt, in his rebus, quæ nihil hujus [sc. boni ipsius] participant, atque postremis, neque mali quicquam est apud superos, neque aliquid ipso malo pejus, [sicut neque melius aliquid ipso bono,] profecto mala contrario modo se habent ad primum: nihil ad contrarietatem habentia medium. Ipsum itaque bonum hoc prorsus existit. Aut enim omnino nihil est bonum, aut, si necessarium est, bonum esse; hoc utique duntaxat, nec aliud erit. Si quis autem objiciat, bonum omnino non esse, cogetur non esse malum similiter confiteri: unde sequetur, res omnes ad electionem esse secundum naturam indifferentes: id autem est impossibile. Cetera vero, quæ appellantur bona, referuntur ad primum, ipsum vero refertur ad nullum. Cum igitur ipsum bonum tale sit, quidnam agit? Profecto fecit mentem, fecit vitam, fecit ex mente animas, et reliqua prorsus, quæcunque rationis vel mentis vel vitæ participia sunt. Quisnam igitur exprimere possit, quale quantumve bonum sit, quod horum fons est atque principium? Verum quid nunc operatur? nunc certe servat illa, quæ fecit. Efficit enim, ut et intelligentia passim intelligant, et viventia vivant, inspirans mentem, inspirans et vitam, inspirans esse saltem, ubi accipi vita non potest.

Esse appetibile non tam est ipsa natura boni, quam conditio quædam consequens ad ipsam boni naturam. Ambigitur, quidnam sit ipsa natura ratioque boni, et quæ consequuntur bonum, utrum voluptatem solam, an et aliud insuper inde reportent: quove judicio certo verum adesse bonum discernere valeamus.

ΚΔ'. Ἡμᾶς δὲ τί ποιεῖ; ἢ πάλιν περὶ τοῦ φωτὸς λέγωμεν τί τὸ φῶς, ᾧ καταλάμπεται μὲν νοῦς, μεταλαμβάνει δὲ αὐτοῦ ψυχή; ἢ τοῦτο νῦν εἰς ὕστερον ἀφέντες εἰκότως ἐκεῖνα πρότερον ἀπορήσωμεν· ἆρά γε τὸ ἀγαθόν, ὅτι ἐστὶν ἄλλῳ ἐφετόν, ἔστι καὶ λέγεται ἀγαθόν, καὶ τινὶ μὲν ὂν ἐφετόν, τινὶ δὲ ἀγαθόν, πᾶσι δὲ ὂν τοῦτο λέγομεν εἶναι τὸ ἀγαθόν· ἢ μαρτύριον μὲν ἄν τις τοῦτο ποιήσαιτο τοῦ εἶναι ἀγαθόν; δεῖ δέ γε φύσιν αὐτὸ τὸ ἐφετὸν ἔχειν τοιαύτην, ὡς δικαίως ἂν τυχεῖν τῆς τοιαύτης προσηγορίας. Καὶ πότερα τῷ τι δέχεσθαι τὰ ἐφιέμενα ἐφίεται, ἢ τῷ χαίρειν αὐτῷ; καὶ εἰ μέν τι δέχεται, τί τοῦτο; εἰ δὲ τῷ χαίρειν, διὰ τί τούτῳ, ἀλλὰ μὴ ἄλλῳ τινί; ἐν ᾧ δή, καὶ πότερα τῷ οἰκείῳ τὸ ἀγαθόν, ἢ ἄλλῳ τινί; καὶ δὴ καὶ πότερα τὸ ἀγαθὸν ὅλως ἄλλου ἐστίν, ἢ καὶ αὐτῷ τὸ ἀγαθὸν ἀγαθόν ἐστιν; ἢ ὃ ἂν ᾖ ἀγαθόν, αὐτῷ μὲν οὐκ ἔστιν, ἄλλου δὲ ἐξ ἀνάγκης; καὶ τίνι φύσει ἀγαθόν ἐστιν; ἔστι δέ τις φύσις, ᾗ μηδὲν ἀγαθόν ἐστι. Κἀκεῖνο δὲ οὐχ

XXIV. Reliquum foret inquirere, quid potissimum erga nos operetur. Sed rursus de lumine dicturi sumus: quidnam sit lumen, quo mens illustratur, cujus est et anima particeps. Verum præstat in præsentia, hoc in posterum differentes, prius investigare, numquid ipsum propterea, quod alteri sit expetendum, bonum sit atque dicatur: et, quod alicui est appetibile, sit et alicui bonum: quod autem omnibus appetendum, ipsum bonum asseveremus: an potius indicium hoc boni aliquis judicet, oporteatque, quod est appetibile, eam habere naturam, qua jure sibi appellationem ejusmodi vindicet. Quærendum est præterea, numquid hoc appetentia id appetant ab eo nonnihil accipiendo, an duntaxat ipso gaudendo? et si quid accipiant, quidnam sit illud? Sin tantum gaudeant, cur hoc duntaxat, nec alio quopiam? Ubi sane et hoc indagandum, num bonum per ipsius proprii rationem, an per aliud perpendendum? Tum vero, numquid bonum omnino alterius sit, an etiam sibimet bonum ipsum sit bonum? An potius cuicunque bonum sit, sibi quidem non sit bonum, sed alteri necessario? Item, cui potissimum naturæ sit bonum? Est enim nonnulla natura, cui nihil est bonum. Neque illud silentio

ἀφετέον, ὃ τάχ' ἂν τις δυσχεραντικὸς ἀνὴρ εἴποι, ὡς ὑμεῖς, ὦ οὗτοι, τί δὴ ἀποσεμνύνατε τοῖς ὀνόμασιν, ἄνω καὶ κάτω ζωὴν ἀγαθὸν λέγοντες, καὶ νοῦν ἀγαθὸν λέγοντες, καίτοι ἐπέκεινα τούτων; τί γὰρ ἂν καὶ ὁ νοῦς ἀγαθὸν εἴη; ἢ τί ὁ νοῶν τὰ εἴδη αὐτὰ ἀγαθὸν ἔχοι, αὐτὸ ἕκαστον θεωρῶν; ἠπατημένος μὲν γὰρ ἂν καὶ ἡδόμενος ἐπὶ τούτοις τάχ' ἂν ἀγαθὸν λέγοι καὶ τὴν ζωὴν ἡδεῖαν οὖσαν. Στὰς δ' ἐν τῷ ἀνήδονος εἶναι διὰ τί ἂν φήσειεν ἀγαθά; ἢ τὸ αὐτὸν εἶναι; τί γὰρ ἂν ἐκ τοῦ εἶναι καρπώσαιτο; ἢ τί ἂν διαφέροι ἐν τῷ εἶναι, ἢ ὅλως μὴ εἶναι, εἰ μή τις τὴν πρὸς αὐτὸν φιλίαν αἰτίαν τούτων θεῖτο; ὥστε διὰ ταύτην τὴν ἀπάτην φυσικὴν οὖσαν, καὶ τὸν φόβον τῆς φθορᾶς τὴν τῶν ἀγαθῶν νομισθῆναι θέσιν.

praetereundum censeo, quod forsan aliquis pertinax et contentiosus objiciat: Quidnam, o viri, dicet, sursum deorsumque spectando rem vestram gloriosius exornatis? Vitam bonum dicitis, mentem quoque bonum: quamvis super haec statuatis ipsum bonum. Dicito, quaeso, quidnam mens ipsa sit bonum? quid species ipsas intelligens habeat bonum, dum, quid unumquodque sit, contemplatur? Fieri fortasse potest, ut horum oblectatione deceptus appellet bonum etiam ipsam vitam, tanquam sibi dulcem. Qui si forte sit in eo habitu constitutus, ut nulla voluptate tangatur, curnam bona haec affirmabit? An forte bonum esse putabit, videlicet se exsistere? Sed quidnam fructus ex ipso esse percipiet? quidve apud ipsum intererit esse, aut omnino non esse, nisi quispiam quandam erga se amicitiam esse horum causam asserat? Adeo ut ob hanc deceptionem nobis naturaliter insitam mortisque timorem bonorum existimatio sit inducta.

Bonum materiae quidem forma est, corpori vero anima, animae intellectus, intellectui simul et omnibus principium omnium. Forma materiae actum exhibet atque ordinem tanquam bonum: anima corpori vitam atque motum, intellectus animae virtutem, principium intellectui actum vitalem intellectualemque, et lumen inaestimabile: sicut naturam ignis id sequitur, ut distantia quidem illuminet, propinquantia vero etiam calefaciat: imo sicut centrum gravia trahit et sistit, ita naturam boni haec conditio comitatur, ut remota quidem trahat per appetitum, praesentia vero detineat atque delectet.

ΚΕ'. Ὁ μὲν οὖν Πλάτων ἡδονὴν τῷ τέλει μιγνύς, καὶ τὸ ἀγαθὸν οὐχ ἁπλοῦν οὐδὲ ἐν νῷ μόνῳ τιθέμενος, ὡς ἐν τῷ Φιλήβῳ γέγραπται, τάχα ἂν αἰσθόμενος ταύτης τῆς ἀπορίας οὔτε παντάπασιν ἐπὶ τὸ ἡδὺ τίθεσθαι τὸ ἀγαθὸν ἐτράπετο, ὀρθῶς ποιῶν, οὔτε τὸν νοῦν ἀνήδονον ὄντα ᾠήθη δεῖν θέσθαι ἀγαθόν, τὸ κινοῦν ἐν αὐτῷ οὐχ ὁρῶν. Τάχα δὲ οὐ ταύτῃ, ἀλλ' ὅτι ἠξίου τὸ ἀγαθόν, ἔχον φύσιν ἐν αὐτῷ, τοιαύτην δεῖν ἐξ ἀνάγκης χαρτὸν εἶναι, τό τε ἐφετὸν τῷ τυγχάνοντι καὶ τυχόντι πάντως ἔχειν τὸ χαίρειν, ὥστε, ᾧ μὴ τὸ χαίρειν, ἀγαθὸν μηδὲ εἶναι, καὶ ὥστε, εἰ τὸ χαίρειν τῷ ἐφιεμένῳ τῷ πρώτῳ μὴ εἴη, μηδὲ τὸ ἀγαθόν· καὶ οὐκ ἄτοπον τοῦτο. Αὐτὸς γὰρ οὐ τὸ πρῶτον ἀγαθὸν ἐζήτει, τὸ δὲ ἡμῶν, καὶ ὅλως ἑτέρου ὄντος ἐστὶν αὐτό, ἕτερον ὂν αὐτοῦ, ἐλλειποῦς ὄντος αὐτοῦ, καὶ ἴσως συνθέτου· ὅθεν καὶ τὸ ἔρημον καὶ μόνον μηδὲν ἔχειν ἀγαθόν, ἀλλ' εἶναι ἑτέρως καὶ μειζόνως· ἐφετὸν μὲν οὖν δεῖ τὸ ἀγαθὸν εἶναι, οὐ μέντοι τῷ ἐφετὸν εἶναι ἀγαθὸν γίγνεσθαι, ἀλλὰ τῷ ἀγαθὸν εἶναι ἐφετὸν γίγνεσθαι. Ἆρ' οὖν τῷ μὲν ἐσχάτῳ ἐν τοῖς οὖσι τὸ πρὸ αὐτοῦ, καὶ ἀεὶ ἡ ἀνάβασις τὸ ὑπὲρ ἕκαστον διδοῦσα ἀγαθὸν εἶναι τῷ ὑπ' αὐτό, εἰ ἡ ἀνάβασις οὐκ ἐξίσταιτο τοῦ ἀναλόγου, ἀλλὰ ἐπὶ μεῖζον ἀεὶ προχωροῖ. Τότε δὲ στήσεται ἐπ' ἐσχάτῳ, μεθ' ὃ οὐδέν ἐστιν εἰς τὸ ἄνω λαβεῖν· καὶ τοῦτο τὸ πρῶτον καὶ τὸ ὄντως, καὶ τὸ μάλιστα κυρίως ἔσται καὶ αἴτιον δὲ καὶ τοῖς ἄλλοις. Τῇ μὲν γὰρ ὕλῃ τὸ εἶδος. Εἰ γὰρ αἴσθησιν λάβοι, ἀσπάσαιτο ἄν. Τῷ δὲ σώματι ψυχή· καὶ γὰρ οὐδ' ἂν εἴη, οὐδ' ἂν σώζοιτο· ψυχῇ δὲ ἀρετή· ἤδη δὲ καὶ ἀνωτέρω νοῦς, καὶ ἐπὶ τούτῳ, ἣν δὴ φαμὲν πρώτην φύσιν. Καὶ δὴ καὶ τούτων ἕκαστον ποιεῖν τι εἰς τὰ ὧν ἀγαθά ἐστι, τὰ μὲν τάξιν καὶ κόσμον, τὰ δ' ἤδη ζωήν, τὰ δὲ φρονεῖν καὶ ζῆν εὖ, τῷ δὲ νῷ τὸ ἀγαθόν, ὅ φαμεν καὶ εἰς τοῦτο ἥκειν, καὶ ὅτι ἐνέργεια ἐξ αὐτοῦ, καὶ ὅτι καὶ νῦν δίδωσι φῶς λεγόμενον· ὃ δὴ τί ποτ' ἐστίν, ὕστερον.

XXV. Plato igitur, cum voluptatem admisceret fini, ipsumque bonum neque simplex neque in solo intellectu poneret, sicut scribitur in Philebo, fortasse ambiguitatem ejusmodi sentiens, neque ausus est ipsum bonum prorsus in voluptate statuere; et recte quidem, neque intellectum voluptatis expertem existimavit bonum ipsum esse censendum: quippe cum non videret in eo, quod incitaret affectum. Forsan vero nec ita prorsus accepit: sed ita bonum idcirco composuit, quoniam judicavit bonum ipsum, cum naturam in se talem habeat, necessario esse delectabile: et optabile prosequenti, et delectabile consequenti. Quapropter, cui non insit gaudium, nec adesse bonum: ideoque, si primo desideranti non insit laetitia, nec etiam assistere bonum: neque ab re bonum ita composuit. Non enim primum illud bonum investigabat, sed bonum duntaxat humanum: quod quidem omnino et alterius est, et ipsum est pariter alterum, cum ipsum sit deficiens, ac fortasse compositum. Quam ob rem, quod solitarium est atque solum, nullum habere judicat bonum, sed alia quadam conditione excellentiorique ratione ipsum exsistere bonum. Necessarium est igitur, bonum ipsum expetendum esse, non tamen, quia sit appetendum, idcirco fieri bonum: sed potius, quia sit bonum, ideo appetibile fieri. An igitur ultimo quidem in ordine rerum, quod praecedit, est bonum, semperque ascensus ejusmodi facit, ut, quod superius est, sequenti deinceps adsit ut bonum, si modo ascensus a proportione analogiae nusquam discedat, sed semper in majora procedat. Sed gradum denique sistet in eo, quod est supremum, ultra quod nihil reliquum est, quod superius accipi possit: idque primum est ac re vera bonum, et bonum praecipue maximum, caeterisque causa bonitatis. Materiae igitur bonum est ipsa forma. Si enim sensum materia nancisceretur, adventu formae procul dubio gratularetur. Corpori vero bonum est anima: nam absque anima neque esset, neque etiam servaretur: at animae bonum virtus: jamque etiam superius, intellectus: intellectui denique bonum est illa, quam naturam primam appellare solemus. Existimandum est praeterea, horum quodlibet aliquid in ea facere, quorum sunt et bona. Haec quidem adhibere ordinem et ornatum; illa vero jam vitam: alia sapientiam beneque vivendi dotem: intellectui denique bonum ipsum largiri munus, quod diximus in intellectum inde venire, ac bonum evadere, quoniam est actus ex illo: et quoniam etiam nunc, quod lumen appellatur, inde in hunc infunditur: quod sane quid sit, in sequentibus disseremus.

Quæ sensu prædita sunt, hoc potissimum boni jam percepti signum habere possunt, quod hoc ipso stabiliter delectantur, atque in eo libentissime conquiescunt, neque inde se avellunt.
Quemadmodum circa res sensu carentes duo hæc, scilicet inclinatio ad naturale bonum finemque suum, et quies in eo, scilicet in fine habitudine naturali, aliud quiddam sunt præter naturale bonum: sunt enim quidem vel prosequentis actus ad bonum, vel circa bonum, vel in bono: sic in rebus sensu præditis appetitus et voluptas aliud quiddam sunt, quam bonum, nec voluptas ipsa sufficit. Optabilius enim est præsente bono, quod appetimus, delectari, quam delectari similiter absque illo.

ΚϚ'. Καὶ δὴ τὸ πεφυκὸς αἰσθάνεσθαι παρ' αὐτόν, εἰ ἥκει αὐτῷ, τὸ ἀγαθὸν γιγνώσκειν, καὶ λέγειν ἔχειν. Τί οὖν εἰ ἠπάτηται· δεῖ ἄρα τινὰ εἶναι ὁμοίωσιν, καθ' ἣν ἠπάτηται. Εἰ δὲ τοῦτο, ἐκεῖνο ἀγαθὸν ἂν αὐτῷ εἴη, ἀφ' οὗ ἠπάτηται· ἐπεὶ καί, ὅταν ἐκεῖνο ἥκῃ, ἀφίσταται ἀφ' οὗ ἠπάτηται. Καὶ ἡ ἔφεσις δ' αὐτοῦ ἑκάστου καὶ ἡ ὠδὶς μαρτυρεῖ, ὅτι ἔστι τι ἀγαθὸν ἑκάστου· τοῖς μὲν γὰρ ἀψύχοις παρ' ἄλλου του ἀγαθοῦ αὐτοῖς ἡ δόσις, τῷ δὲ ψυχὴν ἔχοντι ἡ ἔφεσις τὴν δίωξιν ἐργάζεται, ὥσπερ καὶ τοῖς νεκροῖς γεγενημένοις σώμασι παρὰ τῶν ζώντων ἡ ἐπιμέλεια καὶ ἡ κήδευσις, τοῖς δὲ ζῶσι παρ' αὐτῶν ἡ πρόνοια. Ὅτι δ' ἔτυχε, πιστοῦται, ὅταν βέλτιόν τι γίγνηται, καὶ ἀμετανόητον ᾖ, καὶ πεπληρῶσθαι αὐτῷ γίγνηται, καὶ ἐπ' ἐκείνου μένῃ, καὶ μὴ ἄλλο ζητῇ. Διὸ καὶ ἡ ἡδονὴ οὐκ αὔταρκες, οὐ γὰρ ἀγαπᾷ ταὐτόν· οὐ γάρ, ὅτι ἡδονὴν πάλιν ταὐτόν, ἄλλο γὰρ ἀεὶ τὸ ἐφ' ᾧ ἥδεται. Δεῖ δὴ τὸ ἀγαθόν, ὃ αἱρεῖταί τις, εἶναι οὐ τὸ πάθος τὸ ἐπὶ τῷ τυχόντι· ὅθεν καὶ κενὸς μένει ὁ τοῦτο ἀγαθὸν νομίζων, τὸ πάθος μόνον ἔχων, ὃ ἔσχεν ἄν τις ἀπὸ τοῦ ἀγαθοῦ· διὸ οὐκ ἂν ἀνάσχοιτό τις τοῦ πάθους, ἐφ' ᾧ οὐκ ἔχων, οἷον ἐπὶ τῷ παιδί, ὅτι πάρεστιν ἥδεσθαι, οὐ παρόντος· οὐδέ γε οἶμαι οἷς ἐν τῷ πληροῦσθαι σωματικῶς τὸ ἀγαθὸν ἥδεσθαι ὡς ἐσθίοντα μὴ ἐσθίοντα, ὡς ἀφροδισίοις χρώμενον μὴ συνόντα ᾧ ἐβούλετο, ἢ ὅλως μὴ δρῶντα.

XXVI. Tum vero, quod natura sentire potest, quod accedit ad ipsum, si quando accedit bonum, cognoscere potest, idque habere se dicere. Sed quidnam dicendum est, si forte decipiatur? Oportet profecto aliquam esse similitudinem, qua sit deceptum. Quod si ita sit, illud certe huic erit bonum, a quo est et deceptum: nam et quando illud advenit, ab eo, quod fefellerat, jam discedit. Jam vero uniuscujusque appetitus et stimulus testatur, esse aliquod unicuique bonum. Rebus quidem inanimatis ab alio fit largitio ipsis boni: in eo autem, quod habet animam, appetitus ipse suum prosequitur bonum: quemadmodum corpora naturaliter vita carentia a viventibus curantur atque coluntur; viventia vero sibimet pro viribus provident. Quod autem bonum aliquis jam fuerit consecutus, credi procul dubio potest, quando videlicet se habet melius, nec afficitur pœnitentia, sed impletur, et in eo permanet, neque aliud expetit. Quare voluptas non est per se sufficiens: nam qui voluptate afficitur, non affectat idem. Nam etiam si voluptatem ipsam affectare dicatur, nondum tamen idem expetere convincetur: aliud namque semper est illud, quo delectatur. Oportet aliquo bonum, quod aliquis in primis exoptet, esse non passionem affectionemve quandam, qua, qui consequitur, intus afficiatur: unde et vacuus restare potest, qui affectionem ipsam esse judicat bonum, quando affectionem habet solam, quam similiter præsente bono alius possideret. Quam ob rem nullus impubis eliget ita se affici non habendo bonum aliquod, sicut alter habendo: ceu gaudere, quasi habeat filium, cum non habeat. Neque, qui ventrem implere cupiunt, eligunt tanquam bonum ita delectari, non comedendo quasi comedant: neque, qui Veneri prorsus indulgent, tanquam suum eligent bonum, ita duntaxat voluptate perfundi, muliere amata non potiundo, neque omnino rem peragendo, perinde ac si potiantur et peragant.

Neque appetitus neque voluptas efficit, ut aliquid bonum sit, sed ipsa natura boni eminus quidem allicit appetitum, cominus autem voluptate demulcet. Similiter nec propinqua quædam familiaritas causa est, ut aliquid tibi sit bonum.
Non enim optabile salutareque tibi est quodlibet simile vel propinquum, neque satisfacit æqualitas, sed ipsam boni naturam virtus ejusmodi comitatur, quæ tanquam domesticum propinquumque nobis occurrat, quamvis ubique sit natura superius. Bonum igitur uniuscujusque sui habet ubique, vel tanquam species quædam ad subjectum, vel tanquam speciei principium ad speciem et subjectum.

ΚΖ'. Ἀλλὰ τίνος γενομένου ἑκάστῳ τὸ αὐτῷ προσῆκον ἔχει; ἢ εἴδους τινὸς φήσομεν· καὶ γὰρ τῇ ὕλῃ εἶδος, καὶ ψυχῇ ἡ ἀρετὴ εἶδος. Ἀλλὰ τὸ εἶδος τοῦτο ἆρά γε τῷ οἰκεῖον εἶναι ἀγαθόν ἐστιν ἐκείνῳ; καὶ ἡ ἔφεσις πρὸς τὸ οἰκεῖον, ἢ οὔ; καὶ γὰρ τὸ ὅμοιον οἰκεῖον, κἂν ἐθέλῃ αὐτό, καὶ χαίρῃ τῷ ὁμοίῳ, οὔπω τὸ ἀγαθὸν ἔχει, ἀλλ' οὐκ οἰκεῖον φήσομεν ἀγαθὸν εἰπόντες εἶναι, ἢ φατέον τοῦ οἰκείου τῷ κρείττονι κρίνειν δεῖ καὶ τῷ βελτίονι αὐτοῦ, πρὸς ὃ δυνάμει ἐστίν. Ὃν γὰρ δυνάμει πρὸς ὅ ἐστιν ἐνδεές ἐστιν αὐτοῦ, οὗ δὲ ἐνδεές ἐστι κρείττονος ὄντος, ἀγαθόν ἐστιν αὐτῷ ἐκεῖνο. Ἡ δὲ ὕλη πάντων ἐνδεέστατον, καὶ τὸ ἔσχατον εἶδος προσεχὲς αὐτῇ· μετ' αὐτὴν γὰρ πρὸς τὸ ἄνω. Εἰ δὲ δὴ καὶ αὐτὸ ἑαυτῷ ἀγαθόν ἐστι, πολὺ μᾶλλον ἂν εἴη ἀγαθὸν αὐτῷ ἡ τελειότης αὐτοῦ καὶ τὸ εἶδος καὶ τὸ κρεῖττον αὐτοῦ, καὶ τῇ ἑαυτοῦ φύσει ὂν τοιοῦτον καὶ αὐτῷ, ὅτι καὶ αὐτὸ ἀγαθὸν ποιεῖ. Ἀλλὰ διὰ τί αὐτῷ

XXVII. Sed quidnam oportet contingere unicuique, ut, quod ipsi est consentaneum, habeat? Profecto speciem quandam dicemus: consentanea enim est materiæ species, et animæ species, id est virtus. Hæc vero species numquid ex eo, quod propria est familiarisque illi, est et illi bonum? appetitusque vergit ad propinquum? Fortasse non ita. Simile enim propinquum est: atque si velit aliquis habeatque simile, eoque gaudeat, nondum tamen possidet bonum. An igitur, quando concesserimus esse bonum, non etiam proprium concedemus? Dicendum est utique, judicium de proprio ad ipsum præstantius ac melius referendum esse, ad quod videlicet aliquid est in potentia. Cum enim in potentia sit ad aliud, illo procul dubio indiget: illud autem, quo velut præstantiore id indiget, certe huic est bonum. Materia vero maxime omnium est egena, cui forma ultima conveniens et proxima est. At ultra materiam gradatim ad superiora consurgitur. Proinde, si idem sibimet bonum est, multo magis est ei bonum perfectio ejus et species, quodve est eo præstantius: quod suo et sua natura tale est, et ei tale provenit, quoniam et ipsi bonum affert. Sed cur nam ei est bonum? An quo-

ἀγαθὸν ἔσται; ἆρα ὅτι οἰκειότατον αὐτῷ; ἢ οὔ· ἀλλ' ὅτι ἐστί τις ἀγαθοῦ μοῖρα. Διὸ καὶ μᾶλλον οἰκείωσις πρὸς αὐτοὺς τοῖς εἰλικρινέσι καὶ τοῖς μᾶλλον ἀγαθοῖς. Ἄτοπον δὴ τὸ ζητεῖν, διὰ τί ἀγαθὸν ὂν αὐτῷ ἀγαθόν ἐστιν, ὥσπερ δέον πρὸς αὐτὸ ἐξίστασθαι τῆς ἑαυτοῦ φύσεως, καὶ μὴ ἀγαπᾶν ἑαυτὸ ὡς ἀγαθόν. Ἀλλ' ἐπὶ τοῦ ἁπλοῦ τοῦτο σκεπτέον, εἰ, ὅπου μηδαμῶς ἔνι ἄλλο, τὸ δὲ ἄλλο ἐστὶν ἡ οἰκείωσις πρὸς αὐτὸ, ἀγαθόν ἐστιν ἑαυτῷ. Νῦν δὲ εἰ ταῦτα ὀρθῶς λέγεται, καὶ ἡ ἐπανάβασις ἔχει τὸ ἀγαθὸν ἐν φύσει τινὶ κείμενον, καὶ οὐχ ἡ ἔφεσις ποιεῖ τὸ ἀγαθὸν, ἀλλ' ἡ ἔφεσις ὅτι ἀγαθόν· καὶ γίγνεταί τι τοῖς κτωμένοις, καὶ τὸ ἐπὶ τῇ κτήσει ἡδύ· ἀλλὰ τὸ μὲν, εἰ μὴ ἕποιτο ἡδονή, αἱρετέον, τὸ ἀγαθὸν καὶ αὐτὸ ζητητέον.

niam ei est maxime proprium? Non sane: sed quoniam est quaedam sors et portio boni. Quam ob rem illis, qui sinceri melioresque sunt, familiaritas cum ad se, tum inter se magis propria est. Jam vero perabsurdum est inquirere, curnam aliquid, cum sit bonum, sibimet sit bonum, quasi vero oporteat ab ipsa sui natura distare, neque amare se ipsum tanquam bonum. Sed in re ipsa simplici hoc est indagandum: numquid, ubi nullo modo inest aliud, atque aliud sit propria quaedam ad se ipsum necessitudo, idem sibimet sit bonum. In praesentia vero si recte haec a nobis dicta sunt, atque ascensus gradatim continet bonum in natura aliqua constitutum, nec appetitio facit bonum, sed appetitio surgit potius, quia bonum: item aliquid eis fit qui nanciscuntur bonum, quodve ipsam boni comitatur adeptionem, est voluptas: profecto, etiamsi voluptas nulla comitaretur, adhuc tamen eligendum esset ipsum bonum, ipsumque per se quaerendum.

Materiam primam cogitamus quasi potentiam quandam informem quidem, sed naturaliter capiendae formae paratam. Qua igitur ratione informis est, malum est, neque proprie sic appetit bonum: qua vero ratione potentia parata formae, non est malum. Ac si, quo modo possit appetere, sic bonum, id est formam, appetit, praesertim occulto quodam suae deformitatis odio.

Sicut ipsum bonum sibi et omnibus est amabile, ita, si fingatur ipsum malum, nec aliis, nec sibi esset amandum. Unicuique bonum est sua quaedam species, forma, perfectio, actus superne pendens: sed forma speciesque materiali informitati passim opponitur. Quo igitur forma est a materia separatior, eo gradatim magis species est, magisque bonum: separatissima tandem species optimum. Ipsum vero bonum nec species ulla jam est, nec alicujus bonum, sed specierum auctor pariter et bonorum.

ΚΗʹ. Τὸ δ' ἐκ τοῦ λόγου συμβαῖνον νῦν ὀπτέον. Εἰ γὰρ πανταχοῦ τὸ παραγιγνόμενον ὡς ἀγαθὸν εἶδος, καὶ τῇ ὕλῃ δὲ εἶδος ἔνι τὸ ἀγαθὸν, πότερον ἠθέλησεν ἂν ἡ ὕλη, εἴπερ ἦν αὐτῇ τὸ θέλειν, εἶδος μόνον γενέσθαι; ἀλλ' εἰ τοῦτο, ἀπολέσθαι θελήσει. Τὸ δὲ ἀγαθὸν αὑτὸ πᾶν ζητεῖ. Ἀλλ' ἴσως οὐχ ὕλη εἶναι ζητήσει, ἀλλὰ εἶναι, τοῦτο δ' ἔχουσα ἀφεῖναι αὐτῆς θελήσει τὴν κάκην. Ἀλλὰ τὸ κακὸν πῶς ἔφεσιν ἕξει τοῦ ἀγαθοῦ; ἢ οὐδὲ τὴν ὕλην ἐν ἐφέσει ἐτιθέμεθα, ἀλλὰ ὑπόθεσιν ἐποιεῖτο ὁ λόγος, αἴσθησιν δοὺς, εἴπερ οἷόν τε ἦν δοῦναι ὕλην τηροῦσιν· ἀλλὰ τοῦ εἴδους ἐπελθόντος, ὥσπερ ὀνείρατος ἀγαθοῦ, ἐν καλλίονι τάξει γεγονέναι. Εἰ μὲν οὖν τὸ κακὸν ἡ ὕλη, εἴρηται· εἰ δ' ἄλλο τι, οἷον κακία, εἰ αἴσθησιν λάβοι τὸ εἶναι αὐτῆς, ἆρ' οὖν ἔτι τὸ οἰκεῖον πρὸς τὸ κρεῖττον τὸ ἀγαθὸν ἔσται; ἢ οὐχ ἡ κακία ἦν ἡ αἱρουμένη, ἀλλὰ τὸ κακούμενον. Εἰ δὲ ταὐτὸν τὸ εἶναι καὶ τὸ κακὸν, πῶς τοῦτο τὸ ἀγαθὸν αἱρήσεται; ἀλλ' ἆρά γε, εἰ αἴσθησιν αὐτοῦ λάβοι τὸ κακὸν, ἀγαπήσει αὐτό; καὶ πῶς ἀγαπητὸν τὸ μὴ ἀγαπητὸν ἔσται; οὐ γὰρ δὴ τῷ οἰκείῳ ἐθέμεθα τὸ ἀγαθόν. Καὶ ταῦτα μὲν ταύτῃ. Ἀλλ' εἰ εἶδος τὸ ἀγαθὸν πανταχοῦ, καὶ μᾶλλον ἐπαναβαίνουσι μᾶλλον εἶδος, (μᾶλλον γὰρ ψυχὴ εἶδος, ἢ σώματος εἶδος, καὶ ψυχῆς τὸ μὲν μᾶλλον, τὸ δ' ἐπὶ μᾶλλον, καὶ νοῦς ψυχῆς,) τὸ ἀγαθὸν ἂν προσχωροῖ τῷ τῆς ψυχῆς ἐναντίῳ, καὶ οἷον καθαιρομένῳ καὶ ἀποτιθεμένῳ, κατὰ δύναμιν μὲν ἑκάστῳ, τὸ δὲ μάλιστα πᾶν ὅ τι ὕλης ἀποτιθεμένῳ. Καὶ δὴ καὶ ἡ τοῦ ἀγαθοῦ φύσις πᾶσαν ὕλην φυγοῦσα, μᾶλλον δὲ οὐδαμῇ οὐδαμῶς πλησίον γενομένη, ἀναπεφευγυῖα ἂν εἴη εἰς τὴν ἀνείδεον φύσιν, ἀφ' ἧς τὸ πρῶτον εἶδος. Ἀλλὰ περὶ τούτου ὕστερον.

XXVIII. Quod autem ex superioribus sequitur, considerandum nunc arbitramur. Si ubique, quod tanquam bonum adest, species quaedam est, et species est ipsi materiae bonum, quaerendum est, numquid, si materia volendi aliquid compos evaserit, velle possit solam se speciem fieri? Verum si hoc voluerit, interire volet. Omnia vero bonum ipsum appetunt. Sed forlasse non exoptabit quidem esse materia, sed esse duntaxat: id vero habens malum suum abjicere volet. At vero malum quomodo bonum appetet? Sed profecto neque materiae appetitionem attribuimus: sed suppositionem quandam adduxit conditio disputandi, attribuens quidem sensum, si modo attribui possit servata materia. Et sane adveniente specie velut insomnio quodam boni, in meliori ordine constitit materiam collocari. Si ergo malum materia est, quomodo res se habeat, jam est dictum: sin autem aliud quiddam, tanquam (ut ita loquar) malitia, atque ipsum ejus esse sensum accipiat, numquid adhuc ipsum proprium familiareque penes id, quod est praestantius, erit bonum? Sed profecto non erat malitia ipsa, quae eligebat bonum, sed potius, quod habebat in se malum. Sin autem idem illi sit esse atque malum, quonam pacto hoc bonum expetet? An forsan videri poterit, si malum se ipsum sentiat, amaturum esse se ipsum? Sed profecto quonam modo amari poterit ipsum non amabile? Non enim in eo ipso, quod proprium dicitur et domesticum, rationem boni censuimus collocandam. Et de his quidem nunc ita sit dictum. Verum si species ubique est ipsum bonum, semperque altius ascendendo species magis occurrit: magis enim species est anima, quam corporis species; ac penes animam species magis atque magis; et denique intellectus magis species est, quam anima: certe ipsum bonum opposita quadam ipsi materiae via procedit, atque praecipue convenit, quod purgatum est, et a materia longe semotum, pro puritatis quidem gradibus unicuique: maximum vero bonum ipsi congruit, a quo, quicquid materiae cogitari potest, longe sejungitur. Atqui et ipsius boni natura omnem materiam fugiens, imo vero nec usquam, nec ulla conditione propinquans, procul dubio in naturam aufugit specie omnino vacantem: a qua prima species oritur. Sed de hoc in sequentibus pertractabitur.

Manifestiore solemus voluptate moveri, dum extra perfectum corporis vel animi habitum positi restituimur in illum, quam ubi perfectum jam summus habitum consequuti: ex quo patet, voluptatem illam, quae quasi motio quaedam est, non esse finem perfectionemque naturae.

Semper in habitu naturali stabilique vitae perfecto mobilis quidem voluptas illa desinit, facta jam tranquillitas, et optima (ut ita dixerim) valetudo habitusque naturalis mobili voluptate constantior, verior, optabilior. Contra illos, qui opinantur, nec sine voluptate, nec praeter voluptatem aliquid esse bonum, Plotinus asserit, esse, vivere, sentire, intelligere et similia esse bona eligendaque, non eo duntaxat argumento, quod communiter cum voluptate quadam manifesta contingunt: sed quoniam eorum opposita tanquam mala naturaliter fugiantur.

ΚΘʹ. Ἀλλ' εἰ μὴ ἕποιτο ἡδονὴ τῷ ἀγαθῷ, γίγνοιτο δὲ πρὸ τῆς ἡδονῆς τι, δι' ὃ καὶ ἡ ἡδονή, διὰ τί οὐκ ἀσπαστόν; ἢ εἰπόντες ἀσπαστὸν ἡδονὴν ἤδη εἴπομεν· ἀλλ' εἰ ὑπάρξαι μέν, ὑπάρξαντος δέ, δυνατὸν μὴ ἀσπαστὸν εἶναι· ἀλλ' εἰ τοῦτο, παρόντος τοῦ ἀγαθοῦ, αἴσθησιν ἔχον τὸ ἔχον οὐ γνώσεται, ὅτι [ἔχει]· ἢ τί κωλύει καὶ γιγνώσκειν καὶ μὴ κινεῖσθαι, ἀλλ' ὡς μετὰ τὸ αὐτὸ ἔχειν, ὃ μᾶλλον ἂν τῷ σωφρονεστέρῳ ὑπάρχοι καὶ μᾶλλον τῷ μὴ ἐνδεεῖ. Διὸ οὐδὲ τῷ πρώτῳ, οὐ μόνον ὅτι ἁπλοῦν, ἀλλ' ὅτι ἡ κτῆσις δεηθέντος ἡδεῖα. Ἀλλὰ καὶ τουτὶ καταφανὲς ἔσται τὰ ἄλλα, ὅσα λοιπά, προσανακαθηραμένοις, καὶ ἐκεῖνον τὸν ἀντίτυπον λόγον ἀπωσαμένοις. Ἔστι δὲ οὗτος, ὃς ἀπορεῖ, τί ἂν καρπώσαιτο ὁ νοῦν ἔχων εἰς ἀγαθοῦ μοῖραν, οὐδὲν πληττόμενος, ὅταν ταῦτα ἀκούῃ, τῷ μὴ σύνεσιν αὐτῶν ἴσχειν, ἢ ὄνομα ἀκούων, ἢ ἄλλο τι ἕκαστον αὐτῶν ὑπολαμβάνων, ἢ αἰσθητόν τι ζητῶν, καὶ τὸ ἀγαθὸν ἐν χρήμασιν ἢ τισι τοιούτοις τιθέμενος. Πρὸς ὃν λεκτέον, ὡς, ὅταν ταῦτα ἀτιμάζῃ, ὁμολογεῖ τίθεσθαί τι παρ' αὐτῷ ἀγαθόν, ἀπορῶν δὲ ὅπῃ, τῇ ἐννοίᾳ τῇ παρ' αὐτῷ ταῦτα ἐφαρμόττει. Οὐ γάρ ἐστι λέγειν, μὴ τοῦτο, πάντῃ ἄπειρον καὶ ἀνεννόητον ὄντα τούτου. Τάχα δὲ καὶ τὸ ὑπὲρ νοῦν ἀπομαντεύεται. Ἔπειτα δέ, εἰ τῷ ἀγαθῷ ἢ τῷ ἐγγὺς τούτου προσβάλλων ἀγνοεῖ, ἐκ τῶν ἀντικειμένων εἰς ἔννοιαν ἴτω· ἢ οὐδὲ κακὸν τὴν ἄνοιαν θήσεται· καίτοι πᾶς αἱρεῖται νοεῖν, καὶ νοῶν σεμνύνεται. Μαρτυροῦσι δὲ καὶ αἱ αἰσθήσεις, εἰδήσεις εἶναι θέλουσαι. Εἰ δὴ νοῦς τίμιον καὶ καλὸν καὶ νοῦς ὁ πρῶτος μάλιστα, τί ἂν φαντασθείη τις, εἴ τις δύναιτο τὸν τούτου γεννητὴν καὶ πατέρα; τὸ δὲ εἶναι καὶ τὸ ζῆν ἀτιμάζων ἀντιμαρτυρεῖ ἑαυτῷ καὶ τοῖς ἑαυτοῦ πάθεσι πᾶσιν. Εἰ δέ τις δυσχεραίνει τὸ ζῆν ᾧ θάνατος μέμικται, τὸ τοιοῦτο δυσχεραίνει, οὐ τὸ ἀληθῶς ζῆν.

XXIX. Verum, nisi voluptas sequatur bonum, fiat autem ante voluptatem aliquid, propter quod et voluptas soleat comitari, cur non bonum etiam tunc gratum amabileque occurrat? Sed cum gratum laetumque dixerimus, simul jam diximus voluptatem: at, si existat quidem bonum, existente vero, possibile sit non esse jucundum, quidnam dicemus? Sed forsan, si ita sit, etiam praesente bono, qui sensum habet bonum, non agnoscet adesse. Fortasse etiam nihil prohibet, aliquem cognoscere quidem bonum, neque tamen moveri aliter, postquam illud habet, quod quidem maxime convenit admodum temperato et nullius egeno. Quapropter nec primo exhilaratio convenit, non solum, quia simplex est omnino, sed quoniam ipsa duntaxat adeptio, quae indigentis est, voluptate perfunditur. Sed hoc quidem tunc demum perspicue apparebit, postquam reliqua omnia purgaverimus, sermonemque iterum nobis oppositum expulerimus. Hic vero est, qui dubitat, quidnam fructus accipiat, qui mentem habet ad comparandam boni sortem, si nullo prorsus moveatur affectu, dum haec audit, propterea quod haec re ipsa nequaquam percipiat, sive dum audit nomen, vel aliud quodvis eorum animo concipit singulatim, sive aliquid sensibile quaerit, bonumque in divitiis vel aliis ejusmodi ponit. Adversus hunc ergo dicendum est, quando haec despicit, interea confiteri, positum esse aliquid apud se bonum, cum vero dubitet, ubi potissimum, et qua ratione sit positum, alioquin notioni illius apud se insitae haec deinceps accommodare. Fieri namque non potest, ut, qui hujus ipsius omnino imperitus est et ignarus, aliquando dicat: istud aut illud hoc ipsum esse non potest. Fortasse etiam ejusmodi sermo ipsum bonum supra mentem esse vaticinatur. Praeterea, si ad ipsum bonum vel ad illius proximum suspiciens non discernit, expedit saltem ex oppositis bonum excogitare: alioquin nec ignorantiam quidem malum esse fatebitur: quamquam omnes intelligere cupiunt, omnes intelligentia gloriantur. Testantur hoc et sensus, qui ad notitiam ac velut intelligentiam natura contendunt. Si igitur intellectus pulchrum quiddam est atque venerandum, maxime vero primus: dic age, quidnam imagineris aestimandum, si quis genitorem patremque mentis inspicere possit? Proinde, qui esse et vivere verbis spernit, ipse interim contra testatur, et omnibus verbis habet repugnantes affectus. Quod si quis graviter ferat vitam, is certe non veram vitam, sed illam potius, quae morti miscetur, respuere judicatur.

Finis intellectualis animae est expeditus et summus actus intelligentiae in ipsum universi bonum prorsus intentus.

Actus ejusmodi beatitudo est, etiamsi nulla inde voluptas exterior adjungatur, neque tamen ipse est voluptatis expers. Ipsa enim expedita actionis integritas atque summitas est voluptas. Tunc vero maxime et simplex unumque existit: gaudet vero se ipsa penitus ex superiori lumine jam formata. Profecto sicut summitas luminis circa speculum concavum jam est calor, ita summitas essendi jam est vita. Similiter vivendi sensus, sentiendi imaginatio, imaginandi ratio, rationis intelligentia, intelligentiae gaudium, gaudii bonum: neque ad supremum universi gradum, non per divisionem, sed per unionem, ascenditur gradatim. Jam vero sicut elementa eodem naturae nixu, quod sibi consentaneum est, petunt atque fruuntur: ita mens eodem actu, quando summus est, vergit in finem ultimum tanquam verum, et fruitur tanquam bono. Sed de fine et intelligentia et voluptate in Commentariis Philebi latius disputamus.

Λʹ. Ἀλλὰ εἰ δεῖ τῷ ἀγαθῷ τὴν ἡδονὴν μεμῖχθαι, καὶ μὴ τέλεόν ἐστι τὸ ζῆν, εἴ τις τὰ θεῖα θεῷτο, καὶ μάλιστα τὴν τούτων ἀρχήν, νῦν ἰδεῖν ἐφαπτομένους τοῦ ἀγαθοῦ πάντως προσήκει. Τὸ οὖν οἴεσθαι τὸ ἀγα-

XXX. Post haec, utrum voluptatem bono oporteat esse permixtam, alioquin imperfecta sit vita, etiam si quis divina eorumque principium speculetur, attingentes bonum animo investigare debemus. Jam vero, ubi Plato bonum componere videtur ex intellectu tanquam subjecto, atque

θὸν ἔκ τε τοῦ νοῦ ὡς ὑποκειμένου, ἔκ τε τοῦ πάθους τῆς ψυχῆς, ὃ γίγνεται ἐκ τοῦ φρονεῖν, οὐ τὸ τέλος οὐδ' αὐτὸ τὸ ἀγαθὸν τὸ συναμφότερόν ἐστι τιθέντος, ἀλλὰ νοῦς ἂν εἴη τὸ ἀγαθὸν, ἡμεῖς δὲ χαίροντες τῷ τὸ ἀγαθὸν ἔχειν, καὶ εἴη ἂν αὕτη τις δόξα περὶ ἀγαθοῦ. Ἑτέρα δὲ εἴη ἂν παρὰ ταύτην, ἡ μίξασα τῷ νῷ τὴν ἡδονὴν, ὡς ἕν τι ἐξ ἀμφοῖν ὑποκείμενον τοῦτο τίθεται εἶναι, ἵν' ἡμεῖς τὸν τοιοῦτον νοῦν κτησάμενοι ἢ καὶ ἰδόντες τὸ ἀγαθὸν ἔχωμεν· τὸ γὰρ ἔρημον καὶ μόνον οὔτε γενέσθαι, οὔτε αἱρετὸν εἶναι δυνατὸν ὡς ἀγαθόν. Πῶς ἂν οὖν μιχθείη νοῦς ἡδονῇ εἰς μίαν συντέλειαν φύσεως; ὅτι μὲν οὖν τὴν σώματος ἡδονὴν οὐκ ἄν τις οἰηθείη νῷ δυνατὴν εἶναι μίγνυσθαι, παντὶ δήπου δῆλον, ἀλλ' οὐδ' ὅσαι χαραὶ ψυχῆς ἀνάλογοι γένοιντο. Ἀλλ' ἐπειδὴ πάσῃ ἐνεργείᾳ καὶ διαθέσει δὲ καὶ ζωῇ ἕπεσθαι δεῖ οἷον καὶ συνεῖναι τὸ ἐπιθέον, καθ' ὃ τῇ μέν ἐστι κατὰ φύσιν ἰούσῃ τὸ ἐμποδίζον, καί τι τοῦ ἐναντίου παραμεμιγμένον, ὃ οὐκ ἐᾷ τὴν ζωὴν ἑαυτῆς εἶναι· τῇ δὲ καθαρὸν καὶ εἰλικρινὲς τὸ ἐνέργημα, καὶ ἡ ζωὴ ἐν διαθέσει φαιδρᾷ, τὴν τοιαύτην τοῦ νοῦ κατάστασιν ἀσμενιστὴν καὶ αἱρετωτάτην εἶναι τιθέμενοι, ἡδονῇ μεμίχθαι λέγουσιν, ἀπορίᾳ οἰκείας προσηγορίας, οἷα ποιοῦσι καὶ τὰ ἄλλα ὀνόματα παρ' ἡμῖν ἀγαπώμενα μεταφέροντες, τὸ μεθυσθεὶς ἐπὶ τοῦ νέκταρος, καὶ ἐπὶ δαῖτα, καὶ ἐπὶ ἑστίασιν, καὶ τὸ μείδησεν δὲ πατὴρ, οἱ ποιηταί, καὶ ἄλλα τοιαῦτα μυρία. Ἔστι γὰρ καὶ τὸ ἀσμένον ὄντως ἐκεῖ, καὶ τὸ ἀγαπητότατον καὶ τὸ ποθεινότατον, οὐ γιγνόμενον, οὐδ' ἐν κινήσει, αἴτιον δὲ τὸ ἐπιχρῶσαν αὐτὰ καὶ ἐπιλάμψαν καὶ φαιδρῦναν. Διὸ καὶ ἀλήθειαν τῷ μίγματι προστίθησι, καὶ τὸ μετρῆσον πρὸ αὐτοῦ ποιεῖ, καὶ ἡ συμμετρία, καὶ τὸ κάλλος ἐπὶ τῷ μίγματι ἐκεῖθεν, φησὶν, εἰς τὸ καλὸν ἐλήλυθεν· ὥστε κατὰ τοῦτο ἂν ἡμεῖς καὶ ἐν τούτῳ μοίρας. Τὸ δὲ ὄντως ὀρεκτὸν ἡμῖν, ἄλλως μὲν ἡμεῖς αὐτοῖς εἰς τὸ βέλτιστον ἑαυτῶν ἀνάγοντες ἑαυτούς· τοῦτο δὴ τὸ σύμμετρον καὶ καλὸν, καὶ εἶδος σύνθετον, καὶ ζωὴν ἐναργῆ καὶ νοερὰν καὶ καλήν.

ex affectione quadam animae, quae intelligentiam sequitur, ibi certe neque finem neque bonum ipsum compositum esse asserit, sed illic ipse intellectus est bonum, nos autem hujus boni possessione gaudemus: atque haec una de bono opinio est. Altera vero opinio vel expositio est illa, quae sic admiscet intellectui voluptatem, ut unum aliquid ex utrisque subjectum ponat, ut nos intellectum ejusmodi comparantes, sive cernentes, bonum jam habeamus: quippe cum desertum aliquid atque solum neque fieri possit, neque, si possit, tanquam bonum nobis sit exoptandum. Sed quaerendum est, qua conditione potissimum intellectus voluptati in unam naturae conspirationem perfectionemque communem permisceatur. Constat procul dubio, corporis voluptatem menti permisceri non posse: quin etiam neque laetitiam ullam animi cum voluptate corporis congruentem. Sed profecto quamlibet actionem, affectionem, vitam sequi oportet et pariter comitari, quasi aliquid superfusum, dum videlicet alicui quidem actui naturaliter contendenti obstat impedimentum, et contrarii aliquid admiscetur, quod quidem non permittit, vitam sui juris existere: alicui vero actionis ipse tenor purus sincerusque procedit, vitaque viget affectione serena. Hanc ob causam, qui talem mentis habitum esse libentissimum et optatissimum arbitrantur, illum interea dicunt cum voluptate misceri; idque appellationis proprio defectu afferre videntur, quemadmodum faciunt et qui alia quoque nomina nobis amata transferunt ad divina: quorum illud est: Intellectus nectare ebrius. Item: Ad convivium itur et pabulum. Rursus apud poetas, Juppiter ipse subrisit: similiaque permulta. Est enim illic re vera vitae sors libentissima amabilissimaque et maxime omnium exoptanda: conditioque ejusmodi neque fit aliquando, neque in motu versatur: cujus quidem causa est, quod colorat ipsa et illustrat atque serenat. Quam ob rem Plato veritatem adhibet mixtioni, praeponitque mixturae moderatorem. Ait etiam, contemperationem et pulchritudinem in mixtura in pulchrum inde procedere. Itaque secundum hoc nos in hoc ponimus portiones. Hoc autem est re vera nobis amandum, quatenus ad id, quod in nobis est optimum, nosmet pro viribus revocamus. Hoc itaque contemperatum et pulchrum, et speciem ita compositam, constat esse vitam perspicuam intellectualemque et pulchram.

Ipsum bonum universi principium non solum mentem animamque procreat, sed etiam radio his infuso, velut amatorio quodam hamo, assidue revocat ad se ipsum: ubi radium cum in anima, tum in mente, tandem in lumen vitale gratiosumque convertit: atque haec utrobique est ipsa felicitas.

Anima non solum per amorem divinitus insitum, verum etiam per rationem ad supernam pulchritudinem provocatur. Quando videlicet argumentatur, corpoream pulchritudinem tanquam in deformitate, distantia, mobilitate positam necessario imperfectam esse: ideoque ab incorporea proficisci. Sic anima tandem divina mente formatur: unde mox patrem divinae mentis agnoscit.

ΛΑ'. Ἀλλ' ἐπεὶ ἐκαλλύνθη τὰ πάντα ἐκείνῳ τῷ πρὸ τούτων, καὶ φῶς ἔσχε, νοῦς μὲν τὸ τῆς ἐνεργείας τῆς νοερᾶς φέγγος, ᾧ τὴν φύσιν ἐξέλαμψε, ψυχὴ δὲ δύναμιν ἔσχεν εἰς τὸ ζῆν, ζωῆς πλείονος εἰς αὐτὴν ἐλθούσης· ἤρθη μὲν οὖν ἐκεῖ, καὶ ἔμεινεν ἀγαπήσας τὸ περὶ ἐκεῖνον εἶναι· ἐπιστραφεῖσα δὲ καὶ ψυχὴ ἡ δυνηθεῖσα, ὡς ἔγνω καὶ εἶδεν, ἥσθη τε τῇ θέᾳ, καὶ ὅσον οἵα τε ἦν ἰδεῖν, ἐξεπλάγη. Εἶδε δὲ οἷον πληγεῖσα, καὶ ἐν αὐτῇ ἔχουσά τι αὐτοῦ συνῄσθετο, καὶ διατεθεῖσα ἐγένετο ἐν πόθῳ, ὥσπερ οἱ ἐν τῷ εἰδώλῳ τοῦ ἐρασμίου κινούμενοι εἰς τὸ αὐτὸ ἰδεῖν ἐθέλειν τὸ ἐρώμενον. Ὥσπερ δὲ ἐνταῦθα σχηματίζονται εἰς ὁμοιότητα τῷ

XXXI. Cum igitur omnia ex illo facta sint pulchra, quod est ante omnia, et inde cuncta refulgeant, intellectus quidem intellectualis actionis fulgorem illinc adeptus sit, quo deinceps naturam proferens illustravit; anima vero vim inde accipiat ad vivendum, plurima videlicet vita in eam exuberante: utrumque et intellectus illuc protinus erectus est, atque permansit: satis sibi factum putans, dum illi propius adstat; et, anima illuc conversa, quaecunque potest, cum primum agnovit atque perspexit, admodum spectaculo gaudet: et, quatenus videndi compos est, protinus obstupescit. Videt autem velut inde pulsata, atque illius aliquid in se habens, velut sui conscia simul in se ipsa persentit. Atqui quodammodo jam affecta desiderare coepit, instar eorum, qui ex quadam rei amandae imagine incitantur ad ipsius rei spectaculum exoptandum. Quemadmodum vero apud nos amatores se ad amati simi-

ἐραστῷ οἳ ἂν ἐρῶσι, καὶ τὰ σώματα εὐπρεπέστερα καὶ τὰς ψυχὰς ἄγοντες εἰς ὁμοιότητα, ὡς μὴ λείπεσθαι κατὰ δύναμιν θέλειν τῇ τοῦ ἐρωμένου σωφροσύνῃ τε καὶ ἀρετῇ τῇ ἄλλῃ, ἢ ἀπόβλητοι ἂν εἶεν τοῖς ἐρωμένοις τοῖς τοιούτοις, καὶ οὗτοί εἰσιν οἱ συνεῖναι δυνάμενοι· τοῦτον τὸν τρόπον καὶ ψυχὴ ἐρᾷ μὲν ἐκείνου, ὑπ' αὐτοῦ ἐξ ἀρχῆς εἰς τὸ ἐρᾶν κινηθεῖσα, καὶ ἡ πρόχειρον ἔχουσα τὸν ἔρωτα ὑπόμνησιν οὐ περιμένει ἐκ τῶν καλῶν τῶν τῇδε, ἔχουσα δὲ τὸν ἔρωτα καὶ ἂν ἀγνοῇ, ὅτι ἔχει, ζητεῖ ἀεί, καὶ πρὸς ἐκεῖνο φέρεσθαι θέλουσα ὑπεροψίαν τῶν τῇδε ἔχει, καὶ ἰδοῦσα τὰ ἐν τῷδε τῷ παντὶ καλὰ ὑποψίαν ἔχει πρὸς αὐτά, ὅτι ἐν σαρξὶ καὶ σώμασιν ὁρᾷ αὐτὰ ὄντα, καὶ μιαινόμενα τῇ παρούσῃ οἰκήσει, καὶ τοῖς μεγέθεσι διειλημμένα, καὶ οὐκ αὐτὰ τὰ καλὰ ὄντα, (μὴ γὰρ ἂν τολμῆσαι ἐκεῖνα, οἷά ἐστιν, εἰς βόρβορον σωμάτων ἐμβῆναι, καὶ ῥυπᾶναι ἑαυτὰ καὶ ἀφανίσαι·) ὅταν δὲ καὶ παραρρέοντα ἴδῃ, ἤδη παντελῶς γιγνώσκει, ὅτι ἄλλοθεν ἔχει, ὃ ἦν αὐτοῖς ἐπιθέον. Εἶτα ἐκεῖ φέρεται δεινὴ ἀνευρεῖν, οὗπερ ἐρᾷ, οὖσα, καὶ οὐκ ἄν, πρὶν ἑλεῖν, ἀποστᾶσα, εἰ μή πού τις αὐτῆς καὶ τὸν ἔρωτα ἐξέλοι· ἔνθα δὴ εἶδε μὲν καλὰ πάντα καὶ ἀληθῆ ὄντα, καὶ ἐπεῤῥώσθη πλέον τῆς τοῦ ὄντος ζωῆς πληρωθεῖσα, καὶ ὄντως ὂν καὶ αὐτὴ γενομένη, καὶ σύνεσιν ὄντως λαβοῦσα, ἐγγὺς οὖσα αἰσθάνεται, οὗ πάλαι ζητεῖ.

...litudinem configurant, cum corpora concinniora, tum elegantiores animos pro amati similitudine studiose reddentes, ut, quoad fieri potest, amati temperantia aliisque virtutibus nihilo inferiores evadant, alioquin ab amatis virtute praeditis prorsus contemnerentur, atque ii sunt ex amantium numero, qui amati familiaritate frui possunt: eodem pacto et anima amat quidem ipsum bonum, sed ab ipso eodem statim ab initio provocata est ad amandum. Et profecto, quaecumque promptum habet amorem, nequaquam exspectat, ut ex his, quae apud nos pulchra sunt, in ipsius boni memoriam revocatur: sed amorem in se habens, etiam si, quod habet, ignoret, assidue quaeritat, volensque ad illud accedere, nostra haec omnia despicit: neque considerans, quae in hoc mundo pulchra videntur, suspecta habet, cum ea in carne corporeque jacentia videat, praesentique subjecto hac atque polluta, dimensionibus quoque dispersa: quae profecto etsi pulchra dicuntur, non tamen ipsa vera sunt pulchra. Nefas enim est opinari, quae re vera pulchra sunt, se ipsa, qualia sunt, in corporum lutum immergere, et foedare se ipsa atque disperdere. Jam vero quando, quae apud nos pulchra putantur, considerat in perpetuo fluxu versari, deprehendit omnino, hoc, quod in eis enitet, aliunde nancisci. Post haec illuc prorsus attollitur, potens videlicet, quod amat, denique consequi, neque prius desistit, quam assequatur, nisi forte quis illi exstirpet amorem: ubi tandem et omnia pulchra et vere existentia cernit, et impleta entis ipsius vita valde corroboratur: itaque et ipsa ipsum vere ens, intelligentiamque vere comprehendens, et proximo habitans, quod jam diu quaerit, perspicue sentit.

Quicquid est in mundo intelligibili, species quaedam est; et ipse totus est species constans ex speciebus. Species autem unaquaeque est aliquid intelligentia definitum. Unde et altera ab altera plane distinguitur. Universus ergo species constans ex definitis est denique definitus. Item in multitudine specierum unus ille pulchritudinis splendor enitet.

Oportet igitur et super definitam illius mundi naturam pervenire ad ipsam incomparabilis virtutis immensitatem, et a pulchritudine, quae splendor quidam est in multis, quasi stellis, ascendere ad simplicem ipsius boni lucem, velut solis. Quae quamvis species nulla sit, est tamen ipsa pulchritudinis pulchritudo. Et quoniam bonitas pulchritudoque infinita est, infinitum propinquantibus accendit amorem. Hinc argumentari possumus animorum beatitudinem sempiternam.

ΛΒ'. Ποῦ οὖν ὁ ποιήσας τὸ τοσοῦτον κάλλος καὶ τὴν τοσαύτην ζωήν, καὶ γεννήσας οὐσίαν; ὁρᾷς τὸ ἐπ' αὐτοῖς ἅπασι ποικίλοις οὖσιν εἴδεσι κάλλος; καλὸν μέν, ὧδε μένειν· ἀλλ' ἐν καλῷ ὄντα δεῖ βλέπειν ὅθεν ταῦτα καὶ ὅθεν καλά. Δεῖ δ' αὐτὸν εἶναι τούτων μηδὲ ἕν· εἰ γὰρ αὐτῶν ἔσται, μέρος τι ἔσται. Οὐ τοίνυν οὐδὲ τοιαύτη μορφὴ οὐδέ τις δύναμις, οὐδ' αὖ πᾶσαι αἱ γεγενημέναι καὶ οὖσαι ἐνταῦθα, ἀλλὰ δεῖ ὑπὲρ πάσας εἶναι δυνάμεις, καὶ ὑπὲρ πάσας μορφάς. Ἀρχὴ δὲ τὸ ἀνείδεον, οὐ τὸ μορφῆς δεόμενον, ἀλλ' ἀφ' οὗ πᾶσα μορφὴ νοερά. Τὸ γὰρ γενόμενον εἴπερ ἐγίγνετο, ἔδει γενέσθαι τι, καὶ μορφὴν ἰδίαν ἔσχεν· ὃ δὲ μηδεὶς ἐποίησε, τίς ἂν ποιήσειεν; οὐδὲν οὖν τοῦτο τῶν ὄντων καὶ πάντα, οὐδὲν μέν, ὅτι ὕστερα τὰ ὄντα, πάντα δέ, ὅτι ἐξ αὐτοῦ. Πάντα δὲ ποιεῖν δυνάμενον τί ἂν μέγεθος ἔχοι; ἢ ἄπειρον ἂν εἴη; ἀλλ' εἰ ἄπειρον, μέγεθος ἂν ἔχοι οὐδέν· καὶ γὰρ μέγεθος ἐν τοῖς ὑστάτοις. Καὶ δεῖ, εἰ καὶ τοῦτο ποιήσει, αὐτὸν μὴ ἔχειν, τό τε τῆς οὐσίας μέγα οὐ ποσόν· ἔχοι δ' ἂν καὶ ἄλλο τι μετ' αὐτὸν τὸ μέγεθος. Τὸ δὲ μέγα αὐτοῦ, τὸ μηδὲν αὐτοῦ εἶναι δυνατώτερον, παρισοῦσθαί τε μηδὲν δύνασθαι. Τίνι γὰρ τῶν αὐτοῦ εἰς ἴσον ἄν τι ἔλθοι, μηδὲν ταὐτὸν ἔχον, τό τε εἰς ἀεὶ καὶ εἰς πάντα, οὐ μέτρον αὐτῷ δίδωσιν, οὐδ' αὖ ἀμε-

XXXII. Hic jam licet quaerere hunc in modum: Age dic, anima, ubinam ille sit, qui tam ingentem pulchritudinem procreavit, qui tam excellentem progenuit vitam, qui primam fecit essentiam? Cernis, o anima, ipsam in omnibus et variis speciebus pulchritudinem coruscantem? Pulchrum quidem est ibi consistere. Sed operae pretium est, animum in pulchro jam existentem, undenam haec sint, et unde pulchra fiant, investigare. Oportet sane ipsum pulchrorum omnium auctorem eorum nullum penitus esse: alioquin, si quid eorum sit, pars tantum quaedam erit. Igitur neque forma quaedam talis est, neque potentia quaedam. Neque rursus est cunctae, quae ibi fiunt existuntque, formae atque potentiae: sed oportet super omnes exstare potentias atque formas. Est ergo principium ipsum specie vacans, non ita quidem, ut indigeat forma, sed potius, a quo omnis forma intellectualis exoritur. Quod enim factum est, si modo fiebat, oportuit aliquid effici: ideoque propriam accepit formam: quod autem a nullo factum est, nimirum neque factum est aliquid. Hoc igitur nullum entium est, et entia cuncta: nullum quidem, quoniam posteriora hoc entia sunt: cuncta vero, quoniam ex ipso nascuntur. Cum vero facere omnia possit, quam in se habeat magnitudinem? An forsan erit immensum? Verum si immensum, magnitudinem habet nullam. Magnitudo enim in rebus solum postremis habet locum. Jam vero oportet ipsum magnitudinis effectorem non esse participem magnitudinis. Quin etiam ipsa, quae dici solet, essentiae magnitudo non est quantitas ulla. Habere profecto potest, quod post illud est, magnitudinem. Magnitudo vero illius est, nihil eo potentius esse, nihil aequari posse cum illo: quo enim ex suis illi aequari quid possit, cum nihil possideat idem? Praeterea quod dici solet, deum

τρίαν, (πῶς γὰρ ἂν τὰ ἄλλα μετρήσειεν;) οὐ τοίνυν αὖ οὐδὲ σχῆμα. Καὶ μήν, ὅτου ἂν ποθεινοῦ ὄντος μήτε σχῆμα μήτε μορφὴν ἔχοις λαβεῖν, ποθεινότατον καὶ ἐρασμιώτατον ἂν εἴη, καὶ ὁ ἔρως ἂν ἄμετρος εἴη· οὐ γὰρ ὥρισται ἐνταῦθα ὁ ἔρως, ὅτι μηδὲ τὸ ἐρώμενον, ἀλλ' ἄπειρος ἂν εἴη ὁ τούτου ἔρως, ὥστε καὶ τὸ κάλλος αὐτοῦ ἄλλον τρόπον, καὶ κάλλος ὑπὲρ κάλλος· οὐδὲν γὰρ ὂν τί κάλλος; ἐράσμιον δὲ ὂν τὸ γεννῶν ἂν εἴη τὸ κάλλος. Δύναμις οὖν παντὸς καλοῦ ἄνθος ἐστὶ κάλλους καλλοποιόν· καὶ γὰρ γεννᾷ αὐτὸ καὶ κάλλιον ποιεῖ τῇ παρ' αὐτοῦ περιουσίᾳ τοῦ κάλλους, ὥστε ἀρχὴ κάλλους καὶ πέρας κάλλους. Οὖσα δὲ κάλλους ἀρχή, ἐκεῖνο μὲν καλὸν ποιεῖ, οὗ ἀρχή, καὶ καλὸν ποιεῖ οὐκ ἐν μορφῇ, ἀλλὰ καὶ αὐτὸ τὸ γενόμενον ἄμορφον, ἄλλον δὲ τρόπον ἐν μορφῇ. Ἡ γὰρ λεγομένη αὐτὸ τοῦτο μόνον μορφή, ἐν ἄλλῳ· ἐφ' ἑαυτῆς δὲ οὖσα ἄμορφον. Τὸ οὖν μετέχον κάλλους μεμόρφωται, οὐ τὸ κάλλος.

per omnia secula perque universum ubique regnare, neque significat in deo mensuram, neque vastam rursus immensitatem : (alioquin, quonam pacto reliqua metiretur?) Neque igitur figuram rursus in eo ullam fingere decet. Proinde res illa desiderabilis, cujus neque figuram neque formam accipere ullam potes, summopere desideranda est et amanda, immensusque illius est amor. Neque enim isto finitus est amor, quando neque amatum quidem ipsum est finitum : sed amor hujus est infinitus. Quapropter et pulchritudo ejus alia ratione se habet : est enim ipsa super pulchritudinem pulchritudo. Cum enim nullum sit entium, quonam pacto esse potest aliqua pulchritudo? Cum vero amabile sit, nimirum est pulchritudinis auctor. Est itaque pulchritudinis universam potestas [ac] flos ipse, pulchrum efficiens pulchritudinem : eam namque generat, et genitam suæ pulchritudinis abundantia efficit pulchriorem : quam ob rem pulchritudinis principium est et finis. Cumque sit principium pulchritudinis, illud quidem, cujus principium est, efficit pulchrum : pulchrum vero facit non in forma, sed ipsum quoque factum illic est non formatum, et alio quodam pacto consistit in forma. Quæ enim hoc ipsum, quod est, duntaxat existit, forma, sedet in alio : quæ quidem, si sedeat in se ipsa, aliquid sine forma censetur. Quod igitur est pulchritudinis particeps, formatum est : non autem ipsa pulchritudo formatur.

Pulchritudo ipsius boni specie universa superior : pulchritudo intelligibilis mundi est species universa : itemque pura, quoniam nihil ibi est informe, nihil ita formatum, quin ipsum sit et forma. Pulchritudo mundi corporei est inferior vera specie, quoniam ex forma simul atque informi, atque etiam deformitate componitur.

Omniformis illa divini mundi formositas, etsi quam plurimum admiranda, tamen definitum quiddam est : nec amanda summopere, sed ipsa bonitas melior omni forma. Nam et in mundo divino, quamvis unumquodque sit forma quædam, est tamen aliquid ibi ad aliud comparatum quasi materia. Unde et hoc et illud est aliquid definitum. Pulchritudo igitur in mundo divino tanquam ipsius boni splendor animum illic admirabundum per amorem etiam revocat ad ipsum bonum : pulchritudo similiter in anima tanquam splendor intelligentiæ per amorem ad amandum intellectum latenter invitat. Pulchritudo in corpore velut pulchritudinis animalis imago ad desiderandam incorpoream pulchritudinem adhortatur.

ΛΓ'. Διό, καὶ ὅταν κάλλος λέγηται, φευκτέον μᾶλλον ἀπὸ μορφῆς τοιαύτης, ἀλλ' οὐ πρὸ ὀμμάτων ποιητέον, ἵνα μὴ ἐκπέσῃς τοῦ καλοῦ εἰς τὸ ἀμυδρᾷ μετοχῇ καλὸν λεγόμενον, τὸ δὲ ἄμορφον εἶδος καλόν, εἴπερ εἶδός ἐστι. Καὶ ὅσον ἂν ἀποσυλήσας ἴῃς εἰς πᾶσαν μορφήν, οἷον καὶ τὴν ἐν λόγῳ, ᾗ διαφέρειν ἄλλο ἄλλου λέγομεν, ὡς δικαιοσύνην καὶ σωφροσύνην ἀλλήλων ἕτερα, καίτοι καλὰ ὄντα· ἐπειδὴ ὁ νοῦς ἴδιόν τι νοεῖ, ἠλάττωται, κἂν ὁμοῦ πάντα λάβῃ, ὅσα ἐν τῷ νοητῷ, κἂν ἕκαστον, μίαν μορφὴν νοητὴν ἔχει· ὁμοῦ δὲ πάντα οἷον ποικίλην τινά, ἔτι ἐν δεήσει, οἷον δεῖ θεάσασθαι ὂν ὑπὲρ ἐκεῖνο τὸ πάγκαλον καὶ ποικίλον, καὶ οὐ ποικίλον, οὗ ὀρέγεται μὲν ψυχή, οὐ λέγουσα διὰ τί τοιοῦτον ποθεῖ. Ὁ δὲ λόγος λέγει, ὅτι τοῦτο τὸ ὄντως, εἴπερ ἐν τῷ πάντη ἀνειδέῳ ἡ τοῦ ἀρίστου φύσις, καὶ ἡ τοῦ ἐρασμιωτάτου, διὸ ὅ τι ἂν εἰς εἶδος ἀνάγων τῇ ψυχῇ δεικνύῃς, ἐπὶ τούτῳ ἄλλο τὸ μορφῶσαν ζητεῖ. Λέγει δὴ ὁ λόγος, ὅτι τὸ μορφὴν ἔχον καὶ ἡ μορφὴ καὶ τὸ εἶδος μεμετρημένον πᾶν, τοῦτο δὲ οὐ πᾶν οὐδὲ αὔταρκες, οὐδὲ παρ' αὐτοῦ καλόν, ἀλλὰ καὶ τοῦτο μέμικται. Δεῖ τοίνυν ταῦτα μὲν καλά, τὸ δὲ ὄντως ἢ τὸ ὑπέρκαλον μὴ μεμετρῆσθαι· εἰ δὲ τοῦτο, μὴ μεμορφῶσθαι, μηδὲ εἶδος εἶναι· ἀνείδεον ἄρα τὸ πρώτως καὶ πρῶτον, καὶ ἡ καλλονὴ ἐκεῖ νοητοῦ ἀγαθοῦ φύσις. Μαρτυρεῖ δὲ καὶ τὸ τῶν ἐραστῶν πάθος, ὡς ἕως ἐστὶν ἐν ἐκείνῳ τῷ τὸν αἰσθητὸν ἔχοντι, οὔπω ἐρᾷ·

XXXIII. Quando igitur pulchritudo dicitur, procul a tali quadam forma nobis est fugiendum, neque ponenda nobis est ante oculos, ne ab ipso re vera pulchro in aliquid, quod exigua participatione pulchrum dicitur, corruamus : nempe species non formata re vera pulchra est, si modo sit species. Et profecto, quatenus a materia segregando in formam omnem progrediaris, velut ad ipsam in ratione formam, in qua differre aliud ab alio dicimus : quemadmodum justitia et temperantia inter se distinguuntur, etsi pulchra sunt ; quoniam intellectus proprium quiddam in his intelligit : profecto ex eo, quod proprium aliquid designatur, quodammodo diminuta deprehendes, etiam si cuncta simul, quæ in mundo intelligibili sunt, comprehenderis : nempe si unumquodque singulatim illic acceperis, formam unam intelligibilem habere videbis : si cuncta simul, velut formam quandam varietate discretam. Jam vero, si huc usque processeris, considerare te ulterius oportebit, quale potissimum illud excogitandum sit, quod sane hoc ipso superius est undique pulchro et omniformi varietate distincto, ipsum tamen nulla varietate discretum : quod animus quidem appetit, neque tamen, cur tale quiddam appetat, unquam exprimit. Ratio vero dictat, hoc esse, quod re vera est, siquidem in eo gradu, qui omnem speciem supereminet, ipsius optimi maximeque amandi natura consistit. Quam ob rem, quodcunque in speciem referens monstraveris animo, in hoc ipso aliud quiddam semper, quod formaverit, expetit. Docet itaque ratio, quod formam habet ipsamque formam speciemque esse aliquid mensuratum : id vero nec universum esse, neque per se sufficiens, neque suapte natura pulchrum, sed et hoc esse permixtum. Oportet igitur hæc quidem esse pulchra, sed mensurata : ipsum vero, quod re vera pulchrum, vel potius superpulchrum, nullius mensuræ limite circumscribi. si ita se habet, certe nec esse formatum, item nec esse speciem. Quod igitur primo est amabile primumque existit, omnem prorsus speciem supereminet, pulchrique intelligibilis illic pulchritudo decorque exstat, ipsa boni natura. Testantur hoc amantium passiones. Quamdiu enim circa figuram oculis manifestam

ὅταν δ' ἀπ' ἐκείνου αὐτὸς ἐν αὐτῇ οὐκ αἰσθητὸν γεννήσῃ τύπον ἐν ἀμερεῖ ψυχῇ, τότε ἔρως φύεται. Βλέπειν δὲ ζητεῖ τὸ ἐρώμενον, ἵν' ἐκεῖνο ἐπάρδῃ μαραινόμενον. Εἰ δὲ σύνεσιν λάβοι, ὡς δεῖ μεταβαίνειν ἐπὶ τὸ ἀμορφότερον, ἐκείνου ἂν ὀρέγοιτο, καὶ γὰρ ὃ ἐξ ἀρχῆς ἔπαθεν, ἐκ σέλαος ἀμυδροῦ ἔρως φωτὸς μεγάλου. Τὸ γὰρ ἴχνος τοῦ ἀμόρφου μορφή· τοῦτο γοῦν γεννᾷ τὴν μορφήν, οὐχ ἡ μορφὴ τοῦτο, καὶ γεννᾷ, ὅταν ὕλη προσέλθῃ. Ἡ δὲ ὕλη πορρωτάτω ἐξ ἀνάγκης, ὅτι μηδὲ τῶν ὑστάτων μορφῶν παρ' αὐτῆς τινα ἔχει. Εἰ οὖν ἐράσμιον μὲν οὐχ ἡ ὕλη, ἀλλὰ τὸ εἰδοποιηθὲν διὰ τὸ εἶδος, τὸ δ' ἐπὶ τῇ ὕλῃ εἶδος παρὰ ψυχῆς, ψυχὴ δὲ μᾶλλον εἶδος, καὶ μᾶλλον ἐράσμιον, καὶ νοῦς μᾶλλον ταύτης εἶδος, καὶ ἔτι μᾶλλον ἐρασμιώτερον, ἀνείδεον δεῖ τὴν καλοῦ τίθεσθαι φύσιν τὴν πρώτην.

duntaxat quis intuendo versatur, nondum amore corripitur : sed cum primum animus ab illa se revocans, figuram in se ipso concipit non ultra visibilem in anima non dividua, amor protinus oritur. Amatum tamen adhuc intueri desiderat, ut, quod in amante arescit, amati jugiter irrigetur aspectu. Sin autem animadvertat, transcendendum esse ad aliquid a forma remotius, illud manifestius exoptabit. Etenim, quod ab initio passus est, id certe est quidem ex tenui quodam lumine incitatus ingentis luminis amor. Forma namque rei cujusdam (ut ita loquar) informis vestigium est : quod quidem gignit formam, non ipsum vero forma : gignit, inquam, formam, quando materia jam propinquat. Materia vero suapte natura necessario remotissima est : quippe cum ne postremarum quidem formarum ullam ex se ipsa possideat. Quam ob rem, si amabile nobis est, non quidem materia, sed quod specie formatum est : species autem in materia fit ab anima, anima vero magis species est magisque amanda : item intellectus magis est, quam anima, species, magisque amabilis : procul dubio primam ipsam pulchri naturam oportet super omnes formas limites constituere.

Cum pulchritudo quælibet, a quocumque ametur, semper appetatur sub ratione boni, necessarium est ipsum bonum esse pulchritudinis principium et amoris.

Bonum igitur ipsum semper ubique præsens, cum primum illuxerit animo jam sereno, mirificum accendit amorem : quando videlicet animus formas omnes intentionesque non solum imaginabiles, sed etiam intellectuales exuerit : tunc per amorem infiniti boni infinitum una cum bono mirabiliter copulatur, gaudio illinc ineffabili plenus. Quod quidem non solum post vitam præsentem, verum etiam in hac vita consequi quandoque potest.

ΛΔ'. Καὶ οὐκ ἔτι θαυμάσομεν τὸ τοὺς δεινοὺς πόθους παρέχον, εἰ πάντῃ ἀπήλλακται καὶ μορφῆς νοητῆς. Ἐπεὶ καὶ ψυχή, ὅταν αὐτοῦ ἔρωτα σύντονον λάβῃ, ἀποτίθεται πᾶσαν, ἣν ἔχει, μορφήν, καὶ ἥτις ἂν καὶ νοητοῦ ᾖ ἐν αὐτῇ. Οὐ γάρ ἐστιν ἔχοντά τι ἄλλο καὶ ἐνεργοῦντα περὶ αὐτὸ οὔτε ἰδεῖν, οὔτε ἐναρμοσθῆναι, ἀλλὰ δεῖ μήτε κακὸν μήτε αὖ ἀγαθὸν μηδὲν ἄλλο πρόχειρον ἔχειν, ἵνα δέξηται μόνη μόνον. Ὅταν δὲ τούτου εὐτυχήσῃ ἡ ψυχὴ καὶ ἥκῃ πρὸς αὐτήν, μᾶλλον δὲ παρὸν φανῇ, ὅταν ἐκείνη ἐκνεύσῃ τῶν παρόντων, καὶ παρασκευάσασα αὑτὴν ὡς ὅτι μάλιστα καλήν, καὶ εἰς ὁμοιότητα ἐλθοῦσα, (ἡ δὲ παρασκευὴ καὶ ἡ κόσμησις δήλη που τοῖς παρασκευαζομένοις,) ἰδοῦσα δὲ ἐν αὐτῇ ἐξαίφνης φανέντα, μεταξὺ γὰρ οὐδέν, οὐδ' ἔτι δύο, ἀλλ' ἓν ἄμφω· οὐ γὰρ ἂν διακρίναις ἔτι, ἕως πάρεστι, (μίμησις δὲ τούτου, καὶ οἱ ἐνταῦθα ἐρασταὶ καὶ ἐρώμενοι συγκρῖναι θέλοντες,) καὶ οὔτε σώματος ἔτι αἰσθάνεται, ὅτι ἐστὶν ἐν αὐτῷ, οὔτε ἑαυτὴν ἄλλο τι λέγει, οὐχ ἄνθρωπον, οὐ ζῷον, οὐκ ὄν, οὐδὲ πᾶν· (ἀνώμαλος γὰρ ἡ τούτων πως θέα, καὶ οὐδὲ σχολὴν ἄγει πρὸς αὐτά, οὔτε θέλει, ἀλλὰ καὶ αὐτὸ ζητήσασα ἐκείνῳ παρόντι ἀπαντᾷ, κἀκεῖνο ἀντ' αὐτῆς βλέπει· τίς δὲ οὖσα βλέπει, οὐδὲ τοῦτο σχολάζει ὁρᾶν·) ἔνθα δὴ οὐδὲν πάντων ἀντὶ τούτου ἀλλάξαιτο, οὐδ' εἴ τις αὐτῇ πάντα τὸν οὐρανὸν ἐπιτρέποι, ὡς οὐκ ὄντος ἄλλου ἔτι ἀμείνονος οὐδὲ μᾶλλον ἀγαθοῦ· οὔτε γὰρ ἀνωτέρω τρέχει, τά τε ἄλλα πάντα κατιούσης, κἂν ᾖ ἄνω· ὥστε τότε ἔχει καὶ τὸ κρίνειν καλῶς, καὶ γιγνώσκειν ὅτι τοῦτό ἐστιν, οὗ ἐφίετο, καὶ τίθεσθαι, ὅτι μηδέν ἐστι κρεῖττον αὐτοῦ. Οὐ γάρ ἐστιν ἀπάτη ἐκεῖ, ἢ που ἂν τοῦ ἀληθοῦς ἀληθέστερον τύχοι. Ὃ οὖν λέγει, ἐκεῖνό ἐστι, καὶ ὕστερον λέγει, καὶ σιωπῶσα δὲ λέγει, καὶ εὐπαθοῦσα οὐ ψεύδεται, ὅτι εὐπαθεῖ· οὐδὲ γαργαλιζομένου

XXXIV. Cum ita se res habeat, haudquaquam admiraturi sumus ulterius, quod acerrimos amoris stimulos incitat, procul ab omni forma etiam intelligibili esse semotum. Quandoquidem et anima, cum ardenti illius flagrat amore, quamcumque formam habet in se, deponit, etiam si qua intelligibilis ipsius in ea sit forma. Fieri namque non potest, ut, qui aliud quodvis habet, vel circa aliud agit, aut videat illud, aut congruat cum illo atque copuletur : sed oportet neque mali neque boni aliud quicquam in promptu habere, ut quandoque capiat sola solum. Postquam vero id anima feliciter consequuta fuerit, idque ad eam accesserit ; imo vero jam præsens nuper illuxerit, quando videlicet illa se ipsam a cæteris præsentibus revocaverit præparans, se ipsam interea, ut pulcherrima fiat, similisque evadat ; (apparatus autem ejus atque ornatus illis, qui se rite præparant, duntaxat est cognitus :) postquam, inquam, ita se animus comparaverit, cernet in se deum ipsum subito coruscantem : nihil enim intervenit medium, neque ibi duo quædam discernentur ulterius, sed ambo jam unum : neque enim, quamdiu adest, discernere licet. Id autem apud nos imitari solent amantes et amati mutuo redamantes, qui conflari nituntur in unum. Jam vero animus ita defixus in deum corpus suum non sentit ulterius, neque se esse animadvertit in corpore, neque se ipsum aliud quiddam esse pronuntiat, non hominem, non animal, non ens, non universum. Horum namque prospectus inæqualis quodammodo est atque distractus. Neque tantum animus tunc habet otii, ut aciem ad ea convertat, neque velit habere : verum, cum ipsum studiose quæsiverit, illi præsenti se prorsus insinuat, illudque pro se ipso jam cernit, neque tantum ei vacat, ut hunc agnoscat eventum. Quo quidem in statu nullis thesauris præsentem thesaurum commutabit, neque etiam, si quis ei cœlum totum elargiatur : quippe cum cognoscat, nihil esse præstantius, nihil melius ; nempe nec superius ascendere potest. Cætera vero contueri nihil aliud esset, quam descendere, quamvis et illa sint excelsa, et animus ipse sublimis. Tunc demum animus judicium omnino verum assequitur : tunc prorsus agnoscit, hoc ipsum esse, quod olim totis viribus affectabat : tunc procul dubio asserit nihil esse præstantius. Nulla enim est ibi fallacia : alioquin in aliquid veritate verius licebit incidere. Quod igitur tunc dicit animus, ipse jam illud exsistit, dicitque posterius, dicitque silendo. Cumque beata jam suavitate sit affectus, quod optime sit affectus, minime

λέγει τοῦ σώματος, ἀλλὰ τοῦτο γενομένη, ὃ πάλαι, ὅτε εὐτύχει. Ἀλλὰ καὶ τὰ ἄλλα πάντα, οἷς πρὶν ἥδετο, ἀρχαῖς, ἢ δυνάμεσιν, ἢ πλούτοις, ἢ κάλλεσιν, ἢ ἐπιστήμαις, ταῦτα ὑπεριδοῦσα λέγει, οὐκ ἂν εἰποῦσα, μὴ κρείττοσι συντυχοῦσα τούτων· οὐδὲ φοβεῖται, μή τι πάθῃ, μετ' ἐκείνου οὖσα, οὐδ' ὅλως ἰδοῦσα· εἰ δὲ καὶ τὰ ἄλλα τὰ περὶ αὐτὴν φθείροιτο, εὖ μάλα καὶ βούλεται, ἵνα πρὸς τούτῳ ᾖ μόνον, εἰς τόσον ἥκει εὐπαθείας.

fallitur. Non enim hoc ait quasi corpore titillante, sed jam illud effectus, quod et quondam, quando felix exstiterat. Tum vero cetera prorsus omnia, quibus delectari antea consueverat, quando potentia, opibus, ornamentis, formis, doctrinis oblectabatur, agnoscit jam penitus contemnenda. Quod quidem non facile tunc deprehendere poterat, quando nondum meliora fuerat consequutus. Praeterea nihil timet adversi, dum vel copulatur illi, vel omnino aspicit illud. Denique, si contigerit alia circa animum omnia destrui, hoc ipsum libentius approbabit, ut solum sit penes ipsum, eo usque jam affectionis prospero suavisque processit.

Ipsum bonum ita est ab omni multiplicitatis mobilitatisque suspicione semotum, ut anima illo fruens intelligentiam exuere compellatur, quodammodo actioni cuidam multiplici mobilique consimilem.

In hac autem fruitione idem ipse deus est lumen, quod intuetur animus, et per quod intuetur: evaditque ibi visio ipsa luminis ipsum lumen. Est autem in intellectu primo intuitus atque contuitus. Hic directus in deum, inde formatur, itaque mox naturam suam sic jam formatam contuitus. Illo supra se ipsum deo fruitur: hoc autem se ipso potitur. In anima quoque est unitas intellectu superior, per quam deo fruitur visione quadam intelligentiam superante.

ΛΕ'. Οὕτω δὲ διάκειται τότε, ὡς καὶ τοῦ νοεῖν καταφρονεῖν, ὃ τὸν ἄλλον χρόνον ἠσπάζετο, ὅτι τὸ νοεῖν κίνησίς τις ἦν, αὐτὴ δὲ οὐ κινεῖσθαι θέλει· καὶ γὰρ οὐδ' ἐκεῖνόν φησιν, ὃν ὁρᾷ, καίτοι νοῦς γενόμενος, αὐτὴ θεωρεῖ, οἷον νωθεῖσα καὶ ἐν τῷ τόπῳ τῷ νοητῷ γενομένη· ἀλλὰ γενομένη μὲν ἐν αὐτῷ καὶ περὶ αὐτόν, ἔχουσα τὸ νοητὸν νοεῖ. Ἐπὰν δὲ ἐκεῖνον ἴδῃ τὸν θεόν, πάντα ἤδη ἀφίησιν, οἷον εἴ τις εἰσελθὼν εἰς οἶκον ποικίλον καὶ οὕτω καλὸν θεωροῖ ἔνδον ἕκαστα τῶν ποικιλμάτων καὶ θαυμάζοι πρὶν ἰδεῖν τὸν τοῦ οἴκου δεσπότην. Ἰδὼν δ' ἐκεῖνον καὶ ἀγασθεὶς οὐ κατὰ τὴν τῶν ἀγαλμάτων φύσιν ὄντα, ἀλλ' ἄξιον τῆς ὄντως θέας, ἀφεὶς ἐκεῖνα, τοῦτον μόνον τοῦ λοιποῦ βλέποι, εἶτα βλέπων καὶ μὴ ἀφαιρῶν τὸ ὄμμα, μηκέτι ὅραμα βλέποι τῷ συνεχεῖ τῆς θέας, ἀλλὰ τὴν ὄψιν αὐτοῦ συγκεράσαιτο τῷ θεάματι, ὥστε ἐν αὐτῷ ἤδη τὸ ὁρατὸν πρότερον ὄψιν γεγονέναι, τῶν δ' ἄλλων πάντων ἐπιλάθοιτο θεαμάτων. Καὶ τάχ' ἂν σώζοι τὸ ἀνάλογον ἡ εἰκών, εἰ μὴ ἄνθρωπος εἴη ὁ ἐπιστὰς τῷ τὰ τοῦ οἴκου θεωμένῳ, ἀλλά τις θεός, καὶ οὗτος οὐ κατ' ὄψιν φανείς, ἀλλὰ τὴν ψυχὴν ἐμπλήσας τοῦ θεωμένου· καὶ τὸν νοῦν τοίνυν τὴν μὲν ἔχειν δύναμιν εἰς τὸ νοεῖν, ᾗ τὰ ἐν αὐτῷ βλέπει, τὴν δέ, ᾗ τὰ ἐπέκεινα αὐτοῦ ἐπιβολῇ τινι καὶ παραδοχῇ, καθ' ἣν καὶ πρότερον ἑώρα μόνον, καὶ ὁρῶν ὕστερον καὶ νοῦν ἔσχε, καὶ ἕν ἐστι· καὶ ἔστιν ἐκείνη μὲν ἡ θέα νοῦ ἔμφρονος, αὕτη δὲ νοῦς ἐρῶν. Ὅταν ἄφρων γένηται μεθυσθεὶς τοῦ νέκταρος, τότε ἐρῶν γίγνεται, ἁπλωθεὶς εἰς εὐπάθειαν τῷ κόρῳ· καὶ ἔστιν αὐτῷ μεθύειν βέλτιον, ἢ σεμνοτέρῳ εἶναι τοιαύτης μέθης. Παρὰ μέρος δὲ ὁ νοῦς ἐκεῖνος, ἄλλα, τὰ δὲ ἄλλοτε ἄλλα ὁρᾷ, ἢ οὔ; Ὁ δὲ λόγος διδάσκων γιγνόμενα ποιεῖ, τὸ δὲ ἔχει τὸ νοεῖν ἀεί, ἔχει δὲ καὶ τὸ μὴ νοεῖν, ἀλλὰ ἄλλως ἐκεῖνον βλέπειν. Καὶ γὰρ ὁρῶν ἐκεῖνον ἔσχε γεννήματα, καὶ συνῄσθετο καὶ τούτων γενομένων καὶ ἐνόντων· καὶ ταῦτα μὲν ὁρῶν, λέγεται νοεῖν, ἐκεῖνο δέ, ᾗ δυνάμει ἔμελλε νοεῖν. Ἡ δὲ ψυχὴ οἷον συγχέασα καὶ ἀφανίσασα μένοντα τὸν ἐν αὐτῇ νοῦν, μᾶλλον δὲ ὁ νοῦς αὐτῆς ὁρᾷ πρῶτος, ἔρχεται δὲ ἡ θέα καὶ εἰς αὐτήν, καὶ τὰ δύο ἓν γίγνεται.

XXXV. Adeo vero tunc ad votum affectus est animus, ut intelligentiam quoque nihili pendat, quodve prius eam admiratus fuerit, jam minime probet: quippe cum intelligentiam esse motionem quandam plane cognoscat, ipse vero moveri non optet. Atqui neque etiam illum esse pronuntiat intellectum, quem cernit, quamvis animus ipse intellectus jam factus intueatur: utpote intellectu penitus occupatus, in locoque intelligibili constitutus: at vero positus quidem in ipso et circa ipsum, habens intelligibile nimirum intelligit. Postquam vero deum illum vidit, omnia prorsus omittit: perinde ac si quis domum ingressus varie admodum exornatam, singula intus ornamenta consideret, et, priusquam dominum ejus viderit, admiretur. At postquam inspexerit dominum, imaginum illarum pulchritudinem admodum superantem: utpote qui non velut imago quaedam pulchra, sed re vera pulcher occurrat, ideoque supra modum hunc admiretur; illisque dimissis, solum in posterum contempletur, attentiusque oculis in eum defixis inspiciens, haud ulterius ipsa videndi continuitate ipsum proprie visibile videat, sed visionem misceat cum visibili, adeo ut in ipso, quod prius erat visibile, ipsa jam visio fiat, cetera vero spectacula cum interea lateant. Forsan vero similitudo haec analogiam proportionemque servaret, si quidem ille, qui contemplatori domus occurrit, non homo, sed deus quidam foret; et hic quidem non aspectui patens, sed contemplantis mentem penitus implens. Existimandum est igitur, intellectum geminam vim habere: alteram quidem ad intelligendum, per quam interna sibi conspiciat; alteram vero, qua superiora suspiciat jactu quodam intuendi et perceptione quadam: quo quidem intuitu atque acceptione prius etiam videbat solum, videndoque accepit posterius intellectum, unumque exsistit. Atqui illa quidem sanae mentis visio est: haec autem ipsa mens est amans. Quando enim insanit nectare penitus ebria, tunc amore corripitur, se ipsam in affectionem suavitatemque beatam saturitate diffundens. Et profecto huic satius est ebrietate hac occupari, quam procul ab ejusmodi potu sobrie vivere. Sed numquid mens illa vicissim alia prius, alia posterius contemplatur? nequaquam: quamvis disputatio docendi gratia introducat eam quasi alternis vicibus contemplantem. Intellectus autem ipse semper exercet actum, quo et intelligit proprie: et rursus proprie non intelligit, sed alia quadam deum inspicit ratione. Nempe dum cerneret deum, inde fetus in se ipso concepit, eosque jam genitos insitosque persensit; ac dum hos contuetur, intelligere dicitur: deum vero ea suspexit potentia, qua deinceps intellectus erat. Proinde anima intellectum in ipsa manentem quasi confundens ac delens suspicit deum: imo vero intellectus ipsius inspicit primus, sed visio in eam quoque traducitur: duoque in unum fiunt. Ipsum vero bonum per haec se propagans,

Ἐκταθὲν δὲ τὸ ἀγαθὸν ἐπ' αὐτοῖς καὶ συναρμοσθὲν τῇ ἀμφοτέρων συστάσει, ἐπιδραμὸν καὶ ἑνῶσαν τὰ δύο, ἔπεστιν αὐτοῖς μακαρίαν διδοὺς αἴσθησιν καὶ θέαν, τοσοῦτον ἄρας, ὥστε μήτε ἐν τόπῳ εἶναι, μήτε ἐν τῷ ἄλλῳ, ἐν οἷς πέφυκεν ἄλλο ἐν ἄλλῳ εἶναι· οὐδὲ γὰρ αὐτός που. Ὁ δὲ νοητὸς τόπος ἐν αὐτῷ, αὐτὸς δὲ οὐκ ἐν ἄλλῳ. Διὸ οὐδὲ κινεῖται ἡ ψυχὴ τότε, ὅτι μηδ' ἐκεῖνο, οὐδὲ ψυχὴ τοίνυν, ὅτι μηδὲ ζῇ ἐκεῖνο, ἀλλὰ ὑπὲρ τὸ ζῆν, οὐδὲ νοῦς, ὅτι μηδὲ νοεῖ. Ὁμοιοῦσθαι γὰρ δεῖ· νοεῖ δὲ οὐδ' ἐκεῖνο, ὅτι οὐδὲ νοεῖ.

horumque constitutioni applicans semetipsum, supervolat eis, et duo conjungens in unum, imminet ipsis, felicem sensum largiens contemplationemque beatam. Praeterea usque adeo haec attollit, ut neque amplius sint in loco, neque in quovis alio, quacumque conditione aliud esse possit in alio: neque enim est ipse deus alicubi. Locus autem intelligibilis est in eo, ipse vero in nullo prorsus existit. Quam ob rem neque tunc movetur anima, quoniam nec ille movetur: neque igitur est anima proprie, cum neque proprie vivat: quoniam nec ille proprie vivit, sed vivendi munus excedit: sed neque etiam est intellectus, quoniam nec intelligit. Assimilari namque oportet; intelligit autem non illum, quoniam nec intelligit quidem.

Scala, per quam ascenditur ad principium, septem gradus habet: primus est purgatio animi: secundus, cognitio operum divinorum singulatim comparata: tertius, contemplatio ordinis, quo opera inferiora reducuntur ad superiora gradatim: quartus, comparatio quaedam proportionalis ex ordine hujusmodi ad divinum ordinem sese conferens: quintus, negatio, per quam cuncta, quae concipis, separes a principio: sextus, supplex ad deum oratio, ut ipse intellectualis mundi pater te reddat mundum intellectualem actu: es enim potentia mundus hic ab initio: septimus, ut, cum ipse intellectualis mundus evaseris, ulterius amore boni concitus ex statu intellectuali transformeris in bonum superius intellectu.

Summus deus rectius dicitur suapte natura libertas, quam naturæ suæ dominus. Non enim actio penes eum ullo modo distinguitur a natura, ideo non debet dici in agendo naturæ suæ dominus: sed est vel simplicissimus actus, per quem libertas potius appellatur, vel principium finisque actuum actionumque omnium: unde libertas iterum in se nominatur: dominus vero non tam sui, quam aliorum. Essentia prima per actionem suam quodammodo ab ipsa distinctam suæ exsistentiæ domina dici potest. Anima vero cum non sit essentia ipsa simpliciter, sed essentia quædam, nequaquam dicenda est essentiæ suæ domina, quamvis quodammodo domina sui. Forma postremo corporea tanquam expers essentiæ liberum sui dominatum nullum habet. Contra vero deus, per quem superiora sunt libera, dominanturque sequentibus, libertas est simul et dominatio summa.

ΙΒ'. Τί οὖν; οὐκ ἔστιν, ὅ ἐστι; τοῦ δὲ εἶναι, ὅ ἐστιν, ἢ τοῦ ἐπέκεινα εἶναι ἆρά γε κύριος αὐτός; πάλιν γὰρ ἡ ψυχὴ οὐδέν τι πεισθεῖσα τοῖς εἰρημένοις ἄπορός ἐστι. Λεκτέον τοίνυν πρὸς ταῦτα ὧδε, ὡς ἕκαστος μὲν ἡμῶν κατὰ μὲν τὸ σῶμα πόῤῥω ἂν εἴη οὐσίας, κατὰ δὲ τὴν ψυχὴν, καὶ ὃ μάλιστα ἐσμὲν, μετέχομεν οὐσίας, καὶ ἐσμέν τις οὐσία. Τοῦτο δέ ἐστιν οἷον σύνθετόν τι ἐκ διαφορᾶς καὶ οὐσίας, οὔκουν κυρίως οὐσία, οὐδ' αὐτοουσία· διὸ οὐδὲ κύριοι τῆς αὐτῶν οὐσίας. Ἄλλο γάρ πως ἡ οὐσία, καὶ ἡμεῖς ἄλλο· καὶ κύριοι οὐχ ἡμεῖς τῆς αὐτῶν οὐσίας. Ἀλλ' ἡ οὐσία αὐτὴ ἡμῶν, εἴπερ αὕτη

* XII. Quid ergo dicimus? nonne hoc ipsum, quod est, exsistit? Ipsius autem esse, quod est, vel ipsius, quod sit, ipso esse superius, numquid ipsemet deus est dominus? Rursus animus, nondum persuasus ex dictis, restat ambiguus: ad hæc igitur in præsentia nobis est ita dicendum: Unusquisque nostrûm secundum corpus quidem est ab essentia longe remotus, secundum vero animum, et quod maxime ipsi sumus, essentiæ participes sumus, et profecto sumus essentia quædam. Id autem est velut quiddam ex differentia simul essentiaque compositum: itaque nec essentia præcipue, nec ipsa essentia: quam ob rem neque sumus nostræ essentiæ domini. Aliud namque quodammodo essentia est, aliud nos exsistimus. Nec nos quidem sumus essentiæ nostræ domini: sed ipsa essentia potius est domina nostra: siquidem hæc ipsa et

καὶ τὴν διαφορὰν προστίθησιν. Ἀλλ' ἐπειδή, ὅπερ κύριον ἡμῶν, ἡμεῖς πως ἐσμέν, οὕτω τοι οὐδὲν ἧττον καὶ ἐνταῦθα λεγοίμεθα ἂν αὐτῶν κύριοι· ὃ δέ γε παντελῶς ἐστιν, ὅ ἐστιν αὐτοουσία, καὶ οὐκ ἄλλο μὲν αὐτό, ἄλλο δὲ ἡ οὐσία αὐτοῦ, ἐνταῦθα ὅπερ ἐστί, τοῦτο ἐστὶ καὶ κύριον, καὶ οὐκ ἔτι εἰς ἄλλο, ᾗ ἐστι, καὶ ᾗ ἐστιν οὐσία. Καὶ γὰρ αὖ ἀφείθη κύριον εἶναι αὐτοῦ, ᾗ ὃ πρῶτον εἰς οὐσίαν. Τὸ δὴ πεποιηκὸς ἐλεύθερον τὴν οὐσίαν, πεφυκὸς δηλονότι ποιεῖν ἐλεύθερον καὶ ἐλευθεροποιὸν ἂν λεχθέν, τίνι ἂν δοῦλον εἴη; εἴπερ ὅλως καὶ θεμιτὸν φθέγγεσθαι· τὸ δὲ τῇ παρ' αὐτοῦ οὐσίᾳ, ἀλλὰ καὶ αὐτὴ παρ' αὐτοῦ ἐλευθέρα καὶ ὑστέρα, καὶ αὐτὸ οὐκ ἔχον οὐσίαν. Εἰ μὲν οὖν ἐστί τις ἐνέργεια ἐν αὐτῷ, καὶ ἐν τῇ ἐνεργείᾳ αὐτὸν θησόμεθα, οὐδ' ἂν διὰ τοῦτο εἴη ἂν ἕτερον αὐτοῦ· καὶ οὐκ αὐτὸς αὐτοῦ κύριος, ἀφ' οὗ ἡ ἐνέργεια, ὅτι μὴ ἕτερον ἐνέργεια καὶ αὐτός. Εἰ δ' ὅλως ἐνέργειαν οὐ δώσομεν ἐν αὐτῷ εἶναι, ἀλλὰ τἄλλα περὶ αὐτὸν ἐνεργοῦντα τὴν ὑπόστασιν ἴσχειν, ἔτι μᾶλλον οὔτε τὸ κύριον οὔτε τὸ κυριευόμενον ἐκεῖ εἶναι δώσομεν, ἀλλ' οὐδὲ τὸ αὐτοῦ κύριος, οὐχ ὅτι ἄλλο αὐτοῦ κύριον, ἀλλ' ὅτι τὸ αὐτοῦ κύριον τῇ οὐσίᾳ ἀπέδομεν, τὸ δὲ ἐν τιμιωτέρῳ, ἢ κατὰ τοῦτο, ἐθέμεθα. Τί οὖν τὸ ἐν τιμιωτέρῳ τοῦ ὅ ἐστιν αὐτοῦ κύριον; ἢ ὅτι ἐπειδὴ οὐσία καὶ ἐνέργεια ἐκεῖ, δύο πως ὄντα, ἐκ τῆς ἐνεργείας τὴν ἔννοιαν ἐδίδου τοῦ κυρίου· τοῦτο δὲ ἦν τῇ οὐσίᾳ ταὐτόν. Διὰ τοῦτο καὶ χωρὶς ἐγένετο τὸ κύριον εἶναι καὶ αὐτὸ αὐτοῦ ἐλέγετο κύριον. Ὅπου δὲ οὐ δύο, ὡς ἑνός, ἀλλὰ ἕν (ἢ γὰρ ἐνέργεια μόνον, ἢ οὐδ' ὅλως ἐνέργεια), οὐδὲ τὸ κύριον αὐτοῦ ὀρθῶς.

differentiam adhibet. Sed quoniam nos quodam modo sumus et illud, quod dominatur nobis, hac utique conditione nihilo minus et hic domini nostri [ipsorum] possumus appellari. Quod autem omnino est id, quod est ipsa essentia, neque aliud quidem ipsum, aliud autem ejus essentia est: certe hoc ipsum, quod exsistit, est dominans, nec amplius refertur in aliud, qua videlicet ratione est, et qua exsistit essentia. Denique rursus dimissum est sui ipsius dominum esse: siquidem, quod ibi primum est, redigitur in essentiam. Jam vero quod liberam facit essentiam, utpote cujus natura sit, res facere liberas, itaque liberator cognominatur, cuinam serviret? si modo fas est id etiam quoquo modo pronuntiare. Hoc autem sui ipsius essentia *liberum judicatur: sed et haec ab ipso libera est atque posterior:* ipsum vero non habet essentiam. Si qua igitur in eo actio est, ipsumque ponemus in actione, non tamen ob hoc erit alterum a se ipso, neque minus sui ipsius dominus, a quo editur actio: quoniam non est alterum quiddam ibi actio, alterum vero ipsum. Si autem omnino actionem in eo esse non concedamus, sed alia circa ipsum operantia retinere substantiam, multo minus ibi vel dominum vel dominatorem esse fatebimur: sed neque etiam sui ipsius dominum esse dicemus: non quoniam deo quicquam aliud dominetur: sed quoniam sui ipsius esse dominum essentiae jam attribuimus. Summum vero deum in gradu quodam excellentiore locavimus, quam quod sibimet dominetur. Quidnam igitur est excelsius eo, qui sui ipsius sit dominus? Profecto quoniam in ipso, qui primo sui ipsius dominus appellatur, essentia et actio duo quaedam quodammodo sunt, nimirum ex actione ipsam domini praestitit rationem. Haec autem idem atque essentia est: propterea et seorsum factum est, ut dominus esset, suique ipsius dominus id est appellatum. Ubi autem non duo quidem sunt ut unius, sed est penitus unum; (aut enim solum actus est, aut omnino non est ibi actus:) ille nec etiam recte dicitur dominum sui ipsius exsistere.

Quocunque modo essentia, voluntas, actio in deo nominari possint, penitus idem sunt. Si ergo, sicut naturaliter ejus essentia fert, ita deus vult et agit: vicissim quoque quemadmodum vult et agit, sic ejus natura se habet. Est igitur neque fortuna neque fato, sed propria voluntate, quod est.

Eatenus unum quodque se ipsum vult, suique juris exsistit, quatenus est cum bono. Ipsum ergo bonum penitus, ut vult, exsistit et liberum: ac si detur optio commutandi, nunquam aliud, quam quod est, se esse sit voliturum. Praeterea cum voluntates omnium in bonum confluant, et uniantur in eo, certe in ipso bono eadem est cum bonitate voluntas, quae nec aliud vult esse, quam se ipsam. Jam vero maximopere sibi, quod est, placet, siquidem sola participatione boni res habent, ut sibimet ipsae placeant. Post haec Plotinus, Si velle, inquit, et esse idem est penes bonum, sequitur, sicut est ipsum in se naturaliter, ita velle: atque vicissim, ut vult, sic ipsum naturaliter et exsistere. Excogitat interim, Christianorum more, deum per voluntatis actum aliquam in se producere (ut ita dixerim) subsistentiam. Alibi quoque dixit, deum per intelligentiam in se, nescio quam, subsistentiam genuisse. Denique sicut voluntatis actum excellentiorem voluntate concedit ipsi bono, similiter actum intelligentiae intelligentia excelsiorem est procul dubio concessurus.

ΙΓ'. Ἀλλ' εἰ καὶ τὰ ὀνόματα ταῦτα ἐπάγειν δεῖ οὐκ ὀρθῶς τοῦ ζητουμένου, πάλιν αὖ λεγέσθω, ὡς τὰ μὲν ὀρθῶς εἴρηται, ὅτι οὐ ποιητέον, οὐδ' ὡς εἰς ἐπίνοιαν δύο, τὰ δὲ νῦν τῆς πειθοῦς χάριν, καίτοι παρανοητέον ἐν τοῖς λόγοις. Εἰ γὰρ δοίημεν ἐνεργείας αὐτῷ, τὰς δὲ ἐνεργείας αὐτοῦ οἷον βουλήσει αὐτοῦ, οὐ γὰρ ἀβουλῶν ἐνεργεῖ, αἱ δὲ ἐνέργειαι ἡ οἷον οὐσία αὐτοῦ, ἡ βούλησις αὐτοῦ καὶ ἡ οὐσία ταὐτὸν ἔσται. Εἰ δὲ τοῦτο, ὡς ἄρα ἐβούλετο, οὕτω καὶ ἔστιν. Οὐ μᾶλλον ἄρα, ὡς πέφυκε, βούλεταί τε καὶ ἐνεργεῖ, ἤ, ὡς βούλεταί τε καὶ ἐνεργεῖ, ἡ οὐσία ἐστὶν αὐτοῦ. Κύριος ἄρα πάντη ἑαυτοῦ, ἐφ' ἑαυτῷ ἔχων καὶ τὸ εἶναι. Ἴδε δὴ καὶ τόδε· τῶν ὄντων ἕκαστον ἐφιέμενον τοῦ ἀγαθοῦ βούλεται ἐκεῖνο μᾶλλον, ἢ ὅ ἐστιν, εἶναι, καὶ τότε μάλιστα οἴεται

XIII. Ceterum si haec quoque nomina, etsi non recte, tamen utcunque, introducere cogimur: rursus circa id, quod a principio quaeritur, dicendum videtur, partim quidem recte fuisse dictum, videlicet non esse ponenda duo quaedam in summo, etiam si tantum differant ratione, partim *vero in praesentia persuasionis gratia liberius videtur esse* loquendum, et a severa intelligentiae norma in loquendo aliquantulum declinandum. Si ergo summo deo actiones attribuamus, actiones autem ejus tanquam voluntati suae accommodemus, non enim operatur nolens, actiones vero sunt ipsa velut ejus essentia, nimirum voluntas ejus essentiaque idem penitus erit. Quod si ita, ergo, ut voluit, ita prorsus exsistit. Ideoque non magis, ut sua fert natura, ita vult et agit, quam, ut vult agitque, sic essentia ejus exsistit. Omnino igitur sui ipsius est dominus, suum videlicet esse proprio arbitrio possidens. Praeterea ita considera: eorum quae sunt unumquodque, bonum appetens, mavult illud, quam quod est, esse, maximeque tunc esse se

εἶναι, ὅταν τοῦ ἀγαθοῦ μεταλάβῃ, καὶ ἐν τῷ τοιούτῳ αἱρεῖται ἑαυτῷ ἕκαστον τὸ εἶναι, καὶ ὅσον ἂν παρὰ τοῦ ἀγαθοῦ ἴσχῃ, ὡς τῆς τοῦ ἀγαθοῦ φύσεως ἑαυτῇ δηλονότι πολὺ πρότερον αἱρετῆς οὔσης, εἴπερ τὸ ὅση μοῖρα ἀγαθοῦ παρ' ἄλλῳ αἱρετωτάτη, καὶ οὐσία ἑκούσιος, καὶ παραγενομένη θελήσει, καὶ ἓν καὶ ταὐτὸν οὖσα θελήσει καὶ διὰ θελήσεως ὑποστᾶσα. Καὶ ἕως μὲν τὸ ἀγαθὸν μὴ εἶχεν ἕκαστον, ἠθέλησεν ἄλλο, ᾗ δὲ ἔσχεν, ἑαυτό τε θέλει ἤδη καὶ ἔστιν οὔτε κατὰ τύχην ἡ τοιαύτη παρουσία, οὔτε ἔξω τῆς βουλήσεως αὐτοῦ ἡ οὐσία, καὶ τούτῳ καὶ ὁρίζεται, καὶ ἑαυτῆς ἐστι τούτῳ. Εἰ οὖν τούτῳ αὐτό τι ἕκαστον ἑαυτὸ ποιεῖ, δῆλον δήπου γίγνεται ἤδη, ὡς ἐκεῖνο γίγνεται ἂν ἤδη ἑαυτῷ τοιοῦτον πρώτως, ᾧ καὶ τὰ ἄλλα ἑαυτοῖς ἐστιν εἶναι, καὶ σύνεστιν αὐτοῦ τῇ οἷον οὐσίᾳ ἡ θέλησις, τοῦ οἷον τοιοῦτον εἶναι, καὶ οὐκ ἔστιν αὐτὸν λαβεῖν ἄνευ τοῦ θέλειν ἑαυτῷ, ὅπερ ἐστί· καὶ σύνδρομος αὐτὸς ἑαυτῷ, θέλων αὐτὸς εἶναι, καὶ τοῦτο ὤν, ὅπερ θέλει, καὶ ἡ θέλησις καὶ αὐτὸς ἕν, καὶ τούτῳ οὐχ ἧττον ἕν, ὅτι μὴ ἄλλο αὐτός, ὅπερ ἔτυχεν, ἄλλο δὲ τὸ ὡς ἐβουλήθη ἄν. Τί γὰρ ἂν καὶ ἠθέλησεν, ἢ τοῦτο, ὅ ἐστι; καὶ γὰρ εἰ ὑποθοίμεθα ἑλέσθαι αὐτῷ, ὅ τι θέλοι, γενέσθαι, καὶ ἐξεῖναι αὐτῷ ἀλλάξασθαι τὴν αὑτοῦ φύσιν εἰς ἄλλο, μήτε ἂν ἄλλο τι γενέσθαι βουληθῆναι, μήτ' ἂν ἑαυτῷ τι μέμψασθαι ὡς ὑπὸ ἀνάγκης τοῦτο ὄν, ὅ ἐστι τοῦτο τὸ αὐτὸς εἶναι, ὅπερ αὐτὸς ἀεὶ ἠθέλησε καὶ θέλει. Ἔστι γὰρ ὄντως ἡ ἀγαθοῦ φύσις θέλησις αὐτοῦ, οὐ δεδεκασμένου, οὐδὲ τῇ ἑαυτοῦ φύσει ἐπισπωμένου, ἀλλ' ἑαυτὸν ἑλομένου, ὅτι μηδὲ ἦν ἄλλο, ἵνα πρὸς ἐκεῖνο ἑλχθῇ. Καὶ μὴν κἀκεῖνο ἄν τις λέγοι, ὡς ἐν τῇ αὑτῶν ἕκαστον τὰ ἄλλα οὐσίᾳ οὐ περιείληφε τὸν λόγον τὸν τοῦ ἀρέσκεσθαι αὑτῷ. καὶ γὰρ ἂν καὶ δυσχεραίνοι τι αὑτό· ἐν δὲ τῇ ὑποστάσει τοῦ ἀγαθοῦ ἀνάγκη τὴν αἵρεσιν καὶ τὴν αὐτοῦ θέλησιν ἐμπεριειλημμένην εἶναι, ἢ σχολῇ γ' ἂν ἄλλῳ ὑπάρχοι ἑαυτῷ ἀρεστῷ εἶναι, ἃ μετουσίᾳ ἢ ἀγαθοῦ φαντασίᾳ ἀρέσκεται αὑτοῖς. Δεῖ δὲ συγχωρεῖν τοῖς ὀνόμασιν, εἴ τις περὶ ἐκείνου λέγων ἐξ ἀνάγκης ἐνδείξεως ἕνεκα αὐτοῖς χρῆται, ἃ ἀκριβείᾳ οὐκ ἐῶμεν λέγεσθαι. Λαμβανέτω δὲ καὶ τὸ οἷον ἐφ' ἑκάστου. Εἰ οὖν ὑφέστηκε τὸ ἀγαθόν, καὶ συνυφίστησιν αὐτὸ ἡ αἵρεσις καὶ ἡ βούλησις, ἄνευ γὰρ τούτων οὐκ ἔσται. Δεῖ δὲ τοῦτο μὴ πολλὰ εἶναι, συνακτέον ὡς ἓν τὴν βούλησιν καὶ τὴν οὐσίαν καὶ τὸ θέλειν, τὸ δὲ θέλειν παρ' αὐτοῦ ἀνάγκη καὶ τὸ εἶναι παρ' αὐτοῦ τὸ εἶναι αὐτῷ εἶναι· ὥστε αὐτὸν πεποιηκέναι αὐτὸν ὁ λόγος ἀνεῦρεν. Εἰ γὰρ ἡ βούλησις παρ' αὐτοῦ καὶ οἷον ἔργον αὐτοῦ, αὕτη δὲ ταὐτὸν τῇ ὑποστάσει αὐτοῦ, αὐτὸς ἂν οὕτως ὑποστήσας ἂν εἴη αὐτόν· ὥστε οὐχ ὅπερ ἔτυχέν ἐστιν, ἀλλ' ὅπερ ἠβουλήθη αὐτός.

tulat, quando particeps evadit boni: et in tali quodam suum eligit esse, eoque magis suum esse probat, quo magis habet a bono, quasi ipsa boni natura multo prius sibimet sit potissimum eligenda. Siquidem quo major electiorque portio boni alteri attribuitur, eo magis ejus essentia eligenda est libenter et expetenda voluntatique assistens, unumque et idem voluntati existens, neque per ipsam voluntatem ipsa subsistens. Proinde, quousque unumquodque non habet bonum, aliud quiddam vult: quando autem habet, hac statim conditione jam vult se ipsum. Neque secundum fortunam ejusmodi præsentia fit, neque extra voluntatem ipsius essentia est, atque hoc ipso etiam determinatur, eoque sui ipsius existit. Si igitur hoc ipso quodlibet se efficit ipsum aliquid, constat plane illud se ipso esse primo tale, quo et alia, ut se ipsis sint, nanciscantur: simulque cum ipsa velut illius essentia copulari penitus voluntatem, tanquam existendi tale, neque licere illud accipere absque volendi actu sibimet hoc ipsum, quod est, approbante. Itaque concurrit deus ipse secum, volens ipse existere, idque existens, quod et vult, voluntasque et ipse unum est, atque ex hoc non minus est unum: quoniam non aliud quidem est ipse, quod videlicet contigit, aliud autem, quod esse voluisset existere. Quid enim voluerit aliud præter hoc, quod nunc existit? Etenim si fingamus in ejus optionem adduci, ut, quodcumque velit, efficiatur, eique licere naturam suam in aliud commutare, constat sane, hunc nolle se aliud esse vel extitisse: neque quicquam in se incusare, quasi cogente necessitate id ipsum, quod est, evaserit, propterea, quod id proprie ipse sit, quod ipsemet et voluit semper, et vult. Est enim re vera ipsa boni natura ipsiusmet voluntas, non adeo quidem, ut portio quædam illi fuerit assignata, vel propriam quandam sequutus naturam, sed ipse potius voluerit semet ipsum, quoniam nec erat aliud, ad quod potius traheretur. Accedit ad hæc, quod aliorum nullum in essentia sua rationem sibi placendi comprehendit: nonnihil etiam esse potest, quod se ipsum offendat, sibique displiceat. At in ipsa boni substantia necessarium est electionem sui ipsius et voluntatem procul dubio contineri: alioquin nihil usquam id assequetur, ut quandoque valeat sibi ipsi placere: quæ quidem vel participatione quadam, vel saltem imagine boni sibi ipsis placere solent. Decet autem veniam præstare nominibus, si quis, de illo loquens, nominibus quibusdam minus accommodatis uti demonstrandi gratia compellatur: quæ tamen exactior disputandi regula non admitteret. Saltem vero in nomine quolibet minus congruo dictiones ejusmodi, quasi, et velut, et tanquam singulatim accipiantur. Si igitur bonum ipsum existit, simulque cum eo existit electio atque voluntas: absque enim his non erit; oportet autem hoc multa non esse, nimirum voluntatem et essentiam atque velle, redigere prorsus debemus in unum. Cum vero ipsum velle sit ab illo, necessarium est ab illo quoque ipsum esse sibimet adesse. Quapropter et ipsum effecisse se ipsum ratio hæc invenit. Si enim voluntas est a se ipso, ac velut ipsius opus, hæc autem idem atque ejus substantia est, profecto sic ipse se in actum edidit existendi. Quam ob rem non illud est, quod esse contigerit, sed potius, quod ipse voluerit.

### Confirmatio superiorum.

Singula in corporibus individua possunt quidem contingenter in exitum processisse: in quibus præter specialem necessariamque essentiam est aliquid adventicium. Anima vero intellectualis et idea quælibet, ubi totum est ad essentiam ac speciem necessarium, hoc ipsum, quod existit, ex intima sui natura prodit, non fortuito quidem, sed necessario. Cum vero hæc, tanquam principio proxima, id bonum consequantur ab eo, ipsum in primis id munus habet extra fortunam. Præterea in omni idea, itemque substantia vel forma ad ideam ex amussim expressa, hæc duo invicem conjunguntur, scilicet quid et propter quid

existat. Quapropter, si diligenter inspexeris, in ipsa dispositione naturæ ex partibus suis constante rationem causamque partium totiusque invenies: tantum vero minus a principio rerum habent, idem eminentius in se habente. Alienissima vero illinc est fortuna, ubi existendi ratio causaque intrinsecus continetur.

ΙΔ'. Ἔτι δὲ ὁρᾶν δεῖ καὶ ταύτῃ· ἕκαστον τῶν λεγομένων εἶναι ἢ ταὐτόν ἐστι τῷ εἶναι αὐτοῦ, ἢ ἕτερον· οἷον ἄνθρωπος ὅδε ἕτερος, καὶ τὸ ἀνθρώπῳ εἶναι ἄλλο· μετέχει γε μὴν ὁ ἄνθρωπος τοῦ ὅ ἐστιν ἀνθρώπῳ εἶναι. Ψυχὴ δὲ καὶ τὸ ψυχῇ εἶναι ταὐτόν, εἰ ἁπλοῦν ψυχή, καὶ μὴ κατ' ἄλλου· καὶ ἄνθρωπος αὐτὸ, καὶ τῷ ἀνθρώπῳ εἶναι, καὶ τὸ μὲν ἂν κατὰ τύχην γένοιτο ἄνθρωπος, ὅτῳ ἕτερον τὸ ἀνθρώπῳ εἶναι· τὸ δὲ ἀνθρώπῳ εἶναι οὐκ ἂν γένοιτο κατὰ τύχην· τοῦτο δέ ἐστι παρ' αὐτοῦ ἄνθρωπος αὐτό. Εἰ δὴ τῷ ἀνθρώπῳ εἶναι παρ' αὐτοῦ καὶ οὐ κατὰ τύχην τοῦτο οὐδὲ συμβέβηκε, πῶς ἂν τὸ ὑπὲρ τὸ ἄνθρωπος αὐτὸ τὸ γεννητικὸν τοῦ ἀνθρώπου αὐτὸ, καὶ οὗ τὰ ὄντα πάντα, κατὰ τύχην ἂν λέγοιτο, φύσις ἁπλουστέρα τοῦ ἀνθρώπῳ εἶναι καὶ τοῦ ὅλως τὸ ὂν εἶναι· εἰ πρὸς τὸ ἁπλοῦν ἰόντι οὐκ ἔστι συναναφέρειν τὴν τύχην, ὥστε καὶ εἰς τὸ ἁπλούστατον ἀδύνατον ἀναβαίνειν τὴν τύχην. Ἔτι δὲ κἀκεῖνο ἀναμνησθῆναι προσήκει ἤδη που εἰρημένον, ὡς ἕκαστον τῶν κατ' ἀλήθειαν ὄντων καὶ ὑπ' ἐκείνης τῆς φύσεως ἐλθόντων εἰς ὑπόστασιν, καὶ εἴ τι δὲ ἐν τοῖς αἰσθητοῖς τοιοῦτον, τῷ ἐπ' ἐκείνῳ τοιοῦτον· λέγω δὲ τὸ τοιοῦτον τὸ σὺν αὐτῇ τῇ οὐσίᾳ ἔχειν καὶ τῆς ὑποστάσεως τὴν αἰτίαν, ὥστε τὸν ὕστερον θεατὴν ἑκάστου ἔχειν εἰπεῖν, δι' ὃ ἕκαστον τῶν ὑπαρχόντων, οἷον διὰ τί ὀφθαλμὸς, καὶ διὰ τί πόδες τοῖσδε τοιοίδε, καὶ τὴν αἰτίαν συναπογεννῶσαν ἕκαστον μέρος ἑκάστου εἶναι, καὶ δι' ἄλληλα τὰ μέρη εἶναι· διὰ τί πόδες εἰς μῆκος; ὅτι καὶ τόδε τοιόνδε, καὶ ὅτι πρόσωπον τοιόνδε, καὶ πόδες τοιοίδε, καὶ ὅλως ἡ πρὸς ἄλληλα πάντων συμφωνία ἀλλήλοις αἰτία· καὶ τὸ διὰ τί τόδε· ὅτι τοῦτο ἐστι τῷ ἀνθρώπῳ εἶναι, ὥστε ἓν καὶ τὸ αὐτὸ τὸ εἶναι καὶ τὸ αἴτιον. Ταῦτα δὲ ἐκ μιᾶς πηγῆς οὕτως ἦλθεν οὐ λελογισμένης, ἀλλὰ παρεχούσης ὅλον ἀθρόον τὸ διὰ τί καὶ τὸ εἶναι. Πηγὴ οὖν τοῦ εἶναι καὶ διὰ τί εἶναι ὁμοῦ ἄμφω διδοῦσα· ἀλλ' οἷα τὰ γινόμενα πολὺ ἀρχετυπώτερον καὶ ἀληθέστερον, καὶ μᾶλλον ἢ κατ' ἐκεῖνα πρὸς τὸ βέλτιον τὸ ἀφ' οὗ ταῦτα. Εἰ οὖν μηδὲν εἰκῇ, μηδὲ κατὰ τύχην, μηδὲ τὸ συνέβη γὰρ οὕτως, τῶν ὅσα τὰς αἰτίας ἐν αὐτοῖς ἔχει, ἔχει δὲ τὰ ἐξ αὐτοῦ ἅπαντα, λόγου ὢν καὶ αἰτίας καὶ οὐσίας αἰτιώδους πατὴρ, ἃ δὴ πάντα πόῤῥω ὑπάρχει τύχης, τὸ ὄντως καὶ τὸ πρῶτον ἀμιγὲς τύχαις, καὶ αὐτομάτῳ καὶ συμβάσει αἴτιον ἑαυτοῦ, καὶ παρ' αὐτοῦ, καὶ δι' αὐτὸν αὐτός· καὶ γὰρ πρώτως αὐτὸς καὶ ὑπερόντως αὐτός.

XIV. Proinde considerare idem hac etiam ratione nos decet. Unumquodque eorum, quæ esse dicuntur, aut idem est, quod et ipsum ejus esse, aut potius aliud: quemadmodum alius est hic homo, aliud ipsum esse homini: particeps tamen est hic homo ejus, quod est ipsum esse homini. Anima vero et esse animæ idem est, si est anima simplex, nec de alio prædicatur. Item idealis ipse homo idem est atque ipsum esse homini. Et hoc quidem fortuna quadam homo fieri potest, ubi aliud est ipsum esse homini. Quod autem est ipsum homini esse, sive hominem esse, nunquam id fieri fortuna contingit. Id est autem a se ipso est ipse homo. Quam ob rem, si hoc ipsum, quod dicitur esse homini, vel esse hominem, est id a se ipso, neque secundum fortunam hoc existit, neque sic accidit esse, quonam pacto illud, quod ipso homine superius est, ipsumque generat hominem idealem, gignit et illud, quo entia omnia continentur, secundum fortunam esse potest? præsertim cum simplicior natura sit eo, quod est esse hominem, atque eo, quod est ens ipsum prorsus existere? siquidem ad simplex ordine procedenti non licet secum eodem ferre fortunam. Quocirca ad illud, quod est omnium simplicissimum, ascendere fortuna non potest. Præterea in memoriam revocandum est, quod et jam dictum fuit, unumquodque videlicet eorum, quæ re vera sunt, et ab illa natura in substantiam provenerunt, una cum ejus essentia habere etiam substantiæ sive subsistentiæ causam: ac si quid inter illa, quæ sentiuntur, est tale, propterea quod præcipue ab illis pendeat esse tale: quo efficitur, ut, qui aliquid postea contemplatur, assignare possit, propter quid potissimum singula, quæ insunt, aut sint, aut ita se habeant: velut propter quid oculus, et quam ob causam pedes talibus dati sint tales: causamque probare valeat partem quamlibet concreantem uniuscujusque esse, partesque se invicem in ipsa causæ ratione juvare. Cur nam pedes in longitudinem protenduntur? Quoniam videlicet et hoc est tale, et quoniam talis est facies: ideoque tales sunt et pedes: atque omnino mutua omnium consonantia invicem causa est. Item cur nam hoc est? Quoniam scilicet hoc ipsum est esse homini: quapropter unum idemque est esse simul et causa. Hæc autem sic ex fonte unico profluxerunt, nullo rationis ad hæc attente discursu, sed simul totum ipsum propter quid ipsumque esse protinus exhibente. Est itaque fons ipsius esse, ipsiusque, propter quid esse dicatur, ambo simul præbens. Qualia vero sunt, quæ fiunt, tale est illud, a quo proveniunt, sed potiori quadam verioreque admodum ratione, atque ad id quod melius est, illa, quæ fiunt, supra modum exsuperante. Cum igitur nullum eorum, quæ in se causas possident, temere, vel fortuito, vel ulla sortis conditione sic potius contingentis, ita se habeat, habeat autem primum illud, quæ ex ipso sunt cuncta: pater rationis et causæ et essentiæ (ut ita dixerim) causalis, quæ quidem omnia a fortuna sunt longe remota, erit profecto principium ac velut exemplar eorum, quæcumque nullum habent cum fortuna commercium: hoc ipsum videlicet, quod re vera primumque nullam habet cum fortuna casuque et sorte commixtionem: quippe cum sit sui ipsius causa, atque a se ipso et propter se sit hoc ipsum, quod dicitur ipse. Est enim primo ipse, vel supervero, et (ut ita dixerim) superenter ipse.

Confirmatio superiorum.

Si unumquodque eatenus sibi est amabile, quatenus fit boni particeps, ipsum certe bonum sibimet potissimum est amabile: ibique amor et amatus est idem. Non est igitur aliud, quam quod semper esse se amat. Præterea tunc demum extra contingentia positi sumus, experimurque libertatem, quando, ceteris omnino posthabitis, unico ipsius boni lumini intelligentiam superantes nos exponimus. Ipsum ergo bonum libertas ipsa est extra fortunam. Denique cum ratio casui opposita sit, atque a principio

tota ratio universi processerit, consequens est, ipsum non solum extra casum, sed etiam super rationem id ipsum, quod est, exsistere.

ΙΕ'. Καὶ ἐράσμιον καὶ ἔρως ὁ αὐτὸς, καὶ αὐτοῦ ἔρως, ἅτε οὐκ ἄλλως καλὸς, ἢ παρ' αὐτοῦ καὶ ἐν αὐτῷ. Καὶ γὰρ καὶ τὸ συνεῖναι ἑαυτῷ οὐκ ἂν ἄλλως ἔχοι, εἰ μὴ τὸ συνὸν καὶ τὸ ᾧ σύνεστιν, ἓν καὶ ταὐτὸν εἴη. Εἰ δὲ τὸ συνὸν τῷ ᾧ σύνεστιν ἓν, καὶ τὸ οἷον ἐφιέμενον τῷ ἐφετῷ ἓν, τὸ δὲ ἐφετὸν κατὰ τὴν ὑπόστασιν καὶ οἷον ὑποκείμενον, πάλιν αὖ ἡμῖν ἀνεφάνη ταὐτὸ ἡ ἔφεσις καὶ ἡ οὐσία. Εἰ δὲ τοῦτο, πάλιν αὖ αὐτός ἐστιν οὗτος ὁ ποιῶν ἑαυτὸν καὶ κύριος ἑαυτοῦ, καὶ οὐχ ὥς τι ἕτερον ἠθέλησε γενόμενος, ἀλλ' ὡς θέλει αὐτός· καὶ μὴν καὶ λέγοντες αὐτὸν οὔτε τι εἰς αὐτὸν δέχεσθαι, οὔτε ἄλλο αὐτὸν, καὶ ταύτῃ ἂν εἴημεν ἔξω ποιοῦντες τοῦ τύχῃ εἶναι τοιοῦτον, οὐ μόνον τῷ μονοῦν αὐτὸν καὶ τῷ καθαρὸν ποιεῖν ἁπάντων, ἀλλ' ὅτι, εἴ ποτε καὶ αὐτοὶ ἐν αὐτοῖς ἐνίδοιμέν τινα φύσιν τοιαύτην οὐδὲν ἔχουσαν τῶν ἄλλων, ὅσα συνήρτηται ἡμῖν, καθ' ἃ πάσχειν ὅ τι περ ἂν συμβῇ καὶ κατὰ τύχην ὑπάρχει. Πάντα γὰρ τὰ ἄλλα ὅσα ἡμῶν δοῦλα καὶ κείμενα τύχοις, καὶ οἷον κατὰ τύχην προσελθόντα. Τούτῳ δὲ μόνῳ τὸ κύριον αὐτοῦ καὶ τὸ αὐτεξούσιον φωτὸς ἀγαθοειδοῦς καὶ ἀγαθοῦ ἐνεργείᾳ, καὶ μείζονος ἢ κατὰ νοῦν, οὐκ ἐπακτὸν τὸ ὑπὲρ τὸ νοεῖν ἐχούσης, εἰς ὃ δὴ ἀναβάντες καὶ γενόμενοι τοῦτο μόνον, τὰ δ' ἄλλα ἀφέντες, τί ἂν εἴποιμεν αὐτὸ, ἢ ὅτι πλέον ἢ ἐλεύθεροι, καὶ πλέον ἢ αὐτεξούσιοι; Τίς δ' ἂν ἡμᾶς προσάψειε τότε τύχαις ἢ τῷ εἰκῇ, ἢ τῷ συμβέβηκεν, αὐτὸ τὸ ἀληθινὸν ζῆν γενομένους, ἢ ἐν τούτῳ γενομένους, ὃ μηδὲν ἔχει ἄλλο, ἀλλ' ἔστιν αὐτὸ μόνον; Τὰ μὲν οὖν ἄλλα μονούμενα οὐκ ἔστιν αὐτοῖς αὐτάρκη εἶναι εἰς τὸ εἶναι· τοῦτο δ' ἐστὶν, ὅ ἐστι καὶ μονούμενον· ὑπόστασις δὲ πρώτη οὐκ ἐν ἀψύχῳ, οὐδ' ἐν ζωῇ ἀλόγῳ· ἀσθενὴς γὰρ εἰς τὸ εἶναι καὶ αὕτη, σκέδασις οὖσα λόγου καὶ ἀοριστία. Ἀλλ' ὅσῳ πρόεισιν εἰς λόγον, ἀπολείπει τύχην· τὸ γὰρ κατὰ λόγον οὐ τύχῃ. Ἀναβαίνουσι δὲ ἡμῖν ἐκεῖνο μὲν οὐ λόγος, κάλλιον δὲ ἢ λόγος, τοσοῦτο ἀπέχει τοῦ τύχῃ συμβῆναι. Ῥίζα γὰρ λόγου παρ' αὐτῆς, καὶ εἰς τοῦτο λήγει τὰ πάντα, ὥσπερ φυτοῦ μεγίστου κατὰ λόγον ζῶντος ἀρχὴ καὶ βάσις· μένουσα γὰρ αὐτὴ ἐφ' ἑαυτῆς, διδοῦσα δὲ κατὰ λόγον τῷ φυτῷ, ὃν ἔλαβεν, εἶναι.

XV. Idem præterea deus et amabile est et amor, suique ipsius est amor, utpote qui non aliter, quam a se ipso, et in se ipso, pulcher exsistit. Atqui et hoc ipsum, quod dicitur simul esse secum, non aliter habere potest, quam si et quod simul inest, et qui, cum est simul, unum sit penitus atque idem. Si ergo et coexsistens et illud, cui coexsistit, est unum, atque, quod ibi est velut appetens, similiter unum est cum illo, quod est appetendum, et, quod illic appetibile dicitur, vel appetendum, secundum substantiam et quasi subjectum consideratur: rursus hinc nobis apparuit, appetitum et essentiam esse idem. Quod si ita se habet, constat iterum, deum se ipsum efficere, suique exsistere dominum, neque sic esse factum, ut aliud quicquam voluerit, sed quemadmodum ipse vult. Proinde ubi deum dicimus nec quicquam in se accipere, nec ab alio capi, hac quoque ratione eum ab ea conditione longius segregamus, per quam sorte quadam talis evasisse dicatur, non solum ex eo, quod agat seu reddat se unicum et (ut ita dixerim) solitarium, purumque conservet ab omnibus: verum etiam, quoniam, si quando et nos in nobis naturam ejusmodi quandam inspiciamus, aliorum nihil habentem, quæcumque nobis adhærent, per quæ nobis accidere solet, quicquid contigerit perpeti, casuque vivere, libertatem prorsus experiemur. Alia enim quæcumque nostra dicuntur, serviunt fortunæque exposita sunt, et quasi fortuito nobis accidunt. In hoc autem solo consistit sui ipsius dominum liberumque exsistere, per actum videlicet quendam luminis boniformis, et boni exsuperantis mentem, actum, inquam, vim non adventitiam in se habentem, quæ omnem excedat intelligentiam. Huc ergo cum ascenderimus, solumque id evaserimus, ceteris longe posthabitis, age, quidnam de hoc statu dicemus? Profecto clamabimus, nos esse tunc libertate omnique arbitrio valde superiores. Quisnam nos eo tempore fortunis exponet, vel temeritati faciet sortique obnoxios? quippe cum ipsa vera vita tunc effecti simus, aut in eo penitus constituti, quod sane nihil habet aliud, sed solum ipsum prorsus exsistit. Cetera quidem, si sola sint ab aliis segregata, ad suum esse sufficere nequeunt: ipsum vero principium id ipsum, quod est, exsistit pariter, etsi segregatum. Substantia sane prima non consistit in re non vivente, neque etiam in vita rationis experte. Hæc enim ad exsistendum debilis est: quippe cum rationis dispersio sit et natura quædam indefinita. At quatenus in rationem procedit, eatenus relinquit fortunam: quod enim ratione progreditur, nequaquam in fortuna versatur. Nobis vero altius procedentibus principium ipsum non occurrit ut ratio, sed quiddam pulchrius ratione: tantum abest, ut sorte contingat. Est enim radix quædam rationis sunpte natura: atque huc tandem omnia desinunt. Est tanquam ingentis cujusdam arboris ratione viventis principium atque fundamentum in se ipso quidem permanens, tradens vero Esse arbori per rationem inde susceptam.

Confirmatio superiorum.

Si deus nec est in tempore, nec est in loco, non potest hoc ipsum, quod est, vel aliquando, vel alicubi contigisse. Est autem deus non tam semper, quam sempiternitas ipsa, nec proprie ubique habitat, sed ipse certe hoc ipsum est, quod a nobis appellari solet ubique. Intellectus in deo mirus, intelligibili intellectu superior, tam efficaciter in se agit, ut exsistentiam generet in se ipso: similiter et voluntas, appetente voluntate superior exsistentiam in se volendo producit. Cum vero nihil in deo sit præter ipsum, sic certe intelligendo ac volendo in se ipso emicat a se ipso, adeo, ut neque sorte neque aliunde vi illata, sed pro intelligentia voluntateque sua id ipsum, quod est, exsistat. Sed hæc et quæ sequuntur, in Theologia nostra diligentius explicamus.

ΙϚ'. Ἐπεὶ δὲ φαμὲν καὶ δοκεῖ πανταχοῦ τε εἶναι τοῦτο καὶ αὖ εἶναι οὐδαμοῦ, τοῦτό τοι χρὴ ἐνθυμηθῆναι καὶ νοῆσαι, οἷον δεῖ, καὶ ἐντεῦθεν σκοπουμένοις θέσθαι, περὶ ὧν ζητοῦμεν· εἰ γὰρ μηδαμοῦ, οὐδαμοῦ συμβέβηκε, καὶ εἰ πανταχοῦ, ὅσος ἐστὶν αὐτὸς, τοσοῦτον

XVI. Quoniam vero fatemur, probabileque videtur deum et ubique esse et nusquam, de hoc quoque, quale sit, nobis diligenter considerandum, hinc rursus, quod quærimus, indagantibus: si enim nusquam est, nusquam certe contigit: rursus, si est ubique, procul dubio, quantus ipse est, tantus est et ubique. Quapropter hoc

πανταχοῦ. Ὥστε τὸ πανταχοῦ καὶ τὸ πάντῃ αὐτὸς, οὐκ ἐν ἐκείνῳ ὢν τῷ πανταχοῦ, ἀλλ' αὐτὸς ὢν τοῦτο, καὶ δοὺς εἶναι τοῖς ἄλλοις ἐν τῷ πανταχοῦ παρακεῖσθαι. Ὁ δ' ὑπερτάτην ἔχων τάξιν, μᾶλλον δ' οὐκ ἔχων, ἀλλ' ὢν ὑπέρτατος αὐτὸς δοῦλα πάντα ἔχει, οὐ συμβὰς αὐτοῖς, αὐτῷ δὲ τῶν ἄλλων, μᾶλλον δὲ περὶ αὐτὸν τῶν ἄλλων, οὐ πρὸς αὐτὰ βλέποντος αὐτοῦ, ἀλλ' ἐκείνων πρὸς αὐτόν. Ὁ δ' εἰς τὸ εἴσω οἷον φέρεται αὑτοῦ, οἷον ἑαυτὸν ἀγαπήσας, αὐγὴν καθαρὰν, αὐτὸς ὢν τοῦτο ὅπερ ἠγάπησε· τοῦτο δ' ἐστὶν ὑποστήσας αὑτὸν, εἴπερ ἐνέργεια μένουσα, καὶ τὸ ἀγαπητότατον οἷον νοῦς. Νοῦς δὲ ἐνέργημα, ὥστε ἐνέργημα αὐτός· ἀλλὰ ἄλλου μὲν οὐδενὸς, ἑαυτοῦ ἄρα ἐνέργημα αὐτός· οὐκ ἄρα, ὡς συμβέβηκεν, ἐστὶν, ἀλλ' ὡς ἐνεργεῖ αὐτός. Ἔτι τοίνυν, εἰ ἔστι μάλιστα, ὅτι πρὸς αὑτὸν οἷον στηρίζει, καὶ οἷον πρὸς αὑτὸν βλέπει, καὶ τὸ οἷον εἶναι τοῦτο αὐτῷ τὸ πρὸς αὑτὸν βλέπειν, οἷον ποιοῖ ἂν αὑτόν· οὐχ, ὡς ἔτυχεν, ἄρα ἐστὶν, ἀλλ' ὡς αὐτὸς ἐθέλει, καὶ οὐδ' ἡ θέλησις εἰκῆ, οὐδ' οὕτω συνέβη. Τοῦ γὰρ ἀρίστου ἡ θέλησις οὖσα οὐκ ἔστιν εἰκῆ. Ὅτι δ' ἡ τοιαύτη νεῦσις αὐτοῦ πρὸς αὑτὸν, οἷον ἐνέργεια οὖσα αὐτοῦ, καὶ μονὴ ἐν αὐτῷ τὸ εἶναι, ὅ ἐστι, ποιεῖ, μαρτυρεῖ ὑποτεθὲν τοὐναντίον· ὅτι, εἰ πρὸς τὸ ἔξω νεύσειεν αὑτοῦ, ἀπολεῖ τὸ εἶναι, ὅπερ ἐστί. Τὸ ἄρα εἶναι, ὅπερ ἐστὶν, ἡ ἐνέργεια ἡ πρὸς αὑτόν· τοῦτο δὲ ἓν καὶ αὐτός. Αὐτὸς ἄρα ὑπέστησεν αὑτὸν συνεξενεχθείσης τῆς ἐνεργείας μετ' αὐτοῦ, καὶ οἷον ἐγρήγορσις οὐκ ἄλλου ὄντος τοῦ ἐγρηγορότος, ἐγρήγορσις καὶ ὑπερνόησις ἀεὶ οὖσα, ἔστιν οὕτως ὡς ἐγρηγόρησεν. Ἡ δὲ ἐγρήγορσίς ἐστιν ἐπέκεινα οὐσίας καὶ νοῦ καὶ ζωῆς ἔμφρονος· ταῦτα δὲ αὐτός ἐστιν· αὐτὸς ἄρα ἐστὶν ἐνέργεια ὑπὲρ νοῦν καὶ φρόνησιν καὶ ζωήν· ἐξ αὐτοῦ δὲ ταῦτα, καὶ οὐ παρ' ἄλλου. Παρ' αὐτοῦ ἄρα αὐτῷ καὶ ἐξ αὐτοῦ τὸ εἶναι· οὐκ ἄρα, ὡς συνέβη, οὕτως ἐστὶν, ἀλλ', ὡς ἠθέλησεν, αὐτός ἐστιν.

ipsum, quod ubique et quod undique dicitur, ipsemet exsistit, neque ipsum ubique est in eo, neque vicissim, sed ipse potius est hoc ipsum, ceterisque largitur esse, propterea quod in eo, quod ipsum ubique est, admittantur. Ille autem supremum obtinens ordinem, imo vero non obtinens, sed exsistens ipse supremus, subdita habet omnia, non illis quidem ipse contingens, sed sibi cetera contingentia, imo vero cetera circa ipsum. Nec ille quidem ad illa prospicit, sed ad ipsum cuncta suscipiunt. Ille autem intra se aeque per totum quasi perfertur, tanquam se ipsum amans, puram lucem, ipse hoc ipsum, quod amat, exsistens, id est autem in subsistentiam se producens, siquidem actus est permanens, et quod ibi amabilissimum est, velut intellectus exsistit. Intellectus autem ipsius est opificium: quapropter opificium ipse est. Cum vero non sit opus alterius, sequitur, ut sui ipsius ipse sit opus. Quam ob rem non ita est, ut contigit, sed potius, ut ipse agit. Praeterea si ex eo maxime est, quoniam quasi sibimet innititur, et quasi respicit ad se ipsum, ipsumque velut esse sibi est respicere ad se ipsum, nimirum quasi efficit seme ipsum. Non igitur est, ut contigit, sed ut ipse vult: neque voluntas ibi temeraria est et vana, neque sic accidit. Cum enim optimi sit voluntas, non est inanis atque fortuita. Quod autem ejusmodi nutus erga se ipsum, quasi quaedam ejus actio et quies in semet ipso, efficiat ut hoc ipsum, quod est, exsistat, testatur muneris hujus oppositum, si concedatur. Nempe si prospiciat, annuatque extra se ipsum, protinus, quod est, amittit. Esse igitur hoc ipsum, quod exsistit, est actio ad se ipsum: hoc autem atque ipse est unum. Ille igitur sibimet exhibet subsistentiam, una cum ipso ejus actione collata. Si ergo facta non est ejus actio, sed semper exstitit quasi vigilantia quaedam, nec aliud ibi vigilans est, aliud vigilantia, quae quidem superintelligentia quaedam est semper vigens, profecto sic est, sicut et vigilavit. Vigilantia vero super essentiam intellectumque et vitam sapientem exstat: id autem ipse est. Ille igitur actus est super intellectum et sapientiam atque vitam: ex eo autem haec sunt, nec ab alio quopiam. Ab illo igitur et ex illo suum esse producitur. Non ergo, sicut contigit, sed ut ipse voluit, sic prorsus exsistit.

Confirmatio superiorum.

In homine quidem aliud est natura, per quam generat similem; aliud ars et providentia, per quam artificiosa facit. At in opifice mundi vita eadem est intelligentia simul atque natura. Cum igitur provida et artificiosa dispositio mundi illinc proveniat intellectuali pariter naturalique ratione, necesse est hanc ibi quasi formam ejus exsistere naturalem. Si igitur ejusmodi mundi forma, multo magis et illius procul est a casu; remotissimum denique a fortuna est illius formae principium, quod pro natura et voluntate sua segregavit illinc a fortuna. Denique, si principium aspiciat aliorsum, se perdet. Dum ergo se tantum respicit, se ipsum quasi conservat atque agit. Igitur ex se ipso id, quod est, exsistit; non contingit ex fortuna.

ΙΖ'. Ἔτι δὲ καὶ ὧδε· ἕκαστα φαμὲν τὰ ἐν τῷ παντὶ, καὶ τόδε τὸ πᾶν οὕτως ἔχειν, ὡς ἂν ἔσχεν, ὡς ἡ τοῦ ποιοῦντος προαίρεσις ἠθέλησε· καὶ οὕτως ἔχειν, ὡς ἂν προϊέμενος καὶ προϊδὼν ἐν λογισμοῖς κατὰ πρόνοιαν οὕτως εἰργάσατο· ἀεὶ δὲ οὕτως ἐχόντων, καὶ ἀεὶ οὕτως γιγνομένων, οὕτω τοι καὶ ἀεὶ ἐν τοῖς συνοῦσι κεῖσθαι τοὺς λόγους ἐν μείζονι εὐθημοσύνῃ ἑστῶτας· ὥστε ἐπέκεινα προνοίας τἀκεῖ εἶναι καὶ ἐπέκεινα προαιρέσεως, καὶ πάντα ἀεὶ νοερῶς ἑστηκότα εἶναι, ὅσα ἐν τῷ ὄντι· ὥστε τὴν οὕτω διάθεσιν εἴ τις ὀνομάζει πρόνοιαν, οὕτω νοείτω, ὅτι ἐστὶ πρὸ τοῦδε νοῦς τοῦ παντὸς ἑστὼς, ἀφ' οὗ καὶ καθ' ὃν τὸ πᾶν τόδε. Εἰ μὲν νοῦς πρὸ πάντων οὖν καὶ ἀρχὴ ὁ τοιοῦτος νοῦς, οὐκ ἂν εἴη, ὡς ἔτυχε, πολὺς μὲν ὢν, συνῳδὸς δὲ αὑτῷ, καὶ οἷον

XVII. Praeterea idem hac ratione probamus: singula in mundo posita, totumque mundum sic se habere asserimus, quemadmodum se habuisset, si auctor suus quasi deliberando sic elegisset, ac si praecedente consilio et argumentatione quadam id providente, secundum providentiam mundus sic esset effectus. Cum vero sic semper omnia et sint, et fiant, ita profecto et semper in his, quae simul exsistunt, constat esse insitas rationes, in concinniore dispositione firmiter permanentes. Quapropter super providentiam illa sunt superque electionem atque propositum: omniaque semper intellectuali conditione firma perseverant, quaecunque in ipso ente consistunt. Si quis igitur dispositionem ejusmodi nominet providentiam, sic id accipiat, esse videlicet super id universum intellectum firmiter permanentem, a quo, et secundum quem totum id constituitur. Si igitur intellectus est ante omnia, principiumque est intellectus ejusmodi, nunquam, ut sorte contigit, ita se habet, praecipue cum multiplex quidem sit, sed secum ipse conspirans ac velut conflatus in unum.

εἰς ἓν συντεταγμένος. Οὐδὲν γὰρ πολὺ καὶ πλῆθος συντεταγμένον, καὶ λόγοι πάντες, καὶ περιληφθέντες ἐν ἰδίᾳ παντὸς, ὡς ἔτυχε καὶ ὡς συνέβη, ἀλλὰ πόῤῥω φύσεως τῆς τοιαύτης, καὶ ἐναντίον ὅσον τύχη ἐν ἀλογίᾳ κειμένη λόγῳ. Εἰ δὲ πρὸ τοῦ τοιούτου ἀρχὴ, δηλονότι προσεχὴς τούτῳ τῷ οὕτω λεγομένῳ, καὶ τὸ οὕτω λεγόμενον τοῦτο κατ' ἐκεῖνο, καὶ μετέχον ἐκείνου, καὶ οἷον θέλει ἐκεῖνο καὶ δύναμις ἐκείνου. Ἀδιάστατος τοίνυν ἐκεῖνος, εἷς πάντα λόγος, εἷς ἀριθμὸς, καὶ εἷς μείζων τοῦ γενομένου καὶ δυνατώτερος, καὶ οὐδὲν μεῖζον αὐτοῦ οὐδὲ κρεῖττον· οὐδὲ ἄρα ἐξ ἄλλου ἔχει οὔτε τὸ εἶναι οὔτε τὸ ὁποῖός ἐστιν εἶναι. Αὐτὸς ἄρα αὑτῷ, ὅ ἐστι, πρὸς αὑτὸν καὶ ἐς αὑτὸν, ἵνα μηδὲ ταύτῃ πρὸς τὸ ἔξω, ἢ πρὸς ἄλλον, ἀλλὰ πρὸς αὑτὸν πᾶς.

Quod enim multiplex multitudoque ordinata simul exsistit, et in quo rationes omnes per totum comprehenduntur in unum, nullo modo, utcumque contigit vel sorte evenit, se habere putandum : sed a natura ejusmodi procul abest fortunæ temeritas, ipsaque fortuna in quadam rationis orbitate se versans, rationi prorsus opponitur. Si autem, quod ante tale quiddam exsistit, ipsum omnium est principium, certe proximum est huic ita, ut dictum est, affecto. Idque ita dispositum, secundum illud dispositum est, ejusque participat, taleque exsistit, quale vult illud illiusque potestas. Ille igitur deus est indistans : una quidem omnia ratio, numerus unus : unus autem major genio atque potentior, nihil illo majus, nihil est melius. Itaque nec esse, nec esse tale, qualiscumque dicatur, ab alio accipit. Ipse igitur se ipso id, quod est, exsistit, ad se ipsum et penitus in se ipsum : ut neque etiam hac conditione aspiciat extra, vel ad alium usquam, sed totus potius ad se ipsum.

Confirmatio superiorum.

Nihil extra deum licet fingere. Nam deus excogitatur tanquam superessentialis potestatis, imo actus immensitas, cum comprehendens superficies omnium, tum se tota penetrans profunda rerum. Intellectus primus ad deum comparatur, tanquam circulus inferior, ad centrum superioris circuli sese applicans et naturaliter inde pendens : rursum, quemadmodum lumen, radiis quam plurimis foras effusum, ad simplicem et intimam solis lucem. Cum igitur intellectus sit imago quædam naturalis primi dei, sitque totus penitus tota ratio, constat primum illud, cum natura tum voluntate rationis universæ patrem fortuitum in se nihil admittere. Denique, cum tota ratio decentis expedientis opportuni tanquam bona contineatur in ipso bono, merito bonum ipsum est ipsum decus et opportunum. Non igitur, utcumque contigit, sed ut per suum naturale decus decet, naturaliter exsistit.

ΙΗ'. Καὶ σὺ ζητῶν μηδὲν ἔξω ζήτει αὐτοῦ, ἀλλ' εἴσω πάντα τὰ μετ' αὐτόν· αὐτὸν δὲ ἔα. Τὸ γὰρ ἔξω αὐτός ἐστι, περίληψις πάντων καὶ μέτρον, ἢ εἴσω ἐν βάθει. Τὸ δ' ἔξω αὐτοῦ, οἷον κύκλῳ ἐφαπτόμενον αὐτοῦ καὶ ἐξηρτημένον πᾶν, ὁ λόγος καὶ νοῦς· μᾶλλον δ' ἂν εἴη νοῦς, καθ' ὃ ἐφάπτεται, καὶ ᾗ ἐφάπτεται αὐτοῦ, καὶ ᾗ ἐξήρτηται, ἅτε παρ' ἐκείνου ἔχων τὸ νοῦς εἶναι· ὥσπερ ἂν οὖν κύκλος ἐφάπτοιτο κέντρου κύκλῳ, ὁμολογοῖτο ἂν τὴν δύναμιν παρὰ τοῦ κέντρου ἔχειν, καὶ οἷον κεντροειδής· ᾗ γραμμαὶ ἐν κύκλῳ πρὸς κέντρον ἓν συνιοῦσαι, τὸ πέρας αὐτῶν τὸ πρὸς τὸ κέντρον ποιοῦσι τοιοῦτον εἶναι οἷον τὸ πρὸς ὃ ἠνέχθησαν καὶ ἀφ' οὗ οἷον ἐξέφυσαν, μείζονος ὄντος, ἢ κατὰ ταύτας τὰς γραμμὰς καὶ τὰ πέρατα αὐτῶν, σημεῖα τῶν γραμμῶν. Καὶ ἔστι μὲν οἷον ἐκεῖνο, ἀμυδρὰ δὲ καὶ οἷον ἴχνη ἐκείνου, τοῦ ὃ δύναται αὐτὰ καὶ τὰς γραμμὰς δυνάμενον, αἳ πανταχοῦ ἔχουσιν αὐτό, καὶ ἐμφαίνεται διὰ τῶν γραμμῶν, οἷόν ἐστιν ἐκεῖνο, οἷον ἐξελιχθὲν οὐκ ἐξεληλιγμένον, οὕτω τοι καὶ τὸν νοῦν καὶ τὸ ὂν χρὴ λαμβάνειν, γενόμενον ἐξ ἐκείνου καὶ οἷον ἐκχυθὲν καὶ ἐξελιχθὲν, καὶ ἐξηρτημένον ἐκ τῆς αὐτοῦ νοερᾶς φύσεως μαρτυρεῖν τὸν οἷον ἐν ἑνὶ νοῦν, οὐ νοῦν ὄντα, ἓν γάρ, ὥσπερ οὐδ' ἐκεῖ γραμμὰς, οὐδὲ κύκλον τὸ κέντρον, κύκλου δὲ καὶ γραμμῶν πατέρα, ἴχνη αὐτοῦ δόντα, καὶ δυνάμει μενούσῃ γραμμὰς καὶ κύκλον οὐ πάντῃ ἀπηρτημένα αὐτοῦ, ῥώμῃ τινὶ γεγεννηκότα. Οὕτω τοι κἀκεῖνα τῆς νοερᾶς περιθεούσης δυνάμεως, τὸ οἷον ἰνδάλματος αὐτοῦ ἀρχέτυπον, ἐν ἑνὶ νοῦν πολλοῖς καὶ εἰς πολλὰ οἷον κεκινημένου, καὶ νοῦ διὰ ταῦτα γενομένου ἐκείνου, πρὸ νοῦ μείναντος, τῆς δυνάμεως αὐτοῦ νοῦν γεννήσαντος· τίς ἂν συντυχία, ἢ τὸ αὐτό-

XVIII. Tu ergo dum quæris, nihil extra deum quærito : sed intra deum omnia, quæ sunt post deum : ipsum vero dimitte. Quod enim extra est, ipse deus exsistit, comprehensio omnium et mensura, aut intimum universi profundum. Quod autem extra deum occurrit, velut circulo tangens illum totumque inde suspensum, ratio et intellectus exsistit : imo vero eatenus intellectus evadit, quatenus attingit illum, et qua ratione attingit, et qua inde pendet, utpote qui hoc ipsum, quod sit intellectus, habet ab illo. Age, considera circulum centrum undique attingentem : ideoque, a centro vim habere, et quasi centralem, et (ut ita dixerim) centriformem : ubi lineæ circuli ad centrum unicum confluentes terminum suum centro proximum talem reddunt, quale est et illud, ad quod feruntur, et a quo quodammodo pullulant : quod quidem præstantius est, quam conditio linearum atque terminorum, qui sane signa sunt linearum. Atqui hæc sunt quodammodo, quale et illud, obscura tamen atque debilia, ejusque quasi vestigia : quod quidem et ipsa et lineas sua potestate continet atque parit. Quæ sane lineæ illud ubique habent : ac per lineas, quale sit ipsum, apparet ubique, et quasi evolutum, et iterum non evolutum. Simili quadam ratione intellectum ipsumque ens contemplare genitum ex illo, ac velut effusum et explicatum, atque ex ipsius intellectuali natura suspensum : ideoque intellectum ejusmodi testari cogita velut intellectum in uno vigentem, qui tamen non sit intellectus : est enim penitus unum : quemadmodum neque in circulo centrum vel linea ulla, vel circumferentia est : circumferentiæ vero linearumque pater, dum sui vestigia præbet, potestateque permanente lineas circumferentiamque producit. Quæ quidem haud omnino inde sunt segregata, validissimo quodam vigore illinc effecta. Sic itaque summum cogita deum, esse velut exemplar primum intellectualis potentiæ circumcurrentis, ipsius tanquam imaginis : deum, inquam, velut intellectum in uno vigentem, cujus vigor quasi multis modis moveatur atque per multa, et ita illic intellectus evadat : dum tamen deus super mentem exstat, ex suaque potentia generat intellectum. Quænam igitur contingentia? quis casus? quis eventus fortuitus apud potestatem tantam atque talem mentis procreatricem.

ματον, ἢ τὸ ὡς συνέβη εἶναι, τῆς τοιαύτης δυνάμεως τῆς νοοποιοῦ, καὶ οἷον ὄντος ποιητικῆς πλησίον ἥκοι; οἷον γὰρ τὸ ἐν νῷ πολλαχῇ μεῖζον, ἢ τοιοῦτον τὸ ἐν ἑνὶ ἐκείνῳ, ὥσπερ φωτὸς ἐπὶ πολὺ σκεδασθέντος ἐξ ἑνός τινος ἐν αὐτῷ ὄντος διαφανοῦς, εἴδωλον μὲν τὸ σκεδασθὲν, τὸ δ' ἀφ' οὗ τὸ ἀληθές· οὐ μὴν ἀλλοειδὲς τὸ σκεδασθὲν εἴδωλον ὁ νοῦς, ὃς οὐ τύχη, ἀλλὰ καθ' ἕκαστον αὐτοῦ λόγος καὶ αἰτία. Αἴτιον δὲ ἐκεῖνο τοῦ αἰτίου· μειζόνως ἄρα οἷον αἰτιώτατον καὶ ἀληθέστερον αἰτία, ὁμοῦ πάσας ἔχον τὰς μελλούσας ἀπ' αὐτοῦ ἔσεσθαι νοερὰς αἰτίας καὶ γεννητικὸν τοῦ οὐχ ὡς ἔτυχεν, ἀλλ' ὡς ἠθέλησεν αὐτός. Ἡ δὲ θέλησις οὐκ ἄλογος ἦν, οὐδὲ τοῦ εἰκῇ, οὐδ' ὡς ἐπῆλθεν αὐτῷ, ἀλλ' ὡς ἔδει, ὡς οὐδενὸς ὄντος ἐκεῖ εἰκῇ. Ὅθεν καὶ δέον καὶ καιρὸν ὁ Πλάτων ὡς οἷόν τε ἦν σημῆναι ἐφιέμενος, ὅτι πόρρω τοῦ ὡς ἔτυχεν, ἀλλ' ὅπερ ἐστὶ, τοῦτο δέον. Εἰ δὲ τὸ δέον τοῦτο, οὐκ ἀλόγως τοῦτο, καὶ εἰ καιρὸς, τὸ μάλιστα κυριώτατον ἐν τοῖς μετ' αὐτὸ, καὶ πρότερον αὐτῷ, καὶ οὐχ, οἷον ἔτυχε, τοῦτο ἐστιν· ἀλλὰ τοῦτο ἐστιν, ὅπερ οἷον ἐβουλήθη αὐτὸς, εἴπερ τὰ δέοντα βούλεται καὶ ἓν τὸ δέον, καὶ ἡ τοῦ δέοντος ἐνέργεια. Καὶ ἔστι δέον οὐχ ὡς ὑποκείμενον, ἀλλ' ὡς ἐνέργεια πρώτη, τοῦτο ἑαυτὴν ἐκφήνασα, ὅπερ ἔδει. Οὕτω γὰρ αὐτὸν λέγειν, ἀδυνατοῦντα λέγειν ὡς τις ἐθέλει.

vereque effectricem arcedere potest? Quale enim est id, quod est in mente, tale ferme cogitatur, quod est in uno, quamvis sit longe præstantius: perinde ac si lumen longe diffusum ex uno quodam in se manente penitusque perspicuo prodeat: ubi profecto, quod est diffusum, alterius est imago; illud autem, unde hoc emicat, lumen est procul dubio verum: non tamen imago diffusa aliena est et difformis, ipse scilicet intellectus: qui sane nullam admittit fortunam, sed quidquid singulatim est in eo, ratio quædam in se est et causa. Deus autem est causa causæ. Potiori itaque gradu causa deus exsistit, utpote summopere causa: causa, inquam, ratione admodum veriore, omnes intellectuales causas pullulaturas inde simul in se complectens, opusque suum generans non utcumque contigit, sed ut ipse voluit. Voluntas autem non erat rationis expers, neque temere frustraque ferebatur, neque ut forte protinus incidebat, sed potius ut decebat: quippe cum nihil ibi temerarium sit et vanum. Hinc Plato ipsum appellavit decens atque opportunum, optans utcumque posset significare, deum esse a sorte fortuita remotissimum, sed hoc ipsum, quod est, ipsum esse decens. Si autem ipsum decens hoc exsistit, certe non absque ratione hoc exsistit. Ac si est opportunitas ipsa, cujus proprietas in sequentibus maxime dominatur, nimirum multo prius sibi ipsi opportunitas adest. Itaque non quale accidit, hoc exsistit: sed hoc est potius, quod tanquam ipse voluerit: siquidem decentia velit, unumque ibi est ipsum decens vel opportunum actioque decentis. Estque decens non velut subjectum, sed tanquam actio prima, hoc proprie se ipsam in lucem edens, quod et decuit. Danda est nominibus nostris venia: nam ita de deo nos oportet loqui, postquam loqui de illo non valemus ad votum.

Confirmatio superiorum.

A primo rerum principio multa id munus habent, ut in se ipsis consistant, multa etiam, ut quasi ex se ipsis exsistant. Illud igitur, si modo dicendum est exsistere, summopere est exsistentiæ suæ dominus, omni apud intellectum cogitabili exsistentia longe superior.

ΙΘ'. Λαμβανέτω τις οὖν, ἐκ τῶν εἰρημένων ἀνακινηθεὶς πρὸς ἐκεῖνο, ἐκεῖνο αὐτὸ, καὶ θεάσεται καὶ αὐτὸς, οὐχ, ὅσον θέλει, εἰπεῖν δυνάμενος. Ἰδὼν δὲ ἐκεῖνο ἐν αὐτῷ, πάντα λόγον ἀφεὶς θήσεται παρ' αὐτοῦ ἐκεῖνο τοῦτο ὂν, ὡς, εἴπερ εἶχεν οὐσίαν, δούλην ἂν αὐτοῦ τὴν οὐσίαν εἶναι, καὶ οἷον παρ' αὐτοῦ εἶναι. Οὐδ' ἂν τολμήσειέ τις ἰδὼν ἔτι τὸ ὡς συνέβη λέγειν, οὐδ' ἂν ὅλως φθέγξασθαι δύναται. Ἐκπλαγείη γὰρ ἂν τολμῶν, καὶ οὐδ' ἂν ἔχοι ἀΐξας που εἰπεῖν περὶ αὐτοῦ· πάντῃ αὐτῷ ἐκείνου, οἷον πρὸ ὀμμάτων τῆς ψυχῆς, προφαινομένου καὶ, ὅποι ἂν ἀτενίσῃ, ἐκεῖνον βλέποντος, εἰ μή που ἄλλῃ ἀφεὶς τὸν θεὸν ἀτενίσῃ, μηδὲν ἔτι περὶ αὐτοῦ διανοούμενος· χρὴ δὲ ἴσως καὶ τὸ ἐπέκεινα οὐσίας καὶ ταύτῃ νοεῖσθαι τοῖς παλαιοῖς λεγόμενον δι' αἰνίξεως· οὐ μόνον ὅτι γεννᾷ οὐσίαν, ἀλλ' ὅτι οὐ δουλεύει οὔτε οὐσίᾳ, οὔτε ἑαυτῷ, οὐδὲ ἐστιν αὐτῷ ἀρχὴ ἡ οὐσία αὐτοῦ, ἀλλ' αὐτὸς ἀρχὴ τῆς οὐσίας ὢν, οὐχ αὑτῷ ἐποίησε τὴν οὐσίαν, ἀλλὰ ποιήσας ταύτην ἔξω εἴασεν ἑαυτοῦ, ἅτε οὐδὲν τοῦ εἶναι δεόμενος, ὃς ἐποίησεν αὐτό· οὐ τοίνυν, οὐδὲ καθ' ὃ ἔστι ποιεῖ τὸ ἔστι.

XIX. Ex superioribus igitur aliquis ad summum rerum principium provocatus, illud ipsum accipiat: atque ita et ipse perspiciet, quamvis non, quantum velit, exprimere valeat. Videns autem illud in se, omni sermone dimisso affirmabit illud a se ipso id exsistens, adeo ut, si haberet essentiam, sua sibi serviret essentia, ac velut emanaret ab ipso. Qui ergo id fuerit contemplatus, non audebit amplius dicere, utcumque contigit esse, nec omnino proferre valebit. Nam si pronuntiare id ausus fuerit, stupore repente corripietur. Quin etiam huc usque sublatus, nec poterit usquam quidquam de eo dicere, quippe cum illud ubique coram animæ oculis pariter se demonstret, et, quocumque animus defigat intuitum, inspiciat illud. Nisi forte, deo dimisso, animus retro respiciat, nihil videlicet de illo amplius cogitans: forsan vero operæ pretium est, priscorum illud mysterium verbis obscurioribus involutum, deum scilicet esse super essentiam, hac quoque ratione considerare: non solum quoniam gignit essentiam, verum etiam, quia nec essentiæ, nec sibi ipsi servit; neque principium ejus est essentia sua, sed ipse potius principium est essentiæ: nec eam quidem sibi ipse fecit, sed hanc a se factam dimisit extra se ipsum, utpote qui ipso esse non egeat, qui sane ipsum effecit. Neque igitur secundum quod est, facit hoc ipsum, quod est appellatur.

Confirmatio superiorum

Cum omnis essentia ad actum pro viribus, tanquam ad melius et superius aliquid, annitatur, excogitare decet principium tanquam actum essentia longe superiorem: est igitur omnis essentiæ dominus. Nec non si ipse dici possit et esse, certe qua ratione actus est, exsistere se declarat: actus, inquam, non in essentia, sed superior. Ergo non essentiæ vel naturæ servus, itaque liber. Et quatenus non aliunde servatus ipse se servat, dicitur et generare se ipsum, generatione videlicet sempiterna. Deus-

quae ubi agere et quomodocumque exsistere idem est, actus autem solet tanquam praestantius cogitari, illic certe actus considerari potest exsistentiam suam quasi comitem secum ferre.

Κ'. Τί οὖν; οὐ συμβαίνει, εἴποι τις ἄν, πρὶν ἢ γενέσθαι γεγονέναι; εἰ γὰρ ποιεῖ ἑαυτόν, τῷ μὲν ἑαυτὸν οὔπω ἐστί, τῷ δ' αὖ ποιεῖν ἔστιν ἤδη πρὸ ἑαυτοῦ, τοῦ ποιουμένου ὄντος αὐτοῦ. Πρὸς ὃ δὴ λεκτέον, ὡς ὅλως οὐ τακτέον κατὰ τὸν ποιούμενον, ἀλλὰ κατὰ τὸν ποιοῦντα, ἀπόλυτον τὴν ποίησιν αὐτοῦ τιθεμένοις, καὶ οὐχ ἵνα ἄλλο ἀποτελεσθῇ ἐξ αὐτοῦ τῆς ποιήσεως, ἀλλ' οὔσης ἐνεργείας αὐτοῦ οὐκ ἀποτελεστικῆς, ἀλλ' ὅλου τούτου ὄντος. Οὐ γὰρ δύο, ἀλλ' ἕν· οὐδὲ γὰρ φοβητέον ἐνέργειαν τὴν πρώτην τίθεσθαι ἄνευ οὐσίας· ἀλλ' αὐτὸ τοῦτο τὴν οἷον ὑπόστασιν θετέον. Εἰ δὲ ὑπόστασιν ἄνευ ἐνεργείας τις θεῖτο, ἐλλιπὴς ἡ ἀρχὴ καὶ ἀτελὴς ἡ τελειοτάτη πασῶν ἔσται. Καὶ εἰ προσθείη ἐνέργειαν, οὐχ ἓν τηρεῖ. Εἰ οὖν τελειότερον ἡ ἐνέργεια τῆς οὐσίας, τελειότατον δὲ τὸ πρῶτον, πρῶτον ἂν ἐνέργεια εἴη· ἐνεργήσας οὖν ἤδη ἐστὶ τοῦτο, καὶ οὐκ ἔστιν, ὡς πρὶν γενέσθαι ἦν· ὅτε γὰρ οὐκ ἦν πρὶν γενέσθαι, ἀλλ' ἤδη πᾶς ἦν. Ἐνέργεια δὴ οὐ δουλεύουσα οὐσίᾳ καθαρῶς ἐστιν ἐλευθέρα, καὶ οὕτως αὐτὸς παρ' αὐτοῦ αὐτός. Καὶ γὰρ εἰ μὲν ἐσώζετο εἰς τὸ εἶναι ὑπ' ἄλλου, οὐ πρῶτος αὐτὸς ἐξ αὐτοῦ. Εἰ δὲ αὐτὸς αὑτὸν ὀρθῶς λέγεται συνέχειν, αὐτός ἐστι καὶ ὁ παράγων ἑαυτόν, εἴπερ, ὅπερ συνέχει κατὰ φύσιν, τοῦτο καὶ ἐξ ἀρχῆς πεποίηκεν εἶναι. Εἰ μὲν οὖν χρόνος ἦν, ὅθεν ἤρξατο εἶναι, τὸ πεποιηκέναι κυριώτατον ἂν ἐλέχθη. Νῦν δὲ εἰ καὶ πρὶν αἰῶνα εἶναι, ὅπερ ἐστίν, ἦν, τὸ πεποιηκέναι ἑαυτὸν τοῦτο νοείτω, τὸ σύνδρομον εἶναι τὸ πεποιηκέναι καὶ αὐτό. Ἓν γὰρ τῇ ποιήσει καὶ οἷον γεννήσει ἀϊδίῳ τὸ εἶναι, ὅθεν καὶ τὸ ἄρχον ἑαυτοῦ, καὶ εἰ μὲν δύο, κυρίως, εἰ δὲ ἕν, τὸ ἄρχον μόνον· οὐ γὰρ ἔχει τὸ ἀρχόμενον. Πῶς οὖν ἄρχον οὐκ ὄντος πρὸς ὅ; ἢ τὸ ἄρχον ἐνταῦθα, πρὸς τὸ πρὸ αὐτοῦ, ὅτι μηδὲν ἦν. Εἰ δὲ μηδὲν ἦν, πρῶτον· τοῦτο δὲ οὐ τάξει, ἀλλὰ κυριότητι καὶ δυνάμει αὐτεξουσίῳ καθαρῶς. Εἰ δὲ καθαρῶς, οὐκ ἔστιν ἐκεῖ λαβεῖν τὸ μὴ αὐτεξουσίως· ὅλον οὖν αὐτεξουσίως, ἐν αὐτῷ. Τί οὖν αὐτοῦ, ὃ μὴ αὐτός; τί οὖν, ὃ μὴ ἐνεργεῖ; καὶ τί, ὃ μὴ ἔργον αὐτοῦ, εἰ γάρ τι εἴη μὴ ἔργον αὐτοῦ ἐν αὐτῷ, οὐ καθαρῶς ἂν εἴη οὔτε αὐτεξούσιος οὔτε πάντα δυνάμενος· ἐκείνου τε γὰρ οὐ κύριος, πάντα τε οὐ δυνάμενος, ἐκεῖνο γοῦν οὐ δύναται, οὗ μὴ αὐτὸς κύριος εἰς τὸ ποιεῖν.

